OPERVM

HIPPOCRATIS

COI, ET

GALENI

PERGAMENI, MEDICORVM OMNIVM PRINCIPVM,

TOMVS V.

Φυσιολογικὰ τὰ ψυχικὰ ad animam facultates, functiones, & spiritus spectantia.

RENATVS CHARTERIVS VINDOCINENSIS
Doctor Medicus Paris. REGIS Christianissimi Cons. Medicus, ac Professor Ord. plurima interpretatus, vniuersa emendauit, instaurauit, notauit, auxit, edidit.





M. Van Lochom fecit.

LVTETIÆ PARISIORVM.

M. DC. XXXIX.

OPERVM

HIPPOCRATIS COI, ET GALENI PERGAMENI, MEDICORVM OMNIVM PRINCIPVM,

TOMVS V.

Φυσιολογικὰ τὰ ψυχικὰ ad animam facultates, functiones, & spiritus spectantia.

RENATVS CHARTERIVS VINDOCINENSIS,
Doctor Medicus Paris. REGIS *Christianißimi Cons. Medicus, ac Professor Ord. plurima interpretatus, vniuersa emendauit, instaurauit, notauit, auxit, edidit.*

LVTETIÆ PARISIORVM.

M. DC. XXXIX.

TOMO V

Τὰ ψυχικὰ opera, quæ ad animam ſpectant, facultates, functiones, & ſpiritus continentur.

GALENI, De anima, fragmentum ex capite II. *libri Nemeſij De natura hominis.* pagina 1.

Galeni fragmentum, ex Nemeſij capite XX. *De timore.* 3.

Galeni, De ſubſtãtia naturaliũ facultatũ, ſegmentũ. 3

Galeno aſcriptus liber, De facultatibus noſtrum corpus diſpenſantibus. 7.

Galeni, De naturalibus facultatibus, libri III. 8

Galeni, De placitis Hippocratis & Platonis, libri nouem. 78.

Galeni fragmentum, in Timæum Platonis. 275.

Galeni, De fœtuum formatione, libellus. 285.

Hippocratis, De carnibus, ſeu principiis, liber. 302.

Hippocratis, De natura pueri, liber. 310.

Galeni liber, an omnes partes animalis quod procreatur, fiant ſimul. 326.

Galeno aſcriptus liber, De natura & ordine cuiuſque corporis. 327.

Galeno aſcriptus liber, De compagine membrorum, ſiue de natura humana. 330.

Galeni liber, an animal ſit quod in vtero eſt. 334.

Hippocratis, De ſeptimeſtri partu, liber. 342.

Galeni, De ſeptimeſtri partu, liber. 347.

Hippocratis, De octimeſtri partu, liber. 351.

Galeni, De inſtrumento odoratus, liber. 354.

Galeni, De muſculorum motu, libri duo. 364.

Galeno aſcriptus liber, De motibus manifeſtis & obſcuris. 397.

Galeni fragmentum, ex Themiſtio in paraphraſi quarti de phyſica auſcultatione. 405.

Ex eadem paraphraſi, Themiſtij fragmentum. 406.

Ex Michaële Epheſio, De inſõniis, fragmentũ. 406

Galeni fragmentum, De motu thoracis, & pulmonis. 407.

Galeno aſcriptus liber, De reſpirationis vſu. 407.

Galeni, De reſpirationis vſu, liber legitimus. 413.

Galeni, De cauſis reſpirationis, liber. 427.

Galeno aſcriptus liber, De voce & anhelitu, ſeu reſpiratione. 429.

Galeni, De vſu pulſuum, liber. 433.

Galeni, Quòd animi mores corporis temperamenta ſequantur, liber. 444.

Hippocratis ſegmentum, ex Philone de mundi opificio. 461.

Conciſæ Notæ, ac variæ Lectiones. 462.

ΓΑΛΗΝΟΥ, τὸ περὶ ψυχῆς, τμῆμα ἐκ τοῦ κεφαλαίου β'. βιβλίου τοῦ Νεμεσίου, περὶ φύσεως ἀνθρώπου. σελὶς α'.

Γαληνοῦ τμῆμα ἐκ τοῦ κεφαλαίου κ'. τοῦ Νεμεσίου, περὶ φόβου. γ'.

Γαληνοῦ τμῆμα, περὶ οὐσίας τῶν φυσικῶν δυνάμεων. γ'.

Γαληνῷ προσγεγραμμένον βιβλίον, περὶ δυνάμεων τῶν τὸ ἡμῶν σῶμα διοικουσῶν. ζ'.

Γαληνοῦ, περὶ φυσικῶν δυνάμεων, βιβλία γ'. η'.

Γαληνοῦ, περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων, βιβλία ἐννέα. οη'.

Γαληνοῦ εἰς τὸν Τίμαιον τοῦ Πλάτωνος, τμῆμα. σοε'.

Γαληνοῦ, περὶ κυουμένων διαπλάσεως, βιβλίον. σπε'.

Ἱπποκράτους, περὶ σαρκῶν, ἢ ἀρχῶν, βιβλίον. τβ'.

Ἱπποκράτους, περὶ φύσιος παιδίου, βιβλίον. τι'.

Γαληνοῦ, εἰ τὰ πάντα ζῴου τοῦ γεννωμένου μόρια συγγίνονται, βιβλίον. τκϛ'.

Γαληνῷ προσγεγραμμένον βιβλίον, περὶ φύσεώς τε καὶ τάξεως ἑκάστου σώματος. τκζ'.

Γαληνῷ προσγεγραμμένον βιβλίον, περὶ συστάσεως μορίων, ἢ περὶ φύσεως ἀνθρωπείνης. τλ'.

Γαληνοῦ, εἰ ζῷον τὸ κατὰ γαστρός, βιβλίον. τλδ'.

Ἱπποκράτους, περὶ ἑπταμήνου, βιβλίον. τμβ'.

Γαληνοῦ, περὶ ἑπταμήνων βρέφων, βιβλίον. τμζ'.

Ἱπποκράτους, περὶ ὀκταμήνου, βιβλίον. τνα'.

Γαληνοῦ, περὶ ὀσφρήσεως ὀργάνου, βιβλίον. τνδ'.

Γαληνοῦ, περὶ μυῶν κινήσεως, βιβλία δύο. τξδ'.

Γαληνῷ προσγεγραμμένον βιβλίον, περὶ κινήσεων δήλων τε καὶ ἀδήλων. τϛζ'.

Γαληνοῦ τμῆμα, ἐκ Θεμιστίου ἐν τῇ παραφράσει τῆς τοῦ τετάρτου φυσικῆς ἀκροάσεως. υε'.

Ἐξ αὐτῆς τοῦ Θεμιστίου παραφράσεως τμῆμα. υϛ'.

Ἐκ Μιχαήλου Ἐφεσίου, περὶ ἐνυπνίων, τμῆμα. υϛ'.

Γαληνοῦ τμῆμα, περὶ κινήσεως τοῦ θώρακός τε καὶ πνεύμονος. υζ'.

Γαληνῷ προσγεγραμμένον βιβλίον, περὶ χρείας ἀναπνοῆς. υζ'.

Γαληνοῦ, περὶ χρείας ἀναπνοῆς, βιβλίον. υιγ'.

Γαληνοῦ, περὶ τῶν τῆς ἀναπνοῆς αἰτιῶν, βιβλίον. υκζ'.

Γαληνῷ, περὶ φωνῆς τε καὶ ἀναπνοῆς προσγεγραμμένον βιβλίον. υκθ'.

Γαληνοῦ, περὶ χρείας σφυγμῶν, βιβλίον. υλγ'.

Γαληνοῦ βιβλίον, ὅτι τὰ τῆς ψυχῆς ἤθη ταῖς τοῦ σώματος κράσεσιν ἕπεται. υμδ'.

Ἱπποκράτους τμῆμα ἐκ τοῦ Φίλωνος τῆς κοσμοποιίας. υξα'.

ΓΑΛΗΝΟΥ ΤΟ ΠΕΡΙ ΤΗΣ ΨΥΧΗΣ ΤΜΗΜΑ ΕΚ ΤΟΥ ΚΕΦΑΛΑΙΟΥ Β' ΤΟΥ ΒΙΒΛΙΟΥ ΤΟΥ ΝΕΜΕΣΙΟΥ ΠΕΡΙ φύσεως ἀνθρώπου.

GALENI DE ANIMA FRAGMENTVM EX CAPITE SECVNDO LIBRI NEMESII DE NATVRA HOMINIS.

GALENVS verò nihil quidem asserit, sed testatur in libro de demonstratione, se nihil de anima affirmasse; videtur tamen ex iis quæ profert, magis probare animam esse temperamentum; id enim sequitur morum differentia. Quod ex Hippocratis dictis confirmare nititur. Verùm si ita est, patet etiam ipsam mortalem existimari, non tamen omnem, sed brutam animam solam rationis expertem. At de rationali addubitat his verbis ita loquens. * * Desunt Galeni verba; verùm corporis temperamentum non posse esse animam, hinc patet. Omne corpus, & animatum, & inanimatum ex quatuor elementis temperatum est; horum enim temperatio corpora efficit. Si igitur corporis temperamentum sit anima, nihil erit inanimatum; & concluditur ratio sic. Si temperamentum corporis anima est; omne verò corpus temperamentum habet; omne corpus animam habet. At si omne corpus animam habet, nullum est corpus inanimatum. Neque lapis igitur, neque lignum, neque ferrum, neque aliud quippiam inanimatum est. Si verò non vniuersè omnem temperationem corporis dixerit esse animam, sed certam quandam; quærendum, qualis temperatio sit, quæ animal efficiat, & animæ rationem obtineat. Qualecunque enim temperamentum dixerit, tale & in inanimatis reperiemus. Quum enim nouem temperamenta sint (vt ipse in libris de temperamentis ostendit) octo quidem intemperata, vnum verò temperatum, ex eo temperato dicit hominem esse temperatum; non omnem tamen, sed eum qui medio temperamento est. Reliquis intemperatis temperamentis cætera animalia pro cuiusque specie alia magis, alia minùs & remissionis & intensionis esse temperata. Inueniuntur autem etiam in inanimatis nouem hæc temperamenta secundum magis & minus, vt ipse rursus in simplicibus ostendit. Præterea si anima temperamentum est, temperamenta autem ætatibus,

ΓΑΛΗΝΟΣ δὲ ἀποφαίνεται μὲν οὐδέν, ἀλλὰ καὶ διαμαρτύρεται ἐν τοῖς ἀποδεικτικοῖς λόγοις, ὡς οὐδὲν εἴη περὶ ψυχῆς ἀποφηνάμενος. ἔοικε δὲ ἐξ ὧν λέγει, δοκιμάζειν μᾶλλον τὸ κρᾶσιν εἶναι τὴν ψυχήν, ταύτῃ γὰρ ἐπακολουθεῖν τὴν τῶν ἠθῶν διαφοράν. ἐκ τῶν Ἱπποκράτους κατασκευάζων τὸν λόγον. εἰ δὲ τοῦτο δῆλον, ὅτι καὶ θνητὴν αὐτὴν οἴεται, οὐ πᾶσαν δέ, ἀλλὰ τὴν ἄλογον ψυχὴν μόνην. περὶ δὲ τῆς λογικῆς ἀμφιβάλλει λέγων οὕτως. * λείπει τὰ τοῦ Γαληνοῦ ῥήματα. ὅτι δὲ οὐ δύναται τοῦ σώματος ἡ κρᾶσις εἶναι ψυχὴ δῆλον ἐντεῦθεν· πᾶν σῶμα ἔμψυχόν τε, καὶ ἄψυχον ἐκ τῶν τεσσάρων στοιχείων κέκραται. ἡ γὰρ τούτων κρᾶσις τὰ σώματα ἀπεργάζεται. εἰ τοίνυν ἡ τοῦ σώματος κρᾶσίς ἐστιν ἡ ψυχή, οὐδὲν ἄψυχον ἔσται. καὶ συνάγεται ὁ λόγος οὕτως. εἰ ἡ κρᾶσις τοῦ σώματος ψυχή ἐστι, πᾶν δὲ σῶμα κρᾶσιν ἔχει, πᾶν σῶμα ψυχὴν ἔχει. εἰ δὲ πᾶν σῶμα ψυχὴν ἔχει, οὐδὲν σῶμά ἐστιν ἄψυχον. οὔτε λίθος ἄρα, οὔτε ξύλον, οὔτε σίδηρος, οὔτε ἄλλο τι ἄψυχον ἔσται. εἰ δὲ μὴ καθόλου πᾶσαν κρᾶσιν σώματος λέγοι ψυχὴν εἶναι, ἀλλὰ τὴν τοιάνδε· ἐρωτητέον ποία κρᾶσίς ἐστιν ἡ ποιοῦσα ζῷον, καὶ ψυχῆς λόγον ἐπέχουσα· ὁποίαν γὰρ ἂν εἴποι τὴν κρᾶσιν, τοιαύτην εὑρήσομεν, καὶ ἐν τοῖς ἀψύχοις. ἐννέα γὰρ οὐσῶν κράσεων (ὡς αὐτὸς ἐν τοῖς περὶ κράσεων ἔδειξεν) ὀκτὼ μὲν τῶν δυσκράτων, μιᾶς δὲ τῆς εὐκράτου, κατὰ μὲν τὴν εὔκρατον λέγει κεκρᾶσθαι τὸν ἄνθρωπον· οὐ πάντα δέ, ἀλλὰ τὸν τῆς μέσης κράσεως. κατὰ δὲ τὰς ἄλλας δυσκρασίας τὰ ἄλλα ζῷα κατ' εἶδος μετὰ τῆς ἐπὶ τὸ μᾶλλον καὶ ἧττον ἀνέσεώς τε καὶ ἐπιτάσεως. εὑρίσκονται δὲ καὶ ἐν τοῖς ἀψύχοις αἱ ἐννέα κράσεις μετὰ τὸ μᾶλλον καὶ ἧττον, ὡς αὐτὸς πάλιν ἐν τοῖς ἁπλοῖς ἐπέδειξεν. ἔτι εἰ ἡ ψυχὴ κρᾶσίς ἐστιν, αἱ δὲ κράσεις ἐναλλάσσονται κατά τε τὰς ἡλικίας,

καὶ τὰς ὥρας, καὶ τὰς διαίτας, ἡ ψυχὴ ἐναλλάσσεται. εἰ δὲ ἐναλλάττεται, οὐ τὴν αὐτὴν ἔχομεν ψυχήν, ἀλλὰ κατὰ τὴν κρᾶσιν, ποτὲ μὲν λέοντος, ποτὲ δὲ προβάτου, ποτὲ δὲ ἄλλου τινός, ὅπερ ἄτοπον. ἔτι ἡ κρᾶσις οὐκ ἐναντιοῦται ταῖς ἐπιθυμίαις τοῦ σώματος· ἀλλὰ καὶ συνεργεῖ. αὕτη γάρ ἐστιν ἡ κινοῦσα, ἡ ψυχὴ ἐναντιοῦται· οὐκ ἄρα ἡ κρᾶσίς ἐστι ψυχή. ἔτι ἡ κρᾶσίς ἐστι ψυχή, ἡ δὲ κρᾶσις ποιότης, ποιότης δὲ καὶ γίνεται, καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, καὶ ἡ ψυχὴ ἄρα χωρισθήσεται χωρὶς τῆς ὑποκειμένου φθορᾶς. τοῦτο δὲ οὐκ ἀληθές, οὐκ ἄρα κρᾶσις, οὐδὲ ποιότης ἐστὶν ἡ ψυχή. οὐ γὰρ δήπου τὸ ἕτερον τῶν ἀντικειμένων φυσικῶς προσεῖναι φήσουσι τῷ ζώῳ, ὡς ἐπὶ τοῦ πυρὸς τὸ θερμόν· ἀμετάθετον γὰρ τοῦτο· φαίνεται δὲ μετατιθεμένη ἡ κρᾶσις· μᾶλλον δὲ αὐτοί εἰσιν οἱ διὰ τῆς ἰατρικῆς τέχνης τὰς κράσεις μεταβάλλοντες. ἔτι ἡ τοῦ σώματος αἱ ποιότητες αἰσθηταί εἰσιν. ἡ δὲ ψυχὴ οὐκ αἰσθητή, ἀλλὰ νοητή. οὐκ ἄρα ποιότης ἀσώματός ἐστιν ἡ ψυχή. ἔτι ἡ τοῦ αἵματος, καὶ πνεύματος μετὰ προσθέσεως σαρκῶν, καὶ νεύρων, καὶ τῶν ἄλλων εὐκρασία ἰσχύς ἐστι. καὶ ἡ τῶν θερμῶν δὲ καὶ ψυχρῶν, καὶ ξηρῶν, καὶ ὑγρῶν εὐκρασία ὑγίειά ἐστι. ἡ δὲ συμμετρία τῶν μελῶν μετὰ τῆς εὐχροίας τὸ κάλλος ποιεῖ τοῦ σώματος. εἰ τοίνυν ἡ ἁρμονία τῆς ὑγιείας, καὶ τῆς ἰσχύος, καὶ τοῦ κάλλους ψυχή ἐστιν· ἀνάγκη ἦν τὸν ἄνθρωπον ζῶντα μήτε νοσεῖν, μήτε ἀσθενεῖν, μήτε ἄμορφον εἶναι. συμβαίνει δὲ πολλάκις οὐ μίαν μόνην, ἀλλ' ὁμοῦ τὰς τρεῖς ταύτας εὐκρασίας ἀπόλλυσθαι, καὶ ζῆν τὸν ἄνθρωπον. συμβαίνει γὰρ τὸν αὐτὸν ὁμοῦ, καὶ ἄμορφον εἶναι, καὶ ἀσθενεῖν, καὶ νοσεῖν. οὐκ ἄρα ἡ εὐκρασία τοῦ σώματός ἐστιν ἡ ψυχή. πῶς οὖν φυσικαί τινες κακίαι, καὶ ἀρεταὶ τοῖς ἀνθρώποις ἕπονται; τοῦτο ἐκ τῆς τοῦ σώματος ἀληθῶς κράσεως γίνεται. ὡς γὰρ φυσικῶς οἱ ὑγιεινοί, καὶ νοσώδεις εἰσὶν ἐκ τῆς κράσεως. οὕτω τινὲς φυσικῶς πικρόχολοι ὄντες ὀργίλοι εἰσίν, ἄλλοι δειλοί, καὶ ἄλλοι καταφερεῖς. ἀλλ' ἔνιοι κρατοῦσι καὶ περιγίνονται. δῆλον δ' ὅτι τῆς κράσεως κρατοῦσιν. ἄλλο δέ ἐστι τὸ κρατοῦν, καὶ ἄλλο τὸ κρατούμενον, ἄλλο ἄρα κρᾶσις, καὶ ἄλλο ψυχή· ὄργανον γὰρ ὂν τὸ σῶμα τῆς ψυχῆς, ἐὰν μὲν ἐπιτηδείως κατασκευασθῇ συνεργεῖ τῇ ψυχῇ, καὶ αὐτὸ ἔχει ἐπιτηδείως. ἐὰν δὲ ἀνεπιτηδείως ἐμποδίζει, καὶ τότε χρεία τῇ ψυχῇ πραγμάτων ἀπομαχομένη πρὸς τὴν ἀνεπιτηδειότητα τοῦ ὀργάνου· καὶ ἐὰν μὴ σφοδρὰ νήφῃ, καὶ συνδιαστρέφεται αὐτῷ καθάπερ μουσικὸς συνεξαμαρτάνει τῇ τῆς λύρας διαστροφῇ, ἐὰν μὴ πρότερον αὐτὴν καταστήσῃ καλῶς. διὸ καὶ χρεία τῇ ψυχῇ τῆς ἐπιμελείας τοῦ σώματος· ἵνα καταστήσῃ αὐτὸ ὄργανον ἐπιτήδειον ἑαυτῇ. τοῦτο δὲ ποιεῖ διά τε τοῦ λόγου, καὶ τῶν ἠθῶν ὡς ἐν ἁρμονίᾳ τὰ μὲν χαλῶσα, τὰ δὲ ἐπιτείνουσα, ἵνα ἁρμόδιον αὐτὸ ἑαυτῇ κατασκευάσῃ, καὶ χρήσηται ἐπιτηδείῳ ὀργάνῳ· ἐὰν μὴ καὶ αὐτὴ συνδιαστραφῇ αὐτῷ, συμβαίνει γὰρ καὶ τοῦτο.

temporibus, victúque mutantur, mutatur & anima. Si mutatur *anima*, non eandem habemus animam, sed pro temperamento aliquando leonis, aliquando ouis, aliquando alterius cuiusdam animalis, quod absurdum est. Deinde temperamentum non aduersatur cupiditatibus corporis, sed & adiuuat eas, ipsa enim est quæ mouet, & incitat, anima autem aduersatur, non est ergo anima temperamentum. Præterea, si anima temperamentum sit, temperamentum autem qualitas, qualitas rursus, & oriatur, & corrumpatur, citra subiecti interitum; item anima quoque separabitur, citra subiecti interitum. Hoc autem verum non est. Non ergo temperamentum, aut qualitas anima. Non enim sanè alterum contrariorum naturaliter adesse animali dicent, vt calorem igni. Hic enim mutari non potest; at temperamentum mutari constat; imò hi ipsi sunt, qui medendi scientiâ temperamenta mutant. Omnes insuper corporis qualitates sensu percipiuntur, anima verò non sub sensum, sed sub intelligentiam cadit; non ergo corporis qualitas anima est. Præterea sanguinis, & spiritus, vnáque adiunctæ carnis, neruorum, cæterarúmque partium, bonum temperamentum, robur est; caloris etiam, frigoris, siccitatis, & humoris proba temperatio, sanitas; membrorum autem apta commoderatio, cum coloris suauitate, corporis pulchritudinem gignit. Quare si harmonia sanitatis, & roboris, & pulchritudinis anima est; necesse est hominem, quoad viuit, neque ægrotum esse, neque infirmum, neque deformem: contingit autem sæpe non vnam tantùm, sed omnes pariter has tres bonas temperaturas perire, & hominem tamen viuere. Accidit enim, vt idem simul, & turpis sit, & infirmus, & ægrotus: non ergo corporis bonum temperamentum anima est. *Sed inques*, quomodo ergo naturales virtutes, vitiáque naturalia hominem insequuntur? Id reuera ex corporis temperamento fit. Vt enim naturaliter ex temperamento salubri sunt, & insalubri corpore; ita alij naturaliter amara bile abundantes, ad iracundiam, alij ad timorem, alij ad venerem propensi sunt. Verùm aliqui euincunt, & superant. Dubium autem non est quin temperamentum coërceant; atque aliud est quod coërcet, aliud quod coërcetur; aliud ergo temperamentum, aliud anima. Quum enim corpus animæ sit instrumentum, si idoneè constitutum fuerit, adiuuat animam, ipsúmque se commodè habet; sin non idoneè, impedit animam, ac tum satis negotij habet anima, dum cum ineptia sui instrumenti luctatur: ac nisi admodum sit sobria, etiam cum eo peruertitur: quomodo musicum lyræ peruersio in errorem inducit, nisi eam primum rectè composuerit. Quamobrem animæ adhibenda cura est, vt corpus accommodatum sibi instrumentum reddat, quod per rationem, & mores assequetur, vt in harmonia, ita hîc alia laxans, alia intendens, quo ipsum sibi aptum efficiat, eóque at commodo instrumento vtatur, nisi & ipsa cum eo peruersa fuerit, quando etiam hoc aliquando vsu venit.

ΕΚ ΝΕΜΕΣΙΟΥ ΠΕΡΙ ΦΟΒΟΥ ΚΕΦ. Κ'.

EX NEMESII DE TIMORE CAPITE XX.

HOC enim eſt quod in ægritudine morſum ſentit, vt Galenus in tertio de demonſtratione ait ad hunc ferè modum; His qui in ægritudine aliqua verſantur, multum flauæ bilis defluit in ventrem, quod morſum ipſis præbet, neque prius ægri eſſe, aut morderi deſinunt, quàm bilem euomuerint. Nam morſus iis accidit, infra cartilaginem, quæ eſt in medio pectore, quod xiphoïdes nominatur. Cor autem multò ſuperius locatum eſt. Nam ſepto tranſuerſo venter inferior eſt, cor ſuperius. Veteres tamen etiam os ventris, cor vſurpant, vt Hippocrates, & Thucydides, vbi peſtilentiam, quæ Athenis erat, deſcribit, ſic dicens, Et cum in corde dolor firmaretur, inuertebat ipſum, & purgationes bilis quotquot à medicis nominatæ ſunt inuadebant. Nam quod inuertitur, os ventris eſt, dum vomere cogitur, non ea pars viſcerum, quæ cor eſt.

A ΤΟΥΤΟ γάρ ἐστι τὸ τῆς δήξεως αἰσθανόμενον ἐν ταῖς λύπαις, ὡς ὁ Γαληνὸς ἐν τῷ τρίτῳ τῆς ἀποδεικτικῆς φησιν οὕτω πως. τοῖς λυπουμένοις οὐκ ὀλίγον εἰς τὴν γαστέρα καταρρεῖ ξανθῆς χολῆς· ὃ τὴν δῆξιν αὐτοῖς παρέχει, καὶ οὐ πρότερον παύονται λυπούμενοι καὶ δακνόμενοι, πρὶν ἐξεμέσαι τὴν χολήν. γίνεται γὰρ ἡ δῆξις αὐτοῖς ὑποκάτω τοῦ κατὰ μέσα στέρνα χόνδρου τοῦ ξιφοειδοῦς ὀνομαζομένου, πολὺ δὲ ἀνωτέρω κεῖται ἡ καρδία. τοῦ γὰρ διαφράγματος, ἡ μὲν γαστὴρ κατωτέρω B ἐστίν, ἡ δὲ καρδία ἀνωτέρω, συνήθως δὲ οἱ παλαιοὶ καρδίαν, καὶ τὸ στόμα τῆς γαστρὸς καλοῦσιν, ὡς Ἱπποκράτης καὶ Θουκυδίδης ἐν τῷ λοιμῷ λέγων οὕτως, καὶ ὁπότε εἰς τὴν καρδίαν στηρίξαι ἀνέστρεφέ τε αὐτήν, καὶ ἀποκαθάρσεις χολῆς· πᾶσαι ὁπόσαι ἀπὸ ἰατρῶν ὠνομασμέναι εἰσὶν ἐπῄεσαν. τὸ γὰρ ἀναστρεφόμενον τὸ στόμα τῆς γαστρός ἐστιν ἀναγκαζόμενον ἐμεῖν, οὐ τὸ σπλάγχνον ἡ καρδία.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΟΥΣΙΑΣ ΤΩΝ ΦΥΣΙΚΩΝ ΔΥΝΑΜΕΩΝ.

GALENI DE SVBSTANTIA FACVLTATVM NATVRALIVM FRAGMENTVM.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΒΙΒΛΙΟΥ.

Ἀρκεῖσθαι ἄχρι τοῦ πιθανοῦ προέρχεσθαι ἐν προβλήμασι, ὅσα τὴν μὲν γνῶσιν οὐκ ἀναγκαίαν ἔχει πρὸς τὴν ὑγίειαν ἢ τὰς ἠθικὰς ἀρετάς.

ARGVMENTVM LIBRI.

Satis eſſe ad probabilitatem vſque prouehi in problematis, quæ neque ad ſanitatem, neque ad morales virtutes neceſſariam cognitionem habent.

AC quiſquam fortaſſis eorum, qui aſſerunt calida quidem eſſe animalia, frigidas verò plantas controuerſia dignum exiſtimabit; haud intelligens, quod vbi quis accuratiùs ediſſerit, id omne, quod quæſito conſequens eſt, ad perfectam vſque cognitionem perſequitur; vbi verò de re quapiam alia cogitat obiter, de his ſatis eſt, ſi dicat calidum aut frigidum, quod peruium eſt ſenſui. Plato igitur ipſe animata quidem ſemper appellat animalia; lapides verò, & herbas, &

C ΚΑΙ τις ἴσως δόξει διαφωνίας ἀξιόλογον εἶναι τῶν λεγόντων θερμὰ μὲν εἶναι τὰ ζῶα, ψυχρὰ δὲ τὰ φυτά, μὴ γινώσκων, ὡς ὅταν μὲν ἀκριβέστερόν τις ἐπεξέρχηται, πᾶν τὸ ἀκόλουθον ζητουμένῳ ἄχρι τῆς ἐσχάτης ἐπιστήμης· ὅταν δὲ περί τινος ἄλλου πράγματος σκοπούμενος ἐν παρέργῳ, περὶ τούτων τὸ πρὸς τὴν πρόχειρον αἴσθησιν θερμόν, ἢ ψυχρὸν λέγων ἀρκεῖται. Πλάτων γοῦν αὐτὸς ἔμψυχα μὲν ἀεὶ λέγει τὰ ζῶα, τοὺς λίθους δέ, καὶ τὰς πόας, καὶ

τὰ ξύλα, καὶ καθόλου φάναι τὰ φυτὰ πάντα τῶν ἀψύχων σωμάτων εἶναί φησιν. ἀλλ' ὅταν ἐν Τιμαίῳ τὴν φυσικὴν θεωρίαν ὀλιγίστοις ἀκροαταῖς, κατακολουθεῖν ἐπιστημονικοῖς λόγοις δυναμένοις, ἀποχωρήσας τῶν τοῖς πολλοῖς δοκούντων, εἰς ὅλον τὸν κόσμον ἐκτετάσθαι λέγει τὴν ψυχὴν αὐτοῦ διαφωνίαν, οὐ χρὴ τοῦτο νομίζειν εἶναι τοῦ ἀνδρὸς ἑαυτῷ τἀναντία λέγοντος, ὥσπερ οὐδ' Ἀριστοτέλους ἢ Θεοφράστου, τὰ μὲν τοῖς πολλοῖς γεγραφότων, τὰς δὲ ἀκροάσεις, τοῖς ἑταίροις. ὅταν γὰρ τι τῶν ἐκφευγόντων ἅπασαν αἴσθησιν δόγμα πολλῶν λόγων δεόμενον εἰς ἀπόδειξιν ἀκαίρως λέγηται, προσκρούει τοῖς ἀκούουσιν. οὔκουν χρὴ περὶ τῶν τοιούτων ἀποφαίνεσθαι, πρὶν τοῦ κατὰ βραχὺ διὰ μακρᾶς ἀποδείξεως ἐπὶ τὸ συμπέρασμα τοῦ λόγου παντὸς ἀφικέσθαι. οὐδὲ διὰ τῶν λίθων, καὶ τῶν ὀστράκων, καὶ τῆς ψάμμου, καὶ τῶν καταφλεγομένων ἢ σηπομένων νεκρῶν ζώων τὴν τοῦ κόσμου διήκειν ψυχήν. εἰ γὰρ ἁπλῶς οὕτως ἀναφανδὸν ἀκουόντων τῶν πολλῶν, ὁ Πλάτων εἶπέ τι τοιοῦτον, κατεγίνωσκον ἂν οἱ προϊόντες αὐτοῦ πάντες. ἐγὼ δὴ οὖν ἀφ' ὧν μὲν κινούμενος ἐπὶ τὴν δόξαν ταύτην ἀφίκετο, δι' ἑτέρων ὑπομνημάτων ἐδήλωσα, μὴ συναποφηνάμενος αὐτῷ ἢ διατεινόμενος. οὐδὲ γὰρ αὐτὸς ἐκεῖνος οὕτως ἀποφαίνεται τὰ τῆς φυσικῆς θεωρίας, ἀλλ' ἄχρι τοῦ πιθανοῦ, καὶ εἰκότως αὐτὴν προέρχεσθαί φησιν. ὅτι μέντοι τὰ φυτὰ κινήσεως ἀρχὴν ἐν αὑτοῖς ἔχει, καὶ τὴν τῶν οἰκείων τε, καὶ ἀλλοτρίων αἴσθησιν, ἀληθὲς εἶναι νομίζω, λέγειν δὲ ἀκαίρως τὰ τοιαῦτα φυλάττομαι μᾶλλον ἢ αὐτὸς ἐκεῖνος. ἀλλ' ἐάν ἔρηταί μέ τις, τί πλεονεκτεῖ τῶν φυτῶν τὰ ζῶα, τήν τε αἴσθησιν λέγω, καὶ τὴν καθ' ὁρμὴν κίνησιν καὶ τὰς τε δυνάμεις, ἃς εἶπον ἄρτι, τήν τε ἑλκτικὴν, καὶ τὴν ἀποκριτικὴν, καὶ τὴν καθεκτικήν τε καὶ ἀλλοιωτικὴν, οὐ ψυχικὰς, ἀλλὰ φυσικὰς ὀνομάζων, μηδὲν ἐκ τούτου, μήτε τὴν ἰατρικὴν τέχνην, μήτε τὴν ἠθικὴν φιλοσοφίαν βλαπτομένην ὁρῶν. ὅταν δὲ τῆς ἠθικῆς φιλοσοφίας τὸ φυσικὸν μέρος, ὁποῖόν τι Πλάτων ἡγεῖται, λέγειν ἀναγκαῖόν μοι γίγνηται, τινὰ μὲν ἄντικρυς ἐπαινῶ, καὶ συναποφαίνομαι τῷ ἀνδρί. περὶ τινων δὲ ἄχρι τοῦ πιθανοῦ προέρχομαι, καθάπερ ἐπ' ἐνίων ἀπορῶ παντάπασιν, οὐδεμίαν ἔχων ῥοπὴν ἐπὶ τῶν διαφωνουμένων, ὡς εἴη τὸ ἕτερον αὐτῶν πιθανώτερον. ὥσπερ ὅτι ψυχὴν ἔχομεν ἐπίστανται πάντες ἄνθρωποι, θεώμενοι μὲν ἐναργῶς καὶ τὰ διὰ τοῦ σώματος ἐνεργούμενα, βαδιζόντων καὶ τρεχόντων, καὶ παλαιόντων, αἰσθανομένων τε πολυειδῶς· ἐννοοῦντες δὲ καὶ τῶν ἔργων τούτων αἰτίαν τινὰ ὑπάρχειν ἔκ τινος ἀξιώματος πιστοῦ φύσει πᾶσιν ἡμῖν, καθ' ὃ μηδὲν ἀναιτίως γίνεσθαι νοοῦμεν. ἀλλὰ διὰ τὸ μὴ γινώσκειν ἥτις ἐστὶν ἡ αἰτία τῶν ἔργων τούτων, ὀνομαζομένων ἀπὸ τοῦ δύνασθαι ποιεῖν ἃ ποιεῖ, δύναμιν εἶναι τῶν γινομένων ἑκάστου ποιητικήν. οὕτω γοῦν καὶ τὴν σκαμμωνίαν ἅπαντές φασι δύναμιν ἔχειν καθαρτικὴν, ὥσπερ τὸ μέσπιλον ἐφεκτικὴν γαστρός. οἱ δὲ τὴν φυσικὴν ὀνομαζομένην ἐκπονήσαντες θεωρίαν, ἄλλως ἄλλοι πείσαντες ἑαυτούς· οἱ μὲν ἀσωμάτους τινὰς ἀπεφήναντο δυνάμεις ἐνοικεῖν ταῖς αἰσθηταῖς οὐσίαις, οἱ δὲ αὐτὰς ἐνεργεῖν τὰς οὐσίας κατ' ἰδίαν ἑκάστου φύσιν, ἤτοι γε ἐκ τῆς τῶν τεττάρων στοιχείων κράσεως γινομένην, ἢ ποιᾶς συνθέσεως τῶν πρώτων σωμάτων, ἅ τινες μὲν ἄτομα, τινὲς δὲ ἀμερῆ, τινὲς δὲ ὁμοιομερῆ φασιν εἶναι. καὶ γάρ τοι καὶ τὴν ψυχὴν ἡμῶν αὐτὴν, οἱ μὲν ἀσώματόν τινα νομίζουσιν οὐσίαν εἶναι, τινὲς δὲ πνεῦμα, καθάπερ ἄλλοι μὴ δὲ εἶναί τινα ὕπαρξιν αὐτῆς ἰδίαν, ἀλλὰ τὴν ἰδιότητα τῆς τοῦ

ligna, atque vt generatim dicam stirpes omnes inanimata esse corpora dicit. At, cum in Timæo naturalem speculationem paucissimis auditoribus scientificas rationes assequi valentibus, scribens, posthabitâ vulgi sententia, in mundum totum extensam ipsius asserit animam, sibi ipsi virum non constare ac pugnãtia dicere nequaquam putandũ est: vti neque Aristotelem aut Theophrastum qui multitudini alia, familiaribus verò ac sodalibus auscultationes conscripsere. Nam dum aliquod sensum omnem effugiens dogma, pluribus verbis vt demonstretur indigens intempestiuè recitatur, auditores offendit. Non prius igitur de eiusmodi rebus pronunciare conuenit, quàm paulatim per lõgam demonstrationem ad rationis totius conclusionem fuerit peruentum: neque mundi animam per lapides, & testas, & arenam, & flagrantia putrescentiáque animalium permeare cadauera. Nam si simpliciter, vt multi palam audiunt, quidquam id genus Plato dixisset, vtique omnes eum patrocinantes condemnarent. Ego igitur quibus ille adductus in hanc opinionem deuenerit, aliis commentariis aperui, nihil sanè ipsi consentiens aut repugnans. Neque enim ille ipse ita pronunciat quæ ad naturalem pertinent speculationem, sed vsque ad probabile ac verisimile eam progredi inquit. Quòd igitur plantæ principiũ in se motus habeant & familiarium sensum atq; alienorum, verum esse arbitror, dicere autem intempestiuè talia magis fugio quàm ille ipse. Verùm si me quis roget, quid superius animalia stirpibus habeant, respondeo & sensum & appetitionis motum & vires modò expositas, nempe attractricem & expultricem & retentricem & alteratricem: quas non animales, sed naturales voco, cum ex hoc neque medicæ arti, neque morali philosophiæ quicquam incommodi videam accedere. At vbi de naturali moralis philosophiæ parte, qualem ducit Plato, dicere mihi fuerit necesse, nonnulla quidem planè approbo ac viro suffragor: in quibusdam verò ad probabile vsque accedo: quemadmodum in quibusdam prorsus addubito, cùm in dissonis ad alterum eorum, vt quod probabilius sit, nequaquam inclinet animus. Quemadmodum nos animæ compotes esse omnes homines norunt, quippe qui tùm ea palàm vident quæ per corpus geruntur, cùm ambulamus, currimus, luctamur, ac variis modis sentimus: tum verò ex quodam nobis omnibus natura probato axiomate, quo nihil sine causa fieri æstimamus, causam horum subesse aliquam operum concipiunt animo, sed cùm quænam sit causa horum operum non intelligatur imposito inde nomine quòd facere ea possit quæ facit, vim esse rerum quæ fiunt singularum effectricem. Sic igitur omnes & scammonium alui purgandæ, vt mespilum supprimendæ facultatem obtinere dicunt. At qui naturalem (vt vocant) speculationem elaborauere, aliter alij sibi persuaserunt, alij incorporeas quasdam habitare in sensilibus substantiis facultates dixerunt, alij substantias ipsas pro sua quamque natura agere: siue ex quatuor elementorum constet temperatura, siue ex certa primorum corporum compositione, quæ aliqui atomos, alij autem insecabilia, quidam similaria inquiunt esse. Etenim nostram quoque ipsam animam, sunt qui incorpoream quandam substantiam, sunt qui spiritum, sunt alij qui ne subsistentiam quidem eius peculiarem vllam esse arbitrentur, sed corporis substantiæ pro-

prietatem eorum quæ facere nata est, dici facultates habere: cùm nullæ sint earum propria natura præditæ, sed substantia per se agens opera sua, & à se facultates ad ea quæ fiunt dicatur eorum quæ natura efficere apta est obtinere. Itaque ego medio quodam inter hos ordine meipsum statui. Nam cùm de cæteris dogmatis absolutè pronunciem, partim quòd veritatem in ipsis norim, partim quòd eius nihil nouerim in iis quæ modò recensui, vsque ad probabilitatem prouehor, satius quidem esse existimans de iis perinde atque in aliis, vti senserim, profari: haudquaquam verò mihi ipse, id quod alij faciunt, persuadens horum certam habere cognitionem quorum certam demonstrationem minimè sum consecutus. Libet igitur & de iis omnibus disserere, quæ cognitionem quidem ad corporis sanitatem, aut morales animi virtutes necessariam non habent: cæterùm decus afferent, si ita certò cognita forent, quàm ea quæ nacta sunt absolutionem in medicina ac morali philosophia: quam ego sanè vtilem esse affirmo, & quæ comparari possit ab omnibus operam nauare volentibus: ac de hoc à me scripti sunt duo libri. Nunc quod sum pollicitus, præstabo, vtique hinc initio desumpto. Corpora quidem quæ apud nos sunt, ex quatuor elementorum temperatura conflari vniuersa certò me scire dico: & præterea ex ipsis per se tota temperatis, non vt putabat Empedocles, in exiguas partes comminutis. Num autem se totas peruadentibus corporeis inuicem substantiis, an solis qualitatibus, neque cognitu necessarium arbitror, neque pronuncio. Cæterùm qualitatibus fieri temperamenta probabilius censeo. Animam verò, an immortalis corporeis mixta substantiis animalia regat, quemadmodum an vlla quoque per se animæ essentia sit, constanter nosse haudquàquam profiteor. Illud tamen mihi liquidò constat, quòd quamuis introducatur in corpora, inseruire tamen eorum naturis quæ ex certa, vt dixi, elementorum temperatione proueniunt. Atque hac in re nihil sanè medicam artem inde offensum iri puto, quòd in animæ vocata immigratione, & transmigratione exploranda hallucinemur. Namque & animam recepturum corpus idoneum esse oportet, & eo intemperie admodum alterato animam protinus digredi, tum vehementer algescente in euacuationibus sanguinis, ac refrigerantium medicaminum potionibus, cúmque ambiens aër frigidus impendiò fuerit: tum immodicè quoque per febres calescente & flammæ inspiratus, aut supra modum calefacientium medicaminum haustus. Non ita verò solùm alterata corporis temperie animam videmus ab ipso separari, sed vbi etiam priuatum omninò respiratione fuerit: cùm quædam tunc quoque alteratio fiat in corpore. Itaque si naturalis in corpore æquabilitas seruetur temperamenti, animam ab ipso separari impossibile esse mihi videor intelligere. Proinde eius essentiam scire quænam sit, neque ad morborum curationes, neque ad sanitatis tutelam necesse est, vti neque ad moralem philosophiam, actiuámque, ac ciuilem: eam enim quiuis, vt lubet, à contemplatrice distinguens nominet. Sed latius à me de his in aliis commentariis scriptum est. Cùm verò quot qualésve naturales facultates sint ostenderimus, quæstio quædam per consequentiam oboritur, quomodo familiare eas attra-

A σώματος οὐσίας, ὧν ποιεῖν πέφυκε τούτων ἔχειν λέγεσθαι δυνάμεις· οὐκ οὐσῶν τινων ἐκείνων ἰδίαν φύσιν ἐχουσῶν, ἀλλὰ τῆς ἐνεργούσης οὐσίας κατ' αὐτὴν πρὸς τὰ γινόμενα, δι' αὐτῆς τε καὶ ὑπ' αὐτῆς δυνάμεις ἔχειν λεγομένης, ὧν πέφυκε δρᾷν. ἐγὼ τοίνυν ἐν τούτοις, μέσην τινὰ τάξιν ἐμαυτὸν ἔταξα. περὶ γὰρ ἄλλων δογμάτων ἀποφαινόμενος ἁπλῶς, τῶν μὲν ὡς εἰδὼς τὴν ἐν αὐτοῖς ἀλήθειαν, τῶν δὲ ὡς οὐδὲν αὐτῆς εἰδὼς, ἐν οἷς ἄρτι διῆλθον, ἄχρι τοῦ πιθανοῦ προέρχομαι, βέλτιον μὲν εἶναι νομίζων, εἴπερ ἐγνώκειν οὕτω περὶ αὐτῶν ὡς ἀποφαίνεσθαι, καθάπερ ἐπ' ἄλλων· οὐ B μὴν ἀναπείθων ἐμαυτὸν ὥσπερ ἕτεροι βεβαίαν ἔχειν γνῶσιν, ὧν οὐκ ἔχον ἀπόδειξιν βεβαίαν. εἰπεῖν οὖν βούλομαι καὶ περὶ τῶν τοιούτων ἁπάντων, ὅσα τὴν μὲν γνῶσιν οὐκ ἀναγκαίαν ἔχει πρὸς ὑγείαν σώματος, ἢ τὰς τῆς ψυχῆς ἠθικὰς ἀρετάς. ἐπεκόσμησε δ' ἄν, εἴπερ ἐγνώσθη βεβαίως, διὰ τῶν γιγνωσκομένων ἀκριβῶς, ἀποτελούμενα κατὰ ἰατρικήν τε καὶ τὴν ἠθικὴν φιλοσοφίαν, ἣν ἐγώ φημι χρησίμην τε ἅμα, καὶ δυνατὴν εἶναι πᾶσι τοῖς βουλομένοις ἀσκῆσαι· καὶ γέγραπταί μοι περὶ τούτου δύο βιβλία. νυνὶ δὲ ὅπερ ὑπεσχόμην προσάξω, τὴν ἀρχὴν ἐνθένδε ποιησάμενος. ὅτι C μὲν ἐκ τῆς τῶν δ' στοιχείων κράσεως ἅπαντα τὰ παρ' ἡμῖν σώματα γίγνεται, βεβαίως γιγνώσκειν φημί· καὶ προσέτι δι' ὅλων αὐτῶν κεραννυμένων, οὐχ ὡς Ἐμπεδοκλῆς ἡγεῖτο κατὰ σμικρὰ μόρια καταθραυομένων. εἴτε δὲ τῶν σωματικῶν οὐσιῶν ὅλων δι' ἀλλήλων ἰουσῶν, εἴτε τῶν ποιοτήτων μόνων, οὔτ' ἀναγκαῖον εἶναί φημι γινώσκειν, οὔτε ἀποφαίνομαι. πιθανώτερον δὲ εἶναι νομίζω, κατὰ τὰς ποιότητας γίγνεσθαι τὰς κράσεις. τήν γε μὴν ψυχήν, εἰ μὲν ἀθάνατος οὖσα ταῖς σωματικαῖς οὐσίαις κεραννυμένη, τὰ ζῷα διοικεῖ, γινώσκειν βεβαίως οὐκ ἐπαγγέλλομαι, καθάπερ οὐδὲ εἰ μηδεμία D καθ' ἑαυτήν ἐστιν ἡ οὐσία ψυχῆς. ἐκεῖνο μέντοι φαίνεταί μοι σαφῶς, ὅτι κἂν εἰσοικίζηται τοῖς σώμασι, δουλεύει ταῖς φύσεσιν αὐτῶν, αἵπερ εἰσίν, ὡς ἔφην, ἐκ τῆς τῶν στοιχείων ποιᾶς κράσεως γιγνόμεναι. καὶ κατά γε τοῦτο πρὸς τὴν ἰατρικὴν τέχνην, οὐδὲν ἡγοῦμαι βλαβήσεσθαι, διὰ τὴν ἄγνοιαν τῆς καλουμένης ἐμψυχώσεώς τε καὶ μετεμψυχώσεως. ἐπιτήδειόν τε γὰρ εἶναι τὸ σῶμα χρὴ τὸ δεξόμενον τὴν ψυχήν, ἀλλοιωθέντος τε αὐτοῦ μεγάλην ἀλλοίωσιν ἐν τῇ κράσει, παραχρῆμα τὴν ψυχὴν ἐξιέναι, ψυχομένου μέντοι σφοδρῶς ἐν ταῖς κενώσεσι τοῦ αἵματος, καὶ ἐν ταῖς πόσεσι τῶν ψυχόντων φαρμά-E κων, ὅταν τε σφοδρῶς ᾖ τὸ περιέχον ψυχρόν, ἀμέτρως τεθερμαινομένου κατά τε τοὺς πυρετούς, καὶ τὰς εἰσπνοὰς τῆς φλογός, ἢ τῶν ὑπερθερμαινόντων φαρμάκων πόσεις. οὐ μόνον δὲ οὕτως ἀλλοιωθείσης τῆς κράσεως τοῦ σώματος τὴν ψυχὴν ὁρῶμεν αὐτοῦ χωριζομένην, ἀλλὰ κἀπειδὰν τῆς ἀναπνοῆς στερηθείη πάντως, κἀνταῦθά τινος γινομένης ἀλλοιώσεως κατὰ τὸ σῶμα. τηρουμένης οὖν τῆς φυσικῆς εὐκρασίας ἐν τῷ σώματι, τὴν ψυχὴν αὐτοῦ χωρισθῆναι δοκῶ μοι γινώσκειν ἀδύνατον εἶναι. καὶ διὰ τοῦτο τὴν οὐσίαν αὐτῆς, ἥ τις ἐστιν, οὐκ ἀναγκαῖον, οὔτε εἰς τὰς ἰάσεις τῶν νοσημάτων, οὔτε εἰς φυλακὴν τῆς ὑγείας F ἐπίστασθαι, καθάπερ οὐδὲ εἰς τὴν ἠθικὴν φιλοσοφίαν, πρακτικήν τε καὶ πολιτικήν. ὀνομαζέτω γὰρ αὐτὴν ἕκαστος, ὡς ἂν ἐθέλῃ, χωρίζων τῆς θεωρητικῆς. ἐπιπλέον δὲ περὶ τούτων ἐν ἑτέροις ὑπομνήμασι γέγραπταί μοι. τῶν δὲ φυσικῶν δυνάμεων ἔτι δεδειγμένων, ὁπόσαι τε καὶ ὁποῖαί εἰσι, ζήτησίς τις γίνεται κατὰ ἀκολουθίαν, ὅπως φαμὲν αὐτὰς ἕλκειν μὲν

τὸ οἰκεῖον, ἀποκρίνειν δὲ τὸ ἀλλότριον. ἀδύνατον γὰρ εἶναι φαίνεται πρὶν γνωρίσαι σαφῶς, ὁποῖον μέντοι τὸ οἰκεῖόν ἐστιν, ὁποῖον δέ τι τὸ ἀλλότριον, ἢ τὴν ὁλκὴν τῶν οἰκείων, ἢ τὴν ἀπόκρισιν τῶν ἀλλοτρίων ποιεῖσθαι. τὸ δὲ γνωρίζειν, αἰσθητικῆς δυνάμεως ἔργον εἶναι φαίνεται. διὰ τοῦτο οὖν ἐν τῷ λόγῳ τούτῳ, παρακοή τίς ἐστι, καίτοι σαφῶς εἰρηκότος τοῦ Πλάτωνος· ἕτερόν ἐστι γένος αἰσθήσεως ἐν τοῖς φυτοῖς· οἰομένων τῶν ἀκουόντων εἶναί τινα γνωριστικὴν δύναμιν ἐν αὐτοῖς τῶν οἰκείων τε καὶ ἀλλοτρίων. τούτων γὰρ μόνων ἐστὶν ἡ διάγνωσις αὐτοῖς, ἤτε καθ' ἡδονὴν, ἤτε κατ' ἀηδίαν, ἤτε κατά τινα παραπλησίαν τούτοις, ἢ ἀνάλογα τὰ παθήματα γινομένη, τῶν ἄλλων αἰσθητικῶν διαγνώσεων οὐ μετεχούσης τῆς φυτικῆς ψυχῆς. οὔτε γὰρ τῶν ὁρατῶν, οὔτε τῶν ἀκουστικῶν, οὔτε τῶν ὀσφραντῶν, οὔτε τῶν γευστῶν, οὔτε τῶν ἁπτῶν ποιοτήτων ἔχει διάγνωσιν, ἀλλὰ μόνον τῶν τρέφειν, ἢ μὴ τρέφειν δυναμένων. τὰ μὲν γὰρ τρέφειν δυνάμενα, πρὸς ἑαυτὴν ἕλκουσα, καὶ κατέχουσα, καὶ πέπτουσα, καὶ μεταβάλλουσα, πρὸς τὸ οἰκεῖον τῆς τρεφομένης οὐσίας· τὰ δὲ μὴ δυνάμενα τρέφειν, οὐ προσίεται. ὥστε μοι Πλάτων ὀρθῶς δοκεῖ λέγειν, αἴσθησιν ἔχειν τὰ φυτὰ τῶν οἰκείων τε, καὶ ἀλλοτρίων δηλονότι, καὶ κατὰ τοῦτο ζῶα προσηκόντως ἂν λεχθῆναι, μετὰ τοῦ μήτε τῆς ἐξ αὐτῶν κινήσεως ἐστερῆσθαι. ἀλλὰ μηδὲ τῆς τοιαύτης γνώσεως ἀναγκαίως οὔσης εἰς τὴν ἰατρικὴν φιλοσοφίαν, ἀρκοῦμαι διὰ τὴν ἀκολουθίαν μόνην ἄχρι τοῦ πιθανοῦ προερχόμενος, ἐπαινεῖν τὸν Πλάτωνα, καὶ ζῶα καλοῦντα τὰ φυτὰ, καὶ μετέχειν αἰσθήσεως μόνης φάσκοντα, τῆς τῶν οἰκείων τε καὶ ἀλλοτρίων διαγνωστικῆς, ἥτις ἂν ἀκριβὴς σκοπὸς τοῦ γένους τῶν ἡδέων τε, καὶ οὐχ ἡδέων οὖσα φανεῖται. δι' οὐδὲν γὰρ ἄλλο δυνατὸν εἰπεῖν ἕλκειν αὐτὰ τὸ οἰκεῖον, ἢ ἐξομοιοῦν ἑαυτοῖς, ἢ διὰ τὴν ἀπόλαυσίν τε, καὶ τὴν ἐγγινομένην αὐτοῖς ἡδονήν. ἀλλ', ὡς ἔφην, ἀρκεῖ πρὸς ἰατρικὴν ἐπίστασθαι τοῦτο μόνον, ὡς ἕλκει μὲν τὸ οἰκεῖον, ᾧπερ καὶ τρέφεται· ἀποκρίνει δὲ τὸ ἀλλότριον. ἔτι δὲ μᾶλλον εἰς φιλοσοφίαν ἠθικὴν, ἄχρηστος ἡ τῶν τοιούτων ἀκριβὴς γνῶσις, ὅθεν οὐδὲ ὁ Πλάτων αὐτῆς ἐμνημόνευσεν.

here dicamus, alienum autem ſecernere. Siquidem impoſſibile eſſe videtur, vt antequam noſcant, quale familiare ſit, quale alienum, aut attractionem faciant familiarium, aut alienorum ſecretionem: at agnoſcere ſenſoriæ facultatis munus eſſe conſtat. Ob id igitur quædam in hoc ſermone obauditio eſt: tametſi Plato apertè dixerit, *genus ſenſionis in plantis diuerſum eſt*: cùm auditores quandam eis agnoſcendorum familiarium, atque alienorum vim ineſſe exiſtiment: horum enim tantùm ipſis dignotio eſt, quæ tum per voluptatem, tum per dolorem, aut aliquos ſimiles his proportionéve conuenientes affectus progignitur, cùm ſenſilium aliarum cognitionum nequaquam particeps ſit vegetans anima. Neque enim viſibilium, neque audibilium, neque olfactilium, neque guſtabilium, neque tactilium qualitatum cognitionem obtinet, ſed eorum tantùm quæ alere vel non alere poſſunt. Nam quæ alendo ſunt, ad ſe ipſa trahit, detinet, concoquit, & immutat, ad id quod nutriendæ ſubſtantiæ familiare eſt: quæ autem nutrire non poſſunt, non admittit. Itaque rectè dicere mihi Plato videtur ſtirpes ſenſu eſſe præditas, familiarium videlicet atque alienorum: catenúſque animalia conuenienter dici, cùm non eo motu careant qui ex ipſis eſt. Sed cùm nec eiuſmodi cognitio ad medicinalem philoſophiam neceſſaria ſit, contentus ſum ſolius gratiâ conſequentiæ ad veriſimile vſque progrediens Platonem commendare, & plantas appellantem animalia & ſenſus vnius, qui familiaria quidem & aliena diſcernat, participes aſſerentem: qui (ſi exactè conſideres) iucundorum, & non iucundorum generis eſſe videbitur. Non enim alia vlla de cauſa familiare eas attrahere vel ſibi ipſis aſſimilare, quàm ob fruitionem & ingenitam eis voluptatem dicere poſſumus. Verùm ſcire hoc duntaxat, vt dixi, ad medicinam ſatis eſt, nempe attrahere familiare, quo etiam aluntur; alienum autem excernere. Cæterùm magis adhuc ad moralem philoſophiam inutilis eiuſmodi rerum exquiſita cognitio eſt: quapropter neque eius meminit.

GALENO ASCRIPTVS LIBER DE FACVLTATIBVS NOSTRVM CORPVS DISPENSANTIBVS.

ARGVMENTVM.

Triplicem facultatem esse, naturalem, vitalem, & animalem quibus humanum corpus gubernatur.

DISPENSANTES corpus nostrum facultates, quot sint numero, & quæ sit vnaquæque, & quæ in animali quælibet locum obtineat, necessarium est scire omnes medicos, ad affectus dignoscendos, & eum maximè qui obsidet ac diuexat detegendum, ac sanandum. Scire igitur oportet ipsas ex tribus prouenire partibus. Ex capite quidem eam, qua ratiocinamur, & meminimus, & sentimus, & de loco ad locum permutamur. Ex corde verò eam, qua irascimur, & percalidi sumus, & adhuc pulsum habemus in ipso corde, & in omnibus arteriis. Ex hepate autem eam, per quam nutrimur, & augemur, & cibum appetimus, & assumptum conficimus concoctione, & distributione, & sanguificatione, & appositione, & agglutinatione, & secretione, & excretione. Ad has autem suppositiones sequitur necessariò desipientias quidem, & manias, & melancholias, & phrenitides, & lethargos, & catarrhos, & apoplexias, & epilepsias, primi principij esse morbos; & omninò in eis pati caput, vel primum & solum, vel compatiens alteri parti. Febres verò alias, & epialos, & pulsuum priuationem, & malum pulsum, & frigora, & rigores, & syncopas, & marasmos, quæcunque alia talia, alterius principij esse affectus, & pati in eis ipsum cor, vel compatiens alicui alteri, & maximè ortorum ab eo, vel solo ipso secundum se male habente. Atrophias autem, & cachexias, & cacochymias, & fœdos colores, & icteros, & diarrhœas, & vrinarum immoderatas excretiones, & elephantiases, & cancros, & vniuersos hydropas tertio principio fieri patiente, vel aliquo ortorum ab eo. Spiritus autem, qui in arteriis, & corde vitalis est & nuncupatur. Qui verò in cerebro, animalis; non ceu existens substantia animæ, sed vt primum eius organum habitantis in cerebro, quicunque sit secundum substantiam. Ignorare enim eam confiteor, quum à nullo demonstrationem euidentem didicerim; solùm autem adinuenerim, complexionem cerebri oportere custodire commoderatam necessariò eos, qui meditari & viuere rectè eligunt. Sicut autem vitalis spiritus in arteriis & corde generatur, materiam habens generationis ex inspiratione & humorum vapore; ita animalis ex vitali amplius elaborato habet generationem; decens enim fuit magis omnibus eum transmutatione certissima potiri. Quocirca & velut labyrinthum telam perquam variam condidit natura prope cerebrum, retiformem plexum, diuturnam eius moram in vasis molita. Omnes verò partes corporis à cerebro habent sensum & motum, peruenientibus aliis quidem neruis ad organa sensuum ad dignotionem sensibilium; aliis autem mouentibus ea, quæcunque mouentur motu, qui secundum impetum. Cerebrum quidem non sensile organum à natura, sed sensuum, factum est. Hæc igitur sufficiant ad præsens. Generatio verò animalis, dispensatio à tribus principiis consistit. Vno quidem eo, quod in capite locatum est, cuius sunt opera secundum se quidem, phantasia, & memoria, & reminiscentia, & scientia, & intellectus, & excogitatio; ad aliquid verò, sensus particulis animalis sentientibus, & eis quæ mouentur secundum impetum, motum præstare. Alio autem eo quod in corde situm est; cuius opera secundum se quidem modo est velut vigor animæ, & permansio in iis, quæ ratio iusserit, & inuicta constantia: secundum passionem verò, velut ebullitio innati caloris, desiderante tunc anima punire eum, qui existimatur iniuriam fecisse, & hoc vocatur ira; ad aliquid autem, principium caloris esse iis, quæ secundum partem sunt particulis, & arteriis motionis pulsatilis. Tertij verò principij firmati in hepate sunt omnia, quæ secundum nutritionem animalis; quorum maximum in nobis, & in omnibus ferè animalibus, est sanguinis generatio. Huius autem potentiæ est, & delectabilium fruitio, in qua cum vehementiùs quàm deceat mouetur, intemperantiam & incontinentiam efficit.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΥΝΑΜΕΩΝ ΦΥΣΙΚΩΝ ΒΙΒΛΙΑ ΤΡΙΑ.

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

GALENI DE NATVRALIBVS FACVLTATIBVS LIBRI TRES.

LIBER PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΠΡΩΤΩι.

Τὸν φυσικῶν δυνάμεων ἀριθμὸν, καὶ τὰ ἔργα ζητεῖ· καὶ ἐν πρώτῳ μὲν τῷ βιβλίῳ περὶ τῆς γεννητικῆς τε, καὶ τῆς αὐξητικῆς δυνάμεως, καὶ περὶ τῆς θρέψεως· τοὺς δὲ παλαιοὺς ἐλέγχει περὶ τῆς ἑλκτικῆς δυνάμεως.

ARGVMENTVM LIBRI PRIMI.

Naturæ facultatum numerum & officia inquirit; ac in primo quidem libro agit de facultate generatrice, de auctrice, ac de nutritione; antiquos autem redarguit de attractrice facultate.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἡ διαφορὰ τῶν τῆς φύσεώς τε, καὶ τῆς ψυχῆς ἔργων.

ΕΠΕΙΔΗ τὸ μὲν αἰσθάνεσθαί τε, καὶ κινεῖσθαι κατὰ προαίρεσιν ἴδια τῶν ζώων ἐστὶ, τὸ δ' αὐξάνεσθαί τε, καὶ τρέφεσθαι κοινὰ καὶ τοῖς φυτοῖς, εἴη ἂν τὰ μὲν πρότερα τῆς ψυχῆς, τὰ δὲ δεύτερα τῆς φύσεως ἔργα. εἰ δέ τις καὶ τοῖς φυτοῖς ψυχῆς μεταδίδωσι, καὶ διαιρούμενος αὐτὰς, ὀνομάζει φυτικὴν μὲν ταύτην, αἰσθητικὴν δὲ τὴν ἑτέραν. λέγει μὲν οὐδ' οὗτος ἄλλα, τῇ λέξει δ' οὐ πάνυ τῇ συνήθει χρῆται. ἀλλ' ἡμεῖς γε μεγίστην λέξεως ἀρετὴν σαφήνειαν εἶναι πεπεισμένοι, καὶ ταύτην εἰδότες ὑπ' οὐδενὸς οὕτως, ὡς ὑπὸ τῶν ἀήθων ὀνομάτων διαφθειρομένην, ὡς τοῖς πολλοῖς ἔθος, οὕτως ὀνομάζοντες, ὑπὸ μὲν ψυχῆς τε ἅμα, καὶ φύσεως τὰ ζῶα διοικεῖσθαί φαμεν, ὑπὸ δὲ φύσεως μόνης τὰ φυτά. καὶ τό γ' αὐξάνεσθαί τε, καὶ τρέφεσθαι, φύσεως ἔργα φαμὲν, οὐ ψυχῆς.

CAPVT PRIMVM.

Differentia operum naturæ & animæ.

QVVM & ſentire quidem, & moueri voluntariè, propria animalium ſint; augeri verò & nutriri plantis etiam communia; erunt vtique priora quidem animæ, poſteriora verò naturæ ipſius opera. Quòd ſi quis plantis quoque animam impertiat; atque ipſas ſeparans, hanc vegetantem, illam ſentientem appellet; neque hic quidem alia dicit, dictione tamen vtitur non admodum conſueta. Nos verò perſpicuitatem maximam eſſe dictionis virtutem perſuaſi, atque cognoſcentes eam nulla perinde re, atque inuſitatis nominibus corrumpi, prout vulgus hominum conſueuit ita nominantes, animal quidem ab anima ſimul, & natura gubernari dicimus, ſtirpes verò, à ſola natura; tum auctionem, ac nutritionem naturæ eſſe opera, animæ nequaquam.

CAPVT II.

Totius operis Propositum; & Vocum quarum hîc futurus est vsus explicatio.

ET in hoc quidem opere perquiremus, à quibus facultatibus illa ipsa, & si quid aliud naturæ opus est proueniant. Verùm priùs distinguere oportet, & manifestè singula, quibus in hoc opere vsuri sumus, & ad cuius rei significationem accipimus nomina declarare. Id autem quamprimum euadet naturalium operum doctrina, cum ipsis nominum interpretationibus. Ergo quum corpus aliquod nihil in iis quæ prius ipsi affuerunt immutatur, quiescere id dicimus; quòd si in aliquo ab iis recessit, secundum illud, id moueri. Itaque quum multis modis corpus à statu, *in quo erat*, recedat, multis etiam modis mouebitur. Nam si quid ex albo nigrum, aut ex nigro fiat album, id mouetur in colore; & si quid prius dulce, postea fiat austerum, vel contra ex austero dulce, id quoque in sapore moueri dicitur; ambo autem genera, tum hæc, tum verò quæ priùs sunt dicta, in qualitate moueri dicentur. Nec ea modò, quæ in colore, & sapore mutantur, moueri dicimus; sed etiam, si quid ex calidore fit frigidius, aut ex frigidiore calidius, id quoque moueri affirmamus; non minus sanè, & siquid ex sicco fiat humidum, aut ex humido siccum. Commune autem his omnibus nomen alteratio est, vnum id quoque motus genus. Alterum genus in corporibus iis est, quæ situm mutant, atque ex alio loco in alium cedere dicuntur; huic generi latio nomen est. Atque ij quidem duo motus simplices, ac primi sunt; auctio verò & diminutio ex iis compositi, illa quum ex minori maius fit; hæc quum ex maiori minus, propriam seruans formam. Alij autem ab iis motus sunt, generatio, & corruptio, generatio quidem ad substantiam mutatio, corruptio illi contraria. Omnibus iis motibus communis est prioris status immutatio; sicut è diuerso quieti, prioris status conseruatio. Porrò quòd cibi in sanguinem versi ad visus, gustus, tactusque iudicium immutentur, id quidem concedunt, quòd autem ita re vera sit, non assentiuntur sophistæ. Quippè sunt ex iis, qui omnia id genus nostrorum sensuum aliàs scilicet aliter affectorum, deceptiones esse, seductionésque existiment; nec ipsam, quæ subiicitur, substantiam, quicquam ex iis, quibus denominata est, admittere. Alij verò esse quidem in ipsa natura qualitates assentiuntur: cæterùm immutabiles has esse, inalterabilésque in omne æuum; quæ autem alterationes in ea apparent, has secretione, ac concretione accidere aiunt; quemadmodum Anaxagoras. Ergo si ad hos refellendos digrediar, plus operæ in accessorio, quàm in proposito, sumam. Etenim si ignorant, quæ de ea alteratione, quæ per totam fit substantiam, Aristoteli, ac post ipsum Chrysippo sunt prodita, hortandi sunt, vt eorum scripta reuoluant; sin ea noscentes, sua sponte pro melioribus deteriora sequuntur, nostra planè inepta existimabunt. Quòd autem & Hippocrates, qui Aristotelem ætate præcessit, ita sicut Aristoteles, censuit, alibi ostensum est à nobis. Primus enim is omnium tum medicorum, tum verò philosophorum nouimus, demonstrare tentauit quatuor

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἡ τοῦ ὅλου λόγου ὑπόθεσις, καὶ ἡ τῶν ὀνομάτων ὧν ἐνταῦθα χρῆσις ἐσομένη ἐστὶν, ἐξήγησις.

ΚΑὶ ζητήσομεν κατὰ τόνδε τὸν λόγον ὑπὸ τίνων γίνεται δυνάμεων αὐτά γε ταῦτα, καὶ εἰ δή τι ἄλλο φύσεως ἔργον ἐστίν. ἀλλὰ πρότερόν γε διελέσθαι τε χρὴ, καὶ μηνῦσαι σαφῶς ἕκαστον τῶν ὀνομάτων, οἷς χρησόμεθα κατὰ τόνδε τὸν λόγον, καὶ ἐφ' ὅτι φέρομεν πρᾶγμα. γενήσεται δὲ τοῦτο εὐθὺς ἔργων φυσικῶν διδασκαλία, σὺν ταῖς τῶν ὀνομάτων ἐξηγήσεσιν. ὅταν οὖν τι σῶμα κατὰ μηδὲν ἐξαλλάττηται τῶν προϋπαρχόντων, ἡσυχάζειν αὐτὸ φαμέν· εἰ δ' ἐξίσταταί πῃ τοῦτο, κατ' ἐκεῖνο κινεῖσθαι. καὶ τοίνυν ἐπεὶ πολυειδῶς ἐξίσταται, πολυειδῶς κινηθήσεται. καὶ γὰρ εἰ λευκὸν ὑπάρχον μελαίνοιτο, καὶ εἰ μέλαν λευκαίνοιτο, κινεῖται κατὰ χρόαν. καὶ εἰ γλυκὺ τέως ὑπάρχον, αὖθις αὐστηρὸν, ἢ ἔμπαλιν ἐξ αὐστηροῦ γλυκὺ γίνοιτο, καὶ τοῦτ' αὖ κινεῖσθαι λέγοιτο κατὰ τὸν χυμόν. ἄμφω δὲ ταῦτά τε, καὶ τὰ προειρημένα, κατὰ ποιότητα κινεῖσθαι λεχθήσεται. καὶ οὐ μόνον γε κατὰ τὴν χρόαν, καὶ τὸν χυμὸν ἐξαλλαττόμενα κινεῖσθαί φαμεν, ἀλλὰ καὶ τὸ θερμότερον ἐκ ψυχροτέρου γινόμενον, ἢ ψυχρότερον ἐκ θερμοτέρου, κινεῖσθαι καὶ τοῦτο λέγομεν, ὥσπερ γε καὶ εἴ τι ξηρὸν ἐξ ὑγροῦ, ἢ ὑγρὸν ἐκ ξηροῦ γένοιτο. κοινὸν δὲ κατὰ τούτων ἁπάντων ὄνομα φέρομεν τὴν ἀλλοίωσιν, ἕν τι τοῦτο γένος κινήσεως. ἕτερον δὲ γένος, ἐπὶ τοῖς τὰς χώρας ἀμείβουσι σώμασι, καὶ τόπον ἐκ τόπου μεταλλάττειν λεγομένοις. ὄνομα δὲ καὶ τούτῳ φορά. αὗται μὲν οὖν αἱ δύο κινήσεις, ἁπλαῖ καὶ πρῶται. σύνθετοι δ' ἐξ αὐτῶν, αὔξησίς τε καὶ φθίσις, ὅταν ἐξ ἐλάττονός τι μεῖζον, ἢ ἐκ μείζονος ἔλαττον γίνηται φυλάττον τὸ οἰκεῖον εἶδος. ἕτεραι δὲ δύο κινήσεις γένεσις, καὶ φθορά. γένεσις μὲν ἡ εἰς οὐσίαν ἀγωγή, φθορὰ δὲ ἡ ἐναντία. πάσαις δὲ ταῖς κινήσεσι κοινὸν, ἡ ἐξάλλαξις τοῦ προϋπάρχοντος· ὥσπερ οὖν καὶ ταῖς ἡσυχίαις ἡ φυλακὴ τῶν προϋπαρχόντων. ἀλλ' ὅτι μὲν ἐξαλλάττεται, καὶ πρὸς τὴν ὄψιν, καὶ πρὸς τὴν γεῦσιν, καὶ πρὸς τὴν ἁφὴν, αἷμα γινόμενα τὰ σιτία, συγχωροῦσιν. ὅτι δὲ καὶ κατ' ἀλήθειαν, οὐκέτι τοῦθ' ὁμολογοῦσιν οἱ σοφισταί. οἱ μὲν γάρ τινες αὐτῶν ἅπαντα τὰ τοιαῦτα τῶν ἡμετέρων αἰσθήσεων ἀπάτας τινὰς, καὶ παραγωγὰς εἶναι νομίζουσιν, ἄλλοτε ἄλλως πασχουσῶν, τῆς ὑποκειμένης οὐσίας μηδὲν τούτων οἷς ἐπονομάζεται δεχομένης. οἱ δέ τινες εἶναι μὲν ἐν αὐτῇ βούλονται φύσει τὰς ποιότητας, ἀμεταβλήτους δὲ, καὶ ἀτρέπτους ἐξ αἰῶνος εἰς αἰῶνα. καὶ τὰς φαινομένας ταύτας ἀλλοιώσεις ἐν αὐτῇ τῇ διακρίσει τε, καὶ συγκρίσει γίνεσθαί φασιν, ὡς Ἀναξαγόρας. εἰ δὴ τούτους ἐκτραπόμενος ἐλέγχοιμι, μεῖζον ἄν μοι τὸ πάρεργον τοῦ ἔργου γένοιτο. εἰ μὲν γὰρ οὐκ ἴσασιν ὅσα περὶ τῆς καθ' ὅλην τὴν οὐσίαν ἀλλοιώσεως Ἀριστοτέλει τε, καὶ μετὰ τοῦτον Χρυσίππῳ γέγραπται, παρακαλέσαι χρὴ τοῖς ἐκείνων αὐτοὺς ὁμιλῆσαι γράμμασιν. εἰ δὲ γινώσκοντες, ἔπειθ' ἑκόντες, τὰ χείρω πρὸ τῶν βελτιόνων αἱροῦνται, μάταια δήπου καὶ τὰ ἡμέτερα νομιοῦσιν. ὅτι δὲ καὶ Ἱπποκράτης οὕτως ἐγίνωσκεν, Ἀριστοτέλους ὢν ἔτι πρότερος, ἐν ἑτέροις ἡμῖν ἐπιδέδεικται. πρῶτος γὰρ οὗτος ἁπάντων, ὧν ἴσμεν, ἰατρῶν τε καὶ φιλοσόφων, ἀποδεικνύειν ἐπεχείρησε, τέτταρας

εἶναι τὰς πάσας δραστικὰς εἰς ἀλλήλας ποιότητας, ὑφ᾽ ὧν γίνεταί τε καὶ φθείρεται πάνθ᾽ ὅσα γενέσιν τε καὶ φθορὰν ἐπιδέχεται. καὶ μέντοι καὶ τὸ κεράννυσθαι δι᾽ ἀλλήλων ὅλας αὐτὰς δι᾽ ὅλων, Ἱπποκράτης ἁπάντων ὧν ἴσμεν πρῶτος ἔγνω. καὶ τὰς ἀρχὰς τῶν ἀποδείξεων, ὧν ὕστερον Ἀριστοτέλης μετεχειρίσατο, παρ᾽ ἐκείνῳ προτέρῳ γεγραμμένας ἐστὶν εὑρεῖν. εἰ δ᾽ ὥσπερ τὰς ποιότητας, οὕτω καὶ τὰς οὐσίας δι᾽ ὅλων κεράννυσθαι χρὴ νομίζειν, ὡς ὕστερον ἀπεφήνατο Ζήνων ὁ Κιττιεὺς, οὐχ ἡγοῦμαι δεῖν ἔτι περὶ τούτου κατὰ τόνδε τὸν λόγον ἐπεξιέναι, μόνην γὰρ εἰς τὰ παρόντα δέομαι γινώσκεσθαι, τὴν δι᾽ ὅλης τῆς οὐσίας ἀλλοίωσιν, ἵνα μή τις ὀστοῦ, καὶ νεύρου, καὶ σαρκὸς, καὶ τῶν ἄλλων ἑκάστου μορίων οἷον ἐς μισγάγκειαν τινα τῷ ἄρτῳ νομίσῃ περιέχεσθαι, κἄπειτα ἐν τῷ σώματι διακρινόμενον, πρὸς τὸ ὁμόφυλον ἕκαστον ἰέναι. καίτοι πρό γε τῆς διακρίσεως, αἷμα φαίνεται γινόμενος ὁ πᾶς ἄρτος. εἰ γοῦν παμπόλλῳ τις χρόνῳ, μηδὲν ἄλλο εἴη σιτίον προσφερόμενος, οὐδὲν ἧττον ἐν ταῖς φλεψὶν αἷμα περιεχόμενον ἕξει. καὶ φανερῶς τοῦτο τὴν τῶν ἀμετάβλητα τὰ στοιχεῖα τιθεμένων ἐξελέγχει δόξαν. ὥσπερ γ᾽, οἶμαι, καὶ τοὔλαιον εἰς τὴν τοῦ λύχνου φλόγα καταναλισκόμενον ἅπαν, καὶ τὰ ξύλα πῦρ μικρὸν ὕστερον γινόμενα. καίτοι τό γ᾽ ἀντιλέγειν αὐτοῖς ἠρνησάμην, ἀλλ᾽ ἐπεὶ τῆς ἰατρικῆς ὕλης ἦν τὸ παράδειγμα, καὶ χρῄζω πρὸς τὸν παρόντα λόγον αὐτοῦ, διὰ τοῦτ᾽ ἐμνημόνευσα. καταλιπόντες οὖν, ὡς ἔφην, τὴν πρὸς τούτους ἀντιλογίαν, τοῖς βουλομένοις τά τε παρὰ τῶν παλαιῶν ἐκμανθάνειν, κἀξ ὧν ἡμεῖς ἰδίᾳ περὶ αὐτῶν ἐπεσκέμμεθα τὸν ἑξῆς λόγον ἅπαντα ποιησόμεθα, ζητοῦντες ὑπὲρ ὧν ἐξ ἀρχῆς προὐθέμεθα, πόσαι τε καὶ τίνες εἰσὶν αἱ τῆς φύσεως δυνάμεις, καὶ τί ποιεῖν ἔργον ἑκάστη πέφυκεν. ἔργον δὲ δηλονότι καλῶ τὸ γεγονὸς ἤδη, καὶ συμπεπληρωμένον ὑπὸ τῆς ἐνεργείας αὐτῶν, οἷον τὸ αἷμα, τὴν σάρκα, καὶ τὸ νεῦρον. ἐνέργειαν δὲ, τὴν δραστικὴν ὀνομάζω κίνησιν· καὶ τὴν ταύτης αἰτίαν, δύναμιν. ἐπεὶ γὰρ ἐν τῷ τὸ σιτίον αἷμα γίνεσθαι, παθητικὴ μὲν ἡ τοῦ σιτίου, δραστικὴ δ᾽ ἡ τῆς φλεβὸς γίνεται κίνησις, ὡσαύτως δὲ κἀν τῷ μεταφέρειν τὰ κῶλα, κινεῖ μὲν ὁ μῦς, κινεῖται δὲ τὰ ὀστᾶ. τὴν μὲν τῆς φλεβὸς, καὶ τῶν μυῶν κίνησιν, ἐνέργειαν εἶναί φημι. τὴν δὲ τῶν σιτίων, καὶ τῶν ὀστῶν, σύμπτωμά τε, καὶ πάθημα. τὰ μὲν γὰρ ἀλλοιοῦται, τὰ δὲ φέρεται. τὴν μὲν οὖν ἐνέργειαν ἐγχωρεῖ καλεῖν, καὶ ἔργον τι φύσεως, οἷον τὴν πέψιν, τὴν ἀνάδοσιν, τὴν αἱμάτωσιν. οὐ μὴν τό γ᾽ ἔργον ἐξ ἅπαντος ἐνέργειαν. ἡ γάρ τοι σὰρξ, ἔργον μὲν ἐστὶ τῆς φύσεως, οὐ μὴν ἐνέργειά γε. δῆλον οὖν ὡς θάτερον μὲν τῶν ὀνομάτων διχῶς λέγεται, θάτερον δ᾽ οὔ.

esse omnes, quæ mutuò in se agerent qualitates; à quibus, quæ ortum & interitum admittunt, omnia gignantur, ac corrumpantur; quin etiam misceri eas mutuò totas per totas primus omnium, quos nouimus, Hippocrates agnouit; principiáque demonstrationũ, quas Aristoteles postea pertractauit, scripta apud eum priorem inuenias. Vtrum autem, sicuti qualitates, ita etiam substantias ipsas totas per totas misceri sit putandum, veluti postea Zeno Cittieus asseruit, id quidem hoc libro disquirendum non puto, quum solam alterationem, quæ per totam fit substantiam, ad ea, quæ nunc mihi sunt proposita, non ignorari postulem; ne quis ossis, nerui, carnis, & reliquorum cuiusque partes, in pane contineri veluti in quibusdam disseminatis in eo vasis autumet, ac postea in corpore separatas, singulas se ad sibi simile conferre *genus*. Quanquam certè videtur vniuersus panis ante secretionem fieri sanguis; quum si quis multò tempore nullum alium cibum assumpserit, nihilò secius sanguinem in venis contentum habuerit. Atque hoc liquidò eorum, qui immutabilia elementa statuunt, opinionem refellit; quemadmodum opinor oleum, quod in lucernæ flammam totum absumitur; & ligna, quæ paulò post fiunt ignis. Verùm disputare contra hos recusaueram; sed quia quod propositum est exemplum, ad medicinæ materiam spectat, quo etiam ad institutam disputationem est vtendum, idcirco de eo hactenus egi. Ergo missa, sicut promisi, contra istos disputatione, iis qui ea discere expetent, quæ veteres tradiderunt, idque ex iis quæ nos de illis seorsum meditati sumus, omnem deinceps sermonem faciemus, ea quæ ab initio proposuimus, quot & quæ naturæ sint facultates, tum quod opus edere singula earum sint natæ, inquirentes. Porrò opus appello, quod iam factum atque completum per earum actionem est, velut sanguinem, carnem, neruum. Actionem verò, ipsum actiuum motum; Caussam verò, à qua hæc procedit facultatem. Nam quoniam, vbi cibus sanguis fit, passiuus quidem cibi, actiuus verò ipsius venæ, fit motus; itidem in transferendis artubus mouet quidem musculus, mouentur autem ossa. Venarum & musculorum motum actionem nomino; cibi verò, & ossium, symptoma siue alterationem, ac passionem; illi enim alterantur, hæc feruntur. Et actionem quidem, licet opus quoddam naturæ appelles, ceu concoctionem, distributionem, & sanguificationem; non tamen contra, licet opus actionem omninò voces; siquidem caro naturæ opus est, non tamen est actio; patétque alterum eorum nominum bifariam dici, alterum non item.

ΚΕΦΑΛΑΙΟΝ Γʹ.

Τὴν ἐνέργειαν τῶν ἑκάστου μορίων ἀπὸ τῆς τῶν ποιοτήτων κράσεως γίνεσθαι.

Ἐμοὶ μὲν οὖν καὶ φλὲψ, καὶ τῶν ἄλλων ἁπάντων ἕκαστον, διὰ τὴν ἐκ τῶν τεττάρων ποιὰν κρᾶσιν, ὡδί πως ἐνεργεῖν δοκεῖ. εἰσὶ δ᾽ οὐκ ὀλίγοι τινὲς ἄνδρες, οὐδὲ ἄδοξοι φιλόσοφοί τε καὶ ἰατροὶ, οἱ τῷ μὲν θερμῷ, καὶ τῷ ψυχρῷ τὸ δρᾶν ἀναφέροντες, ὑποβάλλοντες δ᾽ αὐτοῖς παθητικὰ τό τε ξηρὸν, καὶ τὸ ὑγρόν. καὶ πρῶτός γ᾽ Ἀριστοτέλης

CAPVT III.

Actionem partium singularum à temperie qualitatum prouenire.

AC mihi quidem tam vena, quàm reliquarum partium singulæ, ob certam quandam temperiem, quam ex quatuor qualitatibus sunt nactæ, hoc vel illo modo agere videntur. Sunt autem non pauci viri nec incelebres, non philosophi modò, sed etiam medici, qui calido, & frigido actionem tribuunt; siccum & humidum pro patientibus, iis subiiciunt. Ac primus quidem Aristoteles

partium omnium causas referre ad hæc principia est aggressus; secutáque eum postmodum schola Stoicorum est. Quanquam his quidem, vtpote qui elementorum ipsorum mutuam mutationem ad fusionem, & densationem referant, consentaneum erat calidum, & frigidum actiua principia statuere. Aristoteli non item: sed quum quatuor qualitatibus ad elementorum generationem sit vsus, satius erat omnes partium causas in has reducere. Cur igitur in libris de generatione, & corruptione quatuor vtitur, in meteorologicis, & problematis, atque alibi tantùm duabus? Nam siquis in animalibus, & stirpibus calidum, & frigidum magis agere, siccum verò, & humidum minus dixerit, fortasse etiam Hippocratem subscriptorem habuerit. Sin pari modò in omnibus, non arbitror, id concedet non modò Hippocrates, sed nec Aristoteles; modò eorum, quæ in libris de generatione, & corruptione non simpliciter, ac nudè, sed cum demonstratione nos docuit, meminisse velit. Verùm de his etiam in opere de temperamentis, quantum medicis sit ex vsu, disquisiuimus.

A τὰς τῶν κατὰ μέρος ἁπάντων αἰτίας, εἰς ταύτας ἀνάγειν πειρᾶται τὰς ἀρχάς. ἠκολούθησε δ' ὕστερον αὐτῷ, καὶ ἀπὸ τῆς στοᾶς χορός. καίτοι τούτοις μὲν, ὡς ἂν καὶ αὐτῶν τῶν στοιχείων τὴν εἰς ἄλληλα μεταβολὴν, χύσεσί τέ τισι καὶ πιλήσεσιν ἀναφέρουσιν, εὔλογον ἦν ἀρχὰς δραστικὰς ποιήσασθαι, τὸ θερμὸν, καὶ τὸ ψυχρόν. Ἀριστοτέλει δ' οὐχ οὕτως, ἀλλὰ τέτταρσι ποιότησιν εἰς τὴν τῶν στοιχείων γένεσιν χρωμένῳ, βέλτιον ἦν καὶ τὰς τῶν κατὰ μέρος ἁπάσας αἰτίας εἰς ταύτας ἀνάγειν. τί δήποτ' οὖν ἐν μὲν τοῖς περὶ γενέσεως, καὶ φθορᾶς ταῖς τέτταρσι χρῆται, ἐν δὲ τοῖς μετεωρολογικοῖς, καὶ τοῖς προβλήμασι, καὶ ἄλλοθι πολλαχόθι, ταῖς B δύο μόναις; εἰ μὲν γὰρ ὡς ἐν ζώοις τε, καὶ φυτοῖς μᾶλλον μὲν δρᾷν τὸ θερμὸν, καὶ τὸ ψυχρὸν, ἧττον δὲ τό θ' ὑγρὸν, καὶ ξηρὸν ἀποφαίνοιτό τις, ἴσως ἂν ἔχοι καὶ τὸν Ἱπποκράτην σύμψηφον. εἰ δ' ὡσαύτως ἐν ἅπασιν, οὐκ ἔτ', οἶμαι, συγχωρήσειν τοῦτο, μὴ ὅτι τὸν Ἱπποκράτην, ἀλλὰ μηδ' αὐτὸν τὸν Ἀριστοτέλην· μεμνῆσθαί γε βουλόμενον, ὧν ἐν τοῖς περὶ γενέσεως καὶ φθορᾶς οὐχ ἁπλῶς, ἀλλὰ μετ' ἀποδείξεως αὐτὸς ἡμᾶς ἐδίδαξεν. ἀλλὰ περὶ μὲν τούτων, κἀν τοῖς περὶ κράσεων εἰς ὅσον ἰατρῷ χρήσιμον ἐπεσκεψάμεθα.

CAPVT IV.

Facultatem, Actionem, & Opus in mutua relatione intelligi; & qua methodo Facultates inuestigandæ.

Cæterùm vis ea, quam in venis sanguificam appellant, atque etiam alia quæuis facultas, in relatione ad aliquid intelligitur. Primùm enim actionis ipsius, facultas est causa; deinde etiam operis ex accidenti quodam. At verò, si causa ad aliquid (est enim vnius eius, quod ab ea fit, reliquorum nullius) planum est facultatem quoque in relatione ad aliquid dici. At quoad agentis causæ essentiam ignoramus, facultatem eam appellamus, in venis quidem facultatem quandam sanguinis effectricem dicentes, similiter in ventriculo concoctricem; in corde pulsificam, ac in singulis reliquarum partium propriam quandam eius, quam edunt, actionis. Itaque si certa ratione, & via, quot, & quæ facultates sint, inuenturi sumus, incipiendum nobis ab ipsis operibus est; vnumquodque enim illorum ab aliqua procedit actione; & harum *actionum* vnamquamque aliqua præcedit causa.

C ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τὴν δύναμιν, καὶ τὴν ἐνέργειαν, καὶ τὸ ἔργον, ἐν τῷ πρὸς ἄλληλα ἐννοεῖσθαι· καὶ ᾗ μεθόδῳ δεῖ τὰς δυνάμεις ζητεῖν.

Ἡ δ' οὖν δύναμις, ἡ ἐν ταῖς φλεψὶν, ἡ αἱματοποιητικὴ προσαγορευομένη, καὶ πᾶσα δ' ἄλλη δύναμις, ἐν τῷ πρός τι νενόηται. πρώτη μὲν γὰρ ἡ δύναμις τῆς ἐνεργείας αἰτία. ἤδη δὲ καὶ τοῦ ἔργου κατά τι συμβεβηκός. ἀλλ' εἴπερ ἡ αἰτία πρός τι, τοῦ γὰρ ὑπ' αὐτῆς γιγνομένου μόνου, τῶν δ' D ἄλλων οὐδενός, εὔδηλον ὅτι καὶ ἡ δύναμις ἐν τῷ πρός τι. καὶ μέχρι γ' ἂν ἀγνοοῦμεν τὴν οὐσίαν τῆς ἐνεργούσης αἰτίας, δύναμιν αὐτὴν ὀνομάζομεν, εἶναί τινα λέγοντες ἐν ταῖς φλεψὶν αἵματος ποιητικὴν δύναμιν. ὡσαύτως δὲ κἀν τῇ κοιλίᾳ πεπτικὴν, κἀν τῇ καρδίᾳ σφυγμικὴν, καὶ καθ' ἕκαστον τῶν ἄλλων ἰδίαν τινὰ τῆς κατὰ τὸ μόριον ἐνεργείας. εἴπερ οὖν μεθόδῳ μέλλοιμεν ἐξευρήσειν ὁπόσαι τε, καὶ ὁποῖαί τινες αἱ δυνάμεις εἰσὶν, ἀπὸ τῶν ἔργων ἡμῖν ἀρκτέον. ἕκαστον γὰρ αὐτῶν ὑπό τινος ἐνεργείας γίγνεται, καὶ τούτων ἑκάστης προηγεῖταί τις αἰτία.

E

CAPVT V.

De Operibus naturæ.

Ergo naturæ opera, dum adhuc in vtero gestatur, ac fingitur animal, omnes sunt corporis partes, edito verò in lucem, commune in omnibus naturæ opus est, earum ad perfectam magnitudinem perductio; postea verò etiam, vt omnes quantum fieri potest, perdurent, molitio. Actiones quæ tribus his operibus respondent, necessariò tres sunt, vna scilicet cuique, generatio, auctio, nutritio; verùm generatio, simplex quædam actio naturæ non est, sed ex alteratione formationéque composita. Vt enim os fiat, item neruus, vena, & reliquarum quælibet, alteratam esse oportet subiectam, vnde animal fit substantiam; vt verò idoneam figuram, & situm, & cauitates quasdam, & propagines, & coalitus,

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν τῆς φύσεως ἔργων.

Ἔργα μὲν οὖν τῆς φύσεως ἔτι μὲν κυουμένου τε, καὶ διαπλαττομένου τοῦ ζώου, τὰ σύμπαντ' ἐστὶ τοῦ σώματος μόρια. γεννηθέντος δὲ τούτου, κοινὸν ἐφ' ἅπασιν ἔργον ἡ εἰς τὸ τέλειον ἑκάστῳ μέγεθος ἀγωγὴ, καὶ μετὰ ταῦτα ἡ μέχρι τοῦ δυνατοῦ διαμονή. ἐνέργειαι δ' ἐπὶ τρισὶ τοῖς εἰρημένοις ἔργοις, τρεῖς ἐξ ἀνάγκης, ἐφ' ἑκάστῳ μία, γένεσίς τε, καὶ αὔξησις, καὶ θρέψις. ἀλλ' ἡ μὲν γένεσις, οὐχ ἁπλῆ τις ἐνέρ- F γεια τῆς φύσεως, ἀλλ' ἐξ ἀλλοιώσεώς τε, καὶ διαπλάσεώς ἐστι σύνθετος. ἵνα μὲν γὰρ ὀστοῦν γένηται, καὶ νεῦρον, καὶ φλὲψ, καὶ τῶν ἄλλων ἕκαστον, ἀλλοιοῦσθαι χρὴ τὴν ὑποβεβλημένην οὐσίαν ἐξ ἧς γίγνεται τὸ ζῶον. ἵνα δὲ καὶ σχῆμα τὸ δέον, καὶ θέσιν, καὶ κοιλότητάς τινας, καὶ ἀποφύσεις, καὶ συμφύσ

καὶ τἆλλα τὰ τοιαῦτα κτήσηται, διαπλάττεσθαι χρὴ τὴν ἀλλοιουμένην οὐσίαν, ἣν δὴ καὶ ὕλην τοῦ ζώου καλῶν, ὡς τῆς νεὼς τὰ ξύλα, καὶ τῆς εἰκόνος τὸν κηρόν, οὐκ ἂν ἁμάρτοις. ἡ δὲ δὴ αὔξησις, ἐπίδοσίς ἐστι, καὶ διάστασις εἰς μῆκος, καὶ βάθος, καὶ πλάτος τῶν στερεῶν τοῦ ζώου μορίων, ὧν περ καὶ ἡ διάπλασις ἦν. ἡ δὲ θρέψις, πρόσθεσίς ἐστι τοῖς αὐτοῖς ἄνευ διαστάσεως.

aliáque id genus habeat, effingi eam oportet, quæ alteratur, materiam; quam vtique animalis materiam appellans, veluti nauis ligna, & imaginis ceram, minimè errabis. Auctio verò solidarum animalis partium, quarum esse formationem iam diximus, augmentum diductióque in longum, latum, & profundum est. Nutritio autem iisdem partibus appositio quædã est, sed sine distensione.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ τῆς γεννητικῆς δυνάμεως.

Περὶ πρώτης οὖν τῆς γενέσεως εἴπωμεν, ἣν ἐξ ἀλλοιώσεώς τε, καὶ διαπλάσεως ἐλέγομεν γίνεσθαι. καταβληθέντος δὴ τοῦ σπέρματος εἰς τὴν μήτραν, ἢ εἰς τὴν γῆν, οὐδὲν γὰρ διαφέρει, χρόνοις τισὶν ὡρισμένοις πάμπολλα συνίσταται μόρια τῆς γεννωμένης οὐσίας, ξηρότητι, καὶ ὑγρότητι, καὶ θερμότητι, καὶ ψυχρότητι, καὶ τοῖς ἄλλοις ἅπασιν ὅσα τούτοις ἕπεται διαφέροντα. τὰ δ' ἑπόμενα γινώσκεις, εἴπερ ὅλως ἐφιλοσόφησάς τι περὶ γενέσεως καὶ φθορᾶς. αἱ λοιπαὶ γὰρ τῶν ἁπτῶν ὀνομαζομένων διαφοραί, ταῖς εἰρημέναις ἕπονται πρώτως καὶ μάλιστα. μετὰ δὲ ταύτας, αἱ γευσταί τε, καὶ ὀσφρηταί, καὶ ὁραταί. σκληρότης μὲν οὖν, καὶ μαλακότης, καὶ γλισχρότης, καὶ κραυρότης, καὶ κουφότης, καὶ βαρύτης, καὶ πυκνότης, καὶ ἀραιότης, καὶ λειότης, καὶ τραχύτης, καὶ παχύτης, καὶ λεπτότης ἁπταὶ διαφοραί, καὶ εἴρηται περὶ πασῶν Ἀριστοτέλει καλῶς. οἶσθα δὲ δήπου, καὶ τὰς ὀσφρητάς τε, καὶ ὁρατάς, καὶ γευστὰς διαφοράς, ὥστ' εἰ μὲν τὰς πρώτας τε, καὶ στοιχειώδεις ἀλλοιωτικὰς δυνάμεις ζητοίης, ὑγρότης τ' ἐστί, καὶ ξηρότης, καὶ θερμότης, καὶ ψυχρότης. εἰ δὲ τὰς ἐκ τῆς τούτων κράσεως γινομένας, τοσαῦται καθ' ἕκαστον ἔσονται ζῶον, ὅσα περ ἂν αὐτοῦ τὰ αἰσθητὰ στοιχεῖα ὑπάρχῃ. καλεῖται δ' αἰσθητὰ στοιχεῖα, τὰ ὁμοιομερῆ πάντα τοῦ σώματος μόρια. καὶ ταῦτ' οὐκ ἐκ μεθόδου τινός, ἀλλ' αὐτόπτην γενόμενον ἐκμαθεῖν χρὴ διὰ τῶν ἀνατομῶν. ὀστοῦν δή, καὶ χόνδρον, καὶ νεῦρον, καὶ ὑμένα, καὶ σύνδεσμον, καὶ φλέβα, καὶ πάνθ' ὅσα τοιαῦτα, κατὰ τὴν πρώτην τοῦ ζώου γένεσιν ἡ φύσις ἀπεργάζεται, δυνάμει χρωμένη, καθόλου μὲν εἰπεῖν τῇ γεννητικῇ τε, καὶ ἀλλοιωτικῇ. κατὰ μέρος δὲ θερμαντικῇ τε, καὶ ψυκτικῇ, καὶ ὑγραντικῇ, καὶ ξηραντικῇ, καὶ ταῖς ἐκ τῆς τούτων κράσεως γενομέναις, οἷον ὀστοποιητικῇ τε, καὶ νευροποιητικῇ, καὶ χονδροποιητικῇ. σαφηνείας γὰρ ἕνεκα, καὶ τούτοις τοῖς ὀνόμασι χρηστέον. ἔστι μὲν οὖν καὶ ἡ ἰδία σὰρξ τοῦ ἥπατος ἐκ τούτου τοῦ γένους, καὶ ἡ τοῦ σπληνός, καὶ ἡ τῶν νεφρῶν, καὶ ἡ τοῦ πνεύμονος, καὶ ἡ τῆς καρδίας. οὕτω δὲ καὶ τοῦ ἐγκεφάλου τὸ ἴδιον σῶμα, καὶ τῆς γαστρός, καὶ τοῦ στομάχου, καὶ τῶν ἐντέρων, καὶ τῶν ὑστερῶν, αἰσθητὸν στοιχεῖόν ἐστιν ὁμοιομερές τε, καὶ ἁπλοῦν, καὶ ἀσύνθετον. εἰ γὰρ ἐξέλοις ἑκάστου τῶν εἰρημένων τὰς ἀρτηρίας τε, καὶ τὰς φλέβας, καὶ τὰ νεῦρα, τὸ ὑπόλοιπον σῶμα, τὸ καθ' ἕκαστον ὄργανον, ἁπλοῦν ἐστι καὶ στοιχειῶδες, ὡς πρὸς αἴσθησιν. ὅσα δὲ τῶν τοιούτων ὀργάνων ἐκ δυοῖν σύγκειται χιτώνων, οὐχ ὁμοίων μὲν ἀλλήλοις, ἁπλοῦ δ' ἑκατέρου, τούτων οἱ χιτῶνές εἰσι τὰ στοιχεῖα, καθάπερ τῆς τε γαστρός, καὶ τοῦ στομάχου, καὶ τῶν ἐντέρων, καὶ τῶν ἀρτηριῶν. καὶ καθ' ἑκάτερόν γε τῶν χιτώνων ἰδία ἡ ἀλλοιωτικὴ δύναμις, ἡ ἐκ τοῦ παρὰ τῆς μητρὸς ἐπιμηνίου γεννήσασα τὸ μόριον. ὥστε τὰς κατὰ μέρος ἀλλοιωτικὰς δυνάμεις τοσαύτας εἶναι καθ' ἕκαστον γένος ζώου,

CAPVT VI.

De procreatrice facultate.

DE prima igitur generatione agamus, quam ex alteratione, & conformatione fieri diximus. Proiecto in vterum semine, siue etiam in terram (nihil enim refert) statis quibusdam temporibus multæ conflantur partes eius, quæ gignitur, substantiæ, humiditate, siccitate, calore, frigore, cæterisque omnibus, quæ hæc sequuntur, qualitatibus inter se differentes. Quæ autem sequantur, agnoscis, si omnino quid de generatione, & corruptione philosophatus es. Quippe primum, & maximè iam dictas sequuntur reliquæ differentiæ earum, quæ tactiles vocatæ qualitates sunt; post has verò, quæ gustus, odoratus, & visus sunt propriæ. Ac durities quidem, & mollities, & lentitia, & friabilitas, & leuitas, & grauitas, & densitas, & raritas, & asperitas, & lenitas, & crassities, & tenuitas, tactiles differentiæ sunt; de quibus omnibus Aristoteles commodissimè disseruit. Odoratus enim, visus, & gustus differentias ipse profectò nouisti: quocirca si primas, & elementares alteratrices facultates requiris, hæ sunt, humiditas, siccitas, caliditas, & frigiditas; si verò eas, quæ ex his inter se mixtis nascuntur, tot sanè omni in animali erunt, quot fuerint in eo sensibilia elementa. Porrò sensibilia appellantur elementa, quæcunque similares corporis sunt partes. Has autem non methodo vlla, sed ex dissectionibus contemplatus, oculorum inspectione noscas oportet. Ergo os, cartilaginem, neruum, membranam, ligamentum, venam, omnia denique id genus, in prima generatione animalis, natura perficit, vsa, vt generatim dicam, generatrice, alteratricéque facultate; sigillatim verò excalfactoria, refrigeratoria, humectatoria, & siccatoria; tum quæ ex harum mixtura fiunt, veluti ossifica, cartilaginifica, neruifica, membranifica, claritatis enim gratia his quoque nominibus vtendum. Est sanè huius generis, & quæ propria iecinoris est caro; nec minùs quæ lienis, & renum, & pulmonis, & cordis; ita cerebri ipsius proprium corpus, ventriculi, & gulæ, & intestinorum, & vteri, sensibile elementum est, præterea similare, simpléxque, ac compositionis expers. Si namque ex singulis eorum instrumentorum, venas, neruos, & arterias exemeris, reliquum corpus, ad sensum simplex elementaréque est. Cæterùm si quæ eiusmodi organorum ex geminis constant tunicis sibi inuicem dissimilibus, vtraque tamen simplici; horum ipsæ tunicæ elementa sunt, veluti ventris, gulæ, intestinorum, & arteriarum. Atque in vtraque tunica, sua quædam alteratrix vis est; quæ ex menstruo matris sanguine eam particulam generauit. Itaque alteratrices facultates in omni animalis genere tot sigillatim erunt,

quot

quot habet in se elementares particulas. Sed, & actiones proprias cuique sigillatim particulæ necesse est esse, quemadmodum, & vsus, veluti meatuum eorum, qui à renibus ad vesicam pertinent, qui vreteres nominantur. Hi namque nec arteriæ sunt, quia nec pulsant, nec ex duabus tunicis constant; nec venæ, quia nec sanguinem in se continent, nec similem habent ei, quæ venæ est tunicam; at à neruis quidem magis recedunt, quàm à iam dictis. Quid igitur sunt, dicat aliquis? Quasi verò necesse sit omnem corporis partem, vel arteriam, vel venam, vel neruum esse, vel ex iis componi; non autem, sicut modò dictum est, vnicuique particulatim organo suam esse substantiam. Quippe tum ambæ vesicæ, tam ea quæ vrinam, quàm quæ flauam excipit bilem, non modò à cæteris omnibus, sed etiam inter se differunt; tum meatus, qui tanquam gulæ quædam à bilis vesica exorti in iecur inseruntur, omninò nec arteriis, nec venis, nec neruis sunt similes. Verùm de his pleniùs alibi, tum in iis, quæ de dissectione secundum Hippocratem sunt scripta, diximus. At alteratrices naturæ facultates quæ particulares sunt omnes, & tunicarum ventriculi, & intestinorum, & vteri substantiam qualis est, effecerunt. Compagem verò harum ipsarum inuicem & eorum, quæ in has se inserunt, plexum: & intestinorum à sese inuicem exortum, & internæ eorum cauitatis speciem, aliáque eiusmodi, altera facultas effinxit, quam conformatricem appellamus; eandémque artificiosam esse dicimus, imò veriùs optimam, & summam artem, quæ omnia alicuius gratia moliatur, sic, vt nihil, aut ociosum sit, aut superuacaneum, aut denique ita se habens, vt possit aliter meliùs se habere. Verùm hoc, in opere de partium vsu, euidenti demonstratione firmabimus.

ὅσα περ ἐνέχει τὰ στοιχειώδη μόρια. καὶ μέντοι καὶ τὰς ἐνεργείας ἰδίας ἑκάστῳ τῶν κατὰ μέρος μορίων, ἀναγκαῖον ὑπάρχειν, ὥσπερ καὶ τὰς χρείας. οἷον καὶ τῶν ἀπὸ τῶν νεφρῶν εἰς τὴν κύστιν διηκόντων πόρων, οἳ δὴ καὶ οὐρητῆρες καλοῦνται. οὗτοι γὰρ οὔτ' ἀρτηρίαι εἰσίν, ὅτι μήτε σφύζουσι, μήτ' ἐκ δυοῖν χιτώνων συνεστήκασιν. οὔτε φλέβες, ὅτι μήθ' αἷμα περιέχουσι, μήτ' ἔοικεν αὐτῶν ὁ χιτὼν κατά τι τῷ τῆς φλεβός. ἀλλὰ καὶ νεύρων ἐπὶ πλέον ἀφεστήκασιν, ἢ τῶν εἰρημένων. τί ποτ' οὖν εἰσιν ἐρωτᾷ τις, ὥσπερ ἀναγκαῖον ἅπαν μόριον, ἢ ἀρτηρίαν, ἢ φλέβα, ἢ νεῦρον ὑπάρχειν, ἢ ἐκ τούτων πεπλέχθαι. καὶ μὴ τοῦτ' αὐτὸ τὸ νῦν λεγόμενον, ὡς ἴδιος ἑκάστῳ τῶν κατὰ μέρος ὀργάνων ἐστὶν ἡ οὐσία. καὶ γὰρ καὶ αἱ κύστεις ἑκάτεραι, ἥτε τὸ οὖρον ὑποδεχομένη, καὶ ἡ τὴν ξανθὴν χολήν, οὐ μόνον τῶν ἄλλων ἁπάντων, ἀλλὰ καὶ ἀλλήλων διαφέρουσι. καὶ οἱ εἰς τὸ ἧπαρ ἀποφυόμενοι πόροι, καθάπερ στόμαχοί τινες ἀπὸ τῆς χοληδόχου κύστεως, οὐδὲν οὔτ' ἀρτηρίαις, οὔτε φλεψίν, οὔτε νεύροις ἐοίκασιν. ἀλλὰ περὶ μὲν τούτων, ἐπὶ πλέον ἐν ἄλλοις τέ τισι, κἀν τοῖς περὶ τῆς ἀνατομῆς Ἱπποκράτους εἴρηται. αἱ δὲ κατὰ μέρος ἅπασαι δυνάμεις τῆς φύσεως, αἱ ἀλλοιωτικαί, καὶ αὐτὴν μὲν τὴν οὐσίαν τῶν χιτώνων τῆς κοιλίας, καὶ τῶν ἐντέρων, καὶ τῶν ὑστερῶν ἀπετέλεσαν οἵα πέρ ἐστι. τὴν δὲ σύνθεσιν αὐτῶν, καὶ τὴν τῶν ἐμφυομένων πλοκήν, καὶ τὴν εἰς τὸ ἕτερον τῶν ἐντέρων ἔκφυσιν, καὶ τὴν τῆς ἔνδον κοιλότητος ἰδέαν, καὶ τἆλλα ὅσα τοιαῦτα, δύναμίς τις ἑτέρα διέπλασεν, ἣν διαπλαστικὴν ὀνομάζομεν. ἣν δὴ καὶ τεχνικὴν εἶναι λέγομεν, μᾶλλον δ' ἀρίστην καὶ ἄκραν τέχνην, καὶ πάντα τινὸς ἕνεκα ποιοῦσαν, ὡς ἂν μηδὲν ἀργὸν εἶναι, μήτε περιττόν, μηδ' ὅλως οὕτως ἔχειν, ὡς δύνασθαι βέλτιον ἑτέρως ἔχειν. ἀλλὰ τοῦτο μὲν ἐν τοῖς περὶ χρείας μορίων ἀποδείξομεν.

CAPVT VII.

De Auctrice facultate.

IAm ad auctricem facultatem cõuersi, illud primum admonemus, quod non desit ne hæc quidem iis, quæ in vtero gestantur; sicuti neque facultas nutrix. Sunt tamen eo tempore prædictarum facultatum, alteratricis, ac conformatricis, hę veluti ministræ, nec sustinent ipsæ primas partes. Vbi verò perfectam magnitudinem animal est adeptum, toto postquam editum est tempore vsque ad ætatis vigorem, auctrix facultas dominatur; auxiliatrices autem, & veluti ministræ eius sunt, alteratrix, & nutrix. Quid igitur ipsius auctricis facultatis est proprium? nempe in omnem partem proferre, quæ iam genita sunt; vocantur autem sic, solidæ corporis partes, arteriæ, venæ, nerui, ossa, cartilagines, membranæ, ligamenta, denique tunicæ omnes, quas elementares, similares, & simplices paulò supra nominauimus. Ad quem autem modum omnes partes extendantur, proferantúrque, ipse narrabo; sed exemplo quodam claritatis gratia prius posito. Solent pueri acceptas suum vesicas spiritu implere, ac iuxta ignem super cineres sic eas confricare, vt incalescãt, nec tamen lædãtur; estq; is lusus in Ionia, & in aliis gentibus nõ paucis perfrequens; accinunt verò inter fricandũ versus quosdam numeroso, & cantu, & rhythmo,

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῆς αὐξητικῆς δυνάμεως.

Ἐπὶ δὲ τὴν αὐξητικὴν ἤδη μεταβάντες δύναμιν, αὐτό τε τοῦθ' ὑπομνήσωμεν πρῶτον, ὡς ὑπάρχει μὲν καὶ αὕτη τοῖς κυουμένοις, ὥσπερ καὶ ἡ θρεπτική. ἀλλ' οἷον ὑπηρέτιδές τινές εἰσι τηνικαῦτα τῶν προειρημένων δυνάμεων, ἀλλοιώσεως, καὶ διαπλάσεως, οὐκ ἐν ἑαυταῖς ἔχουσαι τὸ πᾶν κῦρος. ἐπειδὰν δὲ τὸ τέλειον ἀπολάβῃ μέγεθος τὸ ζῷον, ἐν τῷ μετὰ τὴν ἀποκύησιν χρόνῳ παντί, μέχρι τῆς ἀκμῆς, ἡ μὲν αὐξητικὴ τηνικαῦτα κρατεῖ. βοηθοὶ δ' αὐτῆς, καὶ οἷον ὑπηρέτιδες, ἥτ' ἀλλοιωτικὴ δύναμίς ἐστι, καὶ ἡ θρεπτική. τί οὖν τὸ ἴδιόν ἐστι τῆς αὐξητικῆς δυνάμεως; εἰς πᾶν μέρος ἐκτεῖναι τὰ πεφυκότα. καλεῖται δ' οὕτω τὰ στερεὰ μόρια τοῦ σώματος, ἀρτηρίαι, καὶ φλέβες, καὶ νεῦρα, καὶ ὀστᾶ, καὶ χόνδροι, καὶ ὑμένες, καὶ σύνδεσμοι, καὶ οἱ χιτῶνες ἅπαντες, οὓς στοιχειώδεις καὶ ὁμοιομερεῖς καὶ ἁπλοῦς, ὀλίγον ἔμπροσθεν ἐκαλοῦμεν. ὅτῳ δὲ τρόπῳ τὴν εἰς πᾶν μέρος ἔκτασιν ἴσχουσιν, ἐγὼ φράσω, παράδειγμά τι πρότερον εἰπὼν ἕνεκα τοῦ σαφοῦς. τὰς κύστεις τῶν ὑῶν λαβόντες οἱ παῖδες, πληροῦσί τε πνεύματος, καὶ τρίβουσιν ἐπὶ τῆς τέφρας πλησίον τοῦ πυρός, ὡς ἀλεαίνεσθαι μέν, βλάπτεσθαι δὲ μηδέν. καὶ πολλή γε αὕτη ἡ παιδιά, περί τε τὴν Ἰωνίαν, καὶ ἐν ἄλλοις ἔθνεσιν οὐκ ὀλίγοις ἐστίν. ἐπιλέγουσι δὲ δή καί τινα ἔπη, τρίβοντες, ἐμμέτρῳ τέ τινι καὶ μέλει, καὶ ῥυθμῷ,

καὶ ἔστι πάντα ταῦτα ῥήματα, παρακέλευσις τῇ κύστει πρὸς τὴν αὔξησιν. ἐπειδὰν δ' ἱκανῶς αὐτοῖς διατετάσθαι δοκῇ, πάλιν ἐμφυσῶσί τε, καὶ ἐπιδιατείνουσι, καὶ αὖθις τρίβουσι, καὶ τοῦτο πλεονάκις ποιοῦσιν, ἄχρις ἂν αὐτοῖς ἡ κύστις ἱκανῶς ἔχειν δοκεῖ τῆς αὐξήσεως. ἀλλ' ἐν τούτοις γε τοῖς ἔργοις τῶν παίδων, ἐναργῶς ὅσον εἰς μέγεθος ἐπιδίδωσιν, ἡ ἐντὸς εὐρυχωρία τῆς κύστεως, τοσοῦτον ἀναγκαῖον εἰς λεπτότητα καθαιρεῖσθαι τὸ σῶμα. καὶ εἴγε τὴν λεπτότητα ταύτην ἀνατρέφειν οἱ παῖδες οἷοί τε ἦσαν, ὁμοίως ἂν τῇ φύσει, τὴν κύστιν ἐκ μικρᾶς μεγάλην ἀπειργάζοντο. νυνὶ δὲ τοῦτ' αὐτοῖς ἐνδεῖ τὸ ἔργον, οὐδὲ καθ' ἕνα τρόπον εἰς μίμησιν ἐνδεχόμενον ἀχθῆναι, μὴ ὅτι τοῖς παισὶν, ἀλλ' οὐδ' ἄλλῳ τινὶ τῶν τελείων. μόνης γὰρ τῆς φύσεως ἴδιόν ἐστιν, ὥστ' ἤδη σοι δῆλον, ὡς ἀναγκαία τοῖς αὐξανομένοις ἡ θρέψις. εἰ γὰρ διατείνοιτο μὲν, ἀνατρέφοιτο δὲ μὴ, φαντασίαν ψευδῆ μᾶλλον, οὐκ αὔξησιν ἀληθῆ τὰ τοιαῦτα σώματα κτήσεται. καίτοι καὶ τὸ διατείνεσθαι πάντῃ, μόνοις τοῖς ὑπὸ φύσεως αὐξανομένοις ὑπάρχει. τὰ γὰρ ὑφ' ἡμῶν διατεινόμενα σώματα, κατὰ μίαν τινὰ διάστασιν τοῦτο πάσχοντα, μειοῦται ταῖς λοιπαῖς. οὐδὲ γάρ ἐστιν εὑρεῖν οὐδὲν ὃ συνεχὲς ἔτι μένον, καὶ ἀδιάσπαστον, εἰς τὰς τρεῖς διαστάσεις ἐπεκτείναι δυνάμεθα. μόνης οὖν τῆς φύσεως, τὸ πάντῃ διιστάναι, συνεχὲς ἑαυτῷ μένον, ἔτι καὶ τὴν ἀρχαίαν ἅπασαν ἰδέαν φυλάττον τὸ σῶμα. καὶ τοῦτ' ἔστιν ἡ αὔξησις, ἄνευ τῆς ἐπιρρεούσης τε καὶ προσπλαττομένης τροφῆς, μὴ δυναμένη γενέσθαι.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς θρέψεως.

Καὶ τοίνυν ὁ λόγος ἥκειν ἔοικεν ὁ περὶ θρέψεως, ὃς δὴ λοιπός ἐστι, καὶ τρίτος ὧν γ' ἐξ ἀρχῆς προὐθέμεθα. τοῦ γὰρ ἐπιρρέοντος ἐν εἴδει τροφῆς, παντὶ μορίῳ τοῦ τρεφομένου σώματος προσπλαττομένου, θρέψις μὲν ἡ ἐνέργεια, θρεπτικὴ δὲ δύναμις ἡ αἰτία. ἀλλοίωσις μὲν δὴ κἀνταῦθα τὸ γένος τῆς ἐνεργείας, ἀλλ' οὐχ οἵα περ ἐν τῇ γενέσει. ἐκεῖ μὲν γὰρ οὐκ ὂν ὀστοῦν πρότερον, ὕστερον ἐγένετο. κατὰ δὲ τὴν θρέψιν, τῷ ἤδη γεγονότι συνεξομοιοῦται τὸ ἐπιρρέον, καὶ διὰ τοῦτ' εὐλόγως ἐκείνην μὲν τὴν ἀλλοίωσιν, γένεσιν, ταύτην δ' ἐξομοίωσίν τε, καὶ ὁμοίωσιν ὀνομάζομεν.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ὅσαι κυριώταται τῆς φύσεως δυνάμεις, καὶ τὰς δεῖσθαι ταύτας ἀλλήλων εἰς ὑπηρεσίαν.

Ἐπεὶ δὲ περὶ τῶν τριῶν δυνάμεων τῆς φύσεως αὐτάρκως εἴρηται, καὶ φαίνεται μηδὲ μιᾶς ἄλλης προσδεῖσθαι τὸ ζῶον, ἔχον γε καὶ ὅπως αὐξηθῇ, καὶ ὅπως τελειωθῇ, καὶ ὅπως ἕως πλείστου διαφυλαχθῇ, δόξειε μὲν ἂν ἴσως ἱκανῶς ἔχειν ὁ λόγος οὗτος ἤδη, καὶ πάσας ἐξηγεῖσθαι τὰς τῆς φύσεως δυνάμεις. ἀλλ' εἴ τις πάλιν ἐννοήσειεν, ὡς οὐδενὸς οὐδέπω τῶν τοῦ ζώου μορίων ἐφήψατο, κοιλίας λέγω, καὶ ἐντέρων, καὶ ἥπατος, καὶ τῶν ὁμοίων, οὐδ' ἐξηγήσατο τὰς ἐν αὐτοῖς δυνάμεις, αὖθις ἂν δόξειεν, οἷον προοίμιόν τι μόνον εἰρῆσθαι τῆς χρησίμου διδασκαλίας. τὸ γὰρ σύμπαν ὧδ' ἔχει. γένεσις, καὶ αὔξησις, καὶ θρέψις, τὰ πρῶτα καὶ οἷον κεφάλαια τῶν ἔργων ἐστὶ τῆς φύσεως. ὥστε καὶ αἱ τούτων ἐργαστικαὶ δυνάμεις αἱ πρῶται, τρεῖς εἰσι, καὶ κυριώταται. δέονται δ' εἰς ὑπηρεσίαν, ὡς ἤδη λέλεκται, καὶ ἀλλήλων, καὶ ἄλλων.

Súntque ea omnia verba, adhortatio vesicæ ad incrementum. Vbi verò illis abundè videtur extensa, rursus inflant, ac magis distendunt, & iterum fricant, idque sæpius faciunt, quoad ampliata vesica satis incrementi accepisse videatur. Cæterùm in hoc puerorum opere, quantum interna vesicæ capacitas est audacta, tantum necesse est, corpus eius in tenuius sit redactum. Quòd si tenuitatem hanc sarcire pueri possent, vtique perinde, ac natura, ex parua magnam vesicam efficerent; nunc verò id opus consequi iis non licet, nec duci id in imitationem vlli iam perfectorum hominum quoquo pacto fas est, nedum pueris, id enim solius naturæ proprium munus est; adeo vt tibi constet, iis quæ augentur, necessariam esse nutritionem; quippe, si extendantur eiusmodi corpora, non tamen reficiantur, speciem quandam falsam augmenti præbuerint, verùm augmentum adepta non fuerint. Quinimo distendi in omnem partem ea tantum possunt, quæ per naturam ipsam sunt adaucta; quæ enim à nobis extensa, sicut vna dimensione id patiuntur, ita reliquis minuuntur; neque enim est inuenire quicquam, quod continuitate sua seruata, miniméque soluta, extendi in tres dimensiones possit. Solius igitur naturæ opus est, corpus, quod continuitatem suam, & speciem, quam prius habuit, vniuersam seruet, in omnem partem extendere; atque ea res auctio est, quæ sine nutrimento affluente, adhærentéque fieri nequit.

CAPVT VIII.

De Nutritione.

QVo magis de ipsa nutritione, quæ reliqua est, & tertia propositorum ab initio, videtur agendi locus. Quod enim in nutrimenti affluit specie, cum id corporis eius, quod nutritur, omni parti affigitur, actio ipsa nutritio est; nutrix verò facultas, causa est. Et alteratio quidem hîc quoque ipsius actionis genus est, non tamen talis, qualis erat in generatione. Ibi namque quod os non erat, postea factum est; in nutritione verò ei, quod iam factum est, id quod affluit, efficitur simile. Ita non immeritò alterationem illam nominamus generationem, hanc assimilationem.

CAPVT IX.

Quæ Principes sint naturæ facultates, eásque mutuo ministerio egere.

QVoniã autem de tribus naturæ facultatibus abundè diximus, videtúrque animal nullam aliam requirere, habens nimirum, quemadmodum & augeatur, & absoluatur, & plurimùm duret, videbitur abundè iam disputatio hæc suos numeros habere, omnésque naturæ facultates explicasse. Verùm, siquis rursum reputet, nullam hanc animalis partium adhuc attigisse, ventriculi dico, intestinorum, iecinoris, & aliarum eiusmodi; nec harum facultates exposuisse; rursus veluti procemium tantum vtilioris doctrinæ propositum esse putabit; quippe summa rei sic habet. Generatio, auctio, & nutritio, prima naturæ operum, ac veluti capita sunt; itaque etiam effectrices horum facultates primæ, principésque tres sunt; desiderant tamen (vt iam dictum est) tum ipsarum inter se, tum aliorum ministerium.

Ac quæ quidem generatrix, autrixque desiderent, dictum iam est; quæ autem nutrix facultas requirat, nunc dicetur.

A τίνων μὲν οὖν ἡ γεννητική τε, καὶ αὐξητικὴ δέονται, λέλεκται· τίνων δ' ἡ θρεπτική, νῦν εἰρήσεται.

CAPVT X.

Cur plurima instrumenta nutritioni seruientia natura construxerit.

VIdeor enim monstraturus tum instrumenta ipsa, quæ ad naturalem nutrimenti molitionem cōparata sunt, tum eorum facultates, propter hanc esse conditas. Nam quum actio huius facultatis assimilatio sit, nec fieri possit, vt assimilentur, mutētúrque inter se vlla, nisi societatem aliquam, cognationémque in qualitatibus habeant, idcirco primum quidem nec quodque animal quocunque cibo nutriri potest, nec statim iis, quibus potest. Atque huius necessitatis causa pluribus alterationis nutrimenti instrumentis cuique animali est opus, siquidem, vt flauum rubrum fiat, & rubrum flauum, vna, & simplici alteratione est opus; vt verò album nigrum reddatur, vel nigrum album, omnes, quæ in medio horum sunt, alterationes requiruntur. Ita, quod mollissimum est, non potest vno statim impetu durissimū fieri; nec quid durissimū, illicò mollissimum; pari modo nec quod grauissimè olet, odoratissimum; nec contra quod odoratissimum est, grauissimè fieri olens extēplò potest. Quo pacto igitur ex sanguine os fiet, nisi is prius, & crassescat plurimū, & dealbetur; aut quomodò ex pane gignetur sanguis, nisi & paulatim deponat alborem, & sensim accipiat ruborē? quippe caro ex sanguine non magno negocio fit; si enim eatenus naturæ operā crassescat, vt quandā consistentiam habeat, nec etiam sit fluidus, prima, & recens concreta caro iam existet; at verò, vt sanguis os fiat, longo huic tempore, multo etiam opere, ac mutatione est opus. Quòd autem, & pani, & multò magis lactucæ, & betæ, & similibus, quo sanguis ex iis fiat, permulta alteratio requiratur, haud est obscurum. Atque hæc quidem vna causa est, cur multa sint ad alterationem nutrimenti instituta organa. Altera autē est, excrementorū natura. Sicut enim herbis nutriri planè nō possumus, tametsi pecudes iis nutriūtur; ita radicula quidem nutrimur, verū non ita, vt carne; hanc enim totam natura nostra propemodū vincit & mutat; & alterat, ac sanguinē salubrē ex ea creat, in radicula verò, quod quidē conueniens est, & transmutari potest, quanquā ægrè planè nec sine plurima concoctione, omninò id minimum est: sed tota paulò minùs excrementosa est, & permeat concoctionis instrumenta, exiguo ex ea in venas assumpto sanguine, eóque non in totum vtili. Quare alteram rursum secretionem, eorum scilicet, quæ in venis sunt excrementorum, desiderauit natura; quibus etiam aliis opus erat viis, per quas ducerentur ad exitum, quò scilicet salubribus succis minimè officerent; præterea, quibus exciperentur, veluti receptaculis quibusdam, in quibus postquam satis magna collecta vis esset, mox excernerentur. Ergo hoc secundum partium corporis genus tibi inuentum est, quod nutrimenti excrementis sit destinatum. Est autem aliud tertium *genus*, quo vndequaque ferantur, estque id veluti viæ quædam multæ, per totum corpus sectæ, vnus namque omnibus cibis introitus per os est; at non vnum est, quod nutritur,

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Διὰ τί τὸ πλῆθος τῶν ὀργάνων θρέψεως ἕνεκεν ἡ φύσις ἐδημιούργησε.

ΔΟκῶ γάρ μοι δείξειν τὰ περὶ τὴν φυσικὴν τῆς τροφῆς οἰκονομίαν ὄργανά τε, καὶ τὰς δυνάμεις αὐτῶν διὰ ταύτην γεγονότα. ἐπεὶ γὰρ ἡ ἐνέργεια ταύτης τῆς δυνάμεως, ἐξομοίωσίς ἐστιν, ὁμοιοῦσθαι δὲ καὶ μεταβάλλειν εἰς ἄλληλα, B πᾶσι τοῖς οὖσιν ἐστὶν ἀδύνατον, εἰ μή τινα ἔχει κοινωνίαν ἤδη, καὶ συγγένειαν ἐν ταῖς ποιότησι, διὰ τοῦτο, πρῶτον μὲν οὐκ ἐκ πάντων ἐδεσμάτων πᾶν ζῶον τρέφεσθαι πέφυκεν. ἔπειτα δ' οὐκ ἐξ ὧν οἷόν τ' ἐστὶν, οὐδ' ἐκ τούτων παραχρῆμα, καὶ διὰ ταύτην τὴν ἀνάγκην, πλειόνων ὀργάνων ἀλλοιωτικῶν τῆς τροφῆς ἕκαστον τῶν ζώων χρήζει. ἵνα μὲν γὰρ τὸ ξανθὸν ἐρυθρὸν γένηται, καὶ τὸ ἐρυθρὸν ξανθόν, ἁπλῆς καὶ μιᾶς δεῖται τῆς ἀλλοιώσεως. ἵνα δὲ τὸ λευκὸν μέλαν, ἢ τὸ μέλαν λευκὸν, ἁπασῶν τῶν μεταξύ. καὶ τοίνυν τὸ μαλακώτατον, οὐκ ἂν ἀθρόως σκληρότατον γένοιτο, καὶ τὸ σκληρότατον, οὐκ ἂν εὐθέως μαλακώ- C τατον. ὥσπερ οὐδὲ τὸ δυσωδέστατον, εὐωδέστατον, οὐδ' ἔμπαλιν τὸ εὐωδέστατον, δυσωδέστατον ἐξαίφνης γένοιτο. πῶς οὖν ἐξ αἵματος ὀστοῦν ἄν ποτε γένοιτο, μὴ παχυνθέντος πρότερον ἐπὶ πλεῖστον αὐτοῦ, καὶ λευκανθέντος; ἢ πῶς ἐξ ἄρτου τὸ αἷμα, μὴ κατὰ βραχὺ μὲν ἀποθεμένου τὴν λευκότητα, κατὰ βραχὺ δὲ λαβόντος τὴν ἐρυθρότητα; σάρκα μὲν γὰρ ἐξ αἵματος γενέσθαι ῥᾷστον. εἰ γὰρ ἐς τοσοῦτον αὐτὸ παχύνειεν ἡ φύσις, ὡς σύστασίν τινα σχεῖν, καὶ μηκέτ' εἶναι ῥυτὸν, ἡ πρώτη, καὶ νεοπαγὴς οὕτως ἂν εἴη σάρξ. ὀστοῦν δ' ἵνα γένηται, πολλοῦ μὲν δεῖται χρόνου, πολλῆς δ' D ἐργασίας, καὶ μεταβολῆς τῷ αἵματι. ὅτι δὲ καὶ τῷ ἄρτῳ, καὶ πολλῷ μᾶλλον θριδακίνῃ, καὶ τεύτλῳ, καὶ τοῖς ὁμοίοις, παμπόλλης δεῖται τῆς ἀλλοιώσεως εἰς αἵματος γένεσιν, οὐδὲ τοῦτ' ἄδηλον. ἓν μὲν δὴ τοῦτ' αἴτιον, τοῦ πολλὰ γενέσθαι τὰ περὶ τὴν τῆς τροφῆς ἀλλοίωσιν ὄργανα. Δεύτερον δὲ, τῶν περιττωμάτων ἡ φύσις. ὡς γὰρ ὑπὸ βοτανῶν οὐδ' ὅλως δυνάμεθα τρέφεσθαι, καίτοι τῶν βοσκημάτων τρεφομένων, οὕτως ὑπὸ ῥαφανίδων τρεφόμεθα μὲν, ἀλλ' οὐχ ὡς ὑπὸ τῶν κρεῶν. τούτων μὲν γὰρ, ὀλίγου δεῖν ὅλων, ἡ φύσις ἡμῶν κρατεῖ, καὶ μεταβάλλει, καὶ ἀλλοιοῖ, καὶ χρηστὸν ἐξ αὐτῶν αἷμα συνίστησιν. ἐν E δὲ τῇ ῥαφανίδι, τὸ μὲν οἰκεῖόν τε, καὶ μεταβληθῆναι δυνάμενον, μόλις καὶ τοῦτο καὶ σὺν πολλῇ τῇ κατεργασίᾳ παντάπασιν ἐλάχιστον. ὅλη δ' ὀλίγου δεῖ ἐστὶν περιττωματική, καὶ διεξέρχεται τὰ τῆς πέψεως ὄργανα. βραχέος δ' ἐξ αὐτῆς εἰς τὰς φλέβας ἀναληφθέντος αἵματος, καὶ οὐδὲ τούτου τελέως χρηστοῦ. δευτέρας οὖν αὖθις ἐδέησε διακρίσεως τῇ φύσει, τῶν ἐν ταῖς φλεψὶ περιττωμάτων. καὶ χρεία καὶ τούτοις ὁδῶν τέ τινων ἑτέρων ἐπὶ τὰς ἐκκρίσεις αὐτὰ παραγουσῶν, ὡς μὴ λυμαίνοιτο τοῖς χρηστοῖς, ὑποδοχῶν τέ τινων, οἷον δεξαμενῶν, ἐν αἷς ὅταν ἱκανὸν ἀθροιζόμενον πλῆθος ἀφίκηται, F τηνικαῦτ' ἐκκριθήσεται. δεύτερον δή σοι καὶ τοῦτο γένος τῶν ἐν τῷ σώματι μορίων ἐξεύρηται, τοῖς περιττώμασι τῆς τροφῆς ἀνακείμενον. ἄλλο δὲ τρίτον, ὑπὲρ τοῦ πάντη φέρεσθαι, καθάπερ τινὲς ὁδοὶ πολλαὶ διὰ τοῦ σώματος ὅλου κατατετμημέναι, μία μὲν γὰρ εἴσοδος ἡ διὰ τοῦ στόματος, ἅπασι τοῖς σιτίοις. οὐχ ἓν δὲ τὸ τρεφόμενον,

ἀλλὰ πάμπολλά τε, καὶ πάμπολυ διεστῶτα. μὴ τοίνυν θαυμαζέτω τὸ πλῆθος τῶν ὀργάνων, ὅσα θρέψεως ἕνεκεν ἡ φύσις ἐδημιούργησε. τὰ μὲν γὰρ ἀλλοιοῦντα, παρασκευάζει τὴν ἐπιτήδειον ἑκάστῳ μορίῳ τροφὴν, τὰ δὲ διακρίνει τὰ περιττώματα, τὰ δὲ παραπέμπει, τὰ δ' ὑποδέχεται, τὰ δ' ἐκκρίνει, τὰ δ' ὁδοὶ τῆς πάντη φορᾶς εἰσι τῶν χρηστῶν χυμῶν. ὥστ' εἴπερ βούλει τὰς δυνάμεις ἁπάσας τῆς φύσεως ἐκμαθεῖν, ὑπὲρ ἑκάστου τούτων ἂν εἴη σοὶ τῶν ὀργάνων ἐπισκεπτέον. ἀρχὴ δ' αὐτῶν τῆς διδασκαλίας, ὅσα τε τοῦ τέλους ἐγγὺς ἔργα τε τῆς φύσεώς ἐστι, καὶ μόρια, καὶ δυνάμεις αὐτῶν.

sed plurima, ac plurimum inter se distantia. Ergo admirationi esse cuiquam non debebit instrumentorum numerus, quæ nutritionis gratia natura condidit. Alia namque idoneum cuique parti alimentum alterando præparant, alia secernunt excrementa, alia amandant, alia suscipiunt, alia excernunt, alia salubrium humorum in omnem partem ferendorum sunt viæ. Quare, si vniuersas naturæ facultates intelligere velis, singula iam dictorum organorum tibi sunt consideranda. Principium verò doctrinæ eorum, tum ea naturæ opera, quæ propinqua fini habentur, tum partes, partiumque facultates sunt.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν ἀναγκαίων πρὸς τὴν ἀληθῆ θρέψιν.

Αὐτοῦ δὲ δὴ πάλιν ἀναμνηστέον ἡμῖν τοῦ τέλους, οὗπερ ἕνεκα τοσαῦτά τε, καὶ τοιαῦτα τῇ φύσει δεδημιούργηται μόρια. τὸ μὲν οὖν ὄνομα τοῦ πράγματος, ὥσπερ οὖν καὶ πρότερον εἴρηται, θρέψις. ὁ δὲ κατὰ τοὔνομα λόγος, ὁμοίωσις τοῦ τρέφοντος, τῷ τρεφομένῳ. ἵνα δ' αὕτη γένηται, προηγεῖσθαι δεῖ πρόσφυσιν, ἵνα δ' ἐκείνη, πρόσθεσιν. ἐπειδὰν γὰρ ἐκπέσῃ τῶν ἀγγείων ὁ μέλλων θρέψειν ὁτιοῦν τῶν τοῦ ζώου μορίων χυμὸς, εἰς ἅπαν αὐτὸ διασπείρεται πρῶτον, ἔπειτα προστίθεται, κἄπειτα προσφύεται, καὶ τέλος ὁμοιοῦται. δηλοῦσι δ' αἱ καλούμεναι λεῦκαι τὴν διαφορὰν τῆς ὁμοιώσεώς τε, καὶ προσφύσεως. ὥσπερ τὸ γένος ἐκεῖνο τῶν ὑδέρων, ὅ τινες ὀνομάζουσιν ἀνὰ σάρκα, δείκνυσι σαφῶς πρόσθεσιν προσφύσεως. οὐ γὰρ ἐνδείᾳ δήπου τῆς ἐπιρρεούσης ὑγρότητος, ὡς ἔνιαι τῶν ἀτροφιῶν τε, καὶ φθίσεων, ἡ τοῦ τοιούτου γένεσις ὑδέρου συντελεῖται. φαίνεται γὰρ ἱκανῶς αὐτοῖς ἥ τε σὰρξ ὑγρὰ, καὶ διάβροχος, ἕκαστόν τε τῶν στερεῶν τοῦ σώματος μορίων, ὡσαύτως διακείμενον, ἀλλὰ πρόσθεσις μέν τις γίνεται τῆς ἐπιφερομένης τροφῆς. ἅτε δ' ὑδατωδεστέρας οὔσης ἔτι, καὶ μὴ πάνυ τοι κεχυμωμένης, μηδὲ τὸ γλίσχρον ἐκεῖνο καὶ κολλῶδες, ὃ δὴ τῆς ἐμφύτου θερμότητος οἰκονομίᾳ προσγίνεται κεκτημένης, ἡ πρόσφυσις ἀδύνατός ἐστιν ἐπιτελεῖσθαι, πλήθει λεπτῆς ὑγρότητος ἀπέπτου, διαρρεούσης τε, καὶ ῥᾳδίως ὀλισθαινούσης ἀπὸ τῶν στερεῶν τοῦ σώματος μορίων τῆς τροφῆς. ἐν δὲ ταῖς λεύκαις, πρόσφυσις μέν τις γίνεται τῆς τροφῆς, οὐ μὴν ἐξομοίωσίς γε. καὶ δῆλον ἐν τῷδε, ὅτι τὸ μικρῷ πρόσθεν ῥηθὲν, ὀρθῶς ἐλέγετο, τὸ δεῖν πρόσθεσιν μὲν πρῶτον, ἐφεξῆς δὲ πρόσφυσιν, ἔπειτ' ἐξομοίωσιν γενέσθαι τῷ μέλλοντι τρέφεσθαι. κυρίως μὲν οὖν τὸ τρέφον ἤδη, τροφή. τὸ δ' οἷον μὲν τροφὴ, οὔπω δὲ θρέψαν, ὁποῖόν ἐστι τὸ προσφυόμενον, ἢ τὸ προστιθέμενον, τροφὴ μὲν οὐ κυρίως, ὁμωνύμως δὲ τροφή. τὸ δ' ἐν ταῖς φλεψὶ περιεχόμενον, καὶ τούτου ἔτι μᾶλλον τὸ κατὰ τὴν γαστέρα, ὡς μέλλον ποτὲ θρέψειν, εἰ καλῶς κατεργασθείη, κέκληται τροφή. κατὰ ταῦτα δὲ, καὶ τῶν ἐδεσμάτων ἕκαστα τροφὰς ὀνομάζομεν, οὔτε τῷ τρέφειν ἤδη τὸ ζῶον, οὔτε τῷ τοιοῦτον ὑπάρχειν, οἷον τὸ τρέφον, ἀλλὰ τῷ δύνασθαί τε καὶ μέλλειν τρέφειν, εἰ καλῶς κατεργασθείη. τοῦτο γὰρ ἦν καὶ τὸ πρὸς Ἱπποκράτους λεγόμενον. τροφὴ, τὸ τρέφον, τροφὴ τὸ, οἷον τροφὴ, καὶ τὸ μέλλον. τὸ μὲν γὰρ ὁμοιούμενον ἤδη, τροφὴν ὠνόμασε,

CAPVT XI.

De ijs quæ ad veram nutritionem requiruntur.

Itaque denuò nobis reuocandus ad mẽmoriam is finis est, cuius causa tot, ac tales partes natura instituit. Et nomen quidem rei, ceu prius diximus, nutritio est; ratio verò eius nominis est, ad id, quod nutritur, eius, quod nutrit, assimilatio. Porrò, hæc vt fiat, agglutinatio siue adhærentia præcedat, oportet; sicut etiam, vt illa fiat, appositio. Postquàm enim succus is, qui omnem animalis partem nutriturus est, à vasis excidit, in totam eam primum dispergitur, mox adiungitur, deinde agglutinatur, demum assimilatur. Porrò differre inter se assimilationem, atque adhærentiam docet vitiligo illa, quæ leuce appellatur; sicuti etiam appositionis, atque agglutinationis differentiam prodit genus illud hydropis, quod nonnulli anasarca vocant. Non enim affluentis humoris inopia, veluti quæ atrophiæ dicuntur, & tabes, eiusmodi hydropis generatio prouenit (videtur enim tum caro his humida madensque esse, tum solidarum quæque partium similiter affecta) verùm affluentis nutrimenti appositio quædam fit; quod tamen propterea quod aquosius adhuc est, nec ad succum sufficienter redactum, nec lentitiam glutinisque consistentiam, quæ naturalis caloris ope prouenit, adeptum, adhærentiam consequi non valet, defluente nimirum, ac delabente, ob tenuis, & crudi humoris exuberantiam, à solidis corporis partibus nutrimento. In leuce autem, adhærentia quidem alimenti facta cernitur, non tamen assimilatio. Patétque obiter id, quod paulò supra proposuimus, rectè esse dictum, debere fieri primum quidem appositionem, mox agglutinationem, deinde ei, quod nutriendum est, assimilationem. Ac propriè quidem alimentum est, quod nutrit; quod verò veluti nutriens est, nondum tamen nutriuit, cuiusmodi scilicet est quod agglutinatur, vel quod apponitur, id propriè nutrimentum est, sed æquiuocè; quod autem in venis est, atque hoc etiam magis, quod in ventriculo est, id tanquam nutriturum aliquando sit, si probè concoctum fuerit, alimentum appellatur. Ad hunc modum edulia quæque alimenta vocamus, non vtique quòd iam animal nutriant, neque quòd talia sint, qualia sunt, quæ nutriunt; sed quòd nutritura sint, si probè sint concocta. Id namque est quod ab Hippocrate dicitur, *Alimentum, quod nutrit, quod veluti nutrimentum est; alimentum, quod nutriturum est.* Siquidem, quod iam assimilatur, alimentum appellauit,

quod veró tale est, quale illud nempe appositum agglutinatúmve genus, veluti nutrimentum; reliquum omne,siue id in venis continetur, seu ventre, futurum alimentum.

A ὃ δ' ἤδη μὲν ἐκεῖνο, προστιθέμενον, ἢ προσφυόμενον, ἐστὶ τροφή. ὃ δ' ἄλλο πᾶν ὅσον ἐν ταῖς φλεψὶ καὶ τῇ γαστρὶ περιέχεται, μέλλον.

CAPVT XII.

Positiones duæ de substantia nutritioni subiecta.

AC quòd necesse sit nutritionem esse assimilationem nutrientis ei, quod nutritur, clarè liquet. Cæterùm non esse assimilationem veram, sed tantum apparentem, dicunt ij, qui nec artificiosam naturam existimant, nec animalis habere prouidentiam, nec denique vllas proprias obtinere facultates; quibus scilicet vsa, alia trahat, alia retineat, alia alteret, alia expellat. Fueréque tum in medicina, tum in philosophia, eorum hominum, qui aliquid de natura tradiderunt, quique saltem, quod dixere intelligerent, & sequelam eorum, quæ proposuerunt, non modò intuerentur, sed etiam seruarent, duæ sectæ; siquidem, qui ne id quidem intellexerunt, sed temerè quicquid in buccam venit deblaterarunt, nec in alterutra sectarum absolutè perstiterunt, horũ ne meminisse, quidem conueniat. Quænam igitur sunt duæ illæ sectæ, & quæ in iis propositorum sequela? Nempe altera sectarum substantiam eam, quæ generationi, & corruptioni est subiecta, totam tum vnitam esse, tum alterari posse proponit; altera immutabilem, inalterabilémque, & in tenuia desectam, tum vacuitatibus quibusdam interceptam statuit. Igitur qui saltem consequentiam aliquam ex propositis in secunda secta intelligunt, hi nec naturæ, nec animæ propriam vllam substantiam aut facultatem arbitrantur, sed has primorum illorum corporum, quæ & impatibilia, & simplicia proponunt, certo quodam congressu fieri. Iuxta verò priorem sectam posterior corporibus natura non est, sed multò etiam prior, & antiquior. Proinde his auctoribus animalium, & stirpium corpora hæc fabricat, prædita quibusdam facultatibus, aliis sibi familiaria & trahentibus simul & assimilantibus, aliis aliena expellentibus. Eadem aliis quibusdam facultatibus generat omnia, & artificiosè conformat; ac iis, quæ generauit, prospicit; vna quidem, qua sobolem diligit, eidémque prouidet; alia per quam, quæ eiusdem sunt generis, complectitur, eisdémque communicat. At verò secundum alios, nec horum quicquam natura possidet, nec vlla cognitio animæ ab initio est insita, nec consequentiæ, nec pugnantiæ, nec diuisionis, nec compositionis, nec iusti, nec iniusti, nec turpis, nec honesti, sed ex sensu, & per sensum omnia, quæ fieri videntur, in nobis facta esse dicunt, ac imaginationibus quibusdam, & recordationibus animalia gubernari. Aliqui verò ex iis dicto prodiderunt nullã esse in anima, quâ ratiocinetur, facultatem; imo sensuum affectibus duci nos pecorum ritu, nec posse renuere respuerév e quicquam. Iisdem videlicet auctoribus, fortitudo, prudentia, temperantia, & continentia, nugæ sunt meræ; nec nos inuicem amamus, aut prolem; nec diis vlla nostri est cura. Iidem auguria, insomnia, portenta, omnémq; astrologiam contemnũt; de quibus ipsi alio opere seorsum pleniùs egimus, Asclepiadis medici dogmata æstimãtes. Porrò licet ei qui volet libros illos euoluere

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Δύο θέσεις περὶ τῆς τῇ θρέψει ὑποβεβλημένης οὐσίας.

ΟΤι μὲν οὖν ἀναγκαῖον ὁμοίωσιν εἶναί τινα τοῦ τρέφοντος τῷ τρεφομένῳ τὴν θρέψιν, αὐτόθεν δῆλον. οὐ μὴν ὑπάρχουσάν γε ταύτην τὴν ὁμοίωσιν, ἀλλὰ φαινομένην μόνον εἶναί φασιν, οἱ μήτε τεχνικὴν οἰόμενοι τὴν φύσιν, μήτε προνοητικὴν τοῦ ζώου, μήθ' ὅλως ἔχουσάν τινας οἰκείας δυνάμεις, αἷς χρωμένη, τὰ μὲν ἕλκει, τὰ δὲ κατέχει, τὰ δ' ἀλλοιοῖ, τὰ δ' ἐκκρίνει. καὶ δύο αὗται γεγόνασιν αἱρέσεις κατὰ γένος, ἐν ἰατρικῇ τε καὶ φιλοσοφίᾳ τῶν ἀποφηναμένων τι περὶ φύσεως ἀνδρῶν. ὅσοι γ' αὐτῶν γινώσκουσιν ὅ, τι λέγουσι, καὶ τὴν ἀκολουθίαν ὧν ὑπέθεντο θεωροῦσί τε ἅμα, καὶ διαφυλάττουσιν. ὡς ὅσοι γε μηδ' αὐτὸ τοῦτο συνιᾶσιν, ἀλλ' ἁπλῶς ὅ, τι ἂν ἐπὶ γλῶτταν ἔλθοι ληροῦσιν, ἐν οὐδετέρᾳ τῶν αἱρέσεων ἀκριβῶς καταμένοντες, οὐδὲ μεμνῆσθαι τῶν τοιούτων προσήκει. τίνες οὖν αἱ δύο αἱρέσεις αὗται, καὶ τίς ἡ τῶν ἐν αὐταῖς ὑποθέσεων ἀκολουθία; τὴν ὑποβεβλημένην οὐσίαν γενέσει καὶ φθορᾷ, πᾶσαν ἡνωμένην τε ἅμα, καὶ ἀλλοιοῦσθαι δυναμένην, ὑπέθετο θάτερον γένος τῆς αἱρέσεως. ἀμετάβλητον δὲ, καὶ ἀναλλοίωτον, καὶ κατατετμημένην εἰς λεπτὰ, καὶ κεναῖς ταῖς μεταξὺ χώραις διειλημμένην, ἡ λοιπή. καὶ τοίνυν ὅσοι γε τῆς ἀκολουθίας τῶν ὑποθέσεων αἰσθάνονται, κατὰ μὲν τὴν δευτέραν αἵρεσιν, οὔτε φύσεως, οὔτε ψυχῆς ἰδίαν τινὰ νομίζουσιν οὐσίαν, ἢ δύναμιν, ὑπάρχειν. ἀλλ' ἐν τῇ ποιᾷ συνόδῳ τῶν πρώτων σωμάτων ἐκείνων καὶ ἀπαθῶν τῶν ἁπλῶν, ἀποτελεῖσθαι. κατὰ δὲ τὴν προτέραν εἰρημένην αἵρεσιν, οὐχ ὑστέρα τῶν σωμάτων ἡ φύσις, ἀλλὰ πολλῷ προτέρα τε, καὶ πρεσβυτέρα. καὶ τοίνυν κατὰ μὲν τούτους, αὕτη τὰ σώματα τῶν ζώων καὶ τῶν φυτῶν, συνίστησι, δυνάμεις τινὰς ἔχουσα, τὰς μὲν ἑλκτικάς τε ἅμα, καὶ ὁμοιωτικὰς τῶν οἰκείων, τὰς δ' ἀποκριτικὰς τῶν ἀλλοτρίων. καὶ τεχνικῶς ἅπαντα διαπλάττει τε γεννῶσα, καὶ προνοεῖται τῶν γεννωμένων ἑτέραις αὖθις τισὶ δυνάμεσι. στοργικῇ μέν τινι, καὶ προνοητικῇ τῶν ἐκγόνων, κοινωνικῇ δὲ καὶ φιλικῇ τῶν ὁμογενῶν. κατὰ δ' αὖ τοὺς ἑτέρους, οὔτε τούτων οὐδὲν ὑπάρχει ταῖς φύσεσιν, οὔτ' ἔννοιά τίς ἐστι τῇ ψυχῇ σύμφυτος ἐξ ἀρχῆς, οὐκ ἀκολουθίας, οὐ μάχης, οὐ διαιρέσεως, οὐ συνθέσεως, οὐ δικαίων, οὐκ ἀδίκων, οὐ καλῶν, οὐκ αἰσχρῶν, ἀλλ' ἐξ αἰσθήσεώς τε, καὶ δι' αἰσθήσεως, ἅπαντα τὰ γινόμενά φασιν ἡμῖν ἐγγίνεσθαι, καὶ φαντασίαις τισὶ, καὶ μνήμαις οἰακίζεσθαι τὰ ζῶα. ἔνιοι δ' αὐτῶν καὶ ῥητῶς ἀπεφήναντο, μηδεμίαν εἶναι ψυχῇ δύναμιν ᾗ λογιζόμεθα, ἀλλ' ὑπὸ τῶν αἰσθητῶν ἄγεσθαι παθῶν ἡμᾶς, καθάπερ βοσκήματα, πρὸς μηδὲν ἀνανεῦσαι, μηδ' ἀντειπεῖν δυναμένους. καθ' οὓς δηλονότι, καὶ ἀνδρεία, καὶ φρόνησις, καὶ σωφροσύνη, καὶ ἐγκράτεια, λῆρός ἐστι μακρός. καὶ φιλοῦμεν οὔτ' ἀλλήλους, οὔτε τὰ ἔκγονα, καὶ τοῖς θεοῖς οὐδὲν ἡμῶν μέλει. καταφρονοῦσι δὲ καὶ τῶν ὀνειράτων, καὶ τῶν οἰωνῶν, καὶ τῶν συμβόλων, καὶ πάσης ἀστρολογίας, ὑπὲρ ὧν ἡμεῖς μὲν ἰδίᾳ, καὶ δι' ἑτέρου γράμματος ἐπιπλέον ἐσκέμμεθα, περὶ τῶν Ἀσκληπιάδου τοῦ ἰατροῦ σκοπούμενοι δογμάτων. ἔνεστι δὲ τῷ βουλομένῳ, κἀκείνοις μὲν ὁμιλῆσαι τοῖς λόγοις,

καὶ νῦν δὴ ἤδη σκοπεῖν ὥσπερ τινῶν δυοῖν ὁδῶν ὑποκειμένων, ὁποτέραν βέλτιόν ἐστιν ἡμῖν διατρέπεσθαι. Ἱπποκράτης μὲν γὰρ, τὴν προτέραν ῥηθεῖσαν ἐτράπετο, καθ᾽ ἣν ἥνωται μὲν ἡ οὐσία, καὶ ἀλλοιοῦται, καὶ σύμπνουν ὅλον ἐστὶ, καὶ σύρρουν τὸ σῶμα. καὶ ἡ φύσις ἅπαντα, τεχνικῶς καὶ δικαίως πράττει, δυνάμεις ἔχουσα, καθ᾽ ἃς ἕκαστον τῶν μορίων, ἕλκει μὲν ἐφ᾽ ἑαυτὸ τὸν οἰκεῖον ἑαυτῷ χυμὸν, ἕλξαν δὲ, προσφύει πάντη τῷ μέρει τῷ ἐν αὐτῷ, καὶ τελέως ἐξομοιοῖ. τὸ δὲ μὴ κρατηθὲν ἐν τούτῳ, μηδὲ τὴν παντελῆ δυνηθὲν ἀλλοίωσίν τε καὶ ὁμοιότητα τοῦ τρεφομένου καταδέξασθαι, δι᾽ ἑτέρας αὖ τινος ἀποκριτικῆς δυνάμεως ἀποτρίβεται.

nunc autem considerandum est, tanquam duabus propositis viis, vtrâ nobis præstet insistere. Hippocrates namque prius dictam iniuit, quæ vnitam esse substantiam atque alterari proponit; præterea conspirabile, & confluxile totum corpus esse: naturámque omnia artificio è, ac iustè peragere, facultatibus scilicet præditam, quibus singulæ partes conuenientem sibi succum ad se trahant, attractum verò omnibus sui partibus apponant, & penitus assimilent, quod autem interea non peruicere, quódque omnimodam alterationem, ac cum nutriendo similitudinem recipere non potuit, id alia rursus facultate secretrice, reiiciant.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Ὅτι παραπαίει Ἀσκληπιάδης περὶ τῆς ἑλκτικῆς, καὶ τῆς ἀποκριτικῆς δυνάμεως.

Μαθεῖν δ᾽ ἔνεστιν, οὐ μόνον ἐξ ὧν οἱ τἀναντία τιθέμενοι, διαφέρονται τοῖς ἐναργῶς φαινομένοις, εἰς ὅσον ὀρθότητός τε καὶ ἀληθείας ἥκει τὰ Ἱπποκράτεια δόγματα, ἀλλὰ κἀξ αὐτῶν, τῶν κατὰ μέρος ἐν τῇ φυσικῇ θεωρίᾳ ζητουμένων, τῶν τε ἄλλων ἁπάντων, καὶ τῶν ἐν τοῖς ζώοις ἐνεργειῶν. ὅσοι γὰρ, οὐδεμίαν οὐδενὶ μορίῳ νομίζουσιν ὑπάρχειν ἑλκτικὴν τῆς οἰκείας ποιότητος δύναμιν, ἀναγκάζονται πολλάκις ἐναντία λέγειν τοῖς ἐναργῶς φαινομένοις, ὥσπερ καὶ Ἀσκληπιάδης ὁ ἰατρὸς ἐπὶ τῶν νεφρῶν ἐποίησεν. οὓς οὐ μόνον Ἱπποκράτης, ἢ Διοκλῆς, ἢ Ἐρασίστρατος, ἢ Πραξαγόρας, ἤ τις ἄλλος ἄριστος, ὄργανα διακριτικὰ τῶν οὔρων ἐπεπιστεύκεισαν ὑπάρχειν, ἀλλὰ καὶ οἱ μάγειροι σχεδὸν ἅπαντες ἴσασιν, ὁσημέραι θεώμενοι τήν τε θέσιν αὐτῶν, καὶ τὸν ἀφ᾽ ἑκατέρου πόρον, εἰς τὴν κύστιν ἐμβάλλοντα, τὸν οὐρητῆρα καλούμενον, ἐξ αὐτῆς τῆς κατασκευῆς, ἀναλογιζόμενοι τήν τε χρείαν αὐτῶν, καὶ τὴν δύναμιν. καὶ πρό γε τῶν μαγείρων, ἅπαντες ἄνθρωποι δυσουροῦντες πολλάκις, ἢ καὶ παντάπασιν ἰσχουροῦντες, ὅταν ἀλγῶσι μὲν τὰ κατὰ τὰς ψόας, ψαμμώδη δ᾽ ἐξουρῶσιν, νεφριτικοὺς ὀνομάζουσι σφᾶς αὐτούς. Ἀσκληπιάδην δ᾽ οἶμαι, μηδὲ λίθον οὐρηθέντα ποτὲ θεάσασθαι, πρὸς τῶν οὕτω πασχόντων, μηδ᾽ ὡς προηγήσατο κατὰ τὰς μεταξὺ τῶν νεφρῶν καὶ τῆς κύστεως χώρας, ὀδύνη τις ὀξεῖα, διερχομένου τοῦ λίθου τῶν οὐρητήρων. μηδ᾽ ὡς οὐρηθέντος αὐτοῦ, τά τε τῆς ὀδύνης, καὶ τὰ τῆς ἰσχουρίας ἐπαύσατο παραχρῆμα. πῶς οὖν εἰς τὴν κύστιν τῷ λόγῳ παράγει τὸ οὖρον, ἄξιον ἀκοῦσαι, καὶ θαυμάσαι τὴν σοφίαν τοῦ ἀνδρός. ὃς καταλιπὼν οὕτως εὐρείας ὁδοὺς ἐναργῶς φαινομένας, ἀφανεῖς, καὶ στενὰς, καὶ παντάπασιν ἀναισθήτους ὑπέθετο. βούλεται γὰρ εἰς ἀτμοὺς ἀναλυόμενον τὸ πινόμενον ὑγρὸν, εἰς τὴν κύστιν διαδίδοσθαι. κἄπειτ᾽ ἐξ ἐκείνων αὖθις ἀλλήλοις συνιόντων, ἀπολαμβάνειν οὕτως αὐτὸ τὴν ἀρχαίαν ἰδέαν, καὶ γίνεσθαι πάλιν ὑγρὸν ἐξ ἀτμῶν ἀτεχνῶς, ὡς περὶ σπογγιᾶς τινος, ἢ ἐρίου, περὶ τῆς κύστεως διανοούμενος. ἀλλ᾽ οὐ σώματος ἀκριβῶς πυκνοῦ, καὶ στεγανοῦ, δύο χιτῶνας ἰσχυροτάτους κεκτημένου, δι᾽ ὧν, εἴπερ διεξέρχεσθαι φήσομεν τοὺς ἀτμοὺς, τί δήποτ᾽ οὐχὶ διὰ τοῦ περιτοναίου καὶ τῶν φρενῶν διελθόντες, ἐνέπλησαν ὕδατος, τό τ᾽ ἐπιγάστριον ἅπαν, καὶ τὸν θώρακα; ἀλλὰ παχύτερός ἐστι, καὶ στεγανώτερος ὁ περιτόναιος χιτὼν τῆς κύστεως, καὶ διὰ τοῦτο ἐκεῖνος μὲν ἀποστέγει τοὺς ἀτμοὺς, ἡ δὲ κύστις παραδέχεται.

CAPVT XIII.

Perperam Asclepiadem de Attractrice, & Excretrice facultate disseruisse.

Porrò intelligi licet, quàm recta veráque Hippocratis dogmata sint, non ex eo tantum, quòd qui diuersa ponunt, diuersa quoque ac dissidentia ponunt ab iis, quæ euidenter apparent, verùmetiam ex eorum, quæ sigillatim in naturali speculatione quæruntur, tum cæteris omnibus, tum verò iis, quæ in animalibus habentur actionibus. Qui enim attractricem conuenientis qualitatis vim nulli inesse parti volunt, ij sæpe iis, quæ euidenter apparent, contraria dicere coguntur; quemadmodum Asclepiadi medico de renibus contigit; quos non solum Hippocrates, Diocles, Erasistratus, Praxagoras, aliorúmve optimus quisque instrumenta quæ vrinam secernant habere crediderunt; verùm etiam coqui ferè omnes norunt, quum quotidie eorum non tantum situm contemplentur, sed etiam meatus, qui ab vtroque procedunt, & vreteres sunt dicti, in vesicam se inserentes, nimirum ex ipsa structura tum vsum eorum, tum vim colligentes. Iam etiam priores ipsis coquis omnes homines, qui subinde difficulter meiunt, aut etiam suppressam vrinam omninò habent, vbi circa lumbos dolent, ac arenosa meiunt, nephriticos se ipsos nominant. Verùm Asclepiades (arbitror) ab iis, qui sic sunt affecti, emictum calculum non vidit: nec quòd medio inter renes, & vesicam loco præcessit quidam acutus dolor, transeunte per vreteres calculo intellexit; sed nec, quòd emicto eo protinus tum dolor, tum vrinæ suppressio, sedata sunt. Ergo, quemadmodum vrinam in vesicam oratione sua ducat, operæpretium est audire, atque hominis sapientiam suspicere, qui relictis tam latis, & manifestè apparentibus viis, obscuras, angustas, nec vllo prorsus sensu perceptas proposuit. Vult namque eum, qui bibitur, humorem in halitus resolutum in vesicam transmitti; inibi verò ex mutuo eorum concursu priorem ipsum deinde recipere formam, fierique ex halitibus rursus humorem imperitè vtique de vesica, vt de spongia quapiam aut lana ratiocinatus; non de corpore planè denso, & quod humorem non transmittat, quum duas tunicas validissimas habeat, per quas si transmitti halitus dicemus, qui fit, quòd septum transuersum, & peritonæum non permeant, ac tum abdomen, tum pectus totum aqua non implent? At crassior est, *inquiet*, solidiórque membrana est peritonæum quàm vesica, ac propterea halitus coercet ipsa; vesica verò excipit ac recipit.

Verùm, si ipse vesicam dissecuisset, fortasse non ignoraret exteriorem vesicæ tunicam, eandem cum peritonæo naturam habere vtpote ab eo ortam; internam verò, quæ ipsius vesicæ est propria, plus, quàm duplò, eam crassitudine superare. Verùm fortasse nec crassitudo tunicarum, nec tenuitas, sed ipse vesicæ situs ferendorum in eam halituum est causa. Immò verò, si per reliqua corporis omnia credibile esset huc ferri, certè situs ipse vesicæ satis esset, qui id prohiberet; quippe quum vesica in imo sit sita, halitus autem naturaliter ferantur in sublime; ita longè prius, iis implerentur pectus, & pulmo, quàm ad vesicam peruenirent. Tametsi quid situs, & vesicæ, & peritonæi, & pectoris memini? quum halitus, si & ventriculi, & intestinorum tunicas sint egressi, aut in spatium, quod inter eas, & peritonæum intercedit, colligentur, atque inibi humorem generabunt, veluti ipsis hydropibus eo loci plurimum aquæ accruatur; aut prorsus per omnia, quæcunque contingunt, rectà ferri debebunt, nec vsquam sisti. Verùm si quis supposuerit hoc modo excidentes non solùm extra peritonæum, sed etiam epigastrium, aut in circunfusum nobis aërem dissipabuntur, aut omninò sub cute colligentur. Sed & his contradicere Asclepiadis, qui nunc sunt sectatores, conantur, tametsi ab omnibus semper irrisi, quicunque in eos de his litigantes inciderunt. Adeò vt quod difficilè eluatur, malum sit ista circa sectas ambitio, ac scabie quauis ad sanandum rebellius. Etenim huius temporis sophistarum quidam cum in aliis, tum in captioso disputandi genere admodum exercitatus, ac in dicendo si quis alius acer, quum mecum de his disceptaret tantùm abfuit, vt eorum, quæ diximus, aliquo deterreretur, vt admirari se diceret me ea, quæ liquidò apparerent, inanibus rationibus euertere conari. Quotidie enim clarè cerni, vesicas omnes, si quis aëre aquáue impleat, deinde ligatis earum collis vndique premat, nulla ex parte quicquam reiicere, sed prorsus totum in se continere; quanquam, si essent à renibus in has sensiles, & ampli, omninò aiebat, quòd sicut per hos humor ingressus est, ita prementibus nobis exiret. Atque hæc, similiáque quum volubiliter, ac clara voce dixisset, exiliens subitò discessit, nobis quasi nihil, quod vel probabile esset, respondere habentibus, ibi relictis. Adeo qui sectis eiusmodi sunt addicti, non solùm nihil norunt recti, sed ne discere quidem dignantur. Quum enim audienda iis causa esset, propter quam ingredi per vreteres in vesicam humor potest; rursum exire per eandem viam non potest; atque artis nomine suspicienda natura, ij nec discere volunt, & hoc ampliùs mala verba dicunt, frustra, tum alia multa, tum verò renes, ab ea conditos affirmantes. Sunt & qui se præsentibus ostendi vreteres à renibus descendere, atque in vesicam se inserere quum sustinuissent, ausi tamen sunt alij quòd ij quoque frustra sint conditi dicere, alij quòd quidam ex seminalibus sint meatibus, ideóque in collum eius, non in corpus esse insertos. Nos igitur quum ostendissemus, qui verè seminis sunt meatus infra vreteres in collum se inserere, tunc saltem, si non priùs, à falsa eos persuasione abducendos putauimus, atque ad contrariam statim perducendos.

ἀλλ' εἴπερ ἀνέτεμνε, τάχ' ἂν ἠπίστατο, τὸν μὲν ἔξωθεν χιτῶνα τῆς κύστεως ἀπὸ τοῦ περιτοναίου πεφυκότα, τὴν αὐτὴν ἐκείνῳ φύσιν ἔχειν. τὸν δ' ἔνδοθεν τὸν τῆς αὐτῆς κύστεως ἴδιον, πλέον ἢ διπλάσιον ἐκείνου τὸ πάχος ὑπάρχειν. ἀλλ' ἴσως οὔτε τὸ πάχος, οὔθ' ἡ λεπτότης τῶν χιτώνων, ἀλλ' ἡ θέσις τῆς κύστεως αἰτία τοῦ φέρεσθαι τοὺς ἀτμοὺς εἰς αὐτήν. καὶ μὴν εἰ διὰ τἆλλα πάντα τοῦ σώματος, πιθανὸν ἦν αὐτοὺς ἐνταῦθα συναθροίζεσθαι, τό γε τῆς θέσεως μόνης, αὔταρκες κωλῦσαι. κάτω μὲν γὰρ ἡ κύστις κεῖται, τοῖς δ' ἀτμοῖς, σύμφυτος ἡ πρὸς τὸ μετέωρον φορά, ὥστε πολὺ πρότερον ἂν ἔπλησαν ἂν τὰ κατὰ τὸν θώρακά τε, καὶ πνεύμονα, πρὶν ἐπὶ τὴν κύστιν ἀφικέσθαι. καίτοι τί θέσεώς τε καὶ κύστεως, καὶ περιτοναίου, καὶ θώρακος μνημονεύω; διεκπεσόντες γὰρ δήπου τούς τε τῆς κοιλίας καὶ τῶν ἐντέρων χιτῶνας, οἱ ἀτμοὶ, κατὰ τὴν μεταξὺ χώραν αὐτῶν τε τούτων, καὶ τοῦ περιτοναίου, συναθροισθήσονται, καὶ ὑγρὸν ἐνταῦθοι γενήσεται. ὥσπερ καὶ τοῖς ὑδερικοῖς, ἐν τούτῳ τῷ χωρίῳ τὸ πλεῖστον ἀθροίζεται τοῦ ὕδατος, ἢ πάντως αὐτοὺς χρὴ φέρεσθαι πρόσω διὰ πάντων τῶν ὁπωσοῦν ὁμιλούντων, καὶ μηδέποτε ἵστασθαι. ἀλλ' εἰ καὶ τοῦτό τις ὑπόθοιτο, διεκπεσόντες ἂν οὕτως, οὐ τὸ περιτόναιον μόνον, ἀλλὰ καὶ τὸ ἐπιγάστριον, εἰς τὸ περιέχον σκεδασθεῖεν, ἢ πάντως ἂν ὑπὸ τῷ δέρματι συναθροισθεῖεν. ἀλλὰ καὶ πρὸς ταῦτ' ἀντιλέγειν οἱ νῦν Ἀσκληπιάδειοι πειρῶνται, καίτοι πρὸς ἁπάντων ἀεὶ τῶν παρατυγχανόντων αὐτοῖς, ὅταν περὶ τούτων ἐρίζωσι, καταγελώμενοι. οὕτως ἄρα δυσαπότριπτόν τι κακόν ἐστιν ἡ περὶ τὰς αἱρέσεις φιλοτιμία, καὶ δυσέκνιπτον ἐν τοῖς μάλιστα, καὶ ψώρας ἁπάσης δυσιατώτερον. τῶν γοῦν καθ' ἡμᾶς τις σοφιστῶν, τά τ' ἄλλα, καὶ περὶ τοὺς ἐριστικοὺς λόγους ἱκανῶς συγκεκροτημένος, καὶ δεινὸς εἰπεῖν εἴπερ τις ἄλλος, ἀφικόμενος ἐμοί ποθ' ὑπὲρ τούτων εἰς λόγους, τοσοῦτον ἀπέδει τοῦ δυσωπεῖσθαι πρός τινος τῶν εἰρημένων, ὥστε καὶ θαυμάζειν ἔφασκέ μου, ὡς τὰ σαφῶς φαινόμενα, λόγοις ληρώδεσιν ἀνατρέπειν ἐπιχειροῦντος, ἐναργῶς γὰρ ὁσημέραι θεωρεῖσθαι τὰς κύστεις ἁπάσας, εἴ τις αὐτὰς ἐμπλήσειεν ὕδατος, ἢ ἀέρος, εἶτα δήσας τὸν τράχηλον πιέζοι πανταχόθεν, οὐδαμόθεν μεθιείσας μηδὲν, ἀλλ' ἀκριβῶς ἅπαν ἐντὸς ἑαυτῶν στεγούσας. καίτοι γ', εἴπερ ἦσάν τινες ἐκ τῶν νεφρῶν εἰς αὐτὰς ἥκοντες αἰσθητοὶ καὶ μεγάλοι πόροι, πάντως ἂν ἔφη, καὶ δι' ἐκείνων, ὥσπερ εἰσῄει τὸ ὑγρὸν εἰς αὐτὰς, οὕτω καὶ ἐκθλιβόντων, ἐξεκρίνετο. ταῦτα καὶ τὰ τοιαῦτα εἰπὼν, ἐξαίφνης ἀπταίστῳ καὶ σαφεῖ στόματι τελευτῶν, ἀναπηδήσας ἀπῄει καταλιπὼν ἡμᾶς, ὡς μηδὲ πιθανῆς τινος ἀντιλογίας εὐπορῆσαι δυναμένους. οὕτως οὐ μόνον οὐδὲν ὑγιὲς ἴσασιν οἱ ταῖς τοιαύταις αἱρέσεσι δουλεύοντες, ἀλλ' οὐδὲ μαθεῖν ὑπομένουσι. δέον γὰρ ἀκοῦσαι τὴν αἰτίαν, δι' ἣν εἰσιέναι μὲν δύναται διὰ τῶν οὐρητήρων εἰς τὴν κύστιν τὸ ὑγρὸν, ἐξιέναι δ' αὖθις ὀπίσω τὴν αὐτὴν ὁδὸν οὐχ οἷόν τ' αὐτῷ, καὶ θαυμάσαι τὴν τέχνην τῆς φύσεως. οἱ δ' οὔτε μαθεῖν ἐθέλουσι, καὶ λοιδοροῦσι προσέτι, μάτην ὑπ' αὐτῆς ἄλλα τε πολλὰ, καὶ τοὺς νεφροὺς γεγονέναι φάσκοντες. εἰσὶ δὲ καὶ οἳ δειχθέντας παρόντων αὐτῶν, τοὺς ἀπὸ τῶν νεφρῶν εἰς τὴν κύστιν ἐμφυομένους οὐρητῆρας, ὑπομείναντες, ἐτόλμησαν εἰπεῖν, οἱ μὲν, ὅτι μάτην καὶ οὗτοι γεγόνασιν, οἱ δ', ὅτι σπερματικοί τινές εἰσι πόροι, καὶ διὰ τοῦτο κατὰ τὸν τράχηλον αὐτῆς, οὐκ εἰς τὸ κύτος ἐμφύονται. δείξαντες οὖν ἡμεῖς αὐτοῖς τοὺς ὄντως σπερματικοὺς πόρους, κατωτέρω τῶν οὐρητήρων ἐμβάλλοντας εἰς τὸν τράχηλον, νῦν οὖν, εἰ καὶ μὴ πρότερον, ᾠήθημεν ἀπάξειν τε τῶν ψευδῶς ὑπειλημμένων, ἐπί τε τἀναντία μεταστήσειν αὐτίκα.

οἱ δὲ καὶ πρὸς τοῦτο ἀντιλέγειν ἐτόλμων, οὐδὲν εἶναι θαυμαστὸν εἰπόντες, ἐν ἐκείνοις μὲν, ὡς ἂν στενωτέροις οὖσιν ἐπὶ πλέον ὑπομένειν τὸ σπέρμα, κατὰ δὲ τοὺς ἀπὸ τῶν νεφρῶν ὡς ἂν ἱκανῶς εὐρυνομένοις, ἐκρεῖν διὰ ταχέων. ἡμεῖς οὖν ἠναγκάσθημεν αὖθις τὸ λοιπὸν δεικνύειν, εἰσρέον τῇ κύστει διὰ τῶν οὐρητήρων τὸ οὖρον, ἐναργῶς ἐπὶ ζῶντος ἔτι τοῦ ζῴου, μόγις ἂν οὕτω ποτὲ τὴν φλυαρίαν αὐτῶν ἐπισχεῖν ἐλπίζοντες. ὁ δὲ τρόπος τῆς δείξεώς ἐστι τοιόσδε. διελεῖν χρὴ τὸ πρὸ τῶν οὐρητήρων περιτόναιον, εἶτα βρόχοις αὐτοὺς ἐκλαβεῖν ἰδίᾳ, κἄπειτ᾽ ἐπιδήσαντας, ἐάσαι τὸ ζῷον, οὐ γὰρ ἂν οὐρήσειεν ἔτι. μετὰ δὲ ταῦτα λύειν μὲν τοὺς ἔξωθεν δεσμούς, δεικνύειν δὲ κενὴν μὲν τὴν κύστιν, μεστοὺς δ᾽ ἱκανῶς, καὶ διατεταμένους τοὺς οὐρητῆρας, καὶ κινδυνεύοντας ῥαγῆναι. κἄπειτα τοὺς βρόχους αὐτῶν ἀφελόντας, ἐναργῶς ὁρᾶν ἤδη πληρουμένην οὔρου τὴν κύστιν. ἐπὶ δὲ τούτῳ φανέντι, πρὶν οὐρῆσαι τὸ ζῷον, βρόχον αὐτοῦ περιβαλεῖν χρὴ τῷ αἰδοίῳ, κἄπειτα θλίβειν πανταχόθεν τὴν κύστιν. οὐ γὰρ ἂν οὐδὲν ἔτι διὰ τῶν οὐρητήρων ἐπανέλθοι ποτὲ πρὸς τοὺς νεφρούς, κἀν τούτῳ δῆλον γίγνεται, τὸ μὴ μόνον ἐπὶ τεθνεῶτος, ἀλλὰ καὶ περιόντος ἔτι τοῦ ζῴου, κωλύεσθαι μεταλαμβάνειν αὖθις ἐκ τῆς κύστεως τοὺς οὐρητῆρας τὸ οὖρον. ἐπὶ τούτοις ὀφθεῖσιν, ἐπιτρέπειν οὐρεῖν ἤδη τὸ ζῷον, λύοντας αὐτοῦ τὸν ἐπὶ τῷ αἰδοίῳ βρόχον, εἶτ᾽ αὖθις ἐπιδεῖν μὲν θατέρῳ τῶν οὐρητήρων. ἐᾶσαι δὲ τὸν ἕτερον εἰς τὴν κύστιν συρρεῖν, καί τινα διαλιπόντας χρόνον, ἐπιδεικνύειν ἤδη, πῶς ὁ μὲν ἕτερος αὐτῶν ὁ δεδεμένος, μεστὸς καὶ διατεταμένος κατὰ τὰ πρὸς τῶν νεφρῶν μέρη φαίνεται. ὁ δ᾽ ἕτερος ὁ λελυμένος, αὐτὸς μὲν χαλαρός ἐστι, πεπλήρωκε δ᾽ οὔρου τὴν κύστιν, εἶτ᾽ αὖθις διατεμεῖν, πρῶτον μὲν τὸν πλήρη, καὶ δεῖξαι πῶς ἐξακοντίζεται τὸ οὖρον ἐξ αὐτοῦ, καθάπερ ἐν ταῖς φλεβοτομίαις τὸ αἷμα. μετὰ ταῦτα δὲ, καὶ τὸν ἕτερον αὖθις διατεμεῖν, κἄπειτ᾽ ἐπιδεῖσθαι τὸ ζῷον ἔξωθεν, ἀμφοτέρων διῃρημένων. εἶθ᾽ ὅταν ἱκανῶς ἔχειν δοκῇ, λῦσαι τὸν δεσμόν. εὑρεθήσεται γὰρ ἡ μὲν κύστις κενή, πλῆρες δ᾽ οὔρου τὸ μεταξὺ τῶν ἐντέρων τε, καὶ τοῦ περιτοναίου χωρίον ἅπαν, ὡς εἰ καὶ ὑδεριῶν ἦν τὸ ζῷον. ταῦτ᾽ οὖν, εἴ τις αὐτὸς καθ᾽ αὑτὸν βουληθείη βασανίζειν ἐπὶ ζῴου, μεγάλως μοι δοκεῖ καταγνώσεσθαι τῆς Ἀσκληπιάδου προπετείας. εἰ δὲ δὴ καὶ τὴν αἰτίαν μάθοι, δι᾽ ἣν οὐδὲν ἐκ τῆς κύστεως εἰς τοὺς οὐρητῆρας ἀντεκρεῖ, πεισθήσεσθαι μοι δοκεῖ, καὶ διὰ τῶνδε, τὴν εἰς τὰ ζῷα πρόνοιάν τε καὶ τέχνην τῆς φύσεως. Ἱπποκράτης μὲν οὖν, ὧν ἴσμεν ἰατρῶν τε καὶ φιλοσόφων πρῶτος ἁπάντων, ὡς ἂν καὶ πρῶτος ἐπιγνοὺς τὰ τῆς φύσεως ἔργα, θαυμάζει τε, καὶ διὰ παντὸς ὑμνεῖ ταύτην, δικαίαν ὀνομάζων, καὶ μόνην ἐξαρκεῖν εἰς ἅπαντα τοῖς ζῴοις φησίν, αὐτὴν ἐξ αὑτῆς ἀδιδάκτως πράττουσαν ἅπαντα τὰ δέοντα. τοιαύτην δ᾽ οὖσαν αὐτήν, εὐθὺς καὶ δυνάμεις ὑπέλαβεν ἔχειν, ἑλκτικὴν μὲν τῶν οἰκείων μίαν, ἀποκριτικὴν δὲ ἑτέραν τῶν ἀλλοτρίων, καὶ τρέφειν, καὶ αὔξειν αὐτὴν τὰ ζῷα, καὶ κρίνειν τὰ νοσήματα ταύταις ἡγεῖτο ταῖς δυνάμεσι. καὶ διὰ τοῦτο, ἐν τοῖς σώμασιν ἡμῶν σύμπνοιάν τε μίαν εἶναί φησι, καὶ σύρροιαν, καὶ πάντα συμπαθέα. κατὰ δὲ τὸν Ἀσκληπιάδην, οὐδὲν οὐδενὶ συμπαθές ἐστι, φύσει διῃρημένης τε, καὶ κατατεθραυσμένης εἰς ἄναρμα στοιχεῖα, καὶ ληρώδεις ὄγκους, ἁπάσης τῆς οὐσίας. ἐξ ἀνάγκης οὖν ἄλλα τε μυρία τοῖς ἐναργῶς φαινομένοις ἐναντίως ἀπεφήνατο, καὶ τῆς φύσεως ἠγνόησε τήν τε τῶν οἰκείων ἐπισπαστικὴν δύναμιν, καὶ τὴν τῶν ἀλλοτρίων ἀποκριτικήν. ἐπὶ μὲν οὖν τῆς ἐξαιματώσεώς τε, καὶ ἀναδόσεως, ἐξεῦρέ τινα ψυχρὰν ἀδολεσχίαν.

A Illi verò hîc quoque contradicere sunt ausi, nihil esse miri dicentes, in illis, ceu magis angustis, diutiùs subsistere semen; in his verò, qui à renibus descendunt, vtpotè abundè amplis, celeriter effluere. Nos igitur de cætero coacti sumus in animali adhuc viuo liquidò in vesicam per ipsos vreteres transfluentem vrinam indicare, vix sic quoque garrulitatem eorum coercere sperantes. Porrò ostensionis modus est huiusmodi. Diuidere oportet id peritonæi quod ante vreteres habetur; deinde laqueis singulos excipere; mox vulneris labris deligatione commissis inter se animal dimittere; non enim meiet ampliùs. Post
B hæc soluere deligationem externam, ac vesicam inanem ostendere, vreteres verò abundè refertos & distentos ac in disruptionis periculum adductos; mox ademptis eorum vinculis videre manifestè vesicam iam lotio repletam. Post hæc priùs, quàm animal meiat, vinculum iniiciendum eius pudendo est; tum verò premenda vndique eius vesica, non enim poterit per vreteres ad ipsius renes quidquam reuerti, quò manifestum fit, non solum in mortuo animali prohiberi lotium ex vesica in vreteres rursum redire, sed etiam in viuo. His perspectis permittendum iam
C animali meiere, soluto scilicet, quo pudendum eius exceptum est, vinculo. Post hæc vinculum alteri vreterum iniiciendum; alter verò in vesicam confluere sinendus; tum aliquo interposito spatio, monstrandum iam, quemadmodum alter, qui vinctus est, ea parte, quæ ad renes spectat, plenus distentúsque appareat; alter verò, qui solutus est, & laxus sit, & vesicam impleuerit. Post hæc verò præcidendus est primùm is, qui plenus est, ostendendũque, quemadmodũ eiaculetur ex eo lotium non aliter, quam ex incisa vena sanguis; deinde alter præcidendus; & mox ambobus præcisis ani-
D mal extrinsecus deligandum. Post vbi satis esse visum est, deligatio soluenda; inuenietur enim vesica vacua; quæ verò media capacitas est inter peritonæum, & intestina, tota lotio plena, veluti hydrope laboraret animal. Hæc igitur siquis ipse per se explorare in animali velit, magnopere mihi videtur Asclepiadis temeritatem damnaturus. Quòd si causam intelligat, quamobrem nihil ex vesica in vreteres refluat, vel ex eo mihi naturæ esse prouidentiam, artémque in animalibus credet. Atque Hippocrates quidem omniũ, quos nouimus, mediocrum philosophorúmque primus, vt qui pri-
E mus naturæ opera norit, hanc semper tum admiratur, tum prædicat; quam & iustam nominat, & solam animalibus ad omnia sufficere dicit, ipsámque per se sine doctore, quæ opus sunt, agere. Talis autem quum sit, statim eam facultates habere proposuit; vnam, qua sibi conueniens attrahat, alteram qua alienum à se secernat; ipsam præterea tum nutrire animalia, tũ augere; iam morbos quoque finire ac iudicare iisdẽ facultatibus existimat; ideoque in corporibus nostris, conspirationem vnam confluxúmque vnum, ac omnia inter se mutuò affici. Asclepiade verò auctore nihil ex alterius affectu patitur, omni substantiâ naturaliter
F diuisâ, atque in elementa, quæ cohærere non possunt, & nugatorias moles conscissa. Quare necesse est, tum mille alia contraria iis, quæ manifestè apparent, protulerit; tum facultates naturæ, & quâ conuenientia trahat, & quâ aliena separet, ignorarit; & in sangnificatione quidem, ac alimenti distributione, quãdã frigidã garrulitatẽ excogitauit.

Ad excrementorum verò expurgationem, quum nihil prorsus quod afferre posset, haberet, non dubitauit iis, quæ sensui apparent contradicere. In vrinæ quidem separatione tum renes, tum vreteres functione sua priuans, ac incertos quosdam inuisibilésque meatus in vesicam statuens: hoc scilicet erat magnum ac præclarum, repudiatis iis, quæ apparent obscuris fidem adhibere. At in flaua bile etiam maius quiddam & insulsius est ausus: gigni nãque eam in ipsis cholidocis meatibus nõ autem secerni ait. At quomodo igitur iis, qui morbo regio laborant, ambo simul incidunt, & vt deiectiones in iis nihil habeant bilis, & corpus totum bile sit refertum? Quo loco rursus nugari cogitur similiter, ac in iis, quæ de vrinis sunt dicta. Nugatur sanè non secus, & de bili atra & splene, nec quid ab Hippocrate sit dictum, intelligens, & contradicere iis, quæ ignorat, dementi insanóque ore aggrediens. Quid igitur sibi ex placitis id genus ad curationes tandem lucri fecit? Nempe quòd nec nephritim, nec morbum regium, nec melancholicũ sanare potest. Iam, in quo omnes homines consentiunt, nedum Hippocrates, alia medicamentorum purgare flauam bilem, alia nigram, alia pituitam, alia tenue, & aquosum excrementum, ne id quidem concedit: imo à pharmacis ipsis vacuationem quodque tale fieri dicit; veluti ab exceptoribus bilis meatibus, bilem. Nec quicquam intersit egregio Asclepiade auctore medicamentum, quod aquam, an quod bilem ducat, hydropicis exhibere, quippe omnia pari modo vacuare, liquaréque corpus, ac quod liquatum est, vt tale videatur, quum prius tale non esset, efficere. Num igitur insanire putandus est, aut prorsus operum artis expers esse? Nam quis non nouit, si ictero laborantibus medicamentum dederis, quod pituitam ducat, ne quatuor quidem id cyathos educturum? ad eundem modum, si quod eorum, quæ purgant aquam; at medicamento, quod bilem trahit, plurimum quidem vacuatur bilis, statim sincerus color sic purgatis efficitur. Nos enim non paucos post curatum, qui in iecinore erat, affectum, vnica purgatione à morbo vindicauimus; quum, si quis medicamento quod pituitam ducit, purgauerit, nihil profecerit. Atque hæc non solùm Hippocrates non fieri sentit, sed etiam omnes, qui sola nituntur experientia, consentiunt. Omnibus denique medicis, quibus curæ sunt artis opera idem placet, præterquam Asclepiadi. Quippe prodere se elementa, quæ statuit, si veritati in talibus consentiret, existimauit; omninò enim, si inuentum sit medicamentum aliquod, quod hunc vel illum humorem solum trahat, periculum esse, ne ratio vincat, in quoque corpore vim esse aliquam conuenientis sibi qualitatis attractricem. Itaque cnicum, coccum cnidium, & hippophaës haudquaquàm ex corpore trahere, sed facere pituitam ait; florem æris verò, & squamam æris, & ipsum æs vstum, & chamædryn, & chamæleonta, corpus in aquam resoluere, hydropásque ab his iuuari non vtique purgatos, sed vacuatos, quum, si non vacuentur, vnà increscat affectus; quippe, si aquosum, qui in corpore est humorem non vacuat, sed primum ipsum gignit, morbum fouet. Atqui etiam scammonia, præterquam quod bilem Asclepiade auctore ex ictericorum corpore non purget, & bonum sanguinem in bilē:

εἰς δὲ τὴν τῶν περιττωμάτων κάθαρσιν, οὐδὲν ὅλως εὑρὼν εἰπεῖν, οὐκ ὤκνησεν ὁμόσε χωρεῖσαι τοῖς φαινομένοις. ἐπὶ μὲν τῆς τῶν οὔρων διακρίσεως, ἀποστερήσας μὲν τῶν τε νεφρῶν, καὶ τὴν τῶν οὐρητήρων ἐνέργειαν, ἀδήλους δέ τινας πόρους εἰς τὴν κύστιν ὑποθέμενος. τοῦτο γὰρ ἦν δηλαδὴ μέγα, καὶ σεμνὸν, ἀπιστήσαντα τοῖς φαινομένοις, πιστεῦσαι τοῖς ἀδήλοις. ἐπὶ δὲ τῆς ξανθῆς χολῆς, ἔτι μεῖζον αὐτῷ, καὶ νεανικώτερόν ἐστι τὸ τόλμημα. γεννᾶσθαι γὰρ αὐτὴν ἐν τοῖς χοληδόχοις ἀγγείοις, οὐ διακρίνεσθαι λέγει. πῶς οὖν τοῖς ἰκτερικοῖς ἅμ' ἄμφω συμπίπτει, τὰ μὲν διαχωρήματα μηδόλως ἔχοντα χολὴν ἐν αὐτοῖς, ἀνάπλεων δ' αὐτοῖς γινόμενον ὅλον τὸ σῶμα. ληρεῖν πάλιν ἐνταῦθ' ἀναγκάζεται τοῖς ἐπὶ τῶν οὔρων εἰρημένοις παραπλησίως. ληρεῖ δ' οὐδὲν ἧττον καὶ περὶ τῆς μελαίνης χολῆς, καὶ τοῦ σπληνὸς, οὔτε τί ποθ' ὑφ' Ἱπποκράτους εἴρηται συνιεὶς, ἀντιλέγειν τ' ἐπιχειρῶν οἷς οὐκ οἶδεν, ἐμπλήκτῳ τινὶ καὶ μαινομένῳ στόματι. τί δὴ τὸ κέρδος ἐκ τῶν τοιούτων δογμάτων εἰς τὰς θεραπείας ἐκτήσατο; μήτε νεφριτικὸν νόσημα δύνασθαι θεραπεῦσαι, μήτ' ἰκτερικὸν, μήτε μελαγχολικὸν, ἀλλὰ καὶ περὶ τοῦ πᾶσιν ἀνθρώποις, οὐχ Ἱπποκράτει μόνον ὁμολογουμένου τοῦ, καθαίρειν τῶν φαρμάκων, ἔνια μὲν τὴν ξανθὴν χολὴν, ἔνια δὲ τὴν μέλαιναν, ἄλλα δέ τινα φλέγματα, καί τινα, τὸ λεπτὸν καὶ ὑδατῶδες περίττωμα, μηδὲ περὶ τούτων συγχωρεῖν, ἀλλ' ὑπ' αὐτῶν γε τῶν φαρμάκων γίνεσθαι λέγειν τοιοῦτον ἕκαστον τῶν κενουμένων, ὥσπερ ὑπὸ τῶν χοληδόχων πόρων, τὴν χολήν. καὶ μηδὲν διαφέρειν κατὰ τὸν θαυμαστὸν Ἀσκληπιάδην, ἢ ὑδραγωγὸν διδόναι τοῖς ὑδεριῶσιν, ἢ χολαγωγὸν φάρμακον. ἅπαντα γὰρ ὁμοίως κενοῦν, καὶ συντήκειν τὸ σῶμα, καὶ τὸ σύντηγμα ποιὸν δή τι φαίνεσθαι ποιεῖν, μὴ πρότερον ὑπάρχον τοιοῦτον. ἆρ' οὖν οὐ μαίνεσθαι νομιστέον αὐτὸν, ἢ παντάπασιν ἄπειρον εἶναι τῶν ἔργων τῆς τέχνης; τίς γὰρ οὐκ οἶδεν, ὡς εἰ φλέγματος ἀγωγὸν δοθείη φάρμακον τοῖς ἰκτεριῶσιν, οὐκ ἂν οὐδὲ τέτταρας κυάθους καθαρθεῖεν. οὕτω δ' οὐδ' εἰ τῶν ὑδραγωγῶν τι, χολαγωγῷ δὲ φαρμάκῳ, πλεῖστον μὲν ἐκκενοῦται τῆς χολῆς. αὐτίκα δὲ καθαρὸς τοῖς οὕτω καθαρθεῖσιν ὁ χρὼς γίνεται. πολλοὺς οὖν ἡμεῖς, μετὰ τὸ θεραπεῦσαι τὴν ἐν τῷ ἥπατι διάθεσιν, ἅπαξ καθήραντες, ἀπηλλάξαμεν τοῦ παθήματος. οὐ μὴν εἰ φλέγματος ἀγωγῷ καθαίρεις φαρμάκῳ, πλέον ἄν τι διαπράξαιο. καὶ ταῦτ' οὐχ Ἱπποκράτης μὲν οὕτως οἶδε γιγνόμενα. τοῖς δ' ἀπὸ τῆς ἐμπειρίας μόνης ὁρμωμένοις, ἑτέρως ἔγνωσται, ἀλλὰ κἀκείνοις ὡσαύτως πᾶσιν ἰατροῖς, οἷς μέλει τῶν ἔργων τῆς τέχνης, οὕτω δοκεῖ, πλὴν Ἀσκληπιάδου. προδοσίαν γὰρ εἶναι νενόμικε τῶν στοιχείων ὧν ὑπέθετο, τὴν ἀληθῆ περὶ τῶν τοιούτων ὁμολογίαν. εἰ γὰρ ὅλως εὑρεθείη τι φάρμακον ἑλκτικὸν τοῦδέ τινος τοῦ χυμοῦ μόνου, κίνδυνος δηλαδὴ κρατεῖν τῷ λόγῳ, τὸ ἐν ἑκάστῳ τῶν νοσημάτων εἶναι τινα δύναμιν ἐπισπαστικὴν τῆς οἰκείας ποιότητος. διὰ τοῦτο, κνῆκον μὲν, καὶ κόκκον κνίδιον, καὶ ἱπποφαὲς, οὐχ ἕλκειν ἐκ τοῦ σώματος, ἀλλὰ ποιεῖν τὸ φλέγμα φησίν· ἄνθος δὲ χαλκοῦ, καὶ λεπίδα, καὶ αὐτὸν τὸν κεκαυμένον χαλκὸν, καὶ χαμαίδρυν, καὶ χαμαιλέοντα, εἰς ὕδωρ ἀναλύειν τὸ σῶμα, καὶ τοὺς ὑδερικοὺς, ὑπὸ τούτων οὐχὶ καθαιρομένους ὀνίνασθαι, ἀλλὰ κενουμένους. μὴ κενουμένοις δὲ συναύξεσθαι δηλαδὴ τὸ πάθος. εἰ γὰρ οὐ κενοῖ τὸ περιεχόμενον ἐν τοῖς σώμασιν ὑδατῶδες ὑγρὸν, ἀλλ' αὐτὸ γεννᾷ, τῷ νοσήματι προστιμωρεῖται. καὶ μὴν γε καὶ ἡ σκαμμωνία, πρὸς τῷ μὴ κενοῦν ἐκ τοῦ σώματος τῶν ἰκτερικῶν, τὴν χολὴν, ἔτι καὶ τὸ χρηστὸν αἷμα χολὴν ἐργαζομένη,

συντήκουσα τὸ σῶμα, καὶ τηλικαῦτα κακὰ δρῶσα, καὶ τὸ πάθος ἐπαύξουσα κατά γε τὸν Ἀσκληπιάδου λόγον, ὅμως ἐναργῶς ὁρᾶται πολλοὺς ὠφελοῦσα. ναί φησιν, ὀνίνανται μέν, ἀλλ' αὐτῷ μόνῳ τῷ λόγῳ τῆς κενώσεως. καὶ μὴν εἰ φλέγματος ἀγωγὸν δοίη τις φάρμακον, οὐκ ὀνήσονται. καὶ τοῦθ' οὕτως ἐναργές ἐστιν, ὥστε καὶ οἱ ἀπὸ μόνης τῆς ἐμπειρίας ὁρμώμενοι, γινώσκουσιν αὐτό. καίτοι τούτοις γε τοῖς ἀνδράσιν, αὐτὸ δὴ τοῦτ' ἐστὶ φιλοσόφημα, τὸ μηδενὶ λόγῳ πιστεύειν, ἀλλὰ μόνοις τοῖς ἐναργῶς φαινομένοις. ἐκεῖνοι μὲν οὖν σωφρονοῦσιν. Ἀσκληπιάδης δὲ παραπαίει, ταῖς αἰσθήσεσιν ἡμᾶς ἀπιστεῖν κελεύων, ἔνθα τὸ φαινόμενον ἀνατρέπει σαφῶς αὐτοῦ τὰς ὑποθέσεις. καίτοι μακρῷ γε ἦν ἄμεινον οὐχ ὁμόσε χωρεῖν τοῖς φαινομένοις, ἀλλ' ἐκείνοις ἀνατίθεσθαι τὸ πᾶν. ἆρ' οὖν ταῦτα μόνον ἐναργῶς μάχεται τοῖς Ἀσκληπιάδου δόγμασιν, ἢ καὶ τὸ θέρους πλείονα μὲν κενοῦσθαι τὴν ξανθὴν χολὴν ὑπὸ τῶν αὐτῶν φαρμάκων, χειμῶνος δὲ τὸ φλέγμα, καὶ νεανίσκῳ μὲν πλείονα τὴν χολήν, πρεσβυτέρῳ δὲ τὸ φλέγμα, φαίνεται γὰρ ἕκαστον ἕλκειν τὴν οὖσαν, οὐκ αὐτὸ γεννᾶν τὴν οὐκ οὖσαν. εἰ γοῦν ἐθελήσαις νεανίσκῳ τινὶ τῶν ἰσχνῶν καὶ θερμῶν, ὥρᾳ θέρους, μήτ' ἀργῶς βεβιωκότι μήτ' ἐν πλησμονῇ, φλέγματος ἀγωγὸν δοῦναι φάρμακον, ὀλίγιστον μέν, καὶ μετὰ βίας πολλῆς, ἐκκενώσεις τοῦ χυμοῦ, βλάψεις δ' ἐσχάτως τὸν ἄνθρωπον. ἔμπαλιν δ' εἰ χολαγωγὸν δῴης, καὶ πολὺ κενώσεις, καὶ βλάψεις οὐδέν. ἆρ' ἀπιστοῦμεν ἔτι τῷ μὴ οὐχ ἕκαστον τῶν φαρμάκων ἐπισπᾶσθαι τὸν οἰκεῖον ἑαυτῷ χυμόν; ἴσως φήσουσιν οἱ ἀπ' Ἀσκληπιάδου, μᾶλλον δ' οὐκ ἴσως, ἀλλὰ πάντως ἀπιστεῖν ἐροῦσι, ἵνα μὴ προδῶσι τὰ φίλτατα.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Τὴν τῆς ἑλκτικῆς δυνάμεως ἀπίθανον αἰτίαν Ἐπίκουρον ἀποδιδόναι.

Πάλιν οὖν ἡμεῖς μεταβῶμεν ἐφ' ἑτέραν ἀδολεσχίαν. οὐ γὰρ ἐπιτρέπουσιν οἱ σοφισταί, τῶν ἀξίων τι ζητημάτων προχειρίζεσθαι, καίτοι παμπόλλων ὑπαρχόντων, ἀλλὰ κατατρίβειν ἀναγκάζουσι τὸν χρόνον εἰς τὴν τῶν σοφισμάτων, ὧν προβάλλονται λύσιν. τίς οὖν ἡ ἀδολεσχία ἡ ἔνδοξος αὕτη, καὶ πολυθρύλλητος; λίθος ἡ τὸν σίδηρον ἐπισπωμένη, τάχα γὰρ ἂν αὕτη ποτὲ τὴν ψυχὴν αὐτῶν ἐπισπάσαιτο, πιστεύειν εἶναί τινας ἐν ἑκάστῳ τῶν σωμάτων ἑλκτικὰς τῶν οἰκείων ποιοτήτων δυνάμεις. Ἐπίκουρος μὲν οὖν, καίτοι παραπλησίοις Ἀσκληπιάδῃ στοιχείοις εἰς τὴν φυσιολογίαν χρώμενος, ὅμως ὁμολογεῖ, πρὸς μὲν τῆς ἡρακλείας λίθου τὸν σίδηρον ἕλκεσθαι, πρὸς δὲ τῶν ἠλέκτρων, τὰ κυρήβια, καὶ πειρᾶταί γε καὶ τὴν αἰτίαν ἀποδιδόναι τοῦ φαινομένου. τὰς γὰρ ἀπορρεούσας ἀτόμους ἀπὸ τῶν λίθων, ταῖς ἀπορρεούσαις ἀπὸ τοῦ σιδήρου, τοῖς σχήμασιν οἰκείας εἶναί φησιν, ὥστε περιπλέκεσθαι ῥᾳδίως. προσκρουούσας οὖν αὐτὰς τοῖς συγκρίμασιν ἑκατέροις, τοῖς τε τοῦ λίθου, καὶ τοῦ σιδήρου, κἄπειτ' εἰς τὸ μέσον ἀποπαλλομένας, οὕτως ἀλλήλαις τε, καὶ περιπλέκεσθαι καὶ συνεπισπᾶσθαι τὸν σίδηρον. ὅτι μὲν οὖν τὸ τῶν ὑποθέσεων εἰς τὴν αἰτιολογίαν ἀπίθανον, ἄντικρυς δῆλον, ὅμως δ' οὖν ὁμολογεῖ τὴν ὁλκήν. καὶ οὕτω γε καὶ κατὰ τὰ σώματα τῶν ζώων φησὶ γίνεσθαι τάς τ' ἀναδόσεις, καὶ τὰς διακρίσεις τῶν περιττωμάτων, καὶ τὰς τῶν καθαιρόντων φαρμάκων ἐνεργείας. Ἀσκληπιάδης δὲ τό τε τῆς εἰρημένης αἰτίας ἀπί-

colliquando corpus, vertat, ac tanta mala faciat, affectúmque ipsum adaugeat, attamen multis videtur prodesse. Sanè, inquit, prodest quidem, sed sola vacuationis ratione. Atqui, si quis pharmacũ, quod pituitam trahat, iis dederit, minimè iuuabuntur. Hócque adeo est manifestum, vt ne iis quidem, qui solam experiẽtiam profitentur, ignotum, quanquam his viris illud pro sapientiæ placito habetur, quòd nulli omnino rationi sit credendum, sed iis tantum, quæ liquidò apparent. Ergo illi quidem sapiunt. Asclepiades delirat, qui ipsis quidẽ sensibus habendam fidem prohibet, vbi, quæ iis apparent, ea, quæ ille proponit, manifestè euertunt: quanquam longè satius esset minimè iis, quę euidenter apparent, repugnare; imò illis rem totam tribuere. Num igitur hæc sola cum Asclepiadis placitis manifestè pugnant? an illa quoque quòd vtique æstate plus bilis iisdem medicamentis vacuetur, hyeme verò pituitæ? item iuueni plus bilis, seni verò pituitæ? videtur enim vnumquodque eam, quæ est, trahere; non autem eam, quæ non est, creare. Siquidem, si quis velit adolescenti cuipiam, qui gracilis sit, & calidus, quique nec in ocio vixit, nec in ciborum satietate, dare æstatis tẽpore medicamentũ, quod pituitam ducat, is minimum eius humoris, nec sine multa vi ducet, hominem verò grauissimè læserit. Contra si quod bilem detrahat, exhibuerit, & multum vacuabit, & homini nihil nocuerit. An igitur adhuc non credimus medicamentum quodque conuenientem sibi succum attrahere? Dicent fortasse, qui Asclepiadem sectantur; imò (quod fortasse dixi) omnino se non credere dicent, ne scilicet prodant, quæ sibi sunt carissima.

CAPVT XIIII.

Attractricis facultatis absurdam causam Epicurum reddidisse.

NOs igitur rursus ad aliam garrulitatem conuertamur; neque enim nos sinunt sophistæ dignas sermone dubitationes, quanquam plurimæ sunt, aggredi; sed in soluendis iis, quæ proponunt, sophismatis tempus nostrum terere cogunt. Quæ igitur est illa celebris, & decantata garrulitas? nempe de lapide illo, qui ferrum attrahit. Hic enim fortassis illorum animos credere subiget attractrices, conuenientium qualitatum facultates in quoque esse corpore. Ac Epicurus quidem, quamuis similibus Asclepiadi elementis ad physiologiam sit vsus, tamen concedit à magnete lapide ferrum attrahi, atque à succino paleas; tentátque eius manifesti effectus causam reddere. Quippe atomos quæ à lapide & quæ à ferro defluunt, figuris inter se conuenire dicit ita vt facilè sese amplectantur. Has igitur quum in vtraque lapidis ferrique concreta impingunt, deinde in medium resiliunt, obiter inter se connecti, ac ferrum vnà trahere. Ac quòd ea quidem, quæ ad causæ redditionem proponit, incredibilia sunt, liquidò patet. Attractum tamen planè fatetur; atque ad eundem modum in animalium corpore, tum distributionem in partes, tum excrementorum secretionem, tum medicamentorum effectum fieri ait. Asclepiades verò, tum causam prædictam

parum probabilem suspicatus, tum verò nullam aliam probabilem facultatem ex iis, quæ proposuit elementis inueniens, impudenter eò confugit, vt nihil ab vllo trahi dixerit quum debuisset potius, si neque iis, quæ Epicurus asseruit, erat contentus, neque alia dicere meliora potuit, suis hypothesibus renunciare, ac naturam artificiosam dicere; præterea rerum substantiam, tum sibi semper vnitam, tum à suis ipsius partibus mutuò inter se agentibus, patientibúsque alteratam. Si namque hæc sic proposuisset, nihil difficile fuisset artificiosam illam naturam fateri facultates habere, quibus conuenientia ad se trahat, aliena à se repellat. Neque enim profectò aliud illi erat artifici esse, & animalis seruatrici, & morborum decretrici, quàm vt, quod conueniens est, appeteret, ac seruaret; & quod alienum est, separaret. Verùm Asclepiades hîc quoque sicut consequentiam ex principiis iis, quæ proposuit, non est oblitus, ita pugnantiam cum iis, quæ manifestè apparent, nihil est veritus. Sed in eo omnibus refragatur, non medicis modò, verùm etiam reliquis hominibus; quòd omnem in morbis naturæ crisim, & decretorium diem, & naturam, pro animalis salute in vniuersum quicquam moliri negat; vbique enim, quod consequens est, tueri vult; quod manifestè apparet, subuertere; contra planè quam Epicurus. Hic enim, quod apparet, semper recipiens, causam deinde eius frigidam reddit. Parua namque illa corpuscula, quæ à magnete lapide resiliunt, cum aliis similibus ferri corpusculis complicari; deinde per eum, qui nusquam apparet, complexum, tam grauem substantiam attrahere, haud scio, vt credi à quoquam possit. Quippe si id concedamus, certè illud, quàm pendenti ferro alia si admoueas, ea quoque appenduntur, eandem causam non recipit. Nam quid dicemus? an particularum, quæ à lapide defluunt, quasdam, vbi ferro occursant, resilire, atque has esse, per quas ferrum pendere contingat; quasdam ipsum ferrum ingressas, per vacuos meatus ocyssimè transire; deinde in proximum ferrum impingere, neque illud ingredi posse, tametsi priùs ferrum sint ingressæ, sed rursum ad prius resilientes, alios atque alios efficere complexus prioribus similes? Hîc namque manifestè vanitas causæ proditur. Siquidem vidimus ferreos stilos quinque continenter sibi appensos, quorum primus partem lapidis tetigit, per illum scilicet diffusa in reliquos lapidis facultate. Nec est, quòd dicas, si infimæ stili parti alterum appendas, hærere hunc & pendere; si alij cuiuis parti earum, quæ à lateribus sunt, admoueas, non hærere; similiter enim vndique diffunditur lapidis vis, si tantùm contingat ex aliqua parte primum stilum; atque ex hoc in totum secundum subitò transfluat; sicut ex illo rursus in tertium totum. Quòd si exiguum mihi magnetem in domo quapiam pendere intelligas, deinde hunc vndique multa exigua ferri corpuscula tangere, atque hæc rursus alia, & illa itidem tertia, itaque vlterius procedatur, omnia profectò ferrea corpuscula iis, quæ à lapide defluunt, corpusculis impleri debebunt; ferèque digeretur exiguus ille lapillus, dum in defluuia soluitur. Iam si nullum eum attingat ferrum, etiam in ipsum aëra dissipabitur, potissimum si is calidus est. Sanè quidem, inquit,

A θάνον ὑποθέμενος, καὶ μηδεμίαν ἄλλην ἰδίαν, ἐφ' οἷς ὑπέθετο στοιχείοις ἐξευρίσκων πιθανήν, ἐπὶ τὸ μηδ' ὅλως ἕλκεσθαι λέγειν ὑπὸ μηδενὸς μηδὲν, ἀναισχυντήσας ἐτράπετο. δέον, εἰ μήθ' οἷς Ἐπίκουρος εἶπεν ἠρέσκετο, μήτ' ἄλλα βελτίω λέγειν εἶχεν, ἀποστῆναι τῶν ὑποθέσεων, καὶ τήν τε φύσιν εἰπεῖν τεχνικὴν, ἔτι τε καὶ οὐσίαν τῶν ὄντων ἑνουμένην τε πρὸς ἑαυτὴν ἀεὶ, καὶ ἀλλοιουμένην πρὸς τῶν ἑαυτῆς μορίων, εἰς ἄλληλα δρώντων τε, καὶ πασχόντων. εἰ γὰρ ταῦθ' οὕτως ὑπέθετο, χαλεπὸν οὐδὲν ἦν τὴν τεχνικὴν ἐκείνην φύσιν, ὁμολογῆσαι δυνάμεις ἔχειν, ἐπισπαστικὰς μὲν τῶν
B οἰκείων, ἀποκριτικὰς δὲ τῶν ἀλλοτρίων. οὐ γὰρ δὴ ἄλλο τί γε ἦν αὐτῇ τὸ, τεχνικῇ τε εἶναι, καὶ τοῦ ζώου διασωστικῇ, καὶ τῶν νοσημάτων κριτικῇ, παρὰ τὸ, προσίεσθαι μὲν καὶ φυλάττειν τὸ οἰκεῖον, ἀποκρίνειν δὲ τὸ ἀλλότριον. ἀλλ' Ἀσκληπιάδης κἀνταῦθα, τὸ μὲν ἀκόλουθον ταῖς ἀρχαῖς αἷς ὑπέθετο συνεῖδεν. οὐ μὴν τήν γε πρὸς τὸ φαινόμενον ἐναργῶς ᾐδέσθη μάχην, ἀλλ' ὁμόσε χωρεῖ, καὶ περὶ τούτου, πᾶσιν οὐκ ἰατροῖς μόνον, ἀλλ' ἤδη καὶ τοῖς ἄλλοις ἀνθρώποις, οὔτε κρίσιν εἶναί τινα λέγων, οὔθ' ἡμέραν κρίσιμον, οὔθ' ὅλως ἐπὶ σωτηρίᾳ ζώου πραγματεύεσθαι τὴν φύσιν. ἀεὶ γὰρ τὸ μὲν ἀκόλουθον
C φυλάττειν βούλεται, τὸ δ' ἐναργῶς φαινόμενον ἀνατρέπειν, ἔμπαλιν Ἐπικούρῳ. τιθεὶς γὰρ ἐκεῖνος ἀεὶ τὸ φαινόμενον, αἰτίαν αὐτοῦ ψυχρὰν ἀποδίδωσι. τὰ γὰρ ἀποπαλλόμενα σμικρὰ σώματα τῆς ἡρακλείας λίθου, τοιούτοις ἑτέροις περιπλέκεσθαι μορίοις τοῦ σιδήρου, κἄπειτα διὰ τῆς περιπλοκῆς ταύτης, καὶ μηδαμοῦ φαινομένης, ἐπισπᾶσθαι βαρεῖαν οὕτως οὐσίαν, οὐκ οἶδ' ὅπως ἄν τις πεισθείη. καὶ γὰρ εἰ τοῦτο συγχωρήσαιμεν, τό γε τῷ σιδήρῳ πάλιν ἕτερα προστιθέντι συνάπτεσθαι, τὴν αὐτὴν αἰτίαν οὐκέτι προσίεται. τί γὰρ ἐροῦμεν; ἢ δηλαδὴ τῶν ἀπορρεόντων τῆς λίθου μορίων, ἔνια μὲν προσκρού-
D σαντα τῷ σιδήρῳ, πάλιν ἀποπάλλεσθαι. καὶ ταῦτα μὲν εἶναι δι' ὧν κρεμᾶσθαι συμβαίνῃ τὸν σίδηρον. τὰ δ' εἰς αὐτὸν εἰσδυόμενα, διὰ τῶν κενῶν πόρων διέρχεσθαι τάχιστα, κἄπειτα τῷ παρακειμένῳ σιδήρῳ προσκρούοντα, μήτ' ἐκεῖνον διαδῦναι δύνασθαι, καίτοι τόν γε πρῶτον διαδύντα. πάλιν δρομοῦντα δ' αὖθις ἐπὶ τὸν πρότερον, ἑτέρας αὖθις ἐργάζεσθαι ταῖς προτέραις ὁμοίας περιπλοκάς. ἐναργῶς γὰρ ἐνταῦθα, τὸ ληρῶδες τῆς αἰτίας ἐλέγχεται. γραφεῖα γοῦν οἶδά ποτε σιδηρᾶ πέντε, κατὰ τὸ συνεχὲς ἀλλήλοις συναφθέντα, τοῦ πρώτου μὲν μόνου τῆς λίθου ψαύσαντος, ἐξ ἐκεί-
E νου δ' εἰς τἄλλα τῆς δυνάμεως διαδοθείσης, καὶ οὐκ ἔστιν εἰπεῖν, ὡς εἰ μὲν τῷ κάτω τοῦ γραφείου πέρατι προστάξαις ἕτερον, ἔχεταί τε, καὶ συνάπτεται, καὶ κρέμαται τὸ προσενεχθέν. εἰ δ' ἄλλῳ τινὶ μέρει τῶν πλαγίων προσθείης, οὐ συνάπτεται. πάντη γὰρ ὁμοίως ἡ τῆς λίθου διαδίδοται δύναμις, εἰ μόνον ἅψαιτο κατά τι, τοῦ πρώτου γραφείου. καὶ μέντοι κἀκ τούτου πάλιν εἰς τὸ δεύτερον ὅλον, ἡ δύναμις ἅμα νοήματι διαρρεῖ, κἀξ ἐκείνου πάλιν εἰς τὸ τρίτον ὅλον. εἰ δὴ νοήσαις μικράν τινα λίθον ἡρακλείαν ἐν οἴκῳ τινὶ κρεμαμένην, εἶτ' ἐν κύκλῳ πάμπολλα ψαύοντα σιδήρια, κἀ-
F κείνων πάλιν ἕτερα, κἀκείνων ἄλλα, καὶ τοῦτ' ἄχρι πλείονος, ἅπαντα δήπου πίμπλασθαι χρὴ τὰ σιδήρια τῶν ἀπορρεόντων τῆς λίθου σωμάτων. καὶ κινδυνεύει διαφορηθῆναι, τὸ σμικρὸν ἐκεῖνο λιθίδιον, εἰς τὰς ἀπορροὰς διαλυθέν. καίτοι κἂν εἰ μηδὲν παράκειτο αὐτῷ σιδήριον, εἰς τὸν ἀέρα σκεδάννυται, μάλιστ' εἰ καὶ θερμὸς ὑπάρχῃ. ναί φησι,

σμικρὰ γὰρ αὐτὰ χρὴ πάνυ νοεῖν, ὥστε τῶν ἐμφερομένων τῷ ἀέρι ψηγμάτων τούτων δὴ τῶν σμικροτάτων ἐκείνων ἕνια, μυριοστὸν εἶναι μέρος. εἶτ' ἐξ οὕτω σμικρῶν, τολμᾶτε λέγειν κρεμάννυσθαι βάρη τηλικαῦτα σιδήρου. εἰ γὰρ ἕκαστον αὐτῶν μυριοστόν ἐστι μέρος τῶν ἐν τῷ ἀέρι φερομένων ψηγμάτων, πηλίκον χρὴ νοῆσαι τὸ πέρας αὐτῶν, τὸ ἀγκιστρῶδες, ᾧ περιπλέκεται πρὸς ἄλληλα. πάντως γὰρ δή που τοῦτο σμικρότατόν ἐστιν ὅλου τοῦ ψήγματος. εἶτα μικρὸν μικρῷ, κινούμενον κινουμένῳ περιπλακὲν, οὐκ εὐθὺς ἀποπάλλεται. καὶ γὰρ δὴ καὶ ἄλλα ἄττα πάντως αὐτοῖς, τὰ μὲν κάτωθεν, τὰ δ' ἄνωθεν, καὶ τὰ μὲν ἔμπροσθεν, τὰ δ' ὄπισθεν, τὰ δ' ἐκ τῶν δεξιῶν, τὰ δ' ἐκ τῶν ἀριστερῶν ἐκρηγνύμενα, σείει τε καὶ ταράττει, καὶ μένειν οὐκ ἐᾷ. καὶ μέντοι καὶ πολλὰ χρὴ νοεῖν ἐξ ἀνάγκης, ἕκαστον ἐκείνων τῶν μικρῶν σωμάτων, ἔχειν ἀγκιστρώδη πέρατα. δι' ἑνὸς μὲν γὰρ ἀλλήλοις οὐ συνάπτεται, δι' ἑτέρου δ' ἑνὸς τοῦ μὲν, ὑπερκειμένου τῇ λίθῳ, τοῦ δ' ὑποκειμένου τῷ σιδήρῳ. εἰ γὰρ ἄνω μὲν ἐξαφθείη τῆς λίθου, κάτω δὲ τῷ σιδήρῳ μὴ συμπλακείη, πλέον οὐδέν. ὥστε τοῦ μὲν ὑπερκειμένου τὸ ἄνω μέρος ἐκκρέμασθαι χρὴ τῆς λίθου, τοῦ δ' ὑποκειμένου τῷ κάτω πέρατι συνῆφθαι τὸν σίδηρον. ἐπεὶ δὲ κἀκ τῶν πλαγίων ἀλλήλοις περιπλέκεται, πάντως που κἀνταῦθ' ἔχει τὰ ἄγκιστρα. καὶ μέμνησό μοι πρὸ πάντων, ὅπως ὄντα σμικρὰ, τὰς τοσαύτας τε, καὶ τοιαύτας ἀποφύσεις ἔχει. καὶ τούτου μᾶλλον ἔτι δεῖ μεμνῆσθαι, ὅπως ἵνα τὸ δεύτερον σιδήρειον συναφθῇ τῷ πρώτῳ, καὶ τῷ δευτέρῳ τὸ τρίτον, κἀκείνῳ τὸ τέταρτον, ἅμα μὲν διέρχεσθαι χρὴ τοῖς πόροις ταυτὶ τὰ σμικρὰ καὶ ληρώδη ψήγματα, ἅμα δ' ἀποπάλλεσθαι τοῦ μετ' αὐτὸ τεταγμένου, καίτοι κατὰ πᾶν ὁμοίου τὴν φύσιν ὑπάρχοντος. οὐδὲ γὰρ ἡ τοιαύτη πάλιν ὑπόθεσις, ἄτολμος. ἀλλ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, μακρῷ τῶν ἔμπροσθεν ἀναισχυντοτέρα. πέντε σιδηρείων ὁμοίων ἀλλήλοις ἐφεξῆς τεταγμένων, διὰ μὲν τοῦ πρώτου διαδυόμενα ῥᾳδίως τῆς λίθου τὰ μόρια, κατὰ δὲ τὸ δεύτερον ἀποπάλλεσθαι, καὶ μὴ διὰ τούτου κατὰ τὸν αὐτὸν τρόπον ἑτοίμως διεξέρχεσθαι. καὶ μὴν ἑκατέρως ἄτοπον. εἰ μὲν ἀποπάλλεται, πῶς εἰς τὸ τρίτον ὠκέως διεξέρχεται. εἰ δ' οὐκ ἀποπάλλεται, πῶς κρεμάννυται τὸ δεύτερον ἐκ τοῦ πρώτου, τὴν γὰρ ἀπόπαλσιν αὐτὸς ὑπέθετο δημιουργὸν τῆς ὁλκῆς. ἀλλ' ὅπερ ἔφην, εἰς ἀδολεσχίαν ἀναγκαῖον ἐμπίπτειν, ἐπειδάν τις τοιούτοις ἀνδράσι διαλέγηται. συντόμον οὖν τινα καὶ κεφαλαιώδη λόγον εἰπὼν, ἀπαλλάττεσθαι βούλομαι. τοῖς γὰρ Ἀσκληπιάδου γράμμασιν εἴ τις ἐπιμελῶς ὁμιλήσειε, τήν τε πρὸς τὰς ἀρχὰς ἀκολουθίαν τῶν τοιούτων δογμάτων, ἀκριβῶς ἂν ἐκμάθοι, καὶ τὴν πρὸς τὰ φαινόμενα μάχην. ὁ μὲν οὖν Ἐπίκουρος, τὰ φαινόμενα φυλάττειν βουλόμενος, ἀσχημονεῖ φιλοτιμούμενος ἐπιδεικνύειν αὐτὰ ταῖς ἀρχαῖς ὁμολογοῦντα. ὁ δ' Ἀσκληπιάδης, τὸ μὲν ἀκόλουθον ταῖς ἀρχαῖς φυλάττει, τοῦ φαινομένου δ' οὐδὲν αὐτῷ μέλει. ὅστις οὖν βούλεται τὴν ἀτοπίαν ἐξελέγχειν τῶν ὑποθέσεων, εἰ μὲν πρὸς Ἀσκληπιάδην ὁ λόγος αὐτῷ γίγνοιτο, τῆς πρὸς τὸ φαινόμενον ἐπιμιμνησκέτω μάχης. εἰ δὲ πρὸς Ἐπίκουρον, τῆς πρὸς τὰς ἀρχὰς διαφωνίας. αἱ δ' ἄλλαι σχεδὸν αἱρέσεις αἱ τῶν ὁμοίων ἀρχῶν ἐχόμεναι, τελέως ἀπεσβέσθησαν. αὗται δ' ἔτι μόναι διαρκοῦσιν οὐκ ἀγεννῶς. καίτοι τὰ μὲν Ἀσκληπιάδου, Μηνόδοτος ὁ ἐμπειρικὸς, ἀφύκτως ἐξελέγχει, τήν τε πρὸς τὰ φαινόμενα μάχην ὑπομιμνήσκων αὐτὸν, καὶ τὴν πρὸς ἄλληλα. τὰ δ' Ἐπικούρου πάλιν, ὁ Ἀσκληπιάδης, ἐχόμενος ἀεὶ τῆς ἀκολουθίας, ἧς ἐκεῖνος οὐ πάνυ τι φαίνεται φροντίζων.

A nam admodum parua ea intelligi oportebit, ita vt minimorum horum corporum, quæ feruntur in aëre, eorũ aliqua decies milleſima pars ſint. Et tam grauia ferri pondera per tam exigua ſuſpendi dicere audetis? Si enim ſingula eorum ſunt tanquam vna ex decies milleſimis partibus corpuſculorum eorum, quæ in aëre volitant, quantus, quæſo, cenſendus eſt eorum finis, qui in vncum formatur, quo inter ſe complicantur? Omnino enim is minimum eſt totius corpuſculi, deinde exiguum exiguo, motum moto complicato, non ſtatim reſilit. Iam alia quoque quædam omnino contra ipſa partim infernè, partim supernè, partim antè, partim retrò, partim à dextris, partim à ſiniſtris erumpentia, concutiunt turbántque, nec manere permittunt. Quinetiam intelligi oportebit ſingula illorum exiguorum corporum, multos vnceos fines neceſſariò habere; quippe per vnum inter ſe copulantur: per alterum verò, id eſt eum qui ſupra habetur, lapidi hærent; per eum qui infra eſt, ferro. Nam, ſi supernè quidem pendeant à lapide, inferne autem cum ferro non copulentur, nihil efficitur. Quare eius, quod ſupra habetur, ſuperna pars pendere debet à lapide; eius verò, quod infra eſt, infernæ parti coniungi debet ferrum. Quum verò & lateribus inter ſe ſint complicata, omnino hic quoque vncos poſſident. Iam mihi ante omnia illius recordaberis quemadmodum exigua quum ſint, tot tantáque ex ſe habeant enata. Illud verò etiam magis meminiſſe debebis, exigua hæc ridiculáque corpuſcula, ſi modo ſecundum ferrum coniungetur cum primo, & tertium cum ſecundo, & cum illo quartũ, ſimul trãſitura eſſe exiguos prioris ſtili meatus, ſimul à ſecundo ſtilo reſultura, tametſi cũ priore is per omnia ſimilis ſit naturæ. Neque enim talis hypotheſis non audax eſt; ſed, ſi fatendum verum eſt, longè prioribus inuerecũdior, vt quinque ſtilorũ ſimilium, qui mutuò ex ſe deinceps pendeant, per primi exiguos meatus, deſſuuia lapidis facilè trãſeant, à ſecundo reſiliant, nec per huius meatus pari modo promptè trãſeant. Atqui vtroque modo incommodum accidit; ſi namque reſiliunt, quo pacto in tertiũ celeriter tranſeunt? ſi autem non reſiliunt, quo pacto ſuſpenditur ſecundũ à primo, quum ipſemet tractus cauſam, non aliam, quam reſultum, faciat? Sed quod dixi, in garrulitatem neceſſe eſt incidat quiſquis cum his viris diſputat. Quare breui compendio ſumma complexus, tranſire ab his volo. Si quis enim Aſclepiadis ſcripta diligenter legat, tum cõſequentiam talium dogmatũ à principiis poſitis clarè agnoſcet, tum verò cum iis, quæ apparent, pugnam. Atque Epicurus quidẽ apparentia tueri volens, dum ambit ea cũ principiis ſuis conſentire oſtendere, incõcinna dicit; Aſclepiades conſequentiã ex principiis ſeruat, de apparentibus nihil curat. Quiſquis igitur propoſitorum ab iſtis incommoda refellere ſtudet, ſi cũ Aſclepiade diſputat, pugnę cum apparentibus eum ſubmoneat; ſi cum Epicuro eius cũ principiis ſuis diſſonantiæ. Aliæ ferè ſectæ, quæ ſimilibus nituntur principiis, prorſus interciderũt, hæ ſolæ durant, non ignobiles. Quanquam Aſclepiadis dogma Menodotus Empiricus ineuitabiliter refellit, tum eam, quæ eſt cum apparentibus, tum eam, quæ cum aliis à ſe dictis, repugnantiam illi obijciens. Rurſum Epicuri placita Aſclepiades, conſequẽtiæ ipſe ex principiis ſemper inſiſtens; quæ illi parum fuiſſe curæ videtur.

B C D E F

At qui

At qui hodie sunt homines, prius, quàm vel has sectas, vel alias his meliores didicerint, deinde longo tempore examinauerint, ac quod in singulis eorum verum sit, aut falsum, iudicauerint, alij se medicos, alij philosophos nominant, quum tamen nihil sciant. Mirum igitur nihil est, si ab iis veris ac falsis par honos habeatur. Quippe qualem in præceptorem quisque primum inciderit, talis euasit, nihil prestolatus ab alio etiam didicisse; aliqui verò ex iis etiam, si in plures inciderint, adeo tamen sunt hebeti, & tardo ingenio, vt ne senes quidem orationis consequentiam adhuc intelligant. Hos porrò olim iam ad illiberales artes ablegaui. Verùm, hæc quorsum euasura sint, ipsi dij viderint. Nos tametsi refugerimus disputare contra eos, qui in ipsis statim principiis falluntur, tamen, quoniam ipsa rerum consequentia coacti sumus contra eos aliquid dicere, hoc quoque iis, quæ dicta sunt, adiectum volui. Non ea modò, quæ purgant medicamenta, proprias sibi qualitates attrahere; sed etiam, quæ aculeos euellunt, & telorum cuspides, quæ præaltè nonnunquam in carne sunt infixæ. Iam verò, quæcunque vel serpentum venena, vel quæ telis sunt illita, educunt, hæc quoque eandem, quam magnes lapis, facultatem ostendunt. Sanè ipse aliquando noui infixum iuuenis pedi aculeum, qui hominis digitos violenter vellentis minimè sequebatur, eundem medicamento imposito celeriter, & sine offensa euulsum. Quanquam contra hoc quoque quidam instant, dicentes post solutam partis phlegmonem vltrò exire aculeum, quamuis à nullo alio vellatur. Verùm hi primùm illud ignorare videntur, quod phlegmones medicamenta diuersa sint ab iis, quæ sic infixa eruant; quanquam, si liberatis à phlegmone partibus emitterentur, quæ in iis essent præter naturam, ea quæ phelgmonem soluunt, protinus trahendi illa vim haberent. Deinde (quod vtique magis mirere, nec illud nouisse, quod non solum alia aculeos, alia venenum trahendi facultatem habeant; sed etiam eorum, quæ venena trahunt, alia venenum viperæ, alia marinæ pastinacæ, alia alterius cuiuspiam trahant; liquidóque videre liceat super ipsis medicamentis venena iacentia. Quo loco rursus Epicuri erga rerum euidentiam, vt verecundiam laudare, sic causæ rationem, quam assignat, damnare licet. Quem namque aculeum nos digitis euellere nequimus, hunc exiguis illis ramentis extrahi quo pacto putare non sit omninò absurdissimum? Nunquid iam nobis persuasum est, rebus quibusque vim quandam inesse, qua conuenientem sibi qualitatem attrahant; atque hanc huic magis inesse, huic minus? An tritici quoque exemplum legentibus proponemus? Videbuntur enim agricolis quoque in rebus naturalibus rudiores ij, qui nihil vsquam trahi ab vllo concedunt. Quippe ipse, quum primum rem gestam audirem, admiratus sum: voluique ipse rem oculorum fide experiri. Vbi experimentum respondit, quum causam requirerem longo tempore per omnes sectas, nullam aliam inuenire potui, quæ vel probabilitatem aliquam præ se ferret, imò omnes planè ridiculas, & improbatas, præter illam, quæ trahendi facultatem proponit. Res autem, quæ gesta est, erat eiusmodi. Agricolæ nostri in Asia, cum triticum ex agro in oppidum in plaustris comportant, vbi suffurari aliquid volunt, nec tamen deprehendi, fictilia quædam aqua impleta in medium triticũ condũt.

ἀλλ' οἱ νῦν ἄνθρωποι, πρὶν καὶ ταύτας ἐκμαθεῖν τὰς αἱρέσεις, καὶ τὰς ἄλλας τὰς βελτίους, κἄπειτα χρόνῳ πολλῷ κρῖναί τε καὶ βασανίσαι τὸ καθ' ἕκαστον αὐτῶν ἀληθές τε καὶ ψεῦδος, οἱ μὲν ἰατροὺς ἑαυτούς, οἱ δὲ φιλοσόφους ὀνομάζουσι, μηδὲν εἰδότες. οὐδὲν οὖν θαυμαστόν, ἐπίσης τοῖς ἀληθέσι τὰ ψευδῆ τετιμῆσθαι. ὁποίῳ γὰρ ἂν ἕκαστος πρώτῳ περιτύχῃ διδασκάλῳ, τοιοῦτος ἐγένετο, μὴ περιμείνας μηδὲν ἔτι παρ' ἄλλου μαθεῖν. ἔνιοι δ' αὐτῶν, εἰ καὶ πλείοσιν ἐντύχοιεν, ἀλλ' οὕτως γ' εἰσὶν ἀσύνετοί τε καὶ βραδεῖς τὴν διάνοιαν, ὥστε καὶ γεγηρακότες οὔπω συνιᾶσιν ἀκολουθίαν λόγου. πάλαι δὲ τοὺς τοιούτους ἐπὶ τὰς βαναύσους τέχνας ἀπήλαυνον. ἀλλὰ ταῦτα μὲν εἰς ὅ, τι τελευτήσει, θεοῖς εἰδέναι. ἡμεῖς δ', ἐπεὶ καίτοι φεύγοντες ἀντιλέγειν τοῖς ἐν αὐταῖς ταῖς ἀρχαῖς εὐθὺς ἐσφαλμένοις, ὅμως ἠναγκάσθημεν ὑπ' αὐτῆς τῆς τῶν πραγμάτων ἀκολουθίας, εἰπεῖν τινα καὶ διαλεχθῆναι πρὸς αὐτούς, ἔτι καὶ τοῦτο προσθήσομεν τοῖς εἰρημένοις, ὡς οὐ μόνον τὰ καθαίροντα φάρμακα πέφυκεν ἐπισπᾶσθαι τὰς οἰκείας ποιότητας, ἀλλὰ καὶ τὰ τοὺς σκόλοπας ἀνάγοντα, καὶ τὰς τῶν βελῶν ἀκίδας, εἰς πολὺ βάθος σαρκὸς ἐμπεπαρμένας ἐνίοτε. καὶ μέντοι καὶ ὅσα τοὺς ἰοὺς τῶν θηρίων, ἢ τοῖς ἐμπεφαρμαγμένοις βέλεσιν ἀνέλκει, καὶ ταῦτα, τὴν αὐτὴν ταῖς ἡρακλείαις λίθοις ἐπιδείκνυται δύναμιν. ἔγωγ' οὖν οἶδά ποτε καταπεπαρμένον ἐν ποδὶ νεανίσκου σκόλοπα, τοῖς μὲν δακτύλοις ἕλκουσιν ἡμῖν βιαίως οὐκ ἀκολουθήσαντα, φαρμάκου δ' ἐπιτεθέντος, ἀλύπως τε καὶ διὰ ταχέων ἀνελθόντα. καίτοι καὶ πρὸς τοῦτό τινες ἀντιλέγουσι, φάσκοντες, ὅταν ἡ φλεγμονὴ λυθῇ τοῦ μέρους, αὐτομάτως ἐξιέναι τὸν σκόλοπα, πρὸς οὐδενὸς ἀνελκόμενον ἄλλου. ἀλλ' οὗτοί γε, πρῶτον μὲν ἀγνοεῖν ἐοίκασιν, ὡς ἄλλα μέν ἐστι φλεγμονῆς, ἄλλα δὲ τῶν οὕτω καταπεπαρμένων ἑλκτικὰ φάρμακα. καίτοι γ' εἴπερ ἀφλεγμάντων γενομένων, ἐξεκρίνετο τὰ παρὰ φύσιν, ὅσα φλεγμονῆς ἐστι λυτικά, ταῦτ' εὐθὺς ἂν ἦν κἀκείνων ἑλκτικά. δεύτερον δ', ὃ καὶ μᾶλλον ἄν τις θαυμάσειεν, ὡς οὐ μόνον, ἀλλὰ μὲν τοὺς σκόλοπας, ἄλλα δὲ τοὺς ἰοὺς ἕλκει. ἀλλὰ καὶ αὐτῶν τῶν τοὺς ἰοὺς ἑλκόντων, τὰ μὲν τὸν τῆς ἐχίδνης, τὰ δὲ τὸν τῆς τρυγόνος, τὰ δ' ἄλλου τινὸς ἐπισπᾶται. καὶ σαφῶς ἐστι τοῖς φαρμάκοις ἐπικειμένους ἰδεῖν αὐτούς. ἐνταῦθ' οὖν, Ἐπίκουρον μὲν πάλιν ἐπαινεῖν χρὴ τῆς πρὸς τὸ φαινόμενον αἰδοῦς, μέμφεσθαι δὲ τὸν λόγον τῆς αἰτίας. ὃν γὰρ ἡμεῖς ἕλκοντες τοῖς δακτύλοις οὐκ ἀνηγάγομεν σκόλοπα, τοῦτον ὑπὸ τῶν σμικρῶν ἐκείνων ἀνέλκεσθαι ψηγμάτων, πῶς οὐ παντάπασιν ἄτοπον εἶναι χρὴ νομίζειν; ἆρ' οὖν ἤδη πεπείσμεθα, τῶν ὄντων ἑκάστῳ δύναμίν τινα ὑπάρχειν, ᾗ τὴν οἰκείαν ἕλκει ποιότητα, τὸ μὲν μᾶλλον, τὸ δ' ἧττον. ἢ καὶ τὸ τῶν πυρῶν ἔτι παράδειγμα προσχρησόμεθα τῷ λόγῳ. φανοῦνται γάρ, οἶμαι, καὶ τῶν γεωργῶν ἀμαθέστεροι τὰ περὶ φύσεως, οἱ μηδὲν ὅλως ὑπὸ μηδενὸς ἕλκεσθαι συγχωροῦντες, ὡς ἔγωγε πρῶτον μὲν ἀκούσας τὸ γινόμενον, ἐθαύμασα, καὶ αὐτὸς ἐβουλήθην αὐτόπτης αὐτοῦ καταστῆναι. μετὰ ταῦτα δέ, ὡς καὶ τὸ τῆς πείρας ὡμολόγει, τὴν αἰτίαν σκεπτόμενος, ἐν παμπόλλῳ χρόνῳ κατὰ πάσας τὰς αἱρέσεις, οὐδεμίαν ἄλλην εὑρεῖν οἷός τε ἦν, οὐδ' ἄχρι τοῦ πιθανοῦ προϊοῦσαν, ἀλλὰ καταγελάστους τε, καὶ σαφῶς ἐξεληλεγμένας τὰς ἄλλας ἁπάσας, πλὴν τῆς τὴν ὁλκὴν πρεσβευούσης. ἔστι δὲ τὸ γινόμενον τοιόνδε, μετακομίζοντες οἱ παρ' ἡμῖν γεωργοὶ τοὺς ἐκ τῶν ἀγρῶν πυροὺς εἰς τὴν πόλιν, ἐν ἁμάξαις τισίν, ὅταν ὑφελέσθαι βουληθῶσιν, ὥστε μὴ φωραθῆναι, κεράμια ταῦτα πληρώσαντες ὕδατος, μέσοις αὐτοῖς ἐνιστᾶσιν.

ἕλκοντες οὖν ἐκεῖνοι διὰ τοῦ κεραμίου τὸ ὑγρὸν εἰς αὐτούς, ὄγκον μὲν καὶ βάρος προσκτῶνται, κατάδηλοι δ' οὐ πάνυ γίγνονται τοῖς ὁρῶσιν. εἰ μή τις προπεπυσμένος ἤδη περιεργότερον ἐπισκοποῖτο. καίτοι γ' εἰ βουληθείης ἐν ἡλίῳ καταθεῖναι πάνυ θερμῷ ταὐτὸν ἀγγεῖον, ἐλάχιστον παντελῶς εὑρήσεις τὸ δαπανώμενον ἐφ' ἑκάστης ἡμέρας. οὕτως ἄρα καὶ ἡ τῆς ἡλιακῆς θερμασίας τῆς σφοδρᾶς, ἰσχυροτέραν οἱ πυροὶ δύναμιν ἔχουσιν, ἕλκειν εἰς ἑαυτοὺς τὴν πλησιάζουσαν ὑγρότητα. λῆρος οὖν ἐνταῦθα μακρός, ἡ πρὸς τὸ λεπτομερὲς φορὰ τοῦ περιέχοντος ἡμᾶς ἀέρος, καὶ μάλισθ' ὅταν ἱκανῶς ᾖ θερμός. πολὺ μὲν ὑπάρχοντος ἢ κατὰ τοὺς πυρούς, λεπτομερεστέρου, δεχομένου δ' οὐδὲ τὸ δέκατον μέρος τῆς εἰς ἐκείνους μεταλαμβανομένης ὑγρότητος.

Id ergo humorem in se per fictilia trahens, tum molem sibi, tum pondus adiicit; quod tamen non facilè ab intuentibus aduertitur, nisi quis ante admonitus, curiosius rem æstimet. Quanquam sanè, si in Sole præcalido vas idem deponere velis, quam minimum erit, quod diebus singulis absumptum cernes; adeo etiam, quàm vehemens calor Solis, triticum trahendi ad se vicini humoris maiorem vim habet. Ergo nugæ meræ fuerint, siquis hoc loco abitionem in aëris circundati nobis tenuitatem, causam rei putet, potissimúmque vbi is admodum incaluit; quippe qui, tametsi, quam triticum, multò est tenuior, ne decimam quidem partem accipit humoris, qui in illud est absumptus.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Τοὺς νεφροὺς τὴν ἑλκτικὴν δύναμιν ἔχειν.

Ἐπεὶ δ' ἱκανῶς ἠδολεσχήσαμεν οὐχ ἑκόντες, ἀλλ' ὡς ἡ παροιμία φησί, μαινομένοις ἀναγκασθέντες συμμανῆναι, πάλιν ἐπὶ τὴν τῶν οὔρων ἐπανέλθωμεν διάκρισιν, ἐν ᾗ τῶν μὲν Ἀσκληπιάδου λήρων ἐπιλαθώμεθα. μετὰ δὲ τῶν πεπεισμένων διηθεῖσθαι τὰ οὖρα διὰ τῶν νεφρῶν, τίς ὁ τρόπος ἐστὶ τῆς ἐνεργείας ἐπισκεψώμεθα. πάντως γάρ, ἢ ἐξ αὑτῶν ἐπὶ τοὺς νεφροὺς φέρεται τὰ οὖρα, τοῦτο βέλτιον εἶναι νομίζοντα, καθάπερ ἡμεῖς ὁπόταν εἰς τὴν ἀγορὰν ἀπίωμεν. ἢ εἰ τοῦτ' ἀδύνατον, ἕτερόν τι χρὴ τῆς φορᾶς αὐτῶν ἐξευρεῖν αἴτιον. τί δὴ οὖν τοῦτ' ἔστιν; εἰ γὰρ μὴ τοῖς νεφροῖς δώσομεν τινὰ δύναμιν ἑλκτικὴν τῆς τοιαύτης ποιότητος, ὡς Ἱπποκράτης ἐνόμιζεν, οὐδὲν ἕτερον ἐξευρήσομεν. ὅτι μὲν γὰρ ἤτοι τούτους ἕλκειν αὐτὸ προσῆκεν, ἢ τὰς φλέβας πέμπειν, εἴπερ γε μὴ ἐξ ἑαυτοῦ φέρεται, παντί που δῆλον. ἀλλ' εἰ μὲν αἱ φλέβες περιστελλόμεναι προωθοῖεν, οὐκ ἐκεῖνο μόνον, ἀλλὰ σὺν αὐτῷ καὶ τὸ πᾶν αἷμα περιεχόμενον ἐν ἑαυταῖς, εἰς τοὺς νεφροὺς ἐκθλίψουσιν. εἰ δὲ τοῦτ' ἀδύνατον, ὡς δείξομεν, λείπεται τοὺς νεφροὺς ἕλκειν. πῶς οὖν τοῦτ' ἀδύνατον, τῶν νεφρῶν ἡ θέσις ἀντιβαίνει; οὐ γὰρ δὴ οὕτω γ' ὑπόκεινται τῇ κοίλῃ φλεβί, καθάπερ τοῖς ἐξ ἐγκεφάλου περιττώμασιν, ἔν τε τῇ ῥινὶ καὶ κατὰ τὴν ὑπερῴαν, οἱ τοῖς ἠθμοῖς ὅμοιοι πόροι. ἀλλ' ἑκατέρωθεν αὐτῇ παράκεινται. καὶ μὴν εἴπερ ὁμοίως τοῖς ἠθμοῖς, ὅσον ἂν ᾖ λεπτότερον, καὶ τελέως ὀρρῶδες, τοῦτο μὲν ἑτοίμως διαπέμπουσι· τὸ δὲ παχύτερον ἀποστέγουσιν, ἅπαν ἐπ' αὐτοὺς ἰέναι χρὴ τὸ αἷμα τὸ περιεχόμενον ἐν τῇ κοίλῃ φλεβί, καθάπερ εἰς τὸν τρυγητὸν ὁ πᾶς οἶνος ἐμβάλλεται. καὶ μέν γε καὶ τὸ τοῦ γάλακτος τοῦ τυρουμένου παράδειγμα, σαφῶς ἂν ὃ βούλομαι λέγειν, ἐνδείξηται. καὶ γὰρ καὶ τοῦτο, πᾶν ἐμβληθὲν εἰς τοὺς ταλάρους, οὐ πᾶν διηθεῖται, ἀλλ' ὅσον ἂν ᾖ λεπτότερον τῆς εὐρύτητος τῶν πλοκάμων, εἰς τὸ κάταντες φέρεται, καὶ τοῦτο μὲν ὀρρὸς ἐπονομάζεται. τὸ λοιπὸν δὲ παχύ, τὸ μέλλον ἔσεσθαι τυρός, ὡς ἂν οὐ παραδεχομένων αὐτὸ τῶν ἐν τοῖς ταλάροις πόρων, οὐ διεκπίπτει κάτω. καὶ τοίνυν εἴπερ οὕτως μέλλει διηθεῖσθαι τῶν νεφρῶν, ὁ τοῦ αἵματος ὀρρός, ἅπαν ἐπ' αὐτοὺς ἥκειν χρὴ τὸ αἷμα. καὶ μὴ τὸ μὲν ἥκειν, τὸ δ' οὔ. πῶς οὖν ἔχει τὸ φαινόμενον ἐκ τῆς ἀνατομῆς; τὸ μὲν ἕτερον μέρος τῆς κοίλης, ἄνω πρὸς τὴν καρδίαν ἀναφέρεται, τὸ λοιπὸν δ' ἐπιβαίνει τῇ ῥάχει, καθ' ὅλης αὐτῆς ἐκτεινόμενον ἄχρι τῶν σκελῶν. ὥστε τὸ μὲν ἕτερον, οὐδ' ἐγγὺς ἀφικνεῖται τῶν νεφρῶν, τὸ λοιπὸν δέ, πλησιάζει μέν,

CAPVT XV.

Attractricem facultatem renibus inesse.

Verùm quum abundè garriuerimus, neque id nostra sponte, sed iuxta prouerbium, cũ insanis insanire coacti, rursum ad vrinæ secretionem reuertamur, vbi Asclepiadis nugas dissimulemus; ac quum ijs, quibus percolari vrinam per renes est persuasum, quisnam eius sit operis modus, considerationem ineamus. Prorsus enim, aut per se ipsam fertur ad renes vrina, id meliùs rata non aliter, quàm nos, cum ad forum abimus; aut, si hoc fieri non potest, alia quæpiam ferendæ eius inuenienda est causa. Quænam igitur est ea? nisi enim, sicut Hippocrates censuit, renibus eiusmodi qualitatis trahendæ vim quandam dederimus, nullam aliam inueniemus. Quòd namque vel hos eam trahere oporteat, vel venas eam mittere, si scilicet non per se feratur, cuique patet. Verùm, si venæ contractæ, eam protrudant, vtique non illam modò, sed etiam omnem, qui in ipsis continetur, sanguinem simul cum ea in renes compellent. Quòd si id fieri non potest, sicut monstrabimus, reliquum est, vt renes trahant. At cur non potest id fieri? renum situs obest; non enim sic cauæ subiecti sunt venæ, quemadmodum cerebri excrementis meatus in naso, & palato ipsis colatoriis similes sunt subditi; sed vtrinque illi sunt adnexi. Iam si ad eum quem colatoria modum quicquid tenuius planèque serosum est, id promptè transmittunt; quod crassius est, id retinent; vtique omnem sanguinem, qui in caua est vena, conueniet in eos meare, sicut in vimineum, quod torculari subiicitur, totum conijcitur vinum. Iam coagulati lactis exemplum, id quod paro dicere, clarè indicat. Quippe, id totum quum est in qualos coniectum, non totum percolatur; sed, quantum eius est, quam amplitudo meatuum quali, tenuius, id pronum transfluit, ac serum vocatur; reliquum, quod crassum est, & caseus fiet; quum non transmittant quali meatus, deorsum non fertur. Ergo, si ad eum modum percolandum per renes est sanguinis serum, vtique totum sanguinem ad eos peruenire oportebit; ac nõ partem eius peruenire, partem non. At quo modo igitur se habet, quod ex dissectionibus apparet? nẽpe venæ cauæ pars altera sursum ad cor ascẽdit, reliqua super spinã incedit, per totam eam ad crura vsq; porrecta. Itaq; altera eius pars ne prope quidem renes accedit; altera prope quidẽ accedit,

non tamen in ipsos inseritur. Oportebat verò siquidem per renes, ceu colatoria expurgandus erat, vt totus in eos sanguis ferretur; deinde deorsum quidem transiret quod tenue est; supra detineretur, quod crassum est. Nunc aliter res habet; quippe cauæ venæ renes à lateribus vtrinque adhærent. Minimè igitur illa mittente, colatorij more percolant, nullam scilicet ipsi opem conferentes, sed trahunt videlicet; hoc enim superest. Quanam igitur ratione trahunt? Si quemadmodum Epicurus omnem tractum obiri autumat per resilientes, amplectentésque atomos, satius re vera sit ne trahere quidem eos omninò dicere; quum, si sic trahant, longè magis ridicula futura sit ratio, si examinata sit, quàm quæ paulò supra de magnete est memorata. Non igitur sic trahunt, imò quemadmodum Hippocrates voluit. Dicetur autem id clarius in disputationis progressu; nunc enim id docere non institui, sed illud potiùs, quod nec aliam separationis vrinæ præter renum tractum causam assignare licet; nec tamen ita tractum fieri, quemadmodum ij putant, qui nullam naturæ propriam facultatem concedunt. Quippe hoc concesso, quod in iis, quæ natura gubernantur, omninò quædam attractrix facultas sit, meras nugas dixerit, quisquis de distributione in corpus aliud dicere conatur.

A οὐ μὴν εἰς αὐτούς γε καταφύεται. ἐχρῆν δ', εἴπερ ἔμελλεν ὡς δι' ἠθμῶν αὐτῶν καθαρθήσεσθαι τὸ αἷμα, πᾶν ἐμπίπτειν εἰς αὐτούς, κἄπειτα κάτω μὲν φέρεσθαι τὸ λεπτόν, ἴσχεσθαι δ' ἄνω τὸ παχύ, νυνὶ δ' οὐχ οὕτως ἔχει. πλάγιοι γὰρ ἑκατέρωθεν τῆς κοίλης φλεβὸς οἱ νεφροὶ κεῖνται. οὔκουν ὡς ἠθμοὶ διηθοῦσι, πεμπούσης μὲν ἐκείνης, αὐτοὶ δ' οὐδεμίαν εἰσφερόμενοι δύναμιν, ἀλλ' ἕλκουσι δηλονότι. τοῦτο γὰρ ἔτι λείπεται. πῶς οὖν ἕλκουσιν; εἰ μὲν ὡς Ἐπίκουρος οἴεται, τὰς ὁλκὰς ἁπάσας γίγνεσθαι κατὰ τὰς τῶν ἀτόμων ἀποπάλσεις τε, καὶ περιπλοκάς, ἄμεινον ὄντως ἐστὶν εἰπεῖν, μηδ' ἕλκειν B ὅλως αὐτούς. πολὺ γὰρ ἄν, οὕτω γε τῶν ἐπὶ τῆς ἡρακλείας λίθου μικρῷ πρόσθεν εἰρημένων, ὁ λόγος ἐξεταζόμενος, εὑρεθείη γελοιότερος, ἀλλ' ὡς Ἱπποκράτης ἐβούλετο. λεχθήσεται δὲ σαφέστερον ἐπὶ προήκοντι τῷ λόγῳ. νυνὶ γὰρ οὐ τοῦτο πρόκειται διδάσκειν, ἀλλ' ὡς οὔτ' ἄλλο τι δυνατὸν ἂν εἰπεῖν αἴτιον εἶναι τῆς τῶν οὔρων διακρίσεως, πλὴν ὁλκῆς τῶν νεφρῶν. οὔθ' οὕτω γίγνεσθαι τὴν ὁλκήν, ὡς οἱ μηδεμίαν οἰκείαν διδόντες τῇ φύσει δύναμιν, οἴονται γίγνεσθαι. τούτου γὰρ ὁμολογηθέντος, ὡς ἔστιν ὅλως τις ἐν τοῖς φύσεως διοικουμένοις δύναμις ἑλκτική, ληρώδης εἶναι C νομίζοιτ' ἄν, ὁ περὶ ἀναδόσεως ἐφεξῆς ἄλλο τι λέγειν ἐπιχειρῶν.

CAPVT XVI.

Contra Erasistratum de facultate attractrice.

Porrò Erasistratus, nescio quo modo, contra alias quasdam opiniones receptissimas longa oratione disseruit: Hippocraticam verò omninò sic præteriit, vt ne vel sola mentione dignam putaret. Quod tamen fecit in iis, quæ de deglutitione prodidit. In iis enim hactenus meminit, vt vocabulum tractionis duntaxat nominaret, ad hunc modum scribens; *Tractio ventriculi nulla esse videtur.* De distributione verò verba faciens, ne vel syllaba tenus Hippocraticæ opinionis meminit. Quanquàm, si vel hoctantùm scripsisset, quod Hippocrates, quum dixit. *Carnes è ventre introrsus extrorsúsque tractrices sunt*, fallitur, neque enim ex ventriculo, neque introrsus, neque extrorsus trahere queunt, vtique nobis satis fecisset. Si verò & quòd illud malè dixit, quum oris vteri imbecillitatem culpans inquit, *Non enim valet eius os semen attrahere*: aut si aliud eiusmodi scribere Erasistratus dignum censuisset, tum certè & nos illi respōdentes, diceremus. Quid ita nos rhetoricè sine demonstratione ô nobilissimè transcurris? dic aliquod dogmatis vitium, quo vel tibi veterem opinionem iure refellenti credamus: vel te hanc minimè intelligentem, ab errore reuocemus. Quanquam quid rhetoricè dixi? non enim quum rhetorum aliqui, quæ maximè soluere nō valēt, his risu elusis, ne cōtradicere quidem tentāt, hoc nos iam rhetoricè dicere, esse putamus; quippe probabili quapiam ratione agere, id est rhetoricè, sine ratione autē, scurrile, haudquaquā rhetoricū. Neque igitur rhetoricè, neque dialecticè Erasistratus, vbi ipse de deglutitione egit, Hippocratē refutauit. Quid igitur ait? Nullus igitur ventriculi tractus videtur esse. Inuicem igitur à nobis eandē rationem testium loco audiat. Contractio igitur stomachi nulla videtur. At quo modo nō videtur, dicet fortasse sectatorū eius quispiam?

ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

Πρὸς Ἐρασίστρατον περὶ τῆς ἑλκτικῆς δυνάμεως.

Ἐρασίστρατος δέ, οὐκ οἶδ' ὅπως, ἑτέραις μέν τισι δόξαις εὐήθεσιν ἀντεῖπε διὰ μακρῶν. ὑπερέβη δὲ τελέως τὴν Ἱπποκράτειον, οὐδ' ἄχρι τοῦ μνημονεῦσαι μόνον αὐτῆς, ὡς ἐν τοῖς περὶ καταπόσεως ἐποίησεν, ἀξιώσας. ἐν ἐκείνοις D μὲν γὰρ ἄχρι τοσούτου φαίνεται μνημονεύων, ὡς τοὔνομα εἰπεῖν τῆς ὁλκῆς μόνον, ὧδέ πη γράφων. ὁλκὴ μὲν οὖν τῆς κοιλίης οὐδεμία φαίνεται εἶναι. περὶ δὲ τῆς ἀναδόσεως τὸν λόγον ποιούμενος, οὐδ' ἄχρι συλλαβῆς μιᾶς ἐμνημόνευσε τῆς Ἱπποκρατείου δόξης. καίτοι γ' ἐπήρκεσεν ἂν ἡμῖν, εἰ καὶ τοῦτ' ἔγραψε μόνον, ὡς Ἱπποκράτης εἰπών, Σάρκες ὁλκοὶ ἐκ κοιλίης εἴσωθεν καὶ ἔξωθεν, ψεύδεται, οὔτε γὰρ ἐκ τῆς κοιλίας, οὔτ' εἴσωθεν, οὔτ' ἔξωθεν δύναιτ' ἂν ἕλκειν. Εἰ δὲ καὶ ὅτι μήτρας αἰτιώμενος ἄρρωστον αὐχένα, κακῶς εἶπεν. οὐ γὰρ δύναται αὐτῆς ὁ στόμαχος εἰρύσαι τὴν γονήν. ἢ εἰ καί τι τοιοῦτον ἄλλο γράφειν ὁ E Ἐρασίστρατος ἠξίωσε, τότ' ἄν, καὶ ἡμεῖς, πρὸς αὐτὸν ἀπολογούμενοι, εἴπομεν, ὦ γενναῖε, μὴ ῥητορικῶς ἡμῶν κατάτρεχε χωρὶς ἀποδείξεως. ἀλλ' εἰπέ τινα κατηγορίαν τοῦ δόγματος, ἵν' ἢ πεισθῶμέν σοι καλῶς ἐξελέγχοντι τὸν παλαιὸν λόγον, ἢ μεταπείσωμεν ἀγνοοῦντα. καίτοι τί λέγω ῥητορικῶς; μὴ γάρ, ἐπειδή τινες τῶν ῥητόρων, ἃ μάλιστα ἀδυνατοῦσι διαλύεσθαι, ταῦτα διαγελάσαντες, οὐδ' ἐπιχειροῦσιν ἀντιλέγειν. ἤδη που τοῦτο καὶ ἡμεῖς ἡγούμεθα εἶναι τὸ ῥητορικῶς. τὸ γὰρ διὰ λόγου πιθανοῦ, ἐστὶ τὸ ῥητορικῶς. τὸ δὲ ἄνευ λόγου πιθανοῦ, βωμολοχικόν, οὐ ῥητορικόν. οὐκ οὖν οὔτε F ῥητορικῶς, οὔτε διαλεκτικῶς ἀντεῖπεν ὁ Ἐρασίστρατος ἐν τῷ περὶ τῆς καταπόσεως λόγῳ. τί γάρ φησιν; ὁλκὴ μὲν οὖν τῆς κοιλίης οὐδεμία φαίνεται εἶναι πάλιν οὖν αὐτῷ παρ' ἡμῶν ἀντιμαρτυρῶν ὁ αὐτὸς λόγος αὐτίκα παραβαλλέσθω. περιστολὴ μὲν οὖν τοῦ στομάχου οὐδεμία φαίνεται εἶναι. καὶ πῶς οὐ φαίνεται, τάχ' ἂν ἴσως εἴποι τις τῶν ἀπ' αὐτοῦ;

ὃ γὰρ λέγει τῶν ἄνωθεν αὐτῆς μερῶν συστελλομένων, διαστέλλεσθαι τὰ κάτω, πῶς οὐκ ἔστι τῆς περιστολῆς ἐνδεικτικόν; αὖθις οὖν ἡμεῖς, καὶ πῶς οὐ φαίνεται, φήσομεν, ἡ τῆς κοιλίας ὁλκή. ὃ γὰρ, ἀεὶ τῶν κάτωθεν μερῶν τοῦ στομάχου διαστελλομένων, συστέλλεσθαι τὰ ἄνω, πῶς οὐκ ἔστι τῆς ὁλκῆς ἐνδεικτικόν. εἰ δὲ σωφρονήσειέ ποτε, καὶ γνοίη τὸ φαινόμενον τοῦτο, μηδὲν μᾶλλον τῆς ἑτέρας τῶν δοξῶν ὑπάρχειν ἐνδεικτικόν, ἀλλ' ἀμφοτέρων εἶναι κοινόν, οὕτως ἂν ἤδη δείξαιμεν αὐτῷ τὴν ὀρθὴν ὁδὸν τῆς τοῦ ἀληθοῦς εὑρέσεως. ἀλλὰ περὶ μὲν τῆς κοιλίας αὖθις. ἡ δὲ τῆς τροφῆς ἀνάδοσις, οὐδὲν δεῖται τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας, ἅπαξ γε τῆς ἑλκτικῆς δυνάμεως ἐπὶ τῶν νεφρῶν ὡμολογημένης, ἣν καίτοι πάνυ σαφῶς ἀληθῆ γινώσκων ὑπάρχειν ὁ Ἐρασίστρατος, οὔτε ἐμνημόνευσεν, οὔτ' ἀντεῖπεν, οὔθ' ὅλως ἀπεφήνατο τίνα ἔχει δόξαν ὑπὲρ τῆς τῶν οὔρων διακρίσεως. ἢ διὰ τί, προειπὼν εὐθὺς κατ' ἀρχὰς τοῦ καθ' ὅλου λόγου, ὡς ὑπὲρ τῶν φυσικῶν ἐνεργειῶν ἐρεῖ, πρῶτον μὲν τίνες τέ εἰσι καὶ πῶς γίγνονται, καὶ διὰ τίνων τόπων, ἐπὶ τῆς τῶν οὔρων διακρίσεως, ὅτι μὲν διὰ νεφρῶν ἀπεφήνατο, τὸ δ' ὅπως γίγνεται, παρέλιπε. μάτην οὖν ἡμᾶς καὶ περὶ τῆς πέψεως ἐδίδαξεν, ὅπως γίγνεται, καὶ περὶ τῆς τοῦ χολώδους περιττώματος διακρίσεως κατατρίβει. ἤρκει γὰρ εἰπεῖν καὶ ταῦτα τὰ μόρια δι' ὧν γίγνεται, τὸ δ' ὅπως, παραλιπεῖν. ἀλλὰ περὶ μὲν ἐκείνων εἶχε λέγειν, οὐ μόνον δι' ὧν ὀργάνων, ἀλλὰ καὶ καθ' ὅντινα τρόπον, ὥσπερ, οἶμαι, καὶ περὶ τῆς ἀναδόσεως. οὐ γὰρ ἤρκεσεν αὐτῷ μόνον εἰπεῖν, ὅτι διὰ φλεβῶν, ἀλλὰ καὶ πῶς, ὑπεξῆλθεν, ὅτι τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ. περὶ δὲ τῶν οὔρων τε καὶ διακρίσεως, ὅτι μὲν διὰ νεφρῶν γίνεται, γράφει, τὸ δ' ὅπως, οὐκέτι προστίθησιν. οὔτε γὰρ, οἶμαι, τὴν πρὸς τὸ κενούμενον ἀκολουθίαν ἦν εἰπεῖν. οὕτω γὰρ ἂν οὐδεὶς ὑπὸ ἰσχουρίας ἀπέθανεν οὐδέποτε, μὴ δυναμένου πλέονος ἐπιρρυῆναί ποτε, παρὰ τὸ κενούμενον. ἄλλης γὰρ αἰτίας μηδεμιᾶς προστεθείσης, ἀλλὰ μόνης τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας ποδηγούσης τὸ συνεχές, οὐκ ἐγχωρεῖ πλέον ἐπιρρυῆναί ποτε τοῦ κενουμένου. ἀλλ' οὐδ' ἄλλην τινὰ προσθεῖναι πιθανὴν αἰτίαν εἶχεν, ὡς ἐπὶ τῆς ἀναδόσεως, τὴν ἔκθλιψιν τῆς γαστρός. ἀλλ' αὕτη γ' ἐπὶ τοῦ κατὰ τὴν κοίλην αἵματος ἀπόλωλε τελέως, οὐ τῷ μήκει μόνον τῆς ἀποστάσεως ἐκλυθεῖσα, ἀλλὰ καὶ τῷ τὴν καρδίαν ὑπερκειμένην ἐξαρπάζειν αὐτῆς σφοδρῶς καθ' ἑκάστην διαστολὴν οὐκ ὀλίγον αἷμα, μόνη δή τις ἔτι καὶ πάντων ἔρημος ἀπολείπεται τῶν σοφισμάτων ἐν τοῖς κάτω τῆς κοίλης, ἡ πρὸς τὸ κενούμενον ἀκολουθία, διά τε τοὺς ἐπὶ ταῖς ἰσχουρίαις ἀποθνήσκοντας ἀπολωλεκυῖα τὴν πιθανότητα, καὶ διὰ τὴν τῶν νεφρῶν θέσιν οὐδὲν ἧττον. Εἰ μὲν γὰρ ἅπαν ἐπ' αὐτοὺς ἐφέρετο τὸ αἷμα, δεόντως ἄν τις ἅπαν ἔφασκεν αὐτὸ καθαίρεσθαι. νυνὶ δέ, οὐ γὰρ ὅλον, ἀλλὰ τοσοῦτον αὐτοῦ μέρος, ὅσον αἱ μέχρι νεφρῶν δέχονται φλέβες, ἐπ' αὐτοὺς ἔρχεται, καὶ μόνον ἐκεῖνο καθαρθήσεται. καὶ τὸ μὲν ὀρρῶδες αὐτοῦ, καὶ λεπτόν, οἷον δι' ἠθμῶν τινων τῶν νεφρῶν διαδύσεται. τὸ δ' αἱματῶδές τε, καὶ παχύ, κατὰ τὰς φλέβας ὑπομένον, ἐμποδὼν στήσεται τῷ κατόπιν ἐπιρρέοντι. παλινδρομεῖν οὖν αὐτὸ πρότερον ἐπὶ τὴν κοίλην ἀναγκαῖον, καὶ κενὰς οὕτως ἐργάζεσθαι τὰς ἐπὶ τοὺς νεφροὺς ἰούσας φλέβας·

A Quum namque supernis eius partibus contractis, laxentur semper eius partes infernæ, quo modo, non est contractionis indicium? Rursum igitur nos, & quo modo, inquiemus, non apparet ventriculi tractus? quod enim infernis eius partibus laxatis supernæ contrahuntur, quo modo non est tractus indicium? Quòd si aliquando resipiscat, atque euidentem hanc apparentiam intelligat, nihilò magis alterius opinionum esse argumentum, sed ambarum commune; ita iam ostendemus illi rectam inueniendæ veritatis viam. Cæterùm de ventriculo B mox. Sanè nutrimenti distributio consecutionem ad id, quod vacuatur, nihil desiderat, modò cõcessa semel sit attractrix facultas in renibus; quam tametsi re vera esse, liquidò constat Erasistratum non ignorasse, nec meminit tamen eius; nec contra eam dixit; nec omninò indicauit, quam haberet de vrinæ secretione sententiam. Alioqui quid ita, cum statim in initio sermonum vniuersalium præfatus fuisset, de naturalibus functionibus se dicturum, primùm quænam hæ sint, quemadmodúmque fiant, & quibus locis, de vrinæ quidem separatione, quòd ea per renes fieret, affirmauit; quemadmodum autem fiat, omisit? C Frustra itaque nos tum de concoctione docuit, quemadmodum fiat; tum de biliosi exrementi secretione tempus nostrum conterit; satis enim fuisset hic quoque partes, per quas fiat, dicere; quemadmodum autem fiat, omittere. Verùm potuit de illis non solum, per quæ instrumenta, sed etiam ad quem modum fiant, dicere, æquè (reor) ac de nutrimenti distributione. Non enim id modò dicere satis habuit, quòd ea per venas fiat; sed etiam, qua ratione fiat, narrauit, nempè consecutione ad id, quod vacuatur. De vrinæ verò separatione, quod vtique per renes fiat, id quidem scribit; qua D verò ratione, non docet; neque enim (arbitror) dicere licuit per eam quæ est ad id, quod vacuatur, consecutionem. Quippe eo pacto nemo vnquam ex suppressa vrina moreretur, nequeunte scilicet vnquam maiore copia influere, quàm esset vacuatum; si enim præter vnam ae id, quod vacuatur, consequentiam, quæ continuitatem confluxus moderetur, alia nulla causa sit adiecta, nunquam fiet vt plus canfluat, quàm sit vacuatum. Sed nec aliam vllam probabilem adijcere causam potuit, sicuti in nutrimẽti distributione adiecit expressionem ventriculi. Verùm ea causa in sanguine, qui E in caua continetur, apparet vana, magna non solum distantiâ remissa, sed etiam quòd cor ipsum, quod illi superiacet, quotiescunque dilatatur vehementer, ex ea non parum sanguinis rapiat. Ergo sola, & omni commentorum ope destituta relinquitur in partibus venæ cauæ inferioribus ad id, quod vacuatur, consecutio, amissa scilicet eius probabilitate, tum propter eos, qui ex suppressa vrina intereunt, tum nihilò minus propter renum situm. Si namque omnis ad eos ferretur sanguis, meritò quis omnem eum purgari diceret; nunc verò, cum non totus ad eos feratur, sed tanta eius portio, quantam eæ venæ recipiunt, quæ ad F renes pertingunt, is solus expurgabitur; ac, quod serosum eius & tenue est, id per renes, ceu per colatoria quædam transibit; quod sanguineum, & crassum est, in venis remanens, impedimento erit ei, quod à tergo confluit. Quare recurrat is priùs ad cauam venam, est necesse, atque ita vacuæ fiant venæ, quæ ad renes tendunt;

quæ secundò etiam non afferent ad eos impurum sanguinem, quippe occupante eas priore, aditus nullus relinquitur. Quænam igitur nobis vis erit, quæ retrò à renibus purum sanguinem abducet? quæ rursus facultas exceptum hunc ad infernam cauæ partem descendere iubebit? quæ alteri, qui supernè aduenit, priùs quam ad renes abeat, ne deorsum feratur, imperabit? Hæc igitur omnia quum Erasistratus videret dubitationum plena: atque vnam solam, quæ in omnibus satisfaceret, opinionem inueniret quæ tractum profitetur, nec dubitare volens, nec ea dicere, quæ ab Hippocrate sunt dicta, satius esse duxit de modo secretionis sibi silendum esse. Cæterùm, si ille dissimulauit, at nos minimè dissimulabimus; scimus enim fieri non posse, vt qui Hippocratis opinionem præterit, deinde aliud quippiam de renum actione dicit, non omnino sit ridendus. Itaque Erasistratus quidem dissimulauit, Asclepiades mentitus est, haud aliter profectò, quàm serui, qui priore vita garruli, sæpè multa crimina sua insigni versutia declinarunt, tandem in furto ipso deprehensi, omnique excusatione destituti, alter eorum, cui plus est verecundiæ, velut attonitus tacet; alter cui impudentiæ plus est, sub pallio, quod quæritur, condit iurátque se nunquam id vidisse. Sic namque Asclepiades versutiæ commentis destitutus, nec illud de abitione in tenuem aërem garrire hoc loco habens; sed nec, quò à renibus ipsis gignatur id excrementum, quemadmodum à meatibus in iecinore ipsa bilis; quum fieri non possit, si hæc diceret, quin maximum moueret risum, & iurat, & mentitur apertè, negans vrinam ad renes venire, sed halitus vice statim ex cauæ venæ partibus in vesicam colligi. Atque hi quidem attoniti seruorum ritu, qui in ipso furto sunt deprehensi, alter eorum silet, alter impudenter mentitur.

CAPVT XVII.

De facultate Attractrice contra Erasistrati, & Asclepiadis sectatores.

IVniorum verò, quicunque nominibus horum se venditant, Erasistrateios & Asclepiadeios se appellantes; hi non secus, ac inducti in comœdiis ab optimo Menandro serui, Daui quidam Geæque qui nullum operæpretium se fecisse putant, nisi ter herum fefellerint: sic per multum ocium impudentia meditati sunt commenta, alij, quo Asclepiades nusquam arguatur mentitus; alij, quo malè enuncient, quæ Erasistratus probè tacuit. Sed de Asclepiadis sequacibus satis. Erasistratei verò dum conantur dicere, quemadmodum renes vrinam percolent, omnia faciunt, omnia patiuntur, omnimodique fiunt, quærentes causam aliquam probabilem inuenire, quæ tractum non desideret. Ergo, qui ab Erasistrati ætate non procul fuere, partes, quæ supra renes sunt, purum accipere sanguinem aiunt; aquosum verò, eò excrementum quod graue sit, deprimere, ac deorsum fluere; hunc autem in renibus ipsis percolatum, sicque vtilem factum omnibus quæ infra renes sunt partes immitti sanguinem. Et ad tempus quidem placebat hæc opinio ac florebat, veráque existimata est;

A αἱ δεύτεραι οὐκέτι παρακομιοῦσιν ἐπ' αὐτοὺς ἀκάθαρτον αἷμα, κατειληφότος γὰρ αὐτὰς τοῦ προτέρου, πάροδος οὐδεμία λέλειπται. τίς οὖν ἡμῖν δύναμις ἀπάξει πάλιν ὀπίσω τῶν νεφρῶν, τὸ καθαρὸν αἷμα; τίς δὲ τοῦτο μὲν διαδεξαμένη, κελεύσει πρὸς τὸ κάτω μέρος ἰέναι τῆς κοίλης, ἑτέρῳ δ' ἄνωθεν ἐπιφερομένῳ προστάξει, πρὶν ἐπὶ τοὺς νεφροὺς ἀπελθεῖν, μὴ φέρεσθαι; ταῦτ' οὖν ἅπαντα συνιδὼν ὁ Ερασίστρατος ἀποριῶν μεστά, καὶ μίαν μόνην δόξαν εὔπορον εὑρὼν ἐν ἅπασι, τὴν τῆς ὁλκῆς, οὔτ' ἀπορεῖν βουλόμενος, οὔτε τὰ πρὸς Ιπποκράτους ἐθέλων λέγειν, ἄμεινον ὑπέλαβε σιωπητέον εἶναι περὶ τοῦ τρόπου τῆς διακρίσεως. B ἀλλ' εἰ κἀκεῖνος ἐσιώπησεν, ἡμεῖς οὐ σιγήσομεν. ἴσμεν γὰρ ὡς οὐκ ἐνδέχεται παρελθόντα τὴν Ιπποκράτειον δόξαν, εἶθ' ἕτερόν τι περὶ τῆς τῶν νεφρῶν ἐνεργείας εἰπόντα, μὴ οὐ καταγέλαστον εἶναι παντάπασι. διὰ τοῦτο, Ερασίστρατος μὲν ἐσιώπησεν, Ασκληπιάδης δ' ἐψεύσατο, παραπλησίως οἰκέταις, λάλοις μὲν τὰ πρόσθεν τοῦ βίου, καὶ πολλὰ πολλάκις ἐγκλήματα διαλυσαμένοις ὑπὸ περιττῆς πανουργίας, ἐπ' αὐτοφόρῳ δέ ποτε κατειλημμένοις, εἶτ' οὐδὲν ἐξευρίσκουσι σόφισμα, κἄπειτ' ἐνταῦθα τοῦ μὲν αἰδημονεστέρου σιωπῶντος, οἷα ἀποπληξίᾳ τινὶ κατειλημμένου. τοῦ δ' ἀναισχυντοτέρου, C κρύπτοντος μὲν ἔθ' ὑπὸ μάλης τὸ ζητούμενον, ἐξομνυμένου δέ, καὶ μηδ' ἑωρακέναι πώποτε φάσκοντος. οὕτω γάρ τοι ὁ Ασκληπιάδης, ἐπιλειπόντων αὐτὸν τῶν τῆς πανουργίας σοφισμάτων, καὶ μήτε τῆς πρὸς τὸ λεπτομερὲς φορᾶς, ἐχούσης ἔτι χώραν ἐνταυθοῖ ληρεῖσθαι, μήθ' ὡς ὑπὸ τῶν νεφρῶν γεννᾶται τουτὶ τὸ περίττωμα, καθάπερ ὑπὸ τῶν ἐν ἥπατι πόρων ἡ χολή, ἀδύνατον ὄν, εἰπόντα, μὴ οὐ μέγιστον ὀφλεῖν γέλωτα, ἐξόμνυταί τε, καὶ ψεύδεται φανερῶς, οὐ διήκειν λέγων ἐπὶ τοὺς νεφροὺς τὸ οὖρον, ἀλλ' ἀτμοειδῶς, εὐθὺς ἐκ τῶν κατὰ τὴν κοιλίαν μερῶν εἰς τὴν κύστιν ἀθροίζεσθαι. οὗτοι μὲν οὖν τοῖς D ἐπ' αὐτοφόρῳ κατειλημμένοις οἰκέταις ὁμοίως ἐκπλαγέντες, ὁ μὲν ἐσιώπησεν, ὁ δ' ἀναισχύντως ψεύδεται.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τῆς ἑλκτικῆς δυνάμεως πρὸς τοὺς Ερασιστρατείους τε, καὶ Ασκληπιαδείους.

ΤΩν δὲ νεωτέρων, ὅσοι τοῖς τούτων ὀνόμασιν ἑαυτοὺς ἐσέμνυναν, Ερασιστρατείους τε, καὶ Ασκληπιαδείους ἐπονομάσαντες, ὁμοίως τοῖς ὑπὸ τοῦ βελτίστου Μενάνδρου κατὰ τὰς E κωμῳδίας εἰσαγομένοις οἰκέταις, Δάοις τέ τισι καὶ Γέταις, οὐδὲν ἡγουμένοις φησί, πεπρᾶχθαι γενναῖον, εἰ μὴ τρὶς ἐξαπατήσειαν τὸν δεσπότην, οὕτω καὶ αὐτοί, κατὰ πολλὴν σχολὴν ἀναίσχυντα σοφίσματα συνέθεσαν. οἱ μὲν ἵνα μηδ' ὅλως ἐξελεγχθῇ ποτε Ασκληπιάδης ψευδόμενος, οἱ δ' ἵνα κακῶς εἴπωσιν, ἃ καλῶς ἐσιώπησεν Ερασίστρατος. ἀλλὰ τῶν μὲν Ασκληπιαδείων ἅλις. οἱ δ' Ερασιστράτειοι λέγειν ἐπιχειροῦντες ὅπως οἱ νεφροὶ διηθοῦσι τὸ οὖρον, ἅπαντα δρῶσί τε καὶ πάσχουσι, καὶ παντοῖοι γίγνονται, πιθανόν τι ζητοῦντες ἐξευρεῖν αἴτιον, ὁλκῆς F μὴ δεόμενον. οἱ μὲν δὴ πλησίον Ερασιστράτου τοῖς χρόνοις γενόμενοι, τὰ μὲν ἄνω τῶν νεφρῶν μόρια, καθαρὸν αἷμα λαμβάνειν φασί, τὸ βάρος δ' ἔχειν τὸ ὑδατῶδες περίττωμα, βρίθειν τε, καὶ ὑπορρεῖν κάτω. διηθούμενον δ' ἐνταῦθα κατὰ τοὺς νεφροὺς αὐτούς, χρηστὸν οὕτω γιγνόμενον, ἅπασι τοῖς κάτω τῶν νεφρῶν ἐπιπέμπεσθαι τὸ αἷμα. καὶ μέχρι γέ τινος ηὐδοκίμησεν ἥδε ἡ δόξα, καὶ ἤκμασε, καὶ ἀληθὴς ἐνομίσθη.

χρόνῳ δ' ὕστερον, καὶ αὐτοῖς τοῖς Ἐρασιστρατείοις ὕποπτος ἐφάνη, καὶ τελευτῶντες ἀπέστησαν αὐτῆς. αἰτεῖσθαι γὰρ ἐδόκουν δύο ταῦτα, μήτε συγχωρούμενα πρός τινος, ἀλλ' οὐδ' ἀποδειχθῆναι δυνάμενα, πρῶτον μὲν τὸ βάρος τῆς ὀῤῥώδους ὑγρότητος, ἐν τῇ κοίλῃ πρώτῃ φλεβὶ γινόμενον, ὥσπερ οὐκ ἐξ ἀρχῆς ὑπάρχον, ὁπότ' ἐκ τῆς κοιλίας εἰς ἧπαρ ἀνεφέρετο. τί δὴ οὖν οὐκ εὐθὺς ἐν ἐκείνοις τοῖς χωρίοις ὑπέῤῥει κάτω; πῶς δ' ἂν τῷ δόξειεν εὐλόγως εἰρῆσθαι συντελεῖν εἰς τὴν ἀνάδοσιν ἡ ὑδατώδης ὑγρότης, εἴπερ οὕτως ἐστὶ βαρεῖα. δεύτερον δ' ἄτοπον, ὅτι κἂν κάτω συγχωρηθῇ φέρεσθαι πᾶσα, καὶ μηκέτ' εἶναι κατ' ἄλλο χωρίον, ἢ τὴν κοίλην φλέβα, τίνα τρόπον εἰς τοὺς νεφροὺς ἐμπεσεῖται, χαλεπόν. μᾶλλον δ' ἀδύνατον εἰπεῖν, μήτ' ἐν τοῖς κάτω μέρεσι κειμένων αὐτῶν τῆς φλεβός, ἀλλ' ἐκ τῶν πλαγίων, μήτ' ἐμφυομένης αὐτοῖς τῆς κοίλης, ἀλλ' ἀπόφυσίν τινα μόνην εἰς ἑκάτερα πεμπούσης, ὥσπερ καὶ εἰς τἄλλα πάντα μόρια. τίς οὖν ἡ διαδεξαμένη ταύτην δόξα, τὴν καταγνωσθεῖσαν; ἐμοὶ μὲν ἠλιθιωτέρα μακρῷ φαίνεται τῆς προτέρας. ἤκμασε δ' οὖν καὶ αὕτη ποτέ. φασὶ γάρ, εἰ κατὰ τῆς γῆς ἐκχυθῇ μεμιγμένον ἔλαιον ὕδατι, διάφορον ἑκάτερον ὁδὸν βαδιεῖσθαι, καὶ ῥυήσεσθαι, τὸ μὲν τῇδε, τὸ δὲ τῇδε. θαυμαστὸν οὖν οὐδὲν εἶναί φασιν, εἰ τὸ μὲν ὑδατῶδες ὑγρὸν εἰς τοὺς νεφροὺς ῥεῖ, τὸ δ' αἱματῶδες διὰ τῆς κοίλης φέρεται κάτω. κατέγνωσται οὖν ἤδη καὶ ἥδε ἡ δόξα. διὰ τί γὰρ ἀπὸ τῆς κοίλης μυρίων ἐκπεφυκυιῶν φλεβῶν, αἷμα μὲν εἰς τὰς ἄλλας ἁπάσας, ἡ δ' ὀῤῥώδης ὑγρότης, εἰς τὰς ἐπὶ τοὺς νεφροὺς φερομένας ἐκτρέπεται; τοῦτ' αὐτὸ τὸ ζητούμενον οὐκ εἰρήκασιν, ἀλλὰ τὸ γινόμενον εἰπόντες μόνον, οἴονται τὴν αἰτίαν ἀποδεδωκέναι. πάλιν οὖν τὸ τρίτον τῷ σωτῆρι, τὴν χειρίστην ἁπασῶν δόξαν, ἐξευρημένην δὲ νῦν ὑπὸ Λύκου τοῦ Μακεδόνος, εὐδοκιμοῦσάν τε διὰ τὸ καινόν, ἤδη λέγωμεν. ἀπεφήνατο γὰρ δὴ ὁ Λύκος οὗτος, ὥσπερ ἐξ ἀδύτου τινὸς χρησμὸν ἀποφθεγγόμενος, περίττωμα τῆς τῶν νεφρῶν θρέψεως εἶναι τὸ οὖρον. ὅτι μὲν οὖν αὐτὸ τὸ πινόμενον ἅπαν οὖρον γίνεται, πλὴν εἴ τι κατὰ τῶν διαχωρημάτων ὑπῆλθεν, ἢ εἰς ἱδρῶτας ἀπεχώρησεν, ἢ κατὰ τὴν ἄδηλον διαπνοήν, ἐναργῶς ἐνδείκνυται τὸ πλῆθος τῶν καθ' ἑκάστην ἡμέραν οὐρουμένων. ἐν χειμῶνι δὲ μάλιστα μαθεῖν ἐστιν, ἐπὶ τῶν ἀργούντων μέν, κωθωνιζομένων δέ, καὶ μάλιστ' εἰ λεπτὸς ὁ οἶνος εἴη, καὶ πότιμος. οὐροῦσι γὰρ οὗτοι διὰ ταχέων, ὀλίγου δεῖν, ὅσον περ καὶ πίνουσιν. ὅτι δὲ καὶ ὁ Ἐρασίστρατος οὕτως ἐγίνωσκεν, οἱ τὸ πρῶτον αὐτοῦ ἀνεγνωκότες σύγγραμμα τῶν καθόλου λόγων, ἐπίστανται. ὥσθ' ὁ Λύκος οὔτ' ἀληθῆ λέγων φαίνεται, οὔτ' Ἐρασιστράτεια, δῆλον δὲ ὡς οὔτ' Ἀσκληπιάδεια, πολὺ δὲ μᾶλλον οὐδ' Ἱπποκράτεια. λευκῷ τοίνυν, κατὰ τὴν παροιμίαν, ἔοικε κόρακι, μήτ' αὐτοῖς τοῖς κόραξιν ἀναμιχθῆναι δυναμένῳ διὰ τὴν χρόαν, μήτε ταῖς περιστεραῖς, διὰ τὸ μέγεθος. ἀλλ' οὔτι που τούτου γ' ἕνεκα παροπτέος. ἴσως γάρ τι λέγει θαυμαστόν, ὃ μηδεὶς τῶν ἔμπροσθεν ἔγνω. τὸ μὲν οὖν ἅπαντα τὰ τρεφόμενα μόρια, ποιεῖν τι περίττωμα, συγχωρούμενον, τὸ δὲ τοὺς νεφροὺς μόνους οὕτω σμικρὰ σώματα χοᾶς ὅλους τέτταρας, ἢ καὶ πλείους ἴσχειν ἐνίοτε περιττώματος, οὐθ' ὁμολογούμενον, οὔτε λόγον ἔχον. τὸ γὰρ ἑκάστου τῶν μειζόνων σπλάγχνων περίττωμα, πλέον ἀναγκαῖον ὑπάρχειν.

A procedente autem tempore, ipsis quoque Erasistrateis suspecta visa est: demúmque ab ea desciuerunt. Siquidem duo hæc, quæ nec vlli sunt concessa, nec demonstrari possunt, postulare videbantur. Vnum, quòd grauitas serosi humoris primum facta sit in vena caua, ceu verò ab initio non fuerit, quando à ventriculo in iecur ferebatur; cur igitur non statim in illis locis infra defluxit? quo modo autem rectè ab aliquo dici posse videbitur, aquosum humorem ad alimenti in corpus distributionem conferre, si modò ita est grauis? Alterum absurdum B est, quòd licet totus deorsum ferri concedatur, nec adhuc esse in alio loco, quàm in caua vena, difficile dictu est, aut potius impossibile quemadmodum in renes decidat, quum nec in infernis venæ partibus hi sunt positi, sed à lateribus; nec inserta in eos caua sit, sed solum processum quendam in vtrumque emittat, quemadmodum in alias omnes partes. Quænam igitur huic damnata successit opinio? sanè, vt mihi quidem videtur, multò stolidior priore; viguit tamen aliquandiu, & ipsa. Aiunt enim, si effundatur in terram oleum aquæ mixtum, diuersa vtrumque via iturum fluxurúmque, C hanc ista, illud alterâ; minimè igitur mirum esse, si aquosus humor in renes fluat, sanguineus per cauam deorsum feratur. Ergo damnata quoque, & hæc opinio iam est. Cur enim, quum ex caua innumeræ oriantur venæ, in reliquas quidem omnes sanguis; humor autem serosus in eas, quæ ad renes tendunt, conuertitur? Hoc scilicet ipsum, quod in quæstione est, non dixerunt; sed, vbi rem factam narrarunt, putant se causam reddidisse. Rursus igitur (tertium seruatori) omnium pessimam iam dicamus, & quæ à Lyco Ma- D cedone inuenta est, viguit autem propter nouitatis gratiam. Ergo Lycus hic, veluti oraculum quoddam ex adyto loquens, renum nutritionis excrementum esse vrinam inquit. At quòd totum id, quod bibimus, vrina fit, nisi siquid, cum aluo exiit, aut in sudorem, aut per inuisibilem perspiratum abiit, ostendit planè eius quod quotidie meiimus, copia. Hyeme autem maximè id intelligere licet in iis, qui in ocio degunt, & vino liberalius indulgent, potissimum si vinum tenue sit, & quod facilè permeet: meiunt enim hi celeriter paulò E minus, quàm bibunt. Quòd verò, & Erasistratus idem sensit, facilè intelligunt, qui primùm eius vniuersalium præceptorum librum perlegunt. Quare quod Lycus ait, nec videtur verum, nec Erasistrati opinioni consentiens; patet autem quòd nec Asclepiadis, multòque etiam magis nec Hippocratis. Albo igitur, iuxta prouerbium, coruo est similis; qui nec cum coruis versari potest, propter colorem, nec cum columbis propter magnitudinem; verùm non idcirco est prætereundus, fortasse enim dicit mirum aliquid, quod nec maiorum quisquam nouit. Ergo quòd omnes, F quæ nutriantur partes, excrementum aliquod creent, vtique concedimus, quòd autem soli renes tantilla corpora, quatuor interim totos, vel etiam plures habeant excrementi congios, id nec confessum est, nec rationi consentiens. Quippe cuiusque maiorum, viscerum, plus quidem esse excrementi est necesse.

Verbigratia, pulmonum, si modò visceris magnitudini ad proportionem respondebit, sanè multiplex erit, respectu eius, quod in renibus fit; quare totum quidem pectus implebitur; animal autem illicò extinguetur. Quòd si etiam æquale quis dicat in singulis aliarum partium gigni excrementum; per quas quæso vesicas excernitur? Si namque renes in iis, qui vino liberalius indulgent, tres interim quatuórve excrementi congios faciunt; certè aliorum viscerum multò plures erunt; dolióque maximo opus erit, quod omnium excrementa capiat. Quanquam sæpenumero, quantum potauit quis, totum id paulo minus minxit, tanquam, quod bibitur, id totum ad renes feratur. Apparet igitur tertius eorum, qui nobis imponere pararunt, minimè, quod vult, efficere, sed statim deprehendi; ac, quod in dubio inter initia fuit, id tum Erasistrato, tum cæteris omnibus, præterquam Hippocrati, adhuc in dubio manere. Diutius hoc loco mea sponte sum moratus, certò sciens neminem esse alium, qui de renum opere quicquam habeat, quod dicat, sed vel coquis necessariò imperitiores esse, qui per renes colari vrinam non fatentur; vel qui fatentur quidem hoc, nullam posse aliam secretionis causam præter tractum reddere. At verò si vrinarum motus ad consecutionem, quæ est ad id, quod vacuatur, non fit: clarum est, quod nec sanguinis, nec bilis: aut si illarum, etiam huius; omnia enim, ipso quoque Erasistrato authore, necesse est eodem modo ferri. Sanè dicetur de illis fusius in sequenti libro.

A οἷον αὐτίκα τὸ τοῦ πνεύμονος, εἴπερ ἀνάλογον τῷ μεγέθει τοῦ σπλάγχνου γίνοιτο, πολλαπλάσιον ἔσται δήπου τοῦ κατὰ τοὺς νεφροὺς, ὥσθ' ὅλος μὲν ὁ θώραξ ἐμπλησθήσεται. πνιγήσεται δ' αὐτίκα τὸ ζῷον. ἀλλ' εἰ ἴσως φήσει τις γίνεσθαι καθ' ἕκαστον τῶν ἄλλων μορίων περίττωμα, διὰ ποίων κύστεων ἐκκρίνεται. εἰ γὰρ οἱ νεφροὶ τοῖς κωθωνιζομένοις, τρεῖς ἢ τέτταρας ἐνίοτε χόας ποιοῦσι περιττώματος, ἑκάστου τῶν ἄλλων σπλάγχνων, πολλῷ πλείους ἔσονται. καὶ πίθου τινὸς οὕτω μεγίστου δεήσει, τοῦ δεξομένου τὰ πάντων περιττώματα. καίτοι πολλάκις ὅσον ἔπιέ τις, ὀλίγου δεῖν, ἅπαν οὔρησεν, ὡς ἂν ἐπὶ τοὺς νεφροὺς φερομένου τοῦ πόματος ἅπαντος. ἔοικεν οὖν ὁ τὸ τρίτον ἐξαπατῶν, οὕτως οὐδὲν ἀνύειν; ἀλλ' εὐθὺς γεγονέναι κατάφωρος, καὶ μένειν ἔτι τὸ ἐξ ἀρχῆς ἄπορον, Ἐρασιστράτῳ τε καὶ τοῖς ἄλλοις ἅπασι, πλὴν Ἱπποκράτους. διατρίβω δ' ἑκὼν ἐν τῷ τόπῳ, σαφῶς εἰδὼς, ὅτι μηδὲν εἰπεῖν ἔχει μηδεὶς ἄλλος, περὶ τῆς τῶν νεφρῶν ἐνεργείας, ἀλλ' ἀναγκαῖον, ἢ τῶν μαγείρων ἀμαθεστέρους φαίνεσθαι, μὴ δ' ὅτι διηθεῖται δι' αὐτῶν τὸ οὖρον ὁμολογοῦντας, ἢ τοῦτο συγχωρήσαντας, μηδὲν ἔτ' ἔχειν εἰπεῖν ἕτερον αἴτιον τῆς διακρίσεως, πλὴν τῆς ὁλκῆς. ἀλλ' εἰ μὴ τῶν οὔρων ἡ φορὰ, τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ γίγνεται, δῆλον ὡς οὐδὲ ἡ τοῦ αἵματος, οὐδ' ἡ τῆς χολῆς, ἢ εἴπερ ἐκείνων, καὶ τούτου. πάντως γὰρ ὡσαύτως ἀναγκαῖον ἐπιτελεῖσθαι, καὶ κατ' αὐτὸν τὸν Ἐρασίστρατον. εἰρήσεται δὲ ἐπὶ πλέον ὑπὲρ αὐτῶν ἐν τῷ μετὰ ταῦτα γράμματι.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΥΝΑΜΕΩΝ ΦΥΣΙΚΩΝ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

GALENI DE NATVRALIBVS FACVLTATIBVS LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΔΕΥΤΕΡΩι.

Περὶ ἀναδόσεως τῆς τροφῆς, καὶ περὶ τῆς τῶν οὔρων τε καὶ τῆς χολῆς διακρίσεως, καὶ περὶ θρέψεως, καὶ περὶ τῆς τῶν σιτίων πέψεως, καὶ περὶ τῆς τῶν χυμῶν γενέσεως πρὸς Ἐρασίστρατον.

ARGVMENTVM LIBRI SECVNDI.

De distributione alimenti, de vrinæ & bilis secretione, de nutritione, de concoctione cibi ac humorum generatione, contra Erasistratum.

A

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῆς τῶν σιτίων ἀναδόσεως πρὸς Ἐρασίστρατον.

ΟΤΙ μὲν οὖν ἀναγκαῖόν ἐστιν, οὐκ Ἐρασιστράτῳ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν, ὅσοι μέλλουσι περὶ διακρίσεως οὔρων ἐρεῖν τι χρηστόν, ὁμολογῆσαι δύναμίν τινα ὑπάρχειν τοῖς νεφροῖς, ἕλκουσαν εἰς ἑαυτοὺς ποιότητα τοιαύτην, οἵα ἐν τοῖς οὔροις ἐστί, διὰ τοῦ πρόσθεν ἐπιδέδεικται γράμματος. ἀναμιμνησκόντων ἅμ' αὐτῷ καὶ τοῦθ' ἡμῶν, ὡς οὐκ ἄλλως μὲν εἰς τὴν κύστιν τὰ οὖρα φέρεται διὰ τῶν νεφρῶν, ἄλλως δ' εἰς ἅπαντα τὰ μόρια τοῦ ζῴου τὸ αἷμα, καθ' ἄλλον δέ τινα τρόπον ἡ ξανθὴ χολὴ διακρίνεται. δειχθείσης γὰρ ἐναργῶς ἐφ' ἑνὸς οὑτινοσοῦν ὀργάνου τῆς ἑλκτικῆς τε, καὶ ἐπισπαστικῆς ὀνομαζομένης δυνάμεως, οὐδὲν ἔτι χαλεπὸν, ἐπὶ τὰ λοιπὰ μεταφέρειν αὐτήν. οὐ γὰρ δὴ τοῖς μὲν νεφροῖς ἡ φύσις ἔδωκέ τινα τοιαύτην δύναμιν, οὐχὶ δέ γε καὶ τοῖς τὸ χολῶδες ὑγρὸν ἕλκουσιν ἀγγείοις. οὐδὲ τούτοις μὲν, οὐκέτι δὲ καὶ τῶν ἄλλων μορίων ἑκάστῳ. καὶ μὴν εἰ τοῦτ' ἀληθές ἐστι, θαυμάζειν χρὴ τοῦ Ἐρασιστράτου, ψευδεῖς οὕτω λόγους ὑπὲρ ἀναδόσεως τροφῆς εἰπόντος, ὡς μηδ' Ἀσκληπιάδην λαθεῖν. καί τοί γε οἴεται παντὸς μᾶλλον ἀληθὲς ὑπάρχειν, ὡς εἴπερ ἐκ τῶν φλεβῶν ἀπορρέοι τι, δυοῖν θάτερον, ἢ κενὸς ἔσται τόπος ἀθρόως, ἢ τὸ συνεχὲς ἐπιρρυήσεται, τὴν βάσιν ἀναπληροῦν τοῦ κενουμένου.

B

C

CAPVT PRIMVM.

Contra Erasistratum de Alimenti distributione.

ET quòd necesse quidē sit, non Erasistrato modò, sed etiam omnibus qui de vrinę secretione dicturi aliquid sunt, quod ad rem pertineat, fateri facultatē quāpiam in renibus esse, eiusmodi qualitatem, qualis in vrina percipitur, ad se trahentem, id superiori monstrauimus libro; illud quoque commonefacientes, non esse diuersam rationem, quâ vrinæ per renes ferantur in vesicam, & quâ sanguis in omnes animalis partes, nec etiam quâ flaua secernatur bilis. Quippe, si monstratum sit in vno aliquo organo attractricem & attrahētem appellatam facultatem nullum negocium est eam ad reliqua transferre. Neque enim renibus natura talem facultatem cōtulit; vasis autem iis, quæ biliosum humorem trahunt, eandem negauit. Nec rursus his quidem tribuit; reliquis autem omnibus ademit. Quo magis mirandum videtur, si id verum est, Erasistratum tam falsa de digerendo alimento protulisse, vt ne Asclepiadem quidem latuerit; quanquam illud verissimum putat, si quid ex venis effluat, duorum alterum sequi, aut vacuum locum illico fore; aut, quod continuum est, affluxurum esse, abeuntisque locum impleturum.

Asclepiades verò non è duobus alterum, sed è tribus, vnum sequi in vacuandis vasis asserit, vel vacuum locum simul vniuersum fore; vel, quod continuum est secuturum; vel vas ipsum esse contrahendum; in calamis enim & fistulis iis, quæ in aquā demittuntur, rectè vereque dici, quòd aëre, qui in horum cauis continetur, abeunte, aut vacuus locus confestim vniuersus sit futurus, aut quod continens est, secuturum, in venis non ita, quum possit earum tunica in se ipsam considere, ac propterea in capacitatē suā internam se recipere. Atque ita quidem falsa est de successione ad id, quod vacuatur Erasistrati non mehercule demonstratio, sed hypothesis; alio autem modo, & si vera esset etiam superuacua esset, quum & venter à se exprimere in venas possit, veluti ipsemet proponit; & venæ id, quod continent, amplexu suo constringere, ac propellere. Nam præter alia incommoda, ne sanguinis quidem redundantia in corpore colligi vlla posset, si vna successione ad id, quod vacuatur, distributio perficeretur. Ac, si ventris quidem expressio resoluta languensque in progressu redditur, nec potest ad totum pertingere corpus: ac propterea alio opus fuerit artificio, quo sanguis in omnem vsque partem feratur necessaria quidem ea quæ est ad id, quod vacuatur, successio adinuenta est: redūdantia tamen in his, quæ post hepar sunt, partibus nulla erit; aut certè, si qua erit, circa cor, & pulmonem erit. Vnicum enim id ex iis, quæ post iecur habentur, in dextrū sinum suum alimentum trahit, deinde per arterialem venam ad pulmonem transmittit; reliquorum enim nullū nec Erasistrato ipsi nutriri ex corde placet propter eas, quæ super vasis crescunt, membranas. Sin autem, vt fiat plenitudo expressionis, quæ à vētre fit, tenorem vsque in omnem partem seruabimus, nusquam etiamnum successionem ad id, quod vacuatur, requiremus; potissimùm si venarum, eius quod continent, amplexū etiam approbamus; quod vtique Erasistrato quoq; ipsi placet.

A ἀλλ' ὅ γ' Ἀσκληπιάδης, οὐ δυοῖν θάτερον φησὶν, ἀλλὰ τριῶν ἕν τι χρῆναι λέγειν ἐπὶ τοῖς κενουμένοις ἀγγείοις ἕπεσθαι, ἢ κενὸν ἀθρόον τόπον, ἢ τὸ συνεχὲς ἀκολουθήσειν, ἢ συσταλήσεσθαι τὸ ἀγγεῖον. ἐπὶ μὲν γὰρ τῶν καλάμων, καὶ τῶν αὐλίσκων, τῶν εἰς τὸ ὕδωρ καθιεμένων, ἀληθὲς εἰπεῖν, ὅτι τοῦ περιεχομένου κενουμένου κατὰ τὴν εὐρυχωρίαν αὐτῶν ἀέρος, ἢ κενὸς ἀθρόος ἔσται τόπος, ἢ ἀκολουθήσει τὸ συνεχές. ἐπὶ δὲ τῶν φλεβῶν, οὐκέτ' ἐγχωρεῖ, δυναμένου δὴ τοῦ χιτῶνος αὐτῶν, εἰς ἑαυτὸν συνιζάνειν, καὶ διὰ τοῦτο καταπίπτειν εἰς τὴν ἐντὸς εὐρυχωρίαν. οὕτως μὲν δὴ ψευδής ἐστι περὶ τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας, B οὐκ ἀπόδειξις μὰ τὸν δία εἴποιμ' ἂν, ἀλλ' ὑπόθεσις Ἐρασιστράτειος. καθ' ἕτερον δ' αὖ τρόπον, εἰ καὶ ἀληθὴς εἴη, περιττὴ, τῆς μὲν κοιλίας ἐνθλίβειν ταῖς φλεψὶ δυναμένης, ὡς αὐτὸς ὑπέθετο. τῶν φλεβῶν δ' αὖ περιστέλλεσθαι τῷ ἐνυπάρχοντι, καὶ προωθεῖν αὐτό. τά τε γὰρ ἄλλα καὶ πλῆθος οὐκ ἂν ἐν τῷ σώματι γένοιτο, τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ μόνῃ, τῆς ἀναδόσεως ἐπιτελουμένης. εἰ μὲν οὖν ἡ τῆς γαστρὸς ἔνθλιψις ἐκλύεται προϊοῦσα, καὶ μέχρι παντὸς ἀδύνατός ἐστιν ἐξικνεῖσθαι, καὶ διὰ τοῦτο, ἄλλης τινὸς δεῖ μηχανῆς εἰς τὴν παντὶ φορὰν τοῦ αἵματος, ἀναγκαία μὲν ἡ πρὸς τὸ κενούμενον C ἀκολουθία προσεξεύρηται. πλῆθος δ' ἐν οὐδενὶ τῶν μετὰ τὸ ἧπαρ ἔσται μορίων, ἢ εἴπερ ἄρα, περὶ τὴν καρδίαν τε, καὶ τὸν πνεύμονα. μόνη γὰρ αὕτη τῶν μετὰ τὸ ἧπαρ, εἰς τὴν δεξιὰν αὐτῆς κοιλίαν ἕλκει τὴν τροφὴν, εἶτα διὰ τῆς φλεβὸς τῆς ἀρτηριώδους ἐκπέμπει τῷ πνεύμονι. τῶν δὲ ἄλλων οὐδὲν, οὐδ' αὐτὸς ὁ Ἐρασίστρατος ἐκ καρδίας βούλεται τρέφεσθαι διὰ τὴν τῶν ὑμένων ἐπίφυσιν. εἰ δέ γε, ἵνα πλῆθος γένηται, φυλάξομεν ἄχρι παντὸς τὴν ῥώμην τῆς κατὰ τὴν κοιλίαν ἐνθλίψεως, οὐδὲν ἔτι δεόμεθα, τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας, μάλιστα εἰ καὶ τὴν τῶν φλεβῶν συνυποθέ- D μεθα περιστολὴν, ὡς αὖ καὶ τοῦτ' αὐτὸ πάλιν ἀρέσκειν τὸν Ἐρασίστρατον.

CAPVT II.

Contra Erasistratum de Vrinæ, & bilis secretione.

ERgo rursus, quāuis nolit, admonendus de renibus est, dicendúmque reprehensionem hāc omnium, qui tractum partium repudiant esse manifestissimam. Nemo enim, aut probabile aliquid dixit; aut, sicut prius monstrauimus vllo pacto aliā secretionis vrinæ causam inuenire potuit; sed necesse est, vel insanos videri, si halitus vice vrinam ferri in vesicam dixerimus; vel impudentes, si successionis ad id, quod vacuatur, meminerimus, vt quæ in sanguine planè sit ratio ridicula, in vrina, & talis quæ esse non possit, & prorsus insulsa. Ac vnus quidem eorum, qui tractum auersantur, error hic est. Alter, qui in flauæ bilis secretione committitur; neque enim illic transeunte sanguine per meatuū cholidochorū ora fiet exquisita secretio biliosi excrementi. At nec secernatur, inquiunt, sed vnâ cum sanguine per totum corpus feratur. Atqui ô viri sapientissimi, Erasistratus ipse naturā animalibus prospicere, artificiosámque esse proposuit; Idem etiam biliosum humorē inutilē animalibus omninò esse asseruit; nō cohærent autem ambo hæc inter se. Nam quomodo quæso, videatur animali prospicere, si tam noxium succū vnâ cum sanguine ascendere in corpus permittat?

ΚΕΦΑΛΑΙΟΝ Β'.

Πρὸς Ἐρασίστρατον περὶ τῆς τῶν οὔρων τε, καὶ τῆς χολῆς διακρίσεως.

ΑΝαμνηστέον οὖν αὖθις αὐτὸν, κἂν μὴ βούληται, τῶν νεφρῶν, καὶ λεκτέον, ὡς ἔλεγχός ἐστιν οὗτος φανερώτατος ἁπάντων τῶν ἀποχωρούντων τῆς ὁλκῆς. οὐδεὶς γὰρ οὐδὲν οὔτ' εἶ- E πε πιθανὸν, ἀλλ' οὐδ' ἐξευρεῖν ἔχει καθ' οὐδένα τρόπον, ὡς ἔμπροσθεν ἐδείκνυμεν, ἕτερον αἴτιον οὔρων διακρίσεως, ἀλλ' ἀναγκαῖον, ἢ μαίνεσθαι δοκεῖν, εἰ φήσαιμεν ἀτμοειδῶς εἰς τὴν κύστιν ἰέναι τὸ οὖρον, ἢ ἀναισχυντεῖν, τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας μνημονεύοντας, ληρώδους μὲν οὔσης κἀπὶ τοῦ αἵματος, ἀδυνάτου δὲ, καὶ ἠλιθίου παντάπασιν ἐπὶ τῶν οὔρων. ἓν μὲν δὴ τοῦτο σφάλμα τῶν ἀποστάντων τῆς ὁλκῆς. ἕτερον δὲ, τὸ περὶ τῆς κατὰ τὴν ξανθὴν χολὴν διακρίσεως. οὐδὲ γὰρ οὐδ' ἐκεῖ, παραρρέοντος τοῦ αἵματος κατὰ τὰ στόματα τῶν χοληδόχων ἀγγείων, ἀκριβῶς διακριθήσεται τὸ χολῶδες περίττωμα. καὶ μὴ διακρινέσθω φασὶν, ἀλλὰ συνα- F ναφερέσθω τῷ αἵματι παντὶ τοῦ σώματος. ἀλλ' ὦ σοφώτατοι, προνοητικὴν τοῦ ζώου καὶ τεχνικὴν αὐτὸς ὁ Ἐρασίστρατος ὑπέθετο τὴν φύσιν. ἀλλὰ καὶ τὸ χολῶδες ὑγρὸν, ἄχρηστον εἶναι παντάπασι τοῖς ζώοις ἔφασκεν. οὐ συμβαίνει δ' ἀλλήλοις ἄμφω ταῦτα. πῶς γὰρ ἂν ἔτι προνοεῖσθαι τοῦ ζώου δόξειεν, ἐπιτρέπουσα συναναφέρεσθαι τῷ αἵματι μοχθηρὸν οὕτω χυμόν;

ἀλλὰ ταῦτα μὲν σμικρά. τὸ δὲ μέγιστον, καὶ σαφέστατον πάλιν ἐνταῦθ' ἁμάρτημα, καὶ δὴ φράσω. εἴπερ γὰρ δι' οὐδὲν ἄλλο, ἢ ὅτι παχύτερον μέν ἐστι τὸ αἷμα, λεπτοτέρα δ' ἡ ξανθὴ χολή. καὶ τὰ μὲν τῶν φλεβῶν εὐρύτερα στόματα, τὰ δὲ τῶν χοληδόχων ἀγγείων στενότερα. διὰ τοῦθ', ἡ μὲν χολὴ τοῖς στενοτέροις ἀγγείοις τε, καὶ στόμασιν ἐναρμόττει, τὸ δ' αἷμα, τοῖς εὐρυτέροις. δῆλον, ὡς καὶ τὸ ὑδατῶδες τοῦτο, καὶ ὀρρῶδες περίττωμα, τοσοῦτον πρότερον εἰσρυήσεται τοῖς χοληδόχοις ἀγγείοις, ὅσῳ λεπτότερόν ἐστι τῆς χολῆς. πῶς οὖν οὐκ εἰσρεῖ; ὅτι παχύτερόν ἐστι νὴ Δία τὸ οὖρον τῆς χολῆς. τοῦτο γὰρ ἐτόλμησέ τις εἰπεῖν τῶν καθ' ἡμᾶς Ἐρασιστρατείων, ἀποστὰς δηλονότι τῶν αἰσθήσεων αἷς ἐπίστευσεν ἐπί τε τῆς χολῆς, καὶ τοῦ αἵματος. εἴτε γὰρ ὅτι μᾶλλον ἡ χολὴ τοῦ αἵματος ῥεῖ, διὰ τοῦτο λεπτοτέραν αὐτὴν ἡμῖν ἐστι νομιστέον. εἴθ' ὅτι δι' ὀθόνης, ἢ ῥάκους, ἤ τινος ἠθμοῦ, ῥᾷον διεξέρχεται καὶ ταύτης τὸ ὀρρῶδες περίττωμα. καὶ κατὰ ταῦτα τὰ γνωρίσματα, παχυτέρα τοῦ ὑδατώδους ὑγρότητος καὶ αὐτὴ γενήσεται. πάλιν γὰρ οὐδ' ἐνταῦθα λόγος οὐδείς ἐστιν, ὃς ἀποδείξει λεπτοτέραν τὴν χολὴν τῶν ὀρρωδῶν περιττωμάτων. ἀλλ' ὅταν τις ἀναισχυντῇ περιπλέκων τε, καὶ μήπω καταπεπτωκέναι συγχωρῶν, ὅμοιος ἔσται τοῖς ἰδιώταις τῶν παλαιστῶν, οἱ καταβληθέντες ὑπὸ τῶν παλαιστρικῶν, καὶ κατὰ τῆς γῆς ὕπτιοι κείμενοι, τοσοῦτον δέουσι τὸ πτῶμα γνωρίζειν, ὥστε καὶ κρατοῦσι τῶν αὐχένων, αὖθις τοὺς καταβάλλοντας, οὐκ ἐῶντες ἀπαλλάττεσθαι, κἀν τούτῳ νικᾶν ὑπολαμβάνουσι.

Verùm hæc parua sunt; in quo autem maximè hic clarissiméque peccent, id nunc dicam. Si enim propter aliud nihil quàm, quod sanguis crassior est, bilis autem flaua tenuior; ac venarum ora latiora, meatuum cholidochorum angustiora sunt; nec aliam ob causam bilis angustioribus vasis osculísque se inserit, sanguis latioribus, manifestum est aquosum hoc serosúmque excrementum tantò prius influxurum in bilis vasa, quàm bilem; quantò id bile est tenuius. Quo pacto igitur non influit (nempe quod scilicet crassior est vrina, quam bilis) quippe id affirmare ausus est quidam nostri temporis Erasistrati sectator, videlicet à sensuum ipsorum euidentia recedens, quibus in bile & sanguine fidem adhibuit. Siue enim, quod bilis, quàm sanguis, magis fluat idcirco tenuior est censenda; siue, quod pannum, linteúmve, aut aliud, quod percolet, ea faciliùs pertransit, sicut hac rursus excrementum serosum; his vtique indiciis bilis crassior, quàm serosum excrementum fuerit. Rursus enim ne hîc quidem ratio apparet vlla, quæ bilem demonstret seroso excremento esse tenuiorem. Verùm, vbi quis impudens est, deiectúsque concertatorem complectitur, ac deiectum se negat, is luctæ imperitis similis erit, qui, cum à luctæ peritis sunt prostrati, supiníque iacent, tantum absunt, vt se deiectos fateantur, vt etiam à ceruicibus eorum pendeant, à quibus sunt prostrati, nec eos expediri sinant, vincere se interim autumantes.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Πρὸς Ἐρασίστρατον, τὰς φυσικὰς δυνάμεις οὐ μεγέθεσιν ἢ σμικρότησιν τῶν πόρων ἐπιτετράφθαι.

Λῆρος οὖν μακρός ἐστιν ἅπασα τῶν πόρων ὑπόθεσις, εἰς φυσικὴν ἐνέργειαν. εἰ μὴ γὰρ δύναμίς τις σύμφυτος ἑκάστῳ τῶν ὀργάνων, ὑπὸ τῆς φύσεως εὐθὺς ἐξ ἀρχῆς δοθείη, διαρκεῖν οὐ δυνήσεται τὰ ζῷα, μὴ ὅτι τοσοῦτον ἐτῶν ἀριθμόν, ἀλλ' οὐδ' ἡμερῶν ὀλιγίστων. ἀνεπιτρόπευτα γὰρ ἐάσαντες αὐτά, καὶ τέχνης, καὶ προνοίας ἔρημα, μόναις δὲ ταῖς τῶν ὑλῶν οἰακιζόμενα ῥοπαῖς, οὐδαμοῦ δυνάμεως οὐδεμιᾶς, τῆς μὲν ἑλκούσης τὸ προσῆκον ἑαυτῇ, τῆς δ' ἀπωθούσης τὸ ἀλλότριον, τῆς δ' ἀλλοιούσης τε, καὶ προσφυούσης τὸ θρέψον, οὐκ οἶδ' ὅπως οὐκ ἂν εἴημεν καταγέλαστοι, περί τε τῶν φυσικῶν ἐνεργειῶν διαλεγόμενοι, καὶ πολὺ μᾶλλον ἔτι περὶ τῶν ψυχικῶν, καὶ συμπάσης γε τῆς ζωῆς. οὐδὲ γὰρ ζῆν, οὐδὲ διαμένειν οὐδενὶ τῶν ζῴων, οὐδ' εἰς ἐλάχιστον χρόνον ἔσται δυνατόν, εἰ τοσαῦτα κεκτημένον ἐν ἑαυτῷ μόρια, καὶ οὕτω διαφέροντα, μήθ' ἑλκτικῇ τῶν οἰκείων χρήσεται δυνάμει, μήτ' ἀποκριτικῇ τῶν ἀλλοτρίων, μήτ' ἀλλοιωτικῇ τῶν θρεψόντων. καὶ μὴν εἰ ταύτας ἔχοιμεν, οὐδὲν ἔτι πόρων μικρῶν, ἢ μεγάλων ἐξ ὑποθέσεως ἀναποδείκτου λαμβανομένων, εἰς οὔρου καὶ χολῆς διάκρισιν δεόμεθα, καί τινος ἐπικαίρου θέσεως, ἐν ᾧ μόνῳ σωφρονεῖν ἔοικεν ὁ Ἐρασίστρατος, ἅπαντα καλῶς τεθεῖσθαί τε καὶ διαπεπλάσθαι τὰ μόρια τοῦ σώματος, ὑπὸ τῆς φύσεως οἰόμενος. ἀλλ' εἴπερ ἠκολούθησεν ἑαυτῷ, φύσιν ὀνομάζοντι τεχνικήν, εὐθὺς μὲν ἐξ ἀρχῆς ἅπαντα καλῶς διαπλάσασάν τε καὶ διαθεῖσαν εὑρήσει τοῦ ζῴου τὰ μόρια, μετὰ δὲ τὴν τοιαύτην ἐνέργειαν, ὡς οὐδὲν ἔλιπεν, ἔτι προαγαγοῦσαν εἰς φῶς αὐτὸ σὺν τισι δυνάμεσιν, ὧν ἄνευ ζῆν οὐκ ἠδύνατο·

CAPVT III.

Contra Erasistratum facultates naturales à magnitudine, & paruitate meatuum non pendere.

Ergo nugæ maximæ sunt, omnis exiguorum meatuum ad naturales functiones hypothesis. Nisi enim à natura facultas quædam naturalis vnicuique instrumento statim ab initio sit tributa, durare animalia non poterunt non modò tantum annorum, sed nec paucissimorum dierum numerum. Quippe si nullius ea curæ mandemus, artéque & prouidentia destituamus, ac solius materiæ momentis gubernari velimus, nullâ vsquam facultate, vel trahente quod sibi est commodum, vel amoliente quod est alienum, vel alterante, agglutinantéque quod est nutriturum, nescio, quo pacto non ridiculi futuri simus, si de naturalibus actionibus disputemus, multóque magis, si de actionibus animalibus, totáque vita. Siquidem, neque viuere, neque durare vlli animalium, vel breuissimo tempore fas erit, si tot in se partes, támque dissidentes sortitum, nulla facultate vtetur, aut quâ conueniens trahat: aut quâ alienum secernat: aut quâ id, quod nutriat, alteret. Atqui, si præditi his sumus, vtique exiguis magnisve, qui ex hypothesi minimé demonstrata sint accepti meatibus præterea idoneo quodam situ ad bilis, & vrinæ separationem haudquaquam indigemus. In quo vno sapere Erasistratus videtur, quod omnes corporis partes benè dispositas formatásque à natura putat. Verùm, si sibi ipsi constare artificiosam appellanti naturam volet, vt quæ ab initio statim omnes animalis partes probè disposuerit, ac finxerit; post id verò opus, quo nihil deesset, etiam in lucem cum facultatibus quibusdam protulerit, sine quibus viuere non posit:

tum verò paulatim etiam ad iustam vsque magnitudinem auxerit, haud scio, quo pacto naturales actiones meatuum magnitudini, aut paruitati, vllisve tam ridiculis hypothesibus possit permittere. Quippe natura illa, quæ partes effingit, & sensim adauget, omninò per eas totas est extensa, vt quæ totas eas per totas, non tantum extrinsecus, fingat, nutriat, atque augeat. Praxiteles namque, aut Phidias, aut alius quispiam statuarius, foris tantùm materiam ornabant, qua scilicet parte licebat eam attingere; internam eius partem illaboratam, ociosam, artísque immunem, ac neglectam reliquerunt, vt quibus in eam descendere ingredique, ac omnes materiæ partes tangere minimè licuerit. Natura non ita, sed ossis partem quamlibet os efficit, & carnis carnem, & adipis adipem, & in aliorum singulis ad proportionem facit: nulla enim pars est, quæ ab illa non tangatur, aut operam eius, cultúmve effugiat. Imò Phidias ex cera efficere ebur aurúmve non potuit, sed nec ex auro ceram; siquidem horum quódque manens id, quod à principio erat, foris tantum speciem figurámque artis adeptum, perfecta fit statua. Natura nullius materiæ veterem formam seruat; quippe ita sanguis essent cunctæ animalis partes, is scilicet, qui à matre confluit ad maris semen, vna vniusque formæ materia, ceræ vice, artifici subiecta. Nulla verò animalis partium pro ea ratione ex hac, rubra humidáve efficitur; siquidem os, cartilago, arteria, vena, neruus, adeps, glandula, membrana, medulla, exanguia quidem sunt, ex sanguine tamen facta. Quo autem alterante, quóve coagulante, aut quo formante, rogarem mihi responderet ipse Erasistratus; prorsus enim, vel naturam diceret, vel semen, vtroque nimirum idem dicens, sed diuersis notionibus interpretans. Quod namque semen prius erat, id quum primùm, & gignit, & format animal, natura quædam fit; tanquam enim Phidias ante habuit facultates artis quam materiam attigit, vsus autem ipsis est in materia (omnis enim facultas, si conueniens desit materia, ociosa est,) ita semen facultates quidem in se ipso possedit; actionem verò non didicit à materia, sed circa hanc obiuit. Iam, si copioso semen obruatur sanguine, corrumpetur; sin sanguinem omninò desideret, quum ociosum sit, natura esse non poterit. Itaque, quo nec corrumpatur, & natura pro semine fiat, exiguum ad illud sanguinis confluat, necesse est; imò verò id exiguum dicendum non est, sed quod copiæ commensuratum. Quis igitur est, qui affluentis sanguinis copiam moderatur? quis vetat, quo minus iustò plus confluat? quis facit, ne minus quàm satis sit affluat? quem hîc tertium qui animalis generationi præsit, quæremus, quíque conuenientem semini sanguinem subministret? Quid dixisset Erasistratus, si viuens talia rogatus fuisset? nempe semen ipsum; id enim est artifex, Phidiæ proportione respondens; sanguis verò ceræ rationem habet. Non igitur conuenit, vt cera sibi ipsi mensuram inueniat, sed Phidias; trahet porrò artifex tantum ad se sanguinis, quanti indiget. Verùm hîc aduertere debemus, ac videre, ne semini imprudentes rationem quandam intellectúmque tribuamus; quippe hæc ra-

καὶ μετὰ ταῦτα, κατὰ βραχὺ προσαυξήσασαν μέχρι τοῦ πρέποντος μεγέθους, οὐκ οἶδα πῶς ὑπὸ μὲν πόρων σμικρότησιν, ἢ μεγέθεσιν, ἢ τισιν ἄλλαις οὕτω ληρώδεσιν ὑποθέσεσι φυσικὰς ἐνεργείας ἐπιτρέπειν. ἡ γὰρ διαπλάττουσα τὰ μόρια φύσις ἐκείνη, καὶ κατὰ βραχὺ προσαύξουσα, πάντως δήπου, καὶ δι᾽ ὅλων αὐτῶν ἐκτέταται, καὶ γὰρ ὅλα δι᾽ ὅλων, οὐκ ἔξωθεν μόνον αὐτὰ διαπλάττει τε, καὶ τρέφει, καὶ προσαύξει. Πραξιτέλης μὲν γὰρ, ἢ Φειδίας, ἢ τις ἄλλος ἀγαλματοποιὸς, ἔξωθεν μόνον ἐκόσμουν τὰς ὕλας, καθὰ καὶ ψαύειν αὐτῶν ἠδύναντο, τὸ βάθος δ᾽ ἀκόσμητον, καὶ ἀργὸν, καὶ ἄτεχνον, καὶ ἀπρονόητον ἀπέλιπον, ὡς ἂν μὴ δυνάμενοι κατελθεῖν εἰς αὐτὸ, καὶ καταδῦναι, καὶ θιγεῖν ἁπάντων τῆς ὕλης τῶν μερῶν. ἡ φύσις δὲ, οὐχ οὕτως, ἀλλὰ τὸ μὲν ὀστοῦ μέρος ἅπαν ὀστοῦν ἀποτελεῖ, τὸ δὲ σαρκὸς, σάρκα, τὸ δὲ πιμελῆς πιμελὴν, καὶ τῶν ἄλλων ἕκαστον. οὐδὲν γάρ ἐστιν ἄψαυστον αὐτῇ μέρος, οὐδ᾽ ἀνεξέργαστον, οὐδ᾽ ἀκόσμητον. ἀλλὰ τὸν μὲν κηρὸν ὁ Φειδίας οὐκ ἠδύνατο ποιεῖν ἐλέφαντα, καὶ χρυσὸν, ἀλλ᾽ οὐδὲ τὸν χρυσὸν, κηρόν. ἕκαστον γὰρ αὐτῶν μένον οἷον ἦν ἐξ ἀρχῆς, ἔξωθεν μόνον ἠμφιεσμένον εἶδός τι, καὶ σχῆμα τεχνικὸν, ἄγαλμα τέλειον γέγονεν. ἡ φύσις δὲ, οὐδεμιᾶς ἔτι φυλάττει τῶν ὑλῶν τὴν ἀρχαίαν ἰδέαν. αἷμα γὰρ ἂν ἦν οὕτως ἅπαντα τοῦ ζώου τὰ μόρια, τὸ παρὰ τῆς κυούσης ἐπιρρέον τῷ σπέρματι, δίκην κηροῦ τινος, ὕλης μιᾶς καὶ μονοειδοῦς ὑποβεβλημένης τῷ τεχνίτῃ. γίνεται δ᾽ ἐξ αὐτῆς οὐδὲν τῶν τοῦ ζώου μορίων, οὔτ᾽ ἐρυθρὸν οὕτως, οὔθ᾽ ὑγρόν. ὀστοῦν καὶ χόνδρος, καὶ ἀρτηρία, καὶ φλὲψ, καὶ νεῦρον, καὶ πιμελὴ, καὶ ἀδὴν, καὶ ὑμὴν, καὶ μυελὸς, ἄναιμα μὲν, ἐξ αἵματος δὲ γέγονε. τίνος δ᾽ ἀλλοιώσαντος, καὶ τίνος πήξαντος αὐτὸ, καὶ τίνος διαπλάσαντος, ἐδεόμην ἄν μοι τὸν Ἐρασίστρατον αὐτὸν ἀποκρίνασθαι. πάντως γὰρ ἂν εἶπεν, ἤτοι τὴν φύσιν, ἢ τὸ σπέρμα. ταὐτὸν μὲν λέγων καθ᾽ ἑκάτερον, διαφόροις δ᾽ ἐπινοίαις ἑρμηνεύων. ὃ γὰρ ἦν πρότερον σπέρμα, τοῦθ᾽ ὅταν ἄρξηται φύειν τε καὶ διαπλάττειν τὸ ζῶον, φύσις τις γίνεται. καθάπερ γὰρ ὁ Φειδίας, εἶχε μὲν τὰς δυνάμεις τῆς τέχνης, καὶ πρὶν ψαύειν τῆς ὕλης, ἐνήργει δ᾽ αὖ ἐν αὐταῖς περὶ τὴν ὕλην. ἅπασα γὰρ δύναμις ἀργεῖ, ἀπορροῦσα τῆς οἰκείας ὕλης. οὕτω καὶ τὸ σπέρμα, τὰς μὲν δυνάμεις οἴκοθεν ἐκέκτητο, τὰς δ᾽ ἐνεργείας, οὐκ ἐκ τῆς ὕλης ἔλαβεν, ἀλλὰ περὶ τὴν ὕλην ἐπεδείξατο. καὶ μὴν εἰ πολλῷ μὲν ἐπικλύζοιτο τῷ αἵματι τὸ σπέρμα, διαφθείροιτ᾽ ἄν. εἰ δ᾽ ὅλως ἀπορροίη, παντάπασιν ἀργοῦν, οὐκ ἂν γίνοιτο φύσις. ἵν᾽ οὖν μήτε φθείρηται, καὶ γίνηται φύσις ἀντὶ σπέρματος, ὀλίγον ἐπιρρεῖν ἀναγκαῖον αὐτῷ τοῦ αἵματος. μᾶλλον δ᾽ οὐκ ὀλίγον αὐτὸ χρὴ λέγειν, ἀλλὰ σύμμετρον τῷ πλήθει τοῦ σπέρματος. τίς οὖν ὁ μετρῶν αὐτοῦ τὸ ποσὸν τῆς ἐπιρροῆς; τίς ὁ κωλύων ἰέναι πλέον; τίς ὁ προτρέπων ἵν᾽ ἐνδεέστερον μὴ εἴη; τίνα ζητήσομεν ἐνταῦθα τρίτον ἐπιστάτην τοῦ ζώου τῆς γενέσεως, ὃς χορηγήσει τὸ σύμμετρον αἷμα τῷ σπέρματι; τί ἂν εἶπεν Ἐρασίστρατος, εἰ ζῶν ταῦτ᾽ ἠρωτήθη; τὸ σπέρμα αὐτὸ δηλονότι. τοῦτο γάρ ἐστιν ὁ τεχνίτης, ὁ ἀνάλογον τῷ Φειδίᾳ. τὸ δ᾽ αἷμα, τῷ κηρῷ προσέοικεν. οὔκουν ἐπιτρέπει τὸν κηρὸν αὐτὸν ἑαυτῷ τὸ μέτρον ἐξευρίσκειν, ἀλλὰ τὸν Φειδίαν. ἕλξει δ᾽ αἷμα τοσοῦτον ὁ τεχνίτης εἰς ἑαυτὸν, ὁπόσου δεῖται. ἀλλ᾽ ἐνταῦθα χρὴ προσέχειν ἤδη τὸν νοῦν, καὶ σκοπεῖν μή πως λάθωμεν, τῷ σπέρματι λογισμόν τινα καὶ νοῦν χαριζόμενοι. οὕτω γὰρ ἄν,

οὔτε σπέρμα ποιήσαιμεν, οὔτε φύσιν, ἀλλ' ἤδη ζῷον αὐτό. καὶ μὴν εἰ φυλάξομεν ἀμφότερα, τήν τε ὁλκὴν τοῦ συμμέτρου, καὶ χωρὶς λογισμοῦ δύναμίν τινα, καθάπερ ἡ λίθος ἑλκτικὴν εἶχε τοῦ σιδήρου, καὶ τῷ σπέρματι φήσομεν ἐνυπάρχειν αἵματος ἐπισπαστικήν. ἀναγκασθήσομεν οὖν πάλιν κἀνταῦθα, καθάπερ ἤδη πολλάκις ἔμπροσθεν, ἑλκτικήν τινα δύναμιν ὁμολογῆσαι κατὰ τὸ σπέρμα. τί δ' ἦν τὸ σπέρμα; ἡ ἀρχὴ τοῦ ζῴου, ἡ δραστική. ἡ γὰρ δὴ ὑλική, τὸ καταμήνιόν ἐστιν. εἶτα αὐτῆς τῆς ἀρχῆς, πρώτῃ ταύτῃ τῇ δυνάμει χρωμένης, ἵνα γένηταί τι τῶν ὑπ' αὐτῆς τι δεδημιουργημένων, ἄμοιρον εἶναι τῆς οἰκείας δυνάμεως οὐκ ἐνδέχεται. πῶς οὖν Ἐρασίστρατος αὐτὴν οὐκ οἶδεν, εἰ δὴ πρώτη μὲν αὕτη τοῦ σπέρματος ἐνέργεια, σύμμετρον αἵματος ἐπισπᾶσθαι πρὸς ἑαυτό. σύμμετρον δ' ἂν εἴη, τὸ λεπτὸν οὕτω καὶ ἀτμῶδες, ὥστ' εὐθὺς εἰς πᾶν μόριον ἑλκόμενον τοῦ σπέρματος δροσοειδῶς, μηδαμοῦ τὴν ἑαυτοῦ παρεμφαίνειν ἰδέαν. οὕτω γὰρ ἂν αὐτοῦ καὶ κρατήσῃ ῥᾳδίως τὸ σπέρμα, καὶ ταχέως ἐξομοιώσῃ, καὶ τροφὴν ἑαυτῷ ποιήσηται. κἄπειτ', οἶμαι, δεύτερον ἐπισπάσηται, καὶ τρίτον, ὡς ὄγκον ἑαυτῷ καὶ πλῆθος ἀξιόλογον ἐργάσασθαι τραφέντι. καὶ μὴν ἤδη καὶ ἡ ἀλλοιωτικὴ δύναμις ἐξεύρηται, μηδ' αὐτὴ πρὸς Ἐρασιστράτου γεγραμμένη. τρίτη δ' αὖ, ἡ διαπλαστικὴ φανείη, καθ' ἣν πρῶτον μὲν οἷον ἐπίπαγόν τινα λεπτὸν ὑμένα περιτίθησιν ἑαυτῷ τὸ σπέρμα, τὸν ὑφ' Ἱπποκράτους ἐπὶ τῆς ἑκταίας γονῆς, ἣν ἐκπεσεῖν ἔλεγε τῆς μουσουργοῦ, ὅμοιον τῷ τῶν ᾠῶν εἰκασθέντι χιτῶνι. μετὰ δὲ τοῦτον ἤδη, καὶ τἄλλ' ὅσα πρὸς ἐκείνου λέγεται διὰ τοῦ περὶ φύσεως παιδίου γράμματος. ἀλλ' εἰ τῶν διαπλασθέντων ἕκαστον, οὕτω μένοι γε σμικρόν, ὡς ἐξ ἀρχῆς ἐγένετο, τί ἂν εἴη πλέον; αὐξάνεσθαι τοίνυν αὐτὰ χρή. πῶς οὖν αὐξηθήσεται; πάντῃ διατεινόμενά τε ἅμα, καὶ τρεφόμενα. καί μοι τῶν ἔμπροσθεν εἰρημένων ἐπὶ τῆς κύστεως, ἣν οἱ παῖδες ἐμφυσῶντες ἔτριβον, ἀναμνησθεὶς, μαθήσῃ μᾶλλον, κἀκ τῶν νῦν ῥηθησομένων. ἐννόησον γὰρ δὴ τὴν καρδίαν οὕτω σμικρὰν εἶναι κατ' ἀρχάς, ὡς κέγχρου μηδὲν διαφέρειν, ἢ εἰ βούλει κυάμου. καὶ ζήτησον, ὅπως ἂν ἄλλως αὕτη γένοιτο μεγάλη, χωρὶς τοῦ πάντῃ διατεινομένην τρέφεσθαι δι' ὅλης αὑτῆς, ὡς ὀλίγον ἔμπροσθεν ἐδείκνυτο τὸ σπέρμα τρεφόμενον. ἀλλ' οὐδὲ τοῦτο Ἐρασίστρατος οἶδεν, ὁ τὴν τέχνην τῆς φύσεως ὑμνῶν, ἀλλ' οὕτως αὐξάνεσθαι τὰ ζῷα νομίζει, καθάπερ τινὰ κρισαίραν, ἢ σειρὰν, ἢ σάκκον, ἢ τάλαρον, ὧν ἑκάστῳ κατὰ τὸ πέρας ἐπιπλεκομένων, ὁμοίων ἑτέρων τοῖς ἐξ ἀρχῆς αὐτὰ συντιθεῖσιν, ἡ πρόσθεσις γίγνεται. ἀλλὰ τούτου γ' οὐκ αὔξησίς ἐστιν, ἀλλὰ γένεσις, ὦ σοφώτατε. γίγνεται γὰρ ὁ θύλακος, καὶ σάκκος, καὶ τὸ ἱμάτιον, καὶ ἡ οἰκία, καὶ τὸ πλοῖον, καὶ τῶν ἄλλων ἕκαστον, ὅταν μηδέπω τὸ προσῆκον εἶδος, οὗ χάριν ὑπὸ τοῦ τεχνίτου δημιουργεῖται, συμπεπληρωμένον ἔχῃ. πότ' οὖν αὐξάνεται; ὅταν ἤδη τέλειος ὢν ὁ τάλαρος, ὡς ἔχειν πυθμένα τινὰ, καὶ στόμα, καὶ οἷον γαστέρα, καὶ τὰ τούτων μεταξύ, μείζων ἅπασι τούτοις γένηται. καὶ πῶς ἔσται τοῦτο φήσει τις; πῶς δ' ἄλλως, ἢ ζῷον ἐξαίφνης, ἢ φυτὸν, ὁ τάλαρος ἡμῖν γένοιτο. μόνων γὰρ τῶν ζώντων ἡ αὔξησις. σὺ δ' ἴσως οἴει τὴν οἰκοδομουμένην οἰκίαν αὐξάνεσθαι, καὶ τὸν τάλαρον πλεκόμενον, καὶ θοἰμάτιον ὑφαινόμενον, ἀλλ' οὐχ ὧδ' ἔχει. τοῦ μὲν γὰρ ἤδη συμπεπληρωμένου κατὰ τὸ εἶδος, ἡ αὔξησις. τοῦ δ' ἔτι γινομένου, ἡ εἰς τὸ εἶδος ὁδὸς, οὐκ αὔξησις, ἀλλὰ γένεσις ὀνομάζεται, αὐξάνεται μὲν γὰρ τὸ ὄν, γίνεται δὲ τὸ μὴ ὄν.

A tione, nec semen id, nec etiam naturam fecerimus, sed iam animal. Atqui, si tueri vtrumque debebimus, & mediocre trahit, & sine ratione, vtique quemadmodum magneti lapidi trahendi ferri, sic semini trahendi sanguinis facultatem quandam inesse dicemus. Atque hîc rursus, quemadmodum sæpe ante, coacti sumus in semine trahendi vim quandam inesse fateri. At quid erat semen? principium animalis efficiens: materiale namque menstruus est sanguis. An igitur, quum ipsum principium, quo scilicet faciat aliquid eorum, quæ molitur, prima hac vtatur functione, expers esse conuenientis ad eam facultatis potest? B Qui igitur factum est, quod eam Erasistratus non norit, si scilicet ea prima est seminis actio, vt conuenientem sibi sanguinem trahat? Conueniens verò fuerit, qui tenuis adeò halituosúsque est, vt quum in omnem seminis partem veluti ros sit attractus, nusquam sui speciem repræsentet; sic namque fiet, vt & facilè eum vincat semen, & celeriter assimilet, & sibi nutrimentum faciat: mox (arbitror) secundò attrahet, & tertiò, quò scilicet molem sibi magnitudinémque iustam ex nutritione adiiciat. Atqui iam alteratrix inuenta vis est, quæ nec ipsa prodita Erasistrato est. Tertia verò C conformatrix apparebit, cuius ope semen primū veluti concretum quiddam tenue, membranam illam sibi induit, quam Hippocrates sexta die cum fœtu cantrici mulieri ouorum tunicæ similem excidisse ait; post hanc verò reliqua etiam, quæcunque scilicet in libello de infantis natura ab eo sunt scripta, fingit. Verùm, si, quæ formantur omnia, ea paruitate manerent, quā sunt à principio condita, quid vtique maius esset? Augeri igitur illa conueniet. At quomodo augebuntur? certè tum in omnem partem extensa; tum verò nutrita. Quòd si eorum, quæ superiore libro de vesica di- D xi, quam pueri infantes confricabant, memineris, faciliùs, quæ nunc dicentur, intelliges. Cor igitur ab initio ita mihi paruum esse, vt nihil à milij semine distet, aut, si maius, faba, intellige. Tum illud inuestiga, num aliter id effici possit magnum, quàm si & in omnem partem extendatur, & per totum se nutriatur; sicuti semen supra paulò nutriri indicauimus. At nec id nouit Erasistratus, qui naturæ artem prædicat; imò ad eum modum augeri animalia putat, quô, aut crisæram, aut catenam, aut saccum, aut calathum; quorum cuique applicatis ad finem eius aliis quæ similia sunt iis, ex quibus ab initio est conditum, fit appositio. At E hoc vir sapientissime, non auctio eius est, sed generatio. fiunt enim tandiu capsa, & saccus, & vestis, & domus, & nauigium, & reliqua id genus omnia, dum conuenientem speciem, cuius causa ab artifice sunt incepta, consummatam habeant. Quando igitur augeantur? nempe cum calathus iam perfectus, & fundum, & os, & veluti ventrem, & quę in medio horum sunt, habens, omnibus his redditur amplior. At qua ratione id fiet, inquiet aliquis? quâ quæso aliâ, quàm si calathus subitò nobis animal plantave sit effecta? augentur enim ea tantum, quæ viuunt. Tu verò fortasse putas do- F mum, quæ exædificatur, & calathum, & vestem, quæ texuntur, augeri; sed minimè ita est, augetur enim id, cuius perfecta iam forma est; eius autem, quod fit, processus ille, qui est ad formam, non vtique auctio, sed generatio nominatur; quippe augetur id, quod est, gignitur id, quod non est.

CAPVT

CAPVT IV.

Erasistrati opinionem de Naturæ facultatibus, Peripateticis non consentire.

IAm hæc parum nouit Erasistratus, quem nihil latet; si vera omninò sunt, quæ sectatores eius affirmant; inter Peripateticos philosophos versatum eum dicentes. At quod naturam quidem vt artificem prædicat, hactenus ego quoque Peripateticorum agnosco dogma, reliquorum nullum, ne proximum. Siquis enim in Aristotelis, & Theophrasti scriptis sit versatus, ceu commentarios ea physiologiæ Hippocratis conscripta putabit, agere scilicet inter se patíque calidum, frigidum, humidum, & siccum; tum horum maximè actiuum calidum esse: secundum verò potestate frigidum, primò Hippocrate dicente, post eum verò Aristotele. Iam quæ nutriuntur omnia, quòd per tota se nutriantur; & quæ miscentur omnia, quòd per tota se misceantur; parimodo, quæ alterantur omnia, quòd per tota se alterantur, Hippocratica simul Aristotelicáque sunt; & concoctionem alterationem quandam esse, ac nutrientis in propriam qualitatem eius, quod nutritur, mutationem; sanguificationem verò alterationem esse; similiter nutritionem, & auctionem ex eo, quòd corpus in omnem partem extendatur nutriatúrque fieri; alterationem verò ipsam à calido potissimum perfici; atque idcirco tum nutritionem, tum concoctionem, tum omnem humoris generationem, iam verò & in excrementis ipsis qualitates, à calore innato prouenire. Hæc omnia atque etiam alia quamplurima, tum de prædictis facultatibus, tum de morborum generatione, tum remediorum inuentione Hippocrates omnium post hominum memoriam primus rectè dixit; Aristoteles post eum rectè est interpretatus. Atque si hæc omnia Peripateticis placent, sicuti planè placent, nihil verò eorum placeat Erasistrato, quid sibi vult Erasistrati sectatoribus, auctoris sui cum philosophis illis consuetudo? suspiciunt namque eum tanquam Deum, omniáque ab eo dicta vera esse putant. At si hæc ita sint, longè profectò à veritate aberrare putandi Peripatetici philosophi sunt, quibus nihil omninò eorum, quæ Erasistratus est opinatus placet. Atqui ei consuetudinem cum viris illis veluti generositatem quandam physiologiæ tribuunt. Rursum igitur sermonem aliter, quam modò fecimus, in eum conuertemus; si enim Peripatetici rectè sint de physiologia locuti, nemo erit Erasistrato magis ridiculus; ipsisque eius sectatoribus optionem do, quippe, aut priorem sententiam propugnauerint aut hanc. Asserit prior sententia, nihil rectè de natura sensisse Peripateticos; posterior Erasistratum. Ac meæ quidem partes erunt pugnam duarum sententiarum apponere; illorum, vtram placeat eligere. Verùm illud nunquam committent, vt ab Erasistrato laudando se retrahant: ergo de Peripateticis philosophis sileant. Quum enim de animalium ortu interitúque permulta placita naturalia sint, itémque de sanitate, & morbis, horúmque curatione, vnum modò inuenietur, in quo viris illis cum Erasistrato conueniat, naturam alicuius gratia moliri omnia, nihílque sine causa. Quanquam etiam hoc ipsum verbis duntaxat tenus commune est,

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τὴν τοῦ Ἐρασιστράτου περὶ τῶν τῆς φύσεως δυνάμεων αἵρεσιν, τοῖς ἐκ τοῦ Περιπάτου φιλοσόφοις μὴ ὁμιλεῖν.

ΚΑὶ ταῦτ' Ἐρασίστρατος οὐκ οἶδεν, ὃν οὐδὲν λανθάνει, εἴπερ ὅλως ἀληθεύουσιν, οἱ ἀπ' αὐτοῦ φάσκοντες ὡμιληκέναι τοῖς ἐκ τοῦ Περιπάτου φιλοσόφοις αὐτόν. ἄχρι μὲν οὖν τὴν φύσιν ὑμνεῖν ὡς τεχνικήν, κἀγὼ γνωρίζω τὰ τοῦ Περιπάτου δόγματα, τῶν δ' ἄλλων οὐδὲν οὐδ' ἐγγύς. εἰ γάρ τις ὁμιλήσειε τοῖς Ἀριστοτέλους, καὶ Θεοφράστου γράμμασι, τῆς Ἱπποκράτους αὐτὰ δόξειε φυσιολογίας ὑπομνήματα συγκεῖσθαι, τὸ θερμόν, καὶ τὸ ψυχρόν, καὶ τὸ ξηρόν, καὶ τὸ ὑγρὸν εἰς ἄλληλα δρῶντα, καὶ πάσχοντα. καὶ τούτων αὐτῶν δραστικώτατον μὲν τὸ θερμόν, δεύτερον δὲ τῇ δυνάμει τὸ ψυχρόν, Ἱπποκράτους ταῦτα σύμπαντα πρώτου, δευτέρου δ' Ἀριστοτέλους εἰπόντος. τρέφεσθαι δὲ δι' ὅλων αὐτῶν τὰ τρεφόμενα, καὶ κεράννυσθαι δι' ὅλων τὰ κεραννύμενα, καὶ ἀλλοιοῦσθαι δι' ὅλων τὰ ἀλλοιούμενα, καὶ ταῦτ' Ἱπποκράτειά τε ἅμα, καὶ Ἀριστοτέλεια. καὶ τὴν πέψιν ἀλλοίωσίν τινα ὑπάρχειν, καὶ μεταβολὴν τοῦ τρέφοντος εἰς τὴν οἰκείαν τοῦ τρεφομένου ποιότητα, τὴν δ' ἐξαιμάτωσιν ἀλλοίωσιν εἶναι, καὶ τὴν θρέψιν ὡσαύτως, καὶ τὴν αὔξησιν, ἐκ τῆς πάντῃ διατάσεως τοῦ σώματος, καὶ θρέψεως γίνεσθαι. τὴν δ' ἀλλοίωσιν ὑπὸ τοῦ θερμοῦ μάλιστα συντελεῖσθαι, καὶ διὰ τοῦτο, καὶ τὴν θρέψιν, καὶ τὴν πέψιν, καὶ τὴν τῶν χυμῶν ἁπάντων γένεσιν. ἤδη δὲ καὶ τοῖς περιττώμασι τὰς ποιότητας ὑπὸ τῆς ἐμφύτου θερμασίας ἐγγίνεσθαι. ταῦτα σύμπαντα, καὶ πρὸς τούτοις ἕτερα πολλά, τά τε τῶν προειρημένων δυνάμεων, καὶ τὰ τῶν νοσημάτων τῆς γενέσεως, καὶ τὰ τῶν ἰαμάτων τῆς εὑρέσεως, Ἱπποκράτης μὲν πρῶτος ἁπάντων ὧν ἴσμεν ὀρθῶς εἶπεν, Ἀριστοτέλης δὲ δεύτερος ὀρθῶς ἐξηγήσατο. καὶ μὴν καὶ εἰ ταῦτα σύμπαντα τοῖς ἐκ τοῦ Περιπάτου δοκεῖ, καθάπερ οὖν δοκεῖ, μηδὲν δ' αὐτῶν ἀρέσκει τὸν Ἐρασίστρατον, τί ποτε βούλεται τοῖς Ἐρασιστρατείοις ἡ πρὸς τοὺς φιλοσόφους ἐκείνους, τοῦ τῆς αἱρέσεως αὐτῶν ἡγεμόνος ὁμιλία; θαυμάζουσι μὲν γὰρ αὐτὸν ὡς θεόν, καὶ πάντ' ἀληθεύειν νομίζουσιν. εἰ δ' οὕτως ἔχοι ταῦτα, πάμπολυ δήπου τῆς ἀληθείας ἐσφάλθαι χρὴ νομίζειν τοὺς ἐκ τοῦ Περιπάτου φιλοσόφους, οἷς μηδὲν ὧν Ἐρασίστρατος ὑπελάμβανεν, ἀρέσκει. καὶ μὴν ὥσπερ τινὰ εὐγένειαν αὐτῷ τῆς φυσιολογίας, τὴν πρὸς τοὺς ἄνδρας ἐκείνους συνουσίαν ἐκπορίζουσι, πάλιν οὖν ἀναστρέψωμεν τὸν λόγον ἑτέρως, ἢ ὡς ὀλίγῳ πρόσθεν ἐτύχομεν εἰπόντες. εἴπερ γὰρ οἱ ἐκ τοῦ Περιπάτου καλῶς ἐφυσιολόγησαν, οὐδὲν ἂν εἴη ληρωδέστερον Ἐρασιστράτου, καὶ δίδωμι τοῖς Ἐρασιστρατείοις αὐτοῖς τὴν αἵρεσιν, ἢ γὰρ τὸν πρότερον λόγον, ἢ τοῦτον προσοίσονται. λέγει δ' ὁ μὲν πρότερος οὐδὲν ὀρθῶς ἐγνωκέναι περὶ φύσεως τοὺς Περιπατητικούς, ὁ δὲ δεύτερος Ἐρασίστρατον. ἐμὸν μὲν οὖν ὑπομνῆσαι τῶν δογμάτων τὴν μάχην, ἐκείνων δ' ἡ αἵρεσις. ἀλλ' οὐκ ἂν ἀποσταῖεν τοῦ μὴ θαυμάζειν τὸν Ἐρασίστρατον, οὐκοῦν σιωπησάτωσαν περὶ τῶν ἐκ τοῦ Περιπάτου φιλοσόφων. παμπόλλων γὰρ ὄντων δογμάτων φυσικῶν περί τε γενέσεως, καὶ φθορᾶς τῶν ζώων, καὶ ὑγιείας, καὶ νόσου, καὶ τῆς θεραπείας αὐτῶν, ἓν μόνον εὑρεθήσεται ταὐτὸν Ἐρασιστράτῳ κἀκείνοις τοῖς ἀνδράσι, τὸ, τινὸς ἕνεκα πάντα ποιεῖν τὴν φύσιν, καὶ μάτην μηδέν. ἀλλὰ καὶ αὐτὸ τοῦτο μέχρι λόγου κοινόν,

ἔργῳ δὲ μυριάκις Ἐρασίστρατον αὐτὸ διαφθείρει. μάτην γὰρ ὁ σπλὴν ἐγένετο, μάτην δὲ τὸ ἐπίπλοον, μάτην δὲ αἱ εἰς τοὺς νεφροὺς ἀρτηρίαι καταφυόμεναι, σχεδὸν ἁπασῶν τῶν ἀπὸ τῆς μεγάλης ἀρτηρίας βλαστανουσῶν οὖσαι μέγισται, μάτην δ' ἄλλα μυρία κατά γε τὸν Ἐρασιστράτειον λόγον. ἀλλ' εἰ μὲν οὐδ' ὅλως γινώσκει, βραχὺ μαγείρου σοφώτερός ἐστιν ἐν ταῖς ἀνατομαῖς· εἰ δ' εἰδὼς οὐ λέγει τὴν χρείαν αὐτῶν, οἴεται δηλονότι παραπλησίως τῷ σπληνὶ μάτην αὐτὰ γεγονέναι. καίτοι τί ταῦτ' ἐπεξέρχομαι, τῆς περὶ χρείας μορίων ὄντα πραγματείας, μελλούσης ἡμῖν ἰδίᾳ περαίνεσθαι, πάλιν οὖν ἀναλαβόντες τὸν αὐτὸν λόγον, εἰπόντες τι βραχὺ πρὸς τοὺς Ἐρασιστρατείους, ἐπὶ τὰ ἐφεξῆς ἐρχόμεθα. δοκοῦσι γάρ μοι μηδὲν ἀνεγνωκέναι τῶν Ἀριστοτέλους οὗτοι συγγραμμάτων ἀλλ' ἄλλων ἀκούοντες, ὡς δεινὸς ἦν περὶ φύσιν ὁ ἄνθρωπος, καὶ ὡς οἱ ἀπὸ τῆς στοᾶς κατ' ἴχνη τῆς ἐκείνου φυσιολογίας βαδίζουσιν, εἶθ' εὑρόντες ἕν τι τῶν περιφερομένων δογμάτων κοινὸν αὐτῷ πρὸς Ἐρασίστρατον, ἀναπλάσαι τινὰ συνουσίαν αὐτῷ πρὸς ἐκείνους τοὺς ἄνδρας. ἀλλ' ὅτι μὲν τῆς Ἀριστοτέλους φυσιολογίας οὐδὲν Ἐρασιστράτῳ μέτεστιν, ὁ κατάλογος τῶν προειρημένων ἐνδείκνυται δογμάτων. ἃ πρώτου μὲν Ἱπποκράτους ἦν, δευτέρου δ' Ἀριστοτέλους, τρίτου δὲ τῶν Στωϊκῶν, ἑνὸς μόνου μετατεθέντος τοῦ τὰς ποιότητας εἶναι σώματα. τάχα δ' ἂν τῆς λογικῆς ἕνεκα θεωρίας ὡμιληκέναι φαῖεν τὸν Ἐρασίστρατον τοῖς ἐκ τοῦ περιπάτου φιλοσόφοις, οὐκ εἰδότες ὡς ἐκεῖνοι μὲν ψευδεῖς, καὶ ἀσυμπεράντους οὐκ ἔγραψαν λόγους, τὰ δ' Ἐρασιστράτεια βιβλία παμπόλλους ἔχει τοὺς τοιούτους. τάχ' ἂν οὖν ἤδη τις θαυμάζοι, καὶ διαπορεῖν, τί παθὼν ὁ Ἐρασίστρατος, εἰς τοσοῦτον τῶν Ἱπποκράτους δογμάτων ἀπετράπετο. καὶ διὰ τί τῶν ἐν ἥπατι πόρων τῶν χοληδόχων, ἅλις γὰρ ἤδη νεφρῶν, ἀφελόμενος τὴν ἑλκτικὴν δύναμιν, ἐπικαίρου αἰτιᾶται θέσιν, καὶ στομάτων στενότητα, καὶ χώραν τινὰ κοινὴν, εἰς ἣν παράγουσι μὲν αἱ ἀπὸ τῶν πυλῶν τὸ ἀκάθαρτον αἷμα, μεταλαμβάνουσι δὲ πρότεροι μὲν οἱ πόροι τὴν χολὴν, δεύτεραι δ' αἱ ἀπὸ τῆς κοίλης φλεβὸς τὸ καθαρὸν αἷμα. πρὸς γὰρ τῷ μηδὲν ἂν βλαβῆναι τὴν ὁλκὴν εἰπὼν, ἄλλων μυρίων ἔμελλεν ἀμφισβητουμένων ἀπαλλάξασθαι λόγων.

re enim Erasistratus millies id destruit; quippe frustra splen, frustra omentum, frustra arteriæ, quæ inseruntur in renes, quanquam hæ omnium, quæ à magna arteria oriuntur, sint propè maximæ, frustra mille alia, Erasistrati saltem sententia, sunt condita. Quæ quidem si prorsus ignorat, coquo paulò est in dissectionibus peritior; sin sciens non dicit eorum vsum, putat planè frustra ea lienis exemplo esse facta. Quanquam quid hæc persequor, quæ operis de partium vsu, quod opus seorsum scripturi sumus, magis sint propria? Ergo rursus eundem resumamus sermonem, paucisque in Erasistrati æmulos appositis, ea quæ reliqua sunt prosequamur. Videntur hi mihi nullum ex Aristotelis scriptis legisse; sed ab aliis audiuisse, eum in naturæ contemplatione magnum virum fuisse; tum Stoicos vestigiis physiologiæ eius insistere; deinde vnum ex vulgatis placitis inuenientes illi cum Erasistrato commune, fingere fuisse quandam Erasistrato cum illis viris consuetudinem. Cæterùm quod Erasistratus expers omninò sit Aristotelicæ physiologiæ, declarat prædictorum iam dogmatum catalogus; quæ scilicet primùm Hippocratis fuêre, secundò Aristotelis, tertiò Stoïcorum, vno tantum mutato, quòd qualitates sint corpora. Fortasse autem logicæ speculationis gratia versatum esse cum Peripateticis Erasistratum dicent, parum intelligentes sermones falsos, & parum concludentes ab iis minimè esse conscriptos; quum Erasistrati volumina eiusmodi sermonibus scateant. Ergo miretur fortasse aliquis, ac dubitet, quamobrem Erasistratus tantopere ab Hippocratis dogmate abhorruerit; ac cur meatus in iecinore, qui bilem excipiunt (de renibus enim abundè hactenus) tractatoria vi priuans, conuenientem situm, & osculorum causetur angustiam, ac locum quendam communem, in quem deducant venæ, quæ à porta veniunt, sanguinem impurum, accipiant autem priores quidem ipsi meatus bilem, postea venæ, quæ ad cauam pertinent, purum iam sanguinem. Quippe quum, si tractum dixisset, præterquam quòd nihil accidisset incommodi, ab aliis sexcentis dubitationibus fuisset liber.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὀρθῶς νοῆσαι τὸν τοῦ Ἐρασιστράτου λόγον περὶ τῆς διακρίσεως τῆς χολῆς, ἀδύνατον.

Ὡς νῦν γε πόλεμος οὐ σμικρός ἐστι τοῖς Ἐρασιστρατείοις, οὐ πρὸς τοὺς ἄλλους μόνους, ἀλλὰ καὶ πρὸς ἀλλήλους, οὐκ ἔχουσιν ὅπως ἐξηγήσωνται τὴν ἐκ τοῦ πρώτου τῶν καθόλου λόγων λέξιν, ἐν ᾗ φησιν. Εἰς τὸ αὐτὸ δ' ἀνεστομωμένων ἑτέρων δύο ἀγγείων, τῶν τ' ἐπὶ τὴν χοληδόχον τεινόντων, καὶ τῶν ἐπὶ τὴν κοίλην φλέβα, συμβαίνει τῆς ἀναφερομένης ἐκ τῆς κοιλίας τροφῆς τὰ ἐναρμόζοντα ἑκατέροις τῶν στομάτων, εἰς ἑκάτερα τῶν ἀγγείων μεταλαμβάνεσθαι, καὶ τὰ μὲν ἐπὶ τὴν χοληδόχον φέρεσθαι, τὰ δ' ἐπὶ τὴν κοίλην φλέβα παράγεσθαι. τὸ γὰρ εἰς τὸ αὐτὸ ἀνεστομωμένων, ὃ κατ' ἀρχὰς τῆς λέξεως γέγραπται, τί ποτε χρὴ νοῆσαι χαλεπὸν εἰπεῖν. ἤτοι γὰρ οὕτως εἰς ταὐτὸν, ὥστε τῷ τῆς ἐν τοῖς σιμοῖς φλεβὸς πέρατι συνάπτειν δύο ἕτερα πέρατα, τό τ' ἐν τοῖς κυρτοῖς, καὶ τὸ τοῦ χοληδόχου πόρου, ἢ εἰ μὴ οὕτως, χώραν τινὰ κοινὴν ἐπινοῆσαι χρὴ τῶν τριῶν ἀγγείων ἄλλην,

CAPVT V.

Locum Erasistrati de Bilis secretione rectè intelligi non posse.

QVum nunc pugna sit Erasistrati sectatoribus non parua, neque id cum aliis modò, verùm etiam ipsis inter se, nequeuntibus scilicet interpretari verba illa in primo vniuersalium sermonum, quibus ait; *Adapertis autem in idem aliis duobus vasis, tum cholidochio, tum iis quæ ad cauam venam tendunt, accidit subeuntis ex ventriculo alimenti partes eas, quæ vtrisque osculis sunt accommodæ, in vtraque transferri vasa, atque alias ad cholidochum, ferri, alias ad venam cauam transmitti.* Illud enim adapertis in idem, quod in principio dictionis est positum, quo pacto sit intelligendum, difficilè dictu est. Aut enim ita, in idem, vt venæ eius, quæ in cauo iecinoris est, fini copulentur alij duo fines, tum eius, quæ est in gibbo, tum bilis ipsius meatus; aut si non ita, locum quempiam communem intelligere oportet, qui à tribus vasis sit diuersus,

& velut receptaculum quoddam, quod impleatur quidem ab inferiore vena, vacuetur autem in bilis meatus, & in eas, quæ à caua difissæ sunt venulas. In vtraque verò expositione multa sunt incommoda; quæ si omnia dicam, videbor propositi mihi ab initio oblitus in Erasistratum scribere enarrationem. Cæterùm commune ambabus interpretationibus incommodum est, quòd totus sanguis non purgatur. Oportet enim in ipsum quod bilem recipit vas, vbi videlicet percolaretur, eum incidere, non transire, ac præterfluere celeriter in os maius, distributionis scilicet impetu latum. An igitur his solis difficultatibus implicatus hæret Erasistrati sermo, dum attractrice facultate ad quiduis vti recusat? an vehementissimè quidem in his, liquidóque adeò, vt nec puerum lateat?

οἷον ἐκδεχομένην τινά, πληρουμένην μὲν ὑπὸ τῆς κάτω φλεβός, ἐκκενουμένην δὲ εἴς τε τοὺς χοληδόχους πόρους, καὶ τὰς τῆς κοίλης ἀποφύσεις. καθ' ἑκατέραν δὲ τὴν ἐξήγησιν ἄτοπα πολλά, περὶ ὧν εἰ πάντα λέγοιμι, λάθοιμ' ἂν ἐμαυτὸν ἐξήγησιν Ἐρασιστράτου γράφων, οὐχ ὅπερ ἐξ ἀρχῆς προὐθέμην περαίνων. κοινὸν δ' ἀμφοτέραις ταῖς ἐξηγήσεσιν ἄτοπον, τὸ μὴ καθαίρεσθαι τὸ πᾶν αἷμα. χρῆν γὰρ ὡς εἰς ἠθμόν τινα χοληδόχον ἀγγεῖον ἐμπίπτειν αὐτό, οὐ παρέρχεσθαι, καὶ παραρρεῖν ὠκέως εἰς τὸ μεῖζον στόμα, τῇ ῥύμῃ τῆς ἀναδόσεως φερόμενον. ἆρ' οὖν ἐν τούτοις μόνοις ἀπορίαις ἀφύκτοις ὁ Ἐρασιστράτου λόγος ἐνέχεται, μὴ βουλομένου χρήσασθαι ταῖς ἑλκτικαῖς δυνάμεσιν εἰς μηδέν, ἢ σφοδρότατα μὲν ἐν τούτοις, καὶ σαφῶς οὕτως, ὡς ἂν μηδὲ παῖδα λαθεῖν.

CAPVT VI.

Aduersus Erasistratum de Nutritione.

VErùm, siquis attentè consideret, nec eius de alimento sermo, quem in secundo vniuersalium sermonum scribit, easdem difficultates effugit. Siquidem vno illo lemmate successionis ad id, quod vacuatur, concesso (ceu prius ostendimus) conclusit quiddam de venis solùm, & qui in iis habetur sanguine. Effluente enim per ora earum, ac distributo sanguine, quum nec simul vniuersus esse vacuus locus possit, nec venarum quicquam concidere (id namque erat omissum) necesse erat, vt quod continuum fuit sequeretur, ac vacuati locum impleret. Atque venæ quidem nobis ita nutrientur, sanguine scilicet, quem in se habent, fruentes. At nerui quomodo nutrientur? neque enim in his sanguis habetur. Nobis namque in promptu est respondere, quod trahendo à venis; sed hoc illi non placet. Quidnam igitur hic comminiscitur? nempe neruum venas in se arteriásque habere, veluti catenam ex tribus diuersis naturâ loris contextam. Ex hac etenim ad disputationem sumpta hypothesi, putauit se tractum posse declinare; neque enim amplius neruum, cum sanguinis in se vas habeat, sanguinis alterius, qui extrinsecus ex vicina vera vena confluat indigere; sed satis illi ad nutrimentum esse vas illud confictum, quod ratio comprehendat. At hîc rursus alia difficultas hominem excipit. Hoc namque ipsum exiguum vasculum seipsum quidem nutriet; simplicem verò illum, qui ipsi adiunctus est, neruum, vel arteriam, fieri nequit, vt nutriat, nisi iis insita quædam trahendi nutrimenti vis subesse concedatur. Nam successione ad id, quod vacuatur, quo pacto attrahere alimentum queat simplex ille neruus ad eum modum, quo compositæ venæ? nempe quia cauitas quædam in illo est, ipso auctore. At ea cauitas spiritu animali plena est, non sanguine. Est autem nobis non in hanc cauitatem ratione inducendum alimentum, sed in vas, quod eam contineat, siue id tantummodo nutriri, siue etiam augeri est opus. Ergo qua ratione inducemus? est enim adeò exiguum simplex illud vas, præterea reliquorum vtrumque, vt si minima acu partem eius aliquam pupugeris, tria simul diuiseris. Itaque sensibilis in eo locus vacuus fieri simul vniuersus non potest; qui verò ratione spectatur non cogit, quum vacuatur, vt quod continuum est, necessariò sequatur. Velim porrò rursus hoc loco respondeat mihi Erasistratus ipse de elementari illo

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Πρὸς Ἐρασίστρατον περὶ τῆς θρέψεως.

ΕΙ δ' ἐπισκοποῖτό τις ἐπιμελῶς, οὐδὲ ὁ περὶ θρέψεως αὐτῷ λόγος, ὃν ἐν τῷ δευτέρῳ τῶν καθόλου λόγων διεξέρχεται, τὰς αὐτὰς ἀπορίας ἐκφεύγει. τῇ γὰρ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ συγχωρηθέντος ἑνὸς λήμματος, ὡς πρόσθεν ἐδείκνυμεν, ἐπέρανέ τι περὶ φλεβῶν μόνων, καὶ τοῦ κατ' αὐτὰς αἵματος. ἐκρέοντος γάρ τινος κατὰ τὰ στόματα αὐτῶν, καὶ διαφορουμένου, καὶ μήτ' ἀθρόον τόπου κενοῦ δυναμένου γενέσθαι, μήτε τῶν φλεβῶν συμπεσεῖν. τοῦτο γὰρ ἦν τὸ παραλειπόμενον, ἀναγκαῖον ἦν ἕπεσθαι τὸ συνεχές, ἀναπληροῦν τοῦ κενουμένου τὴν βάσιν. αἱ μὲν δὴ φλέβες ἡμῖν οὕτω θρέψονται, τοῦ περιεχομένου κατ' αὐτὰς αἵματος ἀπολαύουσαι. τὰ δὲ νεῦρα πῶς; οὐ γὰρ δὴ κἀν τούτοις ἐστὶν αἷμα. πρόχειρον μὲν γὰρ ἦν εἰπεῖν, ἕλκοντα παρὰ τῶν φλεβῶν, ἀλλ' οὐ βούλεται. τί ποτ' οὖν κἀνταῦθα ἐπιτεχνᾶται; φλέβας ἔχειν ἐν ἑαυτῷ, καὶ ἀρτηρίας τὸ νεῦρον, ὥσπερ τινὰ σειρὰν ἐκ τριῶν ἱμάντων διαφερόντων τῇ φύσει πεπλεγμένον. ᾠήθη γὰρ ἐκ ταύτης τῆς ὑποθέσεως, ἐκφεύξεσθαι τῷ λόγῳ τὴν ὁλκήν. οὐ γὰρ ἂν ἔτι δεήσεσθαι τὸ νεῦρον ἐν ἑαυτῷ περιέχον αἵματος ἀγγεῖον, ἐπιρρύτου τινὸς ἔξωθεν ἐκ τῆς παρακειμένης φλεβὸς τῆς ἀληθινῆς, αἵματος ἑτέρου, ἀλλ' ἱκανὸν αὐτῷ πρὸς τὴν θρέψιν ἔσεσθαι, τὸ κατεψευσμένον ἀγγεῖον ἐκεῖνο τῷ λόγῳ θεωρητόν, ἀλλὰ κἀνταῦθα πάλιν αὐτὸν ὁμοία τις ἀπορία διεδέξατο. τοῦτο γὰρ τὸ σμικρὸν ἀγγεῖον, ἑαυτὸ μὲν θρέψει. τὸ παρακείμενον δὲ νεῦρον ἐκεῖνο τὸ ἁπλοῦν, ἢ τὴν ἀρτηρίαν, οὐχ οἷόν τε ἔσται τρέφειν αὐτό, τοῦ σύμφυτόν τιν' ὑπάρχειν αὐτοῖς ὁλκὴν τῆς τροφῆς. τῇ μὲν γὰρ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ, πῶς ἂν ἔτι δύναιτο τὴν τροφὴν ἐπισπάσασθαι τὸ ἁπλοῦν νεῦρον, ὥσπερ αἱ φλέβες αἱ σύνθετοι; κοιλότης μὲν γάρ τίς ἐστιν ἐν αὐτῷ, καὶ αὕτη, ἀλλ' οὐχ αἵματος αὕτη γε, ἀλλὰ πνεύματος ψυχικοῦ μεστή. δεόμεθα δ' ἡμεῖς, οὐκ εἰς τὴν κοιλότητα ταύτην εἰσάγειν τῷ λόγῳ τὴν τροφήν, ἀλλ' εἰς τὸ περιέχον αὐτὴν ἀγγεῖον, εἴτ' οὖν τρέφεσθαι μόνον, εἴτε καὶ αὐξάνεσθαι δέοιτο. πῶς οὖν εἰσάξομεν; οὕτω γάρ ἐστι μικρὸν ἐκεῖνο τὸ ἁπλοῦν ἀγγεῖον, καὶ μέντοι καὶ τῶν ἄλλων ἑκάτερον, ὥστ' εἰ τῇ λεπτοτάτῃ βελόνῃ νύξαις τι μέρος, ἅμα διαιρήσεις τὰ τρία. τόπος οὖν αἰσθητὸς ἀθρόος κενὸς, οὐκ ἄν ποτ' ἐν αὐτῷ γένοιτο. λόγῳ δὲ θεωρητὸς τόπος κενούμενος, οὐκ ἦν ἀναγκαστικὸς τῆς τοῦ συνεχοῦς ἀκολουθίας. ἐβουλόμην δ' αὖ πάλιν μοι κἀνταῦθα τὸν Ἐρασίστρατον αὐτὸν ἀποκρίνασθαι περὶ τοῦ στοιχειώδους

ἐκείνου νεύρου τοῦ σμικροῦ, πότερον ἕν ἐστι, καὶ συνεχές ἐστιν ἀκριβῶς, ἢ ἐκ πολλῶν καὶ μικρῶν σωμάτων, ὧν Ἐπίκουρος, καὶ Λεύκιππος, καὶ Δημόκριτος ὑπετίθεντο, σύγκειται. καὶ γὰρ καὶ περὶ τούτου, τοὺς Ἐρασιστρατείους ὁρῶ διαφερομένους. οἱ μὲν γὰρ ἓν εἶναι καὶ συνεχὲς αὐτὸ νομίζουσιν, ἢ οὐκ ἂν ἁπλοῦν εἰρῆσθαι πρὸς αὐτοῦ φασι. τινὲς δὲ καὶ τοῦτο διαλύειν εἰς ἕτερα στοιχειώδη τολμῶσιν. ἀλλ' εἰ μὲν ἕν ἐστι, καὶ συνεχές ἐστι, τὸ κενούμενον ἐξ αὐτοῦ κατὰ τὴν ἄδηλον ὑπὸ τῶν ἰατρῶν ὀνομαζομένην διαπνοήν, οὐδεμίαν ἐν ἑαυτῷ καταλείψει χώραν κενήν. οὕτω γὰρ οὐχ ἕν, ἀλλὰ πολλὰ γενήσεται, διειργόμενα δήπου ταῖς κεναῖς χώραις. εἰ δ' ἐκ πολλῶν σύγκειται, τῇ κηπαίᾳ κατὰ τὴν παροιμίαν, πρὸς Ἀσκληπιάδην ἀπεχωρήσαμεν, ἄναρμά τινα στοιχεῖα τιθέμενοι, πάλιν οὖν ἄτεχνος ἡμῖν ἡ φύσις γενέσθω. τοῖς γὰρ τοιούτοις ἐξ ἀνάγκης στοιχείοις τοῦθ' ἕπεται. διὸ δή μοι καὶ δοκοῦσιν ἀμαθῶς πάνυ, τὴν εἰς τὰ τοιαῦτα στοιχεῖα τῶν ἁπλῶν ἀγγείων εἰσάγειν διάλυσιν ἔνιοι τῶν Ἐρασιστρατείων. ἐμοὶ γοῦν οὐδὲν διαφέρει. καθ' ἑκατέρους γὰρ ἄτοπος ὁ τῆς θρέψεως ἔσται λόγος, ἐκείνοις τοῖς ἁπλοῖς ἀγγείοις τοῖς μικροῖς, τοῖς συντιθεῖσι τὰ μεγάλα τε, καὶ αἰσθητὰ νεῦρα. κατὰ μὲν τοὺς συνεχῆ φυλάττοντας αὐτά, μὴ δυναμένης γενέσθαι τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας, ὅτι μηδὲν ἐν τῷ συνεχεῖ γίνεται κενόν, κἂν ἀποῤῥέοι τι, συνέρχεταί γε πρὸς ἄλληλα τὰ καταλειπόμενα μόρια, καθάπερ ἐπὶ τοῦ ὕδατος ὁρᾶται. καὶ πάλιν ἓν γίνεται πάντῃ, τὴν χώραν τοῦ διαφορηθέντος αὐτὰ καταλαμβάνοντα. κατὰ δὲ τοὺς ἑτέρους, ὅτι τῶν στοιχείων ἐκείνων οὐδὲν δεῖται τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας. ἐπὶ γὰρ τῶν αἰσθητῶν μόνων, οὐκ ἐπὶ τῶν λόγῳ θεωρητῶν ἔχει τὴν δύναμιν, ὡς αὐτὸς Ἐρασίστρατος ὁμολογεῖ διαῤῥήδην, οὐ περὶ τοιούτου κενοῦ φάσκων ἑκάστοτε ποιεῖσθαι τὸν λόγον, ὃ κατὰ βραχὺ παρέσπαρται τοῖς σώμασιν, ἀλλὰ περὶ τοῦ σαφοῦς, τοῦ αἰσθητοῦ, καὶ ἀθρόου, καὶ μεγάλου, καὶ ἐναργοῦς, καὶ ὅπως ἂν ἄλλως ὀνομάζειν ἐθέλοις. Ἐρασίστρατος μὲν γὰρ αὐτός, αἰσθητὸν ἀθρόον οὔ φησι δύνασθαι γενέσθαι κενόν. ἐγὼ δ' ἐκ περιουσίας εὐπορήσας ὀνομάτων, ταὐτὸν δηλοῦν ἕν γε τῷ νῦν προκειμένῳ λόγῳ δυναμένων, καὶ τἄλλα προσέθηκα. κάλλιον οὖν μοι δοκεῖ εἶναι, καὶ πρὸς ἡμᾶς συνεξενέγκασθαι τοῖς Ἐρασιστρατείοις, ἐπειδὴ κατὰ τοῦτο γεγόναμεν, καὶ συμβουλεῦσαι τοῖς τὸ πρῶτον ἐκεῖνο, καὶ ἁπλοῦν ὑπὸ Ἐρασιστράτου καλούμενον ἀγγεῖον εἰς ἕτερ' ἄττα σώματα στοιχειώδη διαλύουσιν, ἀποστῆναι τῆς ὑπολήψεως, ὡς πρὸς τῷ μηδὲν ἔχειν πλέον, ἔτι καὶ διαφερομένοις Ἐρασιστράτῳ. ὅτι μὲν οὖν οὐδὲν ἔχει πλέον, ἐπιδέδεικται σαφῶς. οὐδὲ γὰρ ἠδυνήθη διαφυγεῖν τὴν περὶ τῆς θρέψεως ἀπορίαν ἡ ὑπόθεσις. ὅτι δ' οὐδ' Ἐρασιστράτῳ σύμφωνός ἐστιν, ὃ ἐκεῖνος ἁπλοῦν, καὶ πρῶτον ὀνομάζει σύνθετον ἀποφαίνουσα, καὶ τὴν τῆς φύσεως τέχνην ἀναιροῦσα, πρόδηλον καὶ τοῦτ' εἶναί μοι δοκεῖ. εἰ μὴ γὰρ ἐν τοῖς ἁπλοῖς τούτοις ἕνωσίν τινα τῆς οὐσίας ἀπολείψομεν, ἀλλ' εἰς ἄναρμα καὶ ἀμερῆ καταβησόμεθα στοιχεῖα, παντάπασιν ἀναιρήσομεν τῆς φύσεως τέχνην, ὥσπερ καὶ πάντες οἱ ἐκ ταύτης ὁρμώμενοι τῆς ὑποθέσεως ἰατροὶ καὶ φιλόσοφοι. δευτέρα γὰρ τῶν τοῦ ζώου μορίων κατὰ τὴν τοιαύτην ὑπόθεσιν, ἡ φύσις οὐ προτέρα γίνεται. διαπλάττειν δὲ καὶ δημιουργεῖν, οὐ τοῦ δευτέρου γενομένου, ἀλλὰ τοῦ προϋπάρχοντός ἐστιν, ὥστ' ἀναγκαῖον εὐθὺς ἐκ σπέρματος ὑποθέσθαι τὰς δυνάμεις τῆς φύσεως, αἷς διαπλάττει τε, καὶ αὐξάνει, καὶ τρέφει τὸ ζῶον.

exiguo neruo, ſitne vnus, & prorſus continuus, an ex multis, & exiguis corpuſculis illis, quæ Epicurus, Leucippus, & Democritus propoſuerunt compoſitus. Nam de hoc quoque Eraſiſtrati æmulos diſſidere animaduerto; alij namque vnum eum eſſe continuúmque putant, alioqui, nec ſimplicem eum nominandum ab eo fuiſſe dicunt; alij hunc quoque audent in alia elementaria diuidere. Verùm ſi vnum quiddam continuúmque eſt, quòd ex eo per inſenſibilem à medicis dictum perſpiratum vacuatur, nullum relinquet in eo locum vacuum, quùm ita vnum non fuerit, ſed plura vacuis ſcilicet locis inter ſe diuiſa. Sin ex multis eſt conditum, per horti poſticum (vt in prouerbio eſt) ad Aſclepiadem diſceſſimus, quæ cohærere inter ſeſe non poſſunt elementa ſtatuentes. Ergo rurſus artis expertem eſſe naturam dicamus; quum eiuſmodi elementa neceſſariò hoc ſequatur. Quare parum eruditè mihi videntur Eraſiſtrati æmulorum quidam ad eiuſmodi elementa ſimplicium vaſorum ſolutionem redigere; mea enim nihil refert. Secundum vtroſque enim abſurda erit nutritionis ratio; quum in ſimplicibus illis exiguis vaſis, quæ magnos, ac ſenſibiles neruos conficiunt, non poſſit ſententia eorum, qui continua ea defendunt, fieri ad id, quod vacuatur ſucceſſio; quòd & in continuo nihil ſit vacuum; ac ſi quid effluat, partes quæ relinquuntur, veluti in aqua cernitur inter ſe coëant, rurſúmque vnum fiant, ipſæ digeſti locum occupantes. Secundum alios verò propterea quod ſucceſſione ad id, quod vacuatur illorum elementorum nullum eget. Habet enim ea ſucceſſio in ſenſibilibus tantùm, non etiam in iis, quæ ratione ſpectantur, vim; ſicuti ipſe Eraſiſtratus manifeſtè fatetur, vbique non de vacuo id genus, quod minutim corporibus accidit, ſe agere teſtificans, ſed de manifeſto, & ſenſibili, & multo ſimul collecto, & magno, & euidenti, vel quomodocunque aliter nominare libuerit. Quippe Eraſiſtratus ipſe vacuum ſenſibile, quòd ſimul totum ſit, ait eſſe non poſſe. Ego verò quum nominibus abundarem, quæ idem in propoſito ſermone valerent, etiam reliqua adieci. Non alienum verò videtur, ſi ipſe quoque aliquid (quando huc veni) Eraſiſtrati ſectatoribus conferam, hortérque, vt quum primùm illud, & ſimplex ab Eraſiſtrato vocatum vas in alia ſoluunt elementaria corpora, ab ea opinione deſiſtant; quum præter id, quod nihil promouent, etiam ab Eraſiſtrato diſſideant. Ac quod nihil quidem promoueant, liquidò eſt monſtratum; neque enim effugere dubitationem, quæ de nutritione eſt propoſita opinio ea potuit. Quòd autem, nec cum Eraſiſtrato ſit conſentiens, quum id quod ille primùm, & ſimplex nominat, compoſitum faciat, ac naturæ artem deſtruat, manifeſtum id quoque mihi videtur. Si enim in ſimplicibus his vnitionem quandam ſubſtantiæ non relinquemus, ſed ad elementa, quæ nec coaleſcere poſſunt, nec in partes diuidi deſcendemus, omninò naturæ artem perimemus; quod vtique omnes faciunt, qui hanc hypotheſin pro principio habent, tum medici, tum philoſophi. Quippe ſecunda & poſterior animalis partibus ſecundum hanc hypotheſin natura eſt, non prior; at formare, & condere non eius eſt, quod ſecundò fit, ſed eius, quod fuit prius. Quare neceſſe eſt ſtatim ex ipſo ſemine, naturæ facultates, quibus conformat; auget nutritque animal, eſſe præſumere.

At corporum, quæ nec vnà committi, nec diuidi possunt, nullum in se conformatricem, auctricem, nutricem, aut in summa artificem facultatem habet; quippe quod impatibile esse immutabiléque præsumitur. Prædictorum verò sine mutatione, & alteratione, & ea, quæ per tota fit, mixtione, veluti supra indicauimus nullum consistit. Atque ob hanc necessitatem omnes eiusmodi opinionum sectatores, quo consentanea elementis iis, quæ proposuerunt dicerent, naturam, vel nolentes coacti sunt artificem esse negare. Verùm hæc non à nobis Erasistrati sequaces, sed à philosophis discere par erat; quibus scilicet illud maximè placet, omnium rerum elementa primum esse consideranda. Non rectè igitur putandus est Erasistratus eò ignorantiæ progressus, vt ne hanc quidem dignoscere possit consequentiam; sed vt simul naturam artificiosam esse proponeret, simul in impatibilia, & quæ nec vnà coniungi, nec mutari possint elementa, substantiam dirimeret. Atqui si in elementis alterationem aliquam, & mutationem, & vnionem, & continuitatem dederit, vnum ei minimè compositum vas illud, quod simplex vocat erit; verùm simplex vena à seipsa nutrietur, neruus verò & arteria à vena. Sed qualiter quæro, & quemadmodum? hoc enim disceptationis nostræ loco, dissensus Erasistrateorum superius meminimus, monstrauimúsque neutrorum sententiâ, quemadmodum simplicium illorum vasorum nutritio fiat constare. Sed nec indicare pugnam eorum sumus grauati: præterea Erasistrato honoris aliquid deferre, translato scilicet in meliorem sectam. Rursum igitur ad eam, quæ elementarem illum neruum, vnum, simplicem, & sibi vndique vnitum proponit, disputatio conuersa, quemadmodum nutriendus sit consideret; quod namque hîc inuentum erit, commune id Hippocratis quoque sectæ fuerit. Aptiùs autem mihi, quod quæritur, disquirendum esse videtur in iis, qui ægrotauerunt, & vehementer sunt extenuati; omnes enim his corporis partes, & contabuerunt, & graciles factæ sunt, tum plurima additione refectionéque indigere videntur; ergo etiam neruus hic sensibilis, cuius causa inceptus sermo est, in his gracilis admodum est redditus, ac nutritione eget. Habet verò in se partes plurimas, tum primos illos, & inuisibiles neruos, tum paucas quasdam simplices arterias, itémque venas; omnes igitur eius quoque elementares nerui extenuati sunt; aut si non illi, vtique nec totus. Itaque etiam sicut totus, ipsi quoque nutriri postulant. Atqui si nutriri postulant, nec potest illis quicquam conducere ad id, quod vacuatur, successio, non propter iam dictas modò dubitationes, sed etiam propter recens contractam (vt indicabo) gracilitatem, quærenda nobis alia nutritionis est causa. At quid igitur causæ est, cur fieri nequeat, vt successio ad id, quod vacuatur, eum, qui sic sit affectus nutriat? nempe quod tantum succedere continui, necessarium est, quantum effluit. Hoc verò iis, qui bono sunt corporis habitu, satis ad nutritionem est, quibus ea, quæ apponuntur iis, quæ effluunt, paria esse oportet; at in iis, qui ad vltimum sunt graciles, ac liberaliter refici postulant, nisi multò plus sit, quod apponitur, quàm id quod vacuatur, pristinum restituere habitum nunquam poterit. Liquet igitur, quòd tantò plus debent attrahere; quantò etiam pluribus egent.

A ἀλλ' ἐκείνων ἕκαστον τῶν σωμάτων τῶν ἀνάρμων καὶ ἀμερῶν, οὐδὲν ἐν ἑαυτῷ διαπλαστικὴν ἔχει δύναμιν, ἢ αὐξητικὴν, ἢ θρεπτικὴν, ἢ ὅλως τεχνικήν. ἀπαθὲς γὰρ καὶ ἀμετάβλητον ὑπόκειται· τῶν δ' εἰρημένων οὐδὲν ἄνευ μεταβολῆς, καὶ ἀλλοιώσεως, καὶ τῆς δι' ὅλων κράσεως γίνεται, καθάπερ καὶ διὰ τῶν ἔμπροσθεν ἐνεδειξάμεθα. καὶ διὰ ταύτην τὴν ἀνάγκην, οὐκ ἔχοντες ὅπως τὰ ἀκόλουθα τοῖς στοιχείοις, οἷς ὑπέθεντο φυλάττοιεν οἱ ἀπὸ τῶν τοιούτων αἱρέσεων ἅπαντες, ἄτεχνον ἠναγκάσθησαν ἀποφήνασθαι τὴν φύσιν. καίτοι ταῦτά γ' οὐ παρ' ἡμῶν ἐχρῆν μανθάνειν τοὺς B Ερασιστρατείους, ἀλλὰ παρ' αὐτῶν τῶν φιλοσόφων, οἷς μάλιστα δοκεῖ πρῶτον ἐπισκοπεῖσθαι τὰ στοιχεῖα τῶν ὄντων ἁπάντων. οὔκουν οὐδ' Ερασίστρατον ἄν τις ὀρθῶς ἄγει τοσαύτης ἀμαθίας νομίζοι προήκειν, ὡς μηδὲ ταύτην γνωρίσαι δυνηθῆναι τὴν ἀκολουθίαν, ἀλλ' ἅμα μὲν ὑποθέσθαι τεχνικὴν τὴν φύσιν, ἅμα δ' εἰς ἀπαθῆ, καὶ ἄναρμα, καὶ ἀμετάβλητα στοιχεῖα καταθραῦσαι τὴν οὐσίαν. καὶ μὴν εἰ δώσει τινὰ ἐν τοῖς στοιχείοις ἀλλοίωσίν τε, καὶ μεταβολὴν, καὶ ἕνωσιν, καὶ συνέχειαν, ἓν καὶ ἀσύνθετον αὐτῷ ἁπλοῦν ἀγγεῖον ἐκεῖνο, καθάπερ καὶ αὐτὸς ὀνομάζει, γενήσεται. ἀλλ' ἡ μὲν ἁπλῆ φλὲψ, ἐξ αὑτῆς τραφήσεται, τὸ νεῦρον δὲ, καὶ ἡ C ἀρτηρία παρὰ τῆς φλεβός. πῶς καὶ τίνα τρόπον; ἐν τούτῳ γὰρ δὴ καὶ πρόσθεν γενόμενοι τῷ λόγῳ, τῆς τῶν Ερασιστρατείων διαφωνίας ἐμνημονεύσαμεν, ἐπεδείξαμεν δὲ καὶ καθ' ἑτέρους μὲν, ἄπορον εἶναι τὴν τῶν ἁπλῶν ἐκείνων ἀγγείων θρέψιν. ἀλλὰ καὶ κρῖναι τὴν μάχην αὐτῶν οὐκ ὠκνήσαμεν, καὶ τιμῆσαι τὸν Ερασίστρατον, εἰς τὴν βελτίονα μεταστήσαντες αἵρεσιν. αὖθις οὖν ἐπὶ τὴν ἓν καὶ ἁπλοῦν, καὶ ἡνωμένον ἑαυτῷ πάντῃ τὸ στοιχειῶδες ἐκεῖνο νεῦρον ὑποτιθεμένην, αἵρεσιν ὁ λόγος μεταβὰς, ἐπισκοπείσθω πῶς τραφήσεται. τὸ γὰρ D εὑρεθὲν ἐνταῦθα, κοινὸν ἂν ἤδη καὶ τῆς Ἱπποκράτους αἱρέσεως γένοιτο. κάλλιον δ' ἄν μοι δοκῶ τὸ ζητούμενον ἐπὶ τῶν νενοσηκότων, καὶ σφόδρα καταλελεπτυσμένων βασανισθῆναι. πάντα γὰρ ἐναργῶς τούτοις φαίνεται τὰ μόρια τοῦ σώματος ἄτροφα, καὶ λεπτὰ, καὶ πολλῆς προσθήκης τε, καὶ ἀναθρέψεως δεόμενα. καὶ τοίνυν καὶ τὸ νεῦρον τοῦτο τὸ αἰσθητὸν, ἐφ' ᾧπερ ἐξ ἀρχῆς ἐποιησάμην τὸν λόγον, ἰσχνὸν μὲν ἱκανῶς γέγονε, δεῖται δὲ θρέψεως. ἔχει δ' ἐν αὑτῷ μέρη πάμπολλα μὲν ἐκεῖνα τὰ πρῶτα, καὶ ἀόρατα νεῦρα τὰ σμικρὰ, καί τινας ἀρτηρίας ἁπλᾶς ὀλίγας, καὶ φλέβας E ὁμοίως. ἅπαντα οὖν αὐτοῦ τὰ νεῦρα τὰ στοιχειώδη, καταλελέπτυνται δηλονότι καὶ αὐτά. ἤ, εἰ μηδ' ἐκεῖνα, οὐδὲ τὸ ὅλον. καὶ τοίνυν καὶ θρέψεως, οὕτω μὲν ὅλον δεῖται νεῦρον, ἕκαστον δ' ἐκείνων οὐ δεῖται. καὶ μὴν εἰ δεῖται μὲν θρέψεως, οὐδὲν δ' ἡ πρὸς τὸ κενούμενον ἀκολουθία βοηθεῖν αὐτοῖς δύναται, διά τε τὰς ἔμπροσθεν εἰρημένας ἀπορίας, καὶ διὰ τὴν ὑπόγυιον ἰσχνότητα, καθάπερ δείξω, ζητητέον ἡμῖν ἐστιν ἑτέραν αἰτίαν θρέψεως. πῶς οὖν ἡ πρὸς τὸ κενούμενον ἀκολουθία, τρέφειν ἀδύνατός ἐστι τὸν οὕτω διακείμενον; ὅτι τοσοῦτον ἀκολουθεῖν ἀναγκάζει τῶν συνεχῶν, ὅσον ἀπορρεῖ. τοῦτο δ' F ἐπὶ μὲν τῶν εὐεκτούντων, ἱκανόν ἐστιν εἰς τὴν θρέψιν, ἴσα γὰρ ἐπ' αὐτῶν εἶναι χρὴ τοῖς ἀπορρέουσι τὰ προστιθέμενα. ἐπὶ δὲ τῶν ἐσχάτως ἰσχνῶν, καὶ πολλῆς ἀναθρέψεως δεομένων, εἰ μὴ πολλαπλάσιον εἴη τὸ προστιθέμενον τοῦ κενουμένου, τὴν ἐξ ἀρχῆς ἕξιν ἀναλαβεῖν οὐκ ἄν ποτε δύναιντο. δῆλον οὖν ὡς ἕλκειν αὐτὰ δεήσει τοσούτῳ πλεῖον, ὅσῳ καὶ δεῖται πλείονος.

Ἐρασίστρατος δὲ κἀνταῦθα πρότερον ποιήσας τὸ δεύτερον, οὐκ οἶδ᾽ ὅπως οὐκ αἰσθάνεται. διότι γάρ φησι πολλὴ πρόσθεσις εἰς ἀνάθρεψιν γίνεται τοῖς νενοσηκόσι, διὰ τοῦτο καὶ ἡ πρὸς ταύτην ἀκολουθία πολλή. πῶς δ᾽ ἂν πολλὴ πρόσθεσις γένοιτο, μὴ προηγουμένης ἀναδόσεως δαψιλοῦς; εἰ δὲ τὴν διὰ τῶν φλεβῶν φορὰν τῆς τροφῆς, ἀνάδοσιν καλεῖ, τὴν δ᾽ εἰς ἕκαστον τῶν ἁπλῶν, καὶ ἀοράτων ἐκείνων νεύρων, καὶ ἀρτηριῶν μετάληψιν, οὐκ ἀνάδοσιν, ἀλλὰ διάδοσιν, ὥς τινες ὀνομάζειν ἠξίωσαν, εἶτα τὴν διὰ τῶν φλεβῶν, μόνῃ τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ φασὶ γίνεσθαι, τὴν εἰς τὰ λόγῳ θεωρητὰ μετάληψιν ἡμῖν ἐξηγησάσθωσαν. ὅτι μὲν γὰρ οὐκέτ᾽ ἐπὶ τούτων ἡ πρὸς τὸ κενούμενον ἀκολουθία λέγεσθαι δύναται, καὶ μάλιστ᾽ ἐπὶ τῶν ἐσχάτως ἰσχνῶν, ἀποδέδεικται. τί δέ φησιν ἐπ᾽ αὐτῶν ἐν τῷ δευτέρῳ τῶν καθόλου λόγων ὁ Ἐρασίστρατος, ἄξιον ἐπακοῦσαι τῆς λέξεως. τοῖς ἐσχάτοις τε καὶ ἁπλοῖς, λεπτοῖς τε καὶ στενοῖς οὖσιν, ἐκ τῶν παρακειμένων ἀγγείων ἡ πρόσθεσις συμβαίνει εἰς τὰ κενώματα τῶν ἀπενεχθέντων, κατὰ τὰ πλάγια τῶν ἀγγείων ἑλκομένης τῆς τροφῆς, καὶ καταχωριζομένης. ἐκ ταύτης τῆς λέξεως, πρῶτον μὲν, τὸ κατὰ τὰ πλάγια προσίεμαί τε καὶ ἀποδέχομαι. κατὰ μὲν γὰρ αὐτὸ τὸ στόμα τὸ ἁπλοῦν νεῦρον, οὐκ ἂν δύναιτο δεχόμενον τὴν τροφὴν, οὕτως εἰς ὅλον ἑαυτὸ διανέμειν. ἀνάκειται γὰρ ἐκεῖνο τῷ ψυχικῷ πνεύματι· κατὰ δὲ τὸ πλάγιον ἐκ τῆς παρακειμένης φλεβὸς τῆς ἁπλῆς, ἐγχωρεῖ λαβεῖν αὐτό. δεύτερον δ᾽ ἀποδέχομαι τῶν ἐκ τῆς Ἐρασιστράτου λέξεως ὀνομάτων, τὸ γεγραμμένον ἐφεξῆς, τὸ κατὰ τὰ πλάγια. τί γάρ φησι; κατὰ τὰ πλάγια τῶν ἀγγείων ἑλκομένης τῆς τροφῆς. ὅτι μὲν οὖν ἕλκεται, καὶ ἡμεῖς ὁμολογοῦμεν. ὅτι δ᾽ οὐ τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ, δέδεικται πρόσθεν.

Porrò Erasistratus hîc quoque se prius facere id, quod secundum est, nescio, quo pacto non aduertat. Propterea enim inquit, quòd multa appositio iis, qui ægrotarunt, quo reficiantur fit, idcirco multum etiam ad hanc succedit; at quomodo multa fiat appositio, vbi copiosa non præcessit distributio? Quòd si alimenti per venas transitum, distributionem appellant; translationem autem, quæ in singula simplicium illorum, & inuisibilium neruorum arteriarúmque fit, non distributionem, sed perfusionem dicas, veluti nonnulli nominandam censuerunt; postea qui per venas agitur, transitum sola fieri successione ad id, quod vacuatur, dicant; translationem, quæ fit in illa; quæ sunt ratione spectabilia, nobis interpretentur. Quandoquidè quod nec in his successio ad id quod vacuatur, dici possit ac potissimum in corporibus, quæ ad vltimum sunt extenuata, demonstratum iam est. Quæ verò de iis verba in secundo vniuersalium sermonum Erasistratus dicat, operæpretium est audisse. *Vltimis & simplicibus, tenuibus & angustis, appositio ex vicinis contingit vasis, in vacua spatia eorum, quæ abierunt, nutrimento à lateribus vasorum attracto, ac translato.* Ex hac dictione primum illud à lateribus admitto planè, ac recipio; neque enim possit simplex neruus, si per os nutrimentum acciperet, id in se totum distribuere, vt qui dicatus animali spiritui sit, at à latere licet à simplice quæ iuxta sita est, vena alimentum recipiat. Secundò loco recipio ex Erasistrati verbis, quod deinceps subiicitur illi à lateribus. Quid igitur ait? à lateribus vasorum nutrimento attracto. Ergo quòd trahatur quidem nos quoque fatemur: quòd autem successione ad id, quod vacuatur, non trahatur, prius est monstratum.

ΚΕΦΑΛΑΙΟΝ Ζʹ.

Ἡ τοῦ Γαληνοῦ περὶ τῆς θρέψεως αἵρεσις.

Ἐξευρῶμεν οὖν κοινῇ, πῶς ἕλκεται. πῶς δ᾽ ἄλλως, ἢ ὡς σίδηρος ὑπὸ τῆς ἡρακλείας λίθου, δύναμιν ἐχούσης ἑλκτικὴν τοιαύτης ποιότητος; ἀλλ᾽ εἰ τὴν μὲν ἀρχὴν τῆς ἀναδόσεως ἡ τῆς κοιλίας ἔκθλιψις παρέχεται, τὴν δὲ μετ᾽ αὐτὴν φορὰν ἅπασαν, αἵ τε φλέβες περιστελλόμεναι, καὶ προωθοῦσαι. καὶ τῶν τρεφομένων ἕκαστον ἐπισπώμενον εἰς ἑαυτὸ, τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας ἀποστάντες, ὡς οὐ πρεπούσης ἀνδρὶ τεχνικὴν ὑποθεμένῳ τὴν φύσιν, οὕτως ἂν, ἤδη καὶ τὴν ἀντιλογίαν εἴημεν πεφευγότες τὴν Ἀσκληπιάδου, μὴ δυνάμενοί γε λύειν αὐτήν. τὸ γὰρ εἰς τὴν ἀπόδειξιν παραλαμβανόμενον λῆμμα τὸ διεζευγμένον, οὐκέτ᾽ ἐκ δυοῖν, ἀλλ᾽ ἐκ τριῶν ἐστι κατά γε τὴν ἀλήθειαν διεζευγμένον. εἰ μὲν οὖν ὡς ἐκ δυοῖν αὐτῷ χρησαίμεθα, ψεῦδος ἔσται τι τῶν εἰς τὴν ἀπόδειξιν παρειλημμένων. εἰ δ᾽ ὡς ἐκ τριῶν, ἀπέραντος ὁ λόγος γενήσεται. καὶ ταῦτ᾽ οὐκ ἐχρῆν ἀγνοεῖν τὸν Ἐρασίστρατον, εἴπερ κἂν κατ᾽ ὄναρ ποτὲ τοῖς ἐκ τοῦ περιπάτου συνέτυχεν.

CAPVT VII.

Galeni sententia de Nutritione.

Ergo ad quem modum trahatur, in commune inuestigemus; quo porrò alio, quàm sicut à magnete lapide ferrum, qui scilicet talis qualitatis trahendæ vim habet? At verò, si distributionis principium expressio ventriculi præstat; reliquum verò eius progressum omnem tum venæ ipsæ contractæ, ac propellentes, tum singula, quæ nutriuntur, ad se trahentia; successionem ad id quod vacuatur, repudiantes; quippe, quæ hominem, qui artificiosam naturam statuit, parum deceat, iam Asclepiadis obiectionem declinauerimus; quàm scilicet soluere non possumus. Lemma enim quod ad demonstrationem disiunctum sumitur, non vtique ex duobus, sed ex tribus, re vera est disiunctum. At si quidem veluti ex duobus eo vtemur, falsum erit aliquid eorum, quæ ad demonstrationem sumuntur, sin veluti ex duobus, minimè claudens ratio erit. Atque hæc minimè ignorasset Erasistratus, si vel per somnium aliquando cum Peripateticis fuisset versatus.

CAPVT VIII.

Aduersus Erasistratum de concoctione cibi, & humorum generatione.

QVemadmodum de humorum generatione, de quibus nihil ne mediocriter quidem probabile habens quod dicat, falli putat eum qui agit, quasi prorsus inutilis sit eorum contemplatio. Sed nunquid, quæso, quemadmodum quidem cibi concoquantur in ventre, sciuisse est vtile, quemadmodum autem in venis bilis fiat, est superuacuum? ac solius vacuationis eius habenda est ratio, generationis eius nulla cura? ceu non longè satius sit prohibere ab initio, ne multa gignatur, quàm solicitos, & occupatos esse de vacuanda. Mirum verò est, & illud dubitare hominem, in corporéne statuenda generatio eius sit; an protinus in ipsis cibis extrinsecus contineri dicenda. Nam si id commodè dubitatur, cur etiam de sanguine non quæremus, habeatne is in corpore generationem, an in cibis sit diffusus, veluti aiunt, qui opinionis de partibus similaribus sunt auctores? Atqui multò magis ad rem pertinebat illud quæri, quinam cibi sanguini faciendo maximè conueniant, qui non conueniant, quàm qui ventriculi operi facilè cedant, qui aduersentur & pugnent; quippe horum delectus ad solam concoctionem, illorum ad sanguinis boni generationem interest; non enim paris momenti est, vel sanguinem bonum non gigni, vel alimentum in ventre probè in chylum non verti. Quo pacto autem non erubescit, quum concoctionis frustrationes diuidat, ceu multæ sint multísque ex occasionibus incidant; de sanguinis vitiis, nec verbo tenus, imò ne syllaba quidem tenus, mentionem facere? Atqui in venis reperitur & crassus, & tenuis sanguis; item aliis magis ruber, aliis flauior, aliis magis ater, aliis pituitosior. Quòd siquis graueolentem eum, ídque non vno tantum genere, sed multis planè differentiis, quæ vt sermone explicari non possunt, ita sensu liquidò apparent, intelligat, non mediocriter, vt arbitror, Erasistratum negligentiæ damnabit, qui tam necessariam artis contemplationem prætermiserit. Manifestum enim est, ea, quæ de hydrope prauè sentit, hanc negligentiam fuisse secuta. Nam quod viarum angustiâ prohiberi sanguinem vltra per iecur procedere putat, nec alia ratione vlla hydropem posse fieri, quomodo non extremam prodit eius ignauiam? Iam quod nec vitio lienis, nec alterius cuiusquam partis, sed perpetuò ex iecinoris scirrho gigni hydropem existimat, prorsus socordis est hominis, nec quicquam eorum, quæ quotidie fiunt intelligentis. Siquidem ex diuturnis hæmorrhoïdibus, vel suppressis, vel immodica profusione hominem ad extremam frigiditatem ducentibus, non semel, aut bis, sed sæpe, iam factum hydropem vidi; sicut mulieribus quoque tum menstruæ purgationis omnimoda cessatio, tum immodica vacuatio, quum scilicet vteri nimio sanguinis profluuio laborarunt, sæpe hydropem accersiuerunt; nonnullis verò earum & qui muliebris vocatur fluxus, in hunc terminatus est morbum; vt qui ab ilibus incipiunt, alióve quopiam opportunorum ad id membrorum, hydropas prætermittam: qui ipsi quoque Erasistrati opinionem clarè refellunt, verùm non adeò lu-

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς τῶν σιτίων πέψεως, καὶ τῆς τῶν χυμῶν γενέσεως πρὸς Ἐρασίστρατον.

Ὥσπερ οὖν οὐδὲ τὰ περὶ τῆς γενέσεως τῶν χυμῶν, ὑπὲρ ὧν οὐδὲν ἔχων εἰπεῖν, ἀλλ' οὐδὲ μέχρι τοῦ μετρίου πιθανὸν, οἴεται παρακρούεσθαι σκηπτόμενος, ὡς οὐδὲ χρήσιμος ὅλως ἐστὶν ἡ τῶν τοιούτων ἐπίσκεψις. εἶτα, ὦ πρὸς θεῶν, ὅπως μὲν τὰ σιτία κατὰ τὴν γαστέρα πέττεται χρήσιμον ἐπίστασθαι, πῶς δ' ἐν ταῖς φλεψὶν ἡ χολὴ γίνεται, περιττόν; καὶ τῆς κενώσεως ἄρα φροντιστέον αὐτῆς μόνης. ἀμελητέον δὲ τῆς γενέσεως, ὥσπερ οὐκ ἄμεινον ὑπάρχον μακρῷ, τὸ κωλύειν εὐθὺς ἐξαρχῆς γεννᾶσθαι πλείονα, τοῦ πράγματα ἔχειν ἐκκενοῦντας. θαυμαστὸν δὲ καὶ τὸ διαπορεῖν, εἴτ' ἐν τῷ σώματι τὴν γένεσιν αὐτῆς ὑποθετέον, εἴτ' εὐθὺς ἔξωθεν ἐν τοῖς σιτίοις περιέχεσθαι φατέον. εἰ γὰρ δὴ τοῦτο καλῶς ἠπόρηται, τί οὐχὶ καὶ περὶ τοῦ αἵματος ἐπισκεψόμεθα, πότερον ἐν τῷ σώματι λαμβάνει τὴν γένεσιν, ἢ ἐν τοῖς σιτίοις περιέσπαρται, καθάπερ οἱ τὰς ὁμοιομερείας ὑποτιθέμενοί φασι. καὶ μὴν πολλῷ γε ἦν χρησιμώτερον ζητεῖσθαι ποῖα τῶν σιτίων ὁμολογεῖ τῇ τῆς αἱματώσεως ἐνεργείᾳ, καὶ ποῖα διαφέρεται, τοῦ ζητεῖν τίνα μὲν τῇ τῆς γαστρὸς ἐνεργείᾳ νικᾶται ῥᾳδίως, τίνα δ' ἀντιβαίνει καὶ μάχεται. τούτων μὲν γὰρ ἡ ἔκλεξις, εἰς πέψιν μόνην, ἐκείνων δ' εἰς αἵματος χρηστοῦ διαφέρει γένεσιν. οὐδὲν γὰρ ἴσον ἐστὶν, ἢ μὴ χρηστὸν αἷμα γεννηθῆναι, ἢ μὴ καλῶς ἐν τῇ γαστρὶ χυλωθῆναι τὴν τροφήν. πῶς δ' οὐκ αἰδεῖται, τὰς μὲν τῆς πέψεως ἀποτυχίας διαιρούμενος, ὡς πολλαί τέ εἰσι, καὶ κατὰ πολλὰς γίνονται προφάσεις. ὑπὲρ δὲ τῶν τῆς αἱματώσεως σφαλμάτων, οὐδ' ἄχρι ῥήματος ἑνὸς, οὐδ' ἄχρι συλλαβῆς μιᾶς φθεγξάμενος. καὶ μὴν εὑρίσκεταί γε καὶ παχὺ, καὶ λεπτὸν ἐν ταῖς φλεψὶν αἷμα, καὶ τοῖς μὲν ἐρυθρότερον, τοῖς δὲ ξανθότερον, τοῖς δὲ μελάντερον, τοῖς δὲ φλεγματωδέστερον. εἰ δ' ὅτι καὶ δυσῶδες οὐχ ἕνα τρόπον, ἀλλ' ἐν πολλαῖς πάνυ διαφοραῖς, ἀρρήτοις μὲν λόγῳ, σαφεστάταις δ' αἰσθήσεσι φαίνεσθαι γιγνόμενον, εἰδείη τις, οὐκ οἶμαι μετρίως ἔτι καταγνώσεσθαι τῆς Ἐρασιστράτου ῥᾳθυμίας αὐτὸν, οὕτω γ' ἀναγκαίαν, εἰς τὰ ἔργα τῆς τέχνης θεωρίαν παραλιπόντος. ἐναργῆ γὰρ δὴ καὶ τὰ περὶ τῶν ὑδέρων ἁμαρτήματα, τῇ ῥᾳθυμίᾳ ταύτῃ κατὰ λόγον ἠκολουθηκότα. τότε γὰρ τῇ στενοχωρίᾳ τῶν ὁδῶν κωλύεσθαι νομίζειν πρόσω τοῦ ἥπατος ἰέναι τὸ αἷμα, καὶ μηδέποτ' ἂν ἄλλως ὕδερον δύνασθαι συστῆναι, πῶς οὐκ ἐσχάτην ἐνδείκνυται ῥᾳθυμίαν; τό τε μὴ διὰ τὸν σπλῆνα, μήτε δι' ἄλλο τι μόριον, ἀλλ' ἀεὶ διὰ τὸν ἐν ἥπατι σκίρρον, ὕδερον οἴεσθαι γίγνεσθαι, τελέως ἀργοῦ τὴν διάνοιαν ἀνθρώπου, καὶ μηδενὶ τῶν ὁσημέραι γιγνομένων παρακολουθοῦντος. ἐπὶ μὲν γε χρονίαις αἱμορροΐσιν ἐπισχεθείσαις, ἢ διὰ κένωσιν ἄμετρον εἰς ψύξιν ἐσχάτην ἀγούσαις τὸν ἄνθρωπον, οὐχ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ πολλάκις ἤδη τεθεάμεθα συστάντας ὑδέρους. ὥσπερ γε καὶ γυναιξὶν, ἥ τε τῆς ἐφ' ἑκάστῳ μηνὶ καθάρσεως ἀπώλεια παντελὴς, καὶ ἄμετρος κένωσις, ὅταν αἱμορραγήσωσί ποτε αἱ μῆτραι σφοδρῶς, ἐπεκαλέσαντο πολλάκις ὕδερον, καί τισιν αὐτῶν ὁ γυναικεῖος ὀνομαζόμενος ῥοῦς, εἰς τοῦτ' ἐτελεύτησε τὸ πάθος. ἵνα τοὺς ἀπὸ τῶν κενεώνων ἀρχομένους, ἢ ἄλλου τινὸς τῶν ἐπικαίρων μορίων ὑδέρους παραλίπω, σαφῶς μὲν, καὶ αὐτοὺς ἐξελέγχοντας τὴν Ἐρασιστράτειον ὑπόληψιν, ἀλλ' οὐχ οὕτως

ἐναργῶς, ὡς οἱ διὰ κατάψυξιν σφοδρὰν τῆς ὅλης ἕξεως ἀποτελούμενοι. πρώτη γὰρ αὕτη γενέσεως ὑδέρων αἰτία, διὰ τὴν ἀποτυχίαν τῆς αἱματώσεως γιγνομένη, τρόπον ὁμοιότατον ταῖς ἐπὶ τῇ τῶν σιτίων ἀπεψίᾳ διαρροίαις. οὐ μὴν ἐσκίρρωταί γε κατὰ τοὺς τοιούτους ὑδέρους, οὐδ' ἄλλο τι σπλάγχνον, οὐδὲ τὸ ἧπαρ. ἀλλ' Ἐρασίστρατος ὁ σοφὸς ὑπεριδὼν, καὶ καταφρονήσας, ὧν οὔθ' Ἱπποκράτης, οὔτε Διοκλῆς, οὔτε Πραξαγόρας, οὔτε Φιλιστίων, ἀλλ' οὐδὲ τῶν ἀρίστων φιλοσόφων οὐδεὶς κατεφρόνησεν, οὔτε Πλάτων, οὔτ' Ἀριστοτέλης, οὔτε Θεόφραστος, ὅλας ἐνεργείας ὑπερβαίνει, καθάπερ τι σμικρὸν, καὶ τὸ τυχὸν τῆς τέχνης παραλιπὼν μέρος, οὐδ' ἀντειπεῖν ἀξιώσας, εἴτ' ὀρθῶς, εἴτε καὶ μὴ, σύμπαντες οὗτοι θερμῷ, ψυχρῷ, ξηρῷ, καὶ ὑγρῷ, τοῖς μὲν ὡς δρῶσι, τοῖς δ' ὡς πάσχουσι, τὰ κατὰ τὸ σῶμα τῶν ζώων ἁπάντων διοικεῖσθαί φασι. καὶ ὡς τὸ θερμὸν ἐν αὐτοῖς εἴς τε τὰς ἄλλας ἐνεργείας, καὶ μάλιστα εἰς τὴν τῶν χυμῶν γένεσιν, τὸ πλεῖστον δύναται. ἀλλὰ τὸ μὲν πείθεσθαι τοσούτοις τε, καὶ τηλικούτοις ἀνδράσι, καὶ πλεῖον αὐτὸν οἴεσθαί τι γινώσκειν, ἀνεμέσητον. τὸ δὲ μήτ' ἀντιλογίας ἀξιῶσαι, μήτε μνήμης οὕτως ἔνδοξον δόγμα, θαυμαστήν τινα τὴν ὑπεροψίαν ἐνδείκνυται. καίτοι σμικρότατός ἐστι τὴν γνώμην, καὶ ταπεινὸς ἐσχάτως ἐν ἁπάσαις ταῖς ἀντιλογίαις. ἐν μὲν τοῖς περὶ τῆς πέψεως λόγοις, τοῖς σήπεσθαι τὰ σιτία νομίζουσι φιλοτίμως ἀντιλέγων, ἐν δὲ τοῖς περὶ τῆς ἀναδόσεως, τοῖς διὰ τὴν παράθεσιν τῶν ἀρτηριῶν, ἀναδίδοσθαι τὸ διὰ τῶν φλεβῶν αἷμα νομίζουσιν. ἐν δὲ τοῖς περὶ τῆς ἀναπνοῆς, τοῖς περιωθεῖσθαι τὸν ἀέρα φάσκουσιν, οὐκ ὤκνησε δὲ οὐδὲ τοῖς ἀτμοειδῶς εἰς τὴν κύστιν ἰέναι τὰ οὖρα νομίζουσιν ἀντειπεῖν, οὐδὲ τοῖς εἰς τὸν πνεύμονα φέρεσθαι τὸ ποτόν. οὕτως ἐν ἅπασι τὰς χείριστας ἐπιλεγόμενος δόξας, ἀγάλλεται διατρίβων ἐπὶ πλέον ταῖς ἀντιλογίαις. ἐπὶ δὲ τῆς τοῦ αἵματος γενέσεως, οὐδὲν ἀτιμοτέρας οὔσης τῆς ἐν τῇ γαστρὶ χυλώσεως τῶν σιτίων, οὔτ' ἀντειπεῖν τινι τῶν πρεσβυτέρων ἠξίωσεν, οὔτ' αὐτὸς εἰσηγήσασθαί τινα ἑτέραν γνώμην ἐτόλμησεν, ὁ περὶ πασῶν τῶν φυσικῶν ἐνεργειῶν ἐν ἀρχῇ τῶν καθόλου λόγων ὑποσχόμενος ἐρεῖν, ὅπως τε γίνονται, καὶ δι' ὧν τινων τοῦ ζώου μορίων. ἢ τῆς μὲν πέττειν τὰ σιτία πεφυκυίας δυνάμεως ἀρρωστούσης, ἀπεπτήσει τὸ ζῶον, τῆς δ' αἱματούσης τὰ πεφθέντα, οὐδὲν ἔσται πάθημα τὸ παράπαν, ἀλλ' ἀδαμαντίνη τις ἡμῖν αὕτη μόνη, καὶ ἀπαθής ἐστιν. ἢ ἄλλο τι τῆς ἀρρωστίας αὐτῆς ἔκγονον ὑπάρξει, καὶ οὐχ ὕδερος; δῆλος οὖν ἐναργῶς ὁ Ἐρασίστρατός ἐστιν, ἐξ ὧν ἐν μὲν τοῖς ἄλλοις, οὐδὲ ταῖς φαυλοτάταις δόξαις ἀντιλέγειν ὤκνησεν, ἐνταυθοῖ δ' οὐδ' ἀντειπεῖν τοῖς πρόσθεν, οὐδ' αὐτὸς εἰπεῖν τι καινὸν ἐτόλμησε, τὸ σφάλμα τῆς ἑαυτοῦ γνωρίζων αἱρέσεως. τί γὰρ ἂν καὶ λέγειν εἶχεν ὑπὲρ αἵματος, ἄνθρωπος εἰς μηδὲν τῷ συμφύτῳ θερμῷ χρώμενος; τί δὲ περὶ ξανθῆς χολῆς, ἢ μελαίνης, ἢ φλέγματος; ὅτι νὴ Δία δυνατόν ἐστιν, ἀναμεμιγμένην τοῖς σιτίοις εὐθὺς ἔξωθεν παραγίνεσθαι τὴν χολήν. λέγει γοῦν ὧδέ πως αὐτοῖς ὀνόμασι. πότερον δ' ἐν τῇ περὶ τὴν κοιλίαν κατεργασίᾳ τῆς τροφῆς γεννᾶται τοιαύτη ὑγρασία, ἢ μεμιγμένη τοῖς ἔξωθεν προσφερομένοις παραγίνεται, οὐδὲν χρήσιμον πρὸς τὴν ἰατρικὴν ἐπεσκέφθαι. καὶ μὴν, ὦ γενναιότατε, καὶ κενοῦσθαι χρῆναι φάσκεις τὸν χυμὸν τοῦτον ἐκ τοῦ ζώου, καὶ μεγάλως λυπεῖν εἰ μὴ κεναθείη. πῶς οὖν οὐδὲν ἐξ αὐτοῦ χρηστὸν ὑπολαμβάνων γίνεσθαι, τολμᾷς ἄχρηστον λέγειν εἰς ἰατρικὴν εἶναι,

culenter, vt qui ex toto corporis habitu immodicè refrigerato oriuntur. Est enim ea prima generandi hydropis causa, ex sanguificationis defectu prouenienς, simili genere, atque ea, quæ ex ciborum concoctionis defectu fit, diarrhœa; atqui in tali hydropis genere, nec aliud viscus vllum, nec iecur, scirrho est affectum. Cæterùm vir sapiens Erasistratus negligens atque despiciens, quæ nec Hippocrates, nec Diocles, nec Praxagoras, nec Philistion, sed nec quæ optimorum philosophorum vllus contempsit, non Plato, non Aristoteles, non Theophrastus, totas actiones præterit, veluti exigua quadam, & momentanea artis omissa arte, ne quidem, vel contradicendum censens, siue rectè, siue non rectè, omnes hi calido, frigido, sicco, humido, alij veluti agentibus, aliis veluti patientibus, quæ in corpore animalis sunt, omnia gubernari dicant; quodque calidum in iis tum ad alias actiones, tum verò præcipuè ad succorum generationem plurimum valeat. Verùm tot tantisque non assentiri viris; sed plus se sapere, quàm illos, putare, sine inuidia esto; at nec refutatione, nec mentione tam celebre dogma dignari, id verò immensam quandam eius prodit superbiam. Tametsi maximè pusillo abiectóque animo est, vbicunque aliquid refutat; in disceptatione quidem de concoctione, eos qui putrefieri cibos autumant, refutandi occasionem ambitiosè captans: in ea verò, quæ de distributione agit, eos qui propter appositionem arteriarum distribui venarum sanguinem existimant; in ea rursus, quæ de respiratione instituitur eos, qui circumtrudi aërem dicunt. Sed nec grauatus est contra eos, qui halitus modo vrinas meare in vesicam contendunt, disputare; nec etiam contra eos, qui in pulmonem ferri potionem aiunt: ita cum pessimas quasque opiniones delegerit, delectatur prolixè in refutationibus immorari. De sanguinis verò generatione, quæ tamen ciborum in chylum conuersione nihilò est inferior: nec contra veterum quenquam disputare censuit, nec ipse aliam inducere opinionem est ausus, qui in principio vniuersalium sermonum, de omni naturali functione, & quemadmodum, & quibus animalis partibus quæque fiat, pollicitus est differere. An concoquendi cibi facultate imbecilla, cruditate laborabit animans; eius verò quæ iam concocta in sanguinem vertit, nullus omninò erit affectus, sed hæc sola nobis adamantina est, & impatibilis? an alia quæpiam imbecillitatis eius soboles erit, quàm hydrops? Patet igitur liquidò Erasistratum, quum in aliis ne in leuissimas quidem opiniones inuehi sit grauatus, hac verò in re, nec refellere priores, nec ipse nouum aliquid in medium afferre sit ausus, dogmatis sui errorem agnouisse. Nam quid quæso dicere de sanguine potuit homo, qui naturali calore ad nullum effectum sit vsus? quid verò de bili flaua, nigráue, aut pituita? nempe quòd fieri potest, vt bilis mixta cibis statim forinsecus adueniat. Ait namque ad hunc modum ipsis verbis; *Vtrum verò inter concoquendum in ventre alimentum talis gignatur humor, an mixtus in exhibitis extrinsecus accedat, id considerasse ad nullum pertinet medicinæ vsum.* Atqui vir egregiè, tum vacuari oportere humorem hunc ex animalis corpore, tum magnopere nocere, nisi vacuetur, ipse fateris; quo pacto igitur, cum nihil boni ex ea fieri existimes, inutilem esse

ad medicinam ais de generatione eius considerationem? Fac namque in cibis contineatur, nec in iecinore exacta eius sit secretio, ambo enim hæc fieri posse existimas; atqui permultùm hoc loco interest, minimam plurimámve in se bilem contineant, qui exhibentur cibi; illi namque omni periculo vacant; hi verò, qui plurimam in se continent, quoniam non potest tota ea commodè in iecinore expurgari, occasio erit tum aliorum affectuum, quos ipse ô Erasistrate ex bilis redundantia nasci ais, tum non in postremis icteri. Quo pacto igitur medico nosse maximè necessarium non sit primum illud, quòd extrinsecus in cibis ipsis, bilis contineatur; secundò quòd beta (verbi gratia) multam; panis minimam; rursus oleum, plurimam; vinum minimam; reliquáque impari modo inter se bilis portionem singula contineant? Quomodo enim non maximè sit ridiculus, qui sponte sua, ea quæ plus in se bilis contineant, potius eligit, quàm contraria? Quid verò, si non continetur bilis in cibis, sed in corpore animalium gignitur; nónne illud quoque nosse ad rem pertinet, in quo statu corporis amplior eius generatio proueniat, in quo minor? Quippe alterandi, mutandíque semper in melius vitiosos corporum status facultatem habemus; verùm si ignoramus quatenus vitiosus sit, & qualiter à legitimo excesserit, quo tandem pacto licebit nobis eum in meliorem vindicare? Non est igitur, vt Erasistratus affirmat, ad medendum inutilis ipsa de bilis generatione veritas; sed & illud nec difficile inuentu est, nec obscurum, quòd mel non eo, quod plurimam in se bilem continet, sed quod intra corpus est mutatum, in hanc alteratur, ac vertitur: quippe amarum gustantibus esset, si bilem in se extra corpus contineret; præterea omnibus similiter hominibus æqualis ex eo gigneretur bilis copia. Verùm id secus habet; siquidem qui iam in flore sunt, potissimum si calidiore naturâ sint, ac vitam degant laboriosam, in iis totum mel vertitur in flauam bilem; senibus verò admodum est accommodum, vtpotè quibus non in bilem, sed in sanguinem conuertatur. Erasistratus verò, præterquam quod nihil horum nouit, neque diuisionem sermonis sui satis aptam facit, illud æstimasse inquiens, nihil ad medendum conferre, in cibisne bilis statim ab initio contineatur, an per concoctionem in ventre sit genita, quum additum scilicet aliquid oportuisset de eius, & in iecinore, & in venis generatione, quando in iis instrumentis gigni eam vnà cum sanguine, veteres tum medici, tum philosophi prodiderunt. Sed qui ab initio statim errarunt, atque à recta via declinarunt, his non talia modò nugari est necesse, sed etiam eorum, quæ ad artem sunt vtilissima, disquisitionem omittere. Libens igitur, quum huc ratione processerim, eos rogem, qui plurimum cum Peripateticis philosophis versatum hominem dicunt, an omnia quæ ab Aristotele dicta demonstratáque sunt de corporis nostri ex calido, frigido, humido, & sicco, mixtione, norint? tum calidum in iis esse efficacissimum; & animalia, quæ calidiore sunt natura, ea esse omninò sanguine prædita; contrà quæ natura admodum sunt frigida, ea prorsus esse exanguia, eóque per hyemem delitescentia ociosa, & immota mortuorum ritu iacere.

A τὴν περὶ τῆς γενέσεως αὐτοῦ σκέψιν. ὑποκείσθω γὰρ ἐν μὲν τοῖς σιτίοις περιέχεσθαι, μὴ διακρίνεσθαι δ' ἀκριβῶς ἐν ἥπατι, ταῦτα γὰρ ἀμφότερα νομίζεις εἶναι δυνατά, καὶ μὴν οὐ σμικρὸν ἐνταῦθα τὸ διαφέρον, ἢ ἐλαχίστην, ἢ παμπόλλην χολὴν ἐν ἑαυτοῖς περιέχοντα προσφέρεσθαι τὰ σιτία. τὰ μὲν γὰρ ἀκίνδυνα πάντη, τὰ δὲ παμπόλλην περιέχοντα, τῷ μὴ δύνασθαι πᾶσαν αὐτὴν ἐν ἥπατι καθαρθῆναι καλῶς, αἴτια καταστήσεται τῶν τ' ἄλλων παθῶν, ὧν αὐτὸς Ἐρασίστρατος ἐπὶ πλήθει χολῆς γίνεσθαί φησι, καὶ τῶν ἰκτερικῶν οὐχ ἥκιστα. πῶς οὖν οὐκ ἀναγκαιότατον ἰατρῷ γινώσκειν, πρῶτον B μὲν ὡς ἐν τοῖς σιτίοις αὐτοῖς ἔξωθεν ἡ χολὴ περιέχεται. δεύτερον δ' ὡς τὸ μὲν τεῦτλον, εἰ τύχοι, παμπόλλην, ὁ δ' ἄρτος ἐλαχίστην, καὶ τὸ μὲν ἔλαιον πλείστην, ὁ δ' οἶνος ἐλαχίστην, ἕκαστόν τε τῶν ἄλλων ἄνισον τῷ πλήθει περιέχει τὴν χολήν. πῶς γὰρ οὐκ ἂν εἴη γελοιότατος, ὃς ἂν ἑκὼν αἱρῆται τὰ πλείονα χολὴν ἐν ἑαυτοῖς περιέχοντα, πρὸ τῶν ἐναντίων. τί δ' εἰ μὴ περιέχεται μὲν ἐν τοῖς σιτίοις ἡ χολή, γίνεται δ' ἐν τοῖς τῶν ζώων σώμασιν. ἢ οὐχὶ καὶ τοῦτο χρήσιμον ἐπίστασθαι, τίνι μὲν καταστάσει σώματος ἕπεται πλείων αὐτῆς ἡ γένεσις, τίνι δ' ἐλάττων; ἀλλοιοῦν γὰρ δήπου, καὶ με- C ταβάλλειν οἷοί τ' ἐσμέν, καὶ τρέπειν ἐπὶ τὸ βέλτιον ἀεί, τὰς μοχθηρὰς καταστάσεις τοῦ σώματος. ἀλλ' εἰ μὴ γιγνώσκοιμεν καθότι μοχθηραί εἰσι, καὶ πῇ τῆς δεούσης ἐξίστανται, πῶς ἂν αὐτὴν ἐπανάγειν οἷοί τε εἴημεν ἐπὶ τὸ κρεῖττον; οὔκουν ἄχρηστόν ἐστιν εἰς τὰς ἰάσεις, ὡς Ἐρασίστρατός φησιν, ἐπίστασθαί τ' ἀληθὲς αὐτὸ περὶ γενέσεως χολῆς. οὐ μὴν οὐδ' ἀδύνατον, οὐδ' ἀσαφὲς ἐξευρεῖν, ὅτι μὴ τὸ πλείστην ἐν ἑαυτῷ περιέχει τὸ μέλι τὴν ξανθὴν χολήν, ἀλλ' ἐν τῷ σώματι μεταβαλλόμενον, εἰς αὐτὴν ἀλλοιοῦταί τε καὶ τρέπεται. πικρὸν γὰρ ἂν ἦν γευομένοις, εἰ χολὴν ἔξωθεν εὐθὺς ἐν D ἑαυτῷ περιεῖχεν. ἅπασί τ' ἂν ὡσαύτως τοῖς ἀνθρώποις, ἴσον αὐτοῖς ἐγεννᾶτο πλῆθος. ἀλλ' οὐχ ὧδ' ἔχει τ' ἀληθές. ἐν μὲν γὰρ τοῖς ἀκμάζουσι, καὶ μάλιστ' εἰ φύσει θερμότεροι, καὶ βίον εἶεν βιοῦντες ταλαίπωρον, ἅπαν εἰς ξανθὴν χολὴν μεταβάλλει τὸ μέλι. τοῖς γέρουσι δ' ἱκανῶς ἐστιν ἐπιτήδειον, ὡς ἂν οὐκ εἰς χολήν, ἀλλ' εἰς αἷμα τὴν ἀλλοίωσιν ἐκείνοις λαμβάνον. Ἐρασίστρατος δὲ πρὸς τὸ μηδὲν τούτων γινώσκειν, οὐδὲ περὶ τὴν διαίρεσιν τοῦ λόγου σωφρονεῖ, πότερον ἐν τοῖς σιτίοις ἡ χολὴ περιέχεται εὐθὺς ἐξ ἀρχῆς, ἢ κατὰ τὴν ἐν τῇ κοιλίᾳ κατεργασίαν ἐγένετο, μηδὲν εἶναι χρή- E σιμον εἰς ἰατρικὴν ἐπεσκέφθαι λέγων. ἐχρῆν γὰρ δήπου προσθεῖναί τι, καὶ περὶ τῆς ἐν ἥπατι, καὶ φλεψὶ γενέσεως αὐτῆς, ἐν τοῖσδε τοῖς ὀργάνοις γεννᾶσθαι τὴν χολὴν ἅμα τῷ αἵματι, τῶν παλαιῶν ἰατρῶν τε, καὶ φιλοσόφων ἀποφηναμένων, ἀλλὰ τοῖς εὐθὺς ἐξ ἀρχῆς σφαλεῖσι, καὶ διαμαρτάνουσι τῆς ὀρθῆς ὁδοῦ, τοιαῦτά τε ληρεῖν ἀναγκαῖόν ἐστι, καὶ προσέτι τῶν χρησιμωτάτων εἰς τὴν τέχνην παραλιπεῖν τὴν ζήτησιν. ἡδέως οὖν ἐνταῦθα τοῦ λόγου γεγονὼς, ἠρόμην τοὺς ὁμιλῆσαι φάσκοντας αὐτὸν ἐπὶ πλεῖστον, τοῖς ἐκ τοῦ περιπάτου φιλοσόφοις, εἰ γινώσκουσιν, ὅσα περὶ τοῦ κεκρᾶσθαι τὰ F σώματα ἡμῶν ἐκ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ, πρὸς Ἀριστοτέλους εἴρηταί τε, καὶ ἀποδέδεικται; καὶ ὡς τὸ θερμὸν ἐν αὐτοῖς ἐστι τὸ δραστικώτατον, καὶ ὡς τῶν ζώων ὅσα μὲν θερμότερα φύσει, ταῦτα πάντως ἔναιμα. τὰ δ' ἐπὶ πλεῖστον ψυχρότερα, πάντως ἄναιμα. καὶ διὰ τοῦτο τοῦ χειμῶνος, ἀργὰ καὶ ἀκίνητα κεῖται, φωλεύοντα δίκην νεκρῶν.

Εἴρηται δὲ καὶ περὶ τῆς χροιᾶς τοῦ αἵματος, οὐκ Ἀριστοτέλει μόνον, ἀλλὰ καὶ Πλάτωνι. καὶ ἡμεῖς νῦν, ὅπερ ἤδη καὶ πρόσθεν εἴπομεν, οὐ τὰ καλῶς ἀποδεδειγμένα τοῖς παλαιοῖς λέγειν προὐθέμεθα, μήτε τῇ γνώμῃ, μήτε τῇ λέξει τοὺς ἄνδρας ἐκείνους ὑπερβαλέσθαι δυνάμενοι. τὰ δ' ἤτοι χωρὶς ἀποδείξεως, ὡς ἐναργῆ πρὸς αὐτῶν εἰρημένα, τῷ μηδ' ὑπονοῆσαι μοχθηροὺς οὕτως ἔσεσθαί τινας σοφιστάς, οἳ καταφρονήσουσι τῆς ἐν αὐτοῖς ἀληθείας, ἢ καὶ παραλελειμμένα τελέως ὑπ' ἐκείνων, ἀξιοῦμεν εὑρίσκειν τε, καὶ ἀποδεικνύναι. περὶ δὲ τῆς τῶν χυμῶν γενέσεως, οὐκ οἶδ' εἴ τις ἔχει προσθεῖναί τι σοφώτερον, ὧν Ἱπποκράτης εἶπε, καὶ Ἀριστοτέλης, καὶ Πραξαγόρας, καὶ Φιλότιμος, καὶ ἄλλοι πολλοὶ τῶν παλαιῶν. ἀποδέδεικται γὰρ ἐκείνοις τοῖς ἀνδράσιν ἀλλοιουμένης τῆς τροφῆς ἐν ταῖς φλεψὶν ὑπὸ τῆς ἐμφύτου θερμασίας, αἷμα μὲν ὑπὸ τῆς συμμετρίας τῆς κατ' αὐτήν, οἱ δ' ἄλλοι χυμοὶ διὰ τὰς ἀμετρίας γινόμενοι, καὶ τούτῳ τῷ λόγῳ πάνθ' ὁμολογεῖ τὰ φαινόμενα. καὶ γὰρ τῶν ἐδεσμάτων ὅσα μέν ἐστι θερμότερα φύσει, χολωδέστερα, τὰ δὲ ψυχρότερα, φλεγματωδέστερα. καὶ τῶν ἡλικιῶν ὡσαύτως, χολωδέστεραι μέν, αἱ θερμότεραι φύσει, φλεγματωδέστεραι δ' αἱ ψυχρότεραι. καὶ τῶν ἐπιτηδευμάτων δέ, καὶ τῶν χωρῶν, καὶ τῶν ὡρῶν, καὶ πολὺ δὴ πρότερον ἔτι τῶν φύσεων αὐτῶν. αἱ μὲν ψυχρότεραι φλεγματωδέστεραι, χολωδέστεραι δέ, αἱ θερμότεραι. καὶ νοσήματα τὰ μὲν ψυχρά, τοῦ φλέγματος ἔκγονα, τὰ δὲ θερμά, τῆς ξανθῆς χολῆς. καὶ ὅλως οὐδὲν ἔστιν εὑρεῖν τῶν ἁπάντων, ὃ μὴ τούτῳ τῷ λόγῳ μαρτυρεῖ. πῶς δ' οὐ μέλλει; διὰ γὰρ τὴν ἐκ τῶν τεττάρων ποιοτήτων ποιὰν κρᾶσιν ἑκάστου τῶν μορίων, ὡδί πως ἐνεργοῦντος, ἀνάγκη πᾶσα, καὶ διὰ τὴν βλάβην αὐτῶν, ἢ διαφθείρεσθαι τελέως, ἢ ἐμποδίζεσθαί γε τὴν ἐνέργειαν, καὶ οὕτως νοσεῖν τὸ ζῷον, ἢ ὅλον, ἢ κατὰ μόρια. καὶ πρῶτά γε καὶ γενικώτατα νοσήματα, τέτταρα τὸν ἀριθμὸν ὑπάρχει, θερμότητι καὶ ψυχρότητι, καὶ ξηρότητι καὶ ὑγρότητι διαφέροντα. τοῦτο δὲ καὶ αὐτὸς ὁ Ἐρασίστρατος ὁμολογεῖ, καίτοι μὴ βουλόμενος. ὅταν γὰρ ἐν τοῖς πυρετοῖς χείρους τῶν σιτίων τὰς πέψεις γίγνεσθαι λέγῃ, μὴ διότι τῆς ἐμφύτου θερμασίας ἡ συμμετρία διέφθαρται, καθάπερ οἱ πρόσθεν ὑπελάμβανον, ἀλλ' ὅτι περιστέλλεσθαι, καὶ τρίβειν ἡ γαστὴρ οὐχ ὁμοίως δύναται βεβλαμμένη τὴν ἐνέργειαν. ἐρέσθαι δίκαιον αὐτόν, ὑπὸ τίνος ἡ τῆς γαστρὸς ἐνέργεια βέβλαπται. γενομένου γὰρ εἰ τύχοι βουβῶνος ἐπὶ προσπταίσματι, πρὶν μὲν πυρέξαι τὸν ἄνθρωπον, οὐκ ἂν χεῖρον ἡ γαστὴρ πέψειεν. οὐ γὰρ ἱκανὸν οὐδετέρων αὐτῶν, οὔθ' ὁ βουβών, οὔτε τὸ ἕλκος ἐμποδίσαι τι, καὶ βλάψαι τὴν ἐνέργειαν τῆς γαστρός. εἰ δὲ πυρέξειεν, εὐθὺς μὲν αἱ πέψεις γίνονται χείρους. εὐθὺς δὲ καὶ τὴν ἐνέργειαν τῆς γαστρὸς βεβλάφθαι φαμὲν ὀρθῶς λέγοντες, ἀλλ' ὑπὸ τίνος ἐβλάβη, προσθεῖναι χρὴ τῷ λόγῳ. τὸ μὲν γὰρ ἕλκος οὐχ οἷόν τ' ἦν αὐτὴν βλάπτειν, ὥσπερ οὐδ' ὁ βουβών. ἢ γὰρ ἂν ἔβλαπτε καὶ πρὸ τοῦ πυρετοῦ. εἰ δὲ μὴ ταῦτα, δῆλον ὡς ἡ τῆς θερμασίας πλεονεξία. δύο γὰρ ταῦτα προσεγένετο τῷ βουβῶνι, ἡ τῆς κατὰ τὰς ἀρτηρίας τε, καὶ τὴν καρδίαν κινήσεως ἀλλοίωσις, καὶ ἡ τῆς κατὰ φύσιν θερμασίας πλεονεξία. ἀλλ' ἡ μὲν τῆς κινήσεως ἀλλοίωσις, οὐ μόνον οὐδὲν βλάψει τὴν ἐνέργειαν τῆς γαστρός, ἀλλὰ καὶ προσωφελήσει κατ' ἐκεῖνα τῶν ζῴων, ἐν οἷς εἰς τὴν πέψιν ὑπετίθετο πλεῖστον δύνασθαι, τὸ διὰ τῶν ἀρτηριῶν εἰς τὴν κοιλίαν ἐμπῖπτον πνεῦμα.

A Porrò disceptatum, & de colore sanguinis est non Aristoteli modò, sed etiam Platoni. Nos autem, sicut prius etiam testati sumus, haudquaquam quæ ab antiquis commodè sunt demonstrata, ea dicere in præsentia paramus, vt qui illos, nec sentiendo, nec dicendo, superare queamus; sed aut quæ ab illis absque demonstratione, tanquam euidentia, sunt prodita, quòd scilicet aliquos fore adeò peruersos sophistas, qui veritatem in iis, quæ ipsi tradidissent, contemnerent, suspicati non sunt; vel etiam ab illis omninò sunt prætermissa, hæc tum inuestigare, tum demonstrare censemus. De succorum verò generatione, haud scio an aliquis exactius quicquam afferre in medium possit iis, quæ Hippocrates, Aristoteles, Praxagoras, Philotimus, aliique veterum non pauci reliquerunt. Demonstratum enim est ab iis viris alimentum, dum in venis ab innato calore alteratur, sanguinem quidem à medioeri calore fieri, reliquos verò succos ab eodem immodico. Atque huic sententiæ, quæ euidenter sensibus apparent, omnia consentiunt; Quando & cibi, qui natura calidiore sunt, magis sunt biliosi; qui frigidiore magis pituitosi; Simili modo ex ætatibus, quæ calidiore natura sunt, has bilisiores esse constat; quæ frigidiore, pituitosiores. Iam vitæ rationum, & regionum, & anni temporum, multóque priores his ipsarum quoque naturarum, quæ frigidiores sunt, eæ magis cernuntur pituitosæ; quæ calidiores, magis biliosæ. Præterea ex morbis quoque, qui frigidi sunt, ij à pituita oriuntur; qui calidi, à bili ortum habent. Denique nihil vsquam inuenias, quod non huic sententiæ astipuletur; & quomodo quæso, non astipuletur? Cùm enim propter certam ex quatuor illis qualitatibus temperiem, pars quæque certam habeat functionem, necesse omninò est, propter eius temperiei vitium, aut prorsus corrumpi functionem, aut impediri, ac ita, vel totum, vel partibus ægrotare animal. Ac primi quidem, ac principes morbi sunt quatuor, qui calore, frigore, siccitate, & humore, inter se dissident. Id verò Erasistratus quoque ipse, quanquam nolens fatetur. Nam quum in febribus deteriorem esse ciborum concoctionem dicat, nec tamen (sicut priores censuerunt) propterea, quòd naturalis caloris mediocritas corrumpitur, sed quia ventriculus hos amplecti, & terere similiter non valet, quòd eius læsa sit actio, rogari iure potest, à quo sit læsa ventris actio. Quippe si ceciderit quis, & ex eo bubo excitetur prius, quàm homo febricitet, venter deteriùs non concoquet; non enim satis est, aut bubo, aut vlcus, quòd ventriculi concoctionem labefactet. At si febricitet, protinus concoctio redditur deterior; protinus etiam ventriculi actionem deteriorem redditam dicimus, atque id rectè. Cæterùm à quo sit læsa, adiiciendum esse sermoni videtur. Vlcus namque eam lædere non valebat, sed nec bubo; læsisset enim profectò, & ante febrem. Quòd si hæc læserunt, liquet quòd immodica vis caloris; quippe duo hæc buboni accessere, motus eius, qui in arteriis, & corde habetur alteratio, & naturalis caloris exuperantia. Verùm motus alteratio non modò ventris actionem non lædet, sed etiam illi conferet in animalibus, in quibus supponitur plurimum ad concoctionem valere spiritum illum, qui per arterias in ventrem incidit.

Ergo à reliquo, eóque solo immodico calore, læditur ventris actio; etenim spiritus non solùm vehementior, sed etiam magis assiduus, & abundantior, nunc incidit, quàm priùs. Quare quod ad hunc attinet, magis concoquent ea, quæ spiritus gratia bene concoquunt animalia; ob reliquum verò qui etiam præter naturam est, calorem malè concoquent. Dicere namque proprietatem quandam in spiritu esse, quâ concoquunt; deinde quum febricitant, hanc destrui; est alio modo incommodum ipsum fateri; Quippe denuo interrogati, à quo sit alteratus spiritus, solùm habent, quem respondeant, eum qui præter naturam est calorem, maximè de eo, qui in ventre est spiritu; neque enim appropinquat omninò is buboni. Et quid quæso animalia ea, in quibus spiritus proprietas plurimam vim habeat, cómemoro, quum liceat de hominibus, in quibus, vel nihil, vel omninò leue aliquid, & exiguum confert, verba facere? At quod in febribus male concoquũt hi quoque, fatetur etiam ipse; tum causam rei adijciens, læsam esse ait ventris actionem; non tamen aliam habet, quam afferat, læsionis occasionem, quàm eum qui præter naturam est calorem. At si nocet actioni calor, qui præter naturam est, nec id facit ex accidenti, sed ipse sua substantia, ac potestate, vtique ex primorum morborum sit numero; atqui de numero primorum morborum esse nequit immoderatus calor, nisi actio ex proba nascatur temperie. Neque enim alia de causa potest intemperies primorum morborum esse causa, nisi quod proba temperies est vitiata; quum enim ab hac manent actiones, necesse est primas earum læsiones ex hac manare vitiata. At quod ipso quoque Erasistrato auctore, proba caloris temperies actionis sit causa iis, qui assequi, quod consequens est valent, satis esse demonstratum puto. Hoc verò nobis concesso, non amplius dictu difficile est, in omni actione id, quod melius est, probo temperamento referendum esse acceptum; quæ deteriora sunt vitioso. Atqui si hæc ita se habent, sanguinem à mediocri, bilem ad immodico calore nasci, quidni putandum? ita namque tum in calida ætate, tum calida regione, tum anni tempore calido, & tempestate calida, præterea naturis hominum calidis, & vitæ conditionibus, & victus rationibus, & morbis calidis, meritò nobis plurima fieri flaua bilis apparet. Dubitare verò, an in animantium corporibus is humor gignatur, an in cibis contineatur, vtique hominis est, qui nec illud aduertat, quemadmodum etiam iis, qui sani citra vitium sunt, vbi aliqua coacti occasione, contra consuetudinem cibo abstinuerunt, os quidem amarum, lotium verò biliosum reddatur, ac venter mordeatur; sed qui quasi subitò nunc in hunc mundum sit ingressus, nec dum, quæ in eo sunt nouerit. Quis namque ignorat eorum, quæ immodicè coquuntur, singula fieri primùm quidem salsiora, postea verò amariora; quum si mel ipsum, quod omnium est dulcissimum, plurimùm percoquere velis, id quoque reddideris amarissimum? Quippe quod cæteris, quæ vtique ex natura sua calida non sunt, per coctionem acquiritur, id melli ex sua natura præsto est; atque id causæ est, cur coctum non efficiatur dulcius, quod namque ad dulcedinem generandam caloris ei accidere debebat, id totum prorsus intrà se obtinet. Itaque quod extrinsecus iis, quæ minus calida sunt, conducit, id illi noxa fit, & ametria;

A διὰ λοιπὴν οὖν ἔτι καὶ μόνην τὴν ἄμετρον θερμασίαν, ἡ βλάβη τῆς ἐνεργείας τῇ γαστρί. τὸ μὲν γὰρ πνεῦμα σφοδρότερόν τε, καὶ συνεχέστερον, καὶ πλέον ἐμπίπτει νῦν ἢ πρότερον, ὥστε ταύτῃ μὲν μᾶλλον πέψει τὰ διὰ τὸ πνεῦμα καλῶς πέττοντα ζῶα. διὰ λοιπὴν δὴ ἔτι τὴν παρὰ φύσιν θερμασίαν ἀπεπτήσει. τὸ γὰρ καὶ τῷ πνεύματι φάναι τιν᾽ ὑπάρχειν ἰδιότητα καθ᾽ ἣν πέπτει, κἄπειτα ταύτην πυρεττόντων διαφθείρεσθαι, καθ᾽ ἕτερον τρόπον ἐστὶν ὁμολογῆσαι τὸ ἄτοπον. ἐρωτηθέντες γὰρ αὖθις ὑπὸ τίνος ἠλλοιώθη τὸ πνεῦμα, μόνην ἕξουσιν ἀποκρίνεσθαι τὴν παρὰ φύσιν θερμασίαν, καὶ μάλιστα B ἐπὶ τοῦ κατὰ τὴν κοιλίαν. οὐδὲ γὰρ πλησιάζει καὶ οὐδὲν τούτων τῷ βουβῶνι, καί τι τῶν ζώων ἐκείνων ἐν οἷς ἡ τοῦ πνεύματος ἰδιότης μέγα δύναται μνημονεύω, παρὸν ἐπ᾽ ἀνθρώποις ἐν οἷς ἢ οὐδὲν, ἢ παντάπασιν ἀμυδρόν τι, καὶ μικρὸν ὠφελεῖ, ποιεῖσθαι τὸν λόγον; ἀλλ᾽ ὅτι μὲν ἐν τοῖς πυρετοῖς οὗτοι κακῶς πέττουσιν, ὁμολογεῖ καὶ αὐτὸς, καὶ τήν γε αἰτίαν προστιθεὶς, βεβλάφθαι φησὶ τῆς γαστρὸς τὴν ἐνέργειαν. οὐ μὴν ἄλλην γέ τινα πρόφασιν τῆς βλάβης εἰπεῖν ἔχει, πλὴν τῆς παρὰ φύσιν θερμασίας. ἀλλ᾽ εἰ βλάπτει τὴν ἐνέργειαν ἡ παρὰ φύσιν θερμασία, μὴ κατά τι συμβεβηκὸς, ἀλλὰ διὰ τὴν αὐτῆς οὐσίαν τε καὶ δύναμιν, C ἐκ τῶν πρώτων ἂν εἴη νοσημάτων, καὶ μὴν οὐκ ἐνδέχεται τῶν πρώτων μὲν εἶναι νοσημάτων τὴν ἀμετρίαν τῆς θερμασίας, τὴν δ᾽ ἐνέργειαν ὑπὸ τῆς εὐκρασίας μὴ γίγνεσθαι. οὐδὲ γὰρ δι᾽ ἄλλο δυνατὸν γίνεσθαι τὴν δυσκρασίαν, αἰτίαν τῶν πρώτων νοσημάτων, ἀλλ᾽ ἢ διὰ τὴν εὐκρασίαν διαφθειρομένην. τῷ γὰρ ὑπὸ ταύτης γίνεσθαι τὰς ἐνεργείας, ἀνάγκη καὶ τὰς πρώτας αὐτῶν βλάβας διαφθειρομένης γίνεσθαι. ὅτι μὲν οὖν καὶ κατ᾽ αὐτὸν τὸν Ἐρασίστρατον, ἡ εὐκρασία τοῦ θερμοῦ, τῶν ἐνεργειῶν αἰτία, τοῖς θεωρεῖν τὸ ἀκόλουθον δυναμένοις ἱκανῶς ἀποδεδεῖχθαι νομίζω. τούτου D δ᾽ ὑπάρχοντος ἡμῖν, οὐδὲν ἔτι χαλεπὸν ἐφ᾽ ἑκάστης ἐνεργείας, τῇ μὲν εὐκρασίᾳ τὸ βέλτιον ἕπεσθαι λέγειν, τῇ δὲ δυσκρασίᾳ, τὰ χείρω. καὶ τοίνυν εἴπερ ταῦθ᾽ οὕτως ἔχει, τὸ μὲν αἷμα τῆς συμμέτρου θερμασίας, τὴν δὲ ξανθὴν χολὴν, τῆς ἀμέτρου νομιστέον ὑπάρχειν ἔκγονον. οὕτω γὰρ καὶ ἡμῖν ἔν τε ταῖς θερμαῖς ἡλικίαις, καὶ τοῖς θερμοῖς χωρίοις, καὶ ταῖς ὥραις τοῦ ἔτους, καὶ ταῖς θερμαῖς καταστάσεσιν. ὡσαύτως δὲ καὶ ταῖς θερμαῖς κράσεσι τῶν ἀνθρώπων, καὶ τοῖς ἐπιτηδεύμασί τε, καὶ τοῖς διαιτήμασι, καὶ τοῖς νοσήμασι τοῖς θερμοῖς, εὐλόγως ἡ ξανθὴ χολὴ πλείστη φαίνεται γιγνομένη. τὸ δ᾽ ἀπορεῖν, εἴτ᾽ ἐν τοῖς E σώμασι τῶν ἀνθρώπων ὁ χυμὸς οὗτος ἔχει τὴν γένεσιν, εἴτ᾽ ἐν τοῖς σιτίοις περιέχεται, μὴ δ᾽ ὅτι τοῖς ὑγιαίνουσιν ἀμέμπτως, ὅταν ἀσιτήσωσι παρὰ τὸ ἔθος ὑπό τινος περιστάσεως πραγμάτων ἀναγκασθέντες, ἐφ᾽ ὧν μὲν πικρὸν τὸ στόμα γίνεται, χολώδη δὲ τὰ οὖρα, δάκνεται δ᾽ ἡ γαστὴρ, ἑωρακότος ἐστὶν, ἀλλ᾽ ὥσπερ ἐξαίφνης νῦν εἰς τὸν κόσμον ἐληλυθότος, καὶ μήπω τὰ κατ᾽ αὐτὸν φαινόμενα γινώσκοντος. ἐπεὶ τίς οὐχ οἶδεν ὡς ἕκαστον τῶν ἑψομένων ἐπὶ πλέον, ἁλυκώτερον μὲν τὸ πρῶτον, ὕστερον δὲ πικρότερον γίγνεται. κἂν εἰ τὸ μέλι δὲ βουληθείης αὐτὸ τὸ πάντων γλυκύτατον ἐπὶ πλεῖστον ἕψειν, ἀποδείξεις καὶ F τοῦτο πικρότατον; ὃ γὰρ τοῖς ἄλλοις, ὅσα μὴ φύσει θερμὰ, παρὰ τῆς ἑψήσεως ἐγγίνεται, τοῦτ᾽ ἐκ φύσεως ὑπάρχει τῷ μέλιτι. διὰ τοῦτ᾽ οὖν ἑψόμενον οὐ γίνεται γλυκύτερον, ὅσον γὰρ ἐχρῆν προσεῖναι θερμότητος εἰς γένεσιν γλυκύτητος, ἀκριβῶς αὐτῷ τοῦτο πᾶν οἴκοθεν ὑπάρχει. ὃ τοίνυν ἔξωθεν τοῖς ἐλλιπῶς θερμοῖς ἦν ὠφέλιμον, τοῦτ᾽ ἐκείνῳ βλάβη τε, καὶ ἀμετρία γίγνεται.

καὶ διὰ τοῦτο θᾶττον τῶν ἄλλων ἑψόμενον, ἀποδείκνυται πικρόν. δι' αὐτὸ δὲ τοῦτο, καὶ τοῖς θερμοῖς φύσει, καὶ τοῖς ἀκμάζουσιν, ἑτοίμως εἰς χολὴν μεταβάλλεται. θερμὸν γὰρ θερμῷ πλησιάζον, εἰς ἀμετρίαν κράσεως ἑτοίμως ἐξίσταται, καὶ φθάνει χολὴ γιγνόμενον οὐχ αἷμα. δεῖται τοίνυν ψυχρᾶς μὲν κράσεως ἀνθρώπου, ψυχρᾶς δ' ἡλικίας, ἵν' εἰς αἵματος ἄγηται φύσιν. οὐκουν ἀπὸ τρόπου συνεβούλευσεν Ἱπποκράτης, μὴ συμφέρειν τὸ μέλι τοῖς φύσει πικροχόλοις, ὡς ἂν θερμοτέρας δηλονότι κράσεως ὑπάρχουσιν. οὕτω δὲ τοῖς νοσήμασι τοῖς πικροχόλοις πολέμιον εἶναι τὸ μέλι, καὶ τῇ τῶν γερόντων ἡλικίᾳ φίλιον, οὐχ Ἱπποκράτης μόνον, ἀλλὰ καὶ πάντες ἰατροὶ λέγουσιν, οἱ μὲν ἐκ τῆς φύσεως, αὐτοῦ τὴν δύναμιν ἐνδειξαμένης εὑρόντες, οἱ δ' ἐκ τῆς πείρας μόνης. οὐδὲ γὰρ οὐδὲ τοῖς ἀπὸ τῆς ἐμπειρίας ἰατροῖς, ἕτερόν τι παρὰ ταῦτα τετήρηται γιγνόμενον, ἀλλὰ χρηστὸν μὲν γέροντι, νέῳ δ' οὐ χρηστόν, καὶ τῷ μὲν φύσει πικροχόλῳ βλαβερόν, ὠφέλιμον δὲ τῷ φλεγματώδει. καὶ τῶν νοσημάτων ὡσαύτως· τοῖς μὲν πικροχόλοις ἐχθρόν, τοῖς δὲ φλεγματώδεσι φίλον. ἑνὶ δὲ λόγῳ, τοῖς μὲν θερμοῖς σώμασιν, ἢ διὰ φύσιν, ἢ διὰ νόσον, ἢ δι' ἡλικίαν, ἢ δι' ὥραν, ἢ διὰ χώραν, ἢ δι' ἐπιτήδευμα, χολῆς γεννητικόν, αἵματος δὲ τοῖς ἐναντίοις. καὶ μὴν οὐκ ἐνδέχεται ταὐτὸν ἔδεσμα, τοῖς μὲν χολὴν γεννᾶν, τοῖς δ' αἷμα, μὴ οὐκ ἐν τῷ σώματι τῆς γενέσεως αὐτῶν ἐπιτελουμένης. εἰ γὰρ δὴ οἴκοθέν γε, καὶ πρὸ ἑαυτοῦ τῶν ἐδεσμάτων ἕκαστον ἔχον, καὶ οὐκ ἐν τοῖς τῶν ζῴων σώμασι μεταβαλλόμενον ἐγέννα τὴν χολήν, ἐν ἅπασιν ἂν ὁμοίως αὐτοῖς τοῖς σώμασιν ἐγέννα, καὶ τὸ μὲν πικρὸν ἔξω γευομένοις, ἦν ἄν, οἶμαι, χολῆς ποιητικόν. εἰ δέ τι γλυκὺ καὶ χρηστόν, οὐκ ἂν οὐδὲ τὸ βραχύτατον ἐξ αὐτοῦ χολῆς ἐγεννᾶτο. καὶ μὴν οὐ τὸ μέλι μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἕκαστον τῶν γλυκέων τοῖς προειρημένοις σώμασι, τοῖς δι' ὁποιονοῦν τῶν εἰρημένων θερμοῖς οὖσιν, εἰς χολὴν ἑτοίμως ἐξίσταται. καίτοι ταῦτ' οὐκ οἶδ' ὅπως ἐξηνέχθην εἰπεῖν, οὐ προελόμενος, ἀλλ' ὑπ' αὐτῆς τοῦ λόγου τῆς ἀκολουθίας ἀναγκασθείς. εἴρηται δ' ἐπὶ πλεῖστον ὑπ' αὐτῶν Ἀριστοτέλει τε, καὶ Πραξαγόρᾳ, τὴν Ἱπποκράτους, καὶ Πλάτωνος γνώμην ὀρθῶς ἐξηγησαμένοις.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῆς τῶν χυμῶν γενέσεως, καὶ διαφθορᾶς.

Μὴ τοίνυν ὡς ἀπόδειξιν ὑφ' ἡμῶν εἰρῆσθαι νομίζειν τὰ τοιαῦτα μᾶλλον, ἢ περὶ τῆς τῶν ἄλλως γινωσκόντων ἀναισθησίας ἔνδειξιν, οἳ μηδὲ τὰ πρὸς ἁπάντων ὁμολογούμενα, καὶ καθ' ἑκάστην ἡμέραν φαινόμενα γινώσκουσι. τὰς δ' ἀποδείξεις αὐτῶν κατ' ἐπιστήμην, ἐξ ἐκείνων δεῖ λαμβάνειν τῶν ἀρχῶν, ὧν ἤδη καὶ πρόσθεν εἴπομεν. ὡς τὸ δρᾶν, καὶ τὸ πάσχειν εἰς ἄλληλα τοῖς σώμασιν ὑπάρχει, κατὰ τὸ θερμόν, καὶ ψυχρόν, καὶ ξηρόν, καὶ ὑγρόν. καὶ εἴτε φλέβας, εἴθ' ἧπαρ, εἴτ' ἀρτηρίας, εἴτε καρδίαν, εἴτε κοιλίαν, εἴτ' ἄλλο μόριον ἐνεργεῖν τις φήσειεν ἡντιναοῦν ἐνέργειαν, ἀφύκτοις ἀνάγκαις ἀναγκασθήσεται, διὰ τὴν ἐκ τῶν τεττάρων ποιὰν κρᾶσιν, ὁμολογῆσαι τὴν ἐνέργειαν ὑπάρχειν αὐτῷ. διὰ τί γὰρ ἡ γαστὴρ περιστέλλεται τοῖς σιτίοις, διὰ τί δ' αἱ φλέβες αἷμα γεννῶσι, παρὰ τῶν Ἐρασιστρατείων ἐδεόμην ἀκοῦσαι. τὸ γὰρ ὅτι περιστέλλεται μόνον αὐτὸ καθ' ἑαυτὸ γινώσκειν, οὐδέπω χρηστόν, εἰ μὴ καὶ τὴν αἰτίαν εἰδείημεν. οὕτω γὰρ ἄν, οἶμαι, καὶ τὰ σφάλματα θεραπεύσαιμεν. οὐ μέλει, φασίν, ἡμῖν,

atque eam ob rem coquendo citius quàm alia, fit amarum. Eadem verò de causa in iis, qui calida natura sunt, & ætate florentibus, promptè in bilem vertitur; quippe calidum quum sit, vbi calido adiungitur, ad immoderationem temperamenti facile labitur, statimque fit bilis, non sanguis. Postulat igitur, quò in sanguinis naturam mutetur, naturam hominis frigidam, ætatémque frigidam. Non abs re igitur censuit Hippocrates mel biliosis naturis non esse ex vsu, vtpotè qui calidiore sint temperie, ad eundem modum morbis quoque biliosis, inimicum esse; senum verò ætati amicum id esse non solùm Hippocrates, sed etiam omnes medici affirmant; partim id ex natura ipsius, quæ scilicet vim eius docet inuenientes, partim ex sola experientia. Neque enim empirici alia, quàm hæc fieri obseruarunt, quod seni sit salubre, iuueni minimè salubre; & biliosæ naturæ noxium, pituitosæ vtile; similiter & morbis iis, qui ex amara bile oriantur, contrarium; iis qui ex pituita nascantur, amicum; vnóque verbo, calidis quidem corporibus, siue ea naturæ ratione, siue morbi, siue ætatis, siue temporis anni, siue regionis, siue conditionis vitæ, talia sint, bili generandæ causam præbere; iis verò, quæ contrarij sunt habitus sanguini. Atqui non potest idem cibus aliis verti in bilem, aliis in sanguinem, nisi intra corpus eorum generatio peragatur. Etenim si singuli cibi à se, & in se bilem habentes, nec in animalis corpore mutatis bilem gignerent, vtique in omnibus eam corporibus pari modo generarent; ac quod foris amarum gustantibus esset, id arbitror, bilem generaret; quod autem dulce gratúmque gustu esset, eius ne, vel exigua quidem portio bilis fieret. Atque non mel modò, sed etiam cætera dulcia vniuersa, in supradictis corporibus, quæ ex qualibet iam memoratarum causarum sunt calida, facilè in bilem mutantur. Verùm hæc dixisse, quum tamen minimè id mihi fuisset propositum, nescio quo pacto ex ipsa sermonis consequentia sum adductus. Dictum autem latissimè de his est, tum Aristoteli, tum Praxagoræ, qui Hippocratis, & Platonis sententiam rectè sunt interpretati.

CAPVT IX.

De Generatione & corruptione succorum.

Qvominus quisquam hæc à nobis pro euidenti demonstratione dicta putet potiùs quàm quo indocilitatem eorum, qui aliter sentiunt indicarem; qui nec ea de quibus inter omnes conuenit, & quæ quotidie fieri cernuntur intelligunt. Porrò demonstrationes eorum, quæ vtique scientificæ sunt ex iis, quæ supra iam retulimus, principiis sumpsisse conueniet; veluti quòd actio passióque corporum inter se, ex calido, frigido, humido, siccóque illis insint; tum quòd siue quis venas, siue iecur, siue arterias, siue cor, siue ventriculum, siue aliam partem vllam fungi quacunque actione dicat, ineuitabili necessitate cogetur, propter certam ex quatuor corporibus temperiem, edi actionem ab illa fateri. Etenim cur ventriculus circa cibum vndique contrahatur; cur venæ sanguinem gignant, rogarem ab Erasistrateis doceri; nosse namque quod solummodo ipse secundum se contrahitur, nondum vtique operæpretium vllum est, nisi etiam intellecta sit causa; sic namque, arbitror, & errores corrigamus. Non curamus, inquiūt,

nec

nec sumus solliciti de istiusmodi causis, vt quæ supra medicum sint, atque ad philosophum naturalem spectent. Vtrum igitur neque ei contradicetis, qui probam, & quæ secundum naturam est, temperiem, actionis causam in singulis instrumentis dicit; contra quòd intemperiem iam morbum vocari, atque ab hac actionem omninò lædi? an veterum demonstrationibus assentiemini? an tertium quiddam mediúmque inter hæc vtraque facietis, vt nec eorum rationibus necessariò assentiamini, vt veris, nec iisdem repugnetis, vt falsis, sed hæsitatores, ac quidem subitò Pyrrhonij in mediúm prosilietis? Atqui si id facietis, experientiam necesse est propugnetis. Quo enim modo etiam medicamentorum compotes eritis si morbi cuiusque substantiam ignoretis? Cur igitur non à principio empiricorum nomen vobis vindicastis? Quid nobis negocium facessitis, naturales actiones medendi causa pollicentes inquirere? Si namque ventriculus per imbecillitatem circa cibum contrahi, eúmque retinere non valet, qua ratione eum in naturalem statum reponemus, ignorantes scilicet imbecillitatis causam? Ego namque eum, qui supra modum calefactus est, ventrem refrigerandum esse aio; sicut eum, qui perfrigeratus est calefaciendum; ad eundem modum, & qui exiccatus est, humectandum; qui præhumidus est siccandum; sed & coniunctim si calidior vnà sicciórque iusto si redditus, caput esse sanationis, vt refrigeretur simul, & humectetur; sin frigidior simul, & humidior sit effectus, vt siccetur, & excalfiat, similique modo in aliis. At Erasistrati sectatores quid tandem facient, quum actionis causas omninò non esse inquirendas contendant? Quippe inquirendarum causarum fructus hic est, vt qui intemperiei causas norit, is ad naturam suam eam reducat; siquidem vnum id nouisse, quænam sit cuiusque instrumenti functio, nullum adhuc præstat ad medendum vsum. Porrò Erasistratum id quoque latere mihi videtur, quòd affectus in corpore, qui non ex accidenti, sed primùm, & per se actionem labefactat, is ipse sit morbus. Ergo qua demum ratione, vel agnoscere, vel sanare morbos poterit, quum hos, qui quotque sint, & quales prorsus ignoret? Ac in ventriculo quidem hactenus saltem Erasistratus inquirendum censuit, vt quemadmodum scilicet cibi concoquantur, inuestigaret; quæ tamen sit eiusmodi rationis prima, & princeps causa, cur non quæsiuit: in venis autem, & sanguine, etiam ipsam rationem modúmque inquirere cur omisit? At non Hippocrates, aliúsve ex iis, quos supra paulò memoraui, philosophorum, vel medicorum quisquam id omittendum censuit: sed eum, qui in animalibus est temperatum calorem, & qui modicè est humidus, sanguinis generandi causam affirmant. Eadem de causa sanguinem ipsum calidum, & humidum potestate humorem dicunt: æquè vt flauam bilem, calidam siccámque quantumuis sit ab aspectu humida, quippe dissidet illis viris id, quod secundum apparentiam humidum est, ab eo quod viribus tale est. Alioqui quòd muria, & aqua marina carnes & siccant, & incorruptas seruant, reliquæ omnes potabiles promptè corrumpunt, ac putres faciunt, quis ignorat? Quis porrò non intelligit, quòd vbi plurima in ventriculo flaua bilis continetur, perpetua siti vrgemur? quódque quum eam euomuimus, protinus à siti magis vindicamur, quàm si plurimam hausissemus potionem?

A οὐδὲ πολυπραγμονοῦμεν ἔτι τὰς τοιαύτας αἰτίας, ὑπὲρ ἰατρὸν γάρ εἰσι, καὶ τῷ φυσικῷ προσήκουσι. πότερον οὖν οὐδ' ἀντερεῖτε τῷ φάσκοντι, τὴν μὲν εὐκρασίαν τὴν κατὰ φύσιν αἰτίαν εἶναι τῆς ἐνεργείας ἑκάστῳ τῶν ὀργάνων, τὴν δ' αὖ δυσκρασίαν, νόσον τ' ἤδη καλεῖσθαι, καὶ πάντως ὑπ' αὐτῆς βλάπτεσθαι τὴν ἐνέργειαν; ἢ πεισθήσεσθε ταῖς τῶν παλαιῶν ἀποδείξεσιν, ἢ τρίτον τι, καὶ μέσον ἑκατέρου τούτων πράξετε, μήθ' ὡς ἀληθέσι τοῖς λόγοις ἐξ ἀνάγκης πειθόμενοι, μήτ' ἀντιλέγοντες ὡς ψευδέσιν, ἀλλ' ἀπορηματικοί τινες ἐξαίφνης, καὶ Πυῤῥώνειοι γενήσεσθε; καὶ B μὴν εἰ τοῦτο δράσετε, τὴν ἐμπειρίαν ἀναγκαῖον ἡμῖν προστήσασθαι. τῷ γὰρ αὖ ἐπὶ τρόπῳ, καὶ τῶν ἰαμάτων εὐπορήσετε, τὴν οὐσίαν ἑκάστου τῶν νοσημάτων ἀγνοοῦντες. τί οὖν οὐκ ἐξ ἀρχῆς ἐμπειρικοὺς ὑμᾶς αὐτοὺς ἐκαλέσατε; τί δὲ πράγματα ἡμῖν παρέχετε, φυσικὰς ἐνεργείας ἐπαγγελλόμενοι ζητεῖν, ἰάσεως ἕνεκα; εἴπερ γὰρ ἀδύνατος ἡ γαστήρ ἐστί τινι περιστέλλεσθαι, καὶ τρίβειν, πῶς αὐτὴν εἰς τὸ κατὰ φύσιν ἐπανάξομεν; ἀγνοοῦντες τὴν αἰτίαν τῆς ἀδυναμίας; ἐγὼ μὲν γάρ φημι τὴν μὲν ὑπερτεθερμασμένην, ἐμψυκτέον ἡμῖν εἶναι, τὴν δ' ἐψυγμένην, C θερμαντέον. οὕτω δὲ καὶ τὴν ἐξηραμμένην, ὑγραντέον, τὴν δ' ὑγρασμένην, ξηραντέον. ἀλλὰ καὶ κατὰ τὴν συζυγίαν, εἰ θερμοτέρα τοῦ κατὰ φύσιν, ἅμα καὶ ξηροτέρα τύχοι γεγενημένη, κεφάλαιον εἶναι τῆς ἰάσεως, ἐμψύχειν τε ἅμα καὶ ὑγραίνειν. εἰ δ' αὖ ψυχροτέρα τε ἅμα καὶ ὑγροτέρα, θερμαίνειν τε καὶ ξηραίνειν, κἀπὶ τῶν ἄλλων ὡσαύτως. οἱ δ' ἀπ' Ἐρασιστράτου τί ποτε καὶ πράξουσιν, οὐδ' ὅλως ζητεῖν τῶν ἐνεργειῶν τὰς αἰτίας ὁμολογοῦντες; ὁ γάρ τοι καρπὸς τῆς περὶ τῶν ἐνεργειῶν ζητήσεως, οὗτός ἐστι. τὸ, τὰς αἰτίας τῶν δυσκρασιῶν εἰδότι, εἰς τὸ κατὰ φύσιν D ἐπανάγειν αὐτάς, ὡς αὐτό γε τοῦτο μόνον, τὸ γνῶναι τὴν ἑκάστου τῶν ὀργάνων ἐνέργειαν, ἥτις ἐστὶν, οὔπω χρηστὸν εἰς τὰς ἰάσεις. Ἐρασίστρατος δέ μοι δοκεῖ, καὶ αὐτὸ τοῦτ' ἀγνοεῖν, ὡς εἴ τις αὖ ἐν τῷ σώματι διάθεσις βλάπτει τὴν ἐνέργειαν μὴ κατά τι συμβεβηκός, ἀλλὰ πρώτως, καὶ καθ' ἑαυτὴν, αὕτη τὸ νόσημά ἐστιν αὐτό. πῶς οὖν ἔτι διαγνωστικός τε, καὶ ἰατρὸς τῶν νοσημάτων ἔσται, ἀγνοῶν ὅλως αὐτά, τίνα τέ ἐστι, καὶ πόσα, καὶ ποῖα; κατὰ μὲν δὴ τὴν γαστέρα τό γε τοσοῦτον Ἐρασίστρατος ἠξίωσεν ζητεῖσθαι τὸ, πῶς πέττεται τὰ σιτία· τὸ δ' ἥ τις πρώτη τε, καὶ ἀρχηγὸς E αἰτία τούτου, πῶς οὐκ ἐπεσκέψατο; κατὰ δὲ τὰς φλέβας, καὶ τὸ αἷμα, καὶ αὐτὸ τοῦτο, πῶς παρέλιπεν; ἀλλ' οὔθ' Ἱπποκράτης, οὔτ' ἄλλος τις, ὧν ὀλίγῳ πρόσθεν ἐμνημόνευσα φιλοσόφων ἢ ἰατρῶν, ἄξιον ᾤετο εἶναι παραλιπεῖν. ἀλλὰ τὴν κατὰ φύσιν ἑκάστῳ ζῴῳ θερμασίαν εὔκρατόν τε, καὶ μετρίως ὑγρὰν οὖσαν, αἵματος εἶναί φασι γεννητικήν, καὶ δι' αὐτό γε τοῦτο, καὶ τὸ αἷμα, θερμὸν καὶ ὑγρὸν εἶναί φασι τῇ δυνάμει χυμὸν, ὥσπερ τὴν ξανθὴν χολὴν, θερμὴν καὶ ξηρὰν εἶναι, εἰ καὶ ὅτι μάλιστ' ὑγρὰ φαίνεται. διαφέρειν γὰρ αὐτοῖς δοκεῖ τὸ κατὰ φαντασίαν ὑγρὸν, τοῦ κατὰ δύναμιν. ἢ τίς F οὐκ οἶδεν, ὡς ἅλμη μὲν, καὶ θάλασσα ταριχεύει τὰ κρέα, καὶ ἄσηπτα διαφυλάττει, τὸ δ' ἄλλο πᾶν ὕδωρ τὸ πότιμον, ἑτοίμως διαφθείρει τε, καὶ σήπει; τίς δ' οὐκ οἶδεν, ὡς ξανθῆς χολῆς ἐν τῇ γαστρὶ περιεχομένης πολλῆς, ἀπαύστῳ δίψει συνεχόμεθα. καὶ ὡς ἐμέσαντες αὐτὴν, εὐθὺς ἄδιψοι γινόμεθα μᾶλλον, ἢ εἰ πάμπολυ ποτὸν προσηνεγκάμεθα;

θερμὸς οὖν εὐλόγως ὁ χυμὸς οὗτος εἴρηται, καὶ ξηρὸς κατὰ δύναμιν, ὥσπερ γε καὶ τὸ φλέγμα, ψυχρὸν καὶ ὑγρόν. ἐναργεῖς γὰρ καὶ περὶ τούτου πίστεις, Ἱπποκράτει τε, καὶ τοῖς ἄλλοις εἴρηνται παλαιοῖς. Πρόδικος δ᾽ ἐν τῷ περὶ φύσεως ἀνθρώπου γράμματι, τὸ συγκεκαυμένον, καὶ οἷον ὑπερωπτημένον ἐν τοῖς χυμοῖς, ὀνομάζει φλέγμα παρὰ τὸ πεφλέχθαι. τῇ λέξει μὲν ἑτέρως χρῆται, φυλάττει μέντοι τὸ πρᾶγμα κατὰ ταὐτὸ τοῖς ἄλλοις. τὴν δ᾽ ἐν τοῖς ὀνόμασι τοῦ ἀνδρὸς τούτου καινοτομίαν, ἱκανῶς ἐνδείκνυται καὶ Πλάτων. ἀλλὰ τοῦτό γε τὸ πρὸς ἁπάντων ἀνθρώπων ὀνομαζόμενον φλέγμα τὸ λευκὸν τὴν χρόαν, ὃ βλένναν ὀνομάζει Πρόδικος, ὁ ψυχρός, καὶ ὑγρὸς χυμός ἐστιν οὗτος, καὶ πλεῖστος τοῖς τε γέρουσι, καὶ τοῖς ὅπως δή ποτε ψυχθεῖσιν ἀθροίζεται, καὶ οὐδεὶς οὐδὲ μαινόμενος ἂν, ἄλλο τι ἢ ψυχρόν, καὶ ὑγρὸν εἴποι ἂν αὐτόν. ἆρ᾽ οὖν θερμὸς μέν τις ἐστὶ, καὶ ὑγρὸς χυμός, καὶ θερμὸς ἕτερος καὶ ξηρός, καὶ ὑγρός, καὶ ψυχρὸς ἄλλος, οὐδεὶς δὲ ἐστὶ ψυχρὸς καὶ ξηρὸς τὴν δύναμιν, ἀλλ᾽ ἡ τετάρτη συζυγία τῶν κράσεων ἐν ἅπασι τοῖς ἄλλοις ὑπάρχουσα, μόνοις τοῖς χυμοῖς οὐχ ὑπάρχει; καὶ μὴν ἥ γε μέλαινα χολή, τοιοῦτός ἐστι χυμός, ἣν οἱ σωφρονοῦντες ἰατροί, καὶ φιλόσοφοι πλεονεκτεῖν ἔφασαν, τῶν μὲν ὡρῶν τοῦ ἔτους, ἐν φθινοπώρῳ μάλιστα, τῶν δ᾽ ἡλικιῶν, ἐν τῇ μετὰ τὴν ἀκμήν. οὕτω δὲ καὶ διαιτήματα, καὶ χωρία, καὶ καταστάσεις, καὶ νόσους τινὰς ψυχρὰς, καὶ ξηρὰς εἶναί φασιν. οὐ γὰρ δὴ χωλὴν ἐν ταύτῃ μόνῃ τῇ συζυγίᾳ, τὴν φύσιν εἶναι νομίζουσιν, ἀλλ᾽ ὥσπερ τὰς ἄλλας τρεῖς, οὕτω καὶ τήνδε διὰ πάντων ἐκτετάσθαι. ηὐξάμην οὖν κἀνταῦθ᾽ ἐρωτῆσαι δύνασθαι τὸν Ἐρασίστρατον, εἰ μηδὲν ὄργανον ἡ τεχνικὴ φύσις ἐδημιούργησε καθαρτικὸν τοῦ τοιούτου χυμοῦ; ἀλλὰ τῶν μὲν οὔρων ἄρα τῆς διακρίσεώς ἐστιν ὄργανα δύο, καὶ τῆς ξανθῆς χολῆς ἕτερον οὐ σμικρόν. ὁ δὲ τούτων κακοηθέστερος χυμός, ἀλᾶται διὰ παντὸς ἐν ταῖς φλεψὶν ἀναμεμιγμένος τῷ αἵματι. καίτοι δυσεντερίη, φησί που Ἱπποκράτης, ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον. οὐ μὴν ἥ γ᾽ ἀπὸ τῆς ξανθῆς χολῆς ἀρξαμένη, πάντως ὀλέθριος. ἀλλ᾽ οἱ πλείους ἐξ αὐτῆς διασώζονται, τοσούτῳ κακοηθεστέρα τε, καὶ δριμυτέρα τὴν δύναμιν ἡ μέλαινα χολὴ τῆς ξανθῆς ἐστιν. ἆρ᾽ οὖν οὔτε τῶν ἄλλων ἀνέγνω τι τῶν Ἱπποκράτους γραμμάτων Ἐρασίστρατος οὐδέν· οὔτε τὸ περὶ φύσεως ἀνθρώπου βιβλίον, ἵν᾽ οὕτως ἀργῶς παρέλθοι τὴν περὶ τῶν χυμῶν ἐπίσκεψιν, ἢ γιγνώσκει μέν, ἑκὼν δὲ παραλείπει καλλίστην τῆς τέχνης θεωρίαν; ἐχρῆν οὖν αὐτὸν μηδὲ περὶ τοῦ σπληνὸς εἰρηκέναι τι, μηδ᾽ ἀσχημονεῖν, ὑπὸ τῆς τεχνικῆς φύσεως ὄργανον τηλικοῦτον μάτην ἡγούμενον κατεσκευάσθαι. καὶ μὴν οὐχ Ἱπποκράτης μόνον, ἢ Πλάτων οὐδέν τι χείρους Ἐρασιστράτου περὶ φύσιν ἄνδρες, ἕν τι τῶν ἐκκαθαιρόντων τὸ αἷμα, καὶ τοῦτ᾽ εἶναί φασι τὸ σπλάγχνον, ἀλλὰ καὶ μύριοι σὺν αὐτοῖς ἄλλοι τῶν παλαιῶν ἰατρῶν τε, καὶ φιλοσόφων, ὧν ἁπάντων προσποιησάμενος ὑπερφρονεῖν ὁ γενναῖος Ἐρασίστρατος, οὔτ᾽ ἀντεῖπεν, οὔθ᾽ ὅλως τῆς γνώμης αὐτῶν ἐμνημόνευσε. καὶ μὴν ὅσοις γε τὸ σῶμα θάλλει, τούτοις ὁ σπλὴν φθίνει, φησὶν Ἱπποκράτης, καὶ οἱ ἀπὸ τῆς ἐμπειρίας ὁρμώμενοι πάντες ὁμολογοῦσιν ἰατροί. καὶ ὅσοις γ᾽ αὖ μέγας, καὶ ὕπουλος αὐξάνεται, τούτοις καταφθίνει, καὶ κακοχύμους τὰ σώματα τίθησιν. ὡς καὶ τοῦτο πάλιν οὐχ Ἱπποκράτης μόνον, ἀλλὰ καὶ Πλάτων, ἄλλοι τε πολλοί, καὶ οἱ ἀπὸ τῆς ἐμ-

A Itaque succus hic, calidus potestate siccúsque meritò est dictus, æquè vt pituita frigida humidáque; quippe de hoc quoque euidentes ab Hippocrate cæterisque veteribus probationes sunt traditæ. Sanè Prodicus in opere de hominis natura, id quod vstum & veluti supra modum in succis coctum est, phlegma nominat, à verbo πεφλέχθαι, *quod vstum esse significat*; cæterùm dictione aliter vtitur, quàm cæteri; de re tamen idem sentit cum cæteris; sed de hominis huius nominum nouatione Plato abundè indicat. Cæterùm hoc albi coloris, B quod omnes homines pituitam vocant, Prodicus mucum appellat. Frigidus ille succus, & humidus est; qui tum in senibus, tum iis, qui ratione quauis sunt perfrigerati, plurimus aceruatur; quem nemo mentis compos aliud esse quippiam, quàm frigidum, & humidum dicat. Nunquid igitur succus aliquis calidus humidúsque est; aliquis calidus & siccus; aliquis frigidus humidúsque; nullus autem est, qui potestate frigidus sit, & siccus, sed quarta temperamentorum coniugatio, quum in reliquis omnibus habeatur, in solis deficit succis? Atqui atra bilis eiusmodi succus est, quam sapientes medi- C ci, ac philosophi abundare censuerunt, ex anni quidem temporibus in autumno potissimum; ex ætatibus, in ea, quæ vigori succedit. Ad eundem modum, & victus rationes, & regiones, & tempestates, & morbos quosdam, frigidos siccósque esse memorant; neque enim in hac vna coniugatione claudicare naturam putant, sed tanquam alias tres, itidem hanc quoque per omnia, quæ memorauimus extendi. Vtinam etiam, & hoc loco interrogare liceret Erasistratum, num artifex natura instrumentum, quo eiusmodi succus expurgetur, nullum condiderit, sed quibus lo- D tium expurgetur, instrumenta duo; quo flaua bilis, vnum neque id exiguum; qui verò iis malignior succus est, sanguini permixtus, in venis per totum vagetur. Quanquam dysenteria, si à nigra incipiat bile, mortifera est, inquit Hippocrates; non tamen, quæ à flaua incipit bile omninò mortifera est, sed plerique ex ea seruantur; tantò scilicet nimirum malignior, acriórque viribus nigra bilis, quàm flaua. An igitur nec reliquorum Hippocratis operum vllum legit Erasistratus, nec id quod de hominis natura est inscriptum, quò sic oscitanter inquisitionem de E succis prætereat? an nouit quidem, sed sua sponte pulcherrimam artis speculationem præteriit? Oportuerat igitur eum nec de liene aliquid dixisse, nec impudenter tam magnum instrumentum existimasse ab artificiosa natura frustra conditum. Atqui non solùm Hippocrates vel Plato, nihilò in speculatione naturæ inferiores, quàm Erasistratus viri, vnum esse id viscus ex iis, quæ sanguinem purgent, affirmant: sed etiam cum iis veterum, tum medicorum, tum philosophorum innumeri; quibus omnibus sapientiorem se simulans generosus Erasistratus eis nec F aduersatus est nec opinionis eorum omninò meminit. At verò, quibus corpus floret, his (inquit Hippocrates) lien minuitur; idem omnes, qui experientiam sequuntur, medici fatentur; præterea quibus viscus id magnum, & tumens augescit, his corpus minuit, & cacochymum reddit, quod ipsum quoque non Hippocrates modò, sed etiam Plato, multique alij, ac præterea em-

pirici concedunt. Iam regij morbi, qui à liene ægrotante ortum habent, nigriores sunt, itémque vlcerum cicatrices nigræ. Perpetuò enim vbi minùs, quàm iustum sit, melancholicum ad se humorem trahit, vt sanguis impurior, sic totum corpus redditur praui coloris. At quando minùs, quàm iustum est trahit? Nimirum quum malè est affectus. Tanquam igitur in renibus facultas ea, qua vrinam trahunt, vbi laborant, malè trahit, itidem lienis si insita vis illa, qua melancholicam qualitatem attrahere potest, aliquando sit imbecilla, malè hanc trahat, est necesse; atque interim crassior, & nigrior reddatur sanguis. Hæc igitur omnia, quum non modo ad cognoscendos, sed etiam ad sanandos morbos, maximum præstent vsum, Erasistratus omninò præteriit, ac tantos viros pro nullis se habere simulauit, is scilicet, qui nec leuissima omittit, sed vbique insulsissimas opiniones ambitiosè oppugnat. Quo manifestum est eum, quum nihil haberet, quod contra veteres diceret in iis, quæ de splenis vsu, actionéque pronunciarunt, nec ipse nouum aliquid inueniret, huc confugisse, vt omninò de iis taceret. At nos primùm quidem ex iis causis, quibus omnia in naturalibus administrantur, calido (dico) & frigido, & humido, & sicco; deinde ex iis, quæ euidenter in corpore apparent, frigidum quendam siccúmque succum debere esse monstrauimus. Vbi verò & quàm breuissimè fieri licuit, quæ veteribus demonstrata sunt, tum quòd is succus melancholicus sit, tum quòd lien id viscus sit, quod eum à sanguine expurget, recensuerimus, deinceps ad ea, quæ propositæ disputationis sunt reliqua veniamus. Reliquum autem quidnam sit aliud, quàm clarè exponere, quid tandem velint, demonstréntque veteres de humorum generatione accidere? Porrò id luculentiùs intelligetur exemplo. Ergo vinum mihi dulce, quod non dudum ab vuis sit expressum feruens, & alterascens ex eo, quem in se habet, calore intellige; postea ex eius mutatione duo prouenire excrementa, alterum leuius, magísque aëreum, alterum grauius, ac magis terreum; quorum illud florem, hoc fæcem arbitror vocant. Horum si alteri flauam bilem, alteri nigram assimiles, minimè pecces; quando non eandem habent hi succi speciem, quum animans naturæ operâ regitur, qualem cum præter naturam se habet, sæpè exhibent. Quippè quæ flaua est, efficitur vitellina; ita enim nominant, quoniam ouorum vitellis, tum colore, tum crassitudine sit assimilis. Rursus nigra longè quoque malignior ea quæ naturalis est, redditur; non tamen tali succo nullum est inditum; nisi quod aliqui vel radentem eum vel acidum appellarunt, quoniam acris in morem aceti fit, & corpus animalis radit, & etiam terram, si supra eam sit effusus, quandámque cum bullis veluti fermentationem, ebullitionémque excitat, vbi scilicet adscititia putredo nigro illi succo naturaliter se habenti accessit. Mihíque videntur veterum medicorúmque plerique id, quod è tali succo naturaliter se habet, quod & infra deiicitur, & sæpè supra fluitat, atrum vocare succum, non atram bilem; quod verò ex vstione quapiam, ac putredine in acidam migrauit qualitatem, id atram nuncupare bilem.

A πειρίας ὁμολογοῦσιν ἰατροί. καὶ ἀπὸ σπληνὸς δὲ κακοπραγοῦντος ἴκτεροι, μελάντεροι, καὶ τῶν ἑλκῶν αἱ οὐλαὶ, μέλαιναι. καθόλου γὰρ ὅταν ἐνδεέστερον ἢ προσῆκεν εἰς ἑαυτὸν ἕλκῃ τὸν μελαγχολικὸν χυμὸν, ἀκάθαρτον μὲν τὸ αἷμα, κακόχροον δὲ τὸ πᾶν γίνεται σῶμα. πότε δ᾽ ἐνδεέστερον ἕλκει; ἢ δηλονότι κακῶς διακείμενος; ὥσπερ οὖν ἐν τοῖς νεφροῖς ἐνεργείας οὔσης ἕλκειν τὰ οὖρα, εἰ κακῶς ἕλκειν ὑπάρχει κακοπραγοῦσιν, οὕτω καὶ τῷ σπληνὶ ποιότητος μελαγχολικῆς ἑλκτικὴν ἑαυτῷ δύναμιν ἔχοντι σύμφυτον, ἀρρωστήσαντί ποτε, ταύτην ἀναγκαῖον ἕλκειν κακῶς, κἀν τῷδε παχύτερον ἤδη, καὶ μελάντερον γίνεσθαι τὸ αἷμα. B ταῦτ᾽ οὖν ἅπαντα πρός τε τὰς διαγνώσεις τῶν νοσημάτων, καὶ τὰς ἰάσεις, μεγίστην παρεχόμενα χρείαν, ὑπερεπήδησε τελέως ὁ Ερασίστρατος, καὶ καταφρονεῖν προσεποιήσατο τηλικούτων ἀνδρῶν. ὁ μηδὲ τῶν τυχόντων καταφρονῶν, ἀλλ᾽ ἀεὶ φιλοτίμως ἀντιλέγων ταῖς ἠλιθιωτάταις δόξαις, ᾧ δῆλον, ὡς οὐδὲν ἔχων, οὔτ᾽ ἀντειπεῖν τοῖς πρεσβυτέροις. ὑπὲρ ὧν ἀπεφήνατο περὶ σπληνὸς ἐνεργείας τε, καὶ χρείας, οὔτ᾽ αὐτὸς ἐξευρίσκων τι καινὸν, εἰς τὸ μηδὲν ὅλως εἰπεῖν, ἀφίκετο. ἀλλ᾽ ἡμεῖς γε πρῶτον μὲν ἐκ τῶν αἰτίων οἷς ἅπαντα διοικεῖται τὰ κατὰ τὰς C φύσεις, τοῦ θερμοῦ λέγω, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ. δεύτερον δ᾽ ἐξ αὐτῶν τῶν ἐναργῶς φαινομένων κατὰ τὸ σῶμα, ψυχρὸν καὶ ξηρὸν εἶναί τινα χρῆναι χυμὸν ἀπεδείξαμεν. ἑξῆς δὲ ὅτι μελαγχολικὸς οὗτος ὑπάρχει, καὶ τὸ καθαῖρον αὐτὸ σπλάγχνον, ὁ σπλήν ἐστιν, διὰ βραχέων ὡς ἔνι μάλιστα τῶν τοῖς παλαιοῖς ἀποδεδειγμένων ἀναμνήσαντες; ἐπὶ τὸ λοιπὸν ἔτι τοῖς παροῦσι λόγοις ἀφιξόμεθα. τί δ᾽ ἂν εἴη λοιπὸν ἄλλο γε, ἢ ἐξηγήσασθαι σαφῶς, οἷόν τι βούλονταί τε; καὶ ἀποδεικνύουσι περὶ τὴν τῶν χυμῶν γένεσιν οἱ παλαιοὶ συμβαίνειν. ἐναργέστερον δ᾽ ἂν γνωσθείη διὰ παραδείγματος. D οἶνόν δή μοι νόει γλυκὺν, οὐ πρὸ πολλοῦ τῶν σταφυλῶν ἐκτεθλιμμένον, ζέοντά τε, καὶ ἀλλοιούμενον ὑπὸ τῆς ἐν αὐτῷ θερμασίας. ἔπειτα κατὰ τὴν αὐτοῦ μεταβολὴν δύο γεννώμενα περιττώματα, τὸ μὲν κουφότερόν τε, καὶ ἀερωδέστερον, τὸ δὲ βαρύτερόν τε, καὶ γεωδέστερον, ὧν τὸ μὲν ἄνθος, οἶμαι, τὸ δὲ τρύγα καλοῦσι. τούτων τῷ μὲν ἑτέρῳ, τὴν ξανθὴν χολὴν, τῷ δ᾽ ἑτέρῳ τὴν μέλαιναν εἰκάζων, οὐκ ἂν ἁμάρτοις, οὐ τὴν αὐτὴν ἐχόντων ἰδέαν τῶν χυμῶν τούτων ἐν τῷ κατὰ φύσιν διοικεῖσθαι τὸ ζῶον, οἵαν καὶ τὸ παρὰ φύσιν ἔχοντες, E ἐπιφαίνονται πολλάκις. ἡ μὲν γὰρ ξανθὴ, λεκιθώδης γίνεται· καὶ γὰρ ὀνομάζουσιν οὕτως αὐτὴν, ὅτι ταῖς τῶν ὠῶν λεκίθοις ὁμοιοῦται κατά γε χρόαν, καὶ πάχος. ἡ δ᾽ αὖ μέλαινα κακοηθεστέρα μὲν πολὺ, καὶ αὐτὴ τῆς κατὰ φύσιν. ὄνομα δ᾽ οὐδὲν ἴδιον κεῖται τῷ τοιούτῳ χυμῷ, πλὴν εἴπου τινὲς, ἢ ξυστικὸν, ἢ ὀξώδη κεκλήκασιν αὐτόν. ὅτι καὶ δριμὺς ὁμοίως ὄξει γίγνεται, καὶ ξύει γε τὸ σῶμα τοῦ ζώου, καὶ τὴν γῆν, εἰ κατ᾽ αὐτῆς ἐκχυθείη, καί τινα μετὰ πομφολύγων οἷον ζύμωσίν τε, καὶ ζέσιν ἐργάζεται, σηπεδόνος ἐπικτήτου προσελθούσης ἐκείνῳ τῷ F κατὰ φύσιν ἔχοντι χυμῷ τῷ μέλανι. καί μοι δοκοῦσιν οἱ πλεῖστοι τῶν παλαιῶν ἰατρῶν, αὐτὸ μὲν τὸ κατὰ φύσιν ἔχον τοῦ τοιούτου χυμοῦ, καὶ διαχωροῦν κάτω, καὶ πολλάκις ἐπιπολάζον ἄνω, μέλανα καλεῖν χυμὸν, οὐ μέλαιναν χολήν. τὸ δ᾽ ἐκ συγκαύσεώς τινος, καὶ σηπεδόνος εἰς τὴν ὀξεῖαν μεθιστάμενον ποιότητα, μέλαιναν ὀνομάζειν χολήν.

ἀλλὰ περὶ μὲν τῶν ὀνομάτων, οὐ χρὴ διαφέρεσθαι, τὸ δ᾽ ἀλη-
θὲς ὧδ᾽ ἔχον εἰδέναι. κατὰ τὴν τοῦ αἵματος γένεσιν, ὅσον ἂν ἱκα-
νῶς παχὺ καὶ γεῶδες, ἐκ τῆς τῶν σιτίων φύσεως ἐμφερόμενον
τῇ τροφῇ, μὴ δέξηται καλῶς τὴν ἐκ τῆς ἐμφύτου θερμα-
σίας ἀλλοίωσιν, ὁ σπλὴν εἰς ἑαυτὸν ἕλκει τοῦτο. τὸ δ᾽ ὀπτη-
θὲν ὡς ἄν τις εἴποι, καὶ συγκαυθὲν τῆς τροφῆς, εἴη ἂν τοῦτο
τὸ θερμότατον ἐν αὐτῇ, καὶ γλυκύτατον, οἷόν τε μέλι, καὶ ἡ
πιμελή, ξανθὴ γινόμενον χολή, διὰ τῶν χοληδόχων ὀνομα-
ζομένων ἀγγείων ἐκκαθαίρεται. λεπτὸν δέ ἐστι τοῦτο, καὶ ὑγρόν,
καὶ ῥυτόν, οὐχ ὥσπερ ὅταν ὑπεροπτηθὲν ἐσχάτως, ξανθὸν καὶ
πυρῶδες, καὶ παχὺ γένηται τοῖς τῶν ᾠῶν ὅμοιον λεκίθοις.
τοῦτο μὲν γὰρ ἤδη παρὰ φύσιν. θάτερον δὲ τὸ πρότερον εἰρη-
μένον κατὰ φύσιν ἐστίν, ὥσπερ γε καὶ τοῦ μέλανος χυμοῦ, τὸ μὲν
μήπω τὴν οἰκείαν ζέσιν τε, καὶ ζύμωσιν τῆς γῆς ἐργαζόμενον,
κατὰ φύσιν ἐστί. τὸ δ᾽ εἰς τοιαύτην μεθιστάμενον ἰδέαν τε, καὶ
δύναμιν, ἤδη παρὰ φύσιν, ὡς ἂν τὴν ἐκ τῆς συγκαύσεως
τοῦ παρὰ φύσιν θερμοῦ προσειληφὼς δριμύτητα, καὶ οἷον τέ-
φρα τις ἤδη γεγονός, ὧδέ πως καὶ ἡ κεκαυμένη τρὺξ τῆς ἀκαύ-
στου διήνεγκε. θερμὸν γάρ τοι χρῆμα αὕτη ἱκανῶς ἐστιν, ὥστε
καίειν, καὶ τήκειν, καὶ διαφθείρειν τὴν σάρκα. τῇ δ᾽ ἑτέρᾳ, τῇ
μήπω κεκαυμένῃ, τοὺς ἰατροὺς ἐστὶν εὑρεῖν χρωμένους, εἰς ὅσα
περ καὶ τῇ γῇ τῇ καλουμένῃ κεραμίτιδι, καὶ τοῖς ἄλλοις ὅσα
ξηραίνειν τε, καὶ ψύχειν ἅμα πέφυκεν, εἰς τὴν τῆς οὕτω συγ-
καυθείσης μελαίνης χολῆς ἰδέαν. καὶ ἡ λεκιθώδης ἐκείνη με-
θίσταται πολλάκις, ὅταν καὶ αὐτὴ ποθ᾽ οἷον ὀπτηθεῖσα τύχοι πυ-
ρώδει θερμασίᾳ. τὰ δ᾽ ἄλλα τῶν χολῶν εἴδη ξύμπαντα, τὰ
μὲν ἐκ τῆς τῶν εἰρημένων κράσεως γίγνεται, τὰ δ᾽ οἷον ὁδοί
τινές εἰσι τῆς τούτων γενέσεώς τε, καὶ εἰς ἄλληλα μεταβο-
λῆς. διαφέρουσι δὲ τῷ τὰς μὲν ἀκράτους εἶναι καὶ μόνας, τὰς
δ᾽ οἷον ὀρροῖς τισιν ἐξυγρασμένας. ἀλλ᾽ οἱ μὲν ὀρροὶ, τῶν χυμῶν
ἅπαντες περιττώματα, καὶ καθαρὸν αὐτῶν εἶναι δεῖται τοῦ ζῴου
τὸ σῶμα. τῶν δ᾽ εἰρημένων ἐστί τις χρεία τῇ φύσει, καὶ τοῦ πα-
χέος, καὶ λεπτοῦ. καὶ καθαίρεται πρός τε τοῦ σπληνός, καὶ τῆς
ἐπὶ τῷ ἥπατι κύστεως τὸ αἷμα, καὶ ἀποτίθεται τοσοῦτόν τε, καὶ
τοιοῦτον ἑκατέρου μέρος, ὅσον καὶ οἷον εἴπερ εἰς ὅλον ἠνέχθη
τοῦ ζῴου τὸ σῶμα, βλάβην τιναοῦν εἰργάσατο. τὸ γὰρ ἱκα-
νῶς παχὺ καὶ γεῶδες, καὶ τελέως διαπεφευγὸς τὴν ἐν τῷ
ἥπατι μεταβολήν, ὁ σπλὴν εἰς ἑαυτὸν ἕλκει. τὸ δ᾽ ἄλλο τὸ
μετρίως παχύ, σὺν τῷ κατειργάσθαι, πάντῃ φέρεται.
δεῖται γὰρ ἐν πολλοῖς τοῦ ζῴου μορίοις παχύτητός τινος, τὸ
αἷμα καθάπερ, οἶμαι, καὶ τῶν ἐμφερομένων ἰνῶν. καὶ εἴρηται
μὲν καὶ Πλάτωνι περὶ τῆς χρείας αὐτῶν. εἰρήσεται δὲ καὶ ἡμῖν
ἐν ἐκείνοις τοῖς γράμμασιν, ἐν οἷς ἂν τὰς χρείας τῶν μο-
ρίων διεξερχώμεθα. δεῖται δὲ οὐχ ἥκιστα, καὶ τοῦ ξανθοῦ χυ-
μοῦ, μήπω πυρώδους ἐσχάτως γεγενημένου, τὸ αἷμα. τίς καὶ
τίς αὐτῶν, καὶ ἡ παρὰ τοῦδε χρεία, δι᾽ ἐκείνων εἰρήσεται.
φλέγματος δ᾽ οὐδὲν ἐποίησεν ἡ φύσις ὄργανον καθαρτικόν,
ὅτι ψυχρόν, καὶ ὑγρόν ἐστι, καὶ οἷον ἡμίπεπτός τις τροφή. δεῖται
τοίνυν οὐ κενοῦσθαι τὸ τοιοῦτον, ἀλλ᾽ ἐν τῷ σώματι μένον ἀλ-
λοιοῦσθαι. τὸ δ᾽ ἐξ ἐγκεφάλου καταρρέον περίττωμα, τάχα
μὲν ἂν, οὐδὲ φλέγμα τις ὀρθῶς, ἀλλὰ βλένναν τε, καὶ κόρυ-
ζαν, ὥσπερ οὖν καὶ ὀνομάζεται, καλοίη. εἰ δὲ μή, ἀλλ᾽ ὅτι γε
τῆς τούτου κενώσεως ὀρθῶς ἡ φύσις προὐνοήσατο, καὶ τοῦτ᾽ ἐν
τοῖς περὶ χρείας μορίων εἰρήσεται. καὶ γὰρ οὖν καὶ τὸ κατὰ τὴν
γαστέρα τε, καὶ τὰ ἔντερα συνιστάμενον φλέγμα, ὅπως ἂν ἐκ-
κενῷτο καὶ αὐτό, μάλιστά τε καὶ τάχιστα προεσκευασμένον τῇ

A Cæterùm de nominibus habenda controuerſia non eſt, ſed veritatem ſic ſe habere intelligendum. In ſanguine generando quicquid abundè craſſum, ac terreum ex ciborum natura in nutrimento fertur, nec commodè à naturali calore alteratur, id lien ad ſe trahit; quod verò aſſum (vt ſic dicam) vſtúmque nutrimenti eſt (fuerit ſanè hoc calidiſſimum in eo, ac dulciſſimum, qualia ſunt, tum mel, tum adeps) id dum flaua bilis factum eſt, per fellis vocata vaſa expurgatur. Eſt autem hoc tenue, humidúmque & fluidum, non quale quum ad vltimum eſt excoctum, flauum igneum, & craſſum, vitellis ouorum ſimile; hoc namque iam præter na-
B turam eſt; alterum verò, quod prius memorauimus, eſt ſecundum naturam. Pari modo, & id nigri ſucci, quod nondum illam velut ebullitionem, fermentationémque terræ efficit, eſt naturale; quod autem in talem mutatum eſt vim ac ſpeciem, id iam præter naturam eſt, ceu quod ex vſtione non naturalis caloris acrimoniam aſciuerit, ac veluti cinis quidam ſit redditum. Sic quodammodo, & fæx vſta à non vſta diſſidet; illa namque ſatis calida eſt, vt carnem vrat, liquet, ac corrumpat; altera quæ nondum eſt vſta, ad omnia medicos vti deprehendas, ad quæ terra figulari, aliiſque,
C quæ ſimul ſiccandi, ac refrigerandi facultatem habent. Sanè in atræ bilis ſic vſtæ ſpeciem, etiam vitellina illa ſubinde vertitur, quoties ipſa quoque igneo percocta eſt calore. Reliqua bilis genera partim ex iam dictorum mixtione conſtãt vniuerſa; partim tanquam viæ quædam ſunt ad harum tum generationem, tum inter ſe mutationem. Diſtant autem inter ſe, quòd aliæ meracæ ſunt ac ſolæ, aliæ veluti ſero quodam imbutæ. Verùm ſeri genera omnia, quæ in ſuccis habentur, ſunt excrementa; purúmque ab iis eſſe poſtulat animalis corpus; ea verò, quæ prædicta ſunt, vſum aliquem naturæ conferunt, & quod craſſum eſt, &
D quod tenue. Purgatúrque ab iis ſanguis, tum per lienem, tum per eam, quæ iecinori ſubeſt, veſicam; ac ſeponitur vtriuſque partis tanta taliſque portio, quanta qualiſque ſi in totum ferretur animalis corpus, noxam aliquam inferret. Quod enim admodum eſt craſſum, & terreum, ac prorſus eam, quæ in iecinore fit, mutationem ſubterfugit, lien ad ſe trahit, reliquum, quod mediocri eſt craſſitudine, id & abſolutum iam eſt, & in omnem partem fertur. Requirit enim ſanguis in non paucis animalis partibus craſſitudinem quandam, æquè (arbitror) vt quæ in ipſo feruntur, fibras.
E Ac dictum quidem de vſu earum etiam à Platone eſt; dicetur autem de iis, & à nobis in illis voluminibus, quibus vſum partium perſequimur. Poſtulat non in poſtremis ſanguis, & flauum ſuccum, qui tamen adhuc igneus ad vltimum effectus non eſt; ac, quis illi accedat ad hoc vſus, in illis voluminibus docebitur. Sanè, quod pituitam expurget, natura nullum inſtrumentum condidit; propterea, quòd frigida humidáque eſt, ac veluti ex dimidio coctum nutrimentum. Deſiderat igitur talis ſuccus non vtique vacuari, ſed in corpore manens alterari. Excrementum verò,
F quod à cerebro deſtillat, fortaſſe nec pituitam quis rectè appellet, ſed, ſicut & nominari ſolet, mucum & grauedinem. Sin aliter, quòd ſaltem huic vacuando natura rectè proſpexit, id quoque in libris de vſu partium tradetur, quinetiam, quemadmodum, quæ in ventriculo, & inteſtinis conſiſtit pituita, commodiſſimè, ac celerrimè vacuetur,

naturæ artificium in iisdem voluminibus monstrabitur. Quod igitur in venis pituitæ fertur, quum sit animalibus ex vsu, nulla vacuatione eget. Sanè aduertere hoc loco, ac scire oportet; tanquam ex bilis generibus aliud vtile naturaléque in animalibus est, aliud inutile, ac præter naturam; sic pituitæ, quod dulce est, id salutare esse animanti, & naturale; quod acidum salsúmque est, acidum quidem omninò crudum esse, salsum computruisse. Porrò absoluta cruditas pituitæ intelligenda est, in concoctione secunda, quæ videlicet in venis agitur; non autem in prima quæ in ventriculo perficitur, quum si hanc effugiat, ne succus quidem omninò esset. His mihi satis admonuisse videor, quæ de generatione & corruptione succorum ab Hippocrate, Aristotele, Praxagora, Diocle, aliisque veterum multis sunt dicta; neque enim omnia in hunc librum transferenda censui, quæ ab illis ad absolutionem sunt præscripta. Tantum verò de singulis solùm dixi, quantum legentes ad antiquorum euoluenda scripta, nisi sint omninò rudes, excitet, ac quò faciliùs, cum iis versentur, auxilium præstet. Porrò scripsimus, & alio libro de succis, sub auctore Praxagora Nicarchi filio. Etsi enim is decem maximè præter sanguinem faciat (quippe sanguis ipse vndecimus sit) tamen ab Hippocratis doctrina non recedit; sed qui ab illo simul omnes cum propriis demonstrationibus primi dicti succi sunt, hos in species quasdam differentiásque diducit. Ac laudare quidem par est tum eos, qui explanarunt, quæ rectè sunt dicta; tum verò, qui siquid omissum est, id supplerunt; non enim fieri potest, vt idem incipiat, ac perficiat; contra culpare, & eos qui adeò sunt delicati, vt nihil discere eorum, quæ commodè dicta sunt, sustineant; & qui adeò sunt ambitiosi, vt studio nouorum dogmatum semper aliquid astutè texant, & cauillentur, partim spontè aliquid prætereuntes, qualiter Erasistratus in succis fecit, partim callidè oppugnantes, veluti tum hic ipse, tum alij iuniorum non pauci. Cæterùm hic liber hoc loco receptui canat; quicquid superest, id totum in tertio adijcietur.

φύσεως μηχάνημα δι' ἐκείνων εἰρήσεται, καὶ αὐτὸ τῶν ὑπομνημάτων. ὅσον οὖν ἐμφέρεται ταῖς φλεψὶ φλέγμα, χρήσιμον ὑπάρχον τοῖς ζώοις, οὐδὲ μιᾶς δεῖται κενώσεως. προσέχειν δὲ χρὴ κἀνταῦθα τὸν νοῦν, καὶ γινώσκειν, ὥσπερ τῶν χολῶν ἑκατέρας, τὸ μὲν τὸ χρήσιμον καὶ κατὰ φύσιν ἐν τοῖς ζώοις, τὸ δ' ἄχρηστόν τε, καὶ παρὰ φύσιν. οὕτω καὶ τοῦ φλέγματος, ὅσον μὲν ἂν ᾖ γλυκὺ, χρηστὸν μὲν εἶναι τοῦτο τῷ ζώῳ, καὶ κατὰ φύσιν. ὅσον δ' ὀξὺ, καὶ ἁλμυρὸν ἐγένετο, τὸ μὲν ὀξὺ, τελέως ἠπεπτῆσθαι, τὸ δ' ἁλμυρὸν διασεσῆφθαι. τελείαν δ' ἀπεψίαν φλέγματος ἀκούειν χρὴ τῆς δευτέρας πέψεως δηλονότι τῆς ἐν φλεψίν. οὐ γὰρ δὴ τῆς γε προτέρας τῆς κατὰ τὴν κοιλίαν, ἢ οὐδ' ἂν ἐγεγόνει τὴν ἀρχὴν χυμὸν, εἰ καὶ ταύτην διεπεφεύγει. ταῦτ' ἀρκεῖν μοι δοκεῖ περὶ γενέσεώς τε, καὶ διαφθορᾶς χυμῶν ὑπομνήματα εἶναι, τῶν Ἱπποκράτει τε, καὶ Πλάτωνι, καὶ Ἀριστοτέλει, καὶ Πραξαγόρᾳ, καὶ Διοκλεῖ, καὶ πολλοῖς ἄλλοις τῶν παλαιῶν εἰρημένων. οὐ γὰρ ἐδικαίωσα πάντα μεταφέρειν εἰς τόνδε τὸν λόγον αὐτὰ τελέως ἐκείνοις γεγραμμένα. τοσοῦτον δὲ μόνον ὑπὲρ ἑκάστου εἰπεῖν, ὅσον ἐξορμῆσαί τε τοὺς ἐντυγχάνοντας, εἰ μὴ παντάπασιν εἶεν σκαιοὶ, τοῖς τῶν παλαιῶν ἀνδρῶν ὁμιλῆσαι γράμμασι, καὶ τὴν εἰς τὸ ῥᾷον αὐτοῖς συνεῖναι, βοήθειαν παρέξει. γέγραπται δέ που, καὶ δι' ἑτέρου λόγου περὶ τῶν κατὰ Πραξαγόραν τὸν Νικάρχου χυμῶν. εἰ γὰρ καὶ ὅτι μάλιστα δέκα ποιεῖ, χωρὶς τοῦ αἵματος, ἑνδέκατος γὰρ ἂν εἴη χυμὸς αὐτὸ τὸ αἷμα, τῆς Ἱπποκράτους οὐκ ἀποχωρεῖ διδασκαλίας. ἀλλ' εἰς εἴδη τινὰ, καὶ διαφορὰς τέμνει τοὺς ὑπ' ἐκείνου πρώτου πάντας, ἅμα ταῖς οἰκείαις ἀποδείξεσιν εἰρημένους χυμούς. ἐπαινεῖν μὲν οὖν χρὴ τούς τ' ἐξηγησαμένους τὰ καλῶς εἰρημένα, καὶ τοὺς, εἴ τι παραλέλειπται προστιθέντας, οὐ γὰρ οἷόν τε τὸν αὐτὸν ἄρξασθαι, καὶ τελειῶσαι. μέμφεσθαι δὲ τοὺς οὕτως ἀπαλαιπώρους, ὡς μηδὲν ὑπομένειν μαθεῖν τῶν ὀρθῶς εἰρημένων, καὶ τοὺς εἰς τοσοῦτον φιλοτίμους, ὥστ' ἐπιθυμίᾳ νεωτέρων δογμάτων, ἀεὶ πανουργεῖν τι καὶ σοφίζεσθαι· τὰ μὲν ἑκόντι παραλιπόντας, ὥσπερ Ἐρασίστρατος ἐπὶ τῶν χυμῶν ἐποίησε, τὰ δὲ πανούργως ἀντιλέγοντας, ὥσπερ οὗτός τ' αὐτὸς, καὶ ἄλλοι πολλοὶ τῶν νεωτέρων. ἀλλ' οὗτος μὲν ὁ λόγος ἐνταυθοῖ τελευτάτω, τὸ δ' ὑπόλοιπον ἅπαν ἐν τῷ τρίτῳ προσθήσω.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΥΝΑΜΕΩΝ ΦΥΣΙΚΩΝ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

GALENI DE NATVRALIBVS FACVLTATIBVS LIBER TERTIVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΤΡΙΤΩι.

Περὶ τῆς καθεκτικῆς, καὶ τῆς ἀποκριτικῆς δυνάμεως λέγει, καὶ περὶ τῆς τῶν φυσικῶν δυνάμεων πρὸς ἀλλήλας ἀκολουθίας.

ARGVMENTVM LIBRI TERTII.

De retentrice ac expultrice facultate pertractat, ac de mutua facultatum naturalium consequutione.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῆς ἀνάγκης τῆς καθεκτικῆς δυνάμεως.

ΟΤΙ μὲν οὖν ἡ θρέψις ἀλλοιουμένου τε, καὶ ὁμοιουμένου γίνεται τοῦ τρέφοντος τῷ τρεφομένῳ, καὶ ὡς ἐν ἑκάστῳ τῶν τοῦ ζῴου μορίων ἐστί τις δύναμις, ἣν ἀπὸ τῆς ἐνεργείας, ἀλλοιωτικὴν μὲν κατὰ γένος, ὁμοιωτικὴν δὲ καὶ θρεπτικὴν κατ᾽ εἶδος ὀνομάζομεν, ἐν τῷ πρόσθεν δεδήλωται λόγῳ. τὴν δ᾽ εὐπορίαν τῆς ὕλης, ἣν τροφὴν ἑαυτῷ ποιεῖται τὸ τρεφόμενον, ἐξ ἑτέρας τινὸς ἔχειν ἐδείκνυτο δυνάμεως ἐπισπᾶσθαι πεφυκυίας τὸν οἰκεῖον χυμόν. εἶναι δ᾽ οἰκεῖον ἑκάστῳ τῶν μορίων χυμόν, ὃς ἂν ἐπιτηδειότατος εἰς τὴν ἐξομοίωσιν ᾖ, καὶ τὴν ἕλκουσαν αὐτὸν δύναμιν ἀπὸ τῆς ἐνεργείας ἑλκτικήν γέ τινα, καὶ ἐπισπαστικὴν ὀνομάζεσθαι. δέδεικται δὲ καὶ ὡς πρὸ μὲν τῆς ὁμοιώσεως ἡ πρόσφυσίς ἐστιν. ἐκείνης δ᾽ ἔμπροσθεν ἡ πρόσθεσις γίγνεται, τέλος ὡς ἂν εἴποι τις οὖσα τῆς κατὰ τὴν ἐπισπαστικὴν δύναμιν ἐνεργείας. αὐτὸ μὲν γὰρ τὸ παράγεσθαι τὴν τροφὴν ἐκ τῶν φλεβῶν εἰς ἕκαστον τῶν μορίων, τῆς ἑλκτικῆς ἐνεργούσης γίγνεται δυνάμεως. τὸ δ᾽ ἤδη παρῆχθαί τε καὶ προστίθεσθαι τῷ μορίῳ, τὸ τέλος ἐστὶν αὐτό, δι᾽ ὃ καὶ τῆς τοιαύτης ἐνεργείας ἐδεήθημεν. ἵνα γὰρ προστεθῇ, διὰ τοῦθ᾽ ἕλκεται. χρόνου δ᾽ ἐντεῦθεν ἤδη πλείονος εἰς τὴν θρέψιν τοῦ ζῴου δεῖ. ἑλχθῆναι μὲν γὰρ καὶ διὰ ταχέων τι δύναται. προσφυῆναι δὲ καὶ ἀλλοιωθῆναι, καὶ τελέως ὁμοιωθῆναι τῷ τρεφομένῳ, καὶ μέρος αὐτοῦ γενέσθαι, παραχρῆμα μὲν οὐχ οἷόν τε, χρόνῳ δ᾽ ἂν πλείονι συμβαίνῃ καλῶς. ἀλλ᾽ εἰ μὴ μένοι κατὰ τὸ μέρος ὁ προστεθεὶς οὗτος χυμός, εἰς ἕτερον δέ τι μεθίσταται, καὶ παραῤῥέει διὰ

CAPVT PRIMVM.

De necessitate Retentricis facultatis.

AC quod quidem nutritio fit, quum id, quod nutrit, alteratur, & ei quod nutritur simile fit: tum quòd in quaque animalis particula facultas quædam insit, quam ab actione ipsa generaliter alteratricem, speciatim verò assimilatricem nutricémque nominamus, in proximo indicatum est libro. Materiæ verò copiam, ex qua sibi nutrimentum facit quod nutritur, ex altera suppeditari facultate quæ conuenientem attrahere sibi succum natura sit habilis, est monstratum. Sed non minùs, esse conuenientem cuique parti succum, qui maximè, vt assimiletur, sit conueniens; tum quæ hunc ad se trahat, attractricem appellari. Indicatum præterea est, & ante assimilationem agglutinationem esse; hanc verò præcedere, appositionem. Hæc (vt sic dixerim) finis est actionis, quæ ab attrahente vi perficitur. Siquidem ipsa nutrimenti ex venis in singulas partes adductio, attrahentis facultatis est opus; adductum verò iam esse, ac parti apponi, ipse est finis, cuius scilicet causa eiusmodi actio est desiderata; quippe idcirco est attractio, vt sit appositio. Tempus tamen hîc ad animalis nutritionem adhuc maius requiritur. Attrahi namque breui tempore aliquid potest; adhærere, & alterari, & prorsus ei, quod nutritur, assimilari, ac pars eius effici, protinus non potest, tempore longiori commodè potest. At si appositus is succus in parte non quiescat, sed in alteram aliquam

transferatur, confluátque assiduè alium atque alium mutans locum, vtique in nullo eorum nec agglutinatio nec assimilatio erit. Est igitur hîc naturæ alia quadam facultate opus, quæ faciat vt qui appositus parti humor est, aliquandiu maneat; atque hac non extrinsecus accersitâ, sed in nutriendo ipso collocatâ; quam rursus ab ipsa functione maiores retentricem vocare sunt coacti. Ac eiusmodi quidem facultatis gignendæ necessitatem ratio iam clarè monstrauit; credétque vel inuitus ex iis quæ diximus quisquis percipiendi intelligentiam habet, quòd quum propositum sit, ac priùs monstratum naturam artificiosam esse, & animantis curam habere, necesse sit eiusmodi facultatem illi inesse.

CAPVT II.

Quæ corporis Partes facultatem Retentricem clariùs obtineant.

CÆterùm nos qui non hoc tantum demonstrationis genere soliti sumus vti, sed illi ex iis, quæ manifestè apparent, necessarias ac cogentes probationes adiicere, ad istiusmodi nunc conuertemur; monstrabimúsque in quibusdam corporis partibus adeò euidentem esse retentricem facultatem, vt ipsis sensibus agnosci eius actio possit, in aliquibus verò sensui quidem minus esse euidentem, ratione tamen in iis quoque facilè posse deprehendi. Ergo inde, quod docere promisimus, auspicemur, nempe à sumendis primùm methodo aliqua certis partibus, in quibus ad vnguem examinare disquireréque licebit, qualisnam demum retentrix vis sit. An igitur aliundè quis meliùs, quàm à maximis maximéque cauis instrumentis, inquisitionem incipiat? Mihi sanè non videtur, siquidem euidentes in iis credibile est propter amplitudinem eorum apparere actiones; quum fortassis in paruis, etiam si eam vim habeant vehementem, sensu tamen agnouisse actionem eius in promptu non sit. Porrò inter animalis partes maximè cauæ amplissimæque sunt ventriculus, & vterus, & quæ secundæ vocantur. Quid igitur prohibet, quominùs has proponentes, actiones earum æstimemus; ac earum, quæ ante dissectionem conspicuæ sunt, in nobismet ipsis examen ineamus; quæ verò obscuriores sunt, similia homini animalia dissecemus? Non quò non abundè, generalem saltem, quæsitæ facultatis notitiam etiam dissimilia ostendant, sed quò simul cum generali propriam quoque in nobis ipsis habentibus, ratio ad morbos tum dignoscendos, tum sanandos facilior suppetat. Ac quoniam de ambobus instrumentis simul dixisse non est, seorsum de vtroque sermonem instituemus ab eo auspicati, quod retentricem facultatem illustriùs monstrare possit. Retinet namque & venter cibum, quoad eum concoxerit; retinet porrò non minus & vterus fœtum, quoad hunc perfecerit; cæterùm longè diuturnius est tempus fœtus perficiendi, quàm cibi concoquendi.

πλυτὸς, ἀμείβων τε, καὶ ὑπαλλάττων τὰς χώρας, κατ' οὐδὲν αὐτῶν, οὔτε πρόσφυσις, οὔτ' ἐξομοίωσις ἔσται. δεῖ δὲ κἀνταῦθά τινος τῇ φύσει δυνάμεως ἑτέρας εἰς πολυχρόνιον μονὴν τοῦ προστεθέντος τῷ μορίῳ χυμοῦ, καὶ ταύτης οὐκ ἔξωθέν ποθεν ἐπιρρεούσης, ἀλλ' ἐν αὐτῷ τῷ θρεψομένῳ κατῳκισμένης, ἣν ἀπὸ τῆς ἐνεργείας πάλιν οἱ πρὸ ἡμῶν ἠναγκάσθησαν ὀνομάσαι καθεκτικήν. ὁ μὲν δὴ λόγος ἤδη σαφῶς ἐνεδείξατο τὴν ἀνάγκην τῆς γενέσεως τῆς τοιαύτης δυνάμεως. καὶ ὅστις ἀκολουθοῦσαν σύνεσιν ἔχει, πέπεισται βιαίως ἐξ ὧν εἴπομεν, ὡς ὑποκειμένου τε καὶ ἀποδεδειγμένου, τοῦ τεχνικὴν εἶναι τὴν φύσιν, καὶ τοῦ ζῴου κηδεμονικήν, ἀναγκαῖον ὑπάρχειν αὐτῇ, καὶ τὴν τοιαύτην δύναμιν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἅττα τοῦ σώματος μόρια τὴν καθεκτικὴν ἐναργῆ δύναμιν ἔχει.

ΑΛλ' ἡμεῖς οὐ τούτῳ μόνῳ τῷ γένει τῆς ἀποδείξεως εἰθισμένοι χρῆσθαι, προστιθέντες δὲ αὐτῷ, καὶ τὰς ἐκ τῶν ἐναργῶς φαινομένων ἀναγκαζούσας τε, καὶ βιαζομένας πίστεις, ἐπὶ τὰς τοιαύτας, καὶ νῦν ἀφιξόμεθα. καὶ δείξομεν ἐπὶ μέν τινων μορίων τοῦ σώματος, οὕτως ἐναργῆ τὴν καθεκτικὴν δύναμιν, ὡς αὐταῖς ταῖς αἰσθήσεσι διαγινώσκεσθαι τὴν ἐνέργειαν αὐτῆς. ἐπὶ δέ τινων, ἧττον μὲν ἐναργῶς ταῖς αἰσθήσεσι, λόγῳ δὲ κἀνταῦθα φωραθῆναι δυναμένην. ἀρξώμεθα οὖν τῆς διδασκαλίας ἀπ' αὐτοῦ τοῦ πρώτου, μεθόδῳ τινὶ προχειρίσασθαι μόρι' ἅττα τοῦ σώματος, ἐφ' ὧν ἀκριβῶς ἔστι βασανίσαι τε, καὶ ζητῆσαι τὴν καθεκτικὴν δύναμιν ὁποία ποτ' ἐστίν. ἆρ' οὖν ἄν τις ἄμεινον ἑτέρωθεν, ἢ ἀπὸ τῶν μεγίστων τε, καὶ κοιλοτάτων ὀργάνων ὑπάρξαιτο τῆς ζητήσεως; ἐμοὶ μὲν οὖν οὐκ ἂν δοκεῖ βέλτιον, ἐναργεῖς γοῦν εἰκὸς ἐπὶ τούτων φανῆναι τὰς ἐνεργείας διὰ τὸ μέγεθος, ὡς τά γε σμικρὰ τάχ' ἄν, εἰ καὶ σφοδρὰν ἔχει τὴν τοιαύτην δύναμιν, ἀλλ' οὐκ αἰσθητῇ γ' ἑτοίμην διαγινώσκεσθαι τὴν ἐνέργειαν αὐτῆς. ἀλλ' ἔστιν ἐν τοῖς μάλιστα κοιλότατα, καὶ μέγιστα τῶν τοῦ ζῴου μορίων, ἥ τε γαστὴρ, αἱ μῆτραί τε, καὶ αἱ ὑστέραι καλούμεναι. τί οὖν κωλύει ταῦτα προχειρισαμένους, ἐπισκέψασθαι τὰς ἐνεργείας αὐτῶν, ὅσαι μὲν καὶ πρὸ τῆς ἀνατομῆς δῆλαι, τὴν ἐξέτασιν ὑφ' ἡμῶν αὐτῶν ποιουμένους, ὅσαι δ' ἀμυδρότεραι, τὰ παραπλήσια διαιροῦντας ἀνθρώπῳ ζῷα; οὐχ ὡς οὐκ ἂν ἱκανῶς τό γε καθόλου περὶ τῆς ζητουμένης δυνάμεως, καὶ τῶν ἀνομοίων ἐνδειξαμένων, ἀλλ' ὅπως ἅμα τῷ κοινῷ, καὶ τὸ ἴδιον ἐφ' ἡμῶν αὐτῶν ἐγνωκότες, εἴς τε τὰς διαγνώσεις τῶν νοσημάτων αὐτῶν, καὶ τὰς ἰάσεις εὐπορώτεροι γιγνώμεθα. περὶ μὲν οὖν ἀμφοτέρων τῶν ὀργάνων ἅμα λέγειν ἀδύνατον. ἐν μέρει δ' ὑπὲρ ἑκατέρου ποιησόμεθα τὸν λόγον, ἀπὸ τοῦ σαφέστερον ἐνδείξασθαι δυναμένου τὴν καθεκτικὴν δύναμιν ἀρξάμενοι. κατέχει μὲν γὰρ καὶ ἡ γαστὴρ τὰ σιτία μέχρι περ ἂν ἐκπέψῃ. κατέχουσι δὲ καὶ αἱ μῆτραι τὸ ἔμβρυον, ἔστ' ἂν τελειώσωσιν. ἀλλὰ πολλαπλάσιός ἐστιν ὁ τῆς τῶν ἐμβρύων τελειώσεως χρόνος, τῆς τῶν σιτίων πέψεως.

A

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς καθεκτικῆς, καὶ τῆς προωστικῆς δυνάμεως τῆς μήτρας.

Εἰκὸς οὖν καὶ τὴν δύναμιν ἐναργέστερον ἐν ταῖς μήτραις φωρᾶσθαι ἡμᾶς τὴν καθεκτικήν, ὅσῳ καὶ πολυχρονιωτέραν τῆς γαστρὸς τὴν ἐνέργειαν κέκτηται. μησὶ γὰρ ἐννέα που ταῖς πλείσταις τῶν γυναικῶν, ἐν αὐταῖς τελειοῦνται τὰ κυήματα, μεμυκυίαις μὲν ἅπαντι τῷ αὐχένι, περιεχούσαις δὲ πάντοθεν αὐτὰ σὺν τῷ χορίῳ. καὶ πέρας γε τῆς τοῦ στόματος μύσεως, καὶ τῆς τοῦ κυουμένου κατὰ τὰς μήτρας μονῆς, ἡ χρεία τῆς ἐνεργείας B ἐστίν. οὐ γάρ, ὡς ἔτυχεν, οὐδ' ἀλόγως ἱκανὰς περιστέλλεσθαι, καὶ κατέχειν τὸ ἔμβρυον, ἡ φύσις ἀπειργάσατο τὰς ὑστέρας, ἀλλ' ἵν' εἰς τὸ πρέπον ἀφίκηται μέγεθος τὸ κυούμενον. ὅταν οὖν οὗ χάριν ἐνήργουν τῇ καθεκτικῇ δυνάμει συμπεπληρωμένον ᾖ, ταύτην μὲν ἀνέπαυσάν γε, καὶ εἰς ἠρεμίαν ἀνήγαγον. ἀντ' αὐτῆς δ' ἑτέρᾳ χρῶνται τῇ τέως ἡσυχαζούσῃ, τῇ προωστικῇ. ἦν δ' ἄρα καὶ τῆς ἐκείνης ἡσυχίας ὅρος, ἡ χρεία, καὶ τῆς γ' ἐνεργείας ὡσαύτως ἡ χρεία. καλούσης μὲν γὰρ αὐτῆς, ἐνεργεῖ, μὴ καλούσης δὲ ἡσυχάζει. καὶ χρὴ πάλιν κἀνταῦθα καταμαθεῖν τῆς φύσεως τὴν τέχνην, ὡς οὐ μόνον ἐνεργειῶν χρησίμων δυ- C νάμεις ἐνέθηκεν ἑκάστῳ τῶν ὀργάνων, ἀλλὰ καὶ τοὺς τῆς ἡσυχίας τε, καὶ κινήσεως καιροὺς προὐνοήσατο. καλῶς μὲν γὰρ ἁπάντων γιγνομένων τῶν κατὰ τὴν ὑστέραν, ἡ ἀποκριτικὴ δύναμις ἡσυχάζει τελέως, ὥσπερ οὐκ οὖσα. κακοπραγίας δέ τινος γενομένης, ἢ περὶ τὸ χορίον, ἢ περί τινα τῶν ἄλλων ὑμένων, ἢ περὶ τὸ κυούμενον αὐτό, καὶ τῆς τελειώσεως αὐτοῦ πάντάπασιν ἀπογνωσθείσης, οὐκέτ' ἀναμένουσι τὸν ἐννεάμηνον αἱ μῆτραι χρόνον, ἀλλ' ἡ μὲν καθεκτικὴ δύναμις αὐτίκα δὴ πέπαυται, καὶ παραχωρεῖ κινεῖσθαι τῇ πρότερον ἀργούσῃ. πράττει δ' ἤδη τι καὶ πραγματεύεται χρηστόν, ἡ ἀποκριτική τε καὶ προω- D στική, καὶ γὰρ οὖν καὶ ταύτην οὕτως ἐκαλέσαμεν ἀπὸ τῶν ἔργων αὐτῇ τὰ ὀνόματα θέμενοι, καθάπερ καὶ ταῖς ἄλλαις. καί πως ὁ λόγος ἔοικεν ὑπὲρ ἀμφοτέρων ἀποδείξειν ἅμα, καὶ γάρ τι καὶ διαδεχομένας αὐτὰς ἀλλήλας, καὶ παραχωρούσας ἀεὶ τὴν ἑτέραν τῇ λοιπῇ, καθότι ἂν ἡ χρεία κελεύῃ, καὶ τὴν διδασκαλίαν κοινὴν οὐκ ἀπεικός ἐστι δέχεσθαι. τῆς μὲν οὖν καθεκτικῆς δυνάμεως ἔργον, περιστεῖλαι τὰς μήτρας τῷ κυουμένῳ πανταχόθεν, ὡς εὐλόγως ἁπτομέναις μὲν ταῖς μαιευτρίαις, τὸ στόμα μεμυκὸς αὐτῶν φαίνεσθαι, καὶ ταῖς κυούσαις δ' αὐταῖς κατὰ τὰς πρώτας ἡμέρας, καὶ μάλιστα κατ' αὐτὴν E ἐκείνην ἐν ᾗ περ ἄν, ἡ τῆς γονῆς σύλληψις γίνηται, κινουμένων τε καὶ συντρεχουσῶν εἰς ἑαυτὰς τῶν ὑστερῶν αἴσθησις γίνεται. καὶ ἢν ἄμφω ταῦτα συμβαίνῃ, μῦσαι μὲν τὸ στόμα χωρὶς φλεγμονῆς, ἤ τινος ἄλλου παθήματος, αἴσθησιν δὲ τῆς κατὰ τὴν μήτραν κινήσεως ἀκολουθῆσαι πρὸς αὐτάς, ἤδη τὸ σπέρμα τὸ παρὰ τοῦ ἀνδρὸς εἰληφέναι τε, καὶ κατέχειν αἱ γυναῖκες νομίζουσι. ταῦτα δ' οὐχ ἡμεῖς νῦν ἀναπλάττομεν αὐταῖς, ἀλλ' ἐκ μακρᾶς πείρας δοκιμασθέντα, πᾶσι γέγραπται σχεδόν τι τοῖς περὶ τούτων πραγματευσαμένοις. Ἡρόφιλός γε μήν, ὡς οὐδὲ πυρῆνα μήλης οὐκ ἂν δέξαιτο τῶν μητρῶν F τὸ στόμα, πρὶν ἀποκυῆσαι τὴν γυναῖκα, καὶ ὡς οὐδὲ τοὐλάχιστον ἔτι διέστηκε, πρὶν ὑπάρξηται κύειν, καὶ ὡς ἐπὶ πλέον ἀναστομοῦται κατὰ τὰς τῶν ἐπιμηνίων φοράς, οὐκ ὤκνησε γράφειν. συνομολογοῦσι δ' αὐτῷ, καὶ οἱ ἄλλοι πάντες, οἱ περὶ τούτων πραγματευσάμενοι, καὶ πρῶτός γε πάντων ἰατρῶν τε,

CAPVT III.

De Retentrice, ac Expultrice vteri facultate.

QVare verisimile est tantò clarius à nobis in vtero retentricem facultatem conspici posse, quantò diutius, quàm ventriculus, retinendi functionem exercet; quippe nouem mensibus plerisque mulieribus perficitur in vtero fœtus; qui tota quidem ceruice conniuet, complectitur autem fœtum vndique vnà cum secundis. Estque tum oris conniuentiæ, tum moræ fœtus in vtero, finis ipse actionis vsus; neque enim temerè, aut sine ratione condidit vterum natura, ad complectendum retinendúmque fœtum sufficientem, sed idcircò, vt quod gestatur, ad debitam perueniret magnitudinem. Ergo vt id completum est, cuius gratia retentrice facultate vterus est vsus, vtique hanc inhibet, ac cessare facit, propultrice, quæ hactenus quieuerat, loco eius assumpta. Sanè erat & quietis huius facultatis finis, ipse vsus; ita etiam actionis eiusdem finis, similiter ipse vsus; vtpotè quo excitante agat, non excitante quiescat. Licétque rursus hoc loco naturæ artem intelligere, quæ singulis instrumentis non solùm vtilium actionum facultates inseruit, verùm etiam quietis, & motionis opportunitatem præuidit. Siquidem succedentibus ritè omnibus, quæ in vtero fiunt, facultas expultrix, veluti nulla sit, ita omninò quiescit; improsperè autem cedentibus, vel circa secundas, vel cæterarum quampiam membranarum, vel circa ipsum, qui gestatur, fœtum, ac desperata prorsus eiusdem perfectione, non amplius expectat vterus nouem mensium temporis moram, imò retentrix facultas statim ab opere cessat, & ei quæ priùs quieuerat, moueri concedit. Porrò agit iam ac molitur salubre aliquid expultrix & propultrix facultas (ita enim & hanc appellarunt) ab opere scilicet, sicut & aliis, illi quoque nominibus impositis. Videtúrque disceptatio nostra de ambabus simul demonstrationem allatura; quippe quum sibi mutuò succedant; & altera alteri quum vsus postulat, semper cedat; etiam communem eas doctrinam sortiri non est absurdum. At retentricis facultatis opus est, prægnantium vteros vndique contrahere, vt non immeritò contrectantibus obstetricibus os eorum conniuere videatur. Iam verò prægnantes ipsæ primis diebus, potissimúmque eo ipso, quo semen est conceptum, moueri ac in se ipsum concurrere vterum sentiunt. Quòd si ambo hæc incidunt, vt & os vteri citra phlegmonem aliúmve affectum conniueat, & sentiatur deinde succedere vteri in se ipsum motus, iam semen à mare & cepisse se mulieres existimant, & retinere censent. Neque nos ista modò illis confingimus; sed longo vsu comprobata, ab omnibus ferè, qui de iis disseruere sunt prodita. Herophilus certè neque hæc scribere est grauatus, ne specilli quidem mucrorem admittere vteros ante, quàm mulier pariat; prætereà ne vel minimum quidem hiscere, vbi conceperint, laxiùs autem recludi, quum menses profluunt. Huic astipulantur, & reliqui omnes, qui de his tractauerunt; primúsque omnium non medicorum modò,

ſed etiam philoſophorum, Hippocrates conniuere os vteri, tum conceptibus, tum phlegmonis, pronunciauit; cæterùm in conceptibus ſeruato naturali habitu; in phlegmonis verò in durum mutato. At ſub expultrice, quæ contraria iam dictæ facultas eſt, os quidem eius aperitur; fundum autem vniuerſum, quàm poteſt proximè, ad os deſcendit, fœtum propellens foràs; vnà verò cum fundo etiam, quæ continentes partes ſunt, quæ ſcilicet veluti latera totius inſtrumenti ſunt, ſuppetias in toto opere ferentes trudunt, propellúntque fœtum foràs vniuerſum. Non paucis quoque mulierum, quæ vtique immodicè huiuſmodi facultate ſunt vſæ, violenti dolores totum vterum excidere ſubegerunt, ſimili quodam in his accidente ei, quod in lucta, & contentione ſæpe viſitur, quando qui alios euertere deijceréque nituntur, ipſi vnà concidunt; ita namque vterus, dum fœtum extrudit, ipſe aliquando ſimul excidit, potiſſimum quum eius ad ſpinam ligamenta naturaliter ſunt laxa. Eſt porrò & illud miro naturæ conſilio prouiſum, quòd viuente fœtu vteri os ad vnguem conniuet; mortuo verò tantum ſtatim aperitur, quantum ad exitum ſit ex vſu. Quin etiam obſtetrices ipſæ non illicò parturientes ſurgere iubent, nec in ſella collocant; imò prius os vteri, quod paulatim ſe aperit tangunt; ac primùm quidem ſic, vt paruum digitum in id dimittas, hiſcere dicunt, poſtea verò etiam magis; parua autem interpoſita mora percontantibus nobis reſpondent dehiſcentis eius modum auctum; poſtea verò quàm ad fœtus tranſitum ſatis patet, ſurgere mulierem iubent, & in ſubſellio collocant, ac ad expellendum ſtrenuè fœtum ſe paret, adhortantur. Eſt porrò id opus, quod à ſe ipſis præſtant parientes, non vteri, ſed muſculorum qui ſunt in abdomine; qui ſcilicet tum ad deiectionem, tum ad reddendam vrinam nobis ſunt auxilio. Atque ita quidem in vtero duæ iam memoratæ facultates apparent.

CAPVT IV.

De Ventriculi Retentrice, ac Expultrice.

IN ventre verò ad hunc modum; primùm quidem ex fluctuantis humoris ſonitu, qui medicis imbecilli ventris ſymptoma creditur; & certè cum ratione creditur. Interim enim quum minimum ciborum aſſumpſimus, non fiunt, complectente prorſus eos ventre, ac vndique conſtringente; interim plenus cibo venter eſt, ſonitus tamen fluctuantis in eo humoris, veluti ex vacuo, exaudiuntur. Quum enim pro ſua natura ſe habet, ac retentrice vi ritè vtitur, quamlibet exiguum ſit, quod in ſe continet, totum id vndique complexus, nullum vacuum relinquit locum, quum imbecillus eſt, quacunque parte exactè complecti aſſumpta non valet, hic laxum quoddam ſpacium efficiens, permittit ea, quæ in ſe continet humida, pro figurarum varietate ex alio loco in alium tranſire, ac fluctuationum ſonitus edere. Rationabile itaque eſt, qui hoc ſymptomate laborant, ne concoctionem quidem ſufficientem ſperare. neque enim poteſt, qui imbecillus venter eſt, probè concoquere. Porrò talibus etiam diutius in ventre manere grauitas videtur, vt qui etiam tardius concoquant. Iam mirari licet in his maximè diuturnam in ventriculo moram, non ciborum modò, verùm etiam potionis.

καὶ φιλοσόφων Ἱπποκράτης ἀπεφήνατο μύειν τὸ στόμα τῶν ὑστερῶν, ἔν τε ταῖς κυήσεσι, καὶ ταῖς φλεγμοναῖς. ἀλλ' ἐν μὲν ταῖς κυήσεσιν οὐκ ἐξιστάμενον τῆς φύσεως, ἐν δὲ ταῖς φλεγμοναῖς σκληρὸν γιγνόμενον. ἐπὶ δέ γε τῆς ἐναντίας τῆς ἐκκριτικῆς, ἀνοίγνυται μὲν τὸ στόμα, προέρχεται δ' ὁ πυθμὴν ἅπας, ὅσον οἷόν τ' ἐγγυτάτω τοῦ στόματος ἀπωθούμενος ἔξω τὸ ἔμβρυον. ἅμα δ' αὐτῷ καὶ τὰ συνεχῆ μέρη, τὰ οἷον πλευρὰ τοῦ παντὸς ὀργάνου συνεπιλαμβανόμενα παντὸς τοῦ ἔργου, θλίβει τε καὶ προωθεῖ πᾶν ἔξω τὸ ἔμβρυον. καὶ πολλαῖς τῶν γυναικῶν ὠδῖνες βίαιοι, τὰς μήτρας ὅλας ἐκπεσεῖν ἠνάγκασαν, ἀμέτρως χρησαμέναις τῇ τοιαύτῃ δυνάμει. παραπλησίου τινὸς γιγνομένου, τῷ πολλάκις ἐν πάλαις τισὶ, καὶ φιλονεικίαις συμβαίνοντι, ὅταν ἀνατρέψαι τε, καὶ καταβαλεῖν ἑτέρους σπεύδοντες αὐτοὶ συγκαταπέσωμεν. οὕτω γὰρ καὶ αἱ μῆτραι τὸ ἔμβρυον ὠθοῦσαι, συνεξέπεσον ἐνίοτε, καὶ μάλιστα ὅταν οἱ πρὸς τὴν ῥάχιν αὐτῶν σύνδεσμοι χαλαροὶ φύσει τυγχάνωσιν ὄντες. ἔστι δὲ καὶ τοῦτο θαυμαστόν τι τῆς φύσεως σόφισμα, τό, ζῶντος τοῦ κυήματος ἀκριβῶς πάνυ τὸ στόμα μεμυκέναι τῶν μητρῶν, ἀποθανόντος δὲ παραχρῆμα διανοίγεσθαι τοσοῦτον, ὅσον εἰς τὴν ἔξοδον αὐτοῦ διαφέρει. καὶ μέντοι καὶ αἱ μαῖαι τὰς τικτούσας οὐκ εὐθὺς ἀνιστῶσιν, οὐδ' ἐπὶ τῶν δίφρων καθίζουσιν, ἀλλ' ἅπτονται πρότερον ἀνοιγομένου τοῦ στόματος κατὰ βραχύ, καὶ πρῶτον μὲν ὥστε τὸν μικρὸν δάκτυλον καθιέναι, διεστηκέναι φασίν, ἔπειτα ἤδη καὶ μεῖζον, καὶ κατὰ βραχὺ δὴ πυνθανομένοις ἡμῖν ἀποκρίνονται τὸ μέγεθος τῆς διαστάσεως ἐπαυξανόμενον. ὅταν δ' ἱκανὸν ᾖ πρὸς τὴν τοῦ κυουμένου δίοδον, ἀνιστῶσιν αὐτὰς, καὶ καθίζουσι, καὶ προθυμεῖσθαι κελεύουσιν ἀπώσασθαι τὸ παιδίον. ἔστι δὲ τοῦτο τὸ ἔργον, ὃ παρ' ἑαυτῶν αἱ κύουσαι προστιθέασιν, οὐκέτι τῶν ὑστερῶν, ἀλλὰ τῶν κατ' ἐπιγάστριον μυῶν, οἳ πρὸς τὴν ἀποπάτησίν τε, καὶ τὴν οὔρησιν ἡμῖν συντελοῦσιν. οὕτω μὲν ἐπὶ τῶν μητρῶν ἐναργῶς αἱ δύο φαίνονται δυνάμεις.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς καθεκτικῆς, καὶ τῆς προωστικῆς δυνάμεως τῆς γαστρός.

Ἐπὶ δὲ τῆς γαστρὸς ὧδε. πρῶτον μὲν τοῖς κλύδωσιν, οἳ δὴ καὶ πεπίστευνται τοῖς ἰατροῖς, ἀρρώστου κοιλίας εἶναι συμπτώματα, καὶ κατὰ λόγον πεπίστευνται. ἐνίοτε μὲν γὰρ ἐλάχιστα προσενηνεγμένων, οὐ γίνονται, περιστελλομένης αὐτοῖς ἀκριβῶς τῆς γαστρὸς, καὶ σφιγγούσης πανταχόθεν. ἐνίοτε δὲ μεστὴ μὲν ἡ γαστήρ ἐστιν, οἱ κλύδωνες δὲ ὡς ἐπὶ κενῆς ἐξακούονται. κατὰ φύσιν μὲν γὰρ ἔχουσα, καὶ χρωμένη καλῶς περισταλτικῇ δυνάμει, κἂν ὀλίγον ᾖ τὸ περιεχόμενον, ἅπαν αὐτὸ περιλαμβάνουσα, χώραν οὐδεμίαν ἀπολείπει κενήν, ἀρρωστοῦσα δὲ καθότι ἂν ἀδυνατήσῃ περιλαβεῖν ἀκριβῶς ἐνταῦθα, εὐρυχωρίαν ἐργαζομένη τινά, συγχωρεῖ τοῖς περιεχομένοις ὑγροῖς κατὰ τὰς τῶν σχημάτων μεταλλαγὰς ἄλλοτε ἀλλαχόσε μεταρρεῖν, καὶ κλύδωνας ἀποτελεῖν. εὐλόγως οὖν ὅτι μηδὲ πέψουσιν ἱκανῶς, οἱ ἐν τῷδε τῷ συμπτώματι γενόμενοι προσδοκῶσιν. οὐ γὰρ ἐνδέχεται πέψαι καλῶς ἄρρωστον γαστέρα. τοῖς τοιούτοις δὲ καὶ μέχρι πλείονος ἐν αὐτῇ φαίνεται παραμένον τὸ βάρος, ὡς ἂν καὶ βραδύτερον πέττουσι. καὶ μὴν θαυμάσειεν ἄν τις ἐπ' αὐτῶν τούτων μάλιστα, τὸ πολυχρόνιον τῆς ἐν τῇ γαστρὶ διατριβῆς, οὐ τῶν σιτίων μόνον, ἀλλὰ καὶ τοῦ πόματος.

οὐ γὰρ ὥσπερ ἄν φήσειέ τις, ὡς τὸ τῆς γαστρὸς στόμα τὸ κάτω στενὸν ὑπάρχον ἀκριβῶς, οὐδὲν παρίησι πρὶν ἀκριβῶς λειωθῆναι, τοῦτ' αἴτιον ὄντως ἐστί. πολλοὶ γοῦν πολλάκις, ὀπωρῶν ὀστᾶ μέγιστα καταπίνουσι πάμπολλα. καί τις δακτύλιον χρυσοῦν ἐν τῷ στόματι φυλάττων, ἄκων κατέπιε, καὶ ἄλλος τις νόμισμα, καὶ ἄλλος ἄλλο τι σκληρὸν, καὶ δυσκατέργαστον· ἀλλ' ὅμως ἅπαντες οὗτοι ῥᾳδίως ἀπεπάτησαν ἃ κατέπιον, οὐδενὸς αὐτοῖς ἀκολουθήσαντος συμπτώματος. εἰ δέ γ' ἡ στενότης τοῦ πόρου τῆς γαστρὸς αἰτία τοῦ μένειν ἐπιπλέον ἦν τοῖς ἀπέπτοις σιτίοις, οὐδὲν ἂν τούτων ποτὲ διεχώρησεν. ἀλλὰ καὶ τὸ τὰ πόματ' αὐτοῖς ἐν τῇ γαστρὶ παραμένειν ἐπὶ πλεῖστον, ἱκανὸν ὑπάγειν τὴν ὑπόνοιαν τοῦ πόρου τῆς στενότητος. ὅλως γὰρ εἴπερ ἦν ἐν τῷ χυλωθῆναι τὸ θᾶττον ὑπιέναι, τά τε ῥοφήματα ἂν, οὕτω καὶ τὸ γάλα, καὶ ὁ τῆς πτισάνης χυλὸς αὐτίκα διεξῄει πᾶσιν, ἀλλ' οὐχ ὧδ' ἔχει. τοῖς μὲν γὰρ ἀσθενέσιν ἐπὶ πλεῖστον ἐμπλεῖ ταῦτα, καὶ κλύδωνας ἐργάζεται παραμένοντα, καὶ θλίβει, καὶ βαρύνει τὴν γαστέρα· τοῖς δ' ἰσχυροῖς, οὐ μόνον τούτων οὐδὲν συμβαίνει, ἀλλὰ καὶ πολὺ πλῆθος ἄρτων, καὶ κρεῶν ὑποχωρεῖ ταχέως. οὐ μόνον δ' ἐκ τοῦ περιτετάσθαι, καὶ βαρύνεσθαι τὴν γαστέρα, καὶ μεταρρεῖν ἄλλοτ' εἰς ἄλλα μέρη μετὰ κλύδωνος, τὸ παραμένειν ἐπὶ πλέον ἐν αὐτῇ πάντως τοῖς οὕτως ἔχουσι τεκμήραιτ' ἄν τις, ἀλλὰ κἀκ τῶν ἐμέτων. ἔνιοι γὰρ οὐ μετὰ τρεῖς ὥρας, ἢ τέτταρας, ἀλλὰ νυκτῶν ἤδη μέσων παμπόλλου μεταξὺ χρόνου διελθόντος ἐπὶ τῆς προσφορᾶς, ἀνήμεσαν ἀκριβῶς πάντα τὰ ἐδηδεσμένα. καὶ μὲν δὴ καὶ ζῷον ὁτιοῦν ἐμπλήσας ὑγρᾶς τροφῆς, ὥσπερ ἡμεῖς πολλάκις ἐπὶ συῶν ἐπειράθημεν, ἐξ ἀλεύρων μεθ' ὕδατος οἷόν τινα κυκεῶνα δόντες αὐτοῖς, ἔπειτα μετὰ τρεῖς που, καὶ τέτταρας ὥρας ἀνατεμόντες, εἰ οὕτω καὶ σὺ πράξειας, εὑρήσεις ἔτι κατὰ τὴν γαστέρα τὰ ἐδηδεσμένα. πέρας γὰρ αὐτοῖς ἐστι τῆς ἐνταῦθα μονῆς, οὐχ ἡ χύλωσις, ἣν καὶ ἐκτὸς ἔτι ὄντων μηχανήσασθαι δυνατόν ἐστιν, ἀλλ' ἡ πέψις, ἑτέρα τις τῆς χυλώσεως οὖσα, καθάπερ αἱμάτωσίς τε, καὶ θρέψις. ὡς γὰρ κἀκεῖνα δέδεικται ποιοτήτων μεταβολῇ γιγνόμενα, κατὰ τὸν αὐτὸν τρόπον, καὶ ἡ ἐν τῇ γαστρὶ πέψις τῶν σιτίων, εἰς τὴν οἰκείαν ἐστὶ τῷ τρεφομένῳ ποιότητα μεταβολή. καὶ ὅταν γε πεφθῇ τελέως, ἀνοίγνυται μὲν τηνικαῦτα τὸ κάτω στόμα, καὶ διεκπίπτει δι' αὐτοῦ τὰ σιτία ῥᾳδίως, εἰ καὶ πλῆθός τι μεθ' ἑαυτῶν ἔχοντα τύχοι λίθων, ἢ ὀστῶν, ἢ γιγάρτων, ἢ τινος ἄλλου χυλωθῆναι μὴ δυναμένου. καί σοι τοῦτ' ἔνεστιν ἐπὶ ζῴου θεάσασθαι, στοχασαμένῳ τοῦ καιροῦ τῆς κάτω διεξόδου. καὶ μέν γε καὶ εἰ σφαλείης ποτὲ τοῦ καιροῦ, καὶ μηδὲν μήπω κάτω παρέρχοιτο, πεττομένων ἔτι κατὰ τὴν γαστέρα τῶν σιτίων, οὐδ' οὕτως ἄκαρπος ἡ ἀνατομή σοι γενήσεται. θεάσῃ γὰρ ἐπ' αὐτῶν, ὅπερ ὀλίγῳ πρόσθεν ἐλέγομεν, ἀκριβῶς μὲν μεμυκότα τὸν πυλωρὸν, ἅπασαν δὲ τὴν γαστέρα περιστελλομένην τοῖς σιτίοις, τρόπον ὁμοιότατον, ὅνπερ καὶ αἱ μῆτραι τοῖς κυουμένοις. οὐ γάρ ἐστιν οὐδέπω κενὴν εὑρεῖν χώραν, οὔτε κατὰ τὰς ὑστέρας, οὔτε κατὰ τὴν κοιλίαν, οὔτε κατὰ τὰς κύστεις ἀμφοτέρας, οὔτε κατὰ τὴν χοληδόχον ὀνομαζομένην, οὔτε τὴν ἑτέραν· ἀλλ' εἴτε ὀλίγον εἴη τὸ περιεχόμενον ἐν αὐταῖς, εἴτε πολὺ, μεσταὶ καὶ πλήρεις αὐτῶν αἱ κοιλίαι φαίνονται, περιστελλομένων ἀεὶ τῶν χιτώνων τοῖς περιεχομένοις, ὅταν γε κατὰ φύσιν ἔχῃ τὸ ζῷον. Ἐρασίστρατος δὲ οὐκ οἶδ' ὅπως τὴν περιστολὴν τῆς γαστρὸς ἁπάντων αἰτίαν ἀποφαίνει,

A Non enim, sicut existimauerit quispiam, quum ventris os inferius angustum prorsus sit, nihil id sinere abire, quoad exactè læuigetur, hæc vera causa est. Non pauci enim ossa fructuum valdè magna, sæpè plurima deuorant; iam annulum quidam aureum, quem ore tenebat, imprudens deglutiuit; alter verò nummum; alius aliud durum quoddam, & quod confici non potest; attamen hi omnes facilè excreuerunt ea, quæ deuorassent, nullo illis superueniente symptomate. Quòd si meatus ventriculi angustia causa esset diutinæ in eo parum comminuti cibi moræ, nihil sanè horum pertransisset. Quin etiam quòd B potio ipsa longo spacio illis in ventriculo moretur, satis fuerit, quòd eos à suspicione de meatus angustia abducat. Omninò enim si causa celeris egressus esset ipsa transmutatio in succum peracta, vtique & sorbitiones, & lac, & ptissanæ cremor in omnibus illicò transirent; verùm secus est; nam qui imbecilli sunt, iis diutissimè hæc innatant, & fluctuationes cum sonitu, dum morantur, excitant, ventriculúmque premunt pariter, & grauant; qui validi sunt, iis adeò nihil horum incidit, vt etiam panis, & carnis magna copia facilè descendat. Sanè non solùm C ex eo, quòd vndique tensus sit, & grauatus ventriculus, ac quæ in eo sunt, aliàs in aliam partem cum sonitu fluctuent, morari diutiùs in eo, quæ assumpta sunt iis, qui ita se habent, possis coniicere, sed etiam ex vomitionibus. Siquidem sunt, qui non post tres quatuórve horas, sed iam media nocte, cum multum intercessisset à cibo tempus, omnia prorsus, quæ sumpsissent, vomuerunt. Quin etiam si animans quoduis humido expleueris cibo, veluti ipsi in suibus subinde sumus experti, ex farina, atque aqua quandam velut miscellam illis obiicientes, deinde D post tres quatuórve horas dissecantes, si tu quoque ita feceris, inuenies adhuc in ventre ea, quæ assumpserunt. Quippe conuersio ciborum in cremorem non est moræ istic manendi terminus, quam vtique etiam, dum foris sunt, efficere licet, sed concoctio, quæ à conuersione in cremorem res est diuersa, sicut sanguificatio, & nutritio. Quemadmodum enim hæc qualitatum mutatione fieri ostensum est, eodem modo concoctio ciborum in ventriculo, mutatio eorum est in propriam eius, quod nutritur qualitatem. Vbi autem ad perfectionem cibos concoxit, tum aperit inferius os, excidúntque per E ipsum facilè cibi, etiam si lapides, ossa, acinos, aliáve, quæ verti in cremorem non possint plurima secum habeant; licétque hoc in animali contempleris, coniecto descensus ciborum tempore. Quin si quando te tempus fallat, nec quicquam deorsum feratur, ventriculo adhuc cibos coquente, ne sic quidem infrugifera tibi dissectio erit; cernes namque in illis ea, quæ paulò supra diximus, pylorum ad vnguem clausum, ventriculum autem totum cibos suo complexu prementem perinde omninò, sicut vterus fœtum. Neque enim est F inuenire, nec in vtero, nec ventre, nec vesica vtrauis, nec ea quæ bilem excipit, nec altera, locum vacuum; sed siue parum sit, quod in his continetur, siue multum, pleni eorum sinus apparent, tunicis ipsis semper ea, quæ continent, arctè complectentibus, modò scilicet naturaliter animal se habeat. Erasistrato autem, nescio quo pacto, complexum hunc ventriculi omniū esse causam placet,

tum ciborum læuitatis, tum excrementorum subductionis, tum distributionis eorum, quæ in cremorem sunt conuersa. Ego tamen in viuenti adhuc animali, diuiso eius peritonæo, sexcenties deprehendi semper intestina complexu suo iis, quæ continerent applicita; ventriculum verò non perpetuò sed post assumptos cibos supernè eos infernéque, & vndique arctè complexum, ac immotum adeò vt cibis vniri, & iis vndique adhærere videretur. Quo tempore etiam pylorum conniuentem clausúmque ad vnguem inueni, non secus ac prægnantibus os vteri; at post concoctionem consummatam reclusus quidem erat pylorus, ventriculus autem complexus motu, intestinorum ritu mouebatur.

CAPVT V.

Vesicæ bilis & vrinæ similem ventriculo inesse facultatem Retentricem ac Expultricem.

Omnia igitur hæc inter se in idem consentiunt, quòd aliquæ sint in ventriculo, in vtero, in vesicis ingenitæ facultates, quæ & retinere possint ea, quæ qualitate conueniant, & quæ aliena sunt expellere. Siquidem quod bilem ad se trahat ea, quæ iecinori subest vesica, supra est monstratum; quòd autem & in ventrem quotidie eiiciat, id quidem euidenter cernitur. Atqui si tractricis operam statim excretricis actio exciperet, nec media semper inter eas intercederet vis retentrix, oporteret dissectis animalibus, parem in vesica bilis inueniri modum; at non sic inuenitur; quippè aliàs plenissima, aliàs prorsus vacua, aliàs sub medio statu, variis se habens modis cernitur, qualiter etiam altera, quæ lotium recipit. Hanc namque ante omnem dissectionem colligere vrinam sentimus, priùs etiam, quàm eam vel multitudinis pondere, vel mordentis acrimonia offendi, tanquam hîc quoque non deficiente retentrice facultate. Ita nimirum & ventriculus mordente subinde acrimonia irritatus, ante legitimum tempus, crudum adhuc cibum abijcit; rursus multitudine aliquando grauatus, aut etiam ambabus coëuntibus malè affectus, diarrhœis infœstatur. Quin etiam superioris vētris vel multitudine grauati, vel ciborum excrementorúmve qualitatem non ferentis, similis diarrhœis quidam affectus vomitio est. Vbi enim in imis eius partibus talis affectus incidit, ac firmæ partes sunt, quæ circa stomachum habentur, diarrhœæ citantur; quum verò eius os sic afficitur, si cæteræ partes sunt valentes, vomitiones cientur.

CAPVT VI.

Quatuor Naturæ facultates mutua consequutione indigere.

Licet porrò idem, & in iis qui cibum fastidiunt intueri; quippè qui comesse coacti nec deglutire, quod comederunt, valent, nec si id per vim faciant; quod deglutitum est retinent, sed protinus euomunt. Etiam qui aliàs quoque cibum quemlibet auersantur, si vrgeantur aliquando, vt eum sumant, celeriter euomunt; vel si violenter contineant, & nausea infestantur, & resupinari sibi ventriculum sentiunt, & quod offendit, amoliri properare. Ita nimirum ex omnibus, quæ euidenter apparent,

καὶ τῆς λειότητος τῶν σιτίων, καὶ τῆς τῶν περιττωμάτων ὑποχωρήσεως, καὶ τῆς τῶν κεχυλωμένων ἀναδόσεως. ἐγὼ μέν τοι μυριάκις ἐπὶ ζῶντος ἔτι τοῦ ζώου διελὼν τὸ περιτόναιον, εὗρον ἀεὶ τὰ μὲν ἔντερα πάντα περιστελλόμενα τοῖς ἐνυπάρχουσι, τὴν κοιλίαν δ' οὐχ ἁπλῶς, ἀλλ' ἐπὶ μὲν ταῖς ἐδωδαῖς ἄνωθέν τε, καὶ κάτωθεν αὐτὰς, καὶ πανταχόθεν ἀκριβῶς περιειληφυῖαν ἀκίνητον, ὡς δοκεῖν ἡνῶσθαι, καὶ περιπεφυκέναι τοῖς σιτίοις. ἐν δὲ τούτῳ καὶ τὸν πυλωρὸν εὕρισκον ἀεὶ μεμυκότα, καὶ κεκλεισμένον ἀκριβῶς, ὥσπερ τὸ τῶν ὑστερῶν στόμα ταῖς ἐγκύμοσιν. ἐπὶ μέν τοι ταῖς πέψεσι συμπεπληρωμέναις, ἀνέῳκτο μὲν ὁ πυλωρὸς, ἡ γαστὴρ δὲ περισταλτικῶς ἐκινεῖτο παραπλησίως τοῖς ἐντέροις.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ἐν τῇ γαστρὶ καὶ ταῖς κύστεσιν εἶναι τὰς τῶν οἰκείων καθεκτικὰς, καὶ τὰς τῶν ἀλλοτρίων ἀποκριτικὰς δυνάμεις.

Ἅπαντα οὖν ἀλλήλοις ὁμολογεῖ ταῦτα ἐν τῇ γαστρὶ, καὶ ταῖς ὑστέραις, καὶ ταῖς κύστεσιν εἶναί τινας ἐμφύτους δυνάμεις, καθεκτικὰς μὲν τῶν οἰκείων ποιοτήτων, ἀποκριτικὰς δὲ τῶν ἀλλοτρίων. ὅτι μὲν γὰρ ἕλκει τὴν χολὴν εἰς ἑαυτὴν ἡ ἐπὶ τῷ ἥπατι κύστις, ἔμπροσθεν δέδεικται. ὅτι δὲ καὶ ἀποκρίνει καθ' ἑκάστην ἡμέραν εἰς τὴν γαστέρα, καὶ τοῦτ' ἐναργῶς φαίνεται. καὶ μὴν εἰ διεδέχετο τὴν ἑλκτικὴν δύναμιν ἡ ἐκκριτικὴ, καὶ οὐ μέση τις ἦν ἀμφοῖν ἡ καθεκτικὴ, διὰ παντὸς ἐχρῆν ἀνατεμνομένων τῶν ζώων, ἴσον πλῆθος χολῆς εὑρίσκεσθαι κατὰ τὴν κύστιν. οὐ μὴν εὑρίσκεταί γε. ποτὲ μὲν γὰρ πληρεστάτη, ποτὲ δὲ κενωτάτη, ποτὲ δὲ τὰς ἐν μεταξὺ διαφορὰς ἔχουσα θεωρεῖται, καθάπερ καὶ ἡ ἑτέρα κύστις ἡ τὸ οὖρον ὑποδεχομένη. ταύτης μὲν γε καὶ πρὸ τῆς ἀνατομῆς αἰσθανόμεθα, πρὶν ἀναστῆναι τῷ πλήθει βαρυνθείσης, ἢ τῇ δριμύτητι δηχθείσης, ἀθροιζούσης ἔτι τὸ οὖρον, ὡς οὔσης κἀνταῦθά τινος δυνάμεως καθεκτικῆς. οὕτω δὲ καὶ ἡ γαστὴρ ὑπὸ δριμύτητος πολλάκις δηχθεῖσα, πρωϊαίτερον τοῦ δέοντος ἄπεπτον ἔτι τὴν τροφὴν ἀποτίθεται. αὖθις δ' αὖ ποτε τῷ πλήθει βαρυνθεῖσα, ἢ κατ' ἄμφω συνελθόντων κακῶς διατεθεῖσα, διαρροίαις ἑάλω. καὶ μὲν γε καὶ οἱ ἔμετοι τῷ πλήθει βαρυνθείσης αὐτῆς, ἢ τὴν ποιότητα τῶν ἐν αὐτῇ σιτίων τε, καὶ περιττωμάτων μὴ φερούσης, ἀνάλογόν τι ταῖς διαρροίαις πάθημα τῆς ἄνω γαστρός ἐστιν. ὅταν μὲν γὰρ ἐν τοῖς κάτω μέρεσιν αὐτῆς ἡ τοιαύτη γένηται διάθεσις, ἐρρωμένων τῶν κατὰ τὸ στόμαχον, εἰς διάρροιαν ἐτελεύτησεν. ὅταν δ' ἐν τοῖς κατὰ τὸ στόμα, τῶν ἄλλων εὐρωστούντων, εἰς ἐμέτους.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Τέτταρας τὰς φυσικὰς δυνάμεις τῆς πρὸς ἀλλήλας ἀκολουθίας δεῖσθαι.

Ἔνεστι δὲ καὶ τοῦτ' ἐναργῶς ἰδεῖν πολλάκις ἐπὶ τῶν ἀποσίτων. ἀναγκαζόμενοι γὰρ ἐσθίειν, οὔτε καταπίνειν εὐσθενοῦσιν, οὔτ' εἰ καὶ βιάσαιντο κατέχουσιν, ἀλλ' εὐθὺς ἀνεμοῦσι. καὶ οἱ ἄλλως δὲ τῶν ἐδεσμάτων πρὸς ὁτιοῦν δυσχεραίνοντες, βιασθέντες ἐνίοτε προσφέρεσθαι, ταχέως ἐξεμοῦσιν, ἢ εἰ καρτεροῖεν βιαζόμενοι, ναυτιώδεις τέ εἰσι καὶ τῆς γαστρὸς ὑπτίας αἰσθάνονται, καὶ σπευδούσης ἀποθέσθαι τὸ λυποῦν. οὕτως ἐξ ἁπάντων τῶν φαινομένων,

ὅπερ ἐξ ἀρχῆς ἐρρέθη, μαρτυρεῖται τὸ δεῖν ὑπάρχειν τοῖς τοῦ ζῴου μορίοις σχεδὸν ἅπασιν, ἔφεσιν μέν τινα, καὶ οἷον ὄρεξιν τῆς οἰκείας ποιότητος, ἀποστροφὴν δέ τινα, καὶ οἷον μῖσός τι τῆς ἀλλοτρίας, ἀλλ' ἐφιέμενα μὲν ἕλκειν εὔλογον, ἀποστρεφόμενα δ' ἐκκρίνειν. κἀκ τούτων πάλιν, ἥτε ἑλκτικὴ δύναμις ἀποδείκνυται ὑπάρχουσα, καθάπερ καὶ ἡ προωστική. ἀλλ' εἴπερ ἔφεσίς τέ τίς ἐστι, καὶ ἕλξις, εἴη ἄν τις καὶ ἀπόλαυσις. οὐδὲν γὰρ τῶν ὄντων ἕλκει τι δι' αὐτὸ τὸ ἕλκειν, ἀλλ' ἵν' ἀπολαύσῃ τοῦ διὰ τῆς ὁλκῆς εὐπορηθέντος. καὶ μὴν ἀπολαύειν οὐ δύναται, μὴ κατασχόν· κἀν τούτῳ πάλιν, ἡ καθεκτικὴ δύναμις ἀποδείκνυται τὴν γένεσιν ἀναγκαίαν ἔχουσα. σαφῶς γὰρ ἐφίεται μὲν τῶν οἰκείων ποιοτήτων ἡ γαστήρ, ἀποστρέφεται δὲ τῶν ἀλλοτρίων. ἀλλ' εἴπερ ἐφίεταί τε, καὶ ἕλκει, καὶ ἀπολαύει κατέχουσα, καὶ περιστελλομένη, εἴη ἄν τι καὶ πέρας αὐτῆς τῆς ἀπολαύσεως, κἀπὶ τῷδε ὁ καιρὸς ἤδη τῆς ἐκκριτικῆς δυνάμεως ἐνεργούσης.

quod inter principia diximus, confirmatur omnibus scilicet propemodum animalis partibus inesse debere desiderium quoddã, ac veluti appetentiam conuenientis sibi qualitatis, auersionẽ autem quandam, velutique odium alienæ. At dum expetunt, attrahere eas rationabiliter existimãtur; dum auersantur, à seipsis repellere; atque ex his rursus tum attractrix facultas in toto inesse monstratur, tum expultrix. At verò si & appetentia quædam est & attractio, fuerit profectò & fruitio aliqua quum nihil in rerum sit natura, quod propter ipsum trahere, trahat, imò vt eo, cuius per tractum fit compos fruatur; atqui frui eo nõ licet, nisi retineat. Iam hinc rursus retẽtrix vis necessariò genita esse probatur; quippè ventriculus manifestè conuenientes qualitates expetit, alienas respuit. Sed si & appetit, & trahit, & retinendo, ac vndique complectendo fruitur, erit vtique, & finis illi quispiam fruitionis; post quem iam expultricis facultatis agendi tempus succedit.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῆς τῶν ἐν τῇ γαστρὶ σιτίων ἀλλοιώσεως.

Ἀλλ' εἰ καὶ κατέχει, καὶ ἀπολαύει, καταχρῆται πρὸς ὃ πέφυκε. πέφυκε δὲ τοῦ προσήκοντος ἑαυτῇ κατὰ ποιότητα, καὶ οἰκείου μεταλαμβάνειν, ὥσθ' ἕλκει τῶν σιτίων ὅσον χρηστότατον, ἀτμοειδῶς τε, καὶ κατὰ βραχύ, καὶ τοῦτο τοῖς ἑαυτῆς χιτῶσιν ἐναποτίθεταί τε, καὶ προστίθησιν. ὅταν δ' ἱκανῶς ἐμπλησθῇ, καθάπερ ἄχθος τι, τὴν λοιπὴν ἀπωθεῖται τροφήν, ἐσχηκυῖάν τι χρηστὸν ἤδη· καὶ αὐτὴν ἐκ τῆς πρὸς τὴν γαστέρα κοινωνίας. οὐδὲ γὰρ ἐνδέχεται δύο σώματα δρᾶν, καὶ πάσχειν ἐπιτήδεια συνελθόντα, μὴ οὐχ ἤτοι πάσχειν τε ἅμα, καὶ δρᾶν, ἢ θάτερον μὲν δρᾶν, θάτερον δ' αὐτῶν πάσχειν. εἰ μὲν γὰρ ἰσάζει ταῖς δυνάμεσιν, ἐξ ἴσου δράσει τε, καὶ πείσεται. εἰ δ' ὑπερέχει πολύ, καὶ κρατεῖ θάτερον, ἐνεργήσει περὶ τὸ πάσχον, ὥστε δράσει μέγα μέν τι, καὶ αἰσθητόν. αὐτὸ δ' ἤτοι σμικρόν τι, καὶ οὐκ αἰσθητόν, ἢ παντάπασιν οὐδὲν πείσεται. ἀλλ' ἐν τούτῳ δή, καὶ μάλιστα διήνεγκε φαρμάκου δηλητηρίου, τροφή· τὸ μὲν γὰρ κρατεῖ τῆς ἐν τῷ σώματι δυνάμεως, ἡ δὲ κρατεῖται. οὔκουν ἐνδέχεται τροφὴν μὲν εἶναί τι τῷ ζῴῳ προσήκουσαν, οὐ μὴν καὶ κρατεῖσθαί γ' ὁμοίως πρὸς τῶν ἐν τῷ ζῴῳ ποιοτήτων, τὸ κρατεῖσθαι δ' ἦν ἀλλοιοῦσθαι. ἀλλ' ἐπεὶ τὰ μὲν ἰσχυρότερα ταῖς δυνάμεσίν ἐστι μόρια, τὰ δ' ἀσθενέστερα, κρατήσει μὲν πάντα τῆς οἰκείας τῷ ζῴῳ τροφῆς, οὐχ ὁμοίως δὲ πάντα. κρατήσει δ' ἄρα, καὶ ἡ γαστήρ, καὶ ἀλλοιώσει τὴν τροφήν. οὐ μὴν ὁμοίως ἥπατι, καὶ φλεψί, καὶ ἀρτηρίαις, καὶ καρδίᾳ. πόσον οὖν ἐστιν ὃ ἀλλοιοῖ, καὶ δὴ θεασώμεθα. πλέον μὲν ἢ κατὰ στόμα, μεῖον δὲ ἢ κατὰ ἧπάρ τε, καὶ τὰς φλέβας. αὕτη μὲν γὰρ ἡ ἀλλοίωσις, εἰς αἵματος οὐσίαν ἄγει τὴν τροφήν, ἡ δ' ἐν τῷ στόματι, μεθίστησι μὲν αὐτὴν ἐναργῶς εἰς ἕτερον εἶδος, οὐ μὴν εἰς τέλος γε μετακοσμεῖ. μάθοις δ' ἂν ἐπὶ τῶν καταλειφθέντων ταῖς διαστάσεσι τῶν ὀδόντων σιτίων, καταμεινάντων δι' ὅλης νυκτός. οὔτε γὰρ ἄρτος ἀκριβῶς ὁ ἄρτος, οὔτε κρέας ἐστὶ τὸ κρέας, ἀλλ' ὄζει μὲν τοιοῦτον, οἷον καὶ τὸ τοῦ ζῴου στόμα· διαλέλυται δὲ καὶ διατέτηκε, καὶ τὰς ἐν τῷ ζῴῳ τῆς

CAPVT VII.

De Alteratione Ciborum in ventriculo.

Verùm si & retinet & fruitur, etiam ad eum finem ad quem sic retinet & fruitur, abutitur. Porrò is finis est, vt eius quod in qualitate conueniens, consentiénsque est, partem aliquam capiat. Itaque quod in cibis optimum est, id halitus specie, & paulatim sibi attrahit, atque in tunicis suis reponit, iisdémque adiungit. Vbi abundè saturatus est, quicquid reliquum nutrimẽti est, veluti onerosum aliquid reiicit; quanquam ex eo, quod cum ventriculo habuit, commercio, ipsum quoque consecutum est salutare aliquid. Neque enim fieri potest, vt duo corpora, quæ ad agendum, ac patiendum sunt nata, vbi conuenerunt, non vel simul patiantur agántque, vel alterum agat, alterum patiatur. Quippè, si pares iis vires sunt, ex æquo tum agent; tum patientur; sin longè superet vincátque alterum, magnum quiddam, & quod sensu percipi possit, in id quod patitur efficiet, ipsum verò vel exiguum aliquid, & quod sensu deprehendi non possit, vel omninò nihil patietur. Porrò in hoc potissimum dissidet nutrimentum à medicamento venenoso; hoc namque vim corporis vincit, illud ab hac vincitur. Minimè igitur potest conueniens animali nutrimentum esse, quod ab iis, quæ in animali sunt, qualitatibus non vincitur; porrò vinci aliud non est, quàm alterari. At quoniam particularum aliæ viribus sunt firmioribus, aliæ magis imbecillis, vincent quidem omnes nutrimentum id, quod animali est conueniens, non tamen æquali omnes modo. Ergo vincet etiam venter, ac nutrimentum alterabit, non tamen sic, vt iecur, & venæ, & arteriæ, & cor. Quanta igitur sit ventris alteratio, age iam videamus. Sanè ea maior est, quàm quæ in ore perficitur; minor verò ea, quæ in iecinore, & venis; horum namque alteratio nutrimentum in sanguinis substantiam mutat; quæ autem in ore agitur, mutat quidem id in aleram speciem manifestè, non tamen ad perfectionem transformat. Discas id ex iis, quæ ex cibo in dentium interuallis relicta, per totam noctem hæserunt. Neque enim panis inibi relictus prorsus est panis, neque caro prorsus caro; sed olet quidem eiusmodi quiddam, cuiusmodi olet animalis os; cæterùm & dissolutum est, & liquatum, & carnium animalis admiscuit

admiscuit sibi qualitates. Licet autem contempleris, quam magna sit in ore ciborum alteratio, si mansum triticum crudis furunculis applicaueris: cernes namque id ocyssimè hos mutare, & concoquere; quum tamen, si aquæ admisceatur, nequeat tale quicquam efficere. Nec est quòd id mirere; nam pituita hæc quæ in ore habetur, & lichenum remedium est, & scorpios statim necat; præterea multas ex iis, quæ venenum mittunt, bestias partim protinus perimit, partim spatio, omnes certè insigniter lædit. Sed qui mansi sunt cibi, primùm quidem hac pituita imbuuntur, & cum ea miscentur; deinde carnem quoque oris omnes contrectarunt, itaque maiorem mutationem sunt consecuti, quàm ij qui in vacuis dentium interuallis fuere impacti. Verùm quantò ij, qui mansi sunt his qui inhæserunt, magis sunt alterati, tantò etiam illis magis hi, qui deuorati sunt; siquidem incomparabilis erit horum alterationis excessus, si & quæ in ventre est pituita, & bilis, & spiritus, & calor, & tota ventris substantia æstimentur. Quòd si viscera quoque, quæ illi adiacent, tanquam magno lebeti plures ignis foci, pariter æstimata sint, à dextris quidem iecur, à sinistris lien, supernè cor, & cum eo transuersum septum, & suspensum, & assiduè motum, his etiam amplius omentum quod prædicta tegit, ingentem quandam ciborum, qui in ventriculum sunt deuorati, alterationem fieri credas. Quo autem pacto mutari facilè in sanguinem possent, nisi tali essent mutatione præparati? Monstratum namque supra est nihil in contrariam qualitatem totum simul migrare. Ergo quomodo fiet sanguis ex pane; quomodo ex beta fabáve, aut reliquis id genus, nisi hæc alteram prius mutationem sint adepta? Iam quomodo in tenuibus intestinis confestim creabitur stercus? quid enim quæso in his efficaciùs ad alterationem dicas iis, quæ sunt circa ventrem? num tunicarum numerum, an circumpositorum viscerum vicinitatem, an moræ spatium, an innatum quendam in instrumentis calorem? atqui nullo horum superant intestina ventrem. Cur igitur, vbi panis tota sæpe nocte moratus est in ventre, etiam seruari eum volũt, ac pristinas suas qualitates tueri; vbi semel intestinis incidit, statim effici stercus? quippe si tantum tempus ad alterandum satis non est, certè breue satis non est; sin breue ad alterandum est satis, quomodo non magis sufficiat tempus longum? An igitur alteratur quidem alimentum in ventre, cæterùm diuersa alteratione, & non tali, qualem ex mutantis instrumenti habet natura? An hac quidem est alteratum, non tamen ea, quæ est corpori animalis propria? hoc longè profectò minùs fieri quouis pacto potest, quando non aliud erat concoctio, quàm alteratio in propriam eius, quod nutritur qualitatem. Si igitur concoctio hoc est, & ostensum est nutrimentum in ventre suscipere qualitatem, quæ sit animali, quod ex ipso nutriendum est, conueniens ex eo iam demonstratum est, scilicet quòd in ventre nutrimentum concoquitur. Estque ridiculus sanè Asclepiades quum dicit, nec in ructibus, nec in vomitionibus, nec dissectionibus, concoctorum ciborum qualitatem vnquam apparere: siquidem hoc ipsum quòd corporis ventriculi odorem referunt, ex ipsa prouenit concoctione. Hic verò adeò est rudis, vt quum veteres dicere audiat cibos in ventre in probum chylum mutari, non eum qui viribus *spectetur*, sed eum qui gustui *probetur*, quærendum putet,

Χρηστὸς ἀπομέμακται ποιότητας. ἔνεστι δέ σοι θεάσασθαι τὸ μέγεθος τῆς ἐν τῷ στόματι τῶν σιτίων ἀλλοιώσεως, εἰ πυροὺς μασησάμενος ἐπιθείης ἀπέπτοις δοθιῆσιν. ὄψει γὰρ αὐτοὺς τάχιστα μεταβάλλοντάς τε, καὶ συμπέττοντας οὐδὲν τοιοῦτον, ὅταν ὕδατι φυραθῶσιν ἐργάσασθαι δυναμένους, καὶ μὴ θαυμάσῃς. τὸ γάρ τι φλέγμα τουτὶ τὸ κατὰ τὸ στόμα, καὶ λειχήνων ἐστὶν ἄκος, καὶ σκορπίους ἀναιρεῖ παραχρῆμα, καὶ πολλὰ τῶν ἰοβόλων θηρίων, τὰ μὲν εὐθέως ἀποκτείνει, τὰ δ' ἐς ὕστερον, ἅπαντα γοῦν βλάπτει μεγάλως. ἀλλὰ τὰ μὲν μεμασημένα σιτία, πρῶτον μὲν τούτῳ τῷ φλέγματι βέβρεκταί τε, καὶ πεφύραται. δεύτερον δὲ καὶ τῷ χρωτὶ τοῦ στόματος ἅπαντα πεπλησίακεν, ὥστε πλείονα μεταβολὴν εἴληφε, τῶν ἐν αὐταῖς ταῖς κεναῖς χώραις τῶν ὀδόντων ἐσφηνωμένων, ἀλλ' ὅσον τὰ μεμασημένα τούτων ἐπὶ πλέον ἠλλοίωτο, τοσοῦτον ἐκείνων τὰ καταποθέντα. μὴ γὰρ οὐδὲ παραβλητὸν εἴη τὸ τῆς ὑπερβολῆς. εἰ τὸ κατὰ τὴν κοιλίαν ἐννοήσαιμεν φλέγμα, καὶ χολὴν, καὶ πνεῦμα, καὶ θερμασίαν, καὶ ὅλην τὴν οὐσίαν τῆς γαστρός. εἰ δὲ καὶ συνεπινοήσαις αὐτῇ τὰ παρακείμενα σπλάγχνα, καθάπερ τινὶ λέβητι μεγάλῳ πυρὸς ἑστίας πολλάς, ἐκ δεξιῶν μὲν τὸ ἧπαρ, ἐξ ἀριστερῶν δὲ τὸν σπλῆνα, τὴν καρδίαν δ' ἐκ τῶν ἄνω, σὺν αὐτῇ δὲ καὶ τὰς φρένας αἰωρουμένας τε, καὶ διαπαντὸς κινουμένας, ἐφ' ἅπασι δὲ τούτοις σκέπον τὸ ἐπίπλοον, ἐξαίσιόν τινα πεισθήσῃ τὴν ἀλλοίωσιν γίγνεσθαι τῶν εἰς τὴν γαστέρα καταποθέντων σιτίων. πῶς δ' ἂν ἠδύνατο ῥᾳδίως αἱματοῦσθαι, μὴ προπαρασκευασθέντα τῇ τοιαύτῃ μεταβολῇ; δέδεικται γὰρ οὖν καὶ πρόσθεν, ὡς οὐδὲν εἰς τὴν ἐναντίαν ἀθρόως μεθίσταται ποιότητα. πῶς οὖν ὁ ἄρτος αἷμα γίγνεται; πῶς δὲ τὸ τεῦτλον; ἢ ὁ κύαμος, ἤ τι τῶν ἄλλων, εἰ μὴ πρότερόν τινα ἑτέραν ἀλλοίωσιν ἐδέξατο; πῶς δ' ἡ κόπρος εὐθὺς ἐν τοῖς λεπτοῖς ἐντέροις ἀθρόως γεννηθήσεται; τί γὰρ ἐν τούτοις σφοδρότερον εἰς ἀλλοίωσιν ἐστὶ τῶν κατὰ τὴν γαστέρα, πότερον τῶν χιτώνων τὸ πλῆθος, ἢ τῶν γειτνιώντων σπλάγχνων ἡ περίθεσις, ἢ τῆς μονῆς ὁ χρόνος, ἢ σύμφυτός τις ἐν τοῖς ὀργάνοις θερμασία; καὶ μὴν κατ' οὐδὲν τούτων πλεονεκτεῖ τὰ ἔντερα τῆς γαστρός. τί ποτ' οὖν ἐν μὲν τῇ γαστρὶ νυκτὸς ὅλης πολλάκις μείναντα τὸν ἄρτον, ἔτι φυλάττεσθαι βούλονται τὰς ἀρχαίας διασώζοντα ποιότητας, ἐπειδὰν δ' ἅπαξ ἐμπέσοι τοῖς ἐντέροις, εὐθὺς γίγνεσθαι κόπρον; εἰ μὲν γὰρ ὁ τοσοῦτος χρόνος ἀδύνατος ἀλλοιοῦν, οὐδ' ὁ βραχὺς ἱκανός. εἰ δ' οὗτος αὐτάρκης, πῶς οὐ πολλῷ μᾶλλον ὁ μακρός; ἆρ' οὖν ἀλλοιοῦται μὲν ἡ τροφὴ κατὰ τὴν κοιλίαν, ἄλλην δέ τιν' ἀλλοίωσιν, καὶ οὐχ οἵαν ἐκ τῆς φύσεως ἴσχει τοῦ μεταβάλλοντος ὀργάνου; ἢ ταύτην μὲν, οὐ μὴν τήν γ' οἰκείαν τῷ τοῦ ζώου σώματι; μακρῷ τοῦτ' ἀδυνατώτερόν ἐστι, καὶ μὴν οὐκ ἄλλο γε ἦν ἡ πέψις, ἢ ἀλλοίωσις εἰς τὴν οἰκείαν τοῦ τρεφομένου ποιότητα. εἴπερ οὖν ἡ πέψις τοῦτ' ἐστὶ, καὶ ἡ τροφὴ κατὰ τὴν γαστέρα δέδεικται δεχομένη ποιότητα, τῷ μέλλοντι πρὸς αὐτῆς τραφήσεσθαι ζώῳ προσήκουσαν, ἱκανῶς ἀποδέδεικται τὸ πέττεσθαι κατὰ τὴν γαστέρα τὴν τροφήν. καὶ γελοῖος μὲν Ἀσκληπιάδης, οὔτ' ἐν ταῖς ἐρυγαῖς λέγων ἐμφαίνεσθαί ποτε τὴν ποιότητα τῶν πεφθέντων σιτίων, οὔτ' ἐν τοῖς ἐμέτοις, οὔτ' ἐν ταῖς ἀνατομαῖς. αὐτὸ γὰρ δὴ, τὸ τοῦ σώματος ὄζειν αὐτὰ τῆς κοιλίας ἐστὶ τὸ πεπέφθαι. ὁ δ' οὕτως ἐστὶν εὐήθης, ὥστ' ἐπειδὰν τῶν παλαιῶν ἀκούσῃ λεγόντων ἐπὶ τὸ χρηστὸν ἐν τῇ γαστρὶ μεταβάλλειν τὰ σιτία, δοκιμάζει ζητεῖν οὐ τὸ κατὰ δύναμιν, ἀλλὰ τὸ κατὰ γεῦσιν χρηστόν,

ὥσπερ ἢ τοῦ μήλου μηλωδεστέρου, χρὴ γὰρ οὕτως αὐτῷ διαλέγεσθαι, γιγνομένου κατὰ τὴν κοιλίαν, ἢ τοῦ μέλιτος μελιτωδεστέρου. πολὺ δ᾽ εὐηθέστερός ἐστι, καὶ γελοιότερος ὁ Ἐρασίστρατος, ἢ μὴ νοῶν ὅπως εἴρηται πρὸς τῶν παλαιῶν, ἡ πέψις ἑψήσει παραπλήσιον ὑπάρχειν, ἢ ἑκὼν σοφιζόμενον ἑαυτόν. ἑψήσειν μὲν οὖν φησιν οὐκ ἔστιν ἐλαφρὰν ἔχουσαν θερμασίαν, οὐκ εἰκὸς εἶναι παραπλησίαν τὴν πέψιν, ὥσπερ ἢ τὴν Αἴτνην δέον ὑποθεῖναι τῇ γαστρὶ, ἢ ἄλλως αὐτῆς ἀλλοιῶσαι τὰ σιτία μὴ δυναμένης, ἢ δυναμένης ἀλλοιοῦν μὲν, οὐ κατὰ τὴν ἔμφυτον δὲ θερμασίαν, ὑγρὰν οὖσαν δηλονότι, καὶ διὰ τοῦθ᾽ ἕψειν οὐκ ὀπτᾶν εἰρημένην. ἐχρῆν δ᾽ αὐτὸν, εἴπερ περὶ πραγμάτων ἀντιλέγειν ἐβούλετο, πειραθῆναι δεῖξαι, μάλιστα μὲν καὶ πρῶτον τὴν γαστέρα, ὡς οὐδὲ μεταβάλλει τὴν ἀρχὴν, οὐδ᾽ ἀλλοιοῦται κατὰ ποιότητα πρὸς τῆς γαστρὸς τὰ σιτία. δεύτερον δὲ εἴπερ μὴ οἷός τε ἦν τοῦτο πιστώσασθαι, τὴν ἀλλοίωσιν αὐτῶν ἄχρηστον εἶναι τῷ ζώῳ. εἰ δὲ μὴ δὲ τοῦτ᾽ εἶχε διαβάλλειν, ἐξελέγξαι τὴν περὶ τὰς δραστικὰς ἀρχὰς ὑπόληψιν, καὶ δεῖξαι τὰς ἐνεργείας ἐν τοῖς μορίοις, οὐ διὰ τὴν ἐκ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ ποιὰν κρᾶσιν ὑπάρχειν, ἀλλὰ δι᾽ ἄλλο τι. εἰ δὲ μηδὲ τοῦτ᾽ ἐτόλμησε διαβάλλειν, ἀλλ᾽ ὅτι γε μὴ τὸ θερμόν ἐστιν ἐν τοῖς ὑπὸ φύσεως διοικουμένοις τὸ τῶν ἄλλων δραστικώτατον. ἢ εἰ μὴ δὲ τοῦτο, μήτε τῶν ἄλλων τι τῶν ἔμπροσθεν εἶχεν ἀποδεικνύναι, μὴ ληρεῖν ὀνόματι προσπαλαίοντα μάτην, ὥσπερ οὐ σαφῶς Ἀριστοτέλους ἔν τε ἄλλοις πολλοῖς, κἀν τῷ τετάρτῳ τῶν μετεωρολογικῶν, ὅπως ἡ πέψις ἑψήσει παραπλήσιος εἶναι λέγεται, καὶ ὅτι μὴ πρώτως, μηδὲ κυρίως ὀνομαζόντων εἰρηκότος. ἀλλ᾽ ὡς ἤδη λέλεκται πολλάκις, ἀρχὴ τούτων ἁπάντων ἐστὶ μία, περὶ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ διασκέψασθαι. καθάπερ Ἀριστοτέλης ἐποίησεν ἐν τῷ δευτέρῳ περὶ γενέσεως, καὶ φθορᾶς, ἀποδείξας ἁπάσας τὰς κατὰ τὸ σῶμα μεταβολὰς, καὶ ἀλλοιώσεις ὑπὸ τούτων γίγνεσθαι. ἀλλ᾽ Ἐρασίστρατος, οὔτε τούτοις, οὔτε ἄλλῳ τινὶ τῶν προειρημένων ἀντειπὼν, ἐπὶ τοὔνομα μόνον ἐτράπετο τῆς ἑψήσεως. ἐπὶ μὲν οὖν τῆς πέψεως, εἰ καὶ τἄλλα πάντα παρέλιπε, τὸ γοῦν ὅτι διαφέρει τῆς ἐκτὸς ἑψήσεως ἡ ἐν τοῖς ζώοις πέψις ἐπειράθη δεικνύναι.

tanquam, vel pomo magis pomo (ita enim disputandum cum hoc est) in ventre reddito, vel melle magis melle. Porrò multò magis rudis magisque ridiculus est Erasistratus, aut non intelligens quemadmodum à veteribus dictum sit concoctionem esse elixationi similem; aut spontè seipsum fallens. Atque elixationi quidem, quæ tam leuem habeat calorem, concoctionem assimilari posse, negat verisimile esse tanquam, aut Ætna subijcienda ventri sit, aut aliàs alterari ab eo cibi non possint; aut possint quidem alterari, non tamen per insitum illi calorem, qui humidus sit, eóque elixare, non torrere dicatur. Debebat autem, si quidem contra de rebus disceptare voluit, maximè quidem, ac primùm illud docere, nec mutare prorsus, nec alterare in qualitate ventrem cibos; secundo loco, si id confirmare non potuisset, alterationem eorum in ventre animali esse inutilem, si nec id calumniari licuisset, opinionem, quæ de actiuis habetur principiis, refellere monstraréque non prouenire in partibus actionem ex certa calidi, frigidi, humidi, siccíque temperatura, sed alio quopiam; quòd si nec id calumniari est ausus, saltem illud docere, non esse calidum in iis, quæ naturæ administratione reguntur, cæteris efficacius; vel si nec id, nec cæterorum, quæ dicta sunt, quicquam demonstrare potuisset, minimè nugari, frustra de nomine contendendo, tanquam Aristoteles tum in aliis non paucis, tum in quarto Meteorologicon, quemadmodum concoctio elixationi sit similis, quódque nec primum nec propriè sic nominetur, non clarè prodiderit. Verùm sicuti iam dictum est, vnum omnium horum principium est, de calido, frigido, humido, & sicco considerationem iniuisse: sicut in secundo de generatione, & corruptione Aristoteles fecit, omnes quæ in corpore sunt mutationes, alterationésque, ab his proficisci demonstrans. Cæterùm Erasistratus neque his, neque alio vllo ex iam dictis refutato, ad nomen elixationis tantummodo se conuertit. Atque de coctione quidem, tametsi cætera omnia prætermisit, illud saltem demonstrare conatus est, differre ab externa elixatione eam, quæ in animalibus est concoctionem.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Περὶ τῶν τῆς γαστρὸς χιτώνων.

Περὶ δὲ τῆς καταπόσεως, οὐδ᾽ ἄχρι τοσούτου. τί γάρ φησιν; ὁλκὴ μὲν οὖν τῆς κοιλίας οὐδὲ μία φαίνεται εἶναι, καὶ μὴν δύο χιτῶνας ἡ γαστὴρ ἔχει, πάντως ἕνεκά του γεγονότας, καὶ διήκουσιν οὗτοι μέχρι, καὶ τοῦ στόματος. ὁ μὲν ἔνδον, οἷός ἐστι κατὰ τὴν γαστέρα, τοιοῦτος διαμένων, ὁ δ᾽ ἕτερος ἐπὶ τὸ σαρκωδέστερον ἐν τῷ στομάχῳ τετραμμένος. ὅτι μὲν οὖν ἐναντίας ἀλλήλαις τὰς ἐπιβολὰς τῶν ἰνῶν ἔχουσιν οἱ χιτῶνες οὗτοι, τὸ φαινόμενον αὐτὸ μαρτυρεῖ. τίνος δ᾽ ἕνεκα τοιοῦτοι γεγόνασιν, Ἐρασίστρατος μὲν οὐδ᾽ ἐπεχείρησεν εἰπεῖν, ἡμεῖς δ᾽ ἐροῦμεν. ὁ μὲν ἔνδον, εὐθείας ἔχει τὰς ἶνας, ὁλκῆς γὰρ ἕνεκα γέγονεν. ὁ δ᾽ ἔξωθεν ἐγκαρσίας, ὑπὲρ τοῦ κατὰ κύκλον περιστέλλεσθαι. ἑκάστων γὰρ καὶ τῶν κινουμένων ὀργάνων ἐν τοῖς σώμασι, κατὰ τὰς τῶν ἰνῶν θέσεις αἱ κινήσεις εἰσίν. ἐπ᾽ αὐτῶν δὲ πρότερον τῶν μυῶν, εἰ βούλει, βασάνισον τὸν λόγον, ἐφ᾽ ὧν καὶ αἱ ἶνες ἐναργέσταται, καὶ αἱ κινήσεις αὐτῶν ὁρῶνται διὰ σφοδρότητα. μετὰ δὲ τοὺς μῦς,

CAPVT VIII.

De ventriculi Tunicis.

De deglutitione verò, ne tantum quidem egit; quid enim ait? Attractio quidem ventriculi nulla esse videtur. Atqui ventriculus duas habet tunicas, quæ omninò alicuius gratia sunt conditæ, pertinéntque hæ etiam vsque ad ipsum os, quæ quidem interior est, qualis in ipso est ventre, talis persistens; altera in carnosam magis in gula conuersa. Ac quòd contrarias inter se fibrarum dispositiones hæ tunicæ habeant, ipsa rei euidentia testatur; cuius autem causa tales sint conditæ, Erasistratus certè ne vel conatus est dicere; nos verò nunc dicemus. Quæ interna est, in directum porrectas habet fibras, vt quæ trahendi causa sit instituta; externa transuersas, quò circulo contrahant; quippe singulorum, quæ mouentur instrumentorum corpora pro fibrarum situ motus habent. Primùm autem, si placet, in musculis ipsis sermonem examina; in quibus tum fibræ ipsæ, tum motus propter excellentiam euidentissimè cernuntur. A musculis

ad naturalia instrumenta te conferas, omninò videbis ea per fibras moueri; itaque etiam singulis intestinis circulares in vtraque tunica fibræ sunt; contrahuntur enim duntaxat, nec quicquam trahunt; at venter alias fibrarum rectas habet, quibus scilicet trahat; alias transuersas, quibus constringat. Quemadmodum enim in musculis, dum fibra quæque intenditur atque ad principium retrahitur, motus eorum obitur, itidem in ventre; dum transuersæ fibræ tenduntur, latitudinem contentæ inter ipsas cauitatis minorem fieri est necesse; rectæ verò dum trahuntur, ac in seipsas coguntur, fieri nequit, vt non minuatur longitudo. At verò deglutientibus nobis, liquidò cernitur larynx imminutus, sursúmque in tantum currens, quantum gula deorsum trahitur. Qúmque completa iam deglutiendi functione laxauerit se gula, luculenter descendere cernitur larynx; siquidem interna ventriculi tunica, quæ rectas habet fibras, quæque tum gulam intrinsecus vestit, tum os ipsum, ea super internis laryngis partibus extenditur. Itaque fieri nequit, quum ipsa à ventriculo deorsum trahitur, vt non simul & larynx attrahatur. Quòd autem circulares fibræ, quibus contrahuntur tum aliæ partes, tum verò ventriculus, de longitudine nihil minuant, sed latitudinem contrahant atque angustent, id quidem Erasistratum fateri inuenias; quippe cibos toto concoctionis tempore vndique constringere ventrem ait. At si vndique constringit, nec tamen quicquam de ventris longitudine aufert, non est eius qui constringit motus, proprium, vt gulam deorsum trahat. Quippe quod Erasistratus ipse dixit, id illi tantummodò contingit, vt dum superiores partes contrahuntur, inferiores dilatentur; id verò quod si in demortui quoque gulam aquam infundas, fieri cernetur nemo ignorat; transitum namque materiæ per angustum corpus, id accidens consequitur; mirum enim sit, si transeunte per ipsum mole aliqua, non dilatetur. Illud ergo quòd supernis partibus contractis infernæ dilatentur, commune est tum mortuis corporibus, per quæ quoquomodo aliquid transit, tum viuis, idque siue constringantur ab iis, quæ transeunt, siue trahantur: at minuere longitudinem, instrumentorum, quibus rectæ sunt fibræ, quò scilicet aliquid attrahant, proprium est munus; atqui demonstratum est gulam attrahere, non enim aliàs laryngem traheret; patet igitur ventriculum per gulam cibos attrahere, & in vomitione eorum, quæ vomuntur, vsque ad os ipsum delatio, omninò siquidem & ipsa partes eas gulæ, quæ à subeuntibus dilatantur, hiantes habet: partium verò quæ à fronte, quamcunque complexa fuerit vndique, hanc dilatat obsequentem; quæ verò à tergo pars est, hanc vtique contractam relinquit; ita vt gulæ affectus iuxta hoc omninò deglutientium affectui similis sit. Cæterùm vbi tractus nullus adest, longitudo tota in talibus symptomatis æqua seruatur. Atque idcircò deglutire facilius est, quàm vomere, quia deglutitur ambabus ventris tunicis agentibus interna quidem trahente, externa se contrahente vnáque trudente; vomitur autem altera tantum, quæ foris est agente, nec vlla in os trahente. Non enim sicuti ventris appetentia deglutiendos cibos præcedit, sic in vomitionibus appetit oris pars vlla excitati affectus quippiam;

A ἐπὶ τὰ φυσικὰ τῶν ὀργάνων ἴῃ, καὶ πάντως ὄψει κατὰ τὰς ἶνας κινούμενα. καὶ διὰ τοῦθ' ἑκάστῳ μὲν τῶν ἐντέρων, στρογγύλαι καθ' ἑκάτερον τῶν χιτώνων αἱ ἶνές εἰσι. περιστέλλονται γὰρ μόνον, ἕλκουσι δὲ οὐδέν. ἡ γαστὴρ δὲ τῶν ἰνῶν, τὰς μὲν εὐθείας ἔχει χάριν ὁλκῆς, τὰς δ' ἐγκαρσίας, ἕνεκα περιστολῆς. ὥσπερ γὰρ ἐν τοῖς μυσὶν ἑκάστης τῶν ἰνῶν τεινομένης τε, καὶ πρὸς τὴν ἀρχὴν ἑλκομένης, αἱ κινήσεις γίγνονται, κατὰ τὸν αὐτὸν λόγον ἐν τῇ γαστρί. τῶν μὲν ἐγκαρσίων ἰνῶν τεινομένων, ἔλαττον ἀνάγκη γίγνεσθαι τὸ εὖρος τῆς περιεχομένης ὑπ' αὐτῶν κοιλότητος. τῶν δ' εὐθειῶν ἑλκο-

B μένων τε, καὶ εἰς αὑτὰς συναγομένων, οὐκ ἐνδέχεται μὴ οὐ συναιρεῖσθαι τὸ μῆκος. ἀλλὰ μὴν ἐναργῶς φαίνεται καταπινόντων συναιρούμενον, καὶ τοσοῦτον ὁ λάρυγξ ἀνατρέχων, ὅσον ὁ στόμαχος κατασπᾶται. καὶ ὅταν γε συμπληρωθείσης τῆς ἐν τῷ καταπίνειν ἐνεργείας ἀφεθῇ τῆς τάσεως ὁ στόμαχος, ἐναργῶς πάλιν φαίνεται καταφερόμενος ὁ λάρυγξ. ὁ γὰρ ἔνδον χιτὼν τῆς γαστρὸς, ὁ τὰς εὐθείας ἶνας ἔχων, ὁ καὶ τὸν στόμαχον ὑπαλείφων, καὶ τὸ στόμα τοῖς ἐντὸς μέρεσιν ἐπεκτείνεται τοῦ λάρυγγος, ὥστ' οὐκ ἐνδέχεται κατασπωμένων αὐτῶν ὑπὸ τῆς κοιλίας, μὴ οὐ συνεπισπᾶσθαι

C καὶ τὸν λάρυγγα. ὅτι δ' αἱ περιφερεῖς ἶνες, αἷς περιστέλλεται τά τ' ἄλλα μόρια καὶ ἡ γαστὴρ, οὐ συναιροῦσι τὸ μῆκος, ἀλλὰ συστέλλουσι, καὶ στενοῦσι τὴν εὐρύτητα, καὶ παρ' αὐτοῦ λαβεῖν ἐστιν ὁμολογούμενον Ἐρασιστράτου. περιστέλλεσθαι γάρ φησι τοῖς σιτίοις τὴν γαστέρα, κατὰ τὸν τῆς πέψεως ἅπαντα χρόνον. ἀλλ' εἰ περιστέλλεται μὲν, οὐδὲν δὲ τοῦ μήκους ἀφαιρεῖται τῆς κοιλίας, οὐκ ἔστι τῆς περισταλτικῆς κινήσεως ἴδιον, τὸ κατασπᾶν κάτω τὸν στόμαχον. ὅπερ γὰρ αὐτὸς ὁ Ἐρασίστρατος εἶπε τοῦτο μόνον αὐτῷ συμβήσεται, τὸ τῶν ἄλλων συστελλομένων, διαστέλλεσθαι τὰ κάτω. τοῦτο δ' ὅτι, κἂν εἰς νεκρὸν τὸν στόμα-

D χον ὕδατος ἐγχέοις φαίνεται γιγνόμενον, οὐδεὶς ἀγνοεῖ. ταῖς γὰρ τῶν ὑλῶν διὰ στενοῦ τοῦ σώματος ὁδοιπορίαις, ἀκόλουθόν ἐστι τὸ σύμπτωμα. θαυμαστὸν γὰρ εἰ διερχομένου τινὸς αὐτὸν ὄγκου, μὴ διαστελεῖται. οὐκοῦν τὸ μὲν τῶν ἄνω συστελλομένων, διαστέλλεσθαι τὰ κάτω, κοινόν ἐστι καὶ τοῖς νεκροῖς σώμασι, δι' ὧν ὁπωσοῦν τι διεξέρχεται, καὶ τοῖς ζῶσιν, εἴτε περιστέλλοιτο τοῖς διερχομένοις, εἴθ' ἕλκοιτο. τὸ δὲ τῆς τοῦ μήκους συναιρέσεως, ἴδιον τῶν τὰς εὐθείας ἶνας ἐχόντων ὀργάνων, ἵν' ἐπισπάσωνταί τι. ἀλλὰ μὴν ἐδείχθη κατασπώμενος ὁ στόμαχος, οὐ γὰρ ἂν εἷλκε τὸν λάρυγγα. δῆλον οὖν ὡς ἡ γαστὴρ ἕλκει

E τὰ σιτία διὰ τοῦ στομάχου, καὶ ἡ κατὰ τὸν ἔμετον δὲ τῶν ἐμουμένων ἄχρι τοῦ στόματος φορά. πάντως μέν που καὶ αὐτὴ, τὰ μὲν ὑπὸ τῶν ἀναφερομένων διατεινόμενα μέρη τοῦ στομάχου, διεστῶτα κέκτηται. τῶν πρόσω δ' ὅτι ἂν ἑκάστοτ' ἐπιλαμβάνηται, τοῦτ' ἐρχόμενον διαστέλλεται, τὸ δ' ὄπισθεν καταλείπει δηλονότι συστελλόμενον, ὥσθ' ὁμοίαν εἶναι πάντη τὴν διάθεσιν τοῦ στομάχου, κατά γε τοῦτο τῇ τῶν καταπινόντων. ἀλλὰ τῆς ὁλκῆς μὴ παρούσης, τὸ μῆκος ὅλον, ἴσον ἐπὶ τοῖς τοιούτοις συμπτώμασι διαφυλάττεται. διὰ τοῦτο καὶ καταπίνειν ῥᾷόν ἐστιν ἢ ἐμεῖν, ὅτι καταπίνεται μὲν, ἀμφοῖν τῆς γα-

F στρὸς τῶν χιτώνων ἐνεργούντων, τοῦ μὲν ἐντὸς ἕλκοντος, τοῦ δ' ἐκτὸς περιστελλομένου τε, καὶ συνεπωθοῦντος· ἐμεῖται δὲ θατέρου μόνου τοῦ ἔξωθεν ἐνεργοῦντος, οὐδενὸς ἕλκοντος εἰς τὸ στόμα. οὐ γὰρ δὴ ὥσπερ ἡ τῆς γαστρὸς ὄρεξις προηγεῖτο τοῦ καταπίνειν τὰ σιτία, τὸν αὐτὸν τρόπον κἀν τοῖς ἐμέτοις, ἐπιθυμεῖ τι τῶν κατὰ τὸ στόμα μορίων τοῦ γιγνομένου παθήματος,

ἀλλ' ἄμφω τῆς γαστρὸς αὐτῆς εἰσιν ἐναντίαι διαθέσεις, ὀρεγομένης μὲν καὶ προσιεμένης τὰ χρήσιμά τε, καὶ οἰκεῖα. δυσχεραινούσης δὲ, καὶ ἀποτριβομένης τὰ ἀλλότρια. διὸ καὶ τὸ καταπίνειν αὐτά, τοῖς μὲν ἱκανῶς ὀρεγομένοις τῶν οἰκείων ἐδεσμάτων τῇ γαστρὶ, τάχιστα γίγνεται, σαφῶς ἑλκούσης αὐτὰ, καὶ κατασπώσης, πρὶν μασηθῆναι. τοῖς δ' ἤτοι φάρμακόν τι κατ' ἀνάγκην πίνουσιν, ἤ τι σιτίον ἐν χώρᾳ φαρμάκου προσφερομένοις, ἀνιαρὰ, καὶ βραδεῖα, καὶ μόγις ἡ κατάποσις αὐτῶν ἐπιτελεῖται. δῆλος οὖν ἐστιν ἐκ τῶν εἰρημένων, ὁ μὲν ἔνδον χιτὼν τῆς γαστρὸς, ὁ τὰς εὐθείας ἔχων ἶνας, τῆς ἐκ τοῦ στόματος εἰς αὐτὴν ὁλκῆς ἕνεκα γεγονὼς, καὶ διὰ τοῦτο ἐν ταῖς καταπόσεσι μόναις ἐνεργῶν. ὁ δ' ἔξωθεν ὁ τὰς ἐγκαρσίας ἶνας ἔχων, ἕνεκα μὲν τοῦ περιστέλλεσθαι τοῖς ἐνυπάρχουσι, καὶ προωθεῖν αὐτὰ τοιοῦτος ἀποτελεσθείς. ἐνεργῶν δ' οὐδὲν ἧττον ἐν τοῖς ἐμέτοις, ἢ ταῖς καταπόσεσιν. ἐναργέστατα δὲ μαρτυρεῖ τῷ λεγομένῳ, καὶ τὸ κατὰ τὰς χάννας τε, καὶ τοὺς συνόδοντας γιγνόμενον. εὑρίσκεται γὰρ ἐνίοτε τούτων ἡ γαστὴρ ἐν τῷ στόματι, καθάπερ καὶ Ἀριστοτέλης ἐν ταῖς περὶ ζώων ἔγραψεν ἱστορίαις, καὶ προστίθησί γε τὴν αἰτίαν, ὑπὸ λαιμαργίας αὐτοῖς τοῦτο συμβαίνειν φάσκων. ἔχει γὰρ ὧδε. κατὰ τὰς σφοδροτέρας ὀρέξεις ἄνω προέρχεται πᾶσι τοῖς ζώοις ἡ γαστὴρ, ὥστε τινὲς τοῦ πάθους αἴσθησιν ἐναργῆ ἔχοντες, ἐξέρπειν αὐτοῖς φασι τὴν κοιλίαν. ἐνίων δὲ μασωμένων ἔτι, καὶ μήπω καλῶς ἐν τῷ στόματι τὰ σιτία κατειργασμένων, ἐξαρπάζειν φανερῶς ἀκόντων. ἐφ' ὧν οὖν ζώων φύσει λαιμάργων ὑπαρχόντων, ἥ τ' εὐρυχωρία τοῦ στόματός ἐστι δαψιλὴς, ἥ τε τῆς γαστρὸς θέσις ἐγγὺς, ὡς ἐπὶ συνόδοντος καὶ χάννης, οὐδὲν θαυμαστὸν, ὅταν ἱκανῶς πεινάσαντα, διώκῃ τι τῶν μικροτέρων ζώων, εἶτ' ἤδη πλησίον εἴη τοῦ συλλαβεῖν, ἀνατρέχειν ἐπειγούσης τῆς ἐπιθυμίας εἰς τὸ στόμα τὴν γαστέρα. γενέσθαι δ' ἄλλως ἀμήχανον τοῦτο, μὴ οὐχ, ὥσπερ διὰ χειρὸς τοῦ στομάχου τῆς γαστρὸς ἐπισπωμένης εἰς ἑαυτὴν τὰ σιτία. καθάπερ γὰρ καὶ ἡμεῖς ὑπὸ προθυμίας ἐνίοτε τῇ χειρὶ συνεπεκτείνομεν ὅλους ἡμᾶς αὐτοὺς, ἕνεκα τοῦ θᾶττον ἐπιδράξασθαι τοῦ προκειμένου σώματος, οὕτω καὶ ἡ γαστὴρ, οἷα χειρὶ τῷ στομάχῳ συνεπεκτείνεται. καὶ διὰ τοῦτο ἐφ' ὧν ζώων ἅμα τὰ τρία ταυτὶ συνέπεσεν, ἔφεσίς τε σφοδρὰ τῆς τροφῆς, ὅ τε στόμαχος μικρὸς, ἥ τ' εὐρυχωρία τοῦ στόματος δαψιλὴς, ἐπὶ τούτων ὀλίγη ῥοπὴ τῆς ἐπεκτάσεως, εἰς τὸ στόμα τὴν κοιλίαν ὅλην ἀναφέρει. ἤρκει μὲν οὖν ἴσως ἀνδρὶ φυσικῷ παρ' αὐτῆς μόνης τῆς κατασκευῆς τῶν ὀργάνων, τὴν ἔνδειξιν τῆς ἐνεργείας λαμβάνειν. οὐ γὰρ δὴ μάτην γ' ἂν ἡ φύσις ἐκ δυοῖν χιτώνων ἐναντίως ἀλλήλοις ἐχόντων ἀπειργάσατο τὸν οἰσοφάγον, εἰ μὴ καὶ διαφόρως ἑκάτερος αὐτῶν ἐνεργεῖν ἔμελλεν. ἀλλ' ἐπεὶ πάντα μᾶλλον, ἢ τὰ τῆς φύσεως ἔργα διαγινώσκειν, οἱ περὶ τὸν Ἐρασίστρατόν εἰσιν ἱκανοὶ, φέρε κἀκ τῆς τῶν ζώων ἀνατομῆς ἐπιδείξωμεν αὐτοῖς, ὡς ἑκάτερος τῶν χιτώνων ἐνεργεῖ τὴν εἰρημένην ἐνέργειαν. εἰ δή τι λαβὼν ζῶον, εἶτα γυμνώσας αὐτοῦ τὰ περικείμενα τῷ στομάχῳ σώματα, χωρὶς τοῦ διατεμεῖν τινα τῶν νεύρων, ἢ τῶν ἀρτηριῶν, ἢ τῶν φλεβῶν τῶν αὐτόθι τεταγμένων, ἐθέλοις ἀπὸ τῆς γένυος ἕως τοῦ θώρακος εὐθείαις τομαῖς διελεῖν τὸν ἔξω χιτῶνα, τὸν ἔχοντα τὰς ἶνας ἐγκαρσίας, κἄπειτα τῷ ζώῳ τροφὴν προσενεγκεῖν, ὄψει καταπίνον αὐτὸ, καίτοι τῆς περισταλτικῆς ἐνεργείας ἀπολωλυίας. εἰ δ' αὖ πάλιν ἐφ' ἑτέρου ζώου διατέμοις ἀμφοτέρους τοὺς χιτῶνας τομαῖς ἐγκαρσίαις, θεάσῃ καὶ τοῦτο καταπίνον, οὐκέτ' ἐνεργοῦντος τοῦ ἐντός. ᾧ δῆλον, ὅτι καὶ θατέρῳ αὐτῶν καταπίνειν οἷόν τ' ἐστὶν, ἀλλὰ χεῖρον ἢ δι' ἀμφοτέρων.

A sed sunt ambo ventris affectus inter se contrarij; alter appetentis, & suscipientis, quæ vtilia sunt, ac propria; alter abhorrentis, & reiicientis, quæ sunt aliena. Eóque deglutitio ipsa in iis, qui conuenientes ventri cibos immodicè appetunt, ocyssimè fit, ventre scilicet eos manifestè attrahente, ac deorsum vellente prius, quàm sint mansi; in iis verò, qui vel medicamentum aliquod coacti bibunt, vel cibum aliquem medicamenti loco sumunt, molesta deglutitio est, ægréque perficitur. Ergo ex iam dictis patet, internam gulæ tunicam, cui rectæ sunt fibræ, quò ab ore in se attrahat, esse institutam, eóque in deglutiendo B tantum agere; externam verò cui transuersæ sunt fibræ, quò constringat ea quæ continet, ac protrudat, talem esse factam, eandem tamen non minùs in vomendo, quàm deglutiendo, operam suam nauantem. Clarissimè subscribit his, quæ dicimus & quod in hiatulis, & voracibus accidit; horum enim venter interim in ore inuenitur, veluti Aristoteles in libris de animalium historia prodidit, redditâ etiam causa; præ ingluuie id inquiens illis contingere; ita enim scribit. *In vehementiore appetentia venter omnibus animalibus sursum procurrit adeo, vt nonnulli, quum primum* C *incipere eum affectum sentiunt, foràs repere sibi ventrem dicant: aliis verò cibos, quos adhuc mandunt nec dum satis ore confecerunt, eripit planè inuitis. Ergo in iis animalibus, quæ natura sunt gulosa, quibúsque oris laxitas est ampla, ac ventris situs propinquus (veluti in hiatulis & voracibus cernitur) nihil miri est, si quum in admodum vehementi esurie, minorum animalium aliquod prosequuntur, ac iam in eo propè sunt, vt comprehendant, auiditate perurgente venter eorum in os sursum rapitur. Fieri autem id aliter prorsus nequit, nisi venter cibos per gulam, veluti per manum, ad se trahat.* D *Sicuti enim & nos præ studio aliquando nos totos vnà cum manu extendimus, quò promptiùs corpus, quod petimus, apprehendamus, ita & venter cum gula, veluti cum manu, vnà extenditur. Proinde in quibus animalibus hæc tria simul incidunt, vehemens nutrimenti auiditas, paruus stomachus, & oris laxitas ampla, in his leuis extensionis motus, totum ventrem sursum in os agit.* Ac physico quidem homini fortasse sufficeret ex vna ipsa instrumentorum compositione argumentum actionis sumpsisse; nam frustra profectò natura ex duabus tunicis, quæ contrario modo inter se habent, E œsophagum fecisset nisi earum vnaquæque dissimili modo agere posset. Verùm quoniam omnia citiùs, quàm naturæ opera dignoscere Erasistrati sectatores possunt, agedum ex animalium dissectione doceamus eos, vtramque tunicam prædictis fungi actionibus. Ergo si accepto animali quopiam, corpora quæ circa stomachum eius sunt, auferens nullo eorum, quæ illic habentur, nec neruo, nec arteria, nec vena præcisa, velis à mento ad thoracem vsque externam gulæ tunicam, cui transuersæ sunt fibræ, recta sectione diuidere, mox cibum animali obiicere, videbis id cibum deglutire, F tametsi constringendi vis illi sit adempta. Rursus si in altero animali vtramque tunicam transuersa incisione secueris, id quoque deglutire videbis, nullam etiam opem ferente tunica interna. Ex quo manifestè patet, quòd alterâ earum deglutire licet, cæterùm deterius quàm ambabus.

Etenim

Etenim præter alia illud quoque perſpicere in iam dicta diſſectione licet, quòd inter deglutiendum, ſpiritu qui vnà cum cibis deglutitur, ſtomachus impletur; is autem conſtringente ſe externâ tunicâ, facile in ventrem cum cibis compellitur; tempore autem, quo intus eſt, deſcendentibus cibis impedimento fit, tum eam diſtendens, tum eius actionem impediens. Sed nec horum cuiuſquam Eraſiſtratus meminit; nec quòd obliquus ſtomachi ſitus eorum dogma clarè refellit, qui putant ea, quæ deglutiuntur, à momento illo, quo supernè ſunt impulſa, vſque in ventrem promoueri. Vnum modò rectè dixit, multa eorum animalium, quibus longum collum eſt, inclinato corpore deglutire. Quo ſcilicet ſenſibili effectu planum eſt demonſtrare eum non vtique, quemadmodum deglutiamus, ſed quemadmodum non deglutiamus; nam quòd non ex ſolo eo, qui supernè incipit, impulſu planè ex hoc patet: an tamen ventre trahente, an gula ea ducente id certè adhuc non patet. Verùm nos ductis omnibus rationibus, & quæ ex inſtrumentorum compoſitione ſuppeditantur, & quæ ex aliis ſymptomatis, quæque ante nudatam gulam, quæque poſt apparere paulò ante diximus, abundè indicauimus trahendi gratia tunicam internam, trudendi externam eſſe conditam. Ac propoſitum nobis erat demonſtrare in ſingulis inſtrumentis retentricem ineſſe vim, ſicuti in ſuperiore libro attractricem, atque etiam alteratricem; ipſa verò ſermonis conſecutione ducti, quatuor eſſe in ventre facultates indicauimus; in deglutiendo, attractricem; in concoquendo, retentricem; in vomitione, concoctione, & ciborum in tenue inteſtinum deſcenſu expultricem; ipſam verò concoctionem alterationem eſſe.

πρὸς γὰρ αὖ τοῖς ἄλλοις, καὶ τοῦτ' ἔστι σαφῶς θεάσασθαι ἐπὶ τῆς εἰρημένης ἀνατομῆς, ὡς ἐν τῷ καταπίνειν ὑποπίμπλαται πνεύματος ὁ στόμαχος τοῦ συγκαταπινομένου τοῖς σιτίοις, ὁ περιστελλομένου μὲν τοῦ ἔξωθεν χιτῶνος, ὠθεῖται ῥᾳδίως εἰς τὴν γαστέρα σὺν τοῖς ἐδέσμασι. χρόνου δὲ τοῦ ἔνδον ὑπάρχοντος, ἐμποδὼν ἵσταται τῇ φορᾷ τῶν σιτίων, διατείνων τε αὐτὸν, καὶ τὴν ἐνέργειαν ἐμποδίζων. ἀλλ' οὐδὲ τούτων οὐδὲν Ἐρασίστρατος εἶπεν, οὐθ' ὡς ἡ σκολιὰ θέσις τοῦ στομάχου διαβάλλει σαφῶς τὸ δόγμα, τῶν νομιζόντων ὑπὸ τῆς ἄνωθεν βολῆς ποδηγούμενα, μέχρι τῆς γαστρὸς ἰέναι τὰ καταπινόμενα. μόνον δ' ὅτι πολλὰ τῶν μακροτραχήλων ζώων ἐπικεκυφότα καταπίνει, καλῶς εἶπεν. ᾧ δῆλον ὅτι φαινομένων, οὐ τὸ πῶς καταπίνομεν ἀποδείκνυσιν, ἀλλὰ τὸ πῶς οὐ καταπίνομεν. ὅτι γὰρ μὴ διὰ μόνης τῆς ἄνωθεν βολῆς, ἐκ τούτου δῆλον. οὐ μὴν εἴθ' ἑλκούσης τῆς κοιλίας, εἴτε παράγοντος αὐτὰ τοῦ στομάχου, δῆλον ἤδη πω. ἀλλ' ἡμεῖς γε πάντας τοὺς λογισμοὺς εἰπόντες, τούς τ' ἐκ τῆς κατασκευῆς τῶν ὀργάνων ὁρμωμένους, καὶ τοὺς ἀπὸ τῶν ἄλλων συμπτωμάτων, τῶν τε πρὸ τοῦ γυμνωθῆναι τὸν στόμαχον, καὶ γυμνωθέντος, ὡς ὀλίγῳ πρόσθεν ἐλέγομεν, ἱκανῶς ἐνεδειξάμεθα, τοῦ μὲν ἕλκειν ἕνεκα, τὸν ἐντὸς χιτῶνα, τοῦ δ' ἀπωθεῖν τὸν ἐκτὸς γεγονέναι. προὐθέμεθα μὲν οὖν ἀποδεῖξαι τὴν καθεκτικὴν δύναμιν ἐν ἑκάστῳ τῶν ὀργάνων οὖσαν, ὥσπερ ἐν τῷ πρόσθεν λόγῳ τὴν ἑλκτικήν τε, καὶ προσέτι τὴν ἀλλοιωτικήν. ὑπὸ δὲ τῆς ἀκολουθίας τοῦ λόγου, τὰς τέτταρας ἀπεδείξαμεν ὑπαρχούσας τῇ γαστρὶ, τὴν ἑλκτικὴν μὲν ἐν τῷ καταπίνειν, τὴν καθεκτικὴν δὲ ἐν τῷ πέττειν, τὴν ἀποκριτικὴν δ' ἐν τοῖς ἐμέτοις, καὶ ταῖς τῶν πεπεμμένων σιτίων εἰς τὸ λεπτὸν ἔντερον ὑποχωρήσεσιν, αὐτὴν δὲ τὴν πέψιν ἀλλοίωσιν ὑπάρχειν.

CAPVT IX.

Quatuor neceſſarias omni parti quæ nutriri debet eſſe facultates.

NOn eſt ergo, quòd de ſplene etiam dubitemus, an is quod ſibi conuenit attrahat; quod alienum eſt ſecernat; quod attrahere per naturam poteſt, id alteret, ac retineat; ſed nec de iecinore, vel vena, vel arteria, vel corde; vel cæterorum vllo; quum quatuor has facultates omni parti, quæ nutriri debeat, demonſtratum ſit neceſſarias eſſe; ideóque eas miniſtras eſſe nutritionis diximus. Tanquam enim ſtercus hominum eſt canibus ſuauiſſimum, ita iecinoris excrementorum, aliud lieni, aliud bilis veſicæ, aliud renibus, eſt iucundum.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ἀναγκαῖαι τέτταρες αἱ δυνάμεις ἅπαντι μορίῳ τῷ μέλλοντι θρέψεσθαι.

ΟΥκ οὖν ἔτ' ἀπορήσομεν, οὐδὲ περὶ τοῦ σπληνὸς, εἰ ἕλκει μὲν τὸ οἰκεῖον, ἀποκρίνει δὲ τὸ ἀλλότριον, ἀλλοιοῖ δὲ καὶ κατέχει ὅσον ἂν ἐπισπᾶσθαι πέφυκεν. οὔτε περὶ ἥπατος, ἢ φλεβὸς, ἢ ἀρτηρίας, ἢ καρδίας, ἢ τῶν ἄλλων τινός. ἀναγκαῖαι γὰρ ἐδείχθησαν αἱ τέτταρες αὗται δυνάμεις, ἅπαντι μορίῳ τῷ μέλλοντι θρέψεσθαι. καὶ διὰ τοῦτ' αὐτὰς ὑπηρέτιδας εἶναι θρέψεως ἔφαμεν. ὡς γὰρ τὸ τῶν ἀνθρώπων ἀπόπατημα τοῖς κυσὶν ἥδιστον, οὕτω καὶ τὰ τοῦ ἥπατος περιττώματα, τὸ μὲν τῷ σπληνὶ, τὸ δὲ τῇ χοληδόχῳ κύστει, τὸ δὲ τοῖς νεφροῖς οἰκεῖον.

CAPVT X.

Quam doctrinam quibus Lectoribus Galenus ſcribat.

DIceréque de eorum generatione poſt Hippocratem, Platonem, Ariſtotelem, Dioclem, Praxagoram, & Philotimum etiam nolim; neque enim de facultatibus ipſis dicerem, ſiquis priorum exactè de his diſſeruiſſet. Sed quoniam veteres quidem, quum de iis multa commodè diſſeruiſſent, omiſerunt plura ratione confutare, ne quidem ſuſpicati, vllos fore adeò impudentes ſophiſtas, qui rebus euidentibus contradicere conarentur. Iuniores verò

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Τίνα διδασκαλίαν, καὶ τοῖς ἀκροαταῖς γράφει ὁ Γαληνός.

ΚΑὶ λέγειν ἔτι περὶ τῆς τούτων γενέσεως, οὐκ ἂν ἐθέλοιμι, μεθ' Ἱπποκράτην, καὶ Πλάτωνα, καὶ Ἀριστοτέλην, καὶ Διοκλέα, καὶ Πραξαγόραν, καὶ Φιλότιμον. οὐδὲ γὰρ οὐδὲ περὶ τῶν δυνάμεων εἶπον ἄν, εἴ τις τῶν ἔμπροσθεν ἀκριβῶς ἐξείργαστο τὸν περὶ αὐτῶν λόγον. ἐπεὶ δὲ οἱ μὲν παλαιοὶ καλῶς ὑπὲρ αὐτῶν ἀποφηνάμενοι, πολλὰ παρέλιπον ἀγωνίσασθαι τῷ λόγῳ, μηθ' ὑπονοήσαντες ἔσεσθαί τινας εἰς τοσοῦτον ἀναισχυντίας σοφιστὰς, ὡς ἀντιλέγειν ἐπιχειρῆσαι τοῖς ἐναργέσιν. οἱ νεώτεροι δὲ,

οἱ μέντοι, νικηθέντες ὑπὸ τῶν σοφισμάτων ἐπείσθησαν αὐτοῖς, οἱ δέ τοι καὶ ἀντιλέγειν ἐπιχειρήσαντες, ἀπέδειν μοι πολὺ τῆς τῶν παλαιῶν ἔδοξαν δυνάμεως. διὰ τοῦτ' ὡς ἂν ἐκείνων αὐτῶν, εἴπερ ἔτι ἦν τις, ἀγωνίσασθαί μοι δοκεῖ πρὸς τοὺς ἀνατρέποντας τῆς τέχνης τὰ κάλλιστα, καὶ αὐτὸς οὕτως ἐπειράθην συνθεῖναι τοὺς λόγους. ὅτι δ' οὐδὲν, ἢ παντάπασι σμικρὸν ἀνύσω τι, καὶ τοῦτο οὐκ ἀγνοῶ. πάμπολλα γὰρ εὑρίσκω τελέως μὲν ἀποδεδειγμένα τοῖς παλαιοῖς, οὔτε δὲ συνετὰ τοῖς πολλοῖς τῶν νῦν δι' ἀμαθίαν, ἀλλ' οὐδ' ἐπιχειρούμενα γιγνώσκεσθαι διὰ ῥαθυμίαν, οὔτ' εἰ καὶ γνωσθείη τινὶ, δικαίως ἐξεταζόμενα. χρὴ γὰρ τὸν μέλλοντα γνώσεσθαί τι τῶν πολλῶν ἄμεινον, εὐθὺς μὲν καὶ τῇ φύσει, καὶ τῇ πρώτῃ διδασκαλίᾳ πολὺ τῶν ἄλλων διενεγκεῖν. ἐπειδὰν δὲ γένηται μειράκιον ἀληθείας τινὸς ἔχειν ἐρωτικὴν μανίαν, ὥσπερ ἐνθουσιῶντα, καὶ μήθ' ἡμέρας, μήτε νυκτὸς διαλείπειν, σπεύδοντά τε, καὶ συντεταμένον ἐκμαθεῖν, ὅσα τοῖς ἐνδοξοτάτοις εἴρηται τῶν παλαιῶν. ἐπειδὰν δ' ἐκμάθοι, κρίνειν αὐτὰ, καὶ βασανίζειν χρόνῳ παμπόλλῳ, καὶ σκοπεῖν πόσα μὲν ὁμολογεῖ τοῖς ἐναργῶς φαινομένοις, πόσα δὲ διαφέρεται. καὶ οὕτως τὰ μὲν αἱρεῖσθαι, τὰ δ' ἀποστρέφεσθαι. τῷ μὲν δὴ τοιούτῳ πάνυ σφόδρα χρησίμους τοὺς ἡμετέρους ἤλπικα λόγους ἔσεσθαι. εἶεν δ' ἂν ὀλίγοι παντάπασιν οὗτοι. τοῖς δ' ἄλλοις οὕτω γενήσεσθαι τὸ γράμμα περιττὸν, ὡς εἰ καὶ μῦθον ὄνῳ τις λέγοι.

partim sophismatis, quibus victi erant, fidem adhibuerunt; partim etiam sophismata refellere conati, longè mihi abesse à veterum viribus sunt visi; idcirco tanquam siquis illorum superesset, is mihi contra eos, qui artis pulcherrima subuertunt, disputaturus videretur, ipse quoque sic libros conscribere sum conatus. Quòd autem, aut nihil, aut siquid effecero, omninò exiguum id erit, haud ignoro. Multa namque inuenio ab antiquis ad vnguem demonstrata, quæ tamen hodie à plerisque, nec propter ignorantiam intellecta sunt, nec propter socordiam intelligi tentata; adde quòd nec si cui sunt cognita, ab hoc etiam iustè sunt examinata. Quisquis enim nosse quid supra vulgum debebit, statim non naturâ modò, verùm etiam primis doctrinarum rudimentis, multum cæteris præstet oportet. Idem vbi iam adoleuerit, veritatis insano quodam teneatur amore, veluti afflatus. Tum sine vlla diei noctisve intermissione properare, ac contendere ea quæ à clarissimis veterum tradita sunt discere; eadémque vbi didicerit iudicare, multóque tempore explorare, ac considerare, quæ rebus sensui patentibus consentiant, quæque rursus iisdem dissentiant; ac sic illa quidem suscipere, hæc respuere. Atque huic quidem admodum vtiles fore libellos nostros spero. (erunt autem huius generis omninò pauci) reliquis opus hoc perinde fore superfluum, ac siquis asino fabulam narret.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῆς ἑλκτικῆς τε, καὶ τῆς ἀποκριτικῆς δυνάμεως τῶν ἑκάστων ὀργάνων.

Συμπεραντέον οὖν ἡμῖν τὸν λόγον, ἕνεκα τῶν τῆς ἀληθείας ἐφιεμένων, ὅσα δὲ λείπει κατ' αὐτὸν, ἐπιπροσθήσειν. ὡς ἡ γαστὴρ ἕλκει μὲν ἐναργῶς, καὶ μετασπᾷ τὰ σιτία τοῖς σφόδρα πεινώδεσι, πρὶν ἀκριβῶς ἐν τῷ στόματι λειωθῆναι, δυσχεραίνει δὲ καὶ ἀπωθεῖται τοῖς ἀποσίτοις τε, καὶ πρὸς ἀνάγκην ἐσθίουσιν, οὕτω καὶ τῶν ἄλλων ὀργάνων ἕκαστον ἀμφοτέρας ἔχει τὰς δυνάμεις, τήν τε τῶν οἰκείων ἑλκτικὴν, καὶ τὴν τῶν ἀλλοτρίων ἀποκριτικήν. καὶ διὰ τοῦτο, κἂν ἐξ ἑνὸς ᾖ χιτῶνος, ὄργανόν τι συνεστὸς, ὥσπερ καὶ αἱ κύστεις ἀμφότεραι, καὶ αἱ μῆτραι, καὶ αἱ φλέβες, ἀμφοτέρων τῶν ἰνῶν ἔχει τὰ γένη, τῶν εὐθειῶν τε, καὶ τῶν ἐγκαρσίων. καὶ μέν γε καὶ τρίτον τι γένος ἐστὶν ἰνῶν λοξῶν, ἔλαττον πολὺ τῷ πλήθει τῶν προειρημένων δύο γενῶν. εὑρίσκεται δ' ἐν μὲν τοῖς ἐκ δυοῖν χιτώνων συνεστηκόσιν ὀργάνοις, ἐν θατέρῳ μόνῳ ταῖς εὐθείαις ἰσὶν ἀναμεμιγμένον. ἐν δὲ τοῖς ἐξ ἑνὸς, ἅμα τοῖς ἄλλοις δύο γένεσιν. συνεπιλαμβάνουσι δ' αὗται μέγιστον, τῇ τῆς καθεκτικῆς ὀνομασθείσης δυνάμεως ἐνεργείᾳ. δεῖται γὰρ ἐν τούτῳ τῷ χρόνῳ πανταχόθεν ἐσφίγχθαι, καὶ περιτετάσθαι τοῖς ἐνυπάρχουσι τὸ μόριον. ἡ μὲν γαστὴρ ἐν τῷ τῆς πέψεως, αἱ μῆτραι δὲ ἐν τῷ τῆς κυήσεως χρόνῳ παντί. ταῦτ' ἄρα, καὶ ὁ τῆς φλεβὸς χιτὼν εἷς ὢν, ἐκ πολυειδῶν ἰνῶν ἐγένετο. καὶ τῶν τῆς ἀρτηρίας, ὁ μὲν ἔξωθεν ἐκ τῶν στρογγύλων, ὁ δ' ἔσωθεν, ἐκ μὲν τῶν εὐθειῶν πλείστων, ὀλίγων δέ τινων σὺν αὐταῖς, καὶ τῶν λοξῶν, ὥστε τὰς μὲν φλέβας ταῖς μήτραις, καὶ ταῖς κύστεσιν ἐοικέναι κατά γε τὴν τῶν ἰνῶν θέσιν, εἰ καὶ τῷ πάχει λείπονται. τὰς δ' ἀρτηρίας τῇ γαστρί. μόνα δὲ πάντων ὀργάνων ἐκ δυοῖν ἅμα, καὶ ἀμφοτέρων ἐγκαρσίας ἐχόντων τὰς ἶνας ἐγένετο τὰ ἔντερα.

CAPVT XI.

De Attractrice ac Expultrice facultate singulorum Instrumentorum.

Absoluenda igitur nobis eorum causa, qui veritatis sunt cupidi, disputatio est, adiicientibus scilicet, quæ in ea desiderantur. Attrahit namque vellitque ad se ventriculus cibos manifestè iis, qui vehementer esuriunt, ante quàm sint in ore ad vnguem læuigati; recusat autem, ac reiicit iis, qui cibos fastidiunt, ac qui comesse sunt coacti. Ad eundem modum cæterorum quoque instrumentorum singula ambas obtinent facultates; & qua conueniens trahunt, & qua alienum repellunt. Proinde siquod, vel ex vna tunica instrumentum constat, veluti ambæ vesicæ, vterus & vena, vtrumque fibrarum genus obtinet, rectarum, ac transuersarum. Quin tertium quoque fibrarum genus obliquarum est, minùs omninò, quàm duo prædicta genera, numerosum; inuenitur autem id in iis instrumentis, quæ ex duabus tunicis construuntur, in altera sola rectis, scilicet ipsis fibris immixtum, in iis autem, quæ ex singulari constant tunica, vnà cum aliis duobus generibus. Sanè hæ maximè auxilium præstant retentricis facultatis actioni; postulat enim in hoc opere pars super ea, quæ continet, stringi, ac circum ea tendi; ventriculus quidem toto concoquendi cibi, vterus toto gestandi fœtus tempore. Venæ quoque tunica quum vnica sit, ex multifariis fibris est condita. Iam ex arteriæ tunicis ea, quæ externa est, ex circularibus; quæ interna est, ex rectis plurimis, paucis autem cum his obliquis est conflata. Ita venæ quod ad fibrarum situm pertinet, vteris, ac vesicis, quanquam crassitudine careant, sunt similes; arteriæ verò ventri. Sola autem instrumentorum omnium ex duabus tunicis, atque harum vtraque ex transuersis constante fibris, facta sunt intestina.

Porrò

Porrò causam reddere, cur melius sit reliquorum cuique, talem inesse naturam qualis nunc inest; intestinis autem ex duabus hisq; similibus tunicis confici, id vtique ad speculationem de vsu partium spectat. Quò minùs expectandum aliquid de talibus hîc est; veluti nec propter quid de tunicarum numero cuiusque instrumenti inter anatomicos parum conueniat; de his enim abundè in iis, quæ de anatomicorum dissidio prodidimus, est dictum. Cur autem instrumentum quodque tale sit factum, in libris de vsu partium dicetur.

τὸ δ' ὅτι βέλτιον ἦν τῶν ἄλλων ἑκάστῳ, τοιαύτην τὴν φύσιν ὑπάρχειν, οἵα περ καὶ νῦν ἐστι τοῖς ἐντέροις ἐκ δυοῖν ὁμοίων χιτώνων συγκεῖσθαι, τῆς περὶ χρείας μορίων πραγματείας ἐστίν. οὔκουν νῦν χρὴ ποθεῖν ἀκούειν ὑπὲρ τῶν τοιούτων, ὥσπερ οὐδὲ διὰ τί περὶ τοῦ πλήθους τῶν χιτώνων ἑκάστου τῶν ὀργάνων διαπεφώνηται τοῖς ἀνατομικοῖς ἀνδράσιν. ὑπὲρ μὲν γὰρ τούτων, αὐτάρκως ἐν τοῖς περὶ τῆς ἀνατομικῆς διαφωνίας εἴρηται. περὶ δὲ τοῦ, διότι τοιοῦτον ἕκαστον ἐγένετο τῶν ὀργάνων, ἐν τοῖς περὶ χρείας μορίων εἰρήσεται.

CAPVT XII.

Quo pacto Expultrix facultas ad agendum excitetur.

Hic neutrum horum statutum est exequi, sed tantum naturales facultates quatuor esse in singulis organis docere. Huc igitur denuò reuersi, quæ prius dicta sunt repetamus; atque eo quod reliquum adhuc est, adiecto summam iam toti disputationi imponamus. Quum enim singulas animalis partes, qui conueniens sibi succus sit, hunc in se trahere sit demonstratum, ac primam fermè naturalium facultatum hanc esse, illud deinceps scire conuenit, partem non prius eam, quàm attraxit materiam, vel ipsam totam, vel aliquod eius excrementum abijcere, quàm vel ipsa, vel eorum quæ in se continet, pars maxima in contrarium transierit affectum. Ac venter quidem postquam abundè cibis & satiatus, & quod vtilissimum sibi in iis est, in tunicas suas sugendo reposuit, tum quod reliquum est, tanquam alienum onus abiicit. Idem & vesicæ faciunt, vbi quoduis eorum, quæ attraxerint, vel multitudine distendens, vel qualitate mordens, redditur molestum. Pari modo, & vteri; hi namque, vbi vel distendi amplius non ferunt, vel etiam qualitate humoris in se effusi morderi, quod offendit, abiicere properant. Porrò prædictorum vtrumque aliquando non naturæ sponte, sed violenter incidit, quo casu abortus prouocatur. Fit autem plerumque, & ex naturæ commodo; quod genus non abortus, sed partus nominatur. Ac medicamenta quidem, quæ vel abortum prouocant, vel alio quopiam affectu fœtum perimunt, vel aliquas membranarum eius corrumpunt, ea nimirum sequuntur abortus; ijdem incidunt, & quum vterus ex distensione malè est affectus. Ipsius verò fœtus vehementissimis motibus succedunt partus, veluti ab Hippocrate rectè est dictum. Communis autem omnibus his affectibus ipsa est offensio; atque huius ipsius triplex est causa; aut moles nimia, aut pondus aliquod, aut morsus; moles vbi amplius distendi vterus non fert; pondus, quum supra vires eius sit, quod continet; morsus, vbi vel humores, qui prius in membranis continebantur, his ruptis in ipsum vterum sunt effusi; vel etiam totus partus corruptus, & putris, ac in noxiam saniem dissolutus vteri tunicam sic irritat, ac mordet. Ergo in omnibus instrumentis tum opera naturalia, tum etiam affectiones, morbíque singuli, proportione quadam fieri videntur; quædam adeò euidenter, & clarè, vt nullam demonstrationem eorum vllum desideret; quædam magis obscurè, sed ita tamen, vt eos qui attenti sunt, latere non possint.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Πῶς ἡ ἀποκριτικὴ δύναμις εἰς τὸ ἐνεργεῖν ἐπαγείρηται.

Νυνὶ δὲ οὐδέτερον τούτων πρόκειται λέγειν, ἀλλὰ τὰς φυσικὰς δυνάμεις μόνας ἀποδεικνύειν, ἐν ἑκάστῳ τῶν ὀργάνων τέτταρας ὑπαρχούσας. ἐπὶ τοῦτ' οὖν πάλιν ἐπανελθόντες, ἀναμνήσωμεν τῶν ἔμπροσθεν εἰρημένων, ἐπιθῶμέν τε κεφαλὴν ἤδη τῷ λόγῳ παντί, τὸ λοιπὸν ἔτι προσθέντες. ἐπεὶ γὰρ ἕκαστον τῶν ἐν τῷ ζῴῳ μορίων ἕλκειν εἰς ἑαυτὸ τὸν οἰκεῖον χυμὸν ἀποδέδεικται, καὶ πρώτη σχεδὸν αὕτη τῶν φυσικῶν ἐστι δυνάμεων, ἐφεξῆς ἐκείνῳ γνωστέον, ὡς οὐ πρότερον ἀποτρίβεται τὴν ἑλχθεῖσαν, ἤτοι σύμπασαν, ἢ καί τι περίττωμα αὐτῆς, πρὶν ἂν εἰς ἐναντίαν μεταπέσῃ διάθεσιν, ἢ αὐτὸ τὸ ὄργανον, ἢ καὶ τῶν περιεχομένων ἐν αὐτῷ τὰ πλεῖστα. ἡ μὲν οὖν γαστήρ, ἐπειδὰν μὲν ἱκανῶς ἐμπλησθῇ τῶν σιτίων, καὶ τὸ χρηστότατον αὐτῶν εἰς τοὺς ἑαυτῆς χιτῶνας ἐναπόθηται βδάλλουσα, τηνικαῦτ' ἤδη τὸ λοιπὸν ἀποτρίβεται, καθάπερ ἄχθος ἀλλότριον. αἱ κύστεις δὲ ἐπειδὰν ἕκαστον τῶν ἑλχθέντων, ἢ τῷ πλήθει διατεῖνον, ἢ τῇ ποιότητι δάκνον, ἀνιαρὸν γένηται. τῷ δ' αὐτῷ τρόπῳ, καὶ αἱ μῆτραι. ἤτοι γὰρ ἐπειδὰν μηκέτι φέρωσι διατεινόμεναι, τὸ λυποῦν ἀποθέσθαι σπεύδουσιν, ἢ τῇ ποιότητι δακνόμεναι τῶν ἐκχυθέντων εἰς αὐτὰς ὑγρῶν. ἑκάτερον δὲ τῶν εἰρημένων γίνεται μέν, καὶ βιαίως ἐστὶν ὅτε, καὶ ἀμβλώσκουσι τηνικαῦτα. γίνεται δ' ὡς τὰ πολλά, καὶ προσηκόντως, ὅπερ οὐκ ἀμβλώσκειν, ἀλλ' ἀποκυΐσκειν τε, καὶ τίκτειν ὀνομάζεται. τοῖς μὲν οὖν ἀμβλωθριδίοις φαρμάκοις, ἤ τισιν ἄλλοις παθήμασι διαφθείρουσι τὸ ἔμβρυον, ἤ τινας τῶν ὑμένων αὐτοῦ ῥηγνύουσιν, αἱ ἀμβλώσεις ἕπονται. οὕτω δὲ κἀπειδὰν ἀνιαθῶσί ποθ' αἱ μῆτραι, κακῶς ἔχουσαι τῇ διατάσει. ταῖς δὲ τῶν ἐμβρύων αὐτῶν κινήσεσι ταῖς σφοδροτάταις οἱ τόκοι, καθάπερ καὶ τοῦθ' ὑφ' Ἱπποκράτους καλῶς εἴρηται. κοινὸν δ' ἁπασῶν τῶν διαθέσεων ἡ ἀνία, καὶ ταύτης αὐτῆς αἴτιον τριττόν, ἢ ὄγκος περιττός, ἤ τι βάρος, ἢ δῆξις. ὄγκος μὲν ἐπειδὰν μηκέτι φέρωσι διατεινόμεναι, βάρος δ' ἐπειδὰν ὑπὲρ τὴν ῥώμην αὐτῶν ᾖ τὸ περιεχόμενον, δῆξις δὲ ἐπειδὰν ἤτοι τὰ πρότερον ἐν τοῖς ὑμέσιν ὑγρὰ στεγόμενα, ῥαγέντων αὐτῶν, εἰς αὐτὰς ἐκχυθῇ τὰς μήτρας, ἢ καὶ σύμπαν ἀποφθαρὲν τὸ κύημα, σηπόμενόν τε, καὶ διαλυόμενον εἰς μοχθηροὺς ἰχῶρας, οὕτως ἐρεθίζῃ, καὶ δάκνῃ τὸν χιτῶνα τῶν ὑστερῶν. ἀνάλογον οὖν ἐν ἅπασι τοῖς ὀργάνοις, ἕκαστα τῶν τε ἔργων αὐτῶν τῶν φυσικῶν, καὶ μέντοι τῶν παθημάτων τε, καὶ νοσημάτων φαίνεται γιγνόμενα, τὰ μὲν ἐναργῶς, καὶ σαφῶς οὕτως, ὡς ἀποδείξεως δεῖσθαι μηδέν. τὰ δ' ἧττον μὲν ἐναργῶς, οὐ μὴν ἄγνωστά γε παντάπασι τοῖς ἐθέλουσι προσέχειν τὸν νοῦν.

ἐπὶ μὲν οὖν τῆς γαστρὸς, αἵ τε δήξεις ἐναργεῖς, διότι πλείστης αἰσθήσεως μετέχει, τά τ' ἄλλα παθήματα, τά τε ναυτίαν ἐμποιοῦντα, καὶ οἱ καλούμενοι καρδιωγμοὶ σαφῶς ἐνδείκνυνται τὴν ἀποκριτικήν τε, καὶ ἀπωστικὴν τῶν ἀλλοτρίων δύναμιν. οὕτω δὲ κἀπὶ τῶν ὑστερῶν τε, καὶ τῆς κύστεως τῆς τὸ οὖρον ὑποδεχομένης. ἐναργῶς γὰρ καὶ αὕτη φαίνεται μέχρι τοσούτου τὸ ὑγρὸν ὑποδεχομένη τε, καὶ ἀθροίζουσα, ἄχρις ἂν, ἤτοι πρὸς τοῦ πλήθους αὐτοῦ διατεινομένη, μηκέτι φέρῃ τὴν ἀνίαν, ἢ πρὸς τῆς ποιότητος δακνομένη. χρονίζον γὰρ ἕκαστον τῶν περιττωμάτων ἐν τῷ σώματι, σήπεται δηλονότι, τὸ μὲν ἐλάττονι, τὸ δὲ πλείονι χρόνῳ. καὶ οὕτω δακνῶδές τε, καὶ δριμὺ, καὶ ἀνιαρὸν τοῖς περιέχουσι γίγνεται, οὐ μὴν ἐπί γε τῆς ἐπὶ τῷ ἥπατι κύστεως ὁμοίως ἔχει, ᾧ δῆλον, ὅτι νεύρων ἥκιστα μετέχει. χρὴ δὲ κἀνταῦθα τόν γε φυσικὸν ἄνδρα, τὸ ἀνάλογον ἐξευρίσκειν. εἰ γὰρ ἕλκειν τε τὸν οἰκεῖον ἀπεδείχθη χυμὸν, ὡς φαίνεσθαι πολλάκις μεστὴν, ἀποκρίνειν τε τὸν αὐτὸν τοῦτον οὐκ εἰς μακρὰν, ἀναγκαῖόν ἐστιν αὐτὴν, ἢ διὰ τὸ πλῆθος βαρυνομένην, ἢ τῆς ποιότητος μεταβαλλούσης ἐπὶ τὸ δακνῶδές τε, καὶ δριμὺ, τῆς ἀποκρίσεως ἐφίεσθαι. οὐ γὰρ δὴ τὰ μὲν σιτία τὴν ἀρχαίαν ὑπαλλάττει ποιότητα ταχέως οὕτως, ὥστ' ἐπειδὰν ἐμπέσῃ τοῖς λεπτοῖς ἐντέροις, εὐθὺς εἶναι κόπρον, ἡ χολὴ δ' οὐ πολλῷ μᾶλλον, ἢ τὸ οὖρον, ἐπειδὰν ἅπαξ ἐκπέσοι τῶν φλεβῶν, ἐξαλλάττει τὴν ποιότητα, τάχιστα μεταβάλλοντα καὶ σηπόμενα. καὶ μὴν εἴπερ ἐπί τε τῶν κατὰ τὰς ὑστέρας, καὶ τὴν κοιλίαν, καὶ τὰ ἔντερα, καὶ προσέτι τὴν τὸ οὖρον ὑποδεχομένην κύστιν ἐναργῶς φαίνεται διάτασίς τις, ἢ δῆξις, ἢ ἄχθος ἐπεγεῖρον ἕκαστον τῶν ὀργάνων εἰς ἀπόκρισιν, οὐδὲν χαλεπὸν κἀπὶ τῆς χοληδόχου κύστεως, ταὐτὸ τοῦτο ἐννοεῖν, ἐπί τε τῶν ἄλλων ἁπάντων ὀργάνων. ἐξ ὧν δηλονότι, καὶ αἱ ἀρτηρίαι, καὶ αἱ φλέβες εἰσίν.

Atque in ventre quidem non solum morsus, qui propter eius plurimum sensum est manifestus, sed etiam alij affectus, tum qui nauseam in eo excitant, tum qui cordis morsus vocantur, manifestè secretricem expultricémque alienorum vim indicant. Ad eundem modum in vtero, & eá quæ lotium recipit vesicâ: quippe hæc quoque humorem excipere, ac colligere hactenus cernitur, quoad vel multitudine ipsa distenta, vel qualitate demorsa nequeat amplius pati. Siquidem excrementa singula si moram in corpore diutiùs trahant, putrescunt alia spatio breuiore, alia longiore; itaque mordacia, & acria, atque iis, qui ea continent, infesta redduntur. At non in ea vesica, quæ iecinori subest, similiter se habet, vt quæ neruorum minimum habet. Debet tamen hîc quoque naturæ contemplator proportionem inuenire. Si enim demonstratum est conuenientem eam succum attrahere ita, vt sæpe cernatur plena, eundémque hunc succum non multò interposito spatio excernere, necesse est eam, vel multitudine succi pressam, vel ex qualitate eius in mordacem acrémque mutata offensam, expulsionem desiderare. Non enim profectò cibi ipsi adeò celeriter priorem qualitatem deponunt, vt protinus, quàm in tenuia intestina descenderint, stercus fiant; bilis autem non multò magis, vel otium, postquam à venis semel exciderint, qualitatem mutant; celerrimè immutata, & putrefacta. Atqui situm in iis, quæ in vtero sunt, tum ventriculo, tum intestinis, supérque in vesica ea, quæ lotium recipit, luculenter apparet, vel tensio quæpiam esse, vel morsus, vel pondus, quod singula instrumenta ad expulsionem proritet, non magno negocio id in bilis quoque vesica intelligas, æquè scilicet, vt in reliquis instrumentis omnibus; quorum è numero tam arteriæ, quàm venæ sunt.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Διὰ τοῦ αὐτοῦ πόρου τὴν ὁλκὴν γίνεσθαι, καὶ τὴν ἀπόκρισιν· καὶ περὶ τοῦ τῆς θρέψεως χρόνου ἐν ἑκάστῳ μορίῳ.

ΟΥ μὴν οὐδὲ, τὸ διὰ τοῦ αὐτοῦ πόρου τὴν ὁλκὴν γίνεσθαι, καὶ τὴν ἀπόκρισιν ἐν διαφέρουσι τοῖς χρόνοις, οὐδὲν ἔτι χαλεπὸν ἐξευρεῖν. εἴ γε καὶ τῆς γαστρὸς ὁ στόμαχος, οὐ μόνον ἐδέσματα, καὶ πόματα παράγων εἰς ἑαυτὴν, ἀλλὰ κἂν ταῖς ναυτίαις τὴν ἐναντίαν ὑπηρεσίαν ὑπηρετῶν ἐναργῶς φαίνεται. καὶ τῆς ἐπὶ τῷ ἥπατι κύστεως ὁ αὐχὴν εἷς ὤν, ἅμα μὲν δι' ἑαυτοῦ πληροῖ τὴν κύστιν, ἅμα δὲ καὶ ἐκκενοῖ. καὶ τῶν μητρῶν ὡσαύτως, ὁ στόμαχος ὁδός ἐστιν, εἴσω μὲν τοῦ σπέρματος, ἔξω δὲ τοῦ κυήματος. ἀλλὰ κἀνταῦθα πάλιν, ἡ μὲν ἐκκριτικὴ δύναμις ἐναργὴς, οὐ μὴν ὁμοίως γε σαφὴς αὐτῇ τοῖς πολλοῖς ἡ ἑλκτική. ἀλλ' Ἱπποκράτης μὲν, ἀρρώστου μήτρας αἰτιώμενος αὐχένα, φησί. οὐ γὰρ δύναται αὐτέης ὁ στόμαχος εἰρύσαι τὴν γονὴν εἴσω. Ἐρασίστρατος δὲ, καὶ Ἀσκληπιάδης εἰς τοσοῦτον ἥκουσι σοφίας, ὥστ' οὐ μόνον τὴν μήτραν, καὶ τὴν κοιλίαν ἀποστεροῦσι τῆς τοιαύτης δυνάμεως, ἀλλὰ καὶ τὴν ἐπὶ τῷ ἥπατι κύστιν ἅμα τοῖς νεφροῖς. καίτοι γ' ὅτι μηδ' εἰπεῖν δυνατὸν ἕτερον αἴτιον, ἢ οὔρων, ἢ χολῆς διακρίσεως, ἐν τῷ πρώτῳ δέδεικται λόγῳ, καὶ μήτραν οὖν, καὶ γαστέρα, καὶ τὴν ἐπὶ τῷ ἥπατι κύστιν,

CAPVT XIII.

Per eundem meatum attractionem & excretionem fieri; item de nutritionis tempore in quaque parte.

IAm nec illud difficile compertu est, & attractionem & expulsionem diuersis in temporibus per eundem meatum fieri; si modò orificium ventriculi, non cibos tantum potionémque in ipsum ducere, sed etiam in nauseis contrario fungi ministerio cernitur. Etiam vesicæ, quæ sub iecinore est, collum quum vnum sit, tamen per se vesicam non solùm implet, sed etiam vacuat. Vteri præterea orificium, pari modo, sicut intrò seminis, ita foràs partus, via est; verùm hîc rursus expultrix facultas euidens est, attractrix æquè, atque illa, multis non liquet. Verùm Hippocrates imbecilli vteri ceruicem accusans ait; *Non enim potest eius collum semen intrò trahere.* Erasistratus verò Asclepiadésque eò sapientiæ processere, vt non solùm vterum, & ventriculum eiusmodi facultate priuent, sed etiam ipsam, quæ sub iecinore est, vesicam, atque etiam renes; quanquam non posse aliam, vel vrinæ, vel bilis secernendæ causam reddi, in primo libro à nobis est monstratum. Ergo quum & vterum, & ventrem, & eam, quæ hepati subest, vesicam,

vesicam, non trahere modò, sed etiam à se pellere, per vnum idémque orificium videamus, mirari non debemus, si etiam per venas in ventrem natura nonnunquam excrementa expellit. Illud verò multò etiamnum minùs est mirandum, si per quas venas à ventre in iecur facta est distributio, rursus ex iecinore in ipsum trahi aliquod alimentum in longiore inedia potest. Quippe eiusmodi effectis fidem abrogare simile profectò est, ac siquis purgantia medicamenta, per quæ ora facta prius est distributio, per eadem neget ex toto corpore in ventrem proprios succos trahere; sed alia distributionis, alia purgationis requirat ora. Atqui si vnum idémque os duabus, quæ in contrarias partes diuersis temporibus trahant, potentiis subseruit; prius quidem ei quæ hepatis, purgandi verò tempore ei quæ est medicamenti; quid miri est in his venis, quæ medium spatium inter iecur, & partes circa ventrem occupant, duplex esse ministerium atque vsum, ita vt, cum in his copia fuerit alimenti, per iam dictas venas sursum feratur in iecur; quum autem vacua sunt nutriríque auent, per easdem ipsas ex hepate rursus trahatur? Siquidem totum ex toto trahere, ac toti impertire, vnáque omnium confluxio ac conspiratio esse videtur; quemadmodum admirabilis Hippocrates dixit. *Ac trahit quidem id, quod est valentius; vacuatur autem id quod est imbecillius.* Porrò valentior imbecilliórque vna quàm altera pars est, vel absoluto sermone, naturáque & communiter in omnibus; vel priuatim huic cuipiam talis efficitur. Et naturâ quidem omnibúsque tum hominibus tum animalibus communiter, cor quàm iecur, & iecur quàm intestina, & venter; item arteriæ quàm venæ; tum quod vtile est, ad se trahere, tum quod diuersum ab hoc est, à se pellere magis valent. Et priuatim in vnoquoque nostrum alio tempore iecur valentius trahere potest, alio ventriculus. Quippe vbi in ventriculo copia alimenti est, ac iecur vehementer appetit desiderátque, omninò id valentius trahit; inuicémque iecinore referto, ac distento, ventre verò appetente, ac vacuo valentior trahendi vis in hunc transfertur. Tanquam enim si manibus cibos aliquos tenentes alter ab altero eos raperemus, si pari quidem modo his egeremus, superare valentiorem par esset; si autem esset hic expletus, ac propterea negligenter, quæ superuacua essent, teneret, aut etiam alicui impertire studeret, imbecillior autem vehementer appeteret, nihil obstaret quominus ipse cuncta caperet; itidem venter ex iecinore facilè attrahit quum hic quidem vehementer nutriri appetit, illud nutrimento est plenum. Estque nonnunquam quominus animal esuriat, causa nutrimenti in iecinore abundantia; quippe venter, si melius paratiúsque nutrimentum habet, externum non postulat; sin aliquando postulat, nec eius copia est, excrementis impletur; ea sunt sanies quædam biliosa pituitosa atque serosa, quam solam trahenti illi, cùm scilicet nutrimento indiget, iecur remittit. Ergo sicuti inter se partes altera ab altera nutrimentum trahunt, ita altera in alteram, quod superuacuum est à se deponit; &

A δι' ἑνός, καὶ ταὐτοῦ στομάχου τήν θ' ὁλκὴν, καὶ τὴν ἀπόκρισιν εὑρίσκοντες ποιουμένας, μηκέτι θαυμάζωμεν, εἰ καὶ διὰ τῶν φλεβῶν ἡ φύσις ἐκκρίνει πολλάκις εἰς τὴν γαστέρα περιττώματα. τούτου δ' ἔτι μᾶλλον οὐ χρὴ θαυμάζειν, εἰ δι' ὧν εἰς ἧπαρ ἀνεδόθη τι φλεβῶν ἐκ γαστρὸς, αὖθις εἰς αὐτὴν ἐξ ἥπατος ἐν ταῖς μακροτέραις ἀσιτίαις δύναται ἕλκεσθαι ἡ τροφή. τὸ γὰρ τοῖς τοιούτοις ἀπιστεῖν, ὅμοιόν ἐστι δήπου τῷ μηκέτι πιστεύειν, μὴ δ' ὅτι τὰ καθαίροντα φάρμακα διὰ τῶν αὐτῶν στομάτων, ἐξ ὅλου τοῦ σώματος εἰς τὴν γαστέρα τοὺς οἰκείους ἐπισπᾶται χυμοὺς, δι' ὧν ἔμπροσθεν ἡ ἀνάδοσις ἐγίνετο, ἀλλ' ἕτερα μὲν ζητεῖν ἀναδόσεως, ἕτερα δὲ καθάρσεως στόματα. καὶ μὴν εἴπερ ἓν καὶ ταὐτὸν στόμα διτταῖς ὑπηρετεῖ ταῖς δυνάμεσιν, ἐν διαφόροις χρόνοις εἰς τἀναντία τὴν ὁλκὴν ποιουμέναις, ἔμπροσθεν μὲν τῇ κατὰ τὸ ἧπαρ. ἐν δὲ τῷ τῆς καθάρσεως καιρῷ τῇ τοῦ φαρμάκου, τί θαυμαστόν ἐστι, διττὴν ὑπηρεσίαν τε, καὶ χρείαν εἶναι ταῖς φλεψὶ, ταῖς ἐν τῷ μέσῳ τεταγμέναις ἥπατός τε, καὶ τῶν κατὰ τὴν κοιλίαν, ὥσθ' ὁπότε μὲν ἐν τούτοις ἄφθονος εἴη περιεχομένη τροφὴ, διὰ τῶν εἰρημένων εἰς

C ἧπαρ ἀναφέρεσθαι φλεβῶν, ὁπότε δ' εἴη κενὰ, καὶ δεόμενα τρέφεσθαι, διὰ τῶν αὐτῶν αὖθις ἐξ ἥπατος ἕλκεσθαι. πᾶν γὰρ ἐκ παντὸς ἕλκειν φαίνεται, καὶ παντὶ μεταδιδόναι, καὶ μίαν πάντων εἶναι σύῤῥοιαν, καὶ σύμπνοιαν, καθάπερ καὶ τοῦθ' ὁ θαυμασιώτατος Ἱπποκράτης εἶπεν. ἕλκει μὲν οὖν τὸ ἰσχυρότερον, ἐκκένουται δὲ τὸ ἀσθενέστερον. ἰσχυρότερον δὲ καὶ ἀσθενέστερον ἕτερον ἑτέρου μόριον, ἢ ἁπλῶς, καὶ φύσει, καὶ κοινῇ πᾶσίν ἐστιν. ἢ ἰδίως τῷδέ τινι γίγνεται. φύσει μὲν καὶ κοινῇ πᾶσιν ἀνθρώποις τε, ἅμα καὶ ζώοις. ἡ μὲν καρδία τοῦ ἥπατος, τὸ δ' ἧπαρ

D ἐντέρων τε, καὶ γαστρὸς, αἱ δ' ἀρτηρίαι τῶν φλεβῶν, ἑλκύσαι τε τὸ χρήσιμον ἑαυταῖς, ἀποκρῖναί τε τὸ μὴ τοιοῦτον ἰσχυρότεραι. καὶ καθ' ἕκαστον δ' ἡμῶν ἰδίως, ἐν μὲν τῷδε τῷ καιρῷ τὸ ἧπαρ ἰσχυρότερον ἕλκειν, ἐν δὲ τῷδε ἡ γαστήρ. πολλῆς μὲν γὰρ ἐν τῇ κοιλίᾳ περιεχομένης τροφῆς, καὶ σφοδρῶς ὀρεγομένου τε, καὶ χρήζοντος τοῦ ἥπατος, πάντως ἰσχυρότερον ἕλκει τὸ σπλάγχνον. ἔμπαλιν δὲ τοῦ μὲν ἐμπεπλησμένου τε, καὶ διατεταμένου, τῆς γαστρὸς δ' ὀρεγομένης τε, καὶ κενῆς ὑπαρχούσης, ἡ τῆς ὁλκῆς ἰσχὺς εἰς ἐκείνην μεθίσταται, ὥσπερ εἰ κἂν ταῖς χερσί τινα

E σιτία κατέχοντες, ἀλλήλων ἁρπάζοιμεν, εἰ μὲν ὁμοίως εἴημεν δεόμενοι, περιγίνεσθαι τὸν ἰσχυρότερον εἰκός. εἰ δ' οὗτος μὲν ἐμπεπλησμένος εἴη, καὶ διὰ τοῦτο ἀμελῶς κατέχων τὰ περιττὰ, ἢ καί τινι μεταδοῦναι ποθῶν, ὁ δ' ἀσθενέστερος ὀρέγοιτο δεινῶς, οὐδὲν ἂν εἴη κώλυμα τοῦ μὴ πάντα λαβεῖν αὐτόν. οὕτω καὶ ἡ γαστὴρ ἐκ τοῦ ἥπατος ἐπισπᾶται ῥᾳδίως, ὅταν αὐτὴ μὲν ἱκανῶς ὀρέγοιτο τροφῆς, ἐμπεπλησμένον δ' εἴη τὸ σπλάγχνον. καὶ τοῦ γε μὴ πεινῆν ἐνίοτε τὸ ζῶον, ἡ περιουσία τῆς ἐν ἥπατι τροφῆς αἰτία. κρείττονα γὰρ ἔχουσα, καὶ ἑτοιμοτέραν τροφὴν ἡ γαστὴρ, οὐδὲν

F δεῖται τῆς ἔξωθεν. εἰ δέ γέ ποτε δέοιτο μὲν, ἀποροίη δὲ, πληροῦται περιττωμάτων. ἰχῶρες δέ τινές εἰσι ταῦτα, χολώδεις τε, καὶ φλεγματώδεις, καὶ ὀῤῥώδεις, οὓς μόνους ἑλκούσῃ μεθίησιν αὐτῇ τὸ ἧπαρ, ὅταν ποτὲ καὶ αὐτὸ δεῖται τροφῆς. ὥσπερ οὖν ἐξ ἀλλήλων ἕλκει τὰ μόρια τροφὴν, οὕτω καὶ ἀποτίθεταί ποτ' εἰς ἄλληλα τὸ περιττόν· καὶ

ὥσπερ ἑλκόντων ἐπλεονέκτει τὸ ἰσχυρότερον, οὕτω καὶ ἀποθεμένων, καὶ τῶν γε καλουμένων ῥευμάτων, ἥδε ἡ πρόφασις. ἕκαστον γὰρ τῶν μορίων ἔχει τινὰ τόνον σύμφυτον, ᾧ διωθεῖται τὸ περιττόν. ὅταν οὖν ἓν ἐξ αὐτῶν ἀρρωστότερον γένηται κατά τινα διάθεσιν, ἐξ ἁπάντων εἰς ἐκεῖνο συῤῥεῖν ἀνάγκη τὰ περιττά. τὸ μὲν γὰρ ἰσχυρότατον, ἐναποτίθεται τοῖς πλησίον ἅπασιν. ἐκείνων δ' αὖ πάλιν ἕκαστον, εἰς ἕτερ' ἄττα τῶν ἀσθενεστέρων, εἶτ' αὖθις ἐκείνων ἕκαστον εἰς ἄλλα. καὶ τοῦτ' ἐπὶ πλεῖστον γίνεται, μέχρι περ ἂν ἐξ ἁπάντων ἐλαυνόμενον τὸ περίττωμα, καθ' ἕν τι μείνῃ τῶν ἀσθενεστάτων. ἐντεῦθεν γὰρ οὐκέτ' εἰς ἄλλο δύναται μεταῤῥεῖν, ὡς ἂν μήτε δεχομένου τινὸς αὐτὸ τῶν ἰσχυροτέρων, μήτ' ἀπώσασθαι δυναμένου τοῦ πεπονθότος. ἀλλὰ περὶ μὲν τῶν παθῶν τῆς γενέσεως, καὶ τῆς ἰάσεως, αὖθις ἡμῖν ἐπιδεικνύουσιν, ἱκανὰ κἀξ ἐκείνων λαβεῖν ἐστι μαρτύρια τῶν λόγων, τῶν ἐν τῷδε τῷ λόγῳ πάντῃ δεδειγμένων ὀρθῶς. ὃ δ' ἐν τῷ παρόντι δεῖξαι προὔκειτο, πάλιν ἀναλάβωμεν, ὡς οὐδὲν θαυμαστὸν ἐξ ἥπατος ἥκειν τινὰ τροφὴν, ἐντέροις τε, καὶ γαστρὶ διὰ τῶν αὐτῶν φλεβῶν, δι' ὧν ἔμπροσθεν ἐξ ἐκείνων εἰς ἧπαρ ἀνεφέρετο· καὶ πολλοῖς ἀθρόως τε, καὶ τελέως ἀποστᾶσιν ἰσχυρῶν γυμνασίων, ἤ τι κῶλον ἀποκοπεῖσιν, αἵματος ἀθρόου διὰ τῶν ἐντέρων γίνεται κένωσις ἔκ τινων περιόδων, ὥς που καὶ Ἱπποκράτης ἔλεγεν, οὐδὲν μὲν ἄλλο λυποῦσα, καθαίρουσα δ' ὀξέως τὸ πᾶν σῶμα, καὶ τὰς πλησμονὰς ἐκκενοῦσα, διὰ τῶν αὐτῶν δήπου φλεβῶν, τῆς ἔσω φορᾶς τῶν περιττῶν ἐπιτελουμένης, δι' ὧν ἔμπροσθεν ἡ ἀνάδοσις ἐγίνετο. πολλάκις δ' ἐν νόσοις ἡ φύσις διὰ μὲν τῶν αὐτῶν τούτων δήπου φλεβῶν, τὸ πᾶν ἐκκαθαίρει ζῶον· οὐ μὴν αἱματώδης γ' ἡ κένωσις αὐτοῖς, ἀλλὰ κατὰ τὸν λυποῦντα γίνεται χυμόν. οὕτω δὲ κἂν ταῖς χολέραις ἐκκενοῦται πᾶν σῶμα διὰ τῶν εἰς ἔντερά τε, καὶ γαστέρα καθηκουσῶν φλεβῶν, τὸ δ' οἴεσθαι μίαν εἶναι ταῖς ὕλαις φορὰν, τελέως ἀγνοοῦντός ἐστι τὰς φυσικὰς δυνάμεις, τάς τ' ἄλλας, καὶ τὴν ἐκκριτικὴν ἐναντίαν οὖσαν τῇ ἑλκτικῇ. ταῖς γὰρ ἐναντίαις δυνάμεσιν ἐναντίας κινήσεις τε, καὶ φορὰς τῶν ὑλῶν, ἀναγκαῖον ἀκολουθεῖν. ἕκαστον γὰρ τῶν μορίων, ὅταν ἑλκύσῃ τὸν οἰκεῖον χυμὸν, ἔπειτα κατάσχῃ, καὶ ἀπολαύσῃ, τὸ περιττὸν ἅπαν ἀποθέσθαι σπεύδει καθ' ὅτι μάλιστα δύναται, τάχιστά τε ἅμα, καὶ κάλλιστα κατὰ τὴν τοῦ περιττοῦ ῥοπήν. ὅθεν ἡ γαστὴρ τὰ μὲν ἐπιπολάζοντα τῶν περιττωμάτων ἐμέτοις ἐκκαθαίρει, τὰ δ' ὑφιστάμενα διαῤῥοίαις. καὶ τότε ναυτιῶδες γίνεσθαι τὸ ζῶον λέγομεν, τουτέστιν ὁρμῆσαι τὴν γαστέρα κενωθῆναι δι' ἐμέτου· οὕτως δή τι βίαιον, καὶ σφοδρὸν ἡ ἐκκριτικὴ δύναμις ἔχει, ὥστ' ἐν τοῖς εἰλεοῖς, ὅταν ἀποκλεισθῇ τελέως ἡ κάτω διέξοδος, ἐμεῖται κόπρος. καί τοι πρὶν διελθεῖν τότε λεπτὸν ἔντερον ἅπαν, καὶ τὴν νῆστιν, καὶ τὸν πυλωρὸν, καὶ τὴν γαστέρα, καὶ τὸν οἰσοφάγον, οὐχ οἷόν τε διὰ τοῦ στόματος ἐκπεσεῖν οὐδὲν, οὐδενὶ τοιούτῳ περιττώματι. τί δὴ θαυμαστὸν, εἰ κἀκ τῆς ἐσχάτης ἐπιφανείας τῆς κατὰ τὸ δέρμα μέχρι τῶν ἐντέρων τε, καὶ τῆς γαστρὸς ἀφικνεῖταί τι μεταλαμβανόμενον, ὡς καὶ τοῦθ' Ἱπποκράτης ἡμᾶς ἐδίδαξεν, οὐ πνεῦμα μόνον, ἢ περίττωμα φάσκων, ἀλλὰ καὶ τὴν τροφὴν αὐτὴν ἐκ τῆς ἐσχάτης ἐπιφανείας, αὖθις ἐπὶ τὴν ἀρχὴν ὅθεν ἀνηνέχθη καταφέρεσθαι. ἐλάχισται γὰρ ῥοπαὶ κινήσεων τὴν ἐκκριτικὴν ταύτην ἐναλλά-

sicut trahentium ea vicit, quæ erat valentior, sic & à se deponentium; éstque hæc vocatarum fluxionum causa. Habet enim pars quæque natiuum quoddam robur, quo quod superuacuum est persequitur. Vbi igitur earum aliqua affectus cuiuspiam occasione imbecillior est reddita, ex omnibus in illam confluere, quæ superuacua sunt, est necesse; ea namque quæcunque pars valentissima est, in vicinas omnes deponit. Earum rursus singulæ in alias quæ ipsis sint imbecilliores; dein rursus illarum singulæ in alias; idque eatenus longissimè procedit, quoad ex omnibus fugatum superfluum in vnam quampiam maximè imbecillarum procumbat; hinc namque in aliam transfluere nequit, vtpote nec valentiorum aliquâ id recipiente, nec laborante ipsa à se pellere valente. Cæterùm alibi quum scilicet de affectuum, vel generatione, vel curatione agemus, abundè ex illis testimonia cœpisse licebit iis, quæ toto hoc libro rectè sunt demonstrata. Quod autem ostendere in præsenti propositum erat, denuò resumamus, non esse scilicet mirum venire ex hepate in ventrem & intestina nutrimentum per eas ipsas venas, per quas prius ex illis in hepar subierat; multísque eorum qui valentem exercitationem subitò & prorsus dimiserunt, aut quibus membrum aliquod præcisum est, sanguinem per intestina certis periodis simul plurimum vacuari, (sicuti quodam loco Hippocrates dixit) nullo quidem corporis incommodo, nisi quòd præ celeri impetu ipsum totum purgat, redundánsque vacuat, per easdem scilicet venas intrò latis superfluis, per quas antea in corpus fuerant deducta. Porrò in morbis natura non rarò totum animal per easdem venas purgat, non tamen est ea vacuatio sanguinis, sed pro ratione infestantis succi. Ita nimirum & in choleris per venas, quæ ad intestinum, & ventrem pertinent, totum vacuatur corpus. Existimare autem vnicum esse motus modum, quo materiæ in corpore ferantur, ignorantis omninò est naturæ potentias, cùm alias tum verò eam, quæ attractrici aduersa est, excretricem. Siquidem contrarias potentias necesse est, contrarij sequantur motus. Singulæ enim partes, vbi conuenientem succum attraxerunt, deinde ex retento fructum ceperunt, totum quod superfluum est, quàm possunt celerrimè commodissiméque, quò vergit abiicere properant. Eóque ventriculus quod excrementum in eo fluitat, per vomitionem expurgat; quod subsidit alui deiectione. Atque id est quod animal esse nauseabundum dicimus, ventriculum scilicet, vt per vomitionem vacuetur impetum capessere. Ergo tantam violentiam vehementiámque vis expultrix obtinet, vt vbi in ileo transitus omninò præclusus est, vomatur stercus; quanquam nisi traiecto tum tenui intestino toto, tum ieiuno, tum pyloro ventriculóque ac gula, omninò nequeat per vllius os eijci tale vllum excrementum. Ergo quid miri est si etiam ab vltima corporis parte, quæ ad cutem est, ad ipsa vsque intestina, & ventriculum aliquid translatum peruenit? Quod ipsum quoque Hippocrates nos docuit, scilicet non spiritum modò, aut excrementum, verùm etiam nutrimentum ipsum ab vltima, & summa corporis parte eò, vnde primum ascendit, rursum deferri. Quippe minimæ motus conuersiones expultricem facultatem huc, vel illuc impellunt,

pellunt vt quæ per transuersas fibras functionem suam obeat, ocyssiméque ab eo, vnde primum est mota, ad eum qui contra positus est, finem traducatur. Non est ergo nec à ratione alienum, nec eiusmodi quod fieri nequeat, si pars ea quæ ad cutim est, insolito interim frigore subitò stipata, vbi & imbecillior est reddita, & quem prius circa offensam inspersum habuit humorem, vt onus potius, quàm præparatum aliquid ad nutritionem, sustinet, eóque pellere à se studet; simul autem viâ, quæ foràs fert, densitate interclusâ ad alteram conuerti itaque quod offendit, in vicinam sibi partem violenter coactum amolitur; atque illa rursus in eam, quæ sibi proxima est; neque id fieri desinit, quoad translatio ad interna venarum ora finiatur. Ac tales quidem motus celeriùs cessant; qui autem ab iis qui lancinant partes interiores, veluti in medicamentorum purgatione, ac choleris, ij & vehementiores fiunt, & diuturniores; duránt que dum affectus, qui in vasorum finibus est, qui quod vicinum est, trahit permanet. Hic namque continentem vacuat partem; illa rursus in eam, quæ sibi proxima succedit; nec finis quoad peruentum ad vltimum est exitum, ita vt partibus quæ deinceps sunt positæ, altera semper alteri, impartientibus primus affectus ocyssimè ad vltima perueniat. Sic igitur se habet & in ileo: ipsum enim quod phlegmone laborat intestinum, nec pondus, nec acrimoniam tolerat excrementorum, eóque excernere expelleréque eam quàm longissimè à se nititur; prohibitum verò deorsum persequi, quum scilicet hoc loco grauissima pars phlegmones fuerit, in proxima suprapositorum intestinorum extrudit: itaque iam excretricis facultatis impetu per continuum intestinum sursum verso, excrementa vsque ad os ascendunt. Atque hæc quidem in tractationibus de morbis fusius prosequemur. Cæterùm quòd ex toto in totum aliquid transferatur, mutuóque recipiatur, ac vna sit omnium (sicut Hippocrates prodidit) conspiratio atque confluxio, iam mihi videor clarè indicasse; quódque nemo, ne si tardus quidem illi sit sensus, de talium vllo etiamnum dubitet, qualia scilicet sunt, qua ratione venter intestináque nutriantur, & quonam modo ab vltima corporis summa parte intrò aliquid perueniat. Siquidem cum vniuersæ corporis partes attrahendi, quod conueniens amicúmque est; repellendi, quod grauat mordétve potentiam habeant, minimè mirandum est contrarios assiduè motus in iis fieri: veluti tum in corde liquidò cernitur, tum arteriis omnibus, thoracéque & pulmone. In his enim omnibus tantùm non omni temporis momento, simul instrumentorum, simul materiarum, contrarios motus euidenter fieri videas. An igitur de aspera arteria vicissim aliàs intrò in pulmonem, aliàs foràs spiritum transmittente non dubitas? pari modo nec de nasi meatibus, & ore toto: nec mirum etiamnum aut incredibile tibi videtur, si per quod spiritus paulò ante recipiebatur intrò, per id nunc emittitur; de his inquam non dubitas, de venis quæ à iecinore in intestina & ventrem pertinent, dubitas? mirúmque tibi esse videtur, si per easdem simul, & distribuitur nutrimentum in iecur, & rursus ab eo in ventriculum trahitur? Sanè distingui oportet illud, simul vtro id modo,

A ζοντι δύναμιν, ὡς ἂν διὰ τῶν ἐγκαρσίων μὲν ἰνῶν γινομένην, ὠκύτατα δὲ διαδιδομένην ἀπὸ τῆς κινησάσης ἀρχῆς, ἐπὶ τὰ καταντικρὺ πέρατα. οὔκουν ἀπεικὸς, οὐδ' ἀδύνατον ἀθρόως ποτὲ ψυχθὲν τὸ πρὸς τῷ δέρματι μόριον ἐξαίφνης πιληθὲν, ἅμα μὲν ἀρρωστότερον αὐτὸ γινόμενον, ἅμα δ' οἷον ἄχθος τι μᾶλλον, ἢ παρασκευὴν θρέψεως ἔχον τὴν ἔμπροσθεν ἀλύπως αὐτῷ προσπαρακειμένην ὑγρότητα, καὶ διὰ τοῦτ' ἀποθέσθαι σπεῦδον. ἅμα δὲ τῆς ἔξω φορᾶς ἀποκεκλεισμένης τῇ πυκνώσει, πρὸς τὴν λοιπὴν ἐπιστραφῆναι. καὶ οὕτω βιασάμενον, εἰς τὸ παρακείμενον αὐτῷ μόριον
B ἀθρόως ἀπώσασθαι τὸ περιττὸν, ἐκεῖνο δ' αὖ πάλιν εἰς τὸ μετ' αὐτὸ, καὶ τοῦτο μὴ παύσασθαι γινόμενον, ἄχρις ἂν ἡ μετάληψις ἐπὶ τὰ εἴσω πέρατα τῶν φλεβῶν τελευτήσῃ. αἱ μὲν δὴ τοιαῦται κινήσεις θᾶττον ἀποπαύονται. αἱ δ' ἀπὸ τῶν ἔνδοθεν διερεθιζόντων, ὥς ἔν τε τοῖς καθαίρουσι φαρμάκοις, καὶ ταῖς χολέραις, ἰσχυρότεραί τε πολὺ, καὶ μονιμώτεραι γίνονται, καὶ διαμένουσιν ἔστ' ἂν καὶ ἡ περὶ τοῖς στόμασι τῶν ἀγγείων διάθεσις, ἡ τὸ πλησίον ἕλκουσα παραμένῃ. αὕτη μὲν γὰρ εἰς τὸ συνεχὲς ἐκκενοῖ μόριον, ἐκεῖνο δ' αὖ εἰς τὸ μετ' αὐτὸ, καὶ τοῦτ' οὐ παύεται, μέχρι τῆς ἐσχάτης ἐπι-
C φανείας, ὥστε μεταδιδόντων τῶν ἐφεξῆς ἀεὶ μορίων ἑτέρων ἑτέροις, τὸ πρῶτον πάθος ὠκύτατα διικνεῖσθαι μέχρι τῶν ἐσχάτων. οὕτως οὖν ἔχει κἀπὶ τῶν εἰλεῶν. αὐτὸ μὲν γὰρ τὸ φλεγμαῖνον ἔντερον, οὔτε τοῦ βάρους, οὔτε τῆς δριμύτητος ἀνέχεται τῶν περιττωμάτων, καὶ διὰ τοῦτ' ἐκκρίνειν αὐτὰ σπεύδει, καὶ ἀπωθεῖσθαι πορρωτάτω. κωλυόμενον δὲ κάτω ποιεῖσθαι τὴν ὦσιν, ὅταν ἐνταυθοῖ ποτε τὸ σφοδρότατον ᾖ τῆς φλεγμονῆς, εἰς τὰ πλησιάζοντα τῶν ὑπερκειμένων ἐντέρων ἀπωθεῖται. καὶ οὕτως ἤδη κατὰ τὸ συνεχὲς, τὴν ῥοπὴν τῆς ἐκκριτικῆς δυνάμεως ἄνω ποιησάμενον,
D ἄχρι τοῦ στόματος ἐπανέρχεται τὰ περιττώματα. ταῦτα μὲν δὴ κἂν τοῖς τῶν νοσημάτων λογισμοῖς, ἐπὶ πλέον εἰρήσεται. τὸ δ' ἐκ παντὸς εἰς πᾶν φέρεσθαί τι, καὶ μεταλαμβάνεσθαι, καὶ μίαν ἁπάντων εἶναι σύμπνοιάν τε, καὶ σύρροιαν, ὡς Ἱπποκράτης ἔλεγεν, ἤδη μοι δοκῶ δεδεῖχθαι σαφῶς. καὶ μηκέτ' ἄν τινα, μηδ' εἰ βραδὺς αὐτῷ νοῦς εἴη, περὶ τῶν τοιούτων ἀπορῆσαι μηδενὸς, οἷον ὅπως ἡ γαστὴρ, ἢ τὰ ἔντερα τρέφεται, καὶ τίνα τρόπον ἐκ τῆς ἐσχάτης ἐπιφανείας εἴσω τι διικνεῖται. πάντων γὰρ τῶν μορίων ἕλκειν μὲν τὸ προσηκόν τε, καὶ φίλιον, ἀποκρίνειν δὲ τὸ βαρῦνον,
E ἢ δάκνον ἐχόντων δύναμιν, οὐδὲν θαυμαστὸν ἐναντίας συνεχῶς γίγνεσθαι κινήσεις ἐν αὐτοῖς, ὥσπερ ἐπί τε τῆς καρδίας ὁρᾶται σαφῶς, καὶ τῶν ἀρτηριῶν ἁπασῶν, καὶ τοῦ θώρακος, καὶ τοῦ πνεύμονος. ἐπὶ μὲν γε τούτων ἁπάντων μόνον οὐ καθ' ἕκαστον καιροῦ ῥοπὴν, τὰς ἐναντίας κινήσεις τε ἅμα τῶν ὀργάνων, καὶ φορὰς τῶν ὑλῶν ἐναργῶς ἐστιν ἰδεῖν γιγνομένας. εἶτ' ἐπὶ μὲν τῆς τραχείας ἀρτηρίας οὐκ ἀπορεῖς, ἐναλλὰξ ποτὲ μὲν εἴσω παραγούσης εἰς τὸν πνεύμονα τὸ πνεῦμα, ποτὲ δ' ἔξω, καὶ τῶν κατὰ τὰς ῥῖνας πόρων, καὶ ὅλου τοῦ στόματος· ὡσαύτως οὐδὲ τ' εἶναι δοκεῖ σοι θαυμαστὸν, οὐδὲ παρά-
F δοξον, εἰ δι' οὗ μικρῷ πρόσθεν εἴσω παρεκομίζετο τὸ πνεῦμα, διὰ τούτου νῦν ἐκπέμπεται, περὶ δὲ τῶν ἐξ ἥπατος εἰς ἔντερά τε, καὶ γαστέρα καθηκουσῶν φλεβῶν ἀπορεῖς, καί σοι θαυμαστὸν εἶναι φαίνεται, διὰ τῶν αὐτῶν ἀναδίδοσθαί τε ἅμα τὴν τροφὴν εἰς ἧπαρ, ἕλκεσθαί τ' ἐξ ἐκείνου πάλιν εἰς τὴν γαστέρα; διελέσθαι δεῖ τὸ ἅμα τοῦτο ποτέρως λέγεις.

εἰ μὲν γὰρ κατὰ τὸν αὐτὸν χρόνον, οὐδὲ ἡμεῖς τοῦτό γέ φαμεν. ὥσπερ γὰρ εἰσπνέομεν ἐν ἑτέρῳ χρόνῳ, καὶ αὖθις πάλιν ἐν ἑτέρῳ ἀντεκπνέομεν, οὕτω καὶ τροφὴν, ἐν ἑτέρῳ μὲν χρόνῳ τὸ ἧπαρ ἐκ τῆς γαστρὸς, ἐν ἑτέρῳ δ' ἡ γαστὴρ ἀπὸ τοῦ ἥπατος ἐπισπᾶται. εἰ δ' ὅτι καθ' ἓν καὶ ταὐτὸν ζῶον, ἓν ὄργανον ἐναντίαις φοραῖς ὑλῶν ὑπηρετεῖται, τοῦτό σοι βούλεται τὸ ἅμα δηλοῦν, καὶ τοῦτό σε ταράττει, τήν τε εἰσπνοὴν ἰδὲ, καὶ τὴν ἐκπνοήν. πάντως που γὰρ καὶ αὗται, διὰ μὲν τῶν αὐτῶν ὀργάνων γίγνονται, τρόπῳ δὲ κινήσεώς τε, καὶ φορᾶς τῶν ὑλῶν διαφέρουσιν. ὁ πνεύμων οὖν καὶ ὁ θώραξ, καὶ αἱ ἀρτηρίαι αἱ τραχεῖαι, καὶ αἱ λεῖαι, καὶ καρδία, καὶ στόμα, καὶ ῥῖνες, ἐν ἐλαχίσταις χρόνου ῥοπαῖς εἰς ἐναντίας κινήσεις αὐτά τε μεταβάλλει, καὶ τὰς ὕλας μεθίστησιν. αἱ δ' ἐξ ἥπατος εἰς ἔντερα, καὶ γαστέρα καθήκουσαι φλέβες, οὐκ ἐν οὕτω βραχέσι χρόνου μορίοις, ἀλλ' ἐν πολλαῖς ἡμέραις ἅπαξ ἐνίοτε τὴν ἐναντίαν κινοῦνται κίνησιν. ἔχει γὰρ ὧδε τὸ σύμπαν. ἕκαστον τῶν ὀργάνων εἰς ἑαυτὸ τὴν πλησιάζουσαν ἐπισπᾶται τροφὴν, ἐκβοσκόμενον αὐτῆς ἅπασαν τὴν χρηστὴν νοτίδα, μέχρις ἂν ἱκανῶς κορεσθῇ, καὶ ταύτην, ὡς καὶ πρόσθεν ἐδείκνυμεν ἐναποτίθεται ἐν ἑαυτῷ, καὶ μετὰ ταῦτα, προσφύει τε, καὶ ὁμοιοῖ, τουτέστι τρέφεται. διώρισται γὰρ ἱκανῶς ἔμπροσθεν, ἕτερόν τι τῆς θρέψεως ἐξ ἀνάγκης αὐτῆς προηγούμενον, ἡ πρόσφυσις ὑπάρχει, ἐκείνης δ' ἔτι πρότερον ἡ πρόσθεσις. ὥσπερ οὖν τοῖς ζώοις αὐτοῖς ὅρος ἐστὶ τῆς ἐδωδῆς, τὸ ἐκπληρῶσαι τὴν γαστέρα, κατὰ τὸν αὐτὸν τρόπον ἑκάστῳ τῶν μορίων ὅρος ἐστὶ τῆς προσθέσεως, ἡ πλήρωσις τῆς οἰκείας ὑγρότητος. ἐπεὶ τοίνυν ἅπαν μόριον τῇ γαστρὶ ὁμοίως ὀρέγεται, τρέφεταί τε, καὶ περιπτύσσεται τὴν τροφὴν, καὶ οὕτως σφίγγει πανταχόθεν αὐτὴν ὡς ἡ γαστήρ. ἕπεται δ' ἐξ ἀνάγκης τούτῳ, καθάπερ καὶ πρόσθεν ἐρρέθη, τὸ πέττεσθαι τοῖς σιτίοις, τῆς γαστρὸς οὐ διὰ τοῦτο περιστελλομένης αὐτοῖς, ἵν' ἐπιτήδεια τοῖς ἄλλοις ἐργάσηται μορίοις, οὕτως γὰρ ἂν οὐκέτι φυσικὸν ὄργανον, ἀλλὰ ζῶόν τι γίγνοιτο, λογισμόν τε, καὶ νοῦν ἔχον, ὡς αἱρεῖσθαι τὸ βέλτιον, ἀλλὰ αὕτη μὲν περιστέλλεται, τῷ τὸ πᾶν σῶμα δύναμιν ἑλκτικήν τε καὶ ἀπολαυστικὴν κεκτῆσθαι τῶν οἰκείων ποιοτήτων, ὡς ἔμπροσθεν ἐδείκνυτο. συμβαίνει δ' ἐν τούτῳ τοῖς σιτίοις ἀλλοιοῦσθαι. καὶ μέντοι καὶ πληρωθεῖσα τῆς ἐξ αὐτῶν ὑγρότητος, καὶ κορεσθεῖσα, βάρος ἡγεῖται λοιπὸν αὐτά. τὸ περιττὸν οὖν εὐθὺς ἀποτρίβεταί τε, καὶ ὠθεῖ κάτω, πρὸς ἕτερον ἔργον αὐτὴ τρεπομένη τὴν πρόσφυσιν. ἐν δὲ τούτῳ τῷ χρόνῳ διερχομένη τὸ ἔντερον ἅπαν ἡ τροφὴ, διὰ τῶν εἰς αὐτὰ καθηκόντων ἀγγείων ἀναρπάζεται. πλείστη μὲν εἰς τὰς φλέβας, ὀλίγη δέ τις εἰς τὰς ἀρτηρίας, ὡς μικρὸν ὕστερον ἀποδείξομεν. ἐν τούτῳ δ' αὖ τῷ χρόνῳ, καὶ τοῖς τῶν ἐντέρων χιτῶσι προστίθεται. καί μοι τεμὼν ἤδη τῷ λογισμῷ τὴν τῆς τροφῆς οἰκονομίαν ἅπασαν εἰς τρεῖς μοίρας χρόνων, ἐν μὲν τῇ πρώτῃ, νόει μένουσάν τε ἅμα κατὰ τὴν κοιλίαν αὐτὴν, καὶ πεττομένην, καὶ προστιθεμένην εἰς κόρον τῇ γαστρὶ, καί τι καὶ τῷ ἥπατι παρ' αὐτῆς ἀναφερόμενον. ἐν δὲ τῇ δευτέρᾳ, διερχομένην τά τε ἔντερα, καὶ προστιθεμένην εἰς κόρον αὐτοῖς τε τούτοις, καὶ τῷ ἥπατι, καί τι βραχὺ μέρος αὐτῆς πάντα τοῦ σώματος φερόμενον. ἐν δὲ δὴ τούτῳ τῷ καιρῷ τὸ προστεθὲν ἐν τῷ πρώτῳ χρόνῳ, προσφύεσθαι νόει τῇ γαστρί. κατὰ δὲ τὴν

dicas, nam si eodem tempore intelligis, ne nos quidem id concedimus; quippe sicut alio in tempore spiritum recipimus, alio rursus foràs mittimus, ita alio tempore, iecur ex ventre, alio venter ex iecore trahit. Sin quòd in vno eodémque animali vnum instrumentum contrariis materiarum motibus subseruit, hoc tibi simul illud significat, ídque te perturbat, age spiritus immissionem emissionémque considera; omninò enim hæ per eadem instrumenta fiunt; dissident autem motus, ac ferendæ per instrumenta materiæ modo. Pulmo igitur, & thorax, & arteriæ, tum aspera tum lenis, & cor, & os, & nares, breuissimis temporum momentis tum ipsa contrarios sortiuntur motus, tum materias mutant; quæ autem ex iecinore in intestina, & ventrem pertinent venæ, non æquè breuibus temporum spatiis, sed in multis diebus semel aliquando contrario funguntur motu; sic enim res tota se habet. Quoduis instrumentum, quod iuxta se est nutrimentum in se trahit, quicquid vtilis est humoris, hactenus ex eo depascens, quoad abundè sit expletum; atque id, sicuti antea diximus, in se recondit; postea verò id tum sibi agglutinat, tum assimilat, idest nutritur. Definitum enim abundè supra est, aliud quoddam à nutritione opus, quod ipsam necessariò præcedat, agglutinationem esse, sicut etiam illa priorem appositionem. Ergo, sicut animalibus ipsis edendi finis fit ipsa ventris impletio, sic partium quæque apponendi sibi finem facit, cum conuenienti humore est repleta. Quum itaque pars quæque similiter ventri appetat, vtique & nutritur, & nutrimentum amplectitur, ad eundémque, quo venter, modum id vndique constringit. Consequitur autem necessariò hoc opus, vt cibi quidem, ceu prius est dictum, concoquantur, ventre scilicet non idcirco circa illos se contrahente, quo reliquis partibus eos reddat accommodos (sic enim non tam naturale esset organum, quàm animal, quod ratione mentéque præditum, quod melius est, eligeret) verùm ipse idcirco circa cibos se constringit, quòd totum eius corpus, & attrahendæ propriæ sibi qualitatis, & eadem fruendi, sicut ante monstratum est, vim obtineat; accidit verò interim, vt cibos alteret. Iam verò vbi impletus satiatúsque eorum humore est, pro onere eos de cætero habet; ergo quod redundans est, statim abiicit, ac deorsum trudit, ipse scilicet ad aliud opus, nempe vt agglutinet, conuersus. Hoc in tempore nutrimentum, quum per tota intestina permeet, per vasa, quæ ad ea pertinent, rapitur plurimum quidem in venas; exigua quædam portio in arterias; ceu infra mox docebitur; iam hoc tempore etiam intestinorum tunicis apponitur. Ac mihi omnem iam naturæ circa nutrimentum operam in tres temporum vices cogitatione partire. In prima quidem simul, & manere id in ventriculo, & concoqui intellige, tum ventri ipsi ad saturitatem apponi; aliquid verò eius etiam ad iecur ascendere; In secunda, transire id ad intestina, iisque ipsis, & iecinori ad saturitatem apponi; tum portiunculam eius exiguam in omnem corporis partem ferri; porrò hoc tempore, quod in primo est appositum, id ventriculo affigi intellige. In

tertia

tertia verò temporis portione ventriculum quidem iam nutriri, iis quæ affixerat, planè sibi assimilatis; affigi verò tam iecinori, quàm intestinis, quæ iis fuerant apposita; præterea in omnes corporis partes distributionem appositionémque fieri. Et post quidem, si animal statim nutrimentum accipiat, rursus quo tempore id venter concoquit eóque fruitur, quicquid vtile ex eo est, tunicis suis apponens, hoc intestina quidem eum, quem sibi affixerant succum, prorsus assimilabunt; pari modo iecur; in toto verò corpore partes nutrimenti, quæ fuere appositæ affigentur. Sin autem venter manere sine cibo cogatur hoc tempore, à venis, quæ in lactibus, ac iecinore sunt, nutrimentum trahet, non enim ex ipso iecinoris corpore. (porrò corpus iecinoris appello primum, ac maximè ipsam propriam eius carnem; post hanc etiam singula, quæ sunt in ipso vasa) siquidem, qui in quaque parte iam contentus est succus, hunc alteram partem reuellere credibile non est, maximè vbi iam agglutinatur, vel assimilatur; quod autem est in venarum sinibus, id quæ magis valens simúlque indigens pars est, in diuersum ad se reuellit. Sic itaque & venter, quo tempore ipse indiget nutrimento, animal verò non comedit, hoc ab iis, quæ in iecinore sunt venis, rapit. Quoniam autem, & lienem priùs monstrauimus, quod in iecinore crassius est attrahere, præterea conficere, ac ad vtilius mutare, nihil ne hîc quidem miri est à liene aliquid trahi in singula, quæ cum illo per venas societatem habent, instrumenta, veluti in omentum, lactes, tenuè intestinum, colon, & ventriculum ipsum; ad eundem modum, & in ventriculum alio tempore excrementum effundere; alio rursus ex ventre aliquid proprij illius nutrimenti attrahere. Vtque summatim dicam (id quod prius iam dictum est) quodque ex quoque trahere, ac in vnumquodque mittere, diuersis in temporibus potest. Estque simillimum, quod accidit, ac si multa animalia intelligas, quæ pabulum abundè in medio obiectum, quantum volunt pascuntur. Quippe quo tempore alia cessant, eodem verisimile est alia comesse, alia præterea comesse desitura, alia inceptura; item alia cum aliis simul edere, alia alternis vicibus; imo hercle alterum ab altero nonnunquam rapere, vbi scilicet alterum indiget, alteri abundè est obiectum. Atque ita mirum non est, si ab vltimo, & summo corpore aliquid intrò reuertitur; sed nec si ab iecinore, & liene aliquid in ventriculum per ea, per quæ ex hoc in illa prius subiit, defertur. Siquidem in arteriis id admodum est euidens; non secus autem in corde, thorace, & pulmone; omnibus enim his dilatatis vicissim, contractísque necesse est, à quibus aliquid prius est attractum, ad ea iterum remitti. Hanc itaque necessitatem natura prospiciens vasorum, quæ in corde sunt, osculis membranas adiecit, quæ retrò ferri materias prohibeant. Verùm qualiter & quemadmodum id fiat, in libris de partium vsu docebitur; vbi quum alia, tum illud traditur, non posse planè ad vnguem ita claudi vasorum ora, vt nihil ex iis recurrat retrò; quippe in venosam arteriam

A τρίτῃ μοίρᾳ τοῦ χρόνου, τρέφεσθαι μὲν ἤδη τὴν κοιλίαν, ὁμοιώσασαν ἑαυτῇ τελέως τὰ προσφυέντα. προσφύεσθαι δὲ τῷ ἥπατι, καὶ τοῖς ἐντέροις γίγνεσθαι τῶν προσθέντων, ἀνάδοσιν δὲ πάντῃ τοῦ σώματος, καὶ πρόσθεσιν. εἰ μὲν οὖν ἐπὶ τούτοις εὐθέως τὸ ζῷον λαμβάνοι τροφήν, ἐν ᾧ πάλιν ἡ γαστὴρ χρόνῳ πέττει ταύτην, καὶ ἀπολαύει, προσθεῖσα πᾶν ἐξ αὐτῆς τὸ χρηστὸν τοῖς ἑαυτῆς χιτῶσι, τὰ μὲν ἔντερα τελέως ὁμοιώσει τὸν προσφυέντα χυμόν. ὡσαύτως δὲ καὶ τὸ ἧπαρ. ἐν ὅλῳ δὲ τῷ σώματι, πρόσφυσις τῶν προστεθέντων τῆς τροφῆς ἔσται μορίων. εἰ δ' ἄσιτος ἀναγκάζοιτο μένειν ἡ γαστὴρ ἐν τούτῳ τῷ χρόνῳ, παρὰ τῶν ἐν μεσεντερίῳ τε, καὶ ἥπατι φλεβῶν ἕλξει τὴν τροφήν. οὐ γὰρ ἐξ αὐτοῦ γε τοῦ σώματος τοῦ ἥπατος. λέγω δὲ σῶμα τοῦ ἥπατος, αὐτήν τε τὴν ἰδίαν αὐτοῦ σάρκα πρώτην, καὶ μάλιστα, μετὰ δὲ ταύτην, καὶ τῶν ἀγγείων ἕκαστον τῶν κατ' αὐτό. τὸν μὲν γὰρ ἐν ἑκάστῳ τῶν μορίων ἤδη περιεχόμενον χυμόν, οὐκέτ' εὔλογον ἀντισπᾶν ἑτέρῳ μορίῳ, καὶ μάλισθ' ὅταν ἤδη πρόσφυσις ἢ ἐξομοίωσις αὐτοῦ γίγνηται. τὸν δ' ἐν ταῖς εὐρυχωρίαις τῶν φλεβῶν, ὃ μᾶλλον ἰσχυρόν τε ἅμα, καὶ δεόμενον ἀντισπᾷ μόριον. οὕτως οὖν καὶ ἡ γαστήρ, ἐν ᾧ χρόνῳ δεῖται μὲν αὐτὴ τροφῆς, ἐσθίει δ' οὐδέπω τὸ ζῷον, ἐν τούτῳ τῶν κατὰ τὸ ἧπαρ ἐξαρπάζει φλεβῶν. ἐπεὶ δὲ καὶ τὸν σπλῆνα, διὰ τῶν ἔμπροσθεν ἐδείκνυμεν, ὅσον ἐν ἥπατι παχύτερον ἕλκοντα, κατεργάζεσθαί τε καὶ μεταβάλλειν ἐπὶ τὸ χρηστότερον, οὐδὲν οὐδ' ἐνταῦθα θαυμαστόν, ἕλκεσθαί τι κἀκ τοῦ σπληνός, εἰς ἕκαστον τῶν κοινωνούντων αὐτῷ κατὰ τὰς φλέβας ὀργάνων, οἷον εἰς ἐπίπλοον, καὶ μεσεντέριον, καὶ λεπτὸν ἔντερον, καὶ κῶλον, καὶ αὐτὴν τὴν γαστέρα. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐξερεύγεσθαι μὲν εἰς τὴν γαστέρα τὸ περίττωμα καθ' ἕτερον χρόνον, αὐτὸν δ' αὖθις ἐκ τῆς γαστρὸς ἕλκειν D τι τῆς οἰκείας τροφῆς ἐν ἑτέρῳ καιρῷ. καθόλου δ' εἰπεῖν, ὃ καὶ πρόσθεν ἤδη λέλεκται, πᾶν ἐκ παντὸς ἕλκειν τε, καὶ πέμπειν ἐγχωρεῖ κατὰ διαφέροντας χρόνους. ὁμοιοτάτου γιγνομένου τοῦ συμβαίνοντος, ὡς εἰ καὶ ζῷα νοήσαις πολλὰ τροφὴν ἄφθονον ἐν κοινῷ κατακειμένην, εἰς ὅσον βούλεται προσφερόμενα. καθ' ὃν γὰρ ἤδη πέπαυται χρόνον ἕτερα, κατὰ τοῦτο εἰκὸς ἐσθίειν ἕτερα, καὶ μέλλειν γε τὰ μὲν παύεσθαι, τὰ δ' ἄρχεσθαι. καί τινα μὲν συνεσθίοντα, τὰ δ' ἀνὰ μέρος ἐσθίοντα. καὶ ναὶ μὰ Δία γε τὸ ἕτερον ἁρπάζειν θατέρου πολλάκις, εἰ τὸ μὲν ἕτερον ἐπιδέοιτο, τῷ δ' ἀφθόνως E παρακέοιτο. καὶ οὕτως οὐδὲν θαυμαστόν, οὔτ' ἐκ τῆς ἐσχάτης ἐπιφανείας εἴσω τι πάλιν ἀντιστρέφειν, οὔτε διὰ τῶν αὐτῶν ἀγγείων ἐξ ἥπατός τε, καὶ σπληνὸς εἰς κοιλίαν ἀνενεχθῆναί τι, δι' ὧν ἐκ ταύτης εἰς ἐκεῖνα πρότερον ἀνηνέχθη. κατὰ μὲν γὰρ τὰς ἀρτηρίας, ἱκανῶς ἐναργὲς τὸ τοιοῦτο, ὥσπερ καὶ κατὰ τὴν καρδίαν τε, καὶ τὸν θώρακα, καὶ τὸν πνεύμονα. τούτων γὰρ ἁπάντων διαστελλομένων τε, καὶ συστελλομένων ἐναλλάξ, ἀναγκαῖον ἐξ ὧν εἱλκύσθη τι πρότερον, εἰς ταῦθ' ὕστερον ἐκπέμπεσθαι. καὶ ταύτην ἄρα τὴν ἀνάγκην ἡ φύσις προγινώσκουσα, τοῖς ἐν τῇ καρδίᾳ στόμασι τῶν ἀγγείων ὑμένας ἐπέφυσε, F κωλύσοντας εἰς τοὐπίσω φέρεσθαι τὰς ὕλας. ἀλλ' ὅπως μὲν τοῦτο γίγνεται, καὶ καθ' ὅντινα τρόπον, ἐν τοῖς περὶ χρείας μορίων εἰρήσεται. δεικνύντων ἡμῶν τά τ' ἄλλα, καὶ ὡς ἀδύνατον, οὕτως ἀκριβῶς κλείεσθαι τὰ στόματα τῶν ἀγγείων, ὡς μηδὲν παλινδρομεῖν. εἰς μὲν γε τὴν ἀρτηρίαν τὴν φλεβώδη.

G

καὶ γὰρ καὶ τοῦτ' ἐν ἐκείνοις δειχθήσεται, πολὺ πλέον, ἢ διὰ τῶν ἄλλων στομάτων εἰς τοὐπίσω πάλιν ἀναγκαῖον ἐπανέρχεσθαι. τὸ δ' εἰς τὰ παρόντα χρήσιμον, ὡς οὐκ ἐνδέχεταί τι τῶν αἰσθητὴν καὶ μεγάλην ἐχόντων εὐρύτητα, μὴ οὐχ ἤτοι διαστελλόμενον μὲν ἕλκειν ἐξ ἁπάντων τῶν πλησίον, ἢ ἐκθλίβειν δ' αὖθις εἰς ταῦτα συστελλόμενον, ἔκ τε τῶν ἤδη προειρημένων ἐν τῷδε τῷ λόγῳ σαφὲς ἂν εἴη, κἀξ ὧν Ἐρασίστρατός τε, καὶ ἡμεῖς ἑτέρωθι περὶ τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας ἐδείξαμεν.

(nam id quoque in illis monstrabitur) multò plus quàm per reliqua ora, retrò ferri est necesse. Quòd autem ad id quod nunc instat, est vtile; non posse quicquam ex iis, quæ sensibilem & magnam habent capacitatem, nisi quum dilatatur ex omnibus, quæ vicina sunt trahere; aut rursum nisi quum contrahitur, in ea exprimere; id tum ex iis, quæ in hoc libro iam prædicta sunt constare potest, tum ex iis, quæ tam Erasistratus, quàm nos alibi, de successione ad id quod vacuatur prodidimus.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῆς ἑλκτικῆς δυνάμεως τῆς καρδίας, καὶ τῶν ἀρτηριῶν.

Ἀλλὰ μὴν, καὶ ὡς ἐν ἑκάστῃ τῶν ἀρτηριῶν ἐστί τις δύναμις, ἐκ τῆς καρδίας ἐπιρρέουσα, καθ' ἣν διαστέλλονταί τε, καὶ συστέλλονται, δέδεικται δι' ἑτέρων. εἴπερ οὖν συνθείης ἄμφω, τό τε ταύτην εἶναι τὴν κίνησιν αὐτῆς, τό τε πᾶν τὸ διαστελλόμενον ἕλκειν ἐκ τῶν πλησίον εἰς ἑαυτό, θαυμαστὸν οὐδέν σοι φανεῖται τὰς ἀρτηρίας, ὅσαι μὲν εἰς τὸ δέρμα περαίνουσιν αὐτῶν, ἐπισπᾶσθαι τὸν ἔξωθεν ἀέρα διαστελλομένας. ὅσαι δὲ κατά τι πρὸς τὰς φλέβας ἀνεστόμωνται, τὸ λεπτότατον ἐν αὐταῖς, καὶ ἀτμωδέστατον ἐπισπᾶσθαι τοῦ αἵματος. ὅσαι δ' ἐγγὺς τῆς καρδίας εἰσίν, ἐξ αὐτῆς ἐκείνης ποιεῖσθαι τὴν ὁλκήν. ἐν γὰρ τῇ πρὸς τὸ κινούμενον ἀκολουθίᾳ, τὸ κουφότατόν τε, καὶ λεπτότατον ἕπεται πρῶτον τοῦ βαρυτέρου τε καὶ παχυτέρου. κουφότατον δ' ἐστὶ, καὶ λεπτότατον ἁπάντων τῶν κατὰ τὸ σῶμα, πρῶτον μὲν τὸ πνεῦμα, δεύτερον δ' ὁ ἀτμός. ἐπὶ τούτῳ δὲ τρίτον, ὅσον ἂν ἀκριβῶς ᾖ κατειργασμένον τε, καὶ λελεπτυσμένον αἷμα. ταῦτ' οὖν εἰς ἑαυτὰς ἕλκουσιν αἱ ἀρτηρίαι πανταχόθεν. αἱ μὲν εἰς τὸ δέρμα καθήκουσαι, τὸν ἔξωθεν ἀέρα, πλησίον τε γὰρ αὐταῖς οὗτός ἐστιν, ἐν τοῖς μάλιστά τε κουφότατος, τῶν δ' ἄλλων, ἡ μὲν ἐπὶ τὸν τράχηλον ἐκ τῆς καρδίας ἀνιοῦσα, καὶ ἡ κατὰ τὴν ῥάχιν. ἤδη δὲ καὶ ὅσαι τούτων ἐγγὺς, ἐξ αὐτῆς μάλιστα τῆς καρδίας. ὅσαι δὲ καὶ τῆς καρδίας πορρωτέρω, καὶ τοῦ δέρματος, ἕλκειν ταύταις ἀναγκαῖον ἐκ τῶν φλεβῶν, τὸ κουφότατον τοῦ αἵματος, ὥστε καὶ τῶν εἰς τὴν γαστέρα τε, καὶ τὰ ἔντερα καθηκουσῶν ἀρτηριῶν, ἀπὸ τῆς ἐπὶ ῥάχει πεφυκυίας, ἁπασῶν τὴν ὁλκὴν ἐν τῷ διαστέλλεσθαι γίνεσθαι, παρά τε τῆς καρδίας αὐτῆς, καὶ τῶν παρακειμένων αὐτῇ φλεβῶν παμπόλλων οὐσῶν. οὐ γὰρ δὴ ἔκ τε τῶν ἐντέρων, καὶ τῆς κοιλίας τροφὴν οὕτω παχεῖάν τε, καὶ βαρεῖαν ἐν ἑαυτοῖς ἐχόντων, δύνανταί τι μεταλαμβάνειν, ὅτι καὶ ἄξιον λόγου, φθάνουσαι πληροῦσθαι τοῖς κουφοτέροις. οὐδὲ γὰρ εἰ καθεὶς αὐλίσκον εἰς ἀγγεῖον, ὕδατός τε καὶ ψάμμου πλῆρες, ἐπισπάσαιο τῷ στόματι τὸν ἐκ τοῦ ἀγγείου ἀέρα, δύναιτ' ἂν ἀκολουθῆσαί σοι πρὸ τοῦ ὕδατος ψάμμος. ἀεὶ γὰρ ἐν τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ, τὸ κουφότερον ἕπεται πρότερον. οὔκουν χρὴ θαυμάζειν εἰ παντελῶς ὀλίγον ἐκ τῆς κοιλίας, ὅσον ἂν ἀκριβῶς ᾖ κατειργασμένον, εἰς τὰς ἀρτηρίας παραγίνεται, φθανούσας πληροῦσθαι τῶν κουφοτέρων.

CAPVT XIV.

De facultate Attractrice cordis, & arteriarum.

Iam verò quòd in singulis arteriis vis quædam sit, quæ à corde confluat, qua tum dilatantur tum contrahuntur, in aliis est monstratum. Ergo si ambo componas, tum quòd hic eius sit motus, tum quòd omne dilatatum ex vicinis ad se trahat, nihil miri tibi videbitur arterias omnes, quæ ad cutim finiuntur, externum aërem, quum dilatantur, attrahere; quæ verò parte aliqua ad venas se aperiunt, quod tenuissimum maximéque halituosum in iis sanguinis est, ad se trahere; at quæ propinquæ cordi sunt, ab illo ipso aliquid trahere. Quippe in successione ad id quod vacuatur, quod leuissimum tenuissimúmque est, prius ei quod vacuatur, succedit, quàm id quod grauius est, & crassius. Est porrò omnium quæ in corpore sunt, leuissimum tenuissimúmque spiritus; secundo loco halitus; tertio gradu, qui planè absolutus attenuatúsque est sanguis. Hæc igitur arteriæ ex omni parte ad se trahunt, quæ quidem ad cutim pertinent, externum aërem, quippe qui vicinus iis sit, ac quàm maximè leuis. Reliquarum autem ea quidem, quæ à corde subit ad collum, & quæ porrigitur per spinam, quæcunque præterea iis sunt vicinæ, ex ipso maximè corde; quæ verò tum à corde, tum à cute absunt longiùs, hæ quod sanguinis est leuissimum, à venis trahant necesse est. Quare arteriarum omnium, quæ ab ea quæ super spinam est, ad ventrem intestináque pertingunt, tractio inter dilatandum fit, tum à corde ipso; tum quæ plurimæ sunt, à vicinis illi venis. Neque enim ex intestinis, & ventre, quæ adeò crassum grauéque in se nutrimentum habeant, possunt aliquid, de quo ratio vlla sit habenda, in se transferre, quum prius leuioribus impleantur. Neque enim si in vas, quod aqua arenáque sit plenum, syphone demisso, ore aërem ex vase per eum attraxeris, poterit prius arena sequi, quàm aqua; semper enim in successione ad id, quod vacuatur, quod leuius est, prius sequitur. Non est ergo mirandum, si ex ventre prorsus exiguum, quantum scilicet exquisitissimè est confectum, in arterias venit, ceu leuiore prius impletas.

CAP.

A

CAPVT XV.

De Proprij alimenti Attractione.

SEd illud minimè ignorandum, duo eſſe attractionum genera; vnum quod ſucceſſione ad id quod vacuatur contingit; alterum quod qualitatis conuenientia fit, aliter namque aër in folles, aliter ferrum à magnete attrahitur. Præterea ſucceſſione ad id, quod vacuatur, prius id trahi, quod leuius eſt; conuenientia qualitatis nonnunquam (ſi ita fors tulit) quod grauius, modò id cognatâ magis naturâ ſit. Itaque etiam tum cor ipſum, tum verò arterias, quatenus inſtrumenta caua, & quæ poſſunt dilatari, ſemper id quod leuius eſt, prius petit; quatenus verò etiam nutriri poſtulant, in ipſas tunicas, quæ vtique inſtrumentorum ſunt corpora, quod conueniens eſt attrahitur. Ergo quod ſanguinis in cauitatem eorum, quum dilatantur aſſumptum eſt, id ceu maximè ſibi conueniens, maximéque nutrire ſe valens, tunicæ ipſæ vaſorum attrahunt. Quòd autem ex venis in arterias transferatur aliquid, præterea quæ dicta ſunt, illud ſatis euidenti argumento eſt. Si enim multis ampliſque arteriis præciſis iugulare per eas animal velis, inuenies eius venas æquè, atque arterias vacuatas; quod ſanè nunquam fieret, niſi inter ſe haberent altera in alteram ora recluſa. Pari autem modo in ipſo quoque corde ex dextro eius ſinu in ſiniſtrum trahitur, quod tenuiſſimum eſt, habente ſcilicet in ſe eorum interpoſito ſepto foramina quædam, quæ vtplurimum videre licet, veluti profunditates quaſdam, ex latiſſimo ore ſemper & magis in anguſtius procedentes; ipſos tamen vltimos earum fines tum propter paruitatem, tum quòd in animali iam mortuo omnia ſint perfrigerata, ac denſata, contueri non licet. Cæterùm hîc quoque has ſinuum cordis anaſtomoſes, ratio deprehendit; Primùm quidem ea, quæ inde ducitur, quòd natura nihil molitur fruſtra; non enim temerè, aut fortuitò facti ſunt profundi illi meatus, qui adeò in anguſtum finiuntur. Secundò illa quòd quum in dextro cordis ſinu duo ora ſint, vnum, quo ſanguis inuehitur, alterum quo emittitur, longè maius eſt id, quo infertur, quàm id quo emittitur: tanquam enim non omnis ſanguis, quem vena caua cordi infert, ex illo rurſus in pulmonem emittatur, vtique maior eſt ea cauæ pars, quæ in cor inſeritur, quàm vena ea, quæ in pulmonem procedit. Neque eſt quòd dicat quiſquam aſſumptum eſſe ſanguinis aliquid in ipſam corporis cordis nutritionem. ſiquidem alia vena eſt, quæ in id variè fiſſa diſpergitur, quæque nec ortum à corde habet, nec ſanguinem ab eo accipit. Quòd ſi etiam aliquid abſumitur, at non tantò minor eſt vena, quæ in pulmonem procedit, eâ quæ in cor inſeritur; quantum credibile eſt in cordis nutrimentum ſanguinis eſſe abſumptum; verùm ea longè eſt minor. Ergo manifeſtum eſt, quòd in ſiniſtrum ſinum tranſmittitur; ſiquidem etiam duorum numero, quæ in hoc ſunt vaſorum longè minus eſt id, quod à pulmone in eum ducit ſpiritum, quàm magna quæ ex eo procedit, arteria, à quâ quæ ſunt in corpore, omnes ortum habent; ceu non ſpiritum modò à pulmone accipiat, ſed etiam ex dextro ſinu per iam dictas communes vias ſanguinem.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῆς ὁλκῆς τῆς τροφῆς οἰκείας.

Ἀλλ' ἐκεῖνο γινώσκειν, ὡς δύο εἰσὶν ὁλκῆς εἴδη, τὸ μὲν τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ, τὸ δ' οἰκειότητι ποιότητος γιγνόμενον. ἑτέρως μὲν γὰρ εἰς τὰς φύσας ὁ ἀὴρ, ἑτέρως δ' ὁ σίδηρος ὑπὸ τῆς ἡρακλείας ἐπισπᾶται λίθου. καὶ ὡς ἡ μὲν πρὸς τὸ κενούμενον ἀκολουθία, τὸ κουφότερον ἕλκει πρότερον. ἡ δὲ κατὰ τὴν τῆς ποιότητος οἰκειότητα, πολλάκις, εἰ οὕτως ἔτυχε, τὸ βαρύτερον ἂν τῇ φύσει συγγενέστερον ὑπάρχῃ. κἀν τοίνυν καὶ ταῖς ἀρτηρίαις τε, καὶ τῇ καρδίᾳ, ὡς μὲν κοίλοις τε, καὶ διαστέλλεσθαι δυναμένοις ὀργάνοις, ἀεὶ τὸ κουφότερον ἀκολουθεῖ πρότερον. ὡς δὲ καὶ τρέφεσθαι δεομένοις, εἰς αὐτοὺς τοὺς χιτῶνας, οἳ δὴ τὰ σώματα τῶν ὀργάνων εἰσὶν, ἕλκεται τὸ οἰκεῖον. ὅσον οὖν ἂν εἰς τὴν κοιλότητα διαστελλομένων αὐτῶν αἵματος μεταληφθῇ, τοῦθ' ὡς οἰκειότατόν τε, καὶ μάλιστα τρέφειν δυνάμενον, οἱ χιτῶνες αὐτοὶ τῶν ἀγγείων ἐπισπῶνται. τοῦ δ' ἐκ τῶν φλεβῶν εἰς τὰς ἀρτηρίας μεταλαμβάνεσθαί τι, πρὸς τοῖς εἰρημένοις, ἱκανὸν καὶ τό γε τεκμήριον. εἰ πολλὰς καὶ μεγάλας ἀρτηρίας διατεμὼν, ἀποκτεῖναι δι' ἐκείνων βουληθείης τὸ ζῶον, εὑρήσεις αὐτοῦ τὰς φλέβας ὁμοίως ταῖς ἀρτηρίαις ἐκκενουμένας. οὐκ ἂν τούτου ποτὲ γινομένου, χωρὶς τῶν πρὸς ἀλλήλας αὐταῖς ἀναστομώσεων. ὡσαύτως δὲ καὶ κατ' αὐτὴν τὴν καρδίαν ἐκ τῆς δεξιᾶς κοιλίας εἰς τὴν ἀριστερὰν ἕλκεται τὸ λεπτότατον, ἔχοντος τινὰ τρήματα τοῦ μέσου διαφράγματος αὐτῶν, ἃ μέχρι μὲν πλείστου δυνατὸν ἰδεῖν οἷον βοθύνους τινὰς ἐξ εὐρυτάτου στόματος ἀεὶ, καὶ μᾶλλον εἰς στενότερον προϊόντας. οὐ μὴν αὐτά γε τὰ ἔσχατα πέρατα δυνατὸν ἔτι θεάσασθαι διά τε σμικρότητα, καὶ ὅτι τεθνεῶτος ἤδη τοῦ ζῴου, κατέψυκταί τε, καὶ πεπύκνωται πάντα. ἀλλ' ὁ λόγος κἀνταῦθα πρῶτον μὲν ἐκ τοῦ μηδὲν ὑπὸ τῆς φύσεως γίγνεσθαι μάτην ὁρμώμενος, ἐξευρίσκει τὰς ἀναστομώσεις ταύτας τῶν κοιλιῶν τῆς καρδίας. οὐ γὰρ δὴ εἰκῇ γε, καὶ ὡς ἔτυχεν, οἱ εἰς στενὸν οὕτω τελευτῶντες ἐγένοντο βόθυνοι. δεύτερον δὲ κἀκ τοῦ δυοῖν ὄντοιν στομάτοιν ἐν τῇ δεξιᾷ τῆς καρδίας κοιλίᾳ, τοῦ μὲν εἰσάγοντος τὸ αἷμα πολλῷ μείζονος, τοῦ δ' ἐξάγοντος ἥττονος, πολλῷ μεῖζον εἶναι τὸ τοῦ εἰσάγοντος. ὡς γὰρ οὐ παντὸς τοῦ αἵματος ὅσον ἡ κοίλη φλὲψ δίδωσι τῇ καρδίᾳ, πάλιν ἐξ ἐκείνης ἐκπεμπομένου τῷ πνεύμονι, μείζων ἐστὶν ἡ ἀπὸ τῆς κοίλης εἰς αὐτὴν ἔμφυσις, τῆς ἐμφυομένης εἰς τὸν πνεύμονα φλεβός. οὐδὲ γὰρ τοῦτ' ἔστιν εἰπεῖν, ὡς ἐδαπανήθη τι τοῦ αἵματος εἰς τὴν αὐτοῦ τοῦ σώματος τῆς καρδίας θρέψιν. ἑτέρα γάρ ἐστι φλὲψ ἡ εἰς ἐκεῖνο καταχιζομένη, μήτε τὴν γένεσιν ἐκ τῆς καρδίας αὐτῆς, μήτε τὴν τοῦ αἵματος ἔχουσα μετάληψιν. εἰ δὲ καὶ δαπανᾶταί τι, ἀλλ' οὐ τοσοῦτον μείων ἐστὶν ἡ εἰς τὸν πνεύμονα φλὲψ ἄγουσα, τῆς εἰς τὴν καρδίαν ἐμφυομένης, ὅσον εἰκὸς εἰς τροφὴν ἀνηλῶσθαι τῆς καρδίας, ἀλλὰ πλέονι πολλῷ. δῆλον οὖν ὡς εἰς τὴν ἀριστερὰν μεταλαμβάνεται κοιλίαν. καὶ γὰρ δὴ καὶ τῶν κατ' ἐκείνην ἀγγείων δυοῖν ὄντων, ἔλαττόν ἐστι πολλῷ τὸ ἐκ τοῦ πνεύμονος εἰς αὐτὴν εἰσάγον τὸ πνεῦμα τῆς ἐκφυομένης ἀρτηρίας τῆς μεγάλης, ἀφ' ἧς αἱ κατὰ τὸ σῶμα σύμπασαι πεφύκασιν, ὡς ἂν μὴ μόνον ἐκ τοῦ πνεύμονος πνεῦμα μεταλαμβανούσης αὐτῆς, ἀλλὰ κἀκ τῆς δεξιᾶς κοιλίας αἷμα διὰ τῶν εἰρημένων ἀναστομώσεων.

ὅτι δ᾽ ἄμεινον ἦν τοῖς τοῦ σώματος μορίοις, τοῖς μὲν ἀπὸ καθαροῦ, καὶ λεπτοῦ, καὶ ἀτμώδους αἵματος τρέφεσθαι, τοῖς δ᾽ ὑπὸ παχέος, καὶ θολεροῦ, καὶ ὡς οὐδ᾽ ἐνταῦθά τι παρεώραται τῇ φύσει, τῆς περὶ χρείας μορίων πραγματείας ἐστίν. ὥστ᾽ οὐ χρὴ νῦν περὶ τούτων ἔτι λέγειν, ἀλλ᾽ ὑπομνήσαντας ὡς δύο ἐστὶν ὁλκῆς εἴδη, τῶν μὲν εὐρείαις ὁδοῖς, ἐν τῷ διαστέλλεσθαι τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ ποιουμένων τὴν ἕλξιν, τῶν δ᾽ οἰκειότητι ποιότητος, ἐφεξῆς λέγειν, ὡς τὰ μὲν πρότερα, καὶ πόρρωθεν ἕλκειν τι δύναται, τὰ δὲ δεύτερα, ἐκ τῶν ἐγγυτάτω μόνον. αὐλίσκον μὲν γὰρ ὅτι μήκιστον εἰς ὕδωρ ἔνεστι καθέντι, ῥᾳδίως ἀνασπᾷν εἰς τὸ στόμα δι᾽ αὐτοῦ τὸ ὑγρόν. οὐ μὴν εἴ γ᾽ ἐπὶ πλέον ἀπαγάγοις τῆς ἡρακλείας λίθου τὸν σίδηρον, ἢ τοὺς πυροὺς τοῦ κεραμίου, καὶ γὰρ καὶ τοιοῦτόν τι πρόσθεν ἐλέγετο παράδειγμα, δύναιτ᾽ ἂν ἔτι γενέσθαι τις ὁλκή. σαφέστατα δ᾽ ἂν αὐτὸ μάθοις ἐπὶ τῶν ἐν τοῖς κήποις ὀχετῶν. ἐκ τούτων γὰρ εἰς μὲν τὰ παρακείμενα, καὶ πλησίον ἅπαντα διαδίδοταί τις ἰκμάς, εἰς δὲ τὰ πορρωτέρω προσελθεῖν οὐκέτι δύναται. καὶ διὰ τοῦτο ἀναγκάζονται πολλοῖς ὀχετοῖς μικροῖς ἀπὸ τοῦ μεγάλου τετμημένοις, εἰς ἕκαστον μέρος τοῦ κήπου τὴν ἐπίρρευσιν τοῦ ὕδατος ἐπιτεχνᾶσθαι. καὶ τηλικαῦτά γε τὰ μεταξὺ διαστήματα τούτων τῶν μικρῶν ὀχετῶν ποιοῦσιν, ἡλίκα μάλιστα νομίζουσιν ἀρκεῖν εἰς τὸ ἱκανῶς ἀπολαύειν, ἕλκοντα τῆς ἑκατέρωθεν αὐτοῖς ἐπιρρεούσης ὑγρότητος. οὕτως οὖν ἔχει κἀν τοῖς τῶν ζῴων σώμασιν· ὀχετοὶ πολλοὶ κατὰ πάντα τὰ μέρη διεσπαρμένοι, παράγουσιν αὐτοῖς αἷμα, καθάπερ ἐν κήπῳ ὑδρείαν τινά. καὶ τούτων τῶν ὀχετῶν τὰ μεταξὺ διαστήματα, θαυμαστῶς ὑπὸ φύσεως εὐθὺς ἐξ ἀρχῆς διατέτακται, πρὸς τὸ μήτ᾽ ἐνδεῶς χορηγεῖσθαι τοῖς μεταξὺ μορίοις ἕλκουσιν εἰς ἑαυτὰ τὸ αἷμα, μήτε κατακλύζεσθαί ποτ᾽ αὐτὰ πλήθει περιττῆς ὑγρότητος ἀκαίρως ἐπιρρεούσης. ὁ γὰρ δὴ τρόπος τῆς θρέψεως αὐτῶν, τοιόσδ᾽ ἐστί. τοῦ συνεχοῦς ἑαυτῷ σώματος, οἷόν περ τὸ ἁπλοῦν ἀγγεῖον Ἐρασίστρατος ὑποτίθεται, τὰ μὲν ἐπιπολῆς μέρη πρῶτα τῆς ὁμιλούσης ἀπολαύει τροφῆς, ἐκ τούτων δ᾽ αὖ μεταλαμβάνει κατὰ τὸ συνεχὲς ἕλκοντα, τὰ τούτων ἑξῆς, εἶτ᾽ ἐξ ἐκείνων αὖθις ἕτερα. καὶ τοῦτ᾽ οὐ παύεται γιγνόμενον, ἄχρις ἂν εἰς ἅπαντ᾽ αὐτοῦ διαδοθείη τὰ μόρια τῆς τρεφούσης οὐσίας ἡ ποιότης. ὅσα δὲ τῶν μορίων ἐπὶ πλέον ἀλλοιουμένου δεῖται τοῦ μέλλοντος αὐτὰ θρέψειν χυμοῦ, τούτοις ὥσπερ τι ταμεῖον ἡ φύσις παρεσκεύασεν, ἤτοι κοιλίας, ἢ σήραγγας, ἤ τι ταῖς σήραγξιν ἀνάλογον. αἱ μὲν οὖν σάρκες, αἵ τε τῶν σπλάγχνων ἁπάντων, αἵ τε τῶν μυῶν, ἐξ αἵματος αὐτοῦ τρέφονται, βραχεῖαν ἀλλοίωσιν δεξαμένου. τὰ δ᾽ ὀστᾶ, παμπόλλης ἐν τῷ μεταξὺ δεῖται τῆς μεταβολῆς, ἵνα τραφῇ, καὶ ἔστιν οἷόν περ τὸ αἷμα ταῖς σαρξί, τοιοῦτον ὁ μυελὸς τοῖς ὀστοῖς· ἐν μὲν τοῖς μικροῖς τε καὶ ἀκοιλίοις, κατὰ τὰς σήραγγας αὐτῶν διεσπαρμένος, ἐν δὲ τοῖς μείζοσί τε, καὶ κοιλίας ἔχουσιν, ἐν ἐκείνοις ἠθροισμένος. ὡς γὰρ καὶ διὰ τοῦ προτέρου γράμματος ἐδείκνυτο, τοῖς μὲν ὁμοίαν ἔχουσι τὴν οὐσίαν εἰς ἄλληλα μεταβάλλειν ἐγχωρεῖ. τοῖς δὲ πάμπολυ διεστῶσιν, ἀμήχανον ἀλλήλοις ὁμοιωθῆναι χωρὶς τῶν ἐν μέσῳ μεταβολῶν. τοιοῦτόν τι καὶ τοῖς χόνδροις ἐστὶ τὸ περικεχυμένον μυξῶδες, καὶ τοῖς συνδέσμοις, καὶ τοῖς ὑμέσι, καὶ τοῖς νεύροις τὸ παρεσπαρμένον ἐν αὐτοῖς ὑγρὸν γλίσχρον. ἕκαστον γὰρ τούτων ἐξ ἰνῶν σύγκειται πολλῶν, αἵπερ ὁμοιομερεῖς τέ εἰσι, καὶ ὄντως αἰσθητὰ στοιχεῖα.

Porrò quòd præstet corporis partium alias puro tenui halituosóque sanguine nutriri, aliàs crasso, & turbido; quódque hac in parte natura nihil omiserit, id operis quod de partium vsu inscribitur, proprium est. Quominus de iis agendum hoc loco est; sed quòd duo attractionis sint genera, priùs admonitos, nempe aliis dum dilatantur, successione ad id quod vacuatur, per latas vias in se trahentibus, aliis qualitatis conuenientia, illud deinceps docendum, priora quidem etiam eminus trahere aliquid posse, posteriora comminus duntaxat. Siquidem si syphonem longissimum in aquam demiseris, poteris per eum facilè humorem sursum in os trahere, at non si ferrum à magnete longius seponas, aut etiam à fictili frumentum (nam eiusmodi quoque exemplum supra est positum) poterit adhuc fieri tractus. Sanè luculenter id intelligas ex iis, quæ in horto sunt, canalibus; ex iis namque in omnia quidem, quæ iuxta sunt, & vicina defertur aliquis humor; in ea verò quæ longius absunt, peruenire non potest; eóque coguntur multis canaliculis paruis à magno deriuatis, in omnes horti partes confluxum aquæ moliri; tum ea magnitudine spatia, quæ inter canaliculos sint, facere quà scilicet ea existimant tracto ad se vtrinque affluente humore posse perfrui. Ergo sic se res habet, & in animalium corporibus. Canales multi per omnes partes sparsi sanguinem illis, veluti in hortulo quandam rigationem adducunt; atque horum canalium media ipsa, quæ interueniunt spatia, mirificè à natura statim inter initia sunt disposita sic, vt nec præparcè mediis eorum partibus sanguis, quem ad se trahunt subministretur, nec copia superuacui humoris intempestiuè ad ea confluentis aliquando obruantur. Quippe modus nutriendorum eorum talis est. Corporis quod sibi est continuum, cuiusmodi Erasistratus simplex vas esse proponit, summæ primum partes admoto sibi nutrimento fruuntur; ab iis verò per continuum trahentes sumunt, quæ sunt deinceps; deinde ab illis aliæ; nec est eius operis finis, quoad in omnes eius partes, nutrientis substantiæ qualitas sit perlata. Quæ verò particulæ ampliùs alteratum eum, quo nutriantur succum desiderant, iis veluti penum, natura vel sinus, vel cauernulas, vel aliquid quod cauernulis proportione respondeat præparauit. Ac carnes quidem tum viscerum omnium, tum verò musculorum, ex sanguine ipso nutriuntur, exiguam scilicet alterationem consecuto. Ossa verò quò nutriantur, numerosa, quæ intercedat mutatione egent, estque qualis carnibus sanguis, talis ossibus medulla, scilicet in iis quæ parua sunt sinúsque expertia, cauernulis eorum inspersa, in magnis verò, & quibus sinus non desunt, vtique in ipsis collecta. Sicut enim in primo monstratum est libro, quibus similis est substantia, iis mutari inter se fas est; quibus plurimùm inter ipsa est discrimen, ea fieri similia citra omnes, quæ in medio sunt mutationes, non possunt. Tale quiddam, & cartilagini est mucosum illud, quod ei circunfunditur, præterea ligamentis membranis & neruis lentus humor, qui in iis inspersus visitur; singula namque horum ex multis conficiuntur fibris, quæ & similares partes sunt, & verè sensibiles.

In

In mediis verò earum ſpatiis, qui maximè ipſarum nutritioni ſuccus conuenit, eſt inſperſus; hunc verò ex ſanguine traxerant venarum, electo inde, quoad potuere, ſibi quàm ſimillimo; aſſimilant autem ſenſim, atque in ſuam naturam mutant. Ergo hæc omnia tum inter ſe conſentiunt; tum iis quæ ſupra demonſtrata ſunt, ſatis teſtimonij perhibent; nec eſt, quòd etiamnum diſceptationem producamus, ſiquidem ex iis, quæ iam dicta ſunt, inueniat quiſque non ægrè, quemadmodum omnia particularia fiant; Sicut verbi gratia, multi eorum, qui immodicè bibunt, & ocyſſimè pertranſit, quod biberunt, & meijtur intra breue tempus paulò minus totum. Quippe in his quoque tum qualitatis conuenientia, tum humoris tenuitate, tum vaſorum laxitate non ipſorum modò, ſed etiam eorum oris; tum trahentis facultatis robore, celeritas diſtributionis perficitur; partibus quidem quæ iuxta ventriculum ſitæ ſunt, propter qualitatis conuenientiam ſua ipſarum cauſa potionem trahentibus; iis verò quæ proximæ ab his ſunt, ipſis quoque ad ſe rapientibus; deinde iis quæ poſt has habentur, rurſum ab iis ſumentibus, donec ad cauam peruentum ſit venam; ab hac verò renibus iam, quod ſibi conueniens eſt, attrahentibus. Quare nihil miri eſt vinum aqua propter qualitatis conuenientiam citius ſurſum aſſumi; ipſorum verò vinorum, quod album eſt, & purum, tenuitatis gratia promptè in corpus diſtribui; ſicut è contrario nigrum, & turbidum craſſitudinis vitio per viam hærere, ac tardari. Fuerint ſanè hæc & iis, quæ de arteriis ſupra diximus, non parua teſtimonia. Vbique enim qui conueniens ſimul, ac tenuis ſanguis eſt, eo qui talis non eſt, faciliùs trahentem ſequitur. Itaque quum quando dilatantur, halitum, ſpiritum, ac tenuem ſanguinem trahant arteriæ eius, qui in ventre, & inteſtinis eſt ſucci, aut nihil, aut omninò attrahunt perexiguum.

A κατὰ δὲ τὰς μεταξὺ χώρας αὐτῶν ὁ οἰκειότατος εἰς θρέψιν παρέσπαρται χυμός, ὃν εἵλκυσαν μὲν ἐκ τῶν φλεβῶν τοῦ αἵματος, ὅσον οἷόν τ' ἦν ἐκλεξάμενα τὸ ὁμοιότατον. ἐξομοιοῦσι δὲ κατὰ βραχὺ, καὶ μεταβάλλουσιν εἰς τὴν ἑαυτῶν οὐσίαν. ἅπαντα οὖν ταῦτα καὶ ἀλλήλοις ὁμολογεῖ, καὶ τοῖς ἔμπροσθεν ἀποδεδειγμένοις ἱκανῶς μαρτυρεῖ. καὶ οὐ χρὴ μηκύνειν ἔτι τὸν λόγον. ἐκ γὰρ τῶν εἰρημένων ἔνεστιν ἑκάστῳ, τὰ κατὰ μέρος ἅπαντα καθ' ὃν ἕνα γίνεται τρόπον ἐξευρίσκειν ἑτοίμως. ὥσπερ καὶ νὴ Δία πολλοῖς κωθωνιζομένοις πάμπολυ, τάχιστα μὲν ἀναδίδοται τὸ ποθέν. B οὐρεῖται δ' ὀλίγου δεῖν ἅπαν, ἐντὸς οὐ πολλοῦ χρόνου. καὶ γὰρ κἀνταῦθα τῇ τε τῆς ποιότητος οἰκειότητι, καὶ τῇ τῆς ὑγρότητος λεπτότητι, καὶ τῇ τῶν ἀγγείων τε, καὶ τῶν κατ' αὐτὰ στομάτων εὐρύτητι, καὶ τῇ τῆς ἑλκτικῆς δυνάμεως εὐρωστίᾳ, τὸ τάχος συντελεῖται τῆς ἀναδόσεως. τῶν μὲν πλησίον τῆς κοιλίας τεταγμένων μορίων, οἰκειότητι ποιότητος ἑαυτῶν ἕνεκα ἑλκόντων τὸ πόμα. τῶν δ' ἑξῆς τούτοις ἐξαρπαζόντων καὶ αὐτῶν εἰς ἑαυτὰ, κἄπειτα τῶν ἐφεξῆς, πάλιν ἐκ τούτων μεταλαμβανόντων, ἄχρις ἂν εἰς τὴν κοίλην ἀφίκηται φλέβα. τοὐντεῦθεν δ' ἤδη τῶν νεφρῶν τὸ οἰκεῖον ἐπισπωμένων, ὥστ' οὐδὲν θαυμαστὸν, C οἶνον μὲν ὕδατος ἀναλαμβάνεσθαι θᾶττον, οἰκειότητι ποιότητος. αὐτῶν δὲ τῶν οἴνων, τὸν μὲν λευκὸν καὶ καθαρὸν, ἑτοίμως ἀναδίδοσθαι διὰ λεπτότητα. τὸν δ' αὖ μέλανα, καὶ θολερὸν, ἴσχεσθαί τε κατὰ τὴν ὁδὸν, καὶ βραδύνειν ὑπὸ πάχους. εἴη δ' ἂν ταῦτα, καὶ τῶν ὑπὲρ τῶν ἀρτηριῶν ἔμπροσθεν εἰρημένων, οὐ σμικρὰ μαρτύρια. πανταχοῦ γὰρ ὅσον οἰκεῖόν τε, καὶ λεπτὸν αἷμα, τοῦ μὴ τοιούτου ῥᾷον ἕπεται τοῖς ἕλκουσιν. ἀτμὸν μὲν οὖν ἔχουσαι, καὶ πνεῦμα, καὶ λεπτὸν αἷμα, κατὰ τὰς διαστάσεις ἕλκειν αἱ ἀρτηρίαι, τὸν κατὰ τὴν κοιλίαν, καὶ τὰ ἔντερα περιεχόμενον χυμὸν, ἢ οὐδ' ὅλως, ἢ παντάπασι συνεπισπῶνται βραχύ.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΚΑΙ ΠΛΑΤΩΝΟΣ ΔΟΓΜΑΤΩΝ ΒΙΒΛΙΑ ΕΝΝΕΑ. ΠΡΩΤΟΝ ΑΚΕΦΑΛΟΝ.

GALENI DE PLACITIS HIPPOCRATIS ET PLATONIS LIBRI NOVEM. LIBER PRIMVS SINE PRINCIPIO.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΠΡΩΤΩι ΒΙΒΛΙΩι.

Οτι τῶν νεύρων ἀρχὴ, ὁ ἐγκέφαλος· τῶν ἀρτηριῶν, ἡ καρδία.

ARGVMENTVM LIBRI PRIMI.

Quòd neruorum principium, cerebrum; arteriarum, cor ſit.

ΑΛΛΑ κἀκείνου τοῦ συνεχὲς τῷ στέρνῳ διεσεσήπει, καὶ ἦν οὕτω σαφῶς θεάσασθαι τὴν καρδίαν, ὡς κἀν ταῖς τῶν ζώων ἀνατομαῖς, ἐπειδὰν ἑκόντες ἀναγυμνῶμεν. τὸ μὲν οὖν παιδάριον ἐσώθη, σαρκωθέντων τε τῶν περὶ τὸ στέρνον, καὶ συμφυέντων ἀλλήλοις, καὶ τοιοῦτον ἐπίθεμα γενομένων τῆς καρδίας, οἷόν περ ἡ ἔμπροσθεν ἦν κορυφὴ τοῦ χιτῶνος. καὶ οὐ χρὴ θαυμάζειν εἰ γυμνωθείσης τῆς καρδίας, ἐσώθη τὸ παιδάριον. οὐδὲν γὰρ περιττότερον ἡ διάθεσις εἶχε, τῶν ὁσημέραι γινομένων εἰς τὸν θώρακα συντρήσεων. οὐ μὴν οὐδὲ ὁ περικάρδιος ἴδιόν τι ἐξαίρετον ἐπιφέρει τινὰ κίνδυνον, ὥσπερ που καὶ Ἡρόφιλος εἴρηκε, καὶ ἄλλοι πολλοὶ τῶν ἰατρῶν. οὔτε οὖν τὸ παιδάριον ἐν ἐκείνῳ παρ' ὅλην τὴν θεραπείαν ἐβέβλαπτο τὴν ἐνέργειαν, οὔτε ἄν τι ζῶον ὁμοίως ἀνατέμνωμεν. τίνος οὖν ἕνεκα ταῦτ' εἴρηταί μοι; τοῦ τὴν καρδίαν αἵματος εἶναι μεστὴν τηνικαῦτα κατ' ἀμφοτέρας τὰς κοιλίας. πῶς τοῦτο δῆλον; εἰ τρώσαις αὐτὴν, εὐθὺς ἐκχεῖται τὸ αἷμα. ἐχρῆν δέ γε κατὰ τὸν Χρύσιππον, ἢ τὸ πνεῦμα πρότερον ἐκκενούμενον φαίνεσθαι, κἄπειθ' οὕτως ἕπεσθαι τὸ αἷμα, ἢ μηδὲ ὅλως ἕπεσθαι, καθάπερ οὐδὲ ἐπὶ τῶν κατὰ τὸν ἐγκέφαλον ἕπεται κοιλιῶν. ἀλλ' ἐπειδὰν ἐκκόψαντες τὸ κρανίον ἀφέλωμεν τὴν παχεῖαν μήνιγγα, καὶ γυμνώσαντες ἅπαντα τὸν ἐγκέφαλον ἐπιχειρῶμεν τιτρώσκειν ἥν τινα οὖν αὐτοῦ κοιλίαν, οὔτε ἐν τῷ παραχρῆμα φαίνεται κατ' αὐτὰς αἷμα περιεχόμενον, οὔτε ὕστερον ἑπόμενον. οὕτως δὲ κἀπὶ τοῦ τεθνεῶτος ἤδη ζώου κατὰ μὲν τὴν ἀριστερὰν κοιλίαν τῆς καρδίας οὐκ ἔσθ' ὅπου οὐκ ἂν εὕροις αἵματος θρόμβους. ἐν δὲ ταῖς κατὰ τὸν ἐγκέφαλον, οὐχ εὑρήσεις, πλὴν εἰ θλασθέντος αὐτοῦ σὺν τῷ κρανίῳ, τῶν ἐν αὐτῷ τινες ἀρτηριῶν ἢ φλεβῶν διασπασθεῖεν. οὕτω δὲ κἀπὶ τῶν τιτρωσκομένων κατὰ τὴν ἔκφυσιν τοῦ νωτιαίου βοῶν,

SED & illius quod ſterno coniunctum erat, computruit, licebátque ita apertè cor videre, vt in animalium diſſectionibus, vbi conſultò & data opera id denudamus. Igitur puer ſeruatus eſt, obductis iam noua carne & connatis inter ſe partibus circa ſternum poſitis, effectiſque tale cordi operimentum, quale prius erat tunicæ *pericardij* vertex. Neque eſt cur admiremur, detecto corde, ſeruatum fuiſſe puerum. Etenim habuit nihil amplius is affectus quàm quæ quotidie fiunt thoracis perforationes, præſertim quum pericardium nouum aliquod ex ſe nullum adfert periculum, vt Herophilus atque alij medicorum multi cenſent. Igitur ne in actione quidem vlla læſus puer erat, toto quo illi medebatur ſpatio, quemadmodum neque animal vllum, quod eo modo ſecuerimus. Sed quorſum hæc narramus? vt oſtendam cor vtroque ſuo ventre ſanguinis eſſe plenum. Hoc inde conſtat, quòd ſi ſecueris ipſum ex hoc ſtatim ſanguis effunditur. Sed ſecundum Chryſippum, vel ſpiritum prius oportebat exhauſtum apparere, atque ita dein ſequi ſanguinem, vel omninò non ſequi, quemadmodum neque ſequitur in cerebri ventriculis. Nam ne in his quidem ſtatim ſanguis contineri, neque poſtea ſequi videtur, vbi exciſa caluaria, & ablata craſſa membrana, vniuerſóque denudato cerebro, quemcunque ventriculum eius ſecare tentamus. Itaque mortuo iam animali, in ſiniſtro quidem cordis ventriculo nunquam non grumos ſanguinis inuenire eſt. In ventriculis autem cerebri, non item, niſi ſi eo vnà cum caluaria contuſo, venarum atque arteriarum aliquæ diſrumpantur. Eodem modo & in bobus quà primum ſpinalis medulla exoritur vulneratis, ſanguis

sanguis in anteriorum ventriculorum aliquem diductus aliquando inuenitur. Sed ne hîc quidem miraculi quicquam est, si ipso ventriculo posteriori, vnáque magnis vasis vulneratis, ad anteriores ventriculos subinde sanguis peruenire consueuit, quum præsertim fieri aliquando potest, vt laqueo suffocato animali, ob excedentem vim illatam, aliquod vasorum cerebri disrumpatur. Id quod etiam in quauis alia parte propter sanguinis vel copiam, vel qualitatem euenire, sæpius obseruatum est. Verùm si in aqua suffocetur animal, non itidem vas disrumpitur: vti nec si alia quauis morte id afficias, in cerebri ventriculo grumum contineri, vt in corde semper, reperire erit. Sed de iis quæ mortuis animalibus incidunt, præter institutum mihi dixisse videor. Redeo ad eadem viua, ostendámque sanguinem statim effundi detecto corde, si in ventrem sinistrum non solùm scalpellum, sed etiam stylum, aut acum, aut tale quid inieceris. Quanquam profectò spiritum prius euacuatum iri, si id necessum esset, vt dein sequatur sanguis oportebat. Sed foraminis angustia quòd non nisi longo post tempore fluat, non parum forsan confert. At non ita se res habet. Statim enim instrumentum quod vulnerauerit sanguis sequitur, adeò vt quantumuis manus vulnerando festinarit, instrumentum educere incruentum nequeas. Ex quo scire licet, sinistrum ventriculum sanguine plenum esse.

εὑρίσκεταί ποτε διαδιδόμενον εἴς τινα τῶν προσθίων κοιλιῶν αἷμα. καὶ οὐδὲν οὐδ᾽ ἐνταῦθα θαυμαστὸν αὐτῆς τῆς ὀπισθίου κοιλίας τιτρωσκομένης, καὶ πολλῶν, καὶ μεγάλων αὐτῇ συντιτρωσκομένων ἀγγείων, ἀφικνεῖσθαί ποτε καὶ μέχρι τῶν προσθίων τὸ αἷμα. δύναιτο δ᾽ ἂν ἐνίοτε καὶ βρόχῳ πνιγομένου τοῦ ζώου, διὰ τὴν ὑπερβάλλουσαν βίαν ῥαγῆναί τι τῶν κατὰ τὸν ἐγκέφαλον ἀγγείων. οἷα δὴ πολλάκις ὁρᾶται γιγνόμενα, καὶ καθ᾽ ὁτιοῦν ἄλλο μέρος ὑπὸ πλήθους αἵματος ἢ χύσεως ἀναρραγέντος ἀγγείου. εἰ δ᾽ ἐν ὕδατι πνιγείη τὸ ζῶον, οὐκ ἂν ὁμοίως ἀγγεῖον ῥαγείη. κατὰ μέντοι τοὺς ἄλλους ἅπαντας θανάτους τῶν ζώων, οὐκ ἂν εὕροις ἐν ἐγκεφάλου κοιλίᾳ περιεχόμενον θρόμβον, ὥσπερ ἐν τῇ καρδίᾳ διαπαντός. ἀλλὰ τὰ μὲν ἐπὶ τῶν τεθνεώτων, ἐκ περιουσίας εἰρῆσθαί μοι δοκῶ. ἐπάνειμι δ᾽ αὖθις ἐπὶ ζῶντα ζῷα, καὶ δείκνυμί σοι γυμνωθείσης τῆς καρδίας οὐ μόνον εἰ σμίλην καθείης εἰς τὴν ἀριστερὰν κοιλίαν αἷμα προχεόμενον εὐθέως, ἀλλὰ κἂν γραφεῖον, ἢ βελόνην, ἤ τι τοιοῦτον ἕτερον. καίτοι γε εἴπερ ἀναγκαῖον ἦν, ἐχρῆν ἐκκενωθῆναι τὸ πνεῦμα πρότερον, ἵνα ἀκολουθήσῃ τὸ αἷμα. τὸ γὰρ στενὸν τῆς ὀπῆς ἂν εἰς χρόνου μῆκος οὐ σμικρὰ συνετέλεσεν. ἀλλ᾽ οὐχ οὕτως ἔχει τἀληθές. ἕπεται γὰρ αὐτίκα μάλα τῷ τρώσαντι τὸ αἷμα, ὥστε οὐκ ἂν οὐδ᾽ εἰ πάνυ σφόδρα ταχὺς εἴης ἐν τῇ χειρουργίᾳ, δυνήσῃ ποτὲ ἀναίμακτον ἐξαρπάσαι τὸ τρῶσαν. ᾧ δῆλον, ὡς πλήρης ἐστὶν αἵματος ἡ ἀριστερὰ κοιλία.

CAPVT VI.

Aduersus Erasistrati sectatores, quòd sanguis præter naturam non fluat in eum cordis sinum in quo spiritus continetur: sed ibi naturâ contineatur, contra verò in ventriculis cerebri animalem spiritum contineri; quódque Aristoteles & Praxagoras cor neruorum esse originem, præter ea quæ in dissectionibus apparent, senserunt.

ETenim spiritum solùm in eo *corde* antequam denudatum sit contineri, postquam autem denudatum sit sanguinem incidere, vt Erasistrati sectatores dicere solebāt, nihil aliud esse puto quàm verba hominum, quos reprehendi non pudet. Sed & impudens hoc eorum dictum refellere, facillimum est. Si enim præter naturam in eum cordis ventriculum, vbi spiritus continetur, sanguis inciderit, omnia eius naturalia officia confundi oportere puto, ita vt neque arteriæ adhuc eodem modo pulsent, quo cum à cordis spiritu ventriculus oppleretur, & multæ admodum actiones intercidant, perinde ac si earum fons iam amplius non extaret. Etenim hunc ventriculum Erasistratus vitali, Chrysippus animali spiritu plenum esse dicunt. Nullum tamen omninò symptoma ita affectum animal corripit. Et hoc, qui volet, ex me discere poterit, vt sanè non paucis qui id non credebant, sæpius, alio statim substituto animali simile illis ostendimus, sæpius, in vno & eodem, ac præterea à quantis & qualibus affectibus vniuersum animalis corpus occupatur, vulnerato cerebri ventriculo palàm fecimus. Sed quid dico vulnerato? Si enim ante premas tantum quemuis ventriculum quàm vulnus intuleris, animans statim sine motu & sensu, sine spiritu & voce erit. Nec aliter in hominibus ipsis caput perforatis euenire conspicitur. Interim

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Πρὸς τοὺς περὶ τὸν Ἐρασίστρατον, ὅτι μὴ παρὰ φύσιν εἰς τὴν πνευματικὴν κοιλίαν τῆς καρδίας, ἐμπέπτωκε τὸ αἷμα· ἀλλὰ τῇ φύσει ἐν αὐτῇ περιείχετο. ἔμπαλιν δὲ τὸ ψυχικὸν πνεῦμα κατὰ τὰς τοῦ ἐγκεφάλου κοιλίας περιέχεσθαι· καὶ ὅτι Ἀριστοτέλης, καὶ Πραξαγόρας παρὰ τὸ κατὰ τὰς ἀνατομὰς φαινόμενον, ἀρχὴν τῶν νεύρων εἶναι τὴν καρδίαν ἀποφαίνονται.

ΤΟ γὰρ ὑπὸ τῶν περὶ τὸν Ἐρασίστρατον λεγόμενον, ὡς πρὶν μὲν τοῦ γυμνωθῆναι, πνεῦμα μόνον ἐν αὐτῇ περιείχετο, γυμνωθείσης δὲ παρεμπίπτει τὸ αἷμα, οὐδὲν ἄλλ᾽ ἐστὶν ἢ ἀνθρώπων λῆρος ἀναισχύντων πρὸς τὸν ἔλεγχον. ἀλλὰ καὶ τοῦτ᾽ αὐτῶν ἐλέγξαι τὸ ἀναισχύντημα, ῥᾷστόν ἐστιν. εἰ γὰρ δὴ παρὰ φύσιν εἰς τὴν πνευματικὴν κοιλίαν τῆς καρδίας ἐκπέπτωκε τὸ αἷμα, πάντ᾽ ἐχρῆν οἶμαι συγκεχύσθαι τὰ κατὰ φύσιν αὐτῆς ἔργα, καὶ μήτε τὰς ἀρτηρίας ἔθ᾽ ὁμοίως σφύζειν, ὡς ὅτ᾽ ἐκ τοῦ πρὶν αὐτῆς ἐπληροῦτο πνεύματος, ἀπολωλέναι τε παμπόλλας ἐνεργείας, ὡς ἂν τῆς πηγῆς αὐτῶν οὐκέτι οὔσης. Ἐρασίστρατος μὲν γὰρ, ζωτικοῦ πνεύματος, Χρύσιππος δὲ τοῦ ψυχικοῦ πνεύματος πλήρη φασὶν εἶναι τὴν κοιλίαν ταύτην. ἀλλ᾽ οὐδὲν ὅλως τὸ ζῶον καταλαμβάνει σύμπτωμα. καὶ τοῦτ᾽ ἔνεστι τῷ βουλομένῳ μαθεῖν παρ᾽ ἡμῶν, ὥσπερ ἀμέλει πολλάκις ἐδείξαμεν οὐκ ὀλίγοις τῶν ἀπιστούντων, εὐθὺς ἀντιπαραβάλλοντες αὖθις ἐφ᾽ ἑτέρου ζώου. πολλάκις δὲ καὶ καθ᾽ ἓν ὁτιοῦν ταὐτὸν ὁπόσα τε, καὶ ὁποῖα καταλαμβάνει τὸ σύμπαν σῶμα παθήματα, κοιλίας ἐγκεφάλου τρωθείσης. καίτοι τί λέγω τρωθείσης; εἰ γὰρ καὶ πρὶν τρῶσαι θλίψεις, ἡντινοῦν αὐτῶν, ἀκίνητόν τε καὶ ἀναίσθητον, ἄπνουν τε καὶ ἄφωνον εὐθὺς ἔσται τὸ ζῶον. οὕτω δὲ κἀπὶ τῶν ἀνθρώπων αὐτῶν ἀνατετρημένων φαίνεται συμπῖπτον. ἐν γὰρ

τῷ τὰ κατεαγότα τῶν ὀστῶν ἐκκόπτειν, ὑποβάλλειν ἀναγκαζομένων ἡμῶν ἀσφαλείας ἕνεκα τοὺς καλουμένους μηνιγγοφύλακας, εἰ βραχεῖ βιαιότερον ἐπιθλίψειέ τις αὐτοῖς τὸν ἐγκέφαλον, ἀναίσθητός τε καὶ ἀκίνητος ἁπασῶν τῶν καθ᾽ ὁρμὴν κινήσεων ὁ ἄνθρωπος ἀποτελεῖται, οὐ μὴν τήν γε καρδίαν γυμνωθεῖσαν θλιβόντων. ἀλλ᾽ ἐγώ γε οἶδα καὶ πυράγρᾳ ποτὲ χαλκέως ἐπιτρέψας τινὶ περιλαβεῖν αὐτήν, ἐπειδὴ καὶ τῶν δακτύλων ἐξεπήδα βιαίως παλλομένη. ἀλλ᾽ οὐδὲν οὐδὲ τότε τὸ ζῷον ἔπασχεν, οὔτε εἰς αἴσθησιν, οὔτε εἰς κίνησιν τὴν καθ᾽ ὁρμήν, ἀλλ᾽ ἐκεκράγει τε μεγάλα, καὶ ἀκωλύτως ἀνέπνει, καὶ πάντα ἐκίνει σφοδρῶς τὰ κῶλα. μόνη γὰρ ἡ τῶν ἀρτηριῶν βλάπτεται κίνησις οὕτω διαληφθείσης τῆς καρδίας. ἄλλο δὲ οὐδὲν πάσχει τὸ ζῷον, ἀλλ᾽ ἄχρι περ ἂν ζῇ, καὶ κινεῖ πάντα τὰ μέλη, καὶ ἀναπνεῖ. ἐγκεφάλου δὲ οὕτω θλιφθέντος, ἔμπαλιν ἅπαντα συμπίπτει. σφύζουσι μὲν αἱ ἀρτηρίαι κατὰ φύσιν ἅμα τῇ καρδίᾳ, κινεῖται δ᾽ οὐδὲν μέλος, οὐδὲ ἀναπνεῖ τὸ ζῷον, οὐδὲ ἐκφωνεῖ. ἤδη μὲν οὖν ἐκ τῶνδε καὶ ἄλλο τι μεῖζον ἐκφαίνεται, τὸ μήτε τὴν καρδίαν ἐγκεφάλου τινὸς δεῖσθαι πρὸς τὴν οἰκείαν κίνησιν, μήτε τὸν ἐγκέφαλον τῆς καρδίας. οὐ μὴν τούτου γε ἕνεκεν ἐμνημόνευσα τῶν ἐκ τῆς ἀνατομῆς φαινομένων, ἀλλ᾽ ὅπως ἐπιδείξαιμι τὸ ψυχικὸν πνεῦμα κατὰ τὰς τοῦ ἐγκεφάλου κοιλίας περιεχόμενον. ἔνθα νῦν καὶ μάλιστα μεμψαίμην τὸν Χρύσιππον, ὅτι βουλόμενος εἰλικρινές τι καὶ καθαρὸν εἶναι πνεῦμα τὸ κατὰ τὴν ἀρχὴν τῆς ψυχῆς, οὐ προσηκόντως ἐν τῇ καρδίᾳ καθίδρυσεν αὐτό. καίτοι Χρύσιππον μὲν ἄν τις ἀποδέξαιτο μετρίως ἀποφηνάμενον, ὡς μήθ᾽ ὅτι τῶν νεύρων ἀρχὴ ἡ καρδία τὴν γνῶσιν αὐτῷ χαρίζεσθαι, μήτ᾽ ἄλλο μηδὲν τῶν κατὰ τὸ πρόβλημα τοῦτο ζητουμένων. ὁμολογεῖ γὰρ ἀπείρως ἔχειν τῶν ἀνατομῶν. Ἀριστοτέλει δέ γε καὶ Πραξαγόρᾳ, παρὰ τὸ φαινόμενον ἀποφαινομένοις ἀρχὴν τῶν νεύρων εἶναι τὴν καρδίαν, ἐγκαλέσειεν ἄν τις δικαίως. ὅτι μὲν γὰρ ἄλλα πολλὰ τῶν κατὰ τὰς ἀνατομὰς ἀκριβῶς οὐχ ἑωράκασιν, ἐξ ὧν ὑπελείποντο συνταγμάτων ἔνεστι καταμαθεῖν. ὅτι δὲ ἤτοι παντάπασιν αὐτοὶ τυφλώττοντες, ἢ τυφλοῖς διαλεγόμενοι, περὶ τῆς τῶν νεύρων ἀρχῆς ἔγραψαν, οὐ λόγοις χρὴ μακροῖς κατασκευάζειν, ἀλλ᾽ ἐπὶ τὴν αἴσθησιν ἰέναι. φαίνεται γάρ, ὡς ἔμπροσθεν ἐδήλωσα, τὰ μὲν τῶν νεύρων, ἐξ ἐγκεφάλου ἄντικρυς ἐκπεφυκότα. τὰ δ᾽, ἐκ τοῦ νωτιαίου μυελοῦ. νωτιαῖος δ᾽ αὐτός, ἐξ ἐγκεφάλου. βέλτιον οὖν ἦν οὔθ᾽ ἁπλῶς ἀρχὴν τῶν νεύρων ἀποφήνασθαι τὴν καρδίαν, ὅπερ Ἀριστοτέλης ἐποίησεν, οὔτε ἐκ πανουργίας τινὸς ἐπιβεβουλευμένης, ὡς ὁ Πραξαγόρας. οὗτος γὰρ ὁ ἀνήρ, ἐπειδὴ μηδὲν ἑώρα νεῦρον ἐκφυόμενον τῆς καρδίας, ἐφιλονείκει δὲ πρὸς Ἱπποκράτην, καὶ πάντως ἐβούλετο τὸν ἐγκέφαλον ἀφελέσθαι τῆς τῶν νεύρων ἀρχῆς, οὐ σμικρὸν ἀπετόλμησε ψεύσασθαι, τὰς ἀρτηρίας φάμενος ἐν τῷ προϊέναι, καὶ κατασχίζεσθαι στενὰς γιγνομένας, εἰς νεῦρα μεταβάλλειν. τοῦ γὰρ δὴ σώματος αὐτῶν ὑπάρχοντος νευρώδους μέν, ἀλλὰ κοίλου, κατὰ τὴν ἐπὶ πλέον ἐν τῷ ζῴῳ σχίσιν οὕτως γιγνομένων μικρῶν τῶν κοιλοτήτων, ὡς ἐπιπίπτειν ἀλλήλοις τοὺς χιτῶνας, ὁπόταν τοῦτο πρῶτον γένηται, νεῦρον ἤδη φαίνεσθαι τὸ ἀγγεῖον. Ἐρασίστρατος μὲν οὖν, οὐδὲ ἀντιλογίας ἠξίωσε τὸν λόγον, ὡς ἀναισχύντως ἀποτετολμημένον.

enim dum ossa rupta excidimus, quas membranarum custodes nominant, subdere cerebri tutandi gratia cogimur, ne si vel paulò violentius cerebrum premas, homo sine sensu sinéque omni voluntario motu reddatur, quod tamen non euenit si cor nudatum premas. Quin memini me aliquando cuidam permisisse fabri ferrarij forcipe id comprehēdere, cum alioqui dum moueretur è manibus violentius palpitando exiliret. Sed ne sic quidem aut sensu aut voluntario motu animal lædebatur. Tantùm vociferabatur magnopere, indesinenter respirabat, & omnia membra vehementer conuetiebat. Etenim corde ita apprehenso, solus arteriarum motus læditur, aliud nihil patitur animal, sed quandiu viuit & omnes mouet partes, & respirat. Verùm si cerebrum ita comprimas, contraria omnia euenire videbis. Siquidem arteriæ quidem naturali ordine cum pulsat cor pulsant, sed nullum membrum mouetur, neque respirat animal, neque exclamat. Ex quibus iam maius quid se ostendit, videlicet neque cordi opus esse cerebro vt suo officio fungatur, neque cerebro corde. Non tamen huius gratia eorum memini quæ ex anatome apparent, sed vt ostendam animalem spiritum in cerebri ventriculis contineri. Vnde etiam hoc loco vel maximè reprehenderim Chrysippum, quòd cum spiritum qui in ea parte, quæ animæ principium est, continetur, purum ac syncerum esse vellet, eum non, vt conueniebat, in corde collocarit. Quanquam hunc etiam meritò quis laudarit, quòd modestius sententiam suam protulit, ita vt neque an cor principium neruorum sit, neque alterius cuiuspiam quod in hanc controuersiam incidere solet, sibi cognitionem vendicet, sed anatomes imperitum se esse dicat. Contrà Aristotelem & Praxagoram cum aliter quàm res apparet, pronuntient cor esse neruorum principium, iure reprehenderis. Quòd autem & alia multa quæ ad anatomen pertinent diligenter non viderint, ex his quæ scriptis reliquerunt, scire licet. Sed quòd omninò vel ipsi cæcutiebant, vel cum cæcis disserebant cum de neruorum principio scripserint, non est cur verbis longum faciam, sed ad sensum properem. Etenim vt antè demonstraui, neruorum quidam planè ex cerebro enascuntur, quidam ex spinali medulla: ipsa autem spinalis medulla ex cerebro. Melius igitur erat neque simpliciter cor neruorum principium esse dicere, vt Aristoteles, neque ex deliberata quadam calliditate vt Praxagoras. Hic enim vir, vbi nullum vidit neruum ex corde natum, contra Hippocratem contendere cœpit, & cum omnino ne cerebrum neruorum principium sit efficere studuerit, egregiè mentiri non est veritus, dicens arterias, dum progressu in multos ramos finduntur, angustiores & graciliores factas, tandem in neruos degenerare. Etenim cum earum corpus neruosum sit & cauum, postquam iam in animalis corpore multum ac variè fissæ ac distributæ fuerint, adeò paruæ & angustæ redduntur earum cauitates, vt tunicæ partes in se concidant. Vbi autem id primum fit, neruum iam pro arteria apparere ait. Cuius sententiam, vt ab impudenti audacia natam Erasistratus quidem ne confutatione dignam censuit.

A

CAPVT VII.

Arteriarum descriptio, & quòd omnes ex corde eriantur aduersus Praxagoræ figmentum, qui eas in neruos degenerare asserebat, quódque omnium neruorum origo sit à cerebro.

EGo verò postquàm hoc mihi constitutum est, de omnibus considerare, paucis contra Praxagoram disputare volo. Et maximè quòd Chrysippus hominis eius meminit, diuersum sentiens ab his qui neruos à capite oriri censent. B Quòd autem id quod ex anatomia apparet, ita se habere oportet vt Praxagoras dixit, si quis cor neruorum principium rectè opinetur, ne nos quidem dubitamus. Sed quod non ita se res habet, iam millies iis qui veritatem scire cupiebant, in ipsis animalibus demonstrauimus. Nec hîc quidem pigebit arteriarum anatomen indicare, vti nec prius neruorum explicasse piguit. Igitur ex sinistro cordis ventriculo arteria magna enascitur, quæ omnium arteriarum quæ in vniuerso animalis corpore sunt, quasi truncus quidam est. Ex ea veluti pullulat primùm quidem, quæ cor circundat. Ita siquidem anatomici eam vocant. C Attamen ô bone Praxagora, hanc ita attenuatam vt in neruos finiat, dicere non habes. Post hanc magna arteria bifidò diuisa, maior pars ad spinam reflexa, super ipso vertebrarum medio firmatur: altera sublimis ad iugulum rectà sursum fertur. Sed primum contemplare mihi eas, quæ ab his in thoracem feruntur, & audacter dicito, quænam ex his in neruum transformatur. Sunt enim numero viginti duæ, in vnoquoque intercostalium musculorum vna. Sed vnà cum ipsis à spinali medulla nerui quidem enascuntur, D conspiciuntúrque per omnem thoracem in membranam quæ costas succingit, atque in musculos qui spatia inter costas occupant simul protendi ac diuidi hæc duo vasorum genera, tertio etiam alio his adiuncto, venoso nimirum, quod & ab eodem loco cum eis oritur, & per eadem spatia decurrit, & haud dissimiliter scinditur ac distribuitur. Sed de venis iam agere, huius non est instituti; alio enim loco de eis copiosius dicemus. Quare ad arterias redeo, sed relictis iis quas per thoracem spargi diximus. Nam earum aliquam in neruos transmutari, Praxagoras dicere non audebat. Quanquam si in thorace quidem E multi conspiciantur nerui, nulla autem inibi arteria in neruum degeneret manifestum est non ex arteriis neruos generari. Ergo ad arterias quæ extra thoracem sunt transeamus. Ex iis primum quidem par, eæ sunt quæ ad scapulas sursum feruntur, à quibus non exigua pars ad spinalem medullam per interna repit, & in ceruicis musculos se diffundit. Secundum autem, quæ in manus tendunt: quæ mihi illæ maximè esse videntur, quas Praxagoras in neruos finiri significare voluit. Etsi quantò maiores hæ sunt, tantò his quæ in thorace sunt apertius diduci in totas manus ad ipsos vsque digitos conspici possunt. Attamen F ne harum quidem vlla neruus fieri videtur. Etenim quæ in brachij carpo, quas febrium discernendarum gratia tangimus, quæque inter pollicem & indicem positæ sunt, exiguæ omninò sunt: non tamen nerui fiunt, & manifestè vel ante anatomen pulsare sentiuntur. Sed quod

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ἡ τῶν ἀρτηριῶν ἑρμηνεία, καὶ ὅτι ἀρτηρίαι πᾶσαι ἐκ τῆς καρδίας ἐκφύονται πρὸς τὸ τοῦ Πραξαγόρου ψεῦσμα, ὃς ταύτας εἰς νεῦρα τελευτᾷν εἴρηκε· καὶ ὅτι τῶν νεύρων ἀρχὴ ὁ ἐγκέφαλός ἐστι.

ΕΓὼ δὲ ἐπειδὴ περ ἅπαξ κατέστην εἰς τὸ περὶ πάντων διασκέψασθαι, βραχέα τῷ Πραξαγόρᾳ διαλεχθῆναι βούλομαι. καὶ μάλιστα ὅτι καὶ Χρύσιππος ἐμνημόνευσε τἀνδρὸς, ἀντιθεὶς τοῖς ἀπὸ τῆς κεφαλῆς ἄρχεσθαι τὰ νεῦρα νομίζουσιν. ὅτι γὰρ οὕτως ἐχρῆν ἔχειν τὸ φαινόμενον ἐκ τῶν ἀνατομῶν, ὡς ὁ Πραξαγόρας εἴρηκεν, εἰ μελλήσει τις εὐλόγως ἀρχὴν τῶν νεύρων ὑπολήψεσθαι τὴν καρδίαν, οὐδ' ἡμεῖς ἀμφισβητοῦμεν. ὅτι δ' οὐχ οὕτως ἔχει, μυριάκις μὲν ἤδη τοῖς βουληθεῖσι γνῶναι τἀληθὲς, ἐπὶ τῶν ζώων ἐδείξαμεν. οὐκ ὀκνήσομεν δὲ κἀνταῦθα τὴν ἀνατομὴν ἑρμηνεῦσαι τῶν ἀρτηριῶν, ὥσπερ ἔμπροσθεν τῶν νεύρων. ἐκφύεται μὲν γὰρ ἐκ τῆς ἀριστερᾶς κοιλίας τῆς καρδίας ἀρτηρία μεγίστη, καθάπερ τι πρέμνον ἁπασῶν τῶν κατὰ τὸ ζῶον ἀρτηριῶν. ἀποβλαστάνει δὲ ἀπ' αὐτῆς, πρῶτον μὲν ἡ τὴν καρδίαν περιστρέφουσα. καὶ δὴ καὶ ὀνομάζουσιν οὕτως αὐτὴν οἷς μέλει τῶν ἀνατομῶν. ἀλλ' οὐκ ἂν εἴποις ὦ γενναιότατε Πραξαγόρα, μειουμένην ἐν τῷ κατασχίζεσθαι τὴν ἀρτηρίαν ταύτην εἰς νεῦρα τελευτᾷν. ἐφεξῆς δὲ τῆσδε δίχα σχισθείσης τῆς μεγάλης ἀρτηρίας, ἡ μὲν μείζων μοῖρα καταναμφθεῖσα πρὸς τὴν ῥάχιν, ἐπὶ μέσων στηρίζεται τῶν σπονδύλων· ἡ δ' ἑτέρα, μετέωρος εὐθὺ τῶν σφαγῶν ἀναφέρεται. πρώτας οὖν ἐπίσκεψαί μοι τὰς εἰς τὸν θώρακα φερομένας ἀπ' αὐτῶν, καὶ τόλμησον εἰπεῖν τινα μεταβάλλειν εἰς νεῦρον. εἰσὶ μὲν γὰρ δύο καὶ εἴκοσι τὸν ἀριθμὸν, ἐν ἑκάστῳ μεσοπλευρίῳ μία. συναποφύεται δ' αὐταῖς ἀπὸ τοῦ νωτιαίου νεῦρα. καὶ φαίνεταί γε καθ' ὅλον τὸν θώρακα συναποτεινόμενά τε, καὶ συγκατασχιζόμενα ταυτὶ τὰ δύο γένη τῶν ἀγγείων εἴς τε τὸν ὑπεζωκότα τὰς πλευρὰς χιτῶνα, καὶ τοὺς μεσοπλευρίους μῦς, τρίτου τινὸς αὐτοῖς συναποφυομένου τε, καὶ συναποτεινομένου, καὶ συγκατασχιζομένου φλεβώδους ἀγγείου. ἀλλ' οὐδέν τό γε νῦν εἶναι δέομαι διεξέρχεσθαι περὶ φλεβῶν. ἀναμένει γὰρ οὖν κἀκείνας ἑτέρωθι οὐ σμικρὸς λόγος. ἐπὶ δὲ τὰς ἀρτηρίας αὖθις ἐπάνειμι, καὶ καταλίπωμεν ἤδη τὰς κατὰ τὸν θώρακα, μηδ' αὐτοῦ τοῦ Πραξαγόρου τολμήσαντος ἐν θώρακι φάναι μηδεμίαν ἀρτηρίαν εἰς νεῦρον μεταβάλλειν. καίτοι εἴπερ ἐν θώρακι μὲν φαίνεται νεῦρα πάμπολλα, μεταβάλλει δ' οὐδὲ μία καί τοι αὐτὸν εἰς νεῦρον ἀρτηρία, δῆλον ὡς οὐκ ἔστιν ἐκ τῶν ἀρτηριῶν ἡ γένεσις τοῖς νεύροις. ἀλλὰ γὰρ ἐπὶ τὰς ἔξω τοῦ θώρακος ἴωμεν. ὧν πρώτη μέν ἐστι συζυγία τῶν ἐπὶ τὰς ὠμοπλάτας ἀναφερομένων, ἀφ' ὧν οὐκ ὀλίγη μοῖρα καὶ πρὸς τὸν νωτιαῖον εἴσω καταδύεται, καὶ τοῖς ἐν τραχήλῳ μυσὶ διασπείρεται. δευτέρα δὲ, τῶν εἰς τὰς χεῖρας φερομένων ἀρτηριῶν, ἅς μοι καὶ μάλιστα ὡς ἀπονευρουμένας ὁ Πραξαγόρας αἰνίττεσθαι δοκεῖ. καίτοι φανερώτερόν γε τῶν κατὰ τὸν θώρακα, καὶ ταύτας ἰδεῖν ἐστιν ὅσῳ περ καὶ μείζους εἰσὶν, εἰς ὅλα τὰ κῶλα κατασχιζομένας ἄχρι τῶν δακτύλων. ἀλλ' οὐδὲ τούτων, οὐδὲ μία φαίνεται νεῦρον γιγνομένη. καὶ γὰρ αἱ κατὰ τοὺς καρποὺς τῶν χειρῶν, ὧν ἔθος ἡμῖν ἐστιν ἅπτεσθαι πυρετῶν διαγνώσεως ἕνεκα, καὶ μεταξὺ τῶν δακτύλων λιχανοῦ τε, καὶ μεγάλου μικραὶ μὲν ὑπάρχουσι παντάπασιν. ἀλλ' οὔτε εἰς νεῦρον ἤδη μεταβεβλήκασιν, ἐναργῶς τε φαίνονται σφύζουσαι, καὶ πρὸ τῆς ἀνατομῆς. ἀλλ'

ἐν ταύταις μὲν ἴσως, οὐ χρὴ πικρῶς διελέγχειν τὸν Πραξαγόραν, ἀλλά τι καὶ συγγνώμης νέμειν, εἰ μικρὰς ἀρτηρίας οὐκ ἐθεάσατο. καίτοι γ' ὅταν εἰς νεῦρα μεταβάλλειν αὐτὰς φάσκῃ, τὰς σμικροτέρας οὐκ ἀμβλυωπίαν ὑποτιμᾶται δήπουθεν. ἀλλ' ὀξὺ βλέπειν ἐπαγγέλλεται. τῶν δὲ κατὰ τὰς μασχάλας ἀρτηριῶν, ἔστι δὲ καθ' ἑκατέραν χεῖρα μία, μεγάλων τε οὐσῶν, ἅμα καὶ τέτταρα ζεύγη νεύρων μεγάλων ἀμφ' αὐτὰς ἐχουσῶν, ἀναμνῆσαι βούλομαι τοὺς τὰ τοῦ Πραξαγόρου πρεσβεύοντας. οὐδέπω μὲν γὰρ οὐδ' ὑπήρξατο σχίζεσθαι κατὰ ταῦτα τὰ μόρια τῶν ἀρτηριῶν οὐδετέρα. μεγάλα δέ ἐστιν οὕτως ἤδη τὰ νεῦρα, ὥστ' εἰ καὶ τυφλὸς εἴη τις, οὐκ ἂν λαθεῖν αὐτοῦ τὴν ἁφήν. πόθεν οὖν ἐγεννήθη ταῦτα, καὶ τίνων ἀρτηριῶν ἀπεβλάστησε, δίκαιος λέγειν ὁ Πραξαγόρας ἐστί. καίτοι τί παρακαλοῦμαι λέγειν ἐκεῖνον, ἐνὸν ἡμᾶς εἰπεῖν ἤδη τἀληθές. ὡς ἡ μὲν πρώτη συζυγία τῶν εἰρημένων τεττάρων νεύρων, ἀπὸ τοῦ νωτιαίου μυελοῦ σαφῶς ἀποβλαστάνει, καθὰ συμβέβληκεν ὁ τέταρτος τοῦ τραχήλου σπόνδυλος τῷ πέμπτῳ. ἡ δευτέρα δὲ ἐφεξῆς αὐτῇ, μεταξὺ τοῦ πέμπτου τε καὶ ἕκτου. καὶ δὴ καὶ ἡ τρίτη μέν, ἵνα συμβέβληκεν ὁ ἕκτος τῷ ἑβδόμῳ. ἡ τετάρτη δ', ἐπ' αὐτῇ. τὸ δὲ τελευταῖον ζεῦγος τῶν νεύρων, ἐκ τῆς μεταξὺ χώρας ἐκφύεται τοῦθ' ὑστάτου τῶν τοῦ τραχήλου σπονδύλων, καὶ τοῦ πρώτου τῶν ἐν τῷ θώρακι. καὶ τοῦτό ἐστι τὸ εἰς ἄκρας ἰὸν τὰς χεῖρας. οὕτως γὰρ οἱ ἀνατομικώτατοι τῶν πρὸ ἡμῶν ἔγραψαν, ὧν κἀν τοῖς πρώτοις λόγοις, κἀν τοῖς νῦν ἐνεστῶσι, φυλάττω τὴν διδασκαλίαν, πληθυντικῶς εἴ τί που παρέλθον, ἢ οὐκ ἀκριβῶς ἐξειργάσαντο παραλιπών. ἐν ἑτέρᾳ γάρ μοι πραγματείᾳ περὶ τῶν τοιούτων εἰρήσεται. οὔκουν ἀρτηρίας χρὴ ζητεῖν, ἐξ ὧν νεῦρα τῷ λόγῳ γεννήσαντες, ἢ τοὺς δακτύλους κινήσομεν, ἤ τι τῶν κατὰ τὰς χεῖρας ἕτερον. ἔχομεν γὰρ ἤδη τὰ νεῦρα, καὶ πλείω καὶ μείζω τῶν ἀρτηριῶν, οὐκ ἐκ τῆς ἐκείνων τραγικῆς μεταμορφώσεως, ἀλλ' ἐκ τοῦ νωτιαίου μυελοῦ γεγενημένα. τὰ μὲν δὴ τοῦ Πραξαγόρου ψεύσματα, πεφώραται σαφῶς ἤδη, καὶ οὐδὲν ἔτι Πραξαγόρου γ' ἕνεκεν ἐπὶ τὰς ἀρτηρίας ἰέναι χρὴ τῷ λόγῳ. ἀλλ' ἐπειδήπερ ὑπεσχόμην, ὡς ἔμπροσθεν ἐδήλωσα τὴν τῶν νεύρων εἰς ἅπαντα τοῦ ζώου τὰ μόρια νομήν, οὕτω καὶ νῦν ἐκδιδάξαι τὴν τῶν ἀρτηριῶν, ἐπὶ τὰς ὑπολοίπους αὖθις αὐτῶν τρέψωμεν. καὶ πρώτας μὲν τὰς ἐπὶ τοὺς μαστοὺς φερομένας προσθήσω τῷ λόγῳ. δευτέρας δέ, τὰς ἄνω τοῦ θώρακος. καὶ τρίτας, τὰς κάτω. καὶ τετάρτας, ὅσαι τοῖς σκέλεσι διανέμονται. αἱ μὲν δὴ τῶν μαστῶν ἀρτηρίαι, τῆς ἐπὶ τὰς σφαγὰς ἀναφερομένης ἀποφύονται. ἐπιβαίνουσαι δὲ τῷ στέρνῳ καλουμένῳ μικρὸν ὑποκάτω τῆς τῶν κλειδῶν πρὸς αὐτὸ διαρθρώσεως, ὑποφέρονται διὰ παντὸς αὐτοῦ καὶ τελευτῶσαι, διεκπίπτουσιν ἐκτὸς τοῦ θώρακος ὑπὸ τοῦ στήθους. οὐ μὴν ἐνταῦθά γε ὅλαι κατασχίζονται. φαίνεται γάρ τις αὐτῶν μοῖρα δι' ἐπιγαστρίου κατιοῦσα, κἀνταῦθ' εἰς πλείω σχιζομένη, ταῖς ἀπὸ τῶν βουβώνων ἀνιούσαις εἰς ταὐτὸν ἥκουσα. λελέξεται δὲ ὑπὲρ ἐκείνων ὀλίγον ὕστερον, ἐπειδὰν ἡ τοῦ λόγου τάξις ὑποβάλλῃ. νυνὶ δέ, ἐπὶ τὰς ἄνω κλειδῶν ἰέναι καιρός, ἀρχὴν τῷ λόγῳ τήνδε θεμένους. ἐπειδὰν πρῶτον ἐκ τοῦ θώρακος ἀνασχοῦσα, καὶ τὰς κλεῖς ὑπερβᾶσα, κατὰ μέσην γένηται τὴν σφαγὴν ἡ ὄρθιος ἀρτηρία, δίχα σχίζεται. τοὐντεῦθεν δέ, τὸ γεννηθὲν ζεῦγος ἀρτηριῶν μεγάλων. οὐκ ὀρθῶς μὲν ὀνομάζονται καρωτίδες. ἀλλ' ἤδη κρατεῖ τοὔνομα διὰ τὴν πολλὴν ἄνοιαν ἁπάντων τῶν μεθ' Ἱπποκράτην φιλοσόφων τε καὶ ἰατρῶν. ἀλλ' ὅτι μὲν

A ad has attinet, non ita acriter forsan perstringendus est Praxagoras, sed potius venia danda si arterias paruas non viderit. Etiamsi cum arterias in neruos transformari dixit, profectò paruas eas, non obtusum visum insinuare voluit, sed acutius videat, iubendum est. Eos verò qui Praxagoræ dogmata tantopere celebrant, meminisse velim arteriarum axillarium (est enim in vtroque brachio vna) quæ vt magnæ sunt, ita quatuor magnorum neruorum paria circa se habent. Neque enim in his partibus vlla arteria findi cœpit, neruique ita magni sunt, vt etiam si quis cæcus sit, tamen tactum latere nullo modo possint. B Vnde igitur hi nati sint, & ex quibus arteriis profecti sint, æquum est vt Praxagoras dicat. Atqui Praxagoram vt hoc dicat, prouoco, cum rem, vt est, nobis dicere liceat: nimirum primum par quatuor, de quibus ante mentionem feci, neruorum à spinali medulla, qua parte quarta ceruicis vertebra quintæ committitur, profectum esse: secundum proximè illi, inter quintam & sextam. Sed & tertium, vbi sexta septimæ coniungitur; quartum, propter id; vltimum autem neruorum par, ex regione media inter vltimam colli vertebram & C thoracis primam emanat. Et hoc est quod in summas manus fertur. Ita enim insigniores illi anatomici qui ante nos fuerunt scripsere, quorum docendi rationem vt ante, ita & nunc obseruare cupio: sicubi tamen numero quid neglexerunt, aut non exactè pertractarunt, omninò prætermitto. In alio enim opere de talibus dicemus. Non igitur arterias, ex quibus neruos verbis confingamus, quærere conuenit, quum certè vel digitos ex his moueremus, aut aliud quid quod in manibus est. At habemus iam neruos & plures & maiores arteriis, non ex eorum tragica D metamorphosi, sed ex medulla quæ in spina est natos. Sed Praxagoræ falsa figmenta iam satis conspicua fecimus: nec est cur eius causa ad arterias rursum sermonem conuertamus. Verùm postquam recepimus, vt ante neruorum per omnes animalis partes distributionem ostendi, ita & nunc arteriarum indicare, rursum ad eas quæ supersunt reuertamur. Et primò addam quæ ad mammas feruntur, secundò quæ supra thoracem sunt, tertiò quæ infra, quartò quæcunque in crura distribuuntur. Mammarum igitur arteriæ ab ea quidem quæ ad iugulum fertur, enascuntur. E Verùm sternum appellatum ascendentes paulò infrà quàm cum eo iugulum committitur, sub eo continuò feruntur, ac tandem sub ipso pectore extra thoracem cadunt, nec tamen ibi totæ disperguntur. Etenim vna earum pars per hypogastrium descendens, ibique in multos ramos diuisa, cum inguinis arteriis coit. Sed de illis paulò post dicemus, vbi orationis series id postulauerit. In præsentia ad eas quæ supra iugulum sunt orationem conuertere tempus monet, orationis exordio hinc F assumpto. Vbi primum arteria recta thoracem egressa, clauiculámque excedens, ad medium iugulum peruenerit, in duos ramos finditur. Ex quibus par quoddam magnarum arteriarum fit, quas carotidas vocant, sed ineptè quidem: tamen hodie nomen id inualuit propter insignem imprudentiam philosophorum & medicorum omnium qui post Hippocratem fuerunt. Sed quòd &

illi

Alii male opinati sint, cum putarint, harum arteriarum, affectionem esse carum, contra quàm senserit Hippocrates, in secundo huius operis libro necessum est mihi pertractare; in præsenti libro, hoc nomen arteriis non inuidebo; imò vsque carotides nominentur. Ego verò quis sit earum situs, quomodo findantur, atque in omnes supra clauiculas partes distribuantur, id exponam. Feruntur autem hæ vt à principio, ita etiam nunc recto ductu. Sed quæ velut truncus earum est, rectà caput petit, atque obiter propagines quasdam paruas in ceruicis musculos emittit. Vbi verò iam maxillæ vicinæ fuerint, vtraque in duos ramos finditur, atque ita quatuor fiunt. Quarum duæ, in linguam atque in totam faciem, ac præterea in quicquid illud est capitis quod extra caluariam est, disperguntur duæ reliquum caluariæ perreptantes, in cerebrum deueniunt. Quin & harum arteriarum meminisse aliquando oportet. Longam enim exigunt tractationem, quòd neque simplici ratione & vt sors tulerit ad cerebrum perueniunt, & sub crassa membrana admirabilem illum plexum qui rete refert conficiunt. In præsens, nec harum, nec vllius alterius cognitam ex anatome imaginem persequi necesse habeo. Id enim operis de vsu partium, & de administrationibus anatomicis magis est. Hoc loco quod descripsisse ex vsu est, videlicet quod ex sinistro cordis ventriculo arteriæ omnes pronascantur, id ex anatomia perstringam. Itaque maior portio maximæ arteriæ firmatur super media spina non per dorsum tantum, sed per totam lumborum regionem. Propagines ea primum, vt ante dixi, in vniuersum thoracem à se mittit, dein vbi iam septum elapsa fuerit, ei etiam par alterum elargitur. Post hanc in inferiori thoracis parte arteria gemina est, quæ quum ab ea quæ super spinam posita est statim post septum oriatur, ad lienem, ventrem, iecur, intestináque omnia fertur, & per omnem mesenterij partem dispergitur: deinde per paria iam, duæ priori maiores multò, in renes: aliæ duæ, per abdomen & lumborum musculos, per singulas vertebras singulum par, ad latum vsque os proferuntur, atque inde rursum in matricem & testes; ad hæc singularis quædam in mesenterium. Sed & in ipsa spinalis medullæ penetralia ex magna arteria per totam spinam enascuntur arteriæ quædam paruæ, per singulas quasque vertebras duæ. Verùm postquam ad sacrum os magna illa peruenerit, in duas magnas partes finditur, quarum singulæ in singula crura se demittunt, obiter etiam partibus quæ ad sacrum os sunt vesicæ; & his quæ infra matricem sunt, atque vno verbo, genitalibus partibus omnibus ex se ramusculos quosdam dispensant. Sed quemadmodum distribuantur, nec id quidem hoc loco dicere atque explicare necessum est. Ergo ab his arteriis ad crura delatis, vbi iam prope inguen sunt, in vtroque vna quædam exoritur, per abdomen in summo corpore delata. Vbi dein dispersæ, cum mammarum arteriis coëunt, vt quatuor hæc vniri videantur. De his arteriis dictum mihi prius est, vbi de thoracis arteriis sermonem feci. Reliquæ duæ crurum arteriæ, in vtroque inguine vna, per interiores femoris partes ad genu protendun-

A οὗτοί τε κακῶς ὑπειλήφασι πάθημα τῶν εἰρημένων ἀρτηριῶν εἶναι τὸν κάρον, οὔθ' Ἱπποκράτης οὕτως ἐγίγνωσκεν, ἐν τῷ δευτέρῳ τῶνδε τῶν ὑπομνημάτων ἀναγκαῖόν ἐστί μοι διελθεῖν. ἐν δὲ τῷ παρόντι λόγῳ, τοῦ τε ὀνόματος οὐ φθονήσω ταῖς ἀρτηρίαις. ἀλλ' ὀνομαζέσθωσαν ἔτι, καὶ νῦν καρωτίδες. ὅστις δὲ ὁ τρόπος αὐταῖς ἐστι θέσεώς τε ἅμα καὶ σχίσεως, ἁπάσης τε τῆς εἰς τὰ τῶν κλειδῶν ἄνω μόρια νομῆς, ἐγὼ διηγήσομαι. φέρονται μὲν ἔτι καὶ νῦν ὄρθιαι καθάπερ ἐξ ἀρχῆς ὡρμήσαντο. τὸ δὴ οἷον πρέμνον αὐτῶν, εὐθὺ τῆς κεφαλῆς. ἀποβλαστήματα δὲ κατὰ τὸν τράχηλον ἀποπέμπουσι μικρὰ τοῖς ταύτῃ μυσίν. B ἐπειδὰν δὲ πλησίον ἤδη γίνωνται τῆς γένυος, ἑκατέρα δίχα σχίζεται. καὶ οὕτως ἤδη τέτταρες αἱ πᾶσαι γενηθεῖσαι, δύο μὲν εἰς γλῶτταν τε, καὶ σύμπαν τὸ πρόσωπον, ὅσον τε τὸ τῆς κεφαλῆς ἐκτὸς τοῦ κρανίου, κατασχίζονται. δύο δὲ λοιπὸν διεξερχόμεναι τὸ κρανίον, εἰς τὸν ἐγκέφαλον ἔρχονται. καὶ δεῖ καὶ τῶνδε μεμνῆσθαι τῶν ἀρτηριῶν. οὐ σμικρὸς γὰρ οὐδ' αὐταῖς ἐκδέχεται λόγος, ὅτι μηδ' ἁπλῶς, μηδ' ὡς ἔτυχεν ἐπὶ τὸν ἐγκέφαλον ἀνίασιν. ἀλλ' ὑπὸ τῇ παχείᾳ μήνιγγι τὸ θαυμαστὸν ἐκεῖνο πλέγμα τὸ τῷ δικτύῳ παραπλήσιον ἐργάζεται. νυνὶ δ', οὔτε τούτων τῶν ἀρτηριῶν, οὔτ' ἄλλης οὐδεμιᾶς C ἀνάγκη λέγειν ἅπασαν τὴν ἐκ τῆς ἀνατομῆς γιγνωσκομένην ἰδέαν. τῇ τε γὰρ περὶ χρείας μορίων πραγματείᾳ, καὶ τῇ τῶν ἀνατομικῶν ἐγχειρήσεων, ἡ τοιαύτη διέξοδός ἐστιν οἰκειοτέρα. κατὰ δὲ τὸ παρὸν ὅσον ὑπογράψαι χρήσιμον, ὡς ἐκ τῆς ἀριστερᾶς κοιλίας τῆς καρδίας αἱ ἀρτηρίαι πᾶσαι πεφύκασι, τὴν ἀνατομὴν αὐτῶν διέξειμι. ἡ μείζων μοῖρα τῆς μεγίστης ἀρτηρίας ἐστήρικται μὲν ἐπὶ μέσης τῆς ῥάχεως οὐ κατὰ τὸν νῶτον μόνον, ἀλλὰ καὶ τὴν ὀσφὺν ἅπασαν. ἀποφύσεις δὲ πρώτας μὲν, ὡς ἔμπροσθεν εἴπομεν, εἰς ὅλον ἀποστέλλει τὸν θώρακα, κἄπειτ' ἐπειδὰν ἤδη διεκπίπτῃ τὸ διάφραγμα, D καὶ τούτῳ ζεῦγος ἕτερον. ἐφεξῆς δὲ πρώτη, τῶν κάτω τοῦ θώρακος ἀρτηρία διττὴ μετ' αὐτὰς εὐθέως τὰς φρένας, ἀποβλαστάνουσα τῆς ἐπὶ τὴν ῥάχιν, φέρεται πρὸς τῷ σπληνὶ, καὶ γαστρὶ, καὶ ἥπατι, καὶ τοῖς ἐντέροις ἅπασι, καὶ παντὶ τῷ μεσαραίῳ διασπειρομένη. ἑξῆς δὲ κατὰ συζυγίαν ἤδη, δύο μὲν εἰς τοὺς νεφροὺς μείζονες πολλῷ τῆς προειρημένης· ἄλλαι δὲ δύο, κατ' ἐπιγάστριόν τε τὰς ψόας, καθ' ἕκαστον σπόνδυλον ἓν ζεῦγος, ἄχρι τοῦ πλατέος ὀστοῦ. καὶ μέν γε καὶ εἰς τὰς μήτρας τε, καὶ ὄρχεις ἐντεῦθεν κατέρχονται. καί τις ἄζυγης εἰς μεσεντέριον. ἀλλὰ καὶ εἰς αὐτὸν εἴσω τὸν νωτιαῖον ἀπὸ τῆς E μεγάλης ἀρτηρίας καθ' ὅλην τὴν ῥάχιν ἐκφύονταί τινες ἀρτηρίαι μικραὶ, δύο καθ' ἕκαστον σπόνδυλον. ἐπειδὰν δὲ κατὰ τὸ ἱερὸν ὀστοῦν γένηται, σχίζεται τουντεῦθεν ἤδη εἰς μεγάλα μέρη. καὶ κατέρχεταί τις εἰς ἑκάτερον σκέλος, ἐν τῇ παρόδῳ τοῖς καθ' ἱερὸν ὀστοῦν ἀποβλαστήματα πέμψασα, κύστει τε καὶ τῆς μήτρας τοῖς κάτω, καὶ ξυνελόντι φάναι, τοῖς γεννητικοῖς ἅπασι μορίοις. οὐδὲν γὰρ ἔτι δέομαι λέγειν, οὐδ' ἐνταῦθα τὸν τρόπον τῆς διανομῆς. ἀπὸ τούτων τῶν ἀρτηριῶν τῶν ἐπὶ τὰ σκέλη φερομένων, ἐπειδὰν πλησίον ἥκωσι βουβώνων, ἀποφύεται μία καθ' ἑκάτερον ἄνω τοῦ σώματος ἰοῦσα δι' ἐπιγα- F στρίου. κατασχιζόμεναι δ' ἐνταῦθα, ταῖς ἀπὸ τῶν μαστῶν καταφερομέναις εἰς ταὐτὸν ἥκουσιν, ὡς ἑνοῦσθαι τὰ τέτταρα τάδε. περὶ τούτων τῶν ἀρτηριῶν εἴρητό μοι καὶ πρόσθεν, ἡνίκα τὰς κατὰ τὸν θώρακα διῄειν τῷ λόγῳ. λοιπαὶ δὲ τῶν σκελῶν αἱ ἀρτηρίαι δύο, μία καθ' ἑκάτερον ἐνεχθεῖσα βουβῶνα, τοῖς ἐντὸς τοῦ μηροῦ παρατέτανται μέρεσιν ἄχρι τοῦ γόνα-

τος, ἀπὸ τούτων ἑκατέρας, εἰς τοὺς καθ᾽ ἑκάτερον τῶν μηρῶν μῦς αἱ ἀρτηρίαι κατασχίζονται, τὸ δ᾽ ὑπόλοιπον αὐτῶν διὰ τῆς ἰγνύος ἐνεχθὲν, εἴς τε τὰ περὶ τὴν κνήμην ἅπαντα, καὶ τὸν πόδα νενέμηται. καὶ οὐδὲν οὐδ᾽ ἐνταῦθα δέομαι διέρχεσθαι τὸν τρόπον τῆς νομῆς, ἀλλ᾽ ἀρκεῖ βραχεῖ λόγῳ δεδηλωκέναι τὰς ἐν τῷ ζώῳ πάσας ἀρτηρίας ἀπὸ μιᾶς ἐκείνης πεφυκυίας, ἣν ἐκ τῆς ἀριστερᾶς κοιλίας τῆς καρδίας, οἷον ἐκ γῆς τινος πρέμνον, ἐλέγομεν φύεσθαι. ἔστι δὲ καὶ ἑτέρα τις ἀρτηρία τῆς αὐτῆς κοιλίας ἐκφυομένη, φλεβώδης τὸν χιτῶνα. κατασχίζεται δ᾽ εἰς ὅλον αὐτὴ τὸν πνεύμονα τοῖς ζώοις ἅπασιν οἷς πνεύμων ἐστίν. οἷς δ᾽ οὐκ ἔστιν, εἰς ἕτερόν τι μόριον ἀνάλογον ὑπάρχον πνεύμονι, καθάπερ τοῖς ἰχθύσιν εἰς τὰ βράγχια. ταύτην τὴν ἀρτηρίαν εἰκάσειεν ἄν τις τῷ τοῦ πρέμνου κάτωθεν ἐν αὐτῇ τῇ γῇ ἐμπεριεχομένῳ μέρει τοῦ φυτοῦ. καὶ δὴ καὶ κατασχίζεσθαι ταύτην μὲν ὡς ἂν εἰς ῥίζας τινὰς τὰς κατὰ τὸν πνεύμονα πεφυκυίας ἀρτηρίας. τὴν μεγάλην δὲ τὴν εἰς ὅλον τὸ σῶμα νενεμημένην, οἷον περ κλάδους ἀπομερίζειν ἑαυτῆς ἁπάσας τὰς κατὰ τὸ ζῶον ἀρτηρίας, ἃς ὀλίγον ἔμπροσθεν εἶπον. οὕτως γὰρ οἶμαι, καὶ τὸν Ἱπποκράτην προσεικάσαντα, ῥίζωσιν ἀρτηριῶν ἀποφαίνεσθαι τὴν καρδίαν, ὥσπερ ἀμέλει τῶν φλεβῶν τὸ ἧπαρ. εἰρήσεται δέ μοι περὶ τῆς εἰκόνος ἐπὶ πλέον ἐν τοῖς ἑξῆς, ἐπειδὰν ὑπὲρ ἥπατός τε καὶ φλεβῶν ὁ λόγος περαίνηται. νυνὶ δὲ ἀρκεῖ τὰ λεγόμενα πρὸς ἔνδειξιν τοῦ καὶ τὰς ἀρτηρίας ἁπάσας ἀπὸ τῆς καρδίας ἐκπεφυκέναι, καὶ μηδεμίαν αὐτῶν εἰς νεῦρον μεταβάλλειν, ἀλλ᾽ ἀρχὴν ἁπάντων τῶν νεύρων ὑπάρχειν τὸν ἐγκέφαλον.

tur, à quarum vtraque in vtriusque femoris musculos arteriæ distribuuntur, & ex his quicquid superest per poplitem productum, in omnes partes tibiæ & pedis dispensatur. At ne hîc quidem modum atque distributionis rationem persequi opus est, quum præsertim illud tribus verbis indicasse satis sit, omnes totius animalis arterias ab vna illa proficisci, quam ex sinistro cordis ventriculo, non aliter atque ex terra truncum, originem duxisse retuli. Alia etiam est arteria ex eadem cordis cauitate manans, sed ita vt quod ad tunicam attinet, venam referat. Ea omnibus animalibus quibus pulmo est, in pulmonem totum diducitur: quibus is non est, in aliud aliquod membrum quod pulmoni respondeat, vti piscibus in branchias. Hanc arteriam percommodè quis comparabit inferiori parti trunci plantarum quæ terra continetur, cum profecto arteriæ illæ quæ ex ea in pulmonem sparguntur, radicum vicem atque comparationem sustinere rectè possint. Altera illa magna, quæ in vniuersum corpus distribuitur, arterias omnes quas antè commemoraui, non aliter ac ramos quosdam, ex se toti animali impartit. Hac opinor, similitudinis ratione adductus Hippocrates, cor arteriarum, iecur venarum radicationem, rectè nominauit. De similitudine hac copiosius dicam, vbi de iecinore & venis sermo erit. Atque ita ad demonstrandum arterias omnes ex corde nasci, earúmque nullam in neruum commutari, quum neruorum omnium principium cerebrum sit, hæc mihi satis iam dicta sunto.

ΚΕΦΑΛΑΙΟΝ Η´.

Πρὸς τὸν Ἀριστοτέλη, ὅτι ἡ καρδία τῶν νεύρων ἀρχὴ οὐκ ἔστι· καὶ πῶς δεῖ τὴν τοῦ νεύρου φύσιν κρίνεσθαι.

Καταλιπόντες οὖν ἤδη τὸν Πραξαγόραν ἀναίσχυντα σοφιζόμενον, αὖθις ἐπὶ τὸν Ἀριστοτέλη μεταβαίνωμεν, ἐπεὶ καὶ αὐτὸς ἐκ τῆς καρδίας φύεσθαί φησιν τὰ νεῦρα. συγκεχυμένως δὲ εἴρηται, καὶ ἀδιορίστως δὶς πρὸς αὐτοῦ περὶ τῆς τῶν νεύρων ἀρχῆς. ἐχρῆν γὰρ οἶμαι τὸν ἀπὸ καρδίας αὐτὰ φύεσθαι φάσκοντα, δεῖξαι πῶς εἰς ἕκαστον τοῦ ζώου μόριον ἀπ᾽ αὐτῆς ἔρχεται τὸ νεῦρον, ὥσπερ ἡμεῖς ὀλίγον ἔμπροσθεν ἐπεδείξαμεν ἀρτηρίαν, οὐ τὸ ἁπλῶς γε τοῦτο εἰπεῖν μόνον, αὔταρκες ὑπολαβεῖν. ὅθεν ὃ ἐν τῷ τρίτῳ περὶ τῶν ἐν τοῖς ζώοις μορίων ἔγραψεν, οὐδαμῶς ἦν πρέπον Ἀριστοτέλει. παραγράψω δὲ τὴν ῥῆσιν αὐτήν. ἔχει δὲ καὶ νεύρων πλῆθος ἡ καρδία, καὶ τοῦτο εὐλόγως. ἀπὸ ταύτης γὰρ αἱ κινήσεις. περαίνονται δὲ διὰ τοῦ ἕλκειν, καὶ ἀνιέναι. δεῖ οὖν τοιαύτης ὑπηρεσίας τε καὶ ἰσχύος. ὅτι μὲν γὰρ δεῖ τοιαύτης ὑπηρεσίας τε καὶ ἰσχύος ἐκείνῳ τῷ μέρει τοῦ σώματος, ὃ τὴν ἀρχὴν τῆς ψυχῆς ἐν ἑαυτῷ περιέχει, πρόδηλον ἅπασι. τὸ μέν τοι τὴν καρδίαν τοῦτ᾽ εἶναι τὸ μέρος, οὐ μόνον οὐκ ἀπέδειξεν ὁ Ἀριστοτέλης, ἀλλ᾽ οὐδὲ πιθανῶς ἐπεχείρησεν, εἰ μὴ ἄρα τὸ νεύρων ἔχειν πλῆθος αὐτὴν, ἱκανὸν εἶναι γνώρισμα νομίζει τοῦ νεύρων ὑπάρχειν ἀρχήν. ἀλλ᾽ οὕτω γε καὶ τὰς χεῖρας, καὶ τοὺς πόδας ἀρχὰς ὑποληψόμεθα νεύρων. ἂν γὰρ ἱκανὸν εἶναι νομίσωμεν ἔνθα ἂν ᾖ νεῦρα πολλὰ, τοῦτ᾽ ἀρχὴν τίθεσθαι νεύρων, οὐδὲν ἡμᾶς κωλύσει, καὶ ταῦτα τὰ μόρια νεύρων ἀρχὰς ὑπολαβεῖν. οὕτω δὲ καὶ τὸ τῷ δικτύῳ παραπλήσιον πλέγμα τὸ ὑπὸ τῇ παχείᾳ μήνιγγι, τῶν ἀρτηριῶν ἀρχὴν ἐροῦμεν, οὐ τὴν καρδίαν.

CAPUT VIII.

Aduersus Aristotelem quòd cor non sit origo neruorum; & qua ratione natura nerui sit dijudicanda.

IGitur relicto Praxagora impudentia quædam commento, ad Aristotelem reuertamur, quum præsertim & ipse ex corde produci neruos censeat, sed confusè tamen & indistinctè admodum de neruorum principio bis loquutus. Oportebat siquidem, si quid ego censeo, cum à corde neruos pronasci dixerat, indicasse quemadmodum in vnumquodque corporis membrum à corde nerui procedant, eo modo quo nos paulò ante arteriam ex eo distributam ostendimus, neq; dixisse tantum, satis esse existimasse. Quocirca quod in tertio libro de partibus animalium scripsit, Aristotelem nequaquam decebat, ascribam autem verba ipsa. *Cor neruos habet multos: atqui id meritò. Ab hoc enim motuum origo est. At hi trahendo & remittendo peraguntur. Igitur tali ministerio & robore opus habet.* Quòd autem tali ministerio & robore opus sit illi corporis parti quæ animæ principium in se continet, nulli non perspicuum est. Cæterùm cor hanc esse partem non modò non ostendit atq; demonstrauit Aristoteles, sed ne probabili quidem aliqua ratione id molitus aliquando est, nisi si fortè quòd neruos multos habeat, id argumentum satis efficax esse putet ad cognoscendum cor neruorum esse principium. Sed si ita senserit eadem opera & manus & pedes neruorum principia censebimus. Etenim si vbi nerui multi sunt, ibi neruorum principium poni satis iustam rationem putamus, certè has ipsas partes neruorum principia esse existimare, nihil prohibebit. Eodem modo etiam plexum qui reti similis & sub crassa membrana positus est, arteriarum principium dicemus non cor.

In

In eo enim plexu atteriarum copia, quæ numerari nequit reperitur. Sed hæc præter institutum mihi dicta sunt, vt ne quis, si multi in corde cernantur nerui, omninò ob id cor omnium totius animalis neruorum principium statuere æquum censeat. At quum ne multos quidem neruos cor habeat, tantò absurdius quod opinatus Aristoteles est, esse videbitur. Non enim nerui, sed neruosæ quædam tenuitates sunt. Id ostendam facilè vel ex ipso Aristotele. Is siquidem quando membri alicuius naturam, atque quidnam sit, velimus perpendere, vt ad eius vsum & actionem, non constitutionem oculos conuertamus nos docet. Si igitur quænam sit oculi essentia perconteris, respondendum, instrumentum visorium. Neque enim quod ex tantis ac talibus humoribus, tunicis, membranis, & musculis certa ratione compositis constituatur oculus, ob id eius substantiam id esse velit Aristoteles, rectè sanè sentiens, vti aliàs & mihi demonstratum est. Ita quum is senserit, opus esse arbitror vt huius rei rationem & demonstrationem ipse adiungam. Et certè conarer ostendere, si contra alium quempiam quàm contra Aristotelem sermonem haberem, vnumquodque membrum non corporis sui figura, sed actione & vsu iudicari debere. Cæterùm cùm contra Aristotelem disputatio est, qui longè ante nos ita censuerit, tantum in memoriam reuocare oportet ea quæ is in secundo de anima & libro de partibus dixit, quum vellet non ex corporis specie, sed functione quod instrumentum menbrúmque idem, & quod diuersum esset, iudicare. Ergo quicquid videndi instrumentum est, oculus erit, etsi aliter homo, aliter cancer eum habuerit constitutum. Quicquid gradiendi, crus, siue id elephantis, siue capræ, siue ouis, siue hominis fuerit. At ita si res habet, Aristoteles charissime, neruum non corporis figura, vti vulgus imperitum & inexercitatum facit, sed vsu & actione iudicabis.

A ἀναρίθμητον γάρ τι πλῆθος ἀρτηριῶν ἐστι κατ' ἐκεῖνο τὸ πλέγμα. ταυτὶ μὲν οὖν ἐκ περιουσίας εἰρήσθω μοι, πρὸς τὸ μηδ' εἰ πολλὰ κατὰ τὴν καρδίαν ἐφαίνετο νεῦρα, πάντως ἄν τιν' ἐκ τούτων πείθεσθαι δικαίως ἀρχὴν ἁπάντων τῶν κατὰ τὸ σῶμα τοῦ ζώου νεύρων. ἐπεὶ δ' οὐδ' ἔχει νεῦρα πολλά, μεῖζον ἂν ἐπιγίγνοιτο τῷ Ἀριστοτέλει τὸ ἄτοπον. εἰσὶ μὲν γάρ τινες ἐν αὐτῇ νευρώδεις διαφύσεις. οὐ μὴν ἤδη γέ που καὶ νεῦρα. δειχθείη δὲ ἄν, οὐ διὰ μακρῶν τοῦτο κατ' αὐτὸν τὸν Ἀριστοτέλη. οὗτος γὰρ οὖν ἐστιν ὁ διδάξας ἡμᾶς εἰς τὴν ἐνέργειάν τε, καὶ χρείαν ἀποβλέπειν ἑκάστου τῶν ὀργάνων, οὐκ εἰς τὴν κατασκευήν, ἐπειδὰν B ὅτι ποτέ ἐστιν αὐτὸ τὸ εἶναι σκοπώμεθα. τῷ γοῦν ὀφθαλμῷ ἵνα ἦ, τί ποτέ ἐστιν ἐρωτηθέντες, ἀποκρινοίμεθα ὀργάνῳ ὀπτικῷ. οὐ γὰρ δὴ τό γ' ἐκ τοσούτων τε, καὶ τοιούτων ὑγρῶν, χιτώνων τε καὶ ὑμένων, καὶ μυῶν ὡδί πως συγκειμένων κατεσκευάσθαι, τὴν οὐσίαν αὐτὴν εἶναι βούλεται τῶν ὀφθαλμῶν ὁ Ἀριστοτέλης, ὀρθότατα γινώσκων, ὡς καὶ πρὸς ἡμῶν ἐν ἑτέροις ἐπιδέδεικται. νυνὶ δ' οἶμαι δεῖσθαι εἴς γε τὰ παρόντα τῆς παρ' ἡμῶν ἀποδείξεως, αὐτοῦ τοῦ Ἀριστοτέλους δοξάζοντος οὕτως. εἰ μὲν γὰρ πρὸς ἄλλον τινὰ τὸν λόγον ἐποιούμην, ἐπειρώμην ἂν ἐπιδεικνύειν, ὡς ταῖς ἐνεργείαις τε καὶ χρείαις ἕκαστον τῶν μορίων, οὐ τῇ τοῦ C σώματος ἰδέᾳ κρίνεται. ἐπεὶ δὲ πρὸς Ἀριστοτέλη διαλέγομαι, τὸν αὐτὸν οὕτως γινώσκοντα πολὺ πρότερον ἡμῶν, ἀναμνῆσαι χρὴ μόνον ὧν αὐτὸς ἔν τε τῷ δευτέρῳ περὶ ψυχῆς, κἂν τῷ περὶ μορίων ἀπεφήνατο, τὸ ταὐτὸν καὶ τὸ ἕτερον ὄργανον ἐκ τῶν ἐνεργειῶν, οὐκ ἐκ τῆς τοῦ σώματος ἰδέας κρίνεσθαι βουλόμενος. εἰ μὲν γὰρ ὀπτικὸν εἴη τὸ ὄργανον, ὀφθαλμός ἐστι, κἂν ἑτέρως ἔχῃ κατεσκευασμένον ἄνθρωπός τε, καὶ καρκῖνος. εἰ δὲ βαδιστικόν, σκέλος, ἄν τ' ἐλέφαντος, ἄν τ' αἰγός, ἄν τ' οἰός, ἄν τ' ἀνθρώπου τύχοι. εἰ δὲ ταῦθ' οὕτως ἔχει, κρινέσθω σοι τὸ νεῦρον, Ἀριστότελες φίλτατε, μὴ τῇ τοῦ σώματος D ἰδέᾳ, καθάπερ τοῖς πολλοῖς καὶ ἀγυμνάστοις περὶ λόγον, ἀλλ' ἐνεργείᾳ τε καὶ χρείᾳ.

CAPVT IX.

Quid differant neruus, ligamentum & tendo.

Tria enim instrumenta sunt quæ corporis forma inter se vicina sunt, sed quæ tamen functione atque vsu multum variant. Horum vnum neruus, secundum ligamentum, tertium tendo nominatur. Ex his neruus, omninò aut ex cerebro, aut spinali medulla exoritur, sensum vel motum vel vtrumque partibus quibus inseritur conducens. Ligamentum sensu quidem caret, vsum tamen talem habet qualem nomen indicat. At alterum, tendo videlicet, musculi neruosus finis est, ex ligamento & neruo genitus, vti tum in libris de motu musculorum, tum in Administrationibus anatomicis mihi demonstratum est. Iam neruus omnis exactè teres est, tendines verò non item omnes; & his minus ligamenta. Etenim ex his maior pars in modum membranæ dilatatur: tamen membrana omnis exquisitè tenuis mollisque est, ligamentum durum & crassum omninò; imò horum aliqua, neruicartilaginosa & dicuntur & sunt. Neque sanè aut membrana, aut neruus, aut tendo in eam cum ligamento deuenit aliquando duritiem, quum præsertim neruorum aliqui, ex sua natura valde molles sint, ad sensum largiendum tantum idonei. Alij etsi substātia corporis his duriores sunt, longè tamen infra duritiem ligamenti sunt;

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Πῶς διαλλάττονται νεῦρον, σύνδεσμος, καὶ τένων.

Τρία γάρ ἐστιν ὄργανα παραπλήσια μὲν ἀλλήλοις τὴν μορφὴν τοῦ σώματος, οὐκ ὀλίγον δ' ἐνεργείαις τε καὶ χρείαις διαλλάττοντα. προσαγορεύεται δ' αὐτῶν τὸ μέν, νεῦρον, τὸ δέ, σύνδεσμος, τὸ δέ, τένων. τὸ μὲν δὴ νεῦρον, ἐξ ἐγ- E κεφάλου πάντως ἢ νωτιαίου πέφυκεν, αἴσθησιν, ἢ κίνησιν, ἢ τὸ συναμφότερον, οἷς ἂν ἐμφύηται παρέχον. ὁ σύνδεσμος δέ, ἀναίσθητος μέν ἐστιν ἡ χρεία δὲ αὐτοῦ, κατὰ τοὔνομα. λοιπὸς δὲ τένων, πέρας ἐστὶ νευρῶδες μυός, ἐκ συνδέσμου καὶ νεύρου γεννώμενος, ὡς ἔν τε τοῖς περὶ μυῶν κινήσεως ἡμῖν ἐπιδέδεικται, κἂν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσι. νεῦρον μὲν δὴ πᾶν ἀκριβῶς ἐστι στρογγύλον. οἱ τένοντες δ', οὐχ ἅπαντες. ἔτι δὲ μᾶλλον οἱ σύνδεσμοι. πλατύνονται γὰρ οἱ πλείους αὐτῶν εἰς ὑμένος ἰδέαν. ἀλλ' ὑμὴν μὲν ἅπας, ἀκριβῶς ἐστι λεπτὸς καὶ μαλακός. σύνδεσμος δέ, καὶ σκληρός, καὶ παχὺς τοὐπίπαν. F ἔνιοι μὲν αὐτῶν, νευροχονδρώδεις ὀνομάζονταί τε καί εἰσιν. οὔτε δὲ ὑμήν, οὔτε νεῦρον, οὔτε τένων εἰς τοσαύτην ποθ' ἥκει σκληρότητα. ἀλλὰ τῶν μὲν νεύρων ἔνια, καὶ πάνυ μαλακὰ τὴν φύσιν ἐστίν, εἰς αἴσθησιν ἐπιτήδεια μόνην. ἔνια δ', εἰ καὶ σκληρότερα τούτων ὑπάρχει κατὰ τὴν τοῦ σώματος οὐσίαν, ἀλλὰ παμπόλλῳ γε ἀπολείπεται συνδέσμου σκληρότητος,

οὕτω δὲ καὶ οἱ ὑμένες, εἰ καὶ διαφέρουσιν ἀλλήλων κατὰ σκληρότητα, συνδέσμων ἀπολείπονται πάμπολυ. οἱ τένοντες δὲ, σύγκεινται μὲν ἔκ τε τῶν συνδέσμων, καὶ τῶν νεύρων τῶν σκληροτέρων. ἐν τῷ μέσῳ δὲ εἰκότως ἀμφοῖν εἰσι, τοσούτῳ νεύρου σκληρότεροι τὴν οὐσίαν ὑπάρχοντες, ὅσῳ συνδέσμου μαλακώτεροι. ἅπαντα δὲ ταῦτά ἐστι τὰ τρία γένη λευκά, καὶ ἄναιμα, καὶ ἀκοίλια, καὶ εἰς ἶνας εὐθείας λυόμενα, πλὴν τῶν πάνυ σκληρῶν συνδέσμων. οὐ γὰρ οἷόν τε τούτους ἀναλῦσαι εἰς ἶνας. εἰ γοῦν οὕτως ὀνομάζειν ἐθέλεις, ὡς Ἱπποκράτης ὠνόμασε, τὸ μὲν αἴσθησίν τε, καὶ κίνησιν παρέχον, ἤτοι νεῦρον, ἢ τόνον (ἄμφω γὰρ αὐτὸ προσαγορεύει) τὸ δὲ ἀναίσθητον, σύνδεσμον, εἰς ὃν δὲ ὁ μῦς τελευτᾷ, τένοντα, δείξω σοι σαφῶς οὐκ ἔχουσαν πλῆθος νεύρων τὴν καρδίαν. εἰ δὲ καὶ συγχεῖν βούλοιο τὰς προσηγορίας, ὡς οἱ πλεῖστοι τῶν μεθ' Ἱπποκράτην, κάλει μὲν ἅπαντα νεῦρα, διαφορὰς δ' ἐν αὐτοῖς λέγε τρεῖς, αἰσθητικὰ μὲν καὶ προαιρετικὰ τὰ ἐξ ἐγκεφάλου, καὶ νωτιαίου πεφυκότα. συνδετικὰ δὲ, τὰ ἀναίσθητα. καὶ τρίτα ἔτι πρὸς τούτοις, τὰ ἐκ τῶν μυῶν ἀπονευρουμένων φυόμενα.

eadem ratio & in membranis est, quæ etsi inter se duritie variant, ligamentis tamen molliores multò sunt. Tendones, vt ex ligamentis & neruis durioris generis componuntur, ita inter vtrumque medij sunt, tantò substantia sua neruo duriores, quantò ligamento molliores sunt. Atque hæc omnia tria illa genera sunt alba, exanguia, & solida, & quæ in fibras rectas diuidi ac dissolui possunt, præter dura illa ligamenta, nam hæc in fibras diuellere non ita potes. Si igitur ita hæc nominare velis vt Hippocrates nominauit, videlicet quod sensum ac motum præstat, neruum seu τόνον (vtroque enim nomine id vocauit) quod sensum non habet, ligamentum, id in quod musculus finit, tendonem, perspicuè satis ostendam cor non habere neruorum copiam. Sed si nomina hæc confundere ac perturbare placet, vti maxima pars medicorum, qui post Hippocratem fuerunt, solet, voces licet neruos quidem omnia, differentias tamen in eis tres dicito: qui ex cerebro & spinali medulla oriuntur, sensitiuos & voluntarios nominans: qui non sentiunt, colligantes: tertios illos, enatos è musculis qui in substantiam nerueam finiunt.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ἐν τῇ καρδίᾳ τὸ τῶν νεύρων πλῆθος οὐκ εἶναι, καὶ τοὺς μῦς εἶναι τὰ τῆς κατὰ τὴν προαίρεσιν κινήσεως ὄργανα, καὶ πῶς Ἀριστοτέλης ἐσφάλη.

ΚΑὶ οὕτως γὰρ δείξομεν οὐκ ἔχουσαν ἀξιόλογα τὸ μέγεθος, ἢ τὸ πλῆθος αἰσθητικά τε καὶ προαιρετικὰ νεῦρα τὴν καρδίαν ἐναργῶς. ἀλλ' ὡς ἔμπροσθεν εἴρηται, σμικρὸν ἀπ' ἐγκεφάλου καθῆκον, εἰς αὐτὴν ἐμφύεται. τί ποτε οὖν ἐστι τὸ πρὸς Ἀριστοτέλους εἰρημένον, ἔχει δὲ καὶ νεύρων πλῆθος ἡ καρδία. οὔτε γὰρ φιλοψευδὴς ὁ ἀνὴρ, οὔτε παντάπασιν ἄπειρος τῆς ἀνατομῆς, ἵνα καὶ τοῦτόν τις ὥσπερ τοὺς περὶ τὸν Χρύσιππον ἑταίροις ἐψευσμένοις ἠκολουθηκέναι νομίσειεν. ἐμοὶ μὲν δοκεῖ τὰς ὑπὸ Ἡροφίλου νευρώδεις διαφύσεις ὀνομασμένας, αὐτὰς οὐ νευρώδεις, ἀλλ' ἄντικρυς εἰρηκέναι νεῦρα. πέρατα δ' ἐστὶ ταῦτα τῶν ἐπὶ τοῖς στόμασι τῆς καρδίας ὑμένων. ὑπὲρ ὧν Ἐρασίστρατος μὲν, ἀκριβῶς ἔγραψεν, Ἡρόφιλος δ', ἀμελῶς. συμφύεται δὲ καὶ συνδοῦνται δι' αὐτῶν πρὸς τὴν καρδίαν οἱ ὑμένες οὗτοι. καὶ ἡ χρεία γε κατὰ τοὺς συνδέσμους αὐτοῖς, οὐ κατὰ τὰ νεῦρα. ἀλλ' εἰ καὶ νεῦρά τις εἶναι συγχωρήσειεν αὐτὰ, καὶ μὴ νευρώδη σώματα, τό τε τὴν καρδίαν ὑπάρχειν νεύρων ἀρχὴν, οὐκ ἐξ ἀνάγκης ἕπεται, μὴ δυναμένων ἡμῶν ἐπιδεῖξαι μηδὲν νεῦρον εἰς μηδὲν μόριον τοῦ σώματος ἀπ' αὐτῆς φερόμενον, ὡς ἔμπροσθεν ἐδείξαμεν ἀπ' ἐγκεφάλου τε, καὶ νωτιαίου. δοκεῖ δή μοι δύο μὲν ἐνταῦθα ὑποθέμενος ὀρθῶς ὁ Ἀριστοτέλης, ἓν μὲν, ὡς ἰσχύος δεῖ τινος οὐκ ἀγεννοῦς εἰς τὰς κατὰ προαίρεσιν ἐνεργείας, ἕτερον δ', ὡς οὐδὲ μιᾶς τοιαύτης ἰσχύος ἐγκεφάλῳ μέτεστιν, ἐπ' αὐτοῖς δὲ τρίτον ἐξ αἰσθήσεως προσλαβὼν, τὸ πλῆθος τῶν ἐν τῇ καρδίᾳ νευρωδῶν συνδέσμων, οὐκ ἔθ' ὑπομεῖναι περὶ τὴν κατὰ μέρος ἀνατομὴν ἀσχοληθῆναι, καὶ ζητῆσαι, πῶς εἰς ἕκαστον τοῦ σώματος μόριον ἐκ καρδίας ἀφικνεῖται νεῦρον, ἀλλ' ὡς ἄντικρυς ἑπόμενον ἐν οἷς εἶπον ἀποφήνασθαι. πολλὰ γὰρ δὴ τοιαῦτα καὶ παρὰ τοῖς ἰατροῖς ἐστιν εὑρεῖν ἀνατομικὰ θεωρήματα μοχθηρῶς γεγραμμένα, μὴ βουληθέντων αὐτῶν ἀναμεῖναι τὸ φαινόμενον ἐκ τῆς ἀνατομῆς, ἀλλ' ἐξ ἀκολουθίας μέν τινος ἐλπισάντων ὡς ἑωρακότων.

CAPVT X.

In corde copiam neruorum non esse, motúsque voluntarij musculos esse instrumenta; & præterea hac in re qua Aristoteles ratione fuerit deceptus, explicat.

QVo etiam modo facilè ostendam cor non habere manifestè neruos sensitiuos & voluntarios, magnitudine vel numero relatu dignos; vnum tamen exiguum, vt ante dixi, habet, & eum à cerebro in se diductum. Quid ergo est quod Aristoteles dixit, cor habere multos neruos? vir enim erat qui neque vanis adeò facilè capiebatur, neque omninò adeò anatomes rudis erat, vt ita hunc, quemadmodum Chrysippum, sociis vana referentibus accedere quis putet. Mihi profectò videtur, quas Herophilus neruosas tenuitates vocat, eas planè neruos esse dicere. Sed hæ fines membranarum sunt quæ in cordis orificiis positæ sunt, de quibus Erasistratus diligenter, Herophilus negligenter scripsit; membranæ enim horum interuentu cordi alligantur & adnascuntur, vsúsque his idem qui ligamentis, non qui neruis est. At si neruos eas esse quis concedat, ac non neruosa corpora, certè non ex necessitate statim sequetur cor neruorum principium esse, præsertim cum nullum neruum in aliquam corporis partem ex eo, vti antè ex cerebro & spinali medulla ostendimus, deriuari ostendere quimus. Videtur sanè mihi Aristoteles quum duo hîc rectè supposuerat, alterum quòd robore cor opus habeat non vulgari ad actiones voluntarias peragendas, alterum quòd tale robur cerebro non sit, & ad hæc tertium, putà copiam neruosorum ligamentorum *quæ in corde visuntur*, ex sensu assumeret, non tamen sustinuisse seorsum singularum partium sectioni vacasse, & quæsiuisse quomodo in vnamquamque corporis partem ex corde deueniret neruus, sed perinde ac si ad ea quæ commemoraui id planè sequeretur, pronuntiasse. Multa enim talia apud medicos inuenire licet anatomica theoremata perperam scripta, cum nollent quod ex anatomia appareret id expectare, sed ex consequentia quadam, id quasi vidissent, verum esse sperarent; ita

Ita planè decipi mihi visus est Aristoteles, duo quidem vera ponens assumpta, tertium, probabile & veritati propius. Vera esse dico, quòd & robore quodam opus sit instrumentis quæ motura sunt corporis membra: nihilque tale à cerebro prodire apparere. Probabile verò non verum, quòd in corde copia sit neruorum. Sed nos re ostendere possumus organum id à quo animalis membra moueri oportet, quod illi ex sermone & verbis quidem bene notum erat, sed tamen re incognitum homini ideo permansit, quòd ex anatome id quærere non curabat, & ex sensu inuenire recusabat, etenim neruorum nullus talis est; musculi siquidem, vt vocant, neruos suscipiunt, & membra mouent; imò vectis cuiusdam vim habere musculus videbitur, si neruum respicias. Nam quemadmodum pondera quæ manibus mouere non possumus, vectibus admotis mouemus; ita corporis membra quum neruis mouere nequimus, musculos ad id accepimus; neruus enim per singulos musculos in fibras solutus, permiscetur & implicatur cum ligamentorum fibris: postea ex vtrisque corpus vnum neruosum genitum, ex musculi corpre enascitur id quod tendo nominatur. Ad eum modum enim non solùm Hippocrates, sed etiam Homerus ipsum nominant. Qui tendo ex instrumentis enatus, rationem habet extremæ vectis partis quæ pondera tangit. Neque enim pars aliqua nostri corporis est quæ ex nostra voluntate & arbitrio mouetur, cui non præficiatur musculus qui ex cerebro neruum suscipit. Sed de hac re qui certiorem fidem habere velit, illi duo libri à nobis scripti sunt, seorsum singuli, quorum alter omnes quotquot sunt, musculos perstringit, & quam quisque functionem habet edocet; alter quemadmodum in eos nerui dispensetur, enarrat. Quin etiam in anatomicis administrationibus & libris de vsu partium copiosè de his omnibus disseruimus. Itaque nihil iam deesse mihi videtur huic libro, quin possit nec sibi nec iis quæ manifestè ex anatome conspiciuntur repugnando, ponere ac statuere cerebrum neruorum esse principium; nec minus docuimus, arteriarum principium in corde positum: quòd autem venarum principium iecur sit, in sequentibus expediam. Igitur primo libro finem hîc ponam, & ad ea quæ ordine coniuncta iis sunt quæ hoc libro exposui ac demonstraui, in secundo me conuertam.

οὕτω δή μοι καὶ ὁ Ἀριστοτέλης ἐσφάλθαι φαίνεται, δύο μὲν ἀληθῆ θέμενος λήμματα, τὸ δὲ τρίτον ἐγγὺς ἀληθείας πιθανόν. ἀληθῆ μὲν οὖν εἶναί φημι τό τε δεῖν ἰσχύος τινὸς τοῖς κινήσουσιν ὀργάνοις τὰ τοῦ ζώου μέλη, καὶ τὸ μηδὲν ἀπ' ἐγκεφάλου φαίνεσθαι τοιοῦτον. πιθανὸν δὲ οὐκ ἀληθές, ὡς ἐν τῇ καρδίᾳ πλῆθος εἴη νεύρων. ἀλλ' ἡμεῖς γε δεῖξαι δυνάμεθα τὸ καλῶς μὲν ὑπ' αὐτοῦ τῷ λόγῳ γνωσθὲν ὄργανον, ὑφ' οὗ χρὴ κινεῖσθαι τὰ τοῦ ζώου μέλη. διότι δ' ἠμέλησε ζητῆσαι κατὰ τὰς ἀνατομὰς αὐτό, διὰ τοῦτ' ἐκφεύγοντος τὴν διὰ τῶν αἰσθήσεων εὕρεσιν, ἄγνωστόν τε μεῖναι τἀνδρί. τῶν μὲν γὰρ νεύρων οὐδέν ἐστι τοιοῦτον. οἱ δὲ ὀνομαζόμενοι μύες ὑποδεχόμενοι ταῦτα, κινοῦσι τὰ μέλη. καὶ δόξειεν ἂν εἶναι μοχλοῦ τινος ἔχειν δύναμιν ὁ μῦς, ὡς πρὸς τὸ νεῦρον. ὥσπερ γὰρ ὅσα ταῖς χερσὶν οὐχ οἷοί τ' ἐσμὲν κινῆσαι βαρῆ, διὰ τῶν μοχλῶν αὐτὰ κινοῦμεν, οὕτω καὶ τὰ τοῦ σώματος μέλη τοῖς νεύροις ἀδυνατοῦντες κινεῖν, τοὺς μῦς προσεκτησάμεθα. λυόμενον γὰρ εἰς ἶνας ἐν ἑκάστῳ μυὶ τὸ νεῦρον, ἀναμίγνυταί τε καὶ διαπλέκεται ταῖς ἐκ τῶν συνδέσμων ἰσίν. εἶτ' ἐξ ἀμφοῖν ἕν τι νευρῶδες σῶμα γεννηθὲν ἐκφύεται τοῦ σώματος μυὸς ὁ προσαγορευόμενος τένων. οὕτως γὰρ οὐχ Ἱπποκράτης μόνον, ἀλλὰ καὶ Ὅμηρος αὐτὸν ὀνομάζουσιν. ὅστις τένων ὀργάνων ἐκφυόμενος, ἀνάλογον ἕξει τῷ τοῦ μοχλοῦ πέρατι τῷ ψαύοντι τῶν βαρῶν. οὐδὲ ἔστιν οὐδὲν εὑρεῖν ἐν τῷ σώματι μέλος, ὃ κατὰ μὲν τὴν ἡμετέραν κινεῖται προαίρεσιν, οὐ προτέτακται δ' αὐτοῦ τις μῦς ἀπ' ἐγκεφάλου δεχόμενος νεῦρον. ὅστις δὲ καὶ περὶ τοῦδε πεισθῆναι ἐθέλοι βεβαίως, τούτῳ γέγραπται πρὸς ἡμῶν ὑπομνήματα δύο, κατὰ μόνας ἑκάτερον. ἓν μὲν, ἅπαντας τοὺς μῦς, ὁποία τ' ἐστὶν ἐνέργεια καθ' ἕκαστον, ἀκριβῶς διδάσκον. ἕτερον δὲ, τὴν τῶν νεύρων εἰς αὐτοὺς νομὴν διηγούμενον. οὐ μὴν, ἀλλὰ καὶ ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσι, καὶ τοῖς περὶ χρείας μορίων ὑπομνήμασιν, ἐπὶ πλέον ὑπὲρ ἁπάντων τούτων διέξιμεν. ὥστ' οὐδενὸς ἔτι προσδεῖν ἡμῖν ἔοικεν, ἀλλ' ὁμολογουμένως ἑαυτῷ τε καὶ τοῖς ἐναργῶς φαινομένοις ὑπάρχει πᾶσιν, ἀρχὴν τῶν νεύρων ἐγκέφαλον τιθέμενος. οὕτω δὲ καὶ τῶν ἀρτηριῶν ἐπεδείξαμεν ἀρχὴν ὑπάρχουσαν τὴν καρδίαν. ὅτι δὲ καὶ τῶν φλεβῶν ἀρχὴ τὸ ἧπάρ ἐστιν, ἐν τοῖς ἐφεξῆς ἀποδειχθήσεται. ἐνταῦθ' οὖν ἤδη καταπαύσας τὸ πρῶτον βιβλίον, ἐπὶ τὰ συνεχῆ τοῖς ἀποδεδειγμένοις ἐν αὐτῷ, κατὰ τὸ δεύτερον τρέψομαι.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΚΑΘ' ΙΠΠΟΚΡΑΤΗΝ ΚΑΙ ΠΛΑΤΩΝΑ ΔΟΓΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

GALENI DE HIPPOCRATIS ET PLATONIS PLACITIS LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΔΕΥΤΕΡΩι.

Περὶ τῆς τῶν λημμάτων ἀτοπίας λέγει, οἷς Στωϊκοὶ, καὶ οἱ ἐκ τοῦ περιπάτου χρῶνται, ὑπὲρ τοῦ, ἐν ᾧ, τὸ τῆς ψυχῆς ἡγεμονικὸν, ὑπάρχει ἀποφαινόμενοι· καὶ ὅτι δεῖ ἐπὶ ταῖς ἀνατομαῖς τὰς τῶν ἐνεργειῶν πασῶν ἀρχὰς γνωρίζειν.

ARGVMENTVM LIBRI SECVNDI.

Agit de ſumptionum abſurditate, quibus Stoici, ac Peripatetici in rationalis facultatis ſede probanda vtebantur; ac ex diſſectionibus actionum omnium principia docet eſſe dignoſcenda,

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐν τῷ πρὸ τούτου βιβλίῳ εἴρηται· τί ἐν τῷδε λεκτέον.

ΠΕΡΙ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐπισκέψασθαι προθέμενος, ἀπὸ τοῦ πρώτου κατὰ τὴν δύναμιν ὑπηρξάμην, ᾧ καὶ τἄλλα σχεδὸν ἅπαντα τὰ κατὰ μέρος ἀκολουθεῖν ἔδειξα. τοῦτο δέ ἐστι, τὰ περὶ τῶν διοικουσῶν ἡμᾶς δυνάμεων, ὁπόσαι τέ εἰσι τὸν ἀριθμὸν, ὁποία τέ τις ἑκάστη, καὶ τόπον ὃν τιν' ἐν τῷ ζώῳ κατείληφεν. ἠξίουν τε μηδὲν οὕτω φυλάττεσθαι κατὰ τὸν λόγον, ὡς τὸ τοῖς ἐναργῶς φαινομένοις ἐναντία τίθεσθαι, καθάπερ οἵ τε μηδὲν ἄλογον ζῶον ἐπιθυμεῖν, ἢ θυμοῦσθαι φάσκοντες, οἵ τε τὴν ἀρχὴν τῶν νεύρων ὑπάρχειν ἐν τῇ καρδίᾳ. ἀποτετόλμηται γὰρ ἅπαντα τὰ τοιαῦτα πρὸς ἀνθρώπων, ἀνατρέψαι φιλονεικοτάτων, ὅσα καλῶς εἴρηται τοῖς παλαιοῖς, ὑπὲρ τοῦ νεωτέραν αἵρεσιν ἰδίαν συστήσασθαι. τὰ μὲν οὖν τοιαῦτα τῶν ψευσμάτων, ἐν τῷ πρώτῳ βιβλίῳ διήλεγξα· νυνὶ δὲ ἐπὶ θάτερον εἶδος λόγων ὧν ποιοῦνται, ἔγνωκα μεταβὰς ἐπιδεῖξαι σαφῶς, καθ' ὅσον οἷός τ' εἰμὶ, πῇ ποτε σφάλλονται.

CAPVT PRIMVM.

Quid ſuperiori libro actum ſit; quid hoc agendum.

A QVVM de Hippocratis & Platonis placitis cōſiderare inſtituiſſem, ab eo quod poteſtate primum eſt, auſpicatus ſum: quod & reliqua propè vniuerſa particularia, ſubſequi monſtraui. Hoc autem eſt, facultates corpus noſtrum diſpenſantes, quot ſint numero, quales ſingulæ, & quam in animante ſedem ſortitæ ſint. Verùm nihil tam cauendum eſſe in hoc opere duxi, atque euidenter apparentibus contraria affirmare: quemadmodum B hi factitant qui bruta concupiſcere aut iraſci negant, quique neruorum principium in corde exiſtere pronunciant. Quippe auſi ſunt id genus omnia veterum pulcherrima inuenta homines contentioſi ſubuertere, vt nouam ſibi ſectam conſtituerent. Itaque huiuſmodi mendacia libro priore confutaui: nunc verò ad aliud rationum quas adducunt, genus digreſſus, euidenter pro viribus oſtendere decreui, quo tandem modo hallucinentur.

CAP.

CAPVT II.

Quòd falsis & vanis rationibus vsus sit Chrysippus, & reliqui qui perperam de principibus animæ facultatibus senserunt.

AT fortè satius fuerit perspicuitatis gratia statim operis initio rationum differentias distinguere, quibus omnes malè quodcunque problema tractantes vtuntur. Dico autem sumptionum, *lemmata vocant*, quas conclusionis gratia assumunt, alias quidem manifestò esse falsas, alias verò propositæ contemplationi minimè proprias. Palàm sanè falsas, quales libro priore fusiùs explicauimus, quando nonnulli, velut Stoici, nullum brutum aut concupiscere, aut irasci dictitarent, vel ex corde neruos esse ortos. Minimè verò propriæ quænam sint, in libris de demonstratione plenissimè est expositum, in quibus omnibus demonstrandi viam ac rationem, qualisnam sit, edocui, hortatúsque sum in horum commentariorum primo, vt in illa priùs se exerceret quisquis demonstrare aliquid nititur. Scripserunt autem de ea nimirum optimè veteres philosophi Theophrastus, & Aristoteles in libris posteriorum analyticorum. Quare de tribus animalis principiis non longam habiturum me cum illis disputationem spero. Vulgares enim & rhetoricas sumptiones ad scientificas demonstrationes adducere verentur, quibus Chrysippi libri scatent, plebeios interim testes sumptionum quas constituunt, citantes, interim verò poëtas, aut bellissimam etymologiam, aut id genus aliud, quæ concludunt quidem nihil, tempus autem nostrum consumunt terúntque frustrà, dum hoc solùm ipsis demonstramus conclusionis sumptiones non esse scientificas; deinde dum in palæstram descendimus, concertamúsque cum ipsis, vt ostendamus plebeios & poëtas non minùs nobis quàm ipsis, interdum etiam magis suffragari. Sic autem & etymologiam, quum liberiùs per ocium licet, ostendimus illis non magis sibi quàm nobis testimonium reddere. Verùm quòd testis sit fallax etymologia, sæpe quidem similiter attestans his qui veritati contraria afferunt; haud raró autem mentientibus magis quàm verùm fatentibus, alio in opere quod de recto nominum vsu inscribitur, declarauimus, in quo etiam ostendimus Chrysippum falsam huius vocis (ego) etymologiam exposuisse. Quid igitur opus est adhuc de ipsis verba facere? Chrysippo sanè & hoc familiare, non bis, aut ter, sed & quater, interdum etiam quinquies, de eisdem rebus in diuersis operibus tractare; quod cauebit vtique qui tempori cupiat parcere. Quæ igitur de hac voce (ego) Chrysippus primo de anima tradidit, de principe eius facultate disserens cognitionis causa scribam. *Sic autem, nosipsos indicantes, dum mentem esse enunciamus, hanc vocem (ego) proferimus, indicatione naturaliter, & propriè huc delata, atque sine huiusmodi manus indicatione deflectentes in nosipsos hanc vocem (ego) pronunciamus. Similiter quum vox (ego) huiusmodi sit, etiam in subscripta deinceps indicatione simul effertur.*

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὅτι ψεύδεσι καὶ μὴ οἰκείοις λόγοις χρῆται ὁ Χρύσιππος, καὶ ἄλλοι κακῶς περὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ ἀποφαινόμενοι.

Διελέσθαι δὲ ἴσως ἄμεινον ἕνεκα σαφηνείας εὐθὺς ἐν ἀρχῇ τοῦδε τοῦ γράμματος, ἥτις ἐστὶν ἡ διαφορὰ τῶν λόγων, οἷς χρῶνται πάντες οἱ κακῶς ὁποιονοῦν μεταχειριζόμενοι πρόβλημα. φημὶ δὴ τῶν λημμάτων ἃ ἕνεκα τοῦ συμπεράσματος λαμβάνουσιν, τὰ μὲν ἄντικρυς εἶναι ψευδῆ, τὰ δ' οὐκ οἰκεῖα τοῦ προκειμένου σκέμματος. ἄντικρυς μὲν ψευδῆ τὰ τοιαῦτα, περὶ ὧν ἐν τῷ πρώτῳ βιβλίῳ διῆλθον ἐπὶ πλέον, ὅταν ἤτοι μηδὲν τῶν ἀλόγων ζῴων ἐπιθυμεῖν τις ἢ θυμοῦσθαι φάσκει, καθάπερ οἱ ἀπὸ τῆς στοᾶς, ἢ πάλιν ἐκ καρδίας πεφυκέναι τὰ νεῦρα. τὰ δὲ οὐκ οἰκεῖα τῶν λημμάτων ὁπόσα τὴν φύσιν ἐστίν, εἴρηται μὲν ἐπὶ πλεῖστον ἐν τοῖς περὶ ἀποδείξεως ὑπομνήμασιν, ἐν οἷς ἅπασαν ἐδήλωσα τὴν ἀποδεικτικὴν μέθοδον ὁποία τίς ἐστιν, παρεκάλεσα τε διὰ τοῦ πρώτου τῶνδε τῶν ὑπομνημάτων, ἐν ἐκείνῃ γυμνάσασθαι πρότερον, ὅστις ὁποιονοῦν ἀποδεικνύειν ἐπιχειρεῖ. γεγράφθαι δὲ λέγω παρ' αὐτῆς ἄριστα τοῖς παλαιοῖς φιλοσόφοις, τοῖς περὶ Θεόφραστόν τε, καὶ Ἀριστοτέλην κατὰ τῶν δευτέρων ἀναλυτικῶν βιβλίων. καὶ διὰ τοῦτο πρὸς ἐκείνους μὲν, οὐδὲ μακρὸν ἔσεσθαι τὸν λόγον ἐλπίζω περὶ τῶν τριῶν ἀρχῶν τοῦ ζώου. τὰ γὰρ ἰδιωτικά τε, καὶ ῥητορικὰ λήμματα, αἰδοῦνται παραλαμβάνειν εἰς ἀποδείξεις ἐπιστημονικάς, ὧν πέπλησται τὰ Χρυσίππου βιβλία, ποτὲ μὲν ἰδιώτας ἐπικαλούμενα μάρτυρας, ὧν ὑποτίθεται λημμάτων, ἔστι δὲ ὅτε ποιητὰς, ἢ τὴν βελτίστην ἐτυμολογίαν, ἤ τι ἄλλο τοιοῦτον ἃ περαίνει μὲν οὐδὲν, ἀναλίσκει δὲ καὶ κατατρίβει μάτην ἡμῶν τὸν χρόνον αὐτὸ τοῦτο μόνον ἐνδεικνυμένων αὐτοῖς, ὡς οὐκ ἔστιν ἐπιστημονικὰ τὰ τοῦ συμπεράσματος λήμματα· μετὰ ταῦτα δὲ καὶ συγκαταβαινόντων τε, καὶ συμπαλαιόντων αὐτοῖς ὑπὲρ τοῦ δεῖξαι, καὶ τοὺς ἰδιώτας, καὶ τοὺς ποιητὰς, οὐδὲν ἧττον ἡμῖν ἢ ἐκείνοις μαρτυροῦντας, ἀλλ' ἔστιν ὅτε καὶ μᾶλλον. οὕτω δὲ καὶ τὴν ἐτυμολογίαν ἐπειδὰν ἄγωμεν μακροτέραν σχολὴν, ἐπιδεικνυμένων αὐτοῖς οὐδὲν μᾶλλον ἐκείνοις, ἤπερ ἡμῖν μαρτυροῦσαν. ἀλλ' ὅτι μὲν ἀλαζὼν ἐστὶ μάρτυς ἡ ἐτυμολογία, πολλάκις μὲν ὁμοίως μαρτυροῦσα τοῖς τἀναντία λέγουσι τῶν ἀληθῶν, οὐκ ὀλιγάκις δὲ τοῖς ψευδομένοις μᾶλλον, ἤπερ τοῖς ἀληθεύουσιν, ἐν ἑτέρᾳ πραγματείᾳ δέδεικταί μοι τῆς περὶ ὀνομάτων ὀρθότητος, ἔνθα καὶ περὶ τῆς, ἐγὼ, φωνῆς ἐπέδειξα τὸν Χρύσιππον ἐτυμολογοῦντα ψευδῶς. τί μὲν οὖν ἔτι δέοι μακρὰν ὑπὲρ τῶν αὐτῶν ἐνταῦθα διεξιέναι; Χρυσίππῳ μὲν γὰρ καὶ τοῦτο φίλον, οὐ δὶς, ἢ τρὶς, ἀλλὰ καὶ τετράκις, ἐνίοτε καὶ πεντάκις ὑπὲρ τῶν αὐτῶν ἐν διαφερούσαις πραγματείαις διέρχεσθαι· φυλάξαιτο δὲ ἄν τις αὐτὸ τῶν χρόνων φειδόμενος. ἃ δ' οὖν ὑπὲρ τοῦ, ἐγὼ, φωνῆς ἔγραψεν ἐν τῷ πρώτῳ περὶ ψυχῆς ὁ Χρύσιππος ὑπὲρ ἡγεμονικοῦ διαλεγόμενος, ἤδη παραγράψω γνωρίσματος ἕνεκα. οὕτως δὲ καὶ τὸ, ἐγὼ, λέγομεν κατὰ τοῦτο, δεικνύντες αὑτοὺς ἐν τῷ ἀποφαίνεσθαι τὴν διάνοιαν εἶναι, τῆς δείξεως φυσικῶς καὶ οἰκείως ἐνταῦθα φερομένης, καὶ ἄνευ δὲ τῆς κατὰ τὴν χεῖρα τοιαύτης δείξεως νεύοντες εἰς αὑτοὺς τὸ, ἐγὼ, λέγομεν. εὐθὺς καὶ τῆς, ἐγὼ, φωνῆς τοιαύτης οὔσης, καὶ κατὰ τὴν ἑξῆς ὑπογεγραμμένην δεῖξιν συνεκφερομένης.

τὸ γὰρ ἐγὼ προφερόμεθα κατὰ τὴν προτέραν συλλαβὴν κατασπῶντες τὸ κάτω χεῖλος εἰς αὑτοὺς δεικτικῶς, ἀκολούθως δὲ τῇ τοῦ γενείου κινήσει, καὶ ἐπὶ τὸ στῆθος νεύσει. καὶ τῇ τοιαύτῃ δείξει ἡ ἑξῆς συλλαβὴ παράκειται, οὐδὲν ἀποστηματικὸν παρεμφαίνουσα, ὅπερ ἐπὶ τοῦ ἐκεῖνος συντέτευχε. διὰ ταύτης οὖν ἁπάσης τῆς ῥήσεως ὁ Χρύσιππος, οὐδὲν μὲν ἐπιστημονικὸν λῆμμα τοῦ τὴν ἀρχὴν τῆς ψυχῆς ὑπάρχειν ἐν τῇ καρδίᾳ παραλαμβάνει. δύο δ' ἐς ταὐτὸν οὐκ οἰκεῖα τῷ προκειμένῳ συμπλέκει, τὸ μὲν ἕτερον ἀπὸ τῆς ἐτυμολογίας, ὅτι τὴν ἐγὼ φωνὴν φθεγγόμενοι κατὰ τὴν προτέραν συλλαβὴν τὴν ε' λεγομένην τὸ στόμα κάτω που, καὶ τὴν γένυν ἀπάγομεν ὡς ἐπὶ τὰ στέρνα. τὸ δὲ ἕτερον, ὅτι καὶ τὴν χεῖρα συνεπιφέρομεν ἐνίοτε τοῖς στέρνοις, ἡμᾶς αὐτοὺς δεικνύντες. ἐν τῷ λέγειν ἐμοὶ τοῦτο προσῆκεν, τοῦτο ἐγώ σοι λέγω. ὅτι δὲ καὶ τῆς ῥινὸς ἅπτονται πολλάκις οἱ ἄνθρωποι λέγοντες, ἐμοὶ τοῦτο δός, ἐμοὶ τοῦτο προσήκει, τοῦτο ἐγώ σοι λέγω, παντελῶς ἐπιλέλησται. καίτοι κατά γε τὴν ἐγὼ φωνὴν, οὐκ ἐπελάθετο τῆς ἐκεῖνος. οὐκ ἀπὸ παραπλησίας δέ τινος, ἀλλ' ἀπὸ τῆς αὐτῆς ἀκριβῶς συλλαβῆς ἀρχομένης τοῦ ε'. ἐχρῆν δ' οἶμαι, καθάπερ ἐπὶ ταύτης ἐμνημόνευσε μὲν, οὐκ ἔλυσε δὲ τὸ ἄτοπον, οὕτω κἀπὶ τῆς ἐπὶ τοῦ στέρνου δείξεως, ἐπιμνησθῆναι μὲν τῆς ἐπὶ τὴν ῥῖνα φορᾶς τοῦ δακτύλου, μὴ μέντοι μηδὲ ἐνταῦθα διαλύεσθαι τὸ προβληθὲν, εἰ μὴ ἄρα τις οἴεται τὴν ἀπόφασιν τοῦ Χρυσίππου ψιλὴν αὐτὴν μόνην ῥηθεῖσαν, ἀπόδειξιν ὑπάρχειν. τί γὰρ δὴ καί φησιν; ἀκολούθως δὲ τῇ τοῦ γενείου κινήσει, καὶ ἐπὶ τὸ στῆθος νεύσει, καὶ τῇ τοιαύτῃ δείξει ἡ ἑξῆς συλλαβὴ παράκειται, οὐδὲν ἀποστηματικὸν παρεμφαίνουσα, ὥσπερ ἐπὶ τοῦ ἐκεῖνος συντέτευχεν. ἐννοήσας γὰρ ὅτι ἡ ἐκεῖνος φωνὴ τὴν ἀρχὴν ἀπὸ τῆς αὐτῆς ποιεῖται συλλαβῆς, ὥσπερ καὶ ἡ ἐγὼ, καὶ δεήσει, καὶ ταύτην ἐνδείκνυσθαι ταὐτὸν σημαινόμενον, εἰς τὴν τῶν ἐπιφερομένων συλλαβῶν διαφορὰν ἀναφέρει τὴν τοῦ ζητουμένου λύσιν. ἔστι δὲ τοιάδε, εἰπὼν τῆς ἐγὼ φωνῆς τὴν δευτέραν συλλαβὴν τὴν ἐγὼ, μηδὲν ἀποστηματικὸν ἐμφαίνειν ἐπήγαγεν, ἐπὶ δὲ τῆς ἐκεῖνος ἐμφαίνειν τὴν κεί. τοῦτο δ' ἀπόφασίς ἐστι ψιλὴ, μηδεμίαν ἀπόδειξιν ἔχουσα, μὴ ὅτι βεβαίαν τε, καὶ ἐπιστημονικὴν, ἀλλὰ μηδ' ἄχρι πιθανότητος, ἢ ῥητορικῆς, ἢ σοφιστικῆς προϊοῦσαν. διὰ τί γὰρ ἡ μὲν κεί συλλαβὴ ἀποστηματικόν τι δηλώσει, ἡ δὲ γὼ μὴ οὔ, προσθεῖναι δίκαιον ἦν αὐτὸν ἀπόδειξίν τινα. διὰ τί δὲ τοῖς μὲν στέρνοις ἐπιφέροντες τὸν δάκτυλον, ἐπιδεικνύμεθα τὴν ἀρχὴν τῆς ψυχῆς ἐνταῦθα εἶναι. τῇ ῥινὶ δὲ ἐπιφέροντες, οὐκ ἐνδεικνύμεθα. δίκαιον γὰρ εἴπερ ἡ δεῖξις ἱκανὴ πίστις εἰς εὕρεσιν ἡγεμονικοῦ μορίου ψυχῆς, οὐκ ἐπὶ μὲν τῶν στέρνων αὐτὴν ἱκανὴν ὑπάρχειν, ἀσθενῆ δὲ ἐπὶ τῆς ῥινὸς, ἀλλὰ κἀπὶ ταύτης ἰσχύειν ὁμοίως, ἢ εἴπερ οὐδὲ ἐπὶ ταύτης, οὐδὲ ἐπὶ τῶν στέρνων. διὰ τί δὲ ἐν ταῖς συγκαταθέσεσιν ἐπινεύοντες τὴν κεφαλὴν, ἐφ' ὃ φέρομεν αὐτὴν μέρος, ἐν ἐκείνῳ τὴν ἀρχὴν τῆς ψυχῆς ὑπάρχειν ἐνδεικνύμεθα μᾶλλον, καὶ οὐκ αὐτῷ τῷ κινουμένῳ. τὸ γάρ τοι πρῶτον κινούμενον ἐν ἡμῖν μόριον ἐπινευόντων, αὐτὸ δήπου πιθανώτερον ἔχειν ἐστὶ τὴν ἀρχὴν τῆς ψυχῆς, ἤπερ τι τῶν ἄλλων πρὸς ὃ φέρεται κινούμενον. ἵνα μὴ νῦν ἐκείνων μνημονεύω τῶν ἀνθρώπων, οἳ ταῖς κεφαλαῖς ἀνανεύουσιν ἐπειδὰν συγκατατίθενται. τάχα γὰρ φήσει τοὺς βαρβάρους, ὥσπερ τἄλλα χείρους εἰσὶ, καὶ ἀλογώτεροι τῶν Ἑλλήνων, οὕτω κἀν τῷδε σφάλλεσθαι. πάντ' οὖν ὅσα περιττὰ τῶν ἐπιχειρημάτων, ἐν τοῖς περὶ ἀποδείξεως ἐδειξάμεθα, οὐκ οἰκεῖα τῷ ζητουμένῳ πράγματι.

A *nam (ego) proferimus priore syllaba labrum inferius ad nosipsos demonstratiuè detrahentes, consequenter autem motioni menti, & deflexioni ad pectus, ac huiusmodi indicationis, subsequens syllaba annexa est, nullum interuallum ostendens, quod in dictione* ἐκεῖνος *ille, contingit.* Hac tota oratione Chrysippus nullam scientificam sumptionem, qua monstret animæ principium in corde esse, adducit; duas enim ad id demonstrandum sumptiones rei propositæ improprias complectitur; alteram sanè ab etymologia, quòd hanc vocem (ego) pronunciantes, in priore syllaba, nempe, è, os & mentum inferius veluti ad pectora deducimus; alteram quòd B manum etiam interdum pectori admouemus, nosipsos indicantes, quum dicimus, mihi hoc conuenit, hoc ego tibi dico. Iam verò quòd etiam nasum subinde homines attingunt, dicentes, mihi hoc da, mihi hoc conuenit, hoc ego tibi dico, omninò oblitus est: quanquam illum non lateret hanc vocem ἐκεῖνος, non à simili, sed omninò eadem syllaba nempe è, cum hac dictione (ego) incipere. Conueniebat autem meo iudicio, quemadmodum in hac meminit quidem, non autem absurditatem diluit, ita & indicatione ad pectus, delationis quidem digiti ad nasum mentionem C facere, non tamen hîc quoque id quod propositum erat dissoluere, nisi fortè quis nudam simplicémque Chrysippi enunciationem esse demonstrationem existimet. Quid enim inquit? Consequenter menti motioni, & deflectioni ad pectus, ac huiusmodi indicationi, subsequens syllaba annexa est, nullum interuallum ostendens, quod in dictione ἐκεῖνος contingit. Quum enim considerasset hanc vocem ἐκεῖνος, ab eadem syllaba, qua & ego, ordiri, ideò etiam hanc eundem significatum indicare oportere, ad syllabarum quæ inferuntur differentiam, quæstionis solutio- D nem refert, est autem talis. Quum retulisset dictionis (ego) secundam syllabam go, nullum interuallum repræsentare, addidit, in ἐκεῖνος ostendere κεῖ syllabam interuallum. Hæc nuda est enunciatio, nullam demonstrationem obtinens, non solum non firmam ac scientificam, sed ne probabilem quidem, aut rhetoricam, aut sophisticam. Cur enim syllaba κεῖ, interuallum aliquod significabit, & syllaba go non item, par erat vt ipse demonstrationem aliquam adiiceret: cur autem ad pectus digitum inferentes principium animæ illic esse significamus, naso autem admo- E uentes non indicamus. Æquum namque est, & rationi consentaneum, siquidem indicatio sufficiens fides sit ad principem animæ partem inueniendam, non in pectore ipsam firmam, in naso autem infirmam esse, sed in hac similiter valere: vel si non in hac, neque in pectore valebit. Cur autem dum concedimus aliquid annuentes capite, in quam partem ipsum flectimus, in illa principium animi esse potius ostendimus, quàm in ea quæ mouetur? etenim quæ primum in nobis mouetur particula dum annuimus, eam nimirum probabilius est animæ principium ob- F tinere, quàm aliarum vllam, ad quam motu perfertur: vt interim illos homines non commemorem, qui capite renuunt quum assentiuntur. Forte enim dicet barbaros, vt in reliquis, sunt græcis deteriores, ac minori ratione præditi, sic in hoc quoque hallucinari. Quæcunque igitur argumenta rei, de qua est quæstio, propriè non sunt, omnia in libris de demonstratione exposuimus:

quocirca

quocirca de his pluribus agendum non est, quemadmodum neque de his quæ ab etymologia desumuntur, quoniam illa quoque in commentariis de recto nominum vsu abundè satis explicauimus.

CAPVT III.

Inde antiquos errasse quòd scientiæ effectrices sumptiones non distinxerint à dialecticis, oratoriis, & captiosis.

Verùm quas sumptiones inquirere conueniat, problemati instituto & conuenientes & proprias, scriptum fuit & de his abundè in his quæ de demonstratione, tum ab antiquis tutius & compendiosius dicta sunt, tum à nobis dum eorum dicta enarramus manifestò simul ac copiosè. Sufficiet autem in præsentia summam quãdam ex ipsis commemorare, ad quam tanquam ad scopum omnis singularium indagatio dirigatur. Erat autem summa, ab ipsa rei quam quærimus, substãtia sumptiones tum conuenientes tum proprias esse inueniendas, quemadmodum in his, in quibus Chrysippus de animæ principatu considerat: & substantiæ rei illius quam inquirimus, explicata ratione, illa vtendum regula & scopo omnium particularium. Est autem, vt ipsi putant, animæ principatus, vnde sensus motúsque proficiscitur arbitrarius: Non igitur aliunde demonstrare oportet, cor in se principatum animæ obtinere, quàm inde, quòd omnem motum voluntarium reliquis animalis partibus dispenset, omnis autem sensus in ipsum referatur. Vnde itaq; id ostendetur? Ex quo alio, quàm ex dissectionibus? Si enim hoc omnibus partibus vim sentiendi simul & mouendi transmittit, necesse est omninò vas aliquod ex eo ad ministranda illa omninò prodiisse. Quapropter ex demonstrandi via ac ratione innotuit, & vtilius animantibus dissectis conspici, quæ & quot corporum genera ex corde prodeuntia, aliis animantis partibus distribuantur, & ex his ipsis quum talia & tot numero sint, aliud sensum aut motum, aut ambo deferre: aliud verò, aliud quippiam. Atque ita iam scire licebit, quarum in animantibus facultatum cor fons existat: quicquid extra hanc viam exciderit, superfluum est & alienum. Atque hac ratione scientifica demonstrationis sumptio à rhetorica, exercitatoria, & sophistica differt, de quibus neque ipsis vllam nos vel methodum vel exercitationem Zeno & Chrysippus docuerunt. Vnde confusæ in eorum libris omnes sumptiones, citráque ordinem sparsę sunt, ac frequenter sanè, verbi gratia, rhetoricum argumentum præcedit, hoc autem exercitatorium & dialecticum sequitur, deinde scientificum, postea si ita sors tulerit, sophisticum. Quippe non intelligunt scientificas sumptiones ad eius quod quęritur substantiam referri: ac hunc scopum habere. Ex reliquis autem omnibus exterioribus, quibus dialecticus ad exercitandum vtitur, & sophistas coarguendos, & experimentum de adolescentis ingenio capiendum, ad disquisitionem rei cuiuspiam, & inuentionem, & addubitationem excogitandam, omnia hæc, si placet, dialectica, exercitatoria & topica vocato, de nominibus enim minimè sum solicitus, verùm hæc à scientificis distinguere conator. Cæterùm quæ longiùs quàm hæc adhuc à rei substantia abscesserunt, & præsertim quæ per exempla probabilia & politica,

καὶ διὰ τοῦτο νῦν οὐ χρὴ μηκύνειν περὶ αὐτῶν, ὥσπερ οὐδ' ἐπὶ τῶν ἐκ τῆς ἐτυμολογίας ὁρμωμένων, εἴρηται γὰρ καὶ περὶ ἐκείνων αὐταρκῶς ἐν τοῖς περὶ ὀνομάτων ὀρθότητος.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Σφάλλεσθαι τοὺς παλαιούς, μὴ γνωρίζοντας τὴν διαφορὰν τῶν ἐπιστημονικῶν τε, καὶ τῶν διαλεκτικῶν, καὶ ῥητορικῶν, καὶ σοφιστικῶν λημμάτων.

Ἀλλὰ τίνα χρὴ ζητεῖν λήμματα τῷ προκειμένῳ προβλήματι προσήκοντά τε καὶ οἰκεῖα, γέγραπται μὲν δήπου, καὶ περὶ τούτων ἐπὶ πλεῖστον ἐν τοῖς περὶ ἀποδείξεως ὑπό τε τῶν παλαιῶν εἰρημένοις ἀσφαλέστερόν τε, καὶ συντομώτερον, ὑπό τε ἡμῶν ἐξηγουμένων ἐκεῖνα σαφῶς τε ἅμα, καὶ διὰ πολλῶν. ἀρκέσει δὲ νῦν ἐξ αὐτῶν τὸ κεφάλαιον ἀναμνῆσαι μόνον, ἐκείνῳ χρήσασθαι σκοπῷ εἰς τὴν τῶν κατὰ μέρος εὕρεσιν. ἦν δὲ τὸ κεφάλαιον, ὡς ἀπ' αὐτῆς χρὴ τῆς οὐσίας τοῦ ζητουμένου πράγματος ἐξευρίσκειν τὰ προσήκοντά τε, καὶ οἰκεῖα λήμματα, καθάπερ ἐν τούτοις ἐν οἷς Χρύσιππός τε ἐπισκοπεῖται περὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ τὸν τῆς οὐσίας λόγον εἰπόντας, ὑφ' οὗ ζητοῦμεν πράγματος ἐκείνῳ χρῆσθαι κανόνι τε, καὶ σκοπῷ τῶν κατὰ μέρος ἁπάντων. ἔστι δὲ τὸ ἡγεμονικόν, ὡς αὐτοὶ βούλονται τὸ κατάρχον αἰσθήσεώς τε καὶ ὁρμῆς. οὐκοῦν ἄλλοθεν χρὴ δεικνύναι τὴν καρδίαν ἐν αὐτῇ τὸ ἡγεμονικὸν ἔχουσαν, ἢ ἐκ τοῦ πάσης μὲν τῆς καθ' ὁρμὴν κινήσεως ἐξηγεῖσθαι τοῖς ἄλλοις τοῦ ζώου μορίοις, ἅπασαν δὲ αἴσθησιν εἰς αὐτὴν ἀναφέρεσθαι. πόθεν οὖν τοῦτο δειχθήσεται; πόθεν δὲ ἄλλοθεν, ἢ ἐκ τῶν ἀνατομῶν; εἰ γὰρ αὕτη τοῖς κατὰ μέρος ἅπασιν ἐπιπέμπει δύναμιν αἰσθήσεώς τε ἅμα καὶ κινήσεως, ἀποπεφυκέναι τι πάντως ἀπ' αὐτῆς ἀγγεῖον ἀναγκαῖόν ἐστιν εἰς τὴν αὐτῶν ὑπηρεσίαν, ὥστε ἐκ τῆς ἀποδεικτικῆς μεθόδου πέφηνεν, ὅτι τε χρησιμώτερον ἀνατέμνοντας τὰ ζῷα, κατασκέπτεσθαι τίνα, καὶ πόσα γένη σωμάτων ἐκ τῆς καρδίας ἐκφυόμενα διανέμεται τοῖς ἄλλοις τοῦ ζώου μορίοις. ὅτι τε τούτων αὐτῶν ὄντων τοιούτων, καὶ τοσῶνδε. τοῦτο μὲν αἴσθησιν ἢ κίνησιν, ἢ ἄμφω παράγει, τοῦτο δ' ἄλλο τι. καὶ οὕτως ἐστὶν ἤδη τινῶν ἐν τοῖς ζῴοις δυνάμεων ἡ καρδία πηγή. ταύτης τῆς ὁδοῦ πᾶν ὅτι περ ἂν ἔξω πίπτῃ, περιττόν τ' ἐστὶ καὶ ἀλλότριον, καὶ ταύτῃ διήνεγκεν ἐπιστημονικὸν δείξεως λῆμμα, ῥητορικοῦ τε, καὶ γυμναστικοῦ, καὶ σοφιστικοῦ, ὑφ' ὧν οὐδ' αὐτῶν οὐδεμίαν ἐδίδαξεν ἡμᾶς, οὔτε μέθοδον, οὔτε γυμνασίαν οἵ γε περὶ τὸν Ζήνωνα, καὶ τὸν Χρύσιππον. ὅθεν ἀναμέμικται φύρδην ἐν τοῖς βιβλίοις αὐτῶν ἐφεξῆς ἅπαντα τὰ λήμματα, καὶ πολλάκις ἡγεῖται μὲν εἰ οὕτως ἔτυχε ῥητορικὸν ἐπιχείρημα. τούτῳ δ' ἕπεται γυμναστικόν τε, καὶ διαλεκτικόν, εἶθ' ἑξῆς ἐπιστημονικόν, εἶθ' οὕτως εἰ ἔτυχε σοφιστικόν, οὐκ εἰδότων ὡς τὰ μὲν ἐπιστημονικὰ λήμματα πρὸς τὴν οὐσίαν ἀναφέρεται τοῦ ζητουμένου, καὶ τοῦτον ἔχει τὸν σκοπόν. τῶν δ' ἄλλων ἁπάντων ἔξωθεν ὄντων, ὅσοις μὲν ὁ διαλεκτικὸς εἰς τὸ γυμνάσασθαι χρῆται, καὶ σοφιστὰς ἐξελέγξαι, καὶ πεῖραν λαβεῖν μυήσεως μειρακίου, καὶ μαιεύσασθαι, καὶ προσαγαγεῖν ἐπί τινος εὕρεσιν, ἀπορῆσαί τε ποιῆσαι. ταυτὶ μὲν ἅπαντα διαλεκτικά τε καλεῖ, εἰ βούλοιο, καὶ γυμναστικά, καὶ τοπικά. τῶν γὰρ ὀνομάτων οὐ φροντίζω, διορίζειν δὲ ταῦτα πειρῶ τῶν ἐπιστημονικῶν. ὅσα δ' ἔτι τούτων ἀποκεχώρηκε ἐξωτέρω, καὶ μάλιστα διὰ παραδειγμάτων ἐνδόξων τε, καὶ πολιτικῶν,

ἐπαγωγῶν τέ τινων τοιούτων, ἢ μαρτύρων εἰς σύστασιν ἀφικνεῖται, ταῦτ' εἰ βούλοιο πιθανά τε, καὶ ῥητορικὰ προσαγορεύειν, οὔ μοι μέλει τῆς κλήσεως, γνωρίζειν δὲ αὐτῶν χρὴ πειρᾶσθαι τὴν φύσιν. ἔτι δὲ μᾶλλον ἀποκεχώρηκε τῆς οὐσίας τοῦ ζητουμένου τὰ σοφιστικά, καὶ γέγραπται περὶ τούτων ἁπάντων τοῖς παλαιοῖς, ἐν μὲν τοῖς σοφιστικοῖς ἐλέγχοις, περὶ τῶν σοφιστικῶν, εἴτε προτάσεων ἐθέλεις ὀνομάζειν, εἴτε ἀξιωμάτων, εἴτε λόγων, οὐδὲν γὰρ εἰς τὰ παρόντα διαφέρει. κατὰ δὲ τὰς ῥητορικὰς τέχνας, ὑπὲρ τῶν ῥητορικῶν. ἐν δὲ τοῖς τοπικοῖς ὑπὲρ τῶν διαλεκτικῶν. ἐν δὲ τοῖς περὶ ἀποδείξεως, ἃ δὴ καὶ δεύτερα ἀναλυτικὰ ἐπιγράφουσιν, ὑπὲρ τῶν ἐπιστημονικῶν, ὥστε ὅστις ὁποιοῦν ἀποδεικνύναι πειρᾶται, πρῶτα μὲν χρὴ τοῦτ' ἐγνωκέναι τὴν διαφορὰν τῶν λημμάτων αὐτῶν, εἶθ' ἑξῆς χρόνῳ πολλῷ γεγυμνάσθαι, λέγοντος μὲν ἑτέρου, γνωρίζειν αὐτὰ ποίου γένους ἐστὶν ἐκ τῶν εἰρημένων, μὴ λέγοντος δὲ ἑτέρου ταχέως ἐστὶν εὑρίσκειν αὐτὸν εἰς ἕκαστον τῶν προβληθέντων. ἑνὶ δὲ λόγῳ καθάπερ ἐπὶ τοῦ λογίζεσθαι ποιοῦμεν, οὕτω κἀνταῦθα πράττειν. ὅστις ἐθέλει γενέσθαι λογιστικός, οὗτος μὲν ἐκμανθάνειν πρῶτον ἀριθμοὺς ἅπαντας, οὓς ὀνομάζουσιν ἐκεῖνοι τετραγώνους, καὶ ἑτερομήκεις. ἐφεξῆς δὲ γυμνάζεται χρόνῳ παμπόλλῳ πολλαπλασιάζειν καὶ μερίζειν. εἶθ' ἑξῆς μαθὼν ὀλίγας μεθόδους, οὕτως ἤδη περὶ παντὸς τοῦ προβληθέντος ἱκανὸς γίνεται λογίζεσθαι. καί μοι θαυμάζειν ἐπέρχεται τῆς τῶν πολλῶν δοξοσοφίας, εἰ προβληθέντος μὲν αὖ οὕτω τύχῃ, τίς γίνεται τόκος ἑκατοστός, ἀττικῶν δισμυρίων, πεντακισχιλίων, ἑξακοσίων τριακονταεπτὰ, μηνῶν τεσσαρεσκαίδεκα, τοῖς λογιστικοῖς ἐπιτρέπουσιν, εἰδότες οἶμαι σαφῶς, ὡς ἑαυτοῖς οὐ μέτεστιν ἐπιστήμη οὐδεμία τοῦ λογίζεσθαι τὰ τοιαῦτα, διότι μήτ' ἤσκησαν αὐτὰ, μήθ' ὅλως ἔμαθον. ἀποδείξει δὲ χρῆσθαι τολμῶσιν, εὖ εἰδότες, ὡς οὔτε παρ' ἑτέρων ἔμαθον ὅλως οὐδέν, οὔτε αὐτοὶ καθ' ἑαυτοὺς ἐξεῦρον. οἵ γε μηδὲ ἐζήτησαν, ὅπου γε καὶ τὴν μεμαθήκεσαν ὁδὸν ἀποδεικτικήν, οὐκ ἦν ἱκανόν, ἀλλ' ἐχρῆν οἶμαι πρότερον ἠσκῆσθαι κατ' αὐτήν. οὐδὲ γὰρ τοῖς ῥήτορσιν ἀπόχρη μέθοδον ἐκμαθεῖν, ὡς χρὴ διαιρεῖν ὑπόθεσιν ἅπασαν, ἀλλ' ἐπὶ τῇ γνώσει τῆς μεθόδου, καὶ τὴν ἄσκησιν ἐπάγουσιν. ἠβουλόμην αὖ οὕτω μοι καὶ τὸν ἀποδεικτικὸν εἶναι φάσκοντα, πρῶτον μὲν εἰπεῖν τὴν μέθοδον ᾗ χρῆται πρὸς τὰς ἀποδείξεις, εἶθ' ὅπως ἤσκηται κατ' αὐτὴν ἐπιδείξασθαι. νυνὶ δὲ πῶς μὲν οἱ διὰ δύο τροπικῶν, ἢ τριῶν ἀναλύονται συλλογισμοί, καὶ πῶς οἱ ἀδιαφόρως περαίνονται, ἤ τινες ἄλλοι τοιοῦτοι, τῷ πρώτῳ καὶ δευτέρῳ θέματι προσχρώμενοι, πολλοῖς ἐστι συντυχεῖν ἀκριβῶς ἠσκημένοις, ὥσπερ ἀμέλει καὶ ἐπ' ἄλλοις ὅσοις διὰ τοῦ τρίτου θέματος, ἢ τετάρτου συλλογισμοὺς ἀναλύουσι. καί τοι τούτων τοὺς πλείστους ἔνεστιν ἑτέρως ἀναλύειν συντομώτερον, ὡς Ἀντίπατρος ἔγραψεν, πρὸς τῷ καὶ περιεργίαν εἶναι οὐ μικρὰν ἀχρήστου πράγματος ἅπασαν τὴν τῶν τοιούτων συλλογισμῶν συμπλοκήν, ὡς αὐτὸς ὁ Χρύσιππος ἔργῳ μαρτυρεῖ, μηδαμόθεν τῶν ἑαυτοῦ συγγραμμάτων εἰς ἀπόδειξιν δόγματος, ἐκείνων δεηθεὶς τῶν συλλογισμῶν. ὅπως δὲ χρὴ γνωρίζειν τε, καὶ διακρίνειν ἐπιστημονικὰ λήμματα διαλεκτικῶν τε, καὶ ῥητορικῶν, καὶ σοφιστικῶν, οὐκέτι ἔγραψαν ἀξιόλογον οὐδὲν οἱ περὶ τὸν Χρύσιππον, οὔτε φαίνονται χρώμενοι. ἀλλ' ὅτι τὰς χεῖρας ἐπιφέρομεν τῷ θώρακι δεικνύντες ἡμᾶς αὐτούς, ἢ τῇ κεφαλῇ κάτω νεύομεν, εἰ τὴν ἐγὼ φθεγγόμεθα φωνήν, εἰς ἔνδειξιν τοῦ τὴν καρδίαν εἶναι τὴν ἀρχὴν τῆς ψυχῆς, οὐκ αἰδοῦνται γράφοντες,

talésque inductiones quasdam, aut testes ad rei probationem adducuntur, hæc si probabilia & & rhetorica appellare velis, nihil curo. Sed horum natura sit tibi cognita, studiose incumbes. Porrò sophistica ampliùs adhuc à rei quæsitæ substantia recesserunt, de quibus omnibus veteres monumenta posteris reliquerunt: in sophisticis quidem elenchis, de sophisticis, siue propositionibus, siue axiomatis, siue rationibus malis dicere, nihil enim ad præsens institutum interest. In rhetoricis autem artibus, de rhetoricis: in topicis, de dialecticis: in libris de demonstratione, quæ & posteriora analytica dicuntur, de scientificis. Quisquis igitur rem aliquam demonstrare nititur, primum id noscat oportet, nimirum ipsarum sumptionum differentiam: deinde longo tempore se exerceat, vt ipsa altero quidem dicente cognoscat, ex quo prædictorum genere existant: altero verò non dicente, vt ipse ad singula problemata protinus inuenire possit. Summatim quemadmodum in arte supputandi facimus, ita hîc quoque agendum est. Quisquis calculator fieri cupit, is sanè primum numeros omnes ediscit, quos illi quadrangulos, & altera parte maiores, deinde longo tempore in multiplicatione & diuisione se exerceat. Postea vbi paucissimas methodos didicerit; ita iam de omni problemate poterit ratiocinari. Ac mihi subit mirari multorum sapientiæ persuasionem, si propositum sit, verbi gratia, quæ centesima vsura ex vicesiesquinquies mille sexcentis triginta septem minis Atticis nascatur quatuordecim mensibus committunt supputatoribus, planè intelligentes, vt arbitror, nullam sibi talia supputandi peritiam inesse, propterea quòd nec exercuerint nec didicerint omninò, audent tamen demonstratione vti, probe gnari se nihil vnquam ab aliis didicisse, nec ipsos per se inuenisse, qui ne quæsiuerint quidem, nec si demonstrandi rationem didicissent, satis erat, sed prius in ea meo iudicio oportebat esse exercitatos. Neque enim rhetoribus abunde est methodum didicisse, quomodo propositum, controuersiámve omnem diuidere oporteat, verùm methodo cognita etiam exercitationem addunt. Optarem itaque eum qui demonstrare se posse profitetur, vt primum mihi methodum exponat, qua ad demonstrationes vtimur quæ ex duabus vel tribus modalibus constant, & quomodo qui indifferenter concludunt, aut qui id genus alij primo aut secundo præterea themate vtantur, multis licet accuratè exercitatis assequi: quemadmodum denique & in aliis, qui per tertium quartúmve thema syllogismos resoluant, etsi horum plurimos aliter resoluere liceat compendiosius, vt Antipater memoriæ prodidit: præterea quòd sit etiam curiositas non exigua rei inutilis, vniuersa eiusmodi syllogismorum complexio, vt ipse Chrysippus re attestatur, qui nusquam in suis ipsius commentariis syllogismis illis ad dogmatis demonstrationem indiguerit. Quomodo autem cognoscere oporteat & distinguere scientificas sumptiones à dialecticis, rhetoris, & sophisticis, nihil mentione dignum Chrysippi sectatores conscripserunt, neque vti videntur. At quòd manum thoraci admouemus, nosipsos ostendentes, vel capite deorsum annuimus, si vocem (ego) pronunciamus vt ostendatur cor esse animæ principium, non verentur scribere,

quæ nihilo magis in corde, quàm in naso & fronte. (hæc enim interdum ab hominibus solent monstrari) principatum animæ esse significat: verùm nutus nihil magis in capite quàm in thorace ostendit, de, e, voce verò quantum habeat absurditatis, in secundo de recto vsu nominum indicaui. Quapropter si quis probè exercitus fuerit in differentiis sumptionum inueniendis cognoscendísque, non opus mihi erit longiore cum illo controuersia, quemadmodum neque cum Peripateticis. Nam ex propria ipsorum doctrina disputatio mihi cum illis futura est, an principis animæ facultatis origo in cerebro contineatur: irascibilis in corde: appetitoriæ in iecinore. At contra Stoicos necesse est me fusiùs agere, & prolixiùs, vt qui in rebus inutilibus logicam speculationem abundè exercuerint, in vtilibus autem sint inexercitatissimi, pariter & prauis argumentandi rationibus instituti, vt opus habeam, non modò ipsos docere quid bonum sit ac vtile, sed multò prius vt à prauo discedant: quanquam id difficile forsitan fuerit, perficere tamen sperauimus, si quis ipsorum in opere de demonstrationibus abundè versatus, rationem dare & accipere in facilibus elenchis sustineat. At quia hoc non ferunt, de re autem proposita semper rogitant, priusquam quomodo quærendum sit, constituerint; quæ spes nobis adhuc relinquetur auocandi homines ab iis quæ falsò sibi persuasuerunt?

ὧν ἡ δεῖξις οὐδὲν μᾶλλον ἐν τῇ καρδίᾳ, ἢ ἐν τῇ ῥινί τε, καὶ τῷ μετώπῳ. καὶ γὰρ καὶ ταῦτα δείκνυται πολλάκις ὑπὸ τῶν ἀνθρώπων, ἐμφαίνει τὸ ἡγεμονικὸν εἶναι τῆς ψυχῆς. ἡ δὲ ἐπίνευσις οὐδὲν μᾶλλον ἐν τοῖς κατὰ τὴν κεφαλὴν, ἢ ἐν τοῖς κατὰ τὸν θώρακα, ἡ δὲ ε΄. φωνὴ, πόσης ἀτοπίας ἔχεται, κατὰ τὸ δεύτερον ὑπέδειξα τῶν περὶ ὀνομάτων ὀρθότητος. εἰ δή τις οὖν καλῶς ἤσκηται τὰς διαφορὰς τῶν λημμάτων ἐξευρίσκειν τε, καὶ γνωρίζειν, οὐ δεήσομαι πρὸς αὐτὸν ἀντιλογίας μακροτέρας, ὥσπερ οὐδὲ πρὸς τοὺς ἐκ τοῦ περιπάτου. κατὰ γὰρ τὰς ἰδίας αὐτῶν διδασκαλίας ὁ λόγος ἔσται μοι πρὸς αὐτοὺς ὑπὲρ τοῦ τὴν τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς ἀρχὴν, ἐν ἐγκεφάλῳ περιέχεσθαι. τῆς δὲ θυμοειδοῦς ἐν καρδίᾳ, τῆς δ᾽ ἐπιθυμητικῆς ἐν ἥπατι. πρὸς μέντοι τοὺς Στωϊκοὺς ἀναγκαῖόν ἐστι μακρὸν ἀνύεσθαι λόγον ἀνθρώποις, ἐν μὲν τοῖς ἀχρήστοις τῆς λογικῆς θεωρίας ἱκανῶς γεγυμνασμένοις, ἐν δὲ τοῖς χρησίμοις ἀγυμναστοτάτοις τε ἅμα, καὶ μοχθηραῖς ὁδοῖς ἐπιχειρημάτων ἐντεθραμμένοις· ὥστε ἀναγκαῖον εἶναι μὴ μόνον διδάσκειν αὐτοὺς, ὅσον χρηστὸν, ἀλλὰ πολὺ πρότερον ἀποστῆσαι τοῦ μοχθηροῦ. τοῦτο δὲ χαλεπῶς μὲν ἂν ἴσως, ἀνύσασθαι δ᾽ ἠλπίσαμεν, εἴ τις αὐτῶν ὑπέμεινε τῇ περὶ ἀποδείξεως πραγματείᾳ ἀκολουθήσας ἐπὶ πλέον ἐν αὐτῇ διατρῖψαι, τε, καὶ λαβεῖν λόγον, ἐν βραχέσιν ἐλέγχοις. ἐπεὶ δὲ οὐχ ὑπομένουσι μὲν τοῦτο, περὶ δὲ τοῦ προτεθέντος ἀεὶ ζητοῦσι, πρὶν ὅπως χρὴ ζητεῖν καταστήσασθαι. τίς ἂν ἡμῖν ἐλπὶς ἔτι λείποιτο τοῦ μεταστῆσαι τοὺς ἀνθρώπους, ἀφ᾽ ὧν ψευδῶς ὑπειλήφασιν;

CAPVT IV.

Qua quis ratione scientificas sumptiones discernat à cæteris; vanam esse à partis situ sumptam ratiocinationem, vocis principium in corde non esse.

Sed quia non solùm institutum est persuadere illis, sed aliis etiam omnibus, quicunque nondum prauis disputandi consuetudinibus enutriti, peruersitatem animi habent immedicabilem, incipiam rursus ex superioribus ad propositam speculationem ostendere, quomodo quis scientificas sumptiones veram demonstrationem constituentes adducat, item quomodo hæ ab aliis sumptionibus discernat. Præterea sumptionum quæ apparentem demonstrationem, non autem existentem constituunt, naturam in hac ipsa nobis proposita consideratione explicabo. Quæ verò harum ipsarum inter se differentia habeatur, pro vitili mea clarissimè de omnibus tractabo. Quia igitur propositum est de corde considerare, an animæ principatus in eo consistat, qui omnibus animantis partibus sensum & motum voluntarium impertit; sciendum venit quòd quæcunque ab his quæ cordi insunt, capiuntur sumptiones, duplici variant discrimine. Erunt enim ex ipsis aliæ in re quæ proponitur disquiriturque, scientificæ, reliquæ omnes ex secundo alio genere, quod scientificis propinquum est. Quæ verò ab hominum opinionibus seu plebeiorum, seu poëtarum, seu philosophorum, seu ex ratione quadam nominis, seu nutu, seu adnutu, seu ex alio quodam huiusmodi sumptiones capiuntur, hæ tertij erunt generis, duplici quidem interuallo à scientificis separatæ, non multum verò à sophisticis differentes, quæ in homonymiis quibusdam, & dictionis figuris potissimum constituuntur. Quare incipiendum ab iis omnibus quæ cordi insunt,

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Πῶς τὰ ἐπιστημονικὰ λήμματα διακρίνῃ τις ἀπὸ τῶν ἄλλων· μοχθηρὸν εἶναι τὸ ἀπὸ τῆς θέσεως ἐπιχείρημα, καὶ τὴν τῆς φωνῆς ἀρχὴν ἐν τῇ καρδίᾳ οὐκ εἶναι.

Ἀλλ᾽ ἐπεὶ μὴ μόνον ἐκείνους πρόκειται πείθειν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, ὅσοις μὲν μήπω μοχθηροῖς ἔθεσι λόγων ἐντεθραμμένοις, ἀνίατον ἔχει τὴν ἐν τῇ ψυχῇ διαστροφὴν, ἄρξομαι πάλιν αὖθις εἰς τὸ προκείμενον σκέμμα δείκνυσθαι, πῶς ἄν τις ἐπιστημονικὰ λαμβάνοι λήμματα τὴν ἀληθινὴν ἀπόδειξιν συνιστάνοντα. πῶς δὲ ἂν ταῦτα διακρίνῃ τις ἀπὸ τῶν ἄλλων λημμάτων. ἔτι τε πρὸς τούτοις τῶν τὴν φαινομένην ἀπόδειξιν, οὐκ οὖσαν δὲ συνιστάντων λημμάτων, ἐπιδείξω τὴν φύσιν, ἐπ᾽ αὐτοῦ τοῦ νῦν ἡμῖν προκειμένου σκέμματος. ἥτις δὲ τούτων αὐτῶν ἐστι πρὸς ἄλληλα διαφορὰ, καθ᾽ ὅσον οἷός τ᾽ εἰμὶ, σαφέστατα περὶ πάντων ἐρῶ. ἐπεὶ τοίνυν πρόκειται σκέψασθαι περὶ τῆς καρδίας εἰ τὸ τῆς ψυχῆς ἡγεμονικόν ἐστιν ἐν αὐτῇ, ὃ καθάρχει πᾶσι τοῖς τοῦ ζώου μορίοις αἰσθήσεώς τε ἅμα, καὶ τῆς καθ᾽ ὁρμὴν κινήσεως, ἰστέον ὡς ὅσα μὲν ἀπὸ τῶν ὑπαρχόντων αὐτῇ λαμβάνεται λήμματα, διττὴν ἕξει τὴν διαφοράν. ἔσται γὰρ αὐτῶν, τὰ μὲν κατ᾽ αὐτὸ τὸ προκείμενόν τε καὶ ζητούμενον, ἐπιστημονικὰ, τὰ δ᾽ ἄλλα πάντα γένους ἑτέρου δευτέρου παρακειμένου τοῖς ἐπιστημονικοῖς. ὅσα δὲ ἀπὸ τῶν ἀνθρωπίνων δοξῶν, εἴτ᾽ οὖν ἰδιωτῶν, εἴτε ποιητῶν, εἴτε φιλοσόφων, εἴτ᾽ ἐξ ἐτυμολογίας τινὸς, εἴτε ἐκ νευμάτων, εἴτε ἐξ ἐπινευμάτων, εἴτε ἐξ ὅτου δή τινος ἑτέρου τοιούτου λαμβάνεται λήμματα, τοῦ τρίτου γένους ἔσται ταῦτα. διττὴν μὲν ἀπόστασιν ἀφεστῶτα τῶν ἐπιστημονικῶν, οὐ πολλῷ δέ τινι διαφέροντα τῶν σοφιστικῶν, ἅπερ ἐν ὁμωνυμίαις τέ τισι, καὶ τοῖς τῆς λέξεως σχήμασι μάλιστα συνίσταται. ἀρκτέον οὖν ἀπὸ τῶν ὑπαρχόντων ἁπάντων τῇ καρδίᾳ,

καὶ λεκτέον ἐφεξῆς ταῦτα πάντα, πρῶτον μὲν ἐν κεφαλαίοις τε, καὶ κατὰ γένος, εἶθ' οὕτως καὶ κατὰ μέρος τε, καὶ κατ' εἶδος. ὑπάρχει δὴ τῇ καρδίᾳ θέσις, καὶ πηλικότης, καὶ πλοκή, καὶ διάπλασις, καὶ διάθεσις, καὶ κίνησις. ἀπὸ πρώτης οὖν τῆς θέσεως ἀρκτέον, ἐπιδεικνύντας ὅσαι προτάσεις, ἀπ' αὐτῆς συνίστανται. κεῖται δὲ ὡς πρὸς μὲν τὸν θώρακα μέση πως μᾶλλον. ἡ μὲν γὰρ βάσις αὐτῆς ἀκριβῶς ἐστὶ μέση τοῦ θώρακος ἅπαντος. ἡ κορυφὴ δὲ καὶ τὰ κάτω μέρη προήκει τοσοῦτον, ἡλίκον περ ἂν ᾖ τὸ μέγεθος τῆς καρδίας. ὡς δὲ πρὸς ὅλον τὸ ζῶον ἀνωτέρω τῶν μέσων αὐτοῦ μερῶν τέτακται τοσοῦτον, ὅσον ἀπέχει τῶν κατὰ τὸν ὀμφαλὸν χωρίων. ἐκεῖνα γὰρ ἀκριβέστατα τὰ μέσα, ἀλλὰ καὶ πρὸς τὸν λάρυγγα δι' οὗ ἀναπνέομεν οὕτω πως ἔχει θέσεως, ὥστε διὰ μέσου τοῦ πνεύμονος αὐτῇ συνῆφθαι. κατὰ γὰρ τὴν ἀριστερὰν κοιλίαν τῆς καρδίας ἐκφύεταί τις ἀρτηρία φλεβώδης τὸ σῶμα. τὸ μὲν πρῶτον εἰς τοσαῦτα μόρια σχιζομένη, ὅσοι περ ἂν ὦσιν οἱ τοῦ πνεύμονος λοβοί. μετὰ ταῦτα δὲ ἤδη καθ' ἕκαστον αὐτῶν ἑκάστη διανέμεται, εἰς πολλὰ γιγνομένη μόρια, μέχρι περ ἂν ἀναλωθῇ σύμπασα. τοῖς δὲ ἐσχάτοις αὐτῆς πέρασι παμπόλλοις οὖσιν, οἷόν περ δένδρου βλάσταις εἰς ταὐτὸν ἥκει τὰ τῆς τραχείας ἀρτηρίας πέρατα. τὸν αὐτὸν τρόπον εἰς ὅλον τὸ σπλάγχνον μεριασθείσης, ὃν περ ἡ φλεβώδης ἀρτηρία. καὶ μὲν δὴ καὶ πρὸς αὐτὸν τὸν πνεύμονα θέσιν ἔχει τοιαύτην, ὡς ἔξωθεν ὑπ' αὐτοῦ πανταχόθεν ἠμφιέσθαι. τὰ μὲν οὖν τῆς θέσεως ὧδε ἔχει τῇ καρδίᾳ· καὶ δύναιτ' ἄν τις ἀπ' αὐτῆς ἐπιχειρήματα ποιεῖσθαι, τῇ μὲν ὡς πρὸς τὸ σύμπαν σῶμα, διότι μέσον πως αὐτοῦ κεῖται δικαίας ἕνεκα νομῆς, ὧν ἐπιπέμπει δυνάμεων αὐτῷ, τῇ δὲ ὡς πρὸς τὴν τραχεῖαν ἀρτηρίαν, ὅτι τὴν φωνὴν διὰ ταύτης ἐκπέμπει. καὶ μὲν δὴ καὶ τὴν χρείαν τε, καὶ τὴν ἐνέργειαν τῆς ἀναπνοῆς συνάπτων αὐτῇ, δύναιτ' ἄν τινα κἀντεῦθεν ἐπιχειρήματα λαμβάνειν. κατὰ δὲ τὸν αὐτὸν τρόπον ὅτι μέση τοῦ θώρακος, ἴσως ἂν ἔχοι τι καὶ περὶ τούτου λαβεῖν ὁ βουλόμενος ἐκ πάντων ἐπιχειρεῖν. ἀλλ' οὔπω τούτων οὐδὲν ἐπιστημονικόν, οὐδὲ ἀποδεῖξαι τὸ προκείμενον ἱκανόν. ἔστ' ἂν μηδέπω περαίνηται δι' αὐτῶν, ὡς αἰσθήσεώς τε, καὶ κινήσεως τῆς κατὰ προαίρεσιν ἀρχὴ τοῖς ζώοις ἐστὶν ἡ καρδία. οὐ γὰρ ἐξ ἀνάγκης ἕπεται τῷ μέσῳ τῷ ζώῳ κεῖσθαι, τὸ πάντων ἀρχὴν ὑπάρχειν αὐτήν. καίτοι γε οὐδὲ αὐτὸ τοῦτο ἀληθές ἐστι τὸ μέσον ἐν τοῖς ζώοις εἶναι τὴν καρδίαν. εἰ γὰρ ἀκριβῶς τις ἐξετάσειε, τὰ κατὰ τὸν ὀμφαλόν ἐστι μέσα. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδὲ ὅτι μέση τοῦ θώρακος ἡ καρδία, διὰ τοῦτ' ἀρχὴ τοῦ ζώου παντός. οὐδὲ γάρ, ὅτι καθάπερ ἐν ἀκροπόλει τῇ κεφαλῇ δίκην μεγάλου βασιλέως ὁ ἐγκέφαλος ἵδρυται, διὰ τοῦτ' ἐξ ἀνάγκης ἡ τῆς ψυχῆς ἀρχὴ κατ' αὐτόν ἐστιν. οὐδὲ ὅτι καθάπερ τινὰς δορυφόρους ἔχει τὰς αἰσθήσεις περιῳκισμένας, οὔτ' εἴ γε καὶ τοῦτο λέγοι τις ὅτι περ οὐρανὸς ἐν ὅλῳ τῷ κόσμῳ, τοῦτ' ἐν ἀνθρώποις εἶναι τὴν κεφαλήν, καὶ διὰ τοῦθ' ὥσπερ ἐκεῖνος οἶκός ἐστι τῶν θεῶν, οὕτω τὸν ἐγκέφαλον οἶκον εἶναι τοῦ λογισμοῦ. καὶ γὰρ τὰ τοιαῦτα πάντα καίπερ ὄντα πολὺ μὲν πιθανώτερα τῶν ἐπὶ τῆς καρδίας εἰρημένων, ὅμως οὐκ ἔστιν οὐδὲ αὐτὰ πιστὰ πρὸς ἐπιστήμην ἀκριβῆ, καθάπερ οὐδὲ ὅτι τῆς φωνῆς ἡ καρδία δημιουργός ἐστιν. εἰ μὲν γὰρ ἀπόδειξίν τινα διδάσκειν ἡμᾶς ἔχοιεν, ἡδέως ἀκουσόμεθα. τὸ δὲ ἀπὸ τῆς θέσεως μόνης ὁρμᾶσθαι, μοχθηρόν. οὕτω γάρ, οἶμαι, καὶ τὸν πνεύμονα, καὶ τὴν τραχεῖαν ἀρτηρίαν ἀρχὴν τῆς φωνῆς ἐροῦμεν,

A & explicanda hæc omnia, primum in summa & generatim, deinde sic membratim speciatimque. Porrò insunt cordi, situs, magnitudo, plexus, conformatio, dispositio, & motus. A situ igitur primum incipiendum est, ostendendo quæ præpositiones ex eo constituuntur. Situm est thoracis ratione, quodammodo medium magis; etenim basis ipsius, totius thoracis media est: vertex autem, & infernæ partes tantum procedunt, quanta cordis extiterit magnitudo. Totius autem animantis ratione tantò superius mediis eius partibus habetur, B quantò ab vmbilici regionibus distat; illæ siquidem ad amussim mediæ sunt, imò etiam ad laryngem, per quem respiramus, ita quodammodo situm est; vt per medium pulmonem ipsi committatur. Nam ex sinistro cordis ventriculo arteria quædam corpore venosa procedit: primum sanè in tot particulas discissa, quot fuerint pulmonis fibræ: postea iam in singulos ipsos singulæ distribuuntur, in multas diuaricantes particulas, vsque dum omnes exhauriantur. Quum autem permulta sint earum extrema, veluti arboris rami, eodem perueniunt asperæ arteriæ fines, in totum viscus simili distributæ modo, quo venosa arteria. Quinetiam ad pulmonem ita positum est cor, vt extriusecùs ab eo vndequaque contegatur. Itaque situs cordis in eum modum se habet: ac poterit aliquis ab eo argumenta petere, partim ratione totius corporis, quod medium quodammodo in eo consistit, iustæ distributionis gratia facultatum quas ipsi transmittit: partim ratione asperæ arteriæ, quoniam vocem per hanc edit. Iam verò vsum actionémque respirationis ei coniungens, inde aliquas argumentationes poteris desumere. D Pari modo quòd medium in thorace habeatur, forsan poteris de hoc etiam aliquid sumere, si ex omnibus argumenta petere libet. Verùm horum nullum scientificum est, neque rei quæ proponitur demonstrandæ satis idoneum, quoniam nondum per ea colligitur; cor sensus motúsque voluntarij esse principium. Non enim necessariò sequitur, quia medium in animante situm est, ideo omnium principium ipsum existere. Etsi ne hoc ipsum quidem verum sit medium in animante cor haberi Nam si quis exactè discutiat, vmbilici regio media est. E Pari modo neque quòd medium in thorace cor est; ideo animantis totius initium erit. Neque enim quòd cerebrum magni regis instar, in capite tanquam arce constitutum est, ob id necessariò animæ principium in eo habetur, neque quòd veluti satellites quosdam sensus habeat circumhabitantes. Neque si & hoc dicat aliquis, quod cælum in toto mundo, id in hominibus esse caput: & propterea quemadmodum illud deorum domus est, ita cerebrum rationis esse domicilium; quippe hæc omnia etsi multò probabiliora sint iis quæ in corde diximus, non sunt ta- F men ipsa quoque ad exactam scientiam comprobandam efficacia, quemadmodum neque quòd cor vocis opifex sit. Nam si demonstrationem aliquam docere nos possunt, libenter audiemus; quòd autem à situ solum proficiscitur, prauum vitiosúmque est; nam sic puto pulmonem & asperam arteriam vocis initium dicemus, quòd

quòd hæc vocalibus inſtrumentis quàm cor ſint propiora. Siquidem ipſum vocis inſtrumentum & primum peculiare larinx eſt. Si igitur ipſo inferius aſperam arteriam inciderís, non amplius animal vociferare audies, etſi reſpirare ipſum ſine impedimento etiamnum videas. Ac ſi homo fuerit quod ita vulneratum eſt, licebit tibi iubere ipſi, vt vocem aliquam edat; cupidè quidem enim id tentabit, nihil autem plus audies quàm expirationem ſtridulam, quam exſufflationem nominamus; nam áb ſque molimine vocis, ſpiritus in expiratione foràs effertur, non tamen cum ſtrepitu aliquo, & confertim. At thoracis muſculos vna cum iis qui in abdomine ſunt, quum animal vocem edere molitur, vehementer extendi conſpicies; hos ſanè & prius quàm aſpera arteria vulnerata ſit, tendi manifeſtò eſt videre quum violentius vociferamur. At ob conuulneratam arteriam laborant fruſtra quæ ad vocis generationem faciunt; quippe ſolam exſufflationem edunt: quæ à ſimplici expiratione hoc differt, quòd cum ſtrepitu ſimul & celeritate ſpiritus euacuatur. Duplici igitur modò hîc quoque peccant, qui vocem ex corde emitti cenſent: quoniam primum à ſitu argumentum petunt, deinde verò ne ab hoc quidem vt conuenit. Tenduntur enim omnes & thoracis & abdominis muſculi, quum animal vocem edere voluerit, ad tentionem motúmque aliquem acti, corde nullam nouam inſuper actionem in hoc acquirente. Non tamen iam ſpiritus qui ab imo ſurſum effertur, priuſquam à larynge concinnetur, vocis habet ſpeciem: ſed vt dictum eſt antea, ſolius exſufflationis vt in commentario de voce oſtendimus. Icta enim ab iis quæ iuxta laryngem ſunt cartilaginibus veluti plectris quibuſdam efflatio hæc, vox efficitur. Cæterùm compoſitus eſt larynx ex tribus cartilaginibus, quas complures muſculi mouent. Qui autem modus ſit cartilaginum conſtitutionis, aut muſculorum motus, exactè ſanè in propriis de his operibus à me expoſitum eſt. Ij verò qui à ſitu ſolo argumenta deſumunt, nihil huiuſmodi cognorunt: deinde mirantur ſubitò vbi audiuerint ex cerebro vocem fieri: præterea magis poſtquam audierint motus omnes arbitrarios à muſculis perfici. Quin & nos admirantur, vocántque paradoxorum enarratores, etſi quę verbis promittimus, ea in animalium diſſectionibus oſtendamus: illi verò nihil aliud poſſunt dicere quàm quia cor aſperæ arteriæ vicinum eſt, ideò vocem ex illo oriri. Etenim malunt, vt opinor compendioſam leuémque in diſputationibus viam, quam aſperam & prolixam: quamuis hæc ad id quod quæritur deducat, leuis autem & compendioſa à verò aberrat. Nec eſt qui me vnquam ſuſtinuerit oſtendentem muſculos omnes à quibus reſpiratio & vox efficiatur, licet non in his ſolis ſumma vis demonſtrationis conſiſtat, ſed tertia totius diſputationis pars. Siquidem muſculi inſtrumenta quædam mouent, vnde reſpiratio aliqua & vox ſubminiſtratur. Cæterùm vt ipſi moueantur, neruos à cerebro requirunt, ex quibus ſi aliquem fune interceperis, diſſecueris ve, ſtatim immobilem muſculum illum reddes, in quem neruus inſeritur: immobile etiam animantis membrum, quod prius à muſculo mouebatur, quàm neruus eſſet inciſus. Quicunque igitur ex animo veri ſtudioſus eſt, ad nos accedat, intellecturus manifeſtò in ipſis animantibus, modò

A ὡς ἐγγυτέρω γε ταῦτ' ἐστὶ τῆς καρδίας τοῖς φωνητικοῖς ὀργάνοις. αὐτὸ μὲν γὰρ τὸ πρῶτόν τε καὶ ἴδιον ὄργανον τῆς φωνῆς, ὁ λάρυγξ ἐστίν. εἰ γοῦν κατώτερον τέμοις αὐτοῦ τὴν τραχεῖαν ἀρτηρίαν, οὐκέτ' ἀκούσῃ φωνοῦντος τοῦ ζώου, καίτοι γ' ἀναπνέοντος ἀκωλύτως ὄψει καὶ νῦν αὐτό. καὶ εἴπερ ἄνθρωπος εἴη τὸ οὕτω τρωθέν, ἐξέσται σοι κελεύειν αὐτῷ φθέγξασθαί τι. προθυμηθήσεται μὲν γὰρ οὐδὲν, καὶ ἀκούσῃ πλέον ἐκπνοῆς ῥοιζώδους, ἣν ἡμεῖς ὀνομάζομεν ἐκφύσησιν, αὐτοῦ δὲ τοῦ προθυμεῖσθαι φθέγξασθαι. φέρεται μὲν ἔξω τὸ πνεῦμα κατὰ τὰς ἐκπνοὰς, οὐ μὴν σὺν ψόφῳ γέ τινι καὶ ἀθρόως. ὄψει δὲ καὶ τοὺς κατὰ τὸν θώρακα μῦς ἅμα τοῖς κατ' B ἐπιγάστριον, ὅταν προθυμῆται φθέγγεσθαι τὸ ζῶον, ἐκτεινομένους σφοδρῶς. τούτους μὲν γε καὶ πρὸ τοῦ τρωθῆναι τὴν τραχεῖαν ἀρτηρίαν, σαφῶς ἐστιν ἰδεῖν τεινομένους, ἐπειδὰν βιαιότερον φωνῶμεν. ἀλλ' ἐπί γε τετρωμένῃ τῇ ἀρτηρίᾳ, πονοῦσι μάτην ὅσα γε πρὸς γένεσιν φωνῆς. ἐκφύσησιν γὰρ μόνην ἐργάζονται διαφέρουσαν ἁπλῆς ἐκπνοῆς, ὅτι μετὰ ψόφου τε ἅμα, καὶ τάχους ἐκκενοῦται τὸ πνεῦμα. διττὸν οὖν ἁμαρτάνεται κἀνταῦθα ἁμάρτημα τοῖς τὴν φωνὴν ἐκ τῆς καρδίας ἐκπέμπεσθαι νομίζουσιν, ὅτι πρῶτον μὲν ἀπὸ τῆς C θέσεως ἐπιχειροῦσιν. ἔπειτα δὲ οὐδὲ ἀπὸ ταύτης, ὡς χρή. τείνονται μὲν γὰρ οἵ τε κατὰ τὸν θώρακα μύες ἅπαντες, οἵ τε κατ' ἐπιγάστριον, ἐπειδὰν θελήσῃ φωνῆσαι τὸ ζῶον, εἰς τάσιν δή τινα, καὶ κίνησιν ἀγόμενοι τῆς καρδίας, οὐδεμίαν ἐν τούτῳ νεωτέραν ἐπικτωμένης ἐνέργειαν. οὐ μὴν ἤδη γέ πω τὸ κάτωθεν ἀναφερόμενον πνεῦμα, πρὶν ὑπὸ τοῦ λάρυγγος ῥυθμισθῆναι, φωνῆς ἔχει ἰδέαν, ἀλλ' ὡς εἴρηται πρόσθεν ἐκφυσήσεως μόνης, ὡς ἀπεδείξαμεν ἐν τῇ περὶ φωνῆς πραγματείᾳ. πληττομένη γὰρ ὑπὸ τῶν κατὰ τὸν λάρυγγα χόνδρων, οἷον ὑπὸ πλήκτρων τινῶν, ἡ ἐκφύσησις αὕτη φωνὴ γίνεται. σύγκειται D δὲ ὁ λάρυγξ ἐκ τριῶν χόνδρων ὑπὸ μυῶν πολλῶν κινουμένων. ὅστις δὲ ὁ τρόπος ἐστὶ τῆς τῶν χόνδρων συστάσεως, ἢ τῆς τῶν μυῶν κινήσεως, ἐμοὶ μὲν ἐν ταῖς περὶ τούτων πραγματείαις οἰκείαις ἀκριβῶς εἴρηται. τοῖς δὲ ἀπὸ τῆς θέσεως μόνης ἐπιχειροῦσιν, οὐδὲν τῶν τοιούτων γιγνώσκεται. κἄπειτα θαυμάζουσιν ἐξαίφνης ἀκούσαντες ἐξ ἐγκεφάλου γίγνεσθαι τὴν φωνήν. ἔτι δὲ μᾶλλον ἐπειδὰν ἀκούσωσιν, ὡς αἱ κατὰ προαίρεσιν ἅπασαι κινήσεις ὑπὸ μυῶν ἐπιτελοῦνται. θαυμάζουσι δὲ καὶ παραδοξολόγους ἡμᾶς ἀποκαλοῦσι, καίτοι γε ἡμεῖς ἅπερ ἐπαγγελλόμεθα λόγῳ, ταῦτα ἐπὶ ταῖς τῶν ζώων ἀνατομαῖς E ἐπιδεικνύμεν. οἱ δ' οὐδὲν ἄλλο ἔχουσι λέγειν, ἢ δι' ὅτι πλησίον ἐστὶν ἡ καρδία τοῦ λάρυγγος, διὰ τοῦτ' ἐξ ἐκείνης ἄρχεσθαι τὴν φωνήν. αἱροῦνται γὰρ οἶμαι τὴν σύντομόν τε, καὶ λείαν ὁδὸν ἐν τοῖς λόγοις, ἀντὶ τῆς τραχείας τε καὶ μακρᾶς, κἂν αὕτη μὲν ἀπάγει πρὸς τὸ ζητούμενον. ἡ δὲ λεία τε καὶ βραχεῖα σφάλλει τ' ἀληθοῦς, οὐδ' ἐστὶν ὅστις ἐμοί ποθ' ὑπέμεινε δεικνύντι τοὺς μῦς ἅπαντας, ὑφ' ὧν ἡ ἀναπνοή τε γίγνεται καὶ φωνή. καίτοι γ' οὐκ ἐν τούτοις μόνοις ἐστὶ τὸ κῦρος τῆς ἀποδείξεως, ἀλλ' ἡ τρίτη μοῖρα τοῦ λόγου παντός. οἱ μὲν γὰρ μύες ὄργανά τινα κινοῦσιν, ὑφ' ὧν ἀναπνοή τις καὶ φωνὴ γίγνεται, δέονται δ' αὐτοὶ πάλιν F ὅπως κινηθῶσι, τῶν ἀπ' ἐγκεφάλου νεύρων, ὧν εἴτι βρόχοις διαλάβοις, εἴτε τέμοις, ἀκίνητον αὐτίκα μάλα ποιήσεις τὸν μῦν ἐκεῖνον, εἰς ὃν τὸ νεῦρον ἐνέβαλεν. ἀκίνητον δὲ καὶ τοῦ ζώου τὸ μέλος ὃ πρότερον ὑπὸ τοῦ μυὸς ἐκινεῖτο πρὶν τμηθῆναι τὸ νεῦρον. ὅστις οὖν ὄντως ἀληθείας ἐρᾷ, πρὸς ἡμᾶς ἡκέτω, μαθησόμενος ἐναργῶς ἐπ' αὐτῶν τῶν ζώων, εἰ μόνον

ἔχει τὰς αἰσθήσεις ἀπηρώτους, ὑφ᾽ ἑτέρων μὲν ὀργάνων τε, καὶ μυῶν, καὶ νεύρων εἰσπνοὴν ἀβίαστον γιγνομένην, ὑφ᾽ ἑτέρων δὲ τὴν μετὰ βίας. ὀνομάζω δὲ ἀβίαστον μὲν τὴν τοῖς ὑγιαίνουσι, καὶ μηδεμίαν ἰσχυρὰν κίνησιν κινουμένοις ὑπάρχουσαν. βιαίαν δὲ τὴν ἔν τε παθεσί τισι, καὶ τοῖς σφοδροῖς γυμνασίοις ἐπιτελουμένην, ἐφ᾽ ἧς εὐθέως ὄψει συνεξαιρούμενα, καὶ τὰ κατὰ τὰς ὠμοπλάτας ἅπαντα μόρια. καὶ δὴ καὶ τὰς ἀνάλογον αὐταῖς ἐκπνοάς, ὑφ᾽ ἑτέρων μὲν ὀργάνων, καὶ μυῶν, καὶ νεύρων τὴν ἀβίαστόν τε, καὶ μικράν, ὑφ᾽ ἑτέρων δὲ τὴν βίαιόν τε, καὶ μεγάλην, ἣν ὀνομάζειν ἔθος ἡμῖν ἐκφύσησιν. ἐπὶ δὲ τούτοις ἅπασιν, ἐξῆς ὑποδείξομέν σοι τὸ τῆς φωνῆς ἴδιον ὄργανον τὸν λάρυγγα, καὶ τοὺς κινοῦντας αὐτὸν μῦς, καὶ τὰ τῶν μυῶν ἐκείνων νεῦρα τὰ ἐξ ἐγκεφάλου καθήκοντα. καὶ μετὰ ταῦτα τὴν γλῶτταν ἕτερον ὄργανον, οὐ φωνῆς, ἀλλὰ διαλέκτου τε, καὶ διαλέξεως ὁποτέρως ἂν ὀνομάζειν ἐθελήσαις, καὶ τοὺς μῦς ἐπιδείξομέν σοι, καὶ τὰ νεῦρα τὰ ἐξ ἐγκεφάλου. καὶ δὴ καὶ ζῷα πλείω παρασκευάσαντες, ἄλλην καὶ ἄλλην τῶν εἰρημένων ἐνεργειῶν ἐπιδείξομεν ἀπολλυμένην ἐφ᾽ ἑκάστου τῶν ἀπ᾽ ἐγκεφάλου νεύρων τεμνομένων. τάχ᾽ ἴσως ἐπιθυμεῖ τις ἀκοῦσαι τῶν εἰρημένων ἐνεργειῶν ἑκάστης τὸ ἴδιον ὄργανον, καὶ τοὺς κινοῦντας μῦς, οἵ τινές τε εἰσι, καὶ πόσοι τὸν ἀριθμὸν ἥν τινά τε θέσιν ἔχουσι, καὶ πηλίκοι τὸ μέγεθος ὑπάρχουσι, καὶ τίνα δέχονται νεῦρα, καὶ πόσα, καὶ πηλίκα, καὶ κατὰ τί μάλιστα μέρος ἐξ ἐγκεφάλου βλαστάνονται, τίς τε τοῖς ὑπ᾽ αὐτῶν κινουμένοις ὀργάνοις τρόπος ἐστὶ τῆς κινήσεως. ἐγὼ δὲ καὶ πρόσθεν εἶπον, ὡς πολλάκις ὑπὲρ τῶν αὐτῶν γράφειν οὐκ ἐπαινῶ. ἀλλ᾽ εἴπερ ὄντως ἐστί τις φιλομαθής, ἑτέρας ὑπὲρ τούτων ἁπάντων ἔχει πραγματείας ἡμῖν γεγραμμένας. πρῶτον μὲν τὴν περὶ θώρακός τε, καὶ πνεύμονος κινήσεως, ἔνθα δείκνυμεν ὑπὸ τοῦ θώρακος κινούμενον τὸν πνεύμονα. καὶ κατὰ μὲν τὰς διαστολὰς διαστελλόμενον, ἕλκειν τὸν ἔξωθεν ἀέρα, καὶ τοῦτ᾽ εἶναι τὴν εἰσπνοήν. κατὰ δὲ τὰς συστολὰς συστελλόμενον, ἐκθλίβειν τὸν ἐν αὐτῷ περιεχόμενον, εἴς τε τὸν λάρυγγα καὶ τὸ στόμα, καὶ διὰ τούτων ἐκπέμπειν ἔξω, καὶ τοῦτ᾽ εἶναι τὴν ἐκπνοήν. ἑτέραν δὲ ἔχει πραγματείαν ἐφεξῆς τῆσδε περὶ τῶν τῆς ἀναπνοῆς αἰτιῶν, ἔνθα καὶ τοὺς μῦς ἅπαντας ἐδήλωσα, καὶ τὰ πρὸς αὐτῶν ὄργανα κινούμενα, καὶ τὰ νεῦρα τὰ τοῖς μυσὶ τὴν ἐξ ἐγκεφάλου παρέχοντα δύναμιν τὴν ψυχικήν. εἶτ᾽ αὖθις ἄλλην ἐξῆς ταύτης περὶ τῆς φωνῆς ἔχει πραγματείαν, ὑπέρ τε τῶν ταῦτα κινούντων μυῶν, ἔτι τε τῶν εἰς τούτους καθηκόντων ἐξ ἐγκεφάλου νεύρων. εἰς δέ γε τὰ παρόντα, καὶ τοῦτ᾽ ἀρκεῖ μοι μόνον εἰπεῖν, ὡς εἴπερ ἡ φωνὴ τυπουμένου πως τοῦ κατὰ τὸν πνεύμονα πνεύματος ὑπὸ τοῦ κατὰ τὴν καρδίαν ἐγίγνετο, κἄπειθ᾽ ἑαυτῷ τὸ κατὰ τὸν λάρυγγα συντυποῦντος, οὐκ ἂν ἀπώλλυτο παραχρῆμα τμηθέντων νεύρων τινῶν, ἤτοι κατὰ τὸν τράχηλον ἢ τὴν κεφαλήν. ἔτι δὲ μᾶλλον οὐκ ἂν ἀπώλετο θλιβέντων τὸν ἐγκέφαλον, ἢ τρωθέντων ἄχρι κοιλίας, ἢ διατεμνόντων τὸν νωτιαῖον μυελόν. τὸ μὲν γὰρ τῆς τραχείας ἀρτηρίας, ἥνπερ δὴ καὶ λάρυγγα προσαγορεύομεν, ἢ τοῦ πνεύμονος, ἢ τῆς καρδίας αὐτῆς βλαβείσης ἀπόλλυσθαι τὴν φωνήν, οὐδὲν ἂν οἶμαι θαυμαστόν, εἴπερ ἐκ τῆς καρδίας ὡρμᾶτο. τὸ δὲ τοῦ ἐγκεφάλου θλιβέντος, ἤ τινος τῶν ἐξ αὐτοῦ νεύρων τῶν εἰς τοὺς τοῦ λάρυγγος μῦς φερομένων, ἄτοπόν τε καὶ δεινῶς ἄλογον. εἴπερ γε μηδενὸς αὐτῶν ἡ τῆς φωνῆς γένεσις προσδεῖται, καὶ μὴν ἔμπαλιν ἔχει τὸ φαινόμενον ἢ δοξάζουσιν ἐκεῖνοι. καρδίας μὲν γὰρ γυμνωθείσης ὡς κἂν τῷ πρὸ τούτου μοι λέλεκται γράμματι, καὶ κρατῶν, καὶ θλίβων, καὶ θλῶν,

sensu non hebeti sit & stupido, ab aliis sane instrumentis, musculis, & neruis, inspirationem liberam fieri, ab aliis verò violentam. Nomino autem liberam, qualis sanis adest nullo valido motu agitatis: violentam verò, quæ in affectibus nonnullis, & vehementibus exercitiis perficitur, in qua statim videbis omnes scapularum partes simul attolli. Item in proportionalibus ipsis expirationibus, ab aliis quidem instrumentis, musculis & neruis liberam & exiguam; ab aliis autem violentam magnámque fieri, quam appellare exsufflationem assolemus. Ad hæc omnia deinceps ostendemus tibi proprium vocis instrumentum laryngem, & musculos eius motores, item musculorum illorum neruos ex cerebro descendentes, deinde linguam aliud instrumentum, non vocis, sed loquelæ, & locutionis, aut quomodocunque appellare libeat: musculósque tibi indicabimus & neruos qui à cerebro oriuntur. Quinetiam in plurium animantium dissectionibus, aliam alibi commemoratarum actionum perire in vnoquoque neruorum qui à cerebro proueniunt, dissectorum, ostendemus. Forsan autem aliquis audire cupiet vniuscuiusque actionis prædictæ proprium instrumentum, & mouentes id musculos, quænam sint, & quot numero, quem situm habeant, quam magnitudinem, quos neruos recipiant, & quot, & quàm magnos, & qua in parte potissimum ex cerebro propagentur. Item quis mouendi modus instrumentis quæ ab ipsis mouentur, insit. Ego autem & prius dixi quod frequenter de eisdem scribere non probem. At si verè quis sit studiosus, alia habet opera, in quibus de his omnibus commentati sumus. Primùm quidem librum de thoracis & pulmonis motu, vbi docemus quomodo pulmo à thorace moueatur, ac in diastole distentus externum aërem attrahat, atque hoc esse inspirationem: in systole verò contractus aërem in se comprehensum, in asperam arteriam & os extrudat, ac per hæc foràs emittat eámque esse expirationem. Deinde aliud habet opus de respirationis causis: vbi etiam musculos omnes indicaui, item instrumenta quæ ab ipsis mouentur, & neruos, qui musculis facultatem animalem ex cerebro suppeditant. Postea rursus aliud præter iam dicta de voce habet volumen, in quo de musculis ipsa mouentibus, insuper de neruis ex cerebro in hos pertinentibus tractatur. Impræsentiarum etiam hoc dicere solum abundè est, quòd si vox spiritu quodammodo in pulmone firmato, ab eo qui in corde est, fieret, deinde hoc sibi eum qui in larynge est, conformante, non aboleretur statim, neruis quibusdam vel in collo, vel in capite dissectis. Præterea adhuc minus periret aut cerebro contuso, aut vsque ad ventriculum vulnerato, aut spinali medulla dissecta; etenim quòd aspera arteria, quam etiam larynga appellamus, vel pulmone, vel corde ipso oblæso vox aboletur, nihil mirum arbitror; siquidem ex corde profecta est. At quòd cerebro contuso, aut aliquo ipsius neruorum qui in gutturis musculos feruntur, absurdum, & planè alienum à ratione: quum nullus ipsorum ad vocis generationem requiratur; verùm secus habet id quod apparet, quàm illi opinantur; etenim corde nudato, vt superiori libro dictum est, & continens, & contundens, depriménsque ipsum,

neque

A neque sine spiratione, neque sine voce, neque in alia quadam voluntaria actione impediri animal spectabis: cerebro autem ossibus detecto, aut quocunque ipsius ventriculo compresso, non mutum duntaxat, neque spirationis expers protinus, sed etiam omnino sensu, omnibúsque arbitrariis motibus animal destitues. Porrò dictum à me est antea quoque neutram thoracis capacitatem esse perforandam iis qui cor denudant. Si enim hoc assequatur aliquis, non modò si premere, aut contundere, aut aliud quippiam tale volet efficere, rectè se geret, sed etiam vbi vniuersim ac semel totum eximere libeat, B non improsperè succedet ei manus administratio. Accidit hoc sanè etiam in multis sacrificiis quæ sic de more celebrantur: & apparent animantia, corde iam aris imposito, non respirare tantum, aut clamare fortiter, sed etiam fugere, vsque dum sanguinis profluuio commoriantur. Celerrimè autem nimirum ex ipsis sanguis euacuatur, quatuor maximis vasis diuulsis: sed quousque adhuc viuunt, & respirant, & clamant, & currunt. Porrò tauros quibus spinalis medullæ origo iuxta primam vertebram quotidie dissecatur, subito videmus non solum non currere adhuc posse, sed ne minimum quidem C procedere. Perit autem simul ipsis cum sectione, & respiratio & vox; etenim & his ex superioribus est initium. Verùm cor in sic percussis tauris videre est diutissimè vnà cum omnibus arteriis pulsare; non enim his etiam à cerebro pulsandi vis aduenit, quemadmodum neque ipsi cordi. Vt enim motus alterius generis sunt, sic etiam principiorum alterum non indiget altero, sed est ita & cor pulsuum motus fons, & cerebrum motus voluntarij. Neque est vlla ratio quæ vnum omnium animantis actionum esse principium coget. Neque enim tanquam mul- D ta non possint esse, neque tanquam non sic appareant, indicabit. Verùm de hoc etiam iterum copiosius disputabo. Nunc autem ad id quod dicebam, rursus reuertor, nempe neque respiratorij motus, neque vocem edendi, cor esse principium opifex. Propter illud enim plurimum, non tamen ab illo respirationem fieri contigit: atque haud idem est ab aliquo fieri, & propter aliquid. Porrò de vsu respirationis librum vnum seorsim conscripsimus.

A οὔτε ἄπνουν, οὔτε ἄφωνον, οὔτε ἄλλην τινὰ τῶν καθ' ὁρμὴν ἐνεργειῶν ἐμποδιζόμενον ἔτι τὸ ζῶον. ἐγκέφαλον δὲ γυμνώσας τῶν ὀστῶν, ἢ θλίψας ἡντιναοῦν αὐτοῦ κοιλίαν, οὐκ ἄφωνον μόνον οὐδ' ἄπνουν εὐθὺς, ἀλλὰ καὶ παντάπασιν ἀναίσθητόν τε καὶ ἀκίνητον ἁπασῶν τῶν καθ' ὁρμὴν κινήσεων ἐργάσῃ τὸ ζῶον. εἴρηται δέ μοι καὶ πρόσθεν ὡς οὐ χρὴ συντιτρᾶναι τοῦ θώρακος οὐδετέραν κοιλότητα, γυμνοῦντας τὴν καρδίαν. εἰ γὰρ δὴ τούτου τύχοι τις, οὐ μόνον εἰ θλίβειν ἢ θλᾶν, ἤ τι τοιοῦτον ἕτερον ἐργάζεσθαι βουληθῇ, δυνήσεται κατορθοῦν, ἀλλὰ καὶ βουληθεὶς ἀθρόως ὅλην ἐξελεῖν, οὐκ ἀτυχήσει τῆς χειρουργίας. γίνεται μὲν B τοῦτο καὶ κατὰ πολλὰς θυσίας ἐξ ἔθους οὕτως ἐπιτελουμένας, καὶ φαίνεται τὰ ζῶα τῆς καρδίας ἤδη κατὰ τὸν βωμὸν ἐπικειμένης, οὐκ ἀναπνέοντα μόνον, ἢ κεκραγότα συντόνως, ἀλλὰ καὶ φεύγοντα, μέχρι περ ἂν ὑπὸ τῆς αἱμορραγίας ἀποθάνῃ. τάχιστα δὲ δήπουθεν αὐτῶν ἐκκενοῦται τὸ αἷμα τεττάρων μεγίστων ἀγγείων διασπωμένων, ἀλλ' ἄχρι περ ἂν ἔτι ζῇ, καὶ ἀναπνεῖ, καὶ φωνεῖ, καὶ τρέχει. τούς δέ γε κατὰ τὸν πρῶτον σπόνδυλον ὁσημέραι διατεμνομένους ταύρους τὴν ἔκφυσιν τοῦ νωτιαίου μυελοῦ, παραχρῆμα θεώμεθα μὴ ὅτι δραμεῖν ἔτι δυναμένους, ἀλλὰ μηδ' ἐπ' ἐλάχιστον προβῆναι. συναπόλ- C λυται δ' αὐτοῖς ἅμα τῇ τομῇ, καὶ ἡ ἀναπνοὴ καὶ ἡ φωνή. καὶ γὰρ καὶ ταύταις ἄνωθέν ἐστιν ἡ ἀρχή. τὴν μέντοι καρδίαν ἐπὶ τῶν οὕτω πληγέντων ταύρων ἐστὶν ἰδεῖν ἄχρι πλείστου σφύζουσαν ἅμα ταῖς ἀρτηρίαις ἁπάσαις. οὐ γὰρ δὴ καὶ ταύταις γε παρ' ἐγκεφάλου τὸ σφύζειν ἐστὶν, ὥσπερ οὐδὲ αὐτῇ τῇ καρδίᾳ. ὡς γὰρ αἱ κινήσεις ἑτέρου γένους εἰσὶν, οὕτω καὶ τῶν ἀρχῶν οὐδετέρα προσδεῖται τῆς ἑτέρας, ἀλλ' ἔστιν οὕτως ἥ τε καρδία πηγὴ τῆς κατὰ τοὺς σφυγμοὺς κινήσεως, ὅ, τ' ἐγκέφαλος, τῆς κατὰ προαίρεσιν, οὐδ' ἐστὶν οὐδεὶς λόγος ὃς ἀναγκάσει μίαν ἀρχὴν ἁπασῶν εἶναι τῶν κατὰ τὸ ζῶον ἐνεργειῶν. οὔτε γὰρ ὡς οὐκ D ἐνδεχομένων εἶναι πολλῶν, οὔθ' ὡς μὴ οὕτως φαινομένων ἐπιδείξει. ἀλλὰ περὶ μὲν τούτου κἀν τοῖς ἑξῆς ἐπὶ πλέον αὖθις διαλεξόμεθα. νυνὶ δ' ἐφ' ὅπερ ἔλεγον, αὖθις ἐπάνειμι, πρὸς τὸ μήτε τῆς ἀναπνευστικῆς κινήσεως, μήτε τῆς φωνητικῆς δημιουργικὴν ἀρχὴν εἶναι τὴν καρδίαν. δι' ἐκείνην μὲν γὰρ τὸ πλεῖστον, οὐ μὴν ὑπ' ἐκείνης γε τὴν ἀναπνοὴν γίνεσθαι συμβέβηκεν, οὐ ταὐτὸν δ' ἐστὶν ὑπό του γίνεσθαι, καὶ διά τι. γέγραπται δὲ ἡμῖν ἓν βιβλίον ἴδιον καθ' ἑαυτὸ περὶ χρείας ἀναπνοῆς.

CAPVT V.

Aduersus Zenonem, Diogenem Babylonium, & Chrysippum de principio vocem efficiente.

QVi verò putant vocem aut respirationem à corde fieri situs vicinitate, falsi sunt, haud videntes quòd non planè si quæ pars vicina est, hæc necessariò actionis sit principium; neque enim qui cerebrum opinantur principium esse sensus oculorum, aurium, & narium, quod ipsis propinquum sit, rectè argumentantur: sed hos situs quoque fefellit: imò verò non situs, F sed sensus opinio. Omnino enim hoc axiomate ad demonstrationes vtuntur. Omnibus operantibus, ex propinquis est initium; quo vt vero posito, deinde ex euidenti assumpto, quod cerebrum aures contingant, concludetur iam initium quoque actionis illinc ipsis proficisci,

E

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Πρὸς τὸν Ζήνωνα, Διογένη Βαβυλώνιον, καὶ τὸν Χρύσιππον, περὶ τῆς δημιουργικῆς τῆς φωνῆς ἀρχῆς.

ΟΙ δ' ἡγούμενοι φωνὴν ἢ ἀναπνοὴν ὑπὸ τῆς καρδίας ἐπιτελεῖσθαι, πρὸς τῆς κατὰ τὴν θέσιν ἐγγύτητος ἠπατήθησαν, οὐκ εἰδότες ὡς οὐ πάντως εἴ τι πλησίον ἐστὶ μορίου ἐνεργείας ἧστινοσοῦν, ἐξ ἀνάγκης οὗτο καὶ ἀρχὴ τῆς ἐνεργείας ἐστίν. οὐδὲ γὰρ ὅσοι τὸν ἐγκέφαλον ὑπολαμβάνουσιν, ἀρχὴν εἶναι τῆς κατ' ὀφθαλμοὺς καὶ ὦτα καὶ ῥῖνας αἰσθήσεως, ὅτι πλησίον αὐτῶν ἐστιν, ὀρθῶς ἐπιχειροῦσιν, ἀλ- F λὰ καὶ τούτους ἡ θέσις ἔσφηλε, μᾶλλον δὲ οὐχ ἡ θέσις, ἀλλ' ἡ περὶ τῆς αἰσθήσεως δόξα. πάντες γὰρ δήπου τοιούτῳ τινὶ προσχρήσονται κατὰ τὰς ἀποδείξεις ἀξιώματι. πᾶσι τοῖς ἐνεργοῦσιν ἐκ τῶν πλησίων ἐστὶν ἡ ἀρχή. τούτου γὰρ ὑποτεθέντος ὡς ἀληθοῦς, εἶτ' ἐκ τοῦ φαίνεσθαι προσληφθέντος, ὡς ἐγκεφάλου ψαύει τὰ ὦτα, περαίνοιτ' ἂν ἤδη τὸ καὶ τὴν ἀρχὴν αὖθις τῆς ἐνεργείας ἐντεῦθεν ὑπάρχειν.

ἀλλ᾽ οὔτε πρὸς αἴσθησιν, οὔτε πρὸς νόησιν ἐναργές ἐστιν, ὡς πρῶτόν τε καὶ ἐξ ἑαυτοῦ πιστὸν εἶναι τὸ νῦν εἰρημένον ἀξίωμα, τὸ πᾶσι τοῖς ἐνεργοῦσιν ἐκ τοῦ πλησίον εἶναι τὴν ἀρχήν. οὐδ᾽ ὅτι πλησίον ἐστὶ καρδίας τὰ φωνητικά τε καὶ ἀναπνευστικὰ μόρια, διὰ τοῦτ᾽ ἐκ καρδίας αὐτοῖς ἡ ἀρχή. καὶ μὴν ὁ θαυμαζόμενος ὑπὸ τῶν Στωϊκῶν λόγος ὁ Ζήνωνος, ὃν καὶ πρῶτον ἁπάντων ἔγραψεν ἐν τῷ περὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ Διογένης ὁ Βαβυλώνιος, οὐκ ἐξ ἄλλου τινὸς ἔχει τὸ θαυμάζεσθαι, πλὴν οὗ νῦν εἶπον ἀξιώματος ἤδη. εἴσῃ δ᾽ ἐναργέστερον, εἰ παραγράψαιμεν αὐτόν, ἔχει γὰρ ὧδε. φωνὴ διὰ φάρυγγος χωρεῖ. εἰ δὲ ἦν ἀπὸ τοῦ ἐγκεφάλου χωροῦσα, οὐκ ἂν διὰ φάρυγγος ἐχώρει, ὅθεν δὲ λόγος, καὶ φωνὴ ἐκεῖθεν χωρεῖ. λόγος δὲ ἀπὸ διανοίας χωρεῖ, ὥστ᾽ οὐκ ἐν τῷ ἐγκεφάλῳ ἐστὶν ἡ διάνοια. τὸν αὐτὸν δὴ τοῦτον λόγον Διογένης, οὐ κατὰ τὴν αὐτὴν ἐρωτᾷ λέξιν, ἀλλ᾽ ὧδε. ὅθεν ἐκπέμπεται ἡ φωνή, καὶ ἡ ἔναρθρος, οὐκοῦν καὶ ἡ σημαίνουσα ἔναρθρος φωνή, ἐκεῖθεν. τοῦτο δὲ λόγος. καὶ λόγος ἄρα ἐκεῖθεν ἐκπέμπεται ὅθεν καὶ ἡ φωνή, ἡ δὲ φωνὴ οὐκ ἐκ τῶν κατὰ τὴν κεφαλὴν τόπων ἐκπέμπεται, ἀλλὰ φανερῶς ἐκ τῶν κάτωθεν μᾶλλον. ἐμφανὴς γοῦν ἐστι διὰ τῆς ἀρτηρίας διεξιοῦσα. καὶ ὁ λόγος ἄρα οὐκ ἐκ τῆς κεφαλῆς ἐκπέμπεται, ἀλλὰ κάτωθεν μᾶλλον. ἀλλὰ μὴν κἀκεῖνο ἀληθὲς τὸ τὸν λόγον ἐκ τῆς διανοίας ἐκπέμπεσθαι. ἔνιοι γοῦν καὶ ὁριζόμενοι αὐτόν φασιν εἶναι φωνὴν σημαίνουσαν, ἀπὸ διανοίας ἐκπεμπομένην. καὶ ἄλλως δὲ πιθανὸν ὑπὸ τῶν ἐννοιῶν ἐνσεσημασμένον τῶν ἐν τῇ διανοίᾳ καὶ οἷον ἐκτετυπωμένον, ἐκπέμπεσθαι τὸν λόγον, καὶ παρεκτείνεσθαι τῷ χρόνῳ κατά τε τὸ διανοεῖσθαι, καὶ τὴν κατὰ τὸ λέγειν ἐνέργειαν. καὶ ἡ διάνοια ἄρα οὐκ ἔστιν ἐν τῇ κεφαλῇ, ἀλλ᾽ ἐν τοῖς κατωτέρω τόποις, μάλιστά πως περὶ τὴν καρδίαν. τοιοῦτος μέντοι καὶ ὁ τοῦ Διογένους λόγος. ἔμπαλιν ἢ κατὰ τὸν τοῦ Ζήνωνος εἰς μῆκος ῥήσεων ἐκτεταμένος, ὥστε ἐκείνῳ μὲν ἐλλείπειν τινὰ τῶν ἀναγκαίων ἀξιωμάτων, πλεονάζειν δὲ τούτῳ. βούλομαι δὲ πρὶν ἐλέγχειν αὐτούς, ἔτι καὶ τὸν τοῦ Χρυσίππου παραθέσθαι, τόνδε τὸν τρόπον ἔχοντα. εὔλογον δὲ εἰς ὃ γίγνονται αἱ ἐν τούτῳ σημασίαι, καὶ ἐξ οὗ λόγος, ἐκεῖνο εἶναι τὸ κυριεῦον τῆς ψυχῆς μέρος. οὐ γὰρ ἄλλη μὲν ἡ πηγὴ λόγου ἐστίν, ἄλλη δὲ διανοίας. οὐδὲ ἄλλη μὲν φωνῆς πηγή, ἄλλη δὲ λόγου. οὐδὲ τὸ ὅλον ἁπλῶς, ἄλλη φωνῆς πηγή ἐστιν, ἄλλο δὲ τὸ κυριεῦον τῆς ψυχῆς μέρος. τοιούτοις δέ, καὶ τὴν διάνοιαν συμφώνως ἀφοριζόμενοι, λέγουσιν αὐτὴν πηγὴν εἶναι λόγου. τὸ γὰρ ὅλον, ὅθεν ὁ λόγος ἐκπέμπεται, ἐκεῖσε δεῖ καὶ τὸν διαλογισμὸν γίγνεσθαι, καὶ τὰς διανοήσεις καὶ τὰς μελέτας τῶν ῥήσεων, καθάπερ ἔφην. ταῦτα δὲ ἐμφανῶς περὶ τὴν καρδίαν γίγνεται, ἐκ τῆς καρδίας διὰ φάρυγγος, καὶ τῆς φωνῆς, καὶ τοῦ λόγου, ἐκπεμπομένων. πιθανὸν δὲ καὶ ἄλλως εἰς ὃ ἐνσημαίνεται τὰ λεγόμενα, καὶ σημαίνεσθαι ἐκεῖθεν, καὶ τὰς φωνὰς ἀπ᾽ ἐκείνου γίγνεσθαι κατὰ τὸν προειρημένον τρόπον. ἅλις ἤδη μοι τῶν περὶ τῆς φωνῆς λόγων τῶν Στωϊκῶν· εἰ γὰρ καὶ τοὺς ὑπὸ τῶν ἄλλων ἠρωτημένους ἐφεξῆς γράφοιμι σύμπαντας, εἰς ἄμετρόν τι μῆκος ἐμπεσεῖται τὸ γράμμα. οὐ γὰρ ἂν οὐδὲ τῶν ὑπὸ Χρυσίππου τε καὶ Διογένους εἰρημένων ἐμνημόνευσα λόγων, ἀλλ᾽ ἠρκέσθην ἐξετάσας τὸν τοῦ Ζήνωνος μόνον, εἰ μὴ πρός τινα τῶν Στωϊκῶν ἐγεγόνει μοί ποτε ἀμφισβήτησις ὑπὲρ τοῦ χωρεῖ ῥήματος, ὅπερ ἔλαβεν ὁ Ζήνων ἐν τῷ λόγῳ γράψας ὧδε. φωνὴ διὰ φάρυγγος χωρεῖ. τὸ γὰρ χωρεῖ τοῦτο ῥῆμα, ἐγὼ μὲν ἠξίουν ἀκούειν ἐν ἴσῳ τῷ ἐξέρχεται, ἢ ἐκπέμπεται. ὁ δέ, τούτων μὲν μηδέτερον, ἔφη, σημαίνεται πρὸς αὐτοῦ. καὶ τρίτον ἄλλο παρὰ ταῦτα λέγειν οὐκ εἶ-

sed nec sensu, nec intelligentia id euidens est; vt primum ac per se credibile modò dictum axioma habeatur, nempe omnibus operantibus ex propinquis esse principium. Neque enim quod proxima sint cordi vocalia & respiratoria instrumenta, ideo ex corde habent originem. Atqui admiranda illa Zenonis sententia, quam primam omnium in libro de principatu animæ Diogenes Babylonius scripsit, non alia ratione quàm ex pronuuciato isto, quod modò dixi, laudem illam ac plausum sibi ipsi conciliauit. Scies autem manifestius eam, si adscripserimus. Habet in hunc modum: *Vox per asperam arteriam procedit. Si autem à cerebro procederet, non vtique per asperam arteriam veniret; vnde sermo & vox illinc procedit. Sermo autem à mente procedit, quare in cerebro mens non est; eandem hanc rationem Diogenes, non eisdem verbis, sed hisce interrogat, Vnde emittitur vox: illinc & articulata venit. Igitur & vox articulata significans, illinc proficiscitur: hæc autem sermo est: igitur sermo illinc emittitur vnde & vox. Porrò vox non ex locis capitis emittitur, sed planè ex infernis potius. Constat igitur per arteriam prodire. Sermo itaque non ex capite emittitur, sed infernis partibus magis. Atqui & illud verùm est, sermonem ex mente proficisci. Ipsi enim sermonem definientes, vocem esse aiunt significantem ex mente emissam. Ac aliter probabile est quod ab animi conceptionibus, intelligibilis facta & quasi informata oratio exeat, ac quod temporis spacio extendatur & in intelligendo, & in dicendi functione. Itaque mens non est in capite, sed in inferioribus partibus, maximè circa cor.* Talis est Diogenis sermo, contra quàm Zenonis, in prolixitatem verborum extensus; quapropter illi sane necessaria axiomata desunt, huic verò supersunt. Verùm antequam eos redarguam, Chrysippi sententiam adiicere cogito, quæ ad hunc modum habet. *Rationi consentaneum est, id in quo significationes fiunt, & ex quo sermo procedit, præcipuam animæ partem existere, quandoquidem non alia est sermonis origo, alia mentis: neque alia quidem vocis, alia verò sermonis: neque simpliciter omnium alia est vocis origo, alia animæ pars præcipua. His autem congruè mentem definientes, aiunt eam originem esse sermonis. In vniuersum enim vnde sermo emittitur, illuc & oportet ratiocinationem fieri, & intelligentias & meditationes dictionum, quem in modum dixi. Hæc autem euidenter circa cor fiunt; quum & vox & sermo per asperam arteriam emittantur. Probabile verò etiam est alioqui id in quo significantur ea quæ dicuntur, illinc etiam significari, & voces ab illo ad prædictum modum fieri.* Satis iam verborum Stoïcorum de voce est. Nam si quæ ab aliis dicuntur, omnia ordine ascripsero, in immensam magnitudinem liber excrescet; non enim verba fecissem de his quæ Chrysippus, & Diogenes scripserunt, sed abundè mihi fuisset solam Zenonis sententiam inuestigare, nisi aduersus quendam Stoïcum aliquando mihi controuersia fuisset de hoc verbo procedit, quod Zeno in sua oratione ponit, ad hunc modum scribens, Vox per asperam arteriam procedit; quod verbum pro egreditur, aut emittitur, illum velle accipere existimauerim: neque aliud quam hæc significat, nec tertium ab iis afferri potest. Coactus sum igitur

tur ipse aliorum Stoïcorum libros recognoscere, qui hanc dictionem transferunt ad verbum egreditur vel emittitur, quemadmodum demonstraui Chrysippum & Diogenem, post quos non duxi necessarium aliorum verba ascribere: sed ad ipsorum interpretationem iam reuertamur, principium à Zenone facientes, qui author est huiusmodi de voce sententiæ, atque totius Stoïcorum sectæ. Prima igitur sumptio vocis, procedit, ad manifestius translatæ est huiusmodi, Vox per asperam arteriam emittitur. Post hanc succedit alia, nempe hæc, Si autem sit à cerebro emissa, non per asperam arteriam emittitur. Hanc dico sumptionem non solùm non ex primo genere sumptionum ad demonstrationes conuenientium emanasse, imò ne ex secundo quidem & tertio: sed in quarto sophisticarum sumptionum genere continetur; siquidem figura quædam dictionis sublatet, astutè & captiosè ad ambiguitatem fabricata, vnde reprehensionem effugere se sperabat. Hæc enim si à cerebro procederet, nòn per asperam arteriam procederet, perperam ac male habet præpositionem, à, orationi iniectam. Duæ enim sunt in eiusmodi omnibus sermonibus manifestæ præpositiones, nempe à & ex, quarum neutram assumpsit, etsi posset dicere, si ex cerebro procederet, non per asperam arteriam procederet, vel si non ex cerebro certè à cerebro dicere ipsum oportebat. Etenim vox per asperam arteriam emissa, & ab aliquo emittitur: ex aliquo, vt vase continente: ab aliquo, vt virtute, quæ id quod continet mouet, quemadmodum denique & vrina egreditur quidem per penem, emittitur autem ex vase, nempe vesica subiecta, à facultate autem, quæ vesicam in se comprimit, vt vrina exprimatur. Cæterùm præpositio à siue pro ex, siue pro ab sit accepta, incertum est. Si igitur loco, ex, capiatur, vera est oratio. Erit enim rursus huiusmodi: Si à cerebro vox esset emissa, non per asperam arteriam emitteretur. Quòd si in vicem præpositionis à capiatur, falsa. Rursus enim erit talis. Si à cerebro emitteretur, non per asperam arteriam exiret. Quòd autem oratio huiusmodi vera non sit, nihil opus habeo vt ego probem, sed illos ipsos de hoc sententiam ferre censeo. Vrina per penem emittitur; quòd si à corde emitteretur, non per pudendum exiret. Quin & nostro arbitrio emittitur, non igitur in corde est arbitrium. Sic autem & de recrementis alui interrogare licet; etenim hæc per sedem à nostra voluntate primò mouente emittuntur; quæ mea opinione etiam ex longissimè ab ea sitis quemlibet pedis digitum protinus mouet, nihil ex interuallo ad celeritatem impedimenti accipiens. Siue enim in cerebro, siue in corde posueris voluntatem, aut mentem, aut quomodocunque volueris appellare, (nihil enim ad præsens institutum interest) nullum tempus reperietur interea transire, dum volueris digitum mouere, & inter ipsius actionem: quemadmodum mea sententia etiam in sensu habet. Non enim in hoc expectare oportet aliquod tempus punctionis, aut vulnerationis, vt sentiat animal, sed simul & secans secat, & animal sentit. Atque hoc volunt Zeno & Chrysippus vnà cum vniuerso suo cœtu, nempe motum qui ex foris accidente in parte factus

χεν. ἠναγκάσθην οὖν αὐτὸς τὰ τῶν ἄλλων Στωϊκῶν παραναγινώσκειν βιβλία, μεταλαμβανόντων τὴν λέξιν, ἢ εἰς τὸ ἐξέρχεται, ἢ εἰς τὸ ἐκπέμπεται, καθάπερ καὶ νῦν ἀπέδειξα Χρύσιππόν τε καὶ Διογένην, μεθ' οὓς οὐκ ἀναγκαῖον ἡγοῦμαι τὰς τῶν ἄλλων παραγράφειν ῥήσεις, ἀλλ' ἐπὶ τὴν ἐξέτασιν αὐτῶν ἤδη τρέψομαι, τὴν ἀρχὴν ἀπὸ τοῦ Ζήνωνος ποιησάμενος, ὅσπερ δὴ καὶ πατήρ ἐστι τούτῳ περὶ τῆς φωνῆς λόγου τοῦδε, καὶ ἁπάσης τῆς τῶν Στωϊκῶν αἱρέσεως. τὸ μὲν οὖν πρῶτον λῆμμα τῆς χωρὶς φωνῆς μεταληφθείσης ἐπὶ τὸ σαφέστερον, ἔσται τοιόνδε. φωνὴ διὰ φάρυγγος ἐκπέμπεται. τὸ δὲ ἐφεξῆς τούτῳ τὸ δεύτερον τοιοῦτον. εἰ δὲ ἦν ἀπ' ἐγκεφάλου ἐκπεμπομένη, οὐκ ἂν διὰ φάρυγγος ἐξεπέμπετο. τοῦτό φημι τὸ λῆμμα, μὴ ὅτι τοῦ πρώτου γένους ἐκπεπτωκέναι τῶν εἰς τὰς ἀποδείξεις ἐπιτηδείων, ἀλλὰ καὶ τοῦ δευτέρου τε καὶ τρίτου. περιέχεσθαι δὲ ἐν τῷ τετάρτῳ γένει τῶν σοφιστικῶν λημμάτων, εἴ γε δὴ σχῆμά τι λέξεως ὑποδύεται πεπανουργημένον τε καὶ σεσοφισμένον πρὸς ἀμφιβολίαν, ἐκ ταύτης τὸν ἔλεγχον ἐλπίζων ἀποδράσεσθαι. τὸ γάρ, εἰ δ' ἦν ἀπὸ τοῦ ἐγκεφάλου χωροῦσα, οὐκ ἂν διὰ φάρυγγος ἐχώρει, μοχθηρῶς ἔχει τὴν, ἀπό, πρόθεσιν ἐγκειμένην τῇ ῥήσει. δύο γάρ εἰσιν ἐν ἅπασι τοῖς τοιούτοις λόγοις σαφεῖς προθέσεις, ἥτε, ὑπό, καὶ ἡ ἐξ· ὧν οὐδεμίαν παρέλαβεν. καίτοι δυνάμενος εἰπεῖν. εἰ δ' ἦν ἐκ τοῦ ἐγκεφάλου χωροῦσα, οὐκ ἂν διὰ φάρυγγος ἐχώρει. ἢ εἰ μή, ἐκ τοῦ ἐγκεφάλου, ὑπὸ τοῦ ἐγκεφάλου γε πάντως ἐχρῆν εἰπεῖν αὐτόν. ἡ γὰρ διὰ τοῦ φάρυγγος ἐκπεμπομένη φωνή, ἔκ τινός τε καὶ ὑπό τινος ἐκπέμπεται. ἔκ τινος μὲν ὡς ἀγγείου περιέχοντος, ὑπό τινος δ' ὡς δυνάμεως κινούσης τὸ περιέχον. ὥσπερ ἀμέλει καὶ τὸ οὖρον ἐξέρχεται μὲν διὰ τοῦ αἰδοίου, ἐκπέμπεται δ' ἐξ ἀγγείου μὲν τῆς ὑποκειμένης κύστεως, ὑπὸ δυνάμεως δὲ τῆς τὴν κύστιν συστελλούσης εἰς ἑαυτήν, ἵν' ἐκθλίψῃ τὸ οὖρον. ἡ δ', ἀπό, πρόθεσις ἄδηλός ἐστιν, εἴτε ἀντὶ τῆς, ἐξ, εἴτε ἀντὶ τῆς ὑπό, παρείληπται. εἰ μὲν οὖν ἀντὶ τῆς, ἐξ, ἀληθής ἐστιν ὁ λόγος. ἔσται γὰρ τοιοῦτος. εἰ δὲ ἦν ἐκ τοῦ ἐγκεφάλου ἐκπεμπομένη ἡ φωνή, οὐκ ἂν διὰ τοῦ φάρυγγος ἐξεπέμπετο. εἰ δ' ἀντὶ τῆς ὑπό, ψευδής. ἔσται γὰρ αὖ πάλιν τοιοῦτος. εἰ δὲ ἦν ὑπὸ τοῦ ἐγκεφάλου ἐκπεμπομένη, οὐκ ἂν διὰ τοῦ φάρυγγος ἐξῄει. ὅτι δ' οὐκ ἀληθής ἐστιν ὁ τοιοῦτος λόγος, οὐκ ἐμὲ χρὴ κατασκευάζειν, ἀλλ' ἐκείνους αὐτοὺς ἀξιοῦν ἀποφήνασθαι πρότερον ὑπὲρ τοῦ τοιούτου λόγου, τὸ οὖρον διὰ τοῦ αἰδοίου χωρεῖ. εἰ δὲ ἦν ὑπὸ τῆς καρδίας ἐκπεμπόμενον, οὐκ ἂν διὰ τοῦ αἰδοίου ἐξῄει. καὶ μὴν ὑπὸ προαιρέσεώς γε τῆς ἡμετέρας ἐκπέμπεται. οὐκ ἄρα ἐν τῇ καρδίᾳ ἐστὶν ἡ προαίρεσις. οὕτω δὲ καὶ περὶ διαχωρήματος ἐρωτᾶν ἐγχωρεῖ. καὶ γὰρ καὶ τοῦτο διὰ μὲν τῆς ἕδρας, ὑπὸ τῆς ἡμετέρας προαιρέσεως πρώτης κινούσης ἐκπέμπεται, ἥτις, οἶμαι, καὶ τῶν πορρωτάτω κειμένων ἑαυτῆς δάκτυλον ὄντινα οὖν, τῶν ἐν ποδί, κινεῖ παραχρῆμα, μηδὲν ἐκ τοῦ διαστήματος, ἐμποδιζομένη πρὸς τὸ τάχος. εἴτε γὰρ ἐν ἐγκεφάλῳ θείης, εἴτ' ἐν καρδίᾳ τὴν προαίρεσιν, ἢ διάνοιαν, ἢ ὅ, τί ποτε καὶ βούλει καλεῖν, οὐδὲν γὰρ εἰς τὰ παρόντα διαφέρει, χρόνος οὐδεὶς εὑρεθήσεται μεταξὺ γιγνόμενος τοῦ τε βουληθῆναι κινῆσαι τὸν δάκτυλον, καὶ τῆς ἐνεργείας αὐτοῦ. καθάπερ, οἶμαι, κἀπὶ τῆς αἰσθήσεως ἔχει. οὐ γὰρ οὖν οὐδ' ἐπὶ ταύτης ἀναμεῖναι δεῖ χρόνον τινὰ τοῦ νύξαντος ἢ τρώσαντος, ἵν' αἴσθηται τὸ ζῷον, ἀλλ' ἅμα τε τὸ τέμνον τέμνει, καὶ τὸ ζῷον αἰσθάνεται. καὶ τοῦτο βούλεταί γε Ζήνων καὶ Χρύσιππος ἅμα τῷ σφετέρῳ χορῷ παντί, διαδίδοσθαι τὴν ἐκ τοῦ προσπεσόντος ἔξωθεν ἐγγε-

νομένην τῷ μορίῳ κίνησιν εἰς τὴν ἀρχὴν τῆς ψυχῆς, ἵν᾽ αἰσθάνηται τὸ ζῶον. ὡς οὖν οὐδείς ἐστι χρόνος αἰσθητὸς ἐν τῷ μεταξὺ τοῦ τρωθῆναί τε τὸ μόριον, αἰσθέσθαι τε τὸ ζῶον, ὡσαύτως οὐδὲ τοῦ βουληθῆναι κάμψαι τὸν ἄνθρωπον δάκτυλον, ἢ τὸν πόδα, καὶ αὐτῆς τῆς ἐνεργείας. οὕτως οὐδὲ τοῦ βουληθῆναι τὸ οὖρον ἐκκρῖναι καὶ αὐτῆς τῆς ἐκκρίσεως, ἀλλ᾽ ἅμα τε τὸ τῆς ψυχῆς ἡγεμονικὸν ἐβουλήθη καὶ τὰ τῆς αἰσθήσεως ἐνήργησεν ὄργανα. πῶς οὖν λυσόμεθα ἐκεῖνον τὸν λόγον, ὦ σοφώτατοι, εἰ ἦν ὑπὸ τῆς καρδίας ἐκπεμπόμενον τὸ οὖρον, οὐκ ἂν διὰ τοῦ αἰδοίου ἐξεκρίνετο; ἣν γὰρ ἂν εἴπητε λύσιν, ἐξέσται δήπου καὶ ἡμᾶς αὐτῇ χρήσασθαι. κατὰ μὲν δὴ τοὺς διαλόγους ἐκείνους, ἀναγκάζειν χρὴ λύειν τὸν λόγον. ἐνταῦθα δὲ οὐκ ἐγχωρεῖ ποιεῖν οὕτως, ἀλλὰ χρὴ τὴν λύσιν αὐτοὺς εἰπεῖν, οὐδὲν ἔχουσαν ἀποκεκρυμμένον, ἢ μακρὸν ἢ χαλεπὸν, ἀλλ᾽ ἐκ προχείρου φαινομένην. οὐδὲν γὰρ κωλύει φήσομεν ἐκ τῆς κύστεως ἐκκρίνεσθαι διὰ τοῦ αἰδοίου τὸ οὖρον, ἀρχὴν κινήσεως ἐπιπέμψαντος τοῦ ἡγεμονικοῦ, ἵνα συσταλῇ τὸ περιέχον ἀγγεῖον. λοιπὸν, εἴτ᾽ ἐγκέφαλός ἐστιν, εἴτε καρδία τὸ τῆς ψυχῆς ἡγεμονοῦν, οὐδὲν, οἶμαι, διαφέρει εἴς γε τὴν τοῦ προκειμένου λόγου διάλυσιν. ἄν τε γὰρ ἐγκέφαλος ᾖ, τὴν ἀρχὴν τῆς κινήσεως, αὐτὸς ἐπιπέμψει, καὶ τοῖς τὸ οὖρον ἐκκρίνουσιν ὀργάνοις, καὶ τοῖς τὸ περίττωμα τῆς ἕδρας, καὶ τοῖς τὸ σκέλος κινοῦσι, καὶ τοῖς τὸν πόδα, καὶ τοὺς δακτύλους, ἄν θ᾽ ἡ καρδία, κατὰ τὸν αὐτὸν τρόπον. οὕτως, οἶμαι, καὶ τῆς φωνῆς ἐκπεμπομένης διὰ φάρυγγος, οὐδὲν κωλύει τὸν ἐγκέφαλον αἴτιον ὑπάρχειν τῆς περὶ τὴν φάρυγγα κινήσεως, ὥστ᾽ ἴσον ἔτι μένει τὸ ζητούμενον ἐξ ἀρχῆς, οὐδὲν ἔκ γε τοῦ φαινομένου πρὸς οὐδέτερον τῶν δογμάτων ἐπικλίνειν. ὡς γὰρ ἐπὶ τῆς κατὰ κύστιν καὶ τὴν ἕδραν κινήσεως ἄδηλον ὑπῆρχε, πότερον ἐγκέφαλος ἢ καρδία τὴν ἀρχὴν ἔχει, κατὰ τὸν αὐτὸν τρόπον ἐπί τε φωνῆς καὶ ἀναπνοῆς ὁμοίως ἔτ᾽ ἄδηλον ὁπότερον τῶν σπλάγχνων ἔχει τὴν ἡγεμονίαν, ἀλλ᾽ ὡς εἴρηταί μοι καὶ πρόσθεν ἡ τῆς θέσεως ἐγγύτης, ἑκατέρους ἐξαπατῶσα, φαντασίαν ἀποτελεῖ τῶν λημμάτων, ὡς ἐπιστημονικῶν τε καὶ πρὸς ἀπόδειξιν ἐπιτηδείων. οὐ μὴν οὕτως γ᾽ ἔχει τἀληθές. ὅ, τε γὰρ ἁπάντων ἀρχὴν ὑποτιθέμενος εἶναι τὴν καρδίαν, οὐκ εὐλαβηθήσεται τὴν τῶν ὀφθαλμῶν ἐγγύτητα, ὡς μὴ καὶ τούτους ἀπ᾽ ἐκείνης ὥσπερ πηγῆς τινος ἀρύεσθαι φάναι τὴν αἴσθησίν τε καὶ κίνησιν. ὅ, τε τὸν ἐγκέφαλον, οὐκ ἄλλό τι μόριόν φησιν ἀρχὴν εἶναι τῆς τῶν ἀναπνευστικῶν τε καὶ φωνητικῶν ὀργάνων κινήσεως, ἀλλ᾽ ἐκεῖνον, ὥσπερ τοῖς ἄλλοις ἅπασιν ἐξηγεῖσθαι τῆς κατὰ προαίρεσιν κινήσεως, οὕτως καὶ τοῖσδε. ἅπερ οὖν ἐν ταῖς περὶ τῆς ἀποδείξεως μεθόδοις ἐδιδάχθημεν καθόλου, ταῦθ᾽ εὑρίσκεται κατὰ μέρος ἐπὶ πάσης ὕλης πραγμάτων ἀληθεύοντα. χρὴ γὰρ οὐκ ἀπὸ πάντων τῶν ὑπαρχόντων τῷ προκειμένῳ πράγματι τἀληθὲς λαμβάνειν, ἀλλ᾽ ἀπὸ μόνου τοῦ συνημμένου τῷ προβλήματι. Ζήνων δὲ καὶ Χρύσιππος, καὶ Διογένης οἵ τ᾽ ἄλλοι Στωϊκοὶ, κἂν μυριάκις ἐπὶ τῷ λόγῳ θαρρῶσιν, οὐχ εὕρωσιν ἀπολογήσασθαι περὶ τῶν ἁμαρτημάτων αὐτοῦ. τὸ γάρ τοι δεύτερον λῆμμα τὸ κατ᾽ αὐτὸν, εἰ μὲν ἀκριβῶς τε ἅμα καὶ σαφῶς καὶ διωρισμένως εἴρητο, τῶν ἐκ δευτέρου γένους ἓν ἂν ἐφωράθη πάντως ὑπάρχον. ἐπεὶ δὲ κατὰ τὸ τῆς λέξεως σχῆμα πεπανουργημένην ἀμφιβολίαν ἐπεσπάσατο, τοῦ τετάρτου γένους ἐν τούτῳ μετέσχεν. εἰ μὲν οὖν γινώσκων αὐτοῦ τὴν πανουργίαν ὁ Ζήνων ἑκὼν προσεχρήσατο, σοφιστὴς ἂν εἴη τις μᾶλλον ἢ φιλόσοφος· εἰ δὲ ἀγνοήσας, ἄκων

A est, in animæ principium distribui, quo animal sentiat. Vt igitur nullum sensibile tempus est interea dum pars vulneratur, & animal sentit: ita neque interim dum homo digitum curuare vult aut pedem, & interim dum actionem obit, tempus intercedit. Ita nec inter voluntatem conceptam vrinæ emittendæ & ipsam excretionem: verùm simul atque animæ principatus voluerit, etiam sensus organa operantur. Quomodo igitur sermonem illum, ô viri sapientissimi, soluemus, quòd si vrina à corde emitteretur, non per penem excerneretur? Quamcunque enim solutionem dixeritis, licebit nimirum & nos ea vti. B Siquidem igitur cum præsentibus aduersariis disceptatio esset illam rationem soluere cogere oporteret. Hîc autem non ita licet facere, sed solutionem ipsos dicere conuenit, quæ nihil habet obscurum aut prolixum, aut difficilè, sed promptè apparet. Nihil enim (dicemus) impedit, ex vesica vrinam per penem excerni, si princeps animæ pars motus initium immiserit, vt vas quod continet, comprimatur. Reliquum, siue cerebrum, siue cor animæ sit principatus, nihil opinor ad propositæ orationis dissolutionem referre. Siue enim cerebrum sit mouendi C principium, ipsum sufficiet instrumentis, & vrinam aluique recrementa excernentibus, & crura & pedem & digitum mouentibus: siue cor, eodem modo. Ita, arbitror, & voce per asperam arteriam emissa, nihil prohibet cerebrum motus asperæ arteriæ esse causam: quare par adhuc manet quæstio ab initio instituta, nihil ex eo quod apparet ad alterutrum dogma inclinare. Sicut enim in vesicæ & sedis motu incertum erat cerebrúmne an cor principatum obtineret, eodem modo in voce & respiratione similiter adhuc obscurum est vtrum viscus prin- D cipatum habeat. Sed vt à me dictum est iam antea, situs vicinitas vtrisque imponens, sumptionum tanquam scientificarum, & ad demonstrationem conuenientium imaginem exhibet, non tamen ita rei veritas se habet. Etenim qui omnium originem cor esse statuit, non verebitur oculorum vicinitatem, tanquam non & hos dicat ab illo ceu fonte quodam sensum motúmque haurire. Qui cerebrum ponit, non aliam quampiam partem respiratoriorum, & vocalium instrumentorum motus principium esse dicit, sed illud, quemadmodum E aliis omnibus, ita & his motum arbitrarium suppeditare. Quæ igitur in methodis de demonstratione vniuersaliter docuimus, hæc particulatim in omni rerum materia vera deprehenduntur; quippe non ab omnibus quæ rei propositæ insunt, veritatem capere oportet, sed ab eo solo quod problemati coniunctum est. Zeno autem; Chrysippus, & Diogenes, aliique Stoici & si millies rationi confidant, non possent defensionem errorum ipsius inuenire. Nam secunda sumptio quæ per se sumitur, siquidem exactè simul & manifestè ac di- F stinctè dicta esset, ex secundo sumptionum genere vna omnino esse deprehenderetur. Quoniam verò iuxta dictionis figuram, captiosè structam ambiguitatem contraxit, in quartum genus hac de causa transiuit. Si itaque vafritiam subdolam ipsius cognoscens Zeno sponte vsus fuisset, sophista potius aliquis quàm philosophus haberetur: si ignorans & inuitus,

logicæ ſpeculationis imperitus, inexercitatúſque. Verùm nos neque ſponte vnquam eiuſmodi ſermonibus vſi ſumus (etenim vafritia ſubdola & improba, viri eſt hoſtis veritatis) neque imprudentes præ inſcitia, ſimul & exercitationis inopia in ipſos incidimus. Porrò ſimilem ſecundæ ſumptioni, etiam quarta obtinet abſurditatem in qua dicit, *Sermo à mente procedit*. Siquidem hic ſermo, aut vox ſignificans, à mente emittitur, quemadmodum etiam alia omnia quę ſecundum voluntatem fiunt, non tamen ex mente, ſed ex larynge. Prius autem nondum vox id quod effertur exiſtit, ſed vt diximus, materia quædam vocis propria, quam efflationem nuncupamus. Emittitur autem ex aſperis pulmonis arteriis, quarum nulla cor attingit. Itaque Zeno, ſiue imprudenter, ſiue de induſtria obſcura dictione vſus eſt, in quartam ſumptionum ſpeciem incidit, Diogenes autem plèrumque in ſecundam: ſemel autem & ipſe in quartam. Quum enim dicit, Vnde vox emittitur: & quando ait, Vox non ex capitis locis emittitur, ſed palam ex inferioribus potius: ex ſecundo genere argumentorum ſumptionibus vtitur. Quando autem inquit ſermonem à mente emitti, quum oporteret dicere abs mente, quarto genere argumentationum vtitur. Huius errorum redargutio eadem eſt, qua Zenonis ſermonem reprehendimus. Sic autem & Chryſippus, quum dicat etiam, ex quo ſermo emittitur illam eſſe principem animæ partem, ſermonem reciprocè & ex aduerſo accipiemus; dicemúſque, abs quo ſermo emittitur, illud principatum exiſtere, non tamen ex quo. Ad eundem modum quum inquit, in totum vnde ſermo emittitur, illinc oportet & ratiocinationem fieri; non vnde dicemus, ſed abs qua parte ſermo emittitur, ſecundum illam quoque ratiocinandi vim, & in illa fieri. Conſtat enim quòd loco, illic, Chryſippus illuc dixit, quod æquipollet ei quod eſt in illa corporis parte. Non enim putandum eſt voluiſſe eum indicare in illam particulam, quum dixit illuc, quamuis præcipuè hoc illuc ad locum ſignificat; illic autem in loco. Etenim putandum eſt potius Chryſippum in voce ſolœciſmum committere, quàm tam manifeſtè incomprehenſibilia dicere. Quippe hoc ipſi ſatis peculiare, & tantum non in vnaquaque dictione committitur, incomprehenſibilia verò dicere, nequaquam. Aliquando enim falſa dicit, quemadmodum & in hoc ſermone, ſed non quæ non poſſint apprehendi. Differt enim plurimum falſum ab eo quod nequit intelligi. Quoniam igitur illuc pro illic, dictum eſſe à Chryſippo probabilius eſt, oratio in græcorum proprietatem tranſſumpta talis fuerit. Vnde ſermo emittitur, illic oportet & ratiocinationem fieri; hoc eſt, in illa particula; ſed mendacium id manifeſtò eſſe dicemus. Non enim ſiquid iuxta voluntatem ex aliquo emittitur, in illa particula mentem eſſe oſtendit; ſicut neque vrina, neque ſputum, neque mucor, neque alui ſedimentum. Apparet autem hoc feſelliſſe Zenonem primùm & præcipuè, & poſt eum iam alios Stoïcos, maximè verò & Chryſippum, quantum ad commemoratam prius orationem pertinet. Nam in alia quadam non multò poſt ſubſequente coactus eſt verum fateri, coactum eſſe dixi, quòd aliud ſer-

ἐχρήσατο, λογικῆς θεωρίας ἀγύμναστος. ἀλλ' ἡμεῖς γε μήθ' ἑκόντες ποτὲ τοιούτοις χρησαίμεθα λόγοις, ἐχθροῦ γὰρ ἀληθείας ἀνδρὸς τὸ πανούργημα, μήτ' ἄκοντες ὑπὸ ἀμαθίας τε ἅμα καὶ ἀγυμνασίας ἐμπίπτοιμεν εἰς αὐτούς. ὁμοίαν δὲ ἔχει τῷ δευτέρῳ λήμματι καὶ τὸ τέταρτον ἀτοπίαν, ἐν ᾧ φησιν, ὁ λόγος ἀπὸ διανοίας χωρεῖ. ὁ γάρτοι λόγος οὗτος, ἡ σημαίνουσα φωνή, ὑπὸ μὲν τῆς διανοίας ἐκπέμπεται, καθάπερ καὶ τἄλλα πάντα τὰ κατὰ προαίρεσιν ἐνεργούμενα. οὐ μὴν ἐκ τῆς διανοίας γε, ἀλλὰ ἐκ τοῦ λάρυγγος. ἔμπροσθεν δὲ οὐδέ πω φωνὴ τὸ ἀναφερόμενόν ἐστιν, ἀλλ' ὡς ἔφαμεν ὕλη τις οἰκεία φωνῆς ἣν ὀνομάζομεν ἐκφύσησιν. ἐκπέμπεται δὲ ἐκ τῶν κατὰ πνεύμονα τραχειῶν ἀρτηριῶν, ὧν οὐδεμία τῆς καρδίας ἅπτεται. ὁ μὲν οὖν Ζήνων εἴτε ἄκων, εἴτε ἑκὼν, ἀσαφεῖ τῇ λέξει χρησάμενος, εἰς τὸ τέταρτον εἶδος ἐκπέπτωκε τῶν λημμάτων. ὁ Διογένης δὲ τὰ πολλὰ μὲν εἰς τὸ δεύτερον, ἅπαξ δέ που καὶ αὐτὸς εἰς τὸ τέταρτον. ὅταν μὲν γὰρ λέγῃ ὅθεν ἡ φωνὴ ἐκπέμπεται, καὶ ὅταν ἡ δὲ φωνὴ, οὐκ ἐκ τῶν κατὰ τὴν κεφαλὴν τόπων ἐκπέμπεται, ἀλλὰ φανερῶς ἐκ τῶν κάτω μᾶλλον, ἐκ τοῦ δευτέρου γένους τῶν ἐπιχειρημάτων χρῆται τοῖς λήμμασιν. ὅταν δέ φησι τὸν λόγον ἀπὸ διανοίας ἐκπέμπεσθαι, δέον ὑπὸ διανοίας φάναι, τῷ τετάρτῳ χρῆται γένει τῶν ἐπιχειρημάτων. ὁ δὲ ἔλεγχος καὶ τῶν τούτου σφαλμάτων ὁ αὐτὸς τῷ προγεγραμμένῳ κατὰ τὸν τοῦ Ζήνωνος λόγον. οὕτω δὲ καὶ ὁ Χρύσιππος, ἐπειδὰν μὲν λέγῃ καὶ ἐξ οὗ ὁ λόγος ἐκπέμπεται, ἐκεῖνο εἶναι τὸ κυριεῦον τῆς ψυχῆς μέρος. ἀντιληψόμεθα τοῦ λόγου καὶ φήσομεν, ὑφ' οὗ μὲν ὁ λόγος ἐκπέμπεται, τὸ κυριεῦον ὑπάρχειν, οὐ μὴν ἐξ οὗ γε. κατὰ δὲ τὸν αὐτὸν τρόπον, κἀπειδὰν εἴπῃ, τὸ γὰρ ὅλον ὅθεν ὁ λόγος ἐκπέμπεται, ἐκεῖσε δεῖ καὶ τὸν διαλογισμὸν γίνεσθαι. οὐχ ὅθεν φήσομεν, ἀλλ' ὑφ' οὗ μέρους ὁ λόγος ἐκπέμπεται, καὶ τὸ λογίζεσθαι κατ' ἐκεῖνό τε καὶ ἐν ἐκείνῳ γίγνεσθαι. δῆλον γὰρ δὴ, ὅτι τὸ ἐκεῖσε, ἀντὶ τοῦ ἐκεῖ ὁ Χρύσιππος εἴρηκεν, ὅπερ ἴσον δύναται τῷ ἐν ἐκείνῳ τῷ μέρει τοῦ σώματος. οὐ γὰρ δὴ τόγε εἰς ἐκεῖνο τὸ μόριον ἡγητέον αὐτὸν βούλεσθαι δηλοῦν, ἐν τῷ λέγειν ἐκεῖσε, κἂν ὅτι μάλιστα τὸ μὲν ἐκεῖσε εἰς τόπον ᾖ δηλοῦν, τὸ δὲ ἐκεῖ, ἐν τόπῳ. σολοικίζειν γὰρ μᾶλλον ὑποληπτέον ἐν τῇ φωνῇ τὸν Χρύσιππον, ἤπερ οὕτω προφανῶς ἀδιανόητα λέγειν. τὸ μὲν γὰρ ἱκανῶς συνήθες αὐτῷ, καὶ μόνον οὐ καθ' ἑκάστην ῥῆσιν γινόμενον. τὸ δ' ἀδιανόητα λέγειν, οὐδαμῶς. ἐνίοτε γάρ που καὶ ψευδῆ λέγει, καθάπερ καὶ κατὰ τοῦτον τὸν λόγον, ἀλλ' οὐκ ἀδιανόητά γε. διαφέρει γὰρ πάμπολυ τὸ ψεῦδος τοῦ ἀδιανοήτου. ἐπεὶ τοίνυν τὸ ἐκεῖσε ἀντὶ τοῦ ἐν ἐκείνῳ πιθανώτερόν ἐστιν εἰρῆσθαι πρὸς τοῦ Χρυσίππου, γένοιτ' ἂν ἡ ῥῆσις εἰς τὴν τῶν Ἑλλήνων διάλεκτον μεταληφθεῖσα τοιάδε. ὅθεν ὁ λόγος ἐκπέμπεται, ἐκεῖ δεῖ καὶ τὸν διαλογισμὸν γίγνεσθαι, τουτέστιν ἐν ἐκείνῳ τῷ μορίῳ. τοῦτο δὲ φήσομεν ἄντικρυς εἶναι ψεῦδος. οὐ γάρ εἴ τι κατὰ προαίρεσιν ἔκ τινος ἐκπέμπεται, κατ' ἐκεῖνο τὸ μόριον δείκνυται τὴν διάνοιαν ὑπάρχειν. καθάπερ οὐδὲ τὸ οὖρον, οὐδὲ τὸ πτύελον, οὐδὲ ἡ κόρυζα, οὐδὲ τὸ ἀποπάτημα. φαίνεται τοίνυν τοῦτο σφῆλαι τόν τε Ζήνωνα πρῶτον καὶ μάλιστα, καὶ μετ' αὐτὸν ἤδη τοὺς ἄλλους Στωϊκούς. οὐχ ἥκιστα δὲ καὶ τὸν Χρύσιππον ὅσον γε ἐπὶ τῇ προγεγραμμένῃ ῥήσει. κατὰ μὲν γὰρ ἄλλην τινὰ μετ' οὐ πάνυ πολὺ ταύτης γεγραμμένην, ἠναγκάσθη τὸ ἀληθὲς ὁμολογῆσαι, ἀναγκασθῆναι δὲ εἶπον, ὅτι λόγον ἕτερον ἀνατρέψαι βου-

λόμενος ὡς οὐκ ἀληθῆ. κἄπειτα τὸ τῆς ἀντιλογίας εἶδος, αἰσθόμενος, οὐδὲν ἧττον ἐπιστρέφον καὶ καθ' ἑαυτοῦ, συνανατρέψαι καὶ τὸν ἴδιον οὐκ ὤκνησε τῷ τῶν ἑτεροδόξων. ἐχρῆν δ' αὖ, ἢ μὴ ταῦτα γράφειν, ἢ μὴ ἐκεῖνα, καὶ μάλιστα πλησίον οὕτως ἀλλήλων. εἰ μὲν γὰρ ἀληθὴς οὗτος ὁ λόγος, οὐκ ἀληθὴς ἐκεῖνος. εἰ δ' ἐκεῖνος ὑγιής, κίβδηλος οὗτος. ἡμεῖς μὲν οὖν ἐπιστημονικαῖς μεθόδοις γεγυμνασμένοι, γνωρίζειν τε καὶ διακρίνειν δυνάμεθα τόν τε ἀληθῆ καὶ τὸν ψευδῆ. τοῖς δ' ἀγυμνάστοις οὐ σμικρὸν ἂν εἴη ζήτημα, πότερον αὐτῶν ἕλωνται. παραγράψω δὲ καὶ τὴν ῥῆσιν αὐτὴν ἐν ᾗ δείκνυσιν ὁ Χρύσιππος, ὡς οὐκ ἔστιν ὁ προγεγραμμένος λόγος ἀποδεικτικός. ἔστι δὲ τοιάδε. ἔχει δ' ὡς ἔφην πλείονα αὐτοῖς ἐπὶ πᾶσι, μή ποτ' εἰ καὶ τοῦτο δοθείη, καθάπερ ἐπιπορεύονται ἀπὸ τῆς κεφαλῆς εἶναι τὴν ἀρχὴν ἐπὶ τὰ εἰρημένα μέρη ἐπιζητήσομεν. σχεδὸν γὰρ οἷα ἄν τινα λέγοι περὶ τοῦ τὴν φωνὴν ἐκ τοῦ στήθους φέρεσθαι διὰ τῆς φάρυγγος ἀπὸ τῆς κεφαλῆς ποιᾶς τινος καταρχῆς γινομένης, τοιαῦτ' ἔξεστι λέγειν, ἐν τῇ καρδίᾳ μὲν τοῦ ἡγεμονικοῦ ὄντος, τῆς δὲ τῶν κινήσεων ἀρχῆς ἀπὸ τῆς κεφαλῆς οὔσης. ὃ δὴ γὰρ βούλεται λέγειν ὁ Χρύσιππος ἐν τῇδε τῇ ῥήσει, τοιοῦτόν ἐστιν. εἰ καὶ συγχωρήσειέ τις ἀρχὴν εἶναι νεύρων τὴν κεφαλήν, οὐ πάντως ἐν αὐτῇ συγχωρήσει τὸ ἡγεμονικὸν ὑπάρχειν. ἃ γὰρ ἐκεῖνοι δύνανται λέγειν περὶ τοῦ τὴν φωνὴν ἐκ τοῦ στήθους διὰ τῆς φάρυγγος ἐκφέρεσθαι, τὴν ἀρχὴν τῆς ἐνεργείας τοῖς μορίοις ἐπιπεμπούσης τῆς κεφαλῆς, τοιαῦτ' ἔξεστι λέγειν περὶ τῶν νεύρων ἡμῖν. ὡς ἐκ μὲν τῆς κεφαλῆς ἀρχομένων, ἀπὸ δὲ τῆς καρδίας τὴν ἐνέργειαν ἐχόντων. ὥσθ' ὅτι δυνατόν ἐστιν ἐκ τοῦ στήθους τε καὶ διὰ τῆς φάρυγγος ἐκπέμπεσθαι τὴν φωνήν, ἀρχὴν τῆς κινήσεως τοῖς ἐνταῦθα μορίοις παρεχούσης τῆς κεφαλῆς, αὐτὸς ὁ Χρύσιππος ὡμολόγησεν. οὐκοῦν χρηστέον ἐστὶν ὡς ἀποδεικτικῷ τῷ λόγῳ, καθάπερ οἱ πλεῖστοι τῶν Στωϊκῶν ὑπειλήφασιν. ἐπιχειρεῖται γὰρ ὡς εἶπον ἀπὸ τῆς κατὰ τὴν θέσιν ἐγγύτητος, ὅθεν καὶ λείπειν ἡγητέον τῷ τοῦ Ζήνωνος λόγῳ λήμματα πρὸς τὸ τελέως ἠρωτῆσθαι. διαχθείη δὲ ἂν ἐναργέστερον τοῦτο, τῶν λημμάτων μεταληφθέντων ἐπὶ τὸ σαφέστερον, ὡς εἶναι τὸν λόγον τοιόνδε· φωνὴ διὰ φάρυγγος ἐκπέμπεται. εἰ δὲ ἦν ἐκ τοῦ ἐγκεφάλου ἐκπεμπομένη, οὐκ ἂν διὰ φάρυγγος ἐξεπέμπετο. ὅθεν δὲ λόγος, καὶ φωνὴ ἐκεῖθεν ἐκπέμπεται. λόγος δὲ ἐκ διανοίας ἐκπέμπεται, ὥστ' οὐκ ἔστιν ἐν τῷ ἐγκεφάλῳ ἡ διάνοια. τὸ μὲν οὖν πρῶτον λῆμμα τῶν πρὸς αἴσθησιν ἐναργῶν ἐστιν, ὥστ' οὐδ' ἀποδείξεως αὐτὸ δεῖται. πιστὰ γὰρ ἐξ αὐτῶν ὑπάρχει πάντα τὰ πρὸς αἴσθησιν ἐναργῆ. τὸ δὲ δεύτερον, οὔτε τῶν πρὸς αἴσθησιν, οὔτε τῶν πρὸς νόησιν ἐναργῶν ἐστι. τὴν ἀρχὴν γὰρ, οὐδὲ ἐκ τῶν πρώτων ἀξιωμάτων ὑπάρχει. ἀλλ' ἐχρῆν ὧδέ πως ἐρωτηθῆναι τὸν λόγον· εἴπερ ἐκ τῶν πρώτων τε καὶ ἀποδεικτικῶν ἤμελλεν ἄρχεσθαι. φωνὴ διὰ φάρυγγος ἐκπέμπεται. πᾶν δὲ τὸ διά τινος ἐκπεμπόμενον, ἐκ τῶν συνεχῶν αὐτῷ μορίων ἐκπέμπεται. οὐκ ἔστι δὲ ἐγκέφαλος τῇ φάρυγγι συνεχής, οὐκ ἄρα ἐξ ἐγκεφάλου ἐκπέμπεται. μετὰ δὲ τοῦτον τὸν λόγον αὖθις ἕτερον ἐχρῆν ἐρωτᾶσθαι, τὸ συμπέρασμα λῆμμα ποιησάμενον, ὡς εἶναι τοιόνδε. τὸ, ὅθεν ἡ φωνὴ ἐκπέμπεται, ἐκεῖθεν καὶ ἡ σημαίνουσα φωνή, τουτέστιν ὁ λόγος. ἐκ δὲ διανοίας ὁ λόγος ἐκπέμπεται, ἀλλ' οὐκ ἐκ τοῦ ἐγκεφάλου· οὐκ ἄρα ἐν τῷ ἐγκεφάλῳ ἐστὶν ἡ διάνοια. οὕτω μὲν ἐχρῆν ἠρωτῆσθαι τοὺς λόγους ὑπὸ τοῦ Ζήνωνος, εἰ μηδὲν τῶν λημμάτων ἤμελλεν μήτε παραλειφθήσεσθαι, μήτε ἐκ περιττοῦ παραληφθήσεσθαι. ἔνεστι δὲ καὶ συντομώτερον ἔτι κατὰ τόνδε τὸν λόγον ἐρωτῆσαι,

A monem euertere cupiens, ceu non verum, deinde contradictionis ſpeciem ſentiens, nihilominus ſubuertentem, & contra ſeipſum non veritus eſt ſuum ſimul cum ſententia contra opinantium ſermonem euertere. Oportebat autem aut non hæc, aut non illa ſcribere, & præſertim tam ſibi inuicem propinqua. Si etenim verus hic ſermo eſt, non verus ille; quòd ſi ille ſanus, hic corruptus erit. Quare nos ſciẽtificis methodis exercitati, cognoſcere poſſumus & diſcernere verum à falſo. At inexercitatis nõ parua erit quæſtio vtrum ipſorum eligere debeant. Adſcribam verò B & verba ipſa quibus oſtendit Chryſippus ſermonem ſupra comprehenſum non eſſe demonſtratorium; ſunt autem eiuſmodi. *Res autem ſe habet vt ipſis dixi ſæpius, præter hæc omnia fortaſsè etiam ſi detur, vt poſtulatur, à capite prouenire principium in prædictas partes adhuc inquiremus. Fere enim quæcunque dixerint aliqui de eo quod vox ex pectore fertur per aſperam arteriam à capite certo quodam principio facto, talia licet dicere in corde quidem principatu animæ exiſtente, motuum verò initio à capite veniente.* Quod ſanè Chryſippus hac oratione vult dicere, tale eſt. Si etiam conceſſerit aliquis principium eſſe neruorum caput, non omnino principatum in eo eſſe conceſſerit. C Quæ enim illi poſſunt dicere de eo quod vox ex pectore per aſperam arteriam effertur, capite initium actionis tranſmittente partibus; talia licet de neruis nobis dicere tanquam à capite procedentibus, à corde autem actionem habentibus. Quapropter quòd vox ex pectore & per aſperam arteriam emittatur, capite initium motus partibus indidem exhibente, Chryſippus ipſe fieri poſſe confeſſus eſt. Non igitur ea ratione tanquam demonſtratoria vtendum eſt, quemadmodum plurimi Stoïcorum crediderunt. Siquidem D argumentatur, vt dixi, à ſitus vicinitate; vnde etiam Zenonis rationi deeſſe ſumptiones ad abſolutam quæſtionem exiſtimandum eſt. Id autem euidentiùs oſtendi poterit ſumptionibus ad manifeſtiùs tranſlatis, vt ratio ſit huiuſmodi, Vox per aſperam arteriam emittitur, quòd ſi ex cerebro emitteretur, non per aſperam arteriam exierit. Vnde autem ſermo, illinc etiam vox emittitur; ſermo autem ex mente emittitur; quare mens non eſt in cerebro. Prima itaque ſumptio ex euidentibus ſenſui eſt; ideo neque demonſtratione ipſa indiget; etenim omnia ſenſui manifeſta ex ſeipſis fidem faciunt. E Secunda verò neque ſenſu, neque intellectui, euidentium numero aſſcribitur, imò ne ex primis quidem axiomatibus exiſtit. Verùm hoc pacto ſermonem inſtituere conueniebat, ſiquidem ex primis & demonſtratoriis incepturus erat. Vox per aſperam arteriam emittitur. Omne autem quod per aliquod emittitur, ex partibus ipſi continuis emittitur: cerebrum autem arteriæ aſperæ non eſt continuum, ergo ex cerebro non emittitur. Poſt hanc rationem rurſus aliam proponere oportebat, concluſionem ſumptionis loco ponendo ad hunc modum. Vnde vox e- F mittitur, illinc & ſignificatiua vox, hoc eſt oratio; ex mente autem oratio emittitur, non autem ex cerebro: igitur mens non eſt in cerebro. Ita ſanè conueniebat Zenonem rationes inſtituiſſe, ſi nulla ſumptio neq; prætermittenda erat, neque ſupra modum aſſumenda. Iam verò licet adhuc compendioſiùs ad hunc modum diſceptare,

vtraque ratione in idem collecta. Sermo per asperam arteriam emittitur. Omne autem quod per aliquod emittitur, ex partibus ipsi continuis emittitur; quare & sermo ex partibus asperæ arteriæ continuis emittitur; at cerebrum asperæ arteriæ non est continuum; non igitur ex cerebro sermo emittitur, sed ex mente; non ergo in cerebro mens est. Licet nimirum & principem animæ partem dicere, loco nominis mentis. Pari modo dominantem, imperantem, præsidentem, & ratiocinantem, intelligentem. Nihil enim differre putandum quocunque modo velis appellare si rem subiectam eandem serues. Quòd si ita omnes rationem instituissent, neque maximè necessariam sumptionum omisisset, in qua res omnis manifestatur, videlicet, quod per aliquod emittitur, ex partibus ipsi continuis emitti, temere autem non necessaria nequaquam adiecissent, facilè erat deprehendere argumenta à situ procedere, nec rem propositam demonstrare. Nam si præpositio ex in sumptione sermonem mente emitti dicente, ponatur, falsam ipsam esse dicemus; non enim ex mente, sed abs mente ipsam emitti. At si abs præpositionem significari pro à existimemus, vt sit talis sumptio, Sermo abs mente emittitur, sumptionem veram esse pronunciabimus, cæterùm orationem nihil concludere, tanquam non omnibus sumptionibus similiter enunciatis, sed aliis præpositionem ex, aliis abs habentibus. Quòd si omnia similiter pronuncientur secundum præpositionem ex, in priore sumptione falsitas iudicabitur, si iuxta præpositionem abs, hæc quidem vera erit, generalis autem ab ipsis relicta, Pari modo particularis, ambæque falsæ erunt. Etenim vniuersalis eiusmodi euadet. Omne quod per aliquid emittitur, abs partibus ei continuis emittitur, particularis autem, sermo abs partibus quæ in aspera arteria cohærent, emittitur; non enim abs continuis, sed ex continuis verè dicetur. Ostensum itaque iam manifestò est, principalissimam sumptionem ab ipsis esse prætermissam, vel quia cauillandi studio hoc sponte voluerunt, vel quia inexercitati in arte inuiti omiserunt. Vnde etiam fallunt auditorem, qui exactè nequeat distinguere vtra sumptionum vera existat, siue ea quæ iuxta præpositionem ex enunciatur, siue quæ secundum abs, neutiquam enim ipsam ad verbum dicunt, verùm ad totius sermonis constitutionem tanquam dixissent, vtuntur. Hæc enim sumptio, Si à cerebro emitteretur, non per asperam arteriam exiret; iuxta prætermissæ sumptionis virtutem vera esse videtur. Itaque Zenonis sermo erroribus scatet, iuxta secundam sumptionem modò à me comprehensam. Primùm quidem enim, quoniam præpositionem abs assumpsit, quum conueniret vel ex vel abs. Deinde quia maximè principales prætermisit sumptiones tum vniuersalem istam, omne autem quod per aliquod mittitur, ex continuis ipsi partibus emittitur; tum particularem, quod vox & sermo ex partibus asperæ arteriæ continuis emittitur. His enim sic distinctis, si quidem iuxta prępositionem ex, vniuersæ enuncientur sumptiones, falsa erit hęc, sermonem ex mente emitti. Sin iuxta abs, tum vniuersalis quæ nunc dicitur, quicquid per aliquod emittitur, abs continuis emitti, tum particularis, sermonem abs partibus in aspera arteria sitis emitti.

A συνθέντα τοῖς λόγοις ἀμφοτέροις ἐς ταὐτόν· ὁ λόγος διὰ φάρυγγος ἐκπέμπεται. πᾶν δὲ τὸ διά τινος ἐκπεμπόμενον, ἐκ τῶν συνεχῶν αὐτῷ μορίων ἐκπέμπεται· ὥστε καὶ ὁ λόγος ἐκ τῶν συνεχῶν τῇ φάρυγγι μορίων ἐκπέμπεται. ἐγκέφαλος δὲ οὐκ ἔστι συνεχὴς τῇ φάρυγγι· οὐκ ἄρα ἐξ ἐγκεφάλου ὁ λόγος ἐκπέμπεται· ἀλλὰ ἐκ τῆς διανοίας ἐκπέμπεται, οὐκ ἄρα ἐν ἐγκεφάλῳ ἐστὶν ἡ διάνοια. ἔξεστι δὲ δηλονότι καὶ τὸ κυριεῦον εἰπεῖν ἀντὶ τοῦ τῆς διανοίας ὀνόματος. ὡσαύτως δὲ καὶ τὸ ἡγεμονικὸν, καὶ τὸ ἡγεμονοῦν, καὶ τὸ ἡγούμενον, καὶ τὸ δεσπόζον, καὶ τὸ ἄρχον, καὶ τὸ λογιζόμενον, καὶ τὸ νοοῦν, καὶ τὸ φρονοῦν. οὐδὲν γὰρ διαφέρειν ἡγητέον B ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, ταὐτὸ φυλάττων τὸ ὑποκείμενον πρᾶγμα. εἰ οὕτως ἅπαντες ἠρωτήκεσαν τὸν λόγον, καὶ μὴ τὸ ἀναγκαιότατον τῶν λημμάτων παραλελοίπεσαν, ἐν ᾧ δηλοῦται τὸ πᾶν. τὸ διά τινος ἐκπεμπόμενον, ἐκ τῶν συνεχῶν αὐτῷ μορίων ἐκπέμπεσθαι. τὰ δὲ οὐκ ἀναγκαῖα μὴ μάτην προσετεθείκεσαν, εὐφώρατος ἂν ἦν ὁ λόγος, ἀπό τε τῆς θέσεως ἐπιχειρεῖν ὡρμημένος, οὐκ ἀποδεικνύς τε τὸ προκείμενον. εἰ μὲν γὰρ ἡ, ἐξ, πρόθεσις ἔγκειτο κατὰ τὸ λῆμμα τὸ λέγον ἐκ τῆς διανοίας ἐκπέμπεσθαι τὸν λόγον, ψευδὲς εἶναι φήσομεν αὐτό. μὴ γὰρ ἐκ τῆς διανοίας, ἀλλ' ὑπὸ τῆς διανοίας αὐτὸν ἐκπέμπεσθαι. C εἰ δὲ τὴν, ὑπὸ, πρόθεσιν ἐκ τῆς, ἀπὸ, δηλουμένην νομίζοιμεν, ὡς εἶναι τὸ λῆμμα τοιοῦτον. ὁ λόγος ὑπὸ τῆς διανοίας ἐκπέμπεται, τὸ μὲν λῆμμα φήσομεν ἀληθὲς ὑπάρχειν. ἀπέραντον δὲ εἶναι τὸν λόγον, ὡς ἂν μηκέτι πάντων τῶν λημμάτων ὁμοίως ἠρωτημένων, ἀλλὰ τῶν μὲν τὴν, ἐξ, τῶνδε τὴν, ὑπὸ, πρόθεσιν ἐχόντων. εἰ δέ γε πάντα ὁμοίως ἐρωτηθείη, κατὰ μὲν τὴν, ἐξ, πρόθεσιν ἐν τῷ ποτέρῳ λήμματι γενήσεται τὸ ψεῦδος, κατὰ δὲ τὴν, ὑπὸ, τοῦτο μὲν ἀληθὲς ἔσται. τὸ καθόλου δὲ τὸ παραλελειμμένον ὑπ' αὐτῶν, ὡσαύτως δὲ τὸ κατὰ μέρος ἄμφω ψευδῆ. τὸ μὲν γὰρ καθόλου, γενήσεται τοιοῦτον. ἅπαν τὸ διά D τινος ἐκπεμπόμενον, ὑπὸ τῶν συνεχῶν αὐτῷ μορίων ἐκπέμπεται. τὸ δὲ κατὰ μέρος, ὁ λόγος ὑπὸ τῶν ἐν τῇ φάρυγγι συνεχῶν μορίων ἐκπέμπεται. οὐ γὰρ ὑπὸ τῶν συνεχῶν, ἀλλ' ἐκ τῶν συνεχῶν ἀληθῶς ἂν λέγοιτο. δέδεικται τοίνυν ἤδη σαφῶς τὸ κυριώτατον τῶν λημμάτων παραλελειμμένον αὐτοῖς, ἢ ἑκοῦσι σοφιστικῶς, ἢ ἄκουσιν ὑπὸ ἀγυμνασίας τῆς μεθόδου. διὸ καὶ παρακρούονται τὸν ἀκροατὴν, οὐ δυνάμενον ἀκριβῶς διελέσθαι, πότερον τῶν λημμάτων ἐστὶν ἀληθὲς, εἴτε τὸ κατὰ τὴν, ἐξ, πρόθεσιν ἠρωτημένον, εἴτε τὸ κατὰ τὴν ὑπὸ, τὴν ἀρχὴν μὲν γὰρ οὐδὲ λέγουσιν αὐτὸ κατά γε τὴν λέξιν. εἰς δέ γε τὴν σύστασιν τοῦ E λόγου παντὸς, ὡς εἰρηκότες, παραλαμβάνονται. τὸ γὰρ, εἰ δ' ἦν ἀπὸ τοῦ ἐγκεφάλου ἐκπεμπομένη, οὐκ ἂν διὰ φάρυγγος ἐξεπέμπετο, κατὰ τὴν τοῦ παραλελειμμένου λήμματος δύναμιν ἀληθὲς εἶναι φαντάζεται. πᾶσι οὖν τοῖς ἁμαρτήμασιν ὁ τοῦ Ζήνωνος λόγος ὑπεύθυνός ἐστι κατὰ τὸ δεύτερον τῶν λημμάτων τὸ νυνί μοι λελεγμένον. πρῶτον μὲν ὅτι τὴν, ἀπὸ, πρόθεσιν ἐν αὐτῷ παρέλαβον, δέον ἤτοι τὴν, ἐξ, ἢ τὴν, ὑπό. δεύτερον δ' ὅτι τὰ κυριώτατα παρέλιπε τό, τε καθόλου, τὸ πᾶν δὲ τὸ διά τινος πεμπόμενον ἐκ τῶν συνεχῶν μορίων αὐτῷ ἐκπέμπεται. τό, τε κατὰ μέρος, ὅτι ἡ φωνὴ καὶ ὁ λόγος ἐκ τῶν συνεχῶν τῇ φάρυγγι μορίων ἐκπεμφθή- F σεται. τούτων γὰρ οὕτω διαιρεθέντων, εἰ μὲν κατὰ τὴν, ἐξ, πρόθεσιν ἅπαντα ἐρωτηθείη τὰ λήμματα, ψεῦδος ἔσται τὸ τὸν λόγον ἐκ τῆς διανοίας ἐκπέμπεσθαι. εἰ δὲ κατὰ τὴν, ὑπὸ, τό, τε καθόλου τὸ νυνὶ λεγόμενον. τὸ, πᾶν διά τινος ἐκπεμπόμενον, ὑπὸ τῶν συνεχῶν ἐκπέμπεσθαι, καὶ τὸ, κατὰ μέρος, τὸ τὸν λόγον ὑπὸ τῶν ἐν τῇ λάρυγγι μορίων ἐκπέμπεσθαι.

εἰ δὲ μικτῶς ἐρωτηθείη, κατά τινα μὲν λήμματα τῆς, ἐξ, προθέσεως ἀκριβῶς παραλαμβανομένης, καθ᾽ ἑκάτερα δὲ τῆς ὑπό, καθάπερ κἂν τῷ τὸν λόγον ὑπὸ τῆς διανοίας ἐκπέμπεται, τῶν μὲν λημμάτων οὐδὲν μεμψόμεθα, τὸν ὅλον δὲ λόγον ἀπέραντον ὑπάρχειν ἐροῦμεν. οὐ γὰρ ἔτι συναφθήσονται πρὸς ἀλλήλας αἱ κυρίαι τοῦ συμπεράσματος προτάσεις. ἔστι γὰρ αὐτῶν, ἡ μὲν ἑτέρα τοιαύτη. ὁ λόγος ὑπὸ τῆς διανοίας ἐκπέμπεται, ἡ δὲ ἑτέρα, ὁ λόγος ἐκ τοῦ ἐγκεφάλου οὐκ ἐκπέμπεται. ἐχρῆν δὲ γ᾽ ἀμφότερα, ἤτοι κατὰ τὴν, ὑπό, πρόθεσιν, ἢ κατὰ τὴν, ἐξ, ἠρωτῆσθαι, ἵν᾽ ἐπιφέρηταί τι κοινὸν αὐταῖς συμπέρασμα. τάχ᾽ ἂν ἔτι πλείω λέγειν ὑπὲρ τῆς τοῦ λόγου μοχθηρίας ἐπειρώμην, εἰ μὴ καὶ ὁ Χρύσιππος ἐγνώκει τε τὴν ἀτοπίαν αὐτοῦ, καὶ τὸν τρόπον τῆς ἀπολήψεως αὐτὸς ἐγεγράφει, δι᾽ ἧς ὀλίγον ἔμπροσθεν παρεθέμην ῥήσεως, ἐγχωρεῖν φάσκων ἐκ τῶν κατὰ στήθη μερῶν ἐκπέμπεσθαι τὸν λόγον, τὴν ἀρχὴν τῆς κινήσεως ἐπιπεμπούσης τῆς κεφαλῆς. ὥσπερ γε καὶ τὰ νεῦρα πάντα τὴν ἔκφυσιν ἐκ τῆς κεφαλῆς ἔχοντα, τὴν ἀρχὴν τῆς δυνάμεως, ἀπὸ τῆς καρδίας λαμβάνειν. ταῦτα μὲν οὖν ὀρθῶς εἴρηται τῷ Χρυσίππῳ, καὶ διὰ τοῦτ᾽ ἄν τις αὐτῷ καὶ μᾶλλον μέμψαιτο, διότι κατιδὼν τὸ ἀληθές, ὅμως οὐ χρῆται. τὰ δὲ ἀπὸ τῆς θέσεως ἐπικεχειρημένα, καὶ τούτων ὅσα μᾶλλον ποιηταὶ μαρτυροῦσιν, ἢ οἱ πολλοὶ τῶν ἀνθρώπων, ἢ ἐτυμολογία τις, ἤ τι τοιοῦτον ἕτερον, οὐκ ὀρθῶς. κάλλιον γὰρ ἦν ἐπιμείναντα τοῖς κατὰ τὴν ἀποδεικτικὴν μέθοδον ὑπολαμβανομένοις λήμμασιν, ἐξετάσαι τε καὶ κρῖναι διὰ τῆς αἰσθήσεως. αὐτὸς δὲ ὥσπερ οὐ κατ᾽ ἐπιστήμην, ἀλλὰ κατὰ τύχην εἰρηκὼς τὸ ἀληθές, ἀπεχώρησέ τε τῆς ζητήσεως αὐτοῦ, καὶ ποιητὰς ἐπάγεται μάρτυρας.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Πῶς δεῖ ἐκ τῶν ἀνατομῶν τὴν τῆς φωνῆς καὶ τῶν ἄλλων ἐνεργειῶν ἀρχὴν μανθάνειν.

ΟΠερ οὖν ὁ Χρύσιππος ἐθεάσατο μὲν, οὐκ ἐπεξῆλθε δὲ τῷ λόγῳ, τοῦτ᾽ ἐγώ μοι δοκῶ προσθήσειν. ἐπεὶ γὰρ ἐγχωρεῖ κἂν ὅτι μάλιστα πάντων τῶν νεύρων ἐγκέφαλος ἀρχὴ φαίνεται, τὴν καρδίαν ἐπιπέμπειν αὐτῷ δύναμιν αἰσθητικήν τε καὶ προαιρετικήν. ὡσαύτως δὲ κἂν ἐκ τῶν κατὰ τὸν θώρακα μορίων ὁ λόγος ἐκπέμπεται, τὴν ἀρχὴν τῆς κινήσεως αὐτοῦ ἀπ᾽ ἐγκεφάλου καταφέρεσθαι, ζητητέον ἐφεξῆς ἐστι, πότερον οὐδέτερον οὐδετέρῳ μεταδίδωσιν, οὐδεμιᾶς δυνάμεως, ἢ τὸ ἕτερον τῷ ἑτέρῳ. γένοιτο δ᾽ ἂν ἡ ζήτησις ὧδε. τὰ συνάπτοντα τὴν καρδίαν ἐγκεφάλῳ, διασκέψασθαι χρὴ κατὰ τὰς τῶν ζώων ἀνατομὰς ὁπόσα τ᾽ ἐστὶ καὶ ὁποῖα, κἄπειτα κατὰ τὸν τράχηλον ἕκαστον αὐτῶν ἢ τέμνειν, ἢ θλᾶν, ἢ βρόχοις διαλαμβάνειν, εἶτ᾽ ἐπισκέπτεσθαι τίνα καταλαμβάνει τὸ ζῶον παθήματα. συνάπτει δὲ καρδίαν ἐγκεφάλῳ τὰ τρία γένη τῶν ἀγγείων, ἅπερ δὴ καὶ παντὸς τοῦ σώματος ὑπάρχει κοινά, φλέβες, καὶ ἀρτηρίαι, καὶ νεῦρα. φλέβες μὲν αἱ σφαγίτιδες ὀνομαζόμεναι, ἀρτηρίαι δὲ αἱ καρωτίδες, νεῦρα μὲν τὰ ταύταις ταῖς ἀρτηρίαις παραπεφυκότα. τὰς μὲν δὴ σφαγίτιδας φλέβας, ἢ τὰς καρωτίδας ἀρτηρίας οὐχ ἁπλῶς χρὴ τέμνειν, ὥσπερ τὰ νεῦρα. τεθνήξεται γὰρ εὐθέως τὸ ζῶον αἱμορραγίᾳ λάβρῳ συσχεθέν, ἀλλ᾽ ἄμεινον βρόχοις ἰσχυροῖς διαλαβόντα πρότερον ἔν τε τοῖς ἄνω καὶ κάτω μέρεσι τοῦ τραχήλου, τὸ μέσον τῶν βρόχων διατέμνειν, ὡς μηδεμίαν αἱμορραγίαν ἀκολουθῆσαι.

A At ſi mixta pronuncientur, in quibuſdam ſanè ſumptionibus præpoſitione, ex, ad amuſſim ſumpta, in alterutris verò præpoſitione abs; quemadmodum in ea, ſermonem abs mente emitti, nullam ſumptionem criminabimur, totam verò rationem nihil concludere dicemus. Non enim adhuc principales concluſionis propoſitiones coaptabuntur. Eſt namque ipſarum altera talis, ſermo abs mente emittitur, altera autem, ſermo ex cerebro non emittitur. At vtramque ſumptionem, vel iuxta præpoſitionem abs, vel iuxta præpoſitionem ex pronunciatam eſſe oportebat, vt aliqua ipſis commu- B nis concluſio inferatur. Fortè plura de orationis vitio dicere tentaſſem, niſi Chryſippus ſuam abſurditatem nouiſſet, & modum deprehenſionis ipſe ſcriptitaſſet, in ſententia paulò ante à me adducta, fieri poſſe inquiens vt ex partibus pectoris ſermo emittatur, ſed capite principium motus ſuppeditante, quemadmodum & quod omnes nerui originem ex capite habentes, principium facultatis à corde ſumant. Hæc itaque rectè à Chryſippo dicta ſunt; quocirca ipſe magis accuſandus venit, quòd quum verum nouiſſet, non eſt tamen eo vſus. Ea verò quæ à ſi- C tu argumenta petita ſunt, atque ex his magis quæ poëtæ teſtantur, aut vulgus, aut quædam nominis ratio, aut aliud quiddam huiuſmodi, non rectè. Præſtiterat enim inſiſtendo ſumptionibus, quæ iuxta methodum demonſtratoriam adſumuntur, inueſtigare ea, & ſenſu expendere. Verùm ipſe tanquam non ex ſcientia, ſed fortuitò verum dixiſſet, ab inquiſitione ipſius diſceſſit, & poëtas teſtes citauit.

CAPVT VI.

D *Qua ratione per diſſectionem principium vocis & reliquarum actionum ſit dignoſcendum.*

QVòd igitur Chryſippus vidit quidem, ſed oratione non expoſuit, id apponere mihi viſum eſt. Quandoquidem enim fieri poteſt, vt licet quòd maximè omnium neruorum origo cerebrum videatur, cor ipſi vim ſenſoriam voluntariámque ſuppeditet; pari modo etiam ſi ex thoracis partibus ſermo emittitur, principium motus ipſius à cerebro deferri; diſquirendum deinceps eſt, an neutrum al- E teri virtutem aliquam tribuat, an alterum alteri. Fiet autem ad hunc modum inueſtigatio, quæ cor cerebro connectunt, in diſſectionibus contemplari oportet, quot ſint numero, & qualia. Poſtea in collo ſingula vel ſecare, vel contundere, vel funiculo intercipere; deinde contueri qui affectus animal inuadant. Connectunt autem cor cerebro tria vaſorum genera, quæ ſanè etiam totius corporis ſunt communia, venæ, arteriæ, & nerui. Venæ quidem iugulares dictæ, arteriæ carotides, nerui his arteriis adnati. Sanè iu- F gulares venas, aut carotidas arterias non ſimpliciter diuidere oportet, quemadmodum neruos, moreretur enim protinus animal larga ſanguinis profuſione debilitatum, ſed prǽſtat funiculis validis intercipiendo, primùm in ſuperiore & inferiore ceruicis regione medium vinculorum diſſecare, vt nulla ſequatur ſanguinis profuſio: neruos

neruos autem ſiue contundere, ſiue funiculis quibuſdam comprehendere, vel tuis ipſius digitis, ſiue ſecare; ob hos omnes affectus vnum & idem ſymptoma animanti ſuperueniet. Quippe ſtatim obmuteſcet, reliquarum verò actionum nulla, neque in præſenti tempore læſa, neque in poſterum apparebit. Arteriis autem fune interceptis, vel vt dixi diſſectis, mutum ſanè aut ſoporoſum, vt plerique poſt Hippocratem diſſectorum perperam ſcripſerunt, non erit animal, ſed omnes quæ ſupra vulneratas habentur in totum pulſum amittent. At venas neque funibus intercipiens, neque vt dictum eſt ſecans, aliquam manifeſtò actionem aboleri videbis. Ex his apparentibus promptum eſt colligere, neque cor ad pulſuum motum cerebro indigere, neque cerebrum corde, vt ſentiat animal, iuxtáque arbitrium operetur. Quod etenim cor nihil ad proprium motum cerebro opus habet, inde clarum eſt, quod venis, arteriis, neruiſque prædictis fune comprehenſis, ſimiliter ipſum adhuc pulſet, & totius animantis arteriæ. Nam ſolæ ſupra funes ſitæ omnino pulſum amittunt, dum continua ipſarum pars, quæ ad cor vſque pertingit, ſimiliter ac aliæ pulſet. Quod autem cerebri facultatum cor primam non habeat originem, inde cognoſcere licet, quod omnibus commemoratis neruis, ſiue ſectis, ſiue laqueo comprehenſis, animal ſolùm obmuteſcit, inſpirat tamen & expirat ſine impedimento, iuxta vtramque ſuperius dictarum inſpirationum & expirationum differentiam; ita verò & quatuor artubus etiamnum operatur, ſicuti & priùs, auditque & videt, omnique ſenſu percipit. Nam ſola, vt dictum eſt, vox animalis aboletur neruis iuxta arterias diſſectis. Porrò qui tum medici, tum philoſophi ob enumeratas arterias ſiue diſſectas, ſiue, vt dixi, interceptas animal ſoporari putauerunt, deinde hinc collegerunt cor ſenſum motúmque cerebro ſuppeditare, hos nimirum falſos eſſe in eius quod apparet experientia putandum eſt; quod autem ex hypotheſi ſequitur, diligenter vidiſſe. Si enim verè ſoporoſum animal euaderet, quod ipſis nomen ſignificat ſenſus motúſque expers, neceſſariò ſequeretur cor primam & ſenſus & motus originem cerebro immittere, quā ipſum toti corpori per neruos ſuggerit. Quapropter ſecundum quoddam principium ipſum erit, non exquiſitè primum, magni regis legato dignitate reſpondens. Demonſtratum enim eſt antea, quod cor arteriarum, cerebrum neruorum ſit principium, concluderetur igitur ſi verùm eſſet quod dicitur, cor per arterias vim animalem cerebro ſuppeditare; non tamen verum eſt, ſed ementiti ſunt contra id quod in diſſectionibus apparet. Soporoſum enim neque ob neruos præciſos animal efficitur, neque ob arterias, verùm neruis oblæſis mutum quidem euadit, arteriis autem non ita, multóque minùs venis: ſed plerique medici philoſophíque ſimul cum arteriis neruos funibus comprehendentes, deinde mutum protinus animal fieri conſpicientes, arteriarum affectionem eſſe crediderunt, quam ſoporem nominarunt; non rectè meo iudicio, niſi vocis amiſſionem ſoporem appellent; ſic enim nomine ſolum hallucinantur in hoc; at in re ipſa aberrant ſi ob arterias animal mutum euadere exiſtiment.

A τὰ νεῦρα δὲ εἴτε θλᾶν, εἴτε διαλαμβάνειν ἐθέλοις βρόχοις τισίν, ἢ τοῖς σαυτοῦ δακτύλοις, εἴτε τέμνειν, ἐφ' ἅπασι τούτοις τοῖς παθήμασιν ἓν καὶ ταὐτὸν ἀκολουθήσει σύμπτωμα τῷ ζώῳ. ἄφωνον ἔσται παραχρῆμα, τῶν δ' ἄλλων ἐνεργειῶν, οὐδεμία οὔτ' ἐν τῷ παραυτίκα βεβλαμμένη, οὔτ' ἐξ ὑστέρου φανεῖται. τῶν ἀρτηριῶν δέ γε βρόχοις διαληφθεισῶν, ἢ ὡς εἴρηται τμηθεισῶν, ἄφωνον μὲν ἢ καρῶδες, ὡς οἱ πλεῖστοι τῶν μεθ' Ἱπποκράτην κακῶς ἀνατεμόντων ἔγραψαν, οὐκ ἔσται τὸ ζῷον. αἱ δ' ἀνωτέρω τῶν τρωθεισῶν ἀρτηριῶν ἅπασαι τελέως ἄσφυκτοι γενήσονται. τὰς δὲ φλέβας οὔτε βρόχοις διαλαμβάνων, οὔθ' ὡς εἴρηται τέμνων ὄψει τινὰ σαφῶς B ἐνέργειαν ἀπολλυμένην. ἐκ τούτων τῶν φαινομένων ἕτοιμόν ἐστι συλλογίσασθαι, μήτε τὴν καρδίαν εἰς τὴν τῶν σφυγμῶν κίνησιν, ἐγκεφάλου τι προσδεῖσθαι, μήτε τὸν ἐγκέφαλον καρδίας, ἵν' αἰσθάνηταί τε καὶ κατὰ προαίρεσιν ἐνεργῇ τὸ ζῷον. ὅτι μὲν γὰρ οὐδὲν ἡ καρδία πρὸς τὴν οἰκείαν κίνησιν, ἐγκεφάλου δεῖται, δῆλόν ἐστιν ἐκ τοῦ καὶ τῶν φλεβῶν καὶ τῶν ἀρτηριῶν καὶ τῶν νεύρων τῶν προειρημένων βρόχοις διαληφθέντων, ὁμοίως ἔτι σφύζειν αὐτήν, καὶ τὰς καθ' ὅλον τὸ ζῷον ἀρτηρίας. αἱ γὰρ ἀνωτέρω τῶν βρόχων, μόναι παντάπασιν ἄσφυκτοι γίγνονται, τοῦ συνεχοῦς αὐτῶν μέρους τοῦ μέχρι καρδίας ὡσαύτως ταῖς ἄλλαις σφύζοντος, ὅτι δὲ οὐκ ἔστι τῶν ἐγκε- C φάλου δυνάμεων ἡ καρδία τὴν πρώτην ἀρχὴν ἔχει, μάθοις ἂν ἐκ τοῦ πάντων τῶν εἰρημένων νεύρων, ἤτοι τμηθέντων, ἢ βρόχοις διαληφθέντων, ἄφωνον μόνον γίγνεσθαι τὸ ζῷον, εἰσπνεῖν μέντοι καὶ ἐκπνεῖν ἀκωλύτως κατ' ἀμφοτέρας τὰς διαφορὰς τῶν ἔμπροσθεν εἰρημένων εἰσπνοῶν τε καὶ ἐκπνοῶν. οὕτω δὲ κἂν τοῖς τέτταρσι κώλοις ἔτι καὶ νῦν ἐνεργεῖν καθάπερ καὶ πρόσθεν ἀκούειν τε καὶ βλέπειν καὶ πᾶσαν αἴσθησιν αἰσθάνεσθαι. μόνη γάρ, ὡς εἴρηται, φωνὴ διαφθείρεται τοῦ ζώου, τμηθέντων τῶν παρὰ ταῖς ἀρτηρίαις νεύρων. ὅσοι δὲ τῶν ἰατρῶν τε καὶ φιλοσόφων ἐπὶ ταῖς εἰρημέναις ἀρτηρίαις, ἤτοι τμηθείσαις, ἢ ὡς εἴρηται D διαληφθείσαις, ᾤοντο καροῦσθαι τὸ ζῷον, εἶτ' ἐκ τούτου συνελογίζοντο τὴν καρδίαν ἐγκεφάλῳ χορηγεῖν αἴσθησίν τε καὶ κίνησιν. ἐσφάλησαν μὲν αὐτοὺς ὑποληπτέον ἐν τῇ περὶ τὸ φαινόμενον ἐμπειρίᾳ, τὸ δ' ἐξ ὑποθέσεως ἀκολουθοῦν ἀκριβῶς ἑωρακέναι. εἴπερ γὰρ ὄντως ἐγίγνετο καρῶδες τὸ ζῷον, ὅπερ αὐτοῖς ὄνομα βούλεται σημαίνειν τὸ ἀναίσθητόν τε καὶ ἀκίνητον, ἐξ ἀνάγκης ἂν ἀκολουθεῖν τὸ τὴν καρδίαν ἐπιπέμπειν ἐγκεφάλῳ τὴν πρώτην ἀρχὴν αἰσθήσεώς τε καὶ κινήσεως, ἣν αὐτὸς ἅπαντι τῷ σώματι διὰ νεύρων χορηγεῖ, ὥστ' εἶναι δευτέραν τινὰ ἀρχὴν αὐτὸν οὐκ ἀκριβῶς πρώτην, ἀνάλογον ὑπάρχῳ μεγάλου βα- E σιλέως. ἀποδεδειγμένον γὰρ ἐν τοῖς ἔμπροσθεν, ὡς ἡ μὲν καρδία τῶν ἀρτηριῶν, ὁ δ' ἐγκέφαλος τῶν νεύρων ἐστὶν ἀρχή. περαίνοιτ' ἂν εἴπερ ἀληθὲς ἦν τὸ λεγόμενον, ὡς ἡ καρδία διὰ τῶν ἀρτηριῶν ἐγκεφάλῳ χορηγεῖ δύναμιν ψυχικήν, οὐ μὴν ἀληθές ἐστιν, ἀλλὰ κατεψεύσαντο τοῦ φαινομένου κατὰ τὰς ἀνατομάς. καρῶδες μὲν γὰρ οὐδ' ἐπὶ τοῖς νεύροις τμηθεῖσι γίγνεται τὸ ζῷον, μήτοι γε δὴ ταῖς ἀρτηρίαις. ἄφωνον δὲ τῶν νεύρων μὲν βλαβέντων γίγνεται, τῶν ἀρτηριῶν δ', οὐ γίγνεται, καὶ πολὺ δὲ μᾶλλον ἔτι τῶν φλεβῶν. ἀλλ' οἱ πλεῖστοι τῶν ἰατρῶν τε καὶ φιλοσόφων ἅμα ταῖς ἀρτηρίαις τὰ νεῦρα τοῖς βρόχοις διαλαμβάνοντες, εἶτα ἄ- F φωνον ὁρῶντες αὐτίκα τὸ ζῷον γιγνόμενον, ἀρτηριῶν τὸ πάθος ᾠήθησαν ὑπάρχειν, καὶ κάρον ὠνόμασαν, οὐκ ὀρθῶς οἶμαι, εἰ μή τι ἄρα τὴν ἀφωνίαν ἐθέλουσιν ὀνομάζειν κάρον, οὕτω γὰρ ὀνόματι μόνον σφάλλοιντο κατά γε τοῦτο. περὶ δὲ τὸ πρᾶγμα αὐτὸ ἁμαρτάνοιεν εἴπερ ἐπὶ ταῖς ἀρτηρίαις ὑπολαμβάνοιεν ἄφωνον γίγνεσθαι τὸ ζῷον.

A

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Τὸν Χρύσιππον ἐναντιολογούμενον ἑαυτῷ διὰ τοῦ φάσκειν ἐνίοτε μὲν οὐδεμίαν αἴσθησιν ἡμῖν γίνεσθαι τοῦ περιέχοντος τόπου τὸ ἡγεμονικὸν, ἐνίοτε δὲ φαίνεσθαι λέγειν αὐτόν.

Ἐγὼ μὲν δή μοι δοκῶ τὸ κελευσθὲν ὑπὸ τοῦ Χρυσίππου πεπραχέναι ζητήσας, εἴτ᾽ ἀπὸ καρδίας ἐγκεφάλῳ δύναμίς τις, εἴτ᾽ ἀπ᾽ ἐγκεφάλου τῇ καρδίᾳ χορηγεῖται. Χρύσιππος δ᾽ αὐτὸς ὀλιγώρως ἐφηκέναι φαίνεται περὶ τὴν τοῦ πράγματος ἔρευναν, ἰδὼν μὲν τὴν ὁδὸν ᾗ χρὴ τὸ ζητούμενον ἁλῶναι, μὴ χρησάμενος δὲ αὐτῇ. μέμφομαι δ᾽ αὐτῷ, καὶ διότι καθ᾽ ἓν βιβλίον ἐναντία λέγειν ὑπέμεινεν, οὐκ ἀπὸ μακροῦ διαστήματος ἀλλήλων ἔμπροσθεν μὲν ὡς ἀποδεικτικὸν γράψας τὸν τοῦ Ζήνωνος λόγον, ἐπὶ προήκοντι δὲ τῷ συγγράμματι δεικνὺς αὐτοῦ τὴν λύσιν. εὑρίσκω δ᾽ οὐχ ἥκιστα τὸν Χρύσιππον καὶ ἄλλας τινὰς ἐναντιολογίας ἐν αὐτῷ τούτῳ τῷ λόγῳ περὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ πεποιημένον. ἐν ἀρχῇ γὰρ προειπὼν, ὡς τὰ μὲν ἄλλα μέρη τῆς ψυχῆς, ἐν οἷς ἐστι τοῦ ζώου μορίοις, ὁμολογεῖται. περὶ δὲ τοῦ ἡγεμονικοῦ μόνου ζητεῖται, διὰ τὸ μήτε αἴσθησιν ἐκφανῆ μηδεμίαν εἶναι αὐτοῦ, μήτ᾽ ἐναργές τι τεκμήριον, ὀλίγον ὕστερον ὡς περὶ φαινομένου τοῦ μέρους διαλέγεται. ἔχουσι δ᾽ αἱ ῥήσεις αὐτοῦ τόνδε τὸν τρόπον. οὕτω φαίνεται διαφεύγειν ὁ τόπος ἡμᾶς, οὔτε αἰσθήσεως ἐκφανοῦς γινομένης, ὅπερ ἐπὶ τῶν λοιπῶν συντέτευχεν. οὔτε τῶν τεκμηρίων, δι᾽ ὧν ἄν τις συλλογίσαιτο τοῦτο. οὐδὲ γὰρ ἂν οὐδ᾽ ἐπὶ τοσοῦτον ἀντιλογίας προῆλθεν ἰατροῖς τε καὶ φιλοσόφοις. Ταῦτα προειπὼν ὁ Χρύσιππος, ἐφεξῆς φησιν, ὡς ἅπαντες ἄνθρωποι τῶν τῆς διανοίας παθῶν αἰσθάνονται κατά γε τὸν θώρακα καὶ τὴν καρδίαν. ἔχει δὲ καὶ ἥδε ἡ ῥῆσις ὧδε. κοινῇ δέ μοι δοκοῦσιν οἱ πολλοὶ φέρεσθαι ἐπὶ τοῦθ᾽ ὡσανεὶ αἰσθανόμενοι περὶ τὸν θώρακα αὐτοῖς τῶν κατὰ τὴν διάνοιαν παθῶν γινομένων, καὶ μάλιστα καθ᾽ ὃν ἡ καρδία τέτακται τόπον, οἷον μάλιστα ἐπὶ τῶν φόβων, καὶ τῶν λυπῶν λέγω καὶ ἐπὶ τῆς ὀργῆς, καὶ μάλιστα τοῦ θυμοῦ. κατὰ τήνδε τὴν ῥῆσιν εἰ καὶ μηδὲν ἄλλο, τὸ (γοῦν) ὡσανεὶ προσέθηκεν, οὐ τολμήσας ἄντικρυς εἰπεῖν αἰσθάνεσθαι τοὺς ἀνθρώπους τῶν κατὰ τὴν διάνοιαν παθῶν ἐν τῷ θώρακι γινομένων. ὡσανεὶ γὰρ ἔφη συναισθανόμενοι, μικρὸν δ᾽ ὕστερον, καὶ τὸ ὡσανεὶ περιελὼν, οὑτωσὶ γράφει. ἡ γὰρ περὶ τὴν διάνοιαν γινομένη ταραχὴ, καθ᾽ ἕκαστον τούτων αἰσθητῶς περὶ τοὺς θώρακάς ἐστιν, εἶτ᾽ ἐφεξῆς. τῆς μὲν γὰρ ὀργῆς γινομένης ἐνταῦθα εὔλογον, καὶ τὰς λοιπὰς ἐπιθυμίας ἐνταῦθα εἶναι. καὶ πάλιν ἐν τοῖς ἑξῆς τοῦ συγγράμματος. καὶ τὰ τῶν ὀργιζομένων πάθη, φησὶ, φαίνεται περὶ τὸν θώρακα γινόμενα, καὶ τὰ τῶν ἐρώντων. καὶ λοιπὸν οὐκ ἔτι παύεται περὶ τῶν παθῶν διαλεγόμενος, ὡς ἔν τε τῷ θώρακι καὶ περὶ τὴν καρδίαν μάλιστα συνίστασθαι φαινομένων. ὥστ᾽ ἔγωγε θαυμάζω τἀνδρὸς, ὅτε τὸ κατ᾽ ἀρχὰς ὑφ᾽ ἑαυτοῦ γραφόμενον οὐκ ἐξήλειψεν, ἔνθα φησὶν, οὔτ᾽ αἴσθησιν οὐδεμίαν ἐμφανῆ γίνεσθαί που τὸ κύριον τῆς ψυχῆς μέρος, οὔτε τεκμήριον. οὐ γὰρ ἐπὶ τοσοῦτον διενεχθῆναι πρὸς ἀλλήλους ἰατρούς τε καὶ φιλοσόφους, ἢ εἴπερ ἀρέσκηται τῷδε τῷ λόγῳ, πῶς οὐκ ᾐδέσθη πάλιν ἐν τοῖς ἑξῆς αἰσθήσει κρίνων τὸ δόγμα, καὶ φαίνεται λέγων. ἐγὼ δέ μοι δοκῶ, καθάπερ ὀλίγον ἔμπροσθεν ἔπραξα τὸν ἀληθέστερον ἑλόμενος λόγον, ὃν ὁ Χρύσιππος ἔγραψε πρὸς ἑαυτὸν ἐναντιολογούμενος, οὕτω καὶ νῦν ποιήσειν. οὐδεμία γὰρ αἴσθησις ἡμῖν γίνεται τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ κατὰ τὴν καρδίαν ἢ τὸν θώρακα περιεχομένου,

CAPVT VII.

Aduersari sibi ipsi Chrysippum, quod modò incertam principis animæ facultatis sedem, modò eam sensu patere affirmat.

EGo sanè iam videor mihi quod Chrysippus iussit fecisse, inquirendo, à corde ne facultas aliqua cerebro, an à cerebro cordi suggeratur. Chrysippus porrò ipse parui fecisse videtur huius rei inquisitionem, qui videns B quidem viam qua id quod quæritur, adipisci conueniat, ea non vsus sit: hominem autem reprehendo insuper, quòd in vno libro contraria dicere sustinuerit, non longo inuicem interuallo, qui priùs sanè ceu demonstratiuum Zenonis sermonem scripserit, processu autem commentarij solutionem ipsius ostenderit. Iam inuenio Chrysippum maximè & alia quædam in hoc ipso de animæ principatu sibi ipsi repugnantia adduxisse. Quippe inter initia præfatus, aliàs sanè animæ partes in quibus sunt animantis partibus confessum C esse; de principatu autem solo disquiri, eò quòd nullus sensus euidens, neque manifesta quædam coniectura de eo haberi potest. Paulò post tanquam de apparente parte disserit. Habent autem verba ipsius in hunc modum. *Sic videtur nos subterfugere locus, quum neque sensus euidens sit, quod in reliquis contingit, neque coniecturæ, per quas id quis posset colligere. Neque enim in tantum controuersiæ processissent medici & philosophi.* His præmissis, consequenter Chrysippus, ait, *Vniuersos homines affectus mentis sentirent in thorace, & in corde.* Habet D autem oratio hæc ad eum modum, *Communiter autem mihi videntur plurimi in hanc ferri opinionem, tanquam sentientes mentis affectus in thorace, & præsertim vbi cor situm est, idque potissimum in timore & tristitia & ira, & maximè iracundia.* In hac oratione saltem (tanquam) adiecit, non ausus palam dicere homines sentire mentis affectus in thorace; tanquam enim, inquit, sentientes. Paulò post dictione (tanquam) ablata, hoc pacto scribit. *Turbatio enim mentis quæ in singulis his fit, in thorace percipitur.* Posteà iterum. *Quum enim hîc ira fiat, consentaneum est & alias animæ cupiditates inibi* E *esse.* Rursus in subsequentibus commentarij locis, *Atque irascentium affectus in thorace fieri videntur, & amantium*; ac in reliquis non cessat de affectibus disputare, tanquam in thorace & maximè circa cor appareant. Quare demiror hominem non aboleuisse quod per initia scripsit, inquiens, neque sensum neque coniecturam fieri, vbi præcipua est animæ pars. Non enim discreparent adeo medici & philosophi inter se. Vel si contentus est hoc sermone, quomodo non veritus est iterum in subsequentibus sensu dogma iudicare; ac dicere F manifestè apparet. Ego autem decreui quemadmodum paulò ante feci, veriorem deligens sermonem, quem Chrysippus sibi repugnans scripsit, etiam nunc idem facere. Nullus enim sensus nobis obuenit, qui principem animæ partem in corde aut thorace contineri declaret,

A eóque laudo prima Chrysippi dicta, quibus verum fatetur; non probo autem in quibus contra sensum mentitur. Haud enim in vno hic mihi videtur esse falsus, sed duobus magnis. Primò sanè quod vbi totum corpus manifestè immutatur per animæ affectus, nunc pallescens, frigescens, & tremens, vt in metu fieri conspicitur; nunc verò rubescens, calescens, & vehementer intensum, quemadmodum in iracundia, De nulla alia parte meminit, nisi solius thoracis. Posteà verò etsi concedatur cor magis quàm alias animantis partes extra naturæ habitum egredi in timore, tristitia, angustia, iracundia, B aliisque omnibus affectibus, non ratiocinatricem animæ vim, sed irascibilem, aut concupiscentem illic esse indicabit; quare altera pars magis quàm ab ipso asserta, hac demonstratione concluditur. Nam si intelligendo, discendo, docendóue nullus insignis motus in corde apparet, in omnibus autem affectibus euidenter innotescit, clarum opinor euadit ratiocinatricem animæ facultatem non esse in corde; irrationalem verò, & affectibus obnoxiam, in ipso comprehendi. At si vbi affectibus obnoxiam, ibi etiam ratiocinatricem esse pronunciat, id quod ab initio quærebatur, promptè assumetur. C At multò erat satiùs demonstrationem aliquam nos docere, quàm id quod quæritur, ex procinctu capere. Sed neque in priore libro de anima, neque in opere de affectibus, vllam demonstrationem protulit, cur oporteat omnino, vbi irrationalis animæ vis existit, ibi esse etiam ratiocinatricem; sed promptè & ex procinctu omnino sumit, etsi Plato nonnullas sanè demonstrationes quarto de republica prodiderit; nonnullas verò rursus dicere distulerit, de quibus in Timæo ait, ostendítque; quas etiam ego subsequentibus commentariis vniuersas literis D mandabo. In præsentia verò nondum mihi institutum est id ostendere, sed quod ratiocinatrix animæ vis, quam & præsidem, mentem, & principem Chrysippus ipse nominauit, in cerebro habetur. Quo demonstrato, si qua alia facultas in corde contineri videatur, non aliunde profecta, iam duo principia manifestè habebimus. Deinde verò & tertium inueniemus; sed hoc quidem in futuram disputationem differetur. Nunc rursus ad illum sermonem redeamus, vnde huc sumus digressi. Quòd sanè Chrysippus sibiipsi passim retragari non percipiat; quemadmodum tum ex sermone de voce ostendimus; E tum ex eo quod pronunciat, interim nullum sensum nobis obuenire loci principem animam continentis, nonnunquam verò dicit ipsum manifestè apparere. Neque hoc proposuimus ostendere, nisi quia non erit extra rem.

A καὶ διὰ τοῦτ' ἐπαινῶ μὲν τὰ πρῶτα τοῦ Χρυσίππου, δι' ὧν ὁμολογεῖ τὸ ἀληθές, οὐκ ἐπαινῶ δὲ ἐν οἷς καταψεύδεται τῆς αἰσθήσεως. οὐ γὰρ ἕν τι ἐνταῦθα δοκεῖ μοι σφάλλεσθαι κατὰ τὸν λόγον, ἀλλὰ δύο μεγάλα. πρῶτον μὲν ὅτι παντὸς τοῦ σώματος ἐν τοῖς τῆς ψυχῆς πάθεσιν ἐναργῶς ἀλλοιουμένου, καί ποτε μὲν ὠχριῶντός τε, καὶ καταψυχομένου, καὶ τρέμοντος, ὡς ἐν τοῖς φόβοις φαίνεται γιγνόμενον. ἔστιν ὅτε δ' ἐρυθριῶντός τε, καὶ θερμαινομένου, καὶ σφοδρῶς ἐντεινομένου καθάπερ ἐν τοῖς θυμοῖς, οὐδενὸς μὲν ἄλλου μέμνηται μορίου, μόνου δὲ τὸν κατὰ τὸν θώρακα. ἔπειτα δ' ὅτι κἂν συγχωρηθῇ μειζόνως ἡ καρ- B δία τῶν ἄλλων τοῦ ζώου μορίων ἐξίστασθαι μὲν τοῦ κατὰ φύσιν ἐν φόβοις τε καὶ λύπαις, ἀγωνίαις τε καὶ θυμοῖς, ἅπασί τε τοῖς ἄλλοις πάθεσιν, οὐ τὸ λογιζόμενον τῆς ψυχῆς, ἀλλὰ τὸ θυμούμενον, ἢ ἐπιθυμοῦν ἐνταῦθα ὑπάρχειν ἐνδείξεται. ὥστε πλέον θάτερον ἢ ὅπερ αὐτὸς βούλεται περαίνεσθαι διὰ τοῦ λόγου. εἰ γὰρ ἐν μὲν τῷ διανοεῖσθαί τε καὶ μανθάνειν, ἢ διδάσκειν, οὐδεμία κίνησις ἐξαίρετος ἐμφαίνεται κατὰ τὴν καρδίαν, ἐν ἅπασι δὲ τοῖς πάθεσι ἐναργῶς φαίνεται. δῆλον, οἶμαι, γίγνεται, τὸ μὲν λογιζόμενον τῆς ψυχῆς οὐκ εἶναι κατὰ τὴν καρδίαν, τὸ δ' ἄλογόν τε καὶ παθητικὸν ὀνομαζόμενον ἐν αὐτῇ C περιέχεσθαι. εἰ δ' ἔνθα τὸ πάθος ἐνταῦθά φησι καὶ τὸ λογιζόμενον ὑπάρχειν, αὐτὸ τὸ ζητούμενον ἀπ' ἀρχῆς ἐξ ἑτοίμου λήψεται. πολλῷ δ' ἦν ἄμεινον ἀπόδειξίν τινα ἡμᾶς διδάξαι τοῦ λαβεῖν ἐκ προχείρου τὸ ζητούμενον, ἀλλ' οὔτ' ἐν τῷ βιβλίῳ τῷ πρώτῳ περὶ ψυχῆς, οὔτ' ἐν τοῖς περὶ παθῶν, ἀπόδειξίν τινα εἶπε τοῦ χρῆναι πάντως, ἔνθα τὸ ἄλογόν ἐστιν, ἐνταῦθ' εἶναι καὶ τὸ λογιζόμενον, ἀλλ' ἑτοίμως τε κἀκ προχείρου παντάπασι λαμβάνει, καίτοι Πλάτωνος ἐνίας μὲν ἀποδείξεις ἐν τῷ τετάρτῳ τῆς πολιτείας γράψαντος. ἐνίας δ' αὖθις ἐρεῖν ἀναβαλομένου, περὶ ὧν ἐνδείκνυται κατὰ τὸν Τίμαιον, ἃς κἀγὼ D διὰ τῶν ἑξῆς ὑπομνημάτων ἁπάσας γράψω. νυνὶ δ' οὔπω μοι πρόκειται τοῦτο δεικνύειν, ἀλλ' ὅτι τὸ λογιζόμενον τῆς ψυχῆς, ὃ δὴ καὶ ἡγεμονικόν τε καὶ διάνοιαν, καὶ κύριον, αὐτὸς ὁ Χρύσιππος ὀνομάζει, κατὰ τὸν ἐγκέφαλόν ἐστι. τούτου γὰρ ἀποδειχθέντος, εἰ μέν τις ἑτέρα δύναμις ἐν τῇ καρδίᾳ φαίνεται περιεχομένη, μηδαμόθεν ἑτέρωθεν ὁρμωμένη, τὰς δύο μὲν ἀρχὰς ἤδη σαφῶς ἕξομεν. ἐφεξῆς δὲ καὶ τὴν τρίτην ὁμοίως ἐξευρήσομεν, ἀλλὰ τοῦτο μὲν εἰς τὸν μέλλοντα λόγον ἀναβεβλήσθω. νυνὶ δ' ἐπανέλθωμεν αὖθις ἐπ' ἐκεῖνον τὸν λόγον, ὅθεν εἰς τοῦτον ἐξέβημεν, ὡς ἄρα ὁ Χρύσιππος ἐναντιολογού- E μενος ἑαυτῷ παρὰ πόδας, οὐκ αἰσθάνεται, καθάπερ ἐπεδείξαμεν, διά τε τοῦ περὶ τῆς φωνῆς λόγου, καὶ τοῦ φάσκειν, ἐνίοτε μὲν οὐδεμίαν αἴσθησιν ἡμῖν γίγνεσθαι τοῦ περιέχοντος τόπου τὸ ἡγεμονικόν. ἐνίοτε δὲ φαίνεσθαι λέγειν αὐτόν. ἀλλὰ γὰρ οὐδὲ τοῦτ' αὐτὸ πρόκειταί μοι νῦν ἀποδεικνύειν, ὅτι μὴ πάρεργον.

CAPVT VIII.

Stoicorum & Peripateticorum rationes de principis animæ facultatis sede inefficaces esse, & à sumptionibus scientificis differentes.

F

VErũ ab initio erat hoc in libro propositũ, quatuor sumptionũ differẽtias ostẽdere. Vocabam autem primum ipsorum genus scientificum, demonstratorium, secũdum verò exercitatorium, & vt Aristoteles nominauit, dialecticum: tertium, probabile & rhetoricum; quartum, sophisticum,

ΚΕΦΑΛΑΙΟΝ Η'.

Οὐκ εἶναι τὰ τῶν Στωϊκῶν τε καὶ τῶν Περιπατητικῶν λήμματα, περὶ τοῦ τόπου τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ ἰσχυρά, καὶ ἀπὸ τῶν ἐπιστημονικῶν διαφέροντα.

ΑΛλ' ἦν ἐξ ἀρχῆς τὸ προκείμενον ἐν τούτῳ τῷ γράμματι τὰς τέτταρας διαφορὰς ἐπιδεῖξαι τῶν λημμάτων. ἐκάλουν δὲ τὸ μὲν πρῶτον γένος αὐτῶν, ἐπιστημονικόν τε καὶ ἀποδεικτικόν, τὸ δὲ δεύτερον γυμναστικόν τε, καὶ ὡς Ἀριστοτέλης ὀνομάζει διαλεκτικόν· τὸ δὲ τρίτον, πιθανόν τε καὶ ῥητορικόν, τὸ δὲ τέταρτον, σοφιστικόν,

ἐπεδείκνυόν τε τὰ μὲν ἀπὸ τῶν ὑπαρχόντων τε καὶ συμβαινόντων τῇ καρδίᾳ συνιστάμενα, κατὰ μόνον αὐτὸ τὸ ζητούμενον πρᾶγμα, τῶν ἐπιστημονικῶν εἶναι λημμάτων, τὰ δ᾽ ἄλλα σύμπαντα διαλεκτικά, τὰ δ᾽ ἀπὸ τῶν ἔξωθεν μαρτύρων, ῥητορικά, τὰ δ᾽ ὁμωνυμίαις τισὶν, ἢ τοῖς τῆς λέξεως σχήμασι πεπανουργημένα, σοφιστικά. τὰ μὲν οὖν ἐπιστημονικὰ καθ᾽ ἕκαστον πρᾶγμα παντάπασιν ὀλίγα τε καὶ εὐαρίθμητά ἐστι, τὰ δὲ γυμναστικὰ, πάμπολλα. καθ᾽ ἕκαστον γὰρ τῶν ὑπαρχόντων τε καὶ συμβαινόντων τῷ πράγματι συνίσταται. τὸν γοῦν ἀπὸ τῆς φωνῆς ἐρωτώμενον λόγον ἐκ τῆς θέσεως ὁρμώμενον ἐπέδειξα. οὕτω δὲ καὶ τὸν ἀπὸ τῆς εἰσπνοῆς τε καὶ ἐκπνοῆς. ὡσαύτως δ᾽ ἔχοντα εὑρήσεις καὶ τὸν ἀπὸ τῆς ἐν ταῖς λύπαις δήξεως. ἐναργῶς μὲν γὰρ ἡ δῆξίς ἐστιν ἐν τῷ στόματι τῆς γαστρὸς, οἱ δ᾽ ἐς τὴν καρδίαν ἀναφέρουσιν αὐτήν. οἱ μὲν οὖν ὅτι πλησίον ἡ καρδία τέτακται τῷ στόματι τῆς γαστρὸς, διὰ τοῦτ᾽ ἀπ᾽ ἐκείνης ἄρχεσθαι νομίζουσι τὸ πάθος, ἀπὸ τῆς θέσεως ἐπιχειροῦσιν. οἱ δ᾽ αὐτὴν ὄντως οἴονται τὴν καρδίαν δάκνεσθαι, πάμπολυ σφάλλονται. κάτω μὲν γὰρ τοῦ θώρακος ἡ δῆξίς ἐστιν ὑπὸ τὸν κατὰ τὸ στέρνον χόνδρον. ἡ καρδία δ᾽ ἐν μέσῳ τέτακται τῷ θώρακι, καὶ οὐδεὶς ᾔσθετο πώποτε τῆς καρδίας αὐτῆς δακνομένης, οὔτ᾽ ἐν λύπαις, οὔτ᾽ ἐν ἄλλῳ πάθει ψυχῆς ἢ σώματος. οὐ μὴν οὐδ᾽ ἡ καρδιαλγία τοὔνομα τὴν ἐν τῷ θώρακι περιεχομένην καρδίαν ὀδυνᾶσθαι δηλοῖ, ἀλλ᾽ ἔστιν ὁμωνυμία τις οὐδένα λανθάνουσα τῶν ὡμιληκότων ἀρχαίων γράμμασι. ὥσπερ γὰρ τὸ κατὰ τὸν θώρακα σπλάγχνον, οὕτω καὶ τὸ τῆς γαστρὸς στόμα καρδίαν ὀνομάζουσιν οἱ παλαιοί, καὶ πάμπολύ γε τοὔνομά ἐστι παρ᾽ αὐτοῖς. ἀλλ᾽ ἐγὼ δυοῖν ἢ τριῶν ἐπιμνησθήσομαι τῶν παραδειγμάτων, ὑπὲρ τοῦ σαφῶς ἐνδείξασθαι τὸ σημαινόμενον ἐκ τῆς λέξεως. ὁ μὲν δὴ Νίκανδρος ὧδέ πως φησίν.

----- ἣν καρδίην ἐπιδόρπιον οἱ δὲ δοχαίην

Κλείουσι στομάχοιο. Θουκυδίδης δ᾽ ὧδε. καὶ ὁπότε εἰς τὴν καρδίαν στηρίξαιεν, ἀνέστρεπέ τε αὐτὴν καὶ ἀποκαθάρσεις χολῆς πᾶσαι, ὅσαι ὑπὸ τῶν ἰατρῶν εἰσιν ὠνομασμέναι ἐπῄεσαν. ὁ δ᾽ Ἱπποκράτης, γυνὴ ἐκαρδιήλγεε, καὶ οὐδὲν καθίστη πλὴν ἐς ῥοιῆς χυλὸν ἄλφιτον ἐπιπάσσουσα, καὶ μονοσιτεῖν ἤρκεσε, καὶ ἀνείλκεν οἷα τὰ κυρίωνος. ἅπαντες οὗτοι δηλοῦσιν ἐναργῶς τὸ στόμα τῆς γαστρὸς ὀνομάζεσθαι καρδίαν, ὥστε ταύτης μὲν τῆς καρδίας εἴη ἄν τι πάθος ἡ καρδιαλγία. τοῦ σπλάγχνου δ᾽ ὑπὲρ οὗ πρόκειται σκοπεῖν, εἰ τὸ κύριον τῆς ψυχῆς μόριον ἐν ἑαυτῷ περιέχει, τοιοῦτον πάθος οὐδέποτε γίνεται. οὐδὲ γὰρ οὐδ᾽ αὐτοῦ τοῦ στόματος τῆς γαστρὸς ἅπαν ἄλγημα καρδιαλγίαν προσαγορεύουσιν, ἀλλὰ μόνον ἐπειδὰν ὑπὸ δριμέων ὑγρῶν ἐρεθίζηταί τε, καὶ ἀναδάκνηται. τοῦτο δ᾽ αὖ συμβαίνει ἐν ταῖς λύπαις, διὸ καὶ χολὴν ἐμοῦσιν οἱ λυπηθέντες. ἐνίοις δ᾽ ὑπέρχεται κάτω, καὶ ἡ γαστὴρ αὐτοῖς ἄκρα τὰ χολώδη διαχωρεῖ. συμβαίνει δὲ οὐ μόνον τοῖς λυπηθεῖσιν, ἀλλὰ καὶ τῶν ἐπὶ πλέον ἀσιτησάντων, οὐκ ὀλίγοις δάκνεσθαι τὸ τῆς γαστρὸς στόμα, καὶ μᾶλλον εἰ σφοδρῶς προγεγυμνασμένοι μὴ προσενέγκοιντο σιτία. τοῖς τε γὰρ λυπηθεῖσι, καὶ τοῖς γυμνασαμένοις εὐτονώτερον, εἰς τὴν γαστέρα συρρεῖ χολὴ ξανθή. πρὸς ταύτης οὖν δακνόμενοι, καρδιαλγοῦσιν, οὐδ᾽ ἐστὶν ἀναγκαῖον ἐν τῷδε τῷ λόγῳ τὴν αἰτίαν ἐπισκέπτεσθαι δι᾽ ἣν οὕτω συμβαίνει. μόνον γάρ μοι πρόκειται δεῖξαι κατά γε τὸ παρὸν, ὡς οὐκ ἔστι τῆς καρδίας τοῦ σπλάγχνου τὸ πάθος ἡ καρδιαλγία, καθάπερ οὐδὲ τὸ δάκνεσθαι κατὰ τὰς λύπας, ἀλλὰ τὸ μὲν σύμπτωμα τοῦ στόματος τῆς γαστρός. ἐπικεχείρηται δὲ ἀπὸ τῆς κατὰ τὴν θέσιν ἐγγύτητος, ὥσπερ γε καὶ τὸ πάλλεσθαι τὴν καρδίαν ἐν τοῖς φόβοις, ἀπὸ συμβεβηκότος ἐπιχειρεῖται, ὧν ἑκάτερον οὐκ ἔστιν ἐπιστημονικόν. εἰ δὲ συγχωρηθείη τοιοῦτον ὑπάρχειν,

demonstrauique nonnullas ab iis quæ cordi insunt accidúntque constitutas in sola ipsa re de qua est quæstio, ex genere scientificarum esse sumptionum, alias verò omnes dialecticas, quæ ab externis testibus petuntur, rhetoricas; quæ æquiuocationibus quibusdam, aut dictionis figuris construuntur, sophisticas. Quapropter scientificæ in singulis rebus omninò paucæ, & faciles numeratu sunt; exercitatoriæ permulæ. Ex singulis enim quæ insunt accidúntque rei, construuntur; rationem igitur quæ à voce petita est, ex situ proficisci indicauimus; ita etiam illam quæ ab inspiratione & expiratione sumitur. Pari modo habere deprehendes & eam quæ à morsu qui in tristitia accidit petitur. Palàm siquidem morsus in ventriculi orificio, hi autem ad cor ipsum referunt. Qui igitur, quia cor prope os ventriculi situm est, ideo affectum ab illo oriri putant à situ argumentantur. Qui autem ipsum verè cor morderi censent, omninò errant; siquidem infra thoracem morsus est sub pectoris cartilagine, cor autem in medio situm est thorace, & nullus vnquam cor ipsum morderi sensit, neque in tristitia, neque in alio animæ aut corporis affectu. Neque tamen nomen cardialgia, cor in thorace contentum dolere significat, sed est quædam æquiuocatio, quæ neminem latet, qui antiquorum libros euoluerit. Quemadmodum enim viscus quod in thorace est, sic & ventris os antiqui cor appellant; idque nominis frequenti apud ipsos in vsu est. Sed ego duobus tribusve exemplis, vt significatum ex dictione manifestò indicetur, efficiam. Nicander sanè hoc pacto inquit.

Appellant stomachi cor excipiens alimentum.

Thucydides hoc pacto. *Quum in cor defixisset, peruertissétque ipsum, etiam purgationes bilis omnes, vt sunt à medicis appellatæ, successerunt.* Hippocrates autem. *Mulier corde dolebat, ac nihil adhibuit præterquam in mali granati succum polentam inspergens; ac semel cibum sumere contenta erat, attraxitque cuiusmodi cerionis sunt.* Omnes hi palàm indicant os ventriculi appellari cor, vt huius quidem cordis affectus aliquis sit cardialgia; illius autem visceris, de quo proposita est disputatio, si principem animæ partem in se continet, eiusmodi affectus nunquam oboritur. Neque enim huius ventriculi oris omnem dolorem cardialgiam appellant, sed solùm quum ab acribus humoribus irritatur & mordetur, quod in tristitia contingit; ideo etiam ea affecti, bilem euomunt; nonnullis verò infra descendit, ac venter his summè biliosa deiicit. Verùm non solùm tristitia affectis euenit, sed etiam eorum qui impendio diutiùs à cibo abstinuerunt, non paucis os ventriculi morderi, magísque si post exercitationem vehementem cibum non assumpserint; nam tristitia affectis, exercitatísque valentiùs in ventriculum flaua bilis confluit. Ab hac itaq; morsi, cardialgia laborant. Neq; est necessarium in hac disputatione causam inspicere, cur id accidat. Solùm enim mihi propositum est ostendere hunc affectum cardialgiam non esse ex corde viscere, quemadmodum neque morsum in tristitia, sed oris ventriculi accidens. Argumentum verò hîc à situs vicinitate petitum est, quemadmodum & id de cordis palpitatione in metu ab accidenti sumitur; quorum neutrum scientificum est; sin autem concedatur tale esse,

non

non Stoïcis & Peripateticis, sed Hippocrati & Platoni suffragatur; quemadmodum etiam quæ irascentibus accidere tum in thorace toto, tum in corde Chrysippus commemorat. Quatenus enim dum docet, discítque, & in totum mouetur anima iuxta scientiam aliquam nihil demonstrant cordi accidere, in affectionibus autem ostendunt, hîc non solùm non subuertunt antiquum sermonem, sed etiam confirmant. Huiusmodi sanè argumenta ex secundo genere sumptionum existunt; quemadmodum opinor, etiam illud quod cor omnium animantis partium primum conformetur. Non enim si hoc concessum fuerit, initium facultate ostendet esse cor, de quo nunc disputamus, sed secundum generationem. Dictum autem à me est, definitúmque manifestè libro priore de principiorum differentia. Porrò quòd primum omnium animantis partium, moueri incipiat postremum autem cesset, ad sumptiones demonstratiuas pertinet. Ostenditur enim id motus esse initium, non tamen omnis, sed solius qui in pulsibus est, qui genere à voluntario diuersus est; illum autem neque primum incipere cor, neque postremum ab eo desistere aliquis demonstrare poterit. Ex hac igitur sumptione concludetur, non quod Aristoteli & Chrysippo, sed quod Platoni & Hippocrati videtur, nempe principium motus voluntarij esse cerebrum, alterius autem cuiusdam non voluntarij, cor. Erant itaque & hæc ad propositorum demonstrationem abundè; verùm quia hoc in libro statui omnes sumptiones pertractare, quæ ex his quæ cordi insunt, capiuntur, vbi cæteras addidero, librum finiam Accedit ipsis & Aristotelis sumptio, de qua circa primi libri finem transegi ex ijs quæ cordi insunt. Copia enim aliqua neruorum, inquit, in ipso conspicitur. Ac à nobis indicatum est, neruosa quædam esse corpora in corde, neruos autem non esse. Item quòd neruosæ corporis partes specie solum neruis respōdent, non actione & vsu. Licet autem discernere in instrumentis diuersitatem & identitatem actionibus ipsorum & vsu; quare nihil ampliùs de eisdem tractare opus est. Digrediemur autem ad aliquam ex reliquis, qua de omnes ferè meminerunt, quibus cor omnium facultatum principium esse in animalibus, creditum est. Dicunt enim vnde principium nutritionis in animalibus, illic ratiocinatricem animæ esse facultatem. In corde autem esse nutritionis animalium originem, quare & vim ratiocinantem intelligentémque in ipso existere. Verùm in vtrisque sumptionibus mentiuntur, neque enim in corde principium nutriendi, animantibus esse concedimus, sed vnum aliquod; & hoc est ex his quæ in præsenti opere ad speculationem erant proposita. Non oportet autem quod quæritur, ceu confessum accipere, neque vnum esse principium vtriusque facultatis, cuius nos contrarium demonstramus. Demiror igitur hîc viros illos, si ambo quæ inquiruntur, promptè accipiunt, ne vnam quidem demonstrationem proponentes. Simile verò quid efficiunt, quum animæ principem partem illic esse pronunciant, vnde nutrimenti principium; deinde assumunt, in corde alimenti esse principium; neque enim hoc verum est, quoniam alimenti tum humidi tum sicci principium est os, stomachus, & ventriculus authore Hippocrate; neque si

οὐ Στωϊκοῖς καὶ Περιπατητικοῖς, ἀλλ' Ἱπποκράτει καὶ Πλάτωνι μαρτυρεῖ, καθάπερ καὶ ὁπόσα τοῖς θυμουμένοις ὁ Χρύσιππος γράφει συμπίπτειν, ἔν τε τῷ θώρακι παντὶ καὶ κατὰ τὴν καρδίαν. ἄχρι γὰρ ἂν ἐν μὲν τῷ διδάσκειν τε, καὶ μανθάνειν, καὶ ὅλως κινεῖσθαι τὴν ψυχὴν κατ' ἐπιστήμην τινὰ, μηδὲν ἐπιδεικνύουσι συμβαῖνον τῇ καρδίᾳ. κατὰ δὲ τὰ πάθη δεικνύουσιν, οὐ μόνον οὐκ ἀνατρέπουσι τὸν παλαιὸν λόγον, ἀλλὰ καὶ κατασκευάζουσιν. τὰ μὲν δὴ τοιαῦτα τῶν ἐπιχειρημάτων, ἐκ τοῦ δευτέρου γένους ἐστὶ τῶν λημμάτων· ὥσπερ, οἶμαι, καὶ τὸ πρώτην ἁπάντων τῶν μορίων τοῦ ζώου διαπλάττεσθαι τὴν καρδίαν. οὐ γὰρ τὴν κατὰ δύναμιν ἀρχὴν ἐνδείκνυται τοῦτο συγχωρηθὲν, ὑπὲρ ἧς νῦν ζητοῦμεν, ἀλλὰ τὴν κατὰ γένεσιν. εἴρηται δέ μοι καὶ διώρισται σαφῶς ὑπὲρ τῆς διαφορᾶς τῶν ἀρχῶν ἐν τῷ πρόσθεν λόγῳ. τὸ μέντοι πρώτην μὲν ἁπάντων ἄρχεσθαι κινεῖσθαι τῶν τοῦ ζώου μορίων αὐτὴν, ὑστάτην δὲ παύεσθαι, τῶν ἀποδεικτικῶν ἐστι λημμάτων. ἐνδείκνυται γὰρ ἀρχὴν εἶναι κινήσεως αὐτὴν, οὐ μὴν ἁπάσης γε, ἀλλὰ μόνης τῆς κατὰ τοὺς σφυγμοὺς, ἥτις ἑτέρου γένους ἐστὶ τῆς κατὰ προαίρεσιν. ἐκείνης δ' οὔτ' ἄρχεσθαι πρώτην, οὔθ' ὑστάτην παύεσθαι τὴν καρδίαν ἔχει τις δεῖξαι. περαίνοιτ' ἂν οὖν κἀκ τούτου τοῦ λήμματος, οὐχ ὅπερ Ἀριστοτέλης τε καὶ Χρύσιππος ὑπολαμβάνουσιν, ἀλλ' ὃ Πλάτωνι καὶ Ἱπποκράτει δοκεῖ. τῆς μὲν κατὰ προαίρεσιν ἐν ἡμῖν κινήσεως, ἀρχὴν εἶναι τὸν ἐγκέφαλον, ἑτέρας δέ τινος ἀπροαιρέτου, τὴν καρδίαν. ἦν μὲν οὖν καὶ ταῦθ' ἱκανὰ πρὸς ἀπόδειξιν τῶν προκειμένων, ἀλλ' ἐπειδὴ προὐθέμην ἐν τῷδε τῷ βιβλίῳ τὰ λήμματα ἐπελθεῖν ἅπαντα τὰ λαμβανόμενα ἐκ τῶν ὑπαρχόντων τῇ καρδίᾳ, προσθεὶς ἔτι τὰ ὑπόλοιπα, καταπαύσω τὸν λόγον. ἐπ' αὐτοῖς δὲ ἐστὶ καὶ τὸ τοῦ Ἀριστοτέλους λῆμμα, περὶ οὗ κατὰ τὴν τελευτὴν τοῦ πρώτου βιβλίου διῆλθον ἐκ τῶν ὑπαρχόντων τῇ καρδίᾳ. πλῆθος γάρ τι νεύρων ἐν αὐτῇ φαίνεσθαί φησιν. ἐδείχθη δ' ὑφ' ἡμῶν ὡς νευρώδη μέν τινα σώματα κατὰ τὴν καρδίαν εἴη. νεῦρα δ' οὐκ εἴη, καὶ ὡς τὰ μὲν νευρώδη τοῦ σώματος, ἰδέᾳ μόνον ἔοικε τοῖς νεύροις, οὐκ ἐνεργείᾳ τε καὶ χρείᾳ. κρίνεσθαι δὲ προσήκει τὴν ἐν τοῖς ὀργάνοις ἑτερότητα, καὶ ταυτότητα ταῖς ἐνεργείαις καὶ ταῖς χρείαις αὐτῶν, ὥστ' οὐδὲν ἔτι περὶ τῶν αὐτῶν δέομαι διέρχεσθαι. μεταβήσομαι δ' ἐπί τι τῶν ὑπολοίπων οὗ σχεδὸν ἅπαντες μεμνημονεύκασιν, οἷς ἡ καρδία πασῶν τῶν δυνάμεων ἀρχὴ τῶν ἐν τοῖς ζώοις ὑπείληπται. λέγουσι γὰρ ὅθεν ἡ τοῦ τρέφεσθαι τοῖς ζώοις ἀρχὴ, κατ' ἐκεῖνο τὸ μόριον εἶναι καὶ τὸ λογιζόμενον τῆς ψυχῆς. ἐν καρδίᾳ δ' εἶναι τὴν τοῦ τρέφεσθαι τοῖς ζώοις ἀρχὴν, ὥστε καὶ τὸ λογιζόμενόν τε καὶ διανοούμενον ὑπάρχειν ἐν αὐτῇ. ψεύδονται δ' ἐν ἀμφοτέροις τοῖς λήμμασιν, οὔτε γὰρ ἐν καρδίᾳ τὴν ἀρχὴν τοῦ τρέφεσθαι τοῖς ζώοις εἶναι συγχωροῦμεν, ἀλλ' ἕν τι καὶ τοῦτ' ἐστι τῶν ἐν τῇδε τῇ πραγματείᾳ προκειμένων εἰς τὴν σκέψιν. οὐ χρὴ δὲ τὸ ζητούμενον ὡς ὁμολογούμενον λαμβάνειν, οὔτε τὸ μίαν ἀρχὴν ἀμφοτέρων ὑπάρχειν τῶν δυνάμεων, ἀλλὰ καὶ τούτου τὸ ἐναντίον ἡμεῖς ἀποδείκνυμεν. θαυμάζω τοίνυν κἀνταῦθα τῶν ἀνδρῶν, εἰ ἄμφω τὰ ζητούμενα προχείρως λαμβάνουσι οὐδεμίαν ἀπόδειξιν προστιθέντες, ὅμοιον δέ τι ποιοῦσι, κἀπειδὰν, ὅθεν ἡ ἀρχὴ τῆς τροφῆς ἐστιν, ἐνταῦθ' εἶναι φάσκουσι καὶ τὸ ἡγεμονικὸν, εἶθ' ἑξῆς προσλαμβάνουσιν ὡς ἐν τῇ καρδίᾳ τῆς τροφῆς ἐστιν ἀρχὴ, οὔτε γὰρ τοῦτ' ἀληθὲς, ἀρχὴ γὰρ τροφῆς καὶ ὑγρᾶς καὶ ξηρᾶς, στόμα, στόμαχος, κοιλίη, φησὶν Ἱπποκράτης, οὔτ'

εἰ καὶ πάντως μᾶλλον ἂν ἠκολούθει ἐξ ἀνάγκης, καθ' ὃ μόριον ἡ ἀρχὴ τῆς τροφῆς ἐστι, κατὰ τοῦτο ὑπάρχειν τὸν λογισμὸν, τοῦτο γὰρ ἕν τι τῶν ζητουμένων ἐστὶ, τὸ δ' ἕτερον τῶν ζητουμένων ψεῦδος. ἡ μὲν γὰρ πρώτη τῆς τροφῆς ἀρχὴ στόμα, στόμαχος, κοιλία, ἡ δευτέρα δ' αἱ ἐξ ἥπατος εἰς κοιλίαν καθήκουσαι φλέβες, ἐν αἷς πρώταις αἷμα γίγνεται, ἡ τρίτη δὲ τὸ ἧπαρ αὐτὸ, ἡ τετάρτη δὲ μετὰ τὸ ἧπαρ, ἡ κοίλη φλὲψ, ἐν ᾗ πρώτῃ καθαρὸν τῶν περιττωμάτων ἀπολείπεται τὸ αἷμα, παρὰ ταύτης δ' ἤδη τῆς φλεβὸς, ὥσπερ τἄλλα τοῦ ζώου μόρια πάντα, κατὰ τὸν αὐτὸν τρόπον ἡ καρδία λαμβάνει τὴν τροφήν. οὐ μὴν οὐδ' ὅταν εἴπωσιν, ὅθεν ἡ χορηγία τοῦ πνεύματος, ἐνταῦθ' εἶναι τὸ ἡγεμονικὸν, εἶτ' ἐπ' αὐτῷ προσλαμβάνουσιν ἐκ τῆς καρδίας χορηγεῖσθαι τὸ πνεῦμα, συγχωρητέον αὐτοῖς. καὶ γὰρ κἀνταῦθα πάλιν, εἰ μὲν τὸ ψυχικὸν πνεῦμά φασιν ἐκ τῆς καρδίας ἄρχεσθαι, τὸ ζητούμενον αὐτὸ λαμβάνουσιν. εἰ δὲ τὸ ζωτικὸν, οὐκ ἐξ ἀνάγκης ἀκολουθήσει τὴν αὐτὴν ἀρχὴν ἀμφοτέροις ὑπάρχειν. Ἐρασίστρατος οὖν οὐχ ἁπλῶς ὥσπερ οὗτοι τὸ ζητούμενον λαμβάνων, ἀλλὰ μετὰ κατασκευῆς λόγων οὐκ ὀλίγων· ἐκ μὲν τῆς κεφαλῆς φησι τὸ ψυχικὸν, ἐκ δὲ τῆς καρδίας τὸ ζωτικὸν ὁρμᾶσθαι πνεῦμα. εἰ δ' οὐδέτερον μὲν τούτων τῶν πνευμάτων ἠρωτῆσθαι, κατὰ τὸν λόγον ἐροῦσι. τὸ δὲ ἀνάλογον τῇ ξηρᾷ τε καὶ ὑγρᾷ τροφῇ τὸ προσαγορευόμενον ὑλικὸν, ἀκούσονται καὶ περὶ τοῦδε παρ' Ἱπποκράτους. ἀρχὴ τροφῆς πνεύματος, στόμα, ῥῖνες, βρόγχος, πνεύμων, καὶ ἡ ἄλλη διαπνοή. οὔκουν οὔτε τούτων τῶν λόγων ἰσχυρὸς οὐδεὶς, οὐθ' ὅταν ὁ Διογένης εἴπῃ, ὃ πρῶτον τροφῆς καὶ πνεύματος ἀρύεται, ἐν τούτῳ ὑπάρχει τὸ ἡγεμονικόν. ὁ δὲ πρῶτον τροφῆς καὶ πνεύματος ἀρύεται, ἡ καρδία. τὸ γὰρ πρῶτον ἐρωτήσομεν ὅπως λέγει. εἰ μὲν γὰρ ὡς ὄργανον πρῶτον, οὐδαμῶς ἡ καρδία τροφῆς καὶ πνεύματος ἀρύεται πρώτη, ἀλλὰ τροφῆς μὲν στόμα, στόμαχος, κοιλία. πνεύματος δὲ στόμα, ῥῖνες, βρόγχος, πνεύμων. εἰ δ' ὡς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεώς ἐστι τοῖς ἀρυομένοις, ἀληθὲς μὲν τὸ πρότερον λῆμμα, τοῦ δευτέρου δ' ἀντιληψόμεθα, φάσκοντες αὐτὸ τὸ ζητούμενον ἑτοίμως λαμβάνειν αὐτόν. ἡμεῖς μὲν γὰρ ἀπὸ κεφαλῆς πεμφθήσεσθαι τὴν ἀρχὴν ὁμολογοῦμεν τῆς κινήσεως, ἐπειδὰν ἐσθίειν, ἢ πίνειν, ἢ ἀναπνεῖν βουλόμεθα. ὁ Διογένης δὲ τοῦτο λαβὼν χωρὶς ἀποδείξεως, ἀμφισβήτησιν πεποίηκεν ἰδίαν. κατὰ τὸν αὐτὸν δὲ τρόπον, καὶ ἑαυτοῦ τοῖς λόγοις ἐχρήσατο, τὸ φησὶ, κινοῦν τὸν ἄνθρωπον τὰς κατὰ προαίρεσιν κινήσεις, ψυχική τίς ἐστιν ἀναθυμίασις, πᾶσα δὲ ἀναθυμίασις ἐκ τῆς τροφῆς ἀνάγεται, ὥστε τὸ κινοῦν πρῶτον τὰς κατὰ προαίρεσιν κινήσεις, καὶ τὸ τρέφον ἡμᾶς ἀνάγκη ἓν καὶ ταὐτὸν εἶναι. ὅταν ταῦτα ὁ Διογένης γράφῃ, περὶ μὲν οὖν οὐ τὴν οὐσίαν εἶναι τῆς ψυχῆς ἀναθυμίασιν, εἴτ' οὖν ἐκ τροφῆς, εἴτ' ἐκ πνεύματος, οὐδὲν ἔν γε τῷ παρόντι φήσομεν ἀμφισβητεῖν, ἵνα μὴ τὰ πάντα λυπῶμεν τὸν ἄνδρα. περὶ δὲ τοῦ ταὐτὸν εἶναι τὸ κινοῦν πρῶτον ἡμᾶς τὰς κατὰ προαίρεσιν κινήσεις, καὶ τὸ τρέφον, ἀντιληψόμεθα. τοὐναντίον γὰρ ἅπαν ἐξ ὧν ὑπέθετο περαίνεσθαι φήσομεν, ἐξ αἵματος μὲν ὁμολογοῦντες. *** καὶ αὐτὸς ἐπιλανθανόμενος τῶν οἰκείων δογμάτων, αἷμά φησιν εἶναι τὴν ψυχὴν, ὡς Ἐμπεδοκλῆς καὶ Κριτίας ὑπέλαβον. εἰ δέ γε ἕποιτο Κλεάνθει, καὶ Χρυσίππῳ, καὶ Ζήνωνι, τρέφεσθαι μὲν ἐξ αἵματος φήσας τὴν ψυχὴν, οὐσίαν δ' αὐτῆς ὑπάρχειν τὸ πνεῦμα, πῶς ἔτι ταὐτὸν ἔσται τὸ τρέφον τε καὶ κινοῦν, εἴπερ τρέφει μὲν τὸ αἷμα, κινεῖ δὲ τὸ πνεῦμα; ὥστε πρὸς τοῖς ἄλλοις ἀτόποις καὶ ἀπέραντός ἐστιν ὁ τοῦ Διογένους λόγος.

omnino admitteretur, consequens esset, in qua parte principium nutritionis est, in eadem haberi ratiocinatricem: siquidem hoc vnum ex his quæ disquiruntur, existit; alterum verò quæsitorum mendacium est. Etenim primum alimenti principium est os, stomachus, & ventriculus; alterum venæ ex iecore in ventrem pertinentes, in quibus primis sanguis gignitur; tertium iecur ipsum; quartum post iecur vena caua, in qua prima purus à recrementis sanguis relinquitur. Ab hac iam vena, quemadmodum aliæ animantis partes omnes, eodem modo cor alimentum recipit. Non tamen quum dicunt, vnde spiritus suggeritur, ibidem esse animæ principem facultatem, deinde ad id assumunt, ex corde spiritum suppeditari, ipsis concedendum est. Etenim hîc quoque rursus si animalem spiritum ex corde oriri dicunt, quæsitum ipsum sumunt; si vitalem, non necessariò sequetur idem vtrisque esse principium. Erasistratus igitur non simpliciter, quemadmodum hi, id quod quæritur, assumens, sed longo verborum contextu, ex capite animalem, ex corde vitalem spiritum proficisci affirmat. Quòd si horum spirituum neutrum in sermone attingi dicunt, sed dictum materialem, qui sicco humidóque alimento proportione respondet, audient hoc quoque ab Hippocrate. *Principium alimenti spiritus os est, nasus, aspera arteria, pulmo, aliúsque perspiratus.* Igitur nulla harum rationum valida est, nec quam affert Diogenes: *quod primum alimentum spiritúmque haurit, in hoc princeps facultas animæ existit, quod autem primum alimentum & spiritum haurit, cor est.* Nam quomodo intelligat primùm discutiemus. Si enim vt instrumentum primum, nequaquam cor alimentum spiritúmque haurit primum, sed nutrimentum quidem os, stomachus, venter; spiritum vero os, nares, guttur, pulmo. At si quod vnde principium motus inest partibus haurientibus, vera quidem prior sumptio; secundam autem reprobabimus, assumere ipsam dicentes promptè id quod ab initio quærebatur. Siquidem nos motus initium à capite transmitti fatemur, quum edere, aut bibere, aut respirare volumus At Diogenes hoc assumpto citra demonstrationem, ambiguitatem propriam peperit; eodem pacto & suis rationibus est vsus dum ait: *Quod mouet hominem voluntarijs motibus, animalis quædam euaporatio est; omnis autem euaporatio ex nutrimento attollitur, preinde quod primum mouet motibus voluntarijs, & quod nutrit, necesse est vnum & idem esse.* Quum hæc Diogenes scribat; de eo quidem, quod animæ substantia, sit euaporatio, siue ex alimento, siue ex spiritu, nihil ad præsens ambigendum dicimus, ne omnino homini simus molesti. De eo autem quod idem sit mouens nos primum iuxta arbitrium & nutriens, refragabimur; quippe ex his quæ supposuit omnino contrarium concludi dicemus, ex sanguine confitentes fieri euaporationem. Diogenes, etiam ipse suorum dogmatum oblitus sanguinem esse ait animã, vt Empedocles & Critias existimarunt. Si autẽ Cleanthem, Chrysippum, & Zenonẽ, sequatur, qui animã ex sanguine nutriri dixerunt, substantiam autem ipsius esse spiritum, quomodo adhuc idem erit id quod nutrit, & id quod mouet. siquidem sanguis nutrit, spiritus autem mouet? Quapropter præter alia absurda etiã indefinita est & nequit cõcludi Diogenis oratio,

nam

nam quod infert præpositis sumptionibus, non necessariò sequitur, de quo subsequentibus commentariis agetur. Siquidem impræsentiarum tempestiuum mihi videtur huic libro finem imponere. Quum enim essem pollicitus, de iis quæ manifestò videntur cordi inesse, hoc commentario verba facere, quid amplius opus habeam huiusmodi argumenta attingere, quorum initium dogmatis potius quàm eo quod apparet, ex dissectione constituatur?

A ὃ γὰρ ἐπιφέρεται τοῖς ὑποτεθεῖσι λήμμασιν, οὐκ ἐξ ἀνάγκης ἕπεται. διελθήσεται δὲ ἐπὶ πλέον ὑπὲρ αὐτοῦ διὰ τῶν ἑξῆς ὑπομνημάτων. ἐν μὲν γὰρ τῷ παρόντι δοκῶ μοι καιρὸν εἶναι καταπαύειν ἐν τῷδε τὸ βιβλίον. ὑποσχόμενος γὰρ περὶ τῶν ἐναργῶς φαινομένων ὑπάρχειν τῇ καρδίᾳ, τὸν λόγον ἐν τῷδε τῷ γράμματι ποιήσασθαι, τί ἂν ἔτι δεοίμην ἐφάπτεσθαι τοιούτων ἐπιχειρημάτων, ὧν δόγματα μᾶλλον, οὐ τὸ φαινόμενον ἐκ τῆς ἀνατομῆς ἡ ἀρχὴ τῆς συστάσεώς ἐστιν;

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΚΑΘ' ΙΠΠΟΚΡΑΤΗΝ ΚΑΙ ΠΛΑΤΩΝΑ ΔΟΓΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

GALENI DE HIPPOCRATIS ET PLATONIS PLACITIS LIBER TERTIVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΤΡΙΤΩι.

Ενταῦθα τῶν λημμάτων πάλιν ἀναμνήσεται, τὸν ἀριθμόν τε καὶ τὰς τῶν δυνάμεων οὐσίας διδάσκει, καὶ πρὸς τὸ ἀνατρέπειν τὰ τοῦ Χρυσίππου λήμματα, ἐπεξέρχεται ἐλλείποντα.

ARGVMENTVM LIBRI TERTII.

Hìc meminit iterum sumptionum, numerum & substantias facultatum docet, & quæ desunt ad dicta Chrysippi refellenda persequitur.

CAPVT PRIMVM.

Refellitur Chrysippi sententia, quæ quum principis animæ partis sedem in corde esse probaret, aliud inferebat.

QVOD sanè necessarium existat, non solùm philosophis, sed medicis etiã, quicunque non absque ratiocinatione artem attingunt, speculari de facultatibus corpus nostrum regentibus, quot genere sint, & quales secundum speciem singulæ, quámque potissimùm animantis partem occupent, primo libro est demonstratum. Quòd autem Plato & Hippocrates ij sunt qui optimè de ipsis pronunciarunt, non paucis quidem priore etiam libro exposui absolutissimè verò secundo libro, sermone sum executus, differentias omnium sumptionum exponens, quibus clarissimi philosophi in proposito dogmate vsi sunt. At operæ pretium mihi videtur, etiamnum impræsentiarum mentione de ipsis facta, reliquam disputationem ita finire. Referebam quatuor in vniuersum sumptionum esse differentias. Nonnullas enim ipsarum ab iis quæ parti insunt, iuxta problematis substantiam desumi; aliquas verò ab iis

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ανατρέπεται τὰ τοῦ Χρυσίππου λήμματα, οἷς τὸ τῆς ψυχῆς ἡγεμονικὸν ἐν τῇ καρδίᾳ περιέχεσθαι ἀποδεικνύων, ἄλλ' ἐπέφερε.

A ΟΤΙ μὲν ἀναγκαῖόν ἐστιν οὐ φιλοσόφοις μόνον, ἀλλὰ καὶ ἰατροῖς, ὅσοι γε μὴ ἀλογίστως ἅπτονται τῆς τέχνης, ἐσκέφθαι περὶ τῶν διοικουσῶν ἡμᾶς δυνάμεων, ὁπόσαι τέ εἰσι κατὰ γένος, ὁποία τέ τις ἑκάστη κατ' εἶδος, ἐν τίνι τε μάλιστα τοῦ ζώου μορίῳ καθίδρυται, διὰ τοῦ πρώτου δέδεικται λόγου. ὅτι δ' οἱ κάλλιστα περὶ αὐτῶν ἀποφηνάμενοι, Πλάτων τε καὶ Ιπποκράτης εἰσὶν, ἐρρέθη μὲν οὐκ ὀλίγα καὶ διὰ τοῦ πρώτου βιβλίου. τελεώτατα δὲ ἐπεξῆλθον τῷ λόγῳ κατὰ τὸ δεύτερον γράμμα, τὰς B διαφορὰς ἁπάντων τῶν λημμάτων ἐκθέμενος, οἷς ἐχρήσαντο περὶ τοῦ προκειμένου δόγματος οἱ ἐπιφανέστατοι τῶν φιλοσόφων. ἀναγκαῖον δέ μοι δοκεῖ καὶ νῦν ἔτι περὶ αὐτῶν ἀναμνήσαντι, περαίνειν οὕτω τὸν ὑπόλοιπον λόγον, τέτταρας ἔλεγον εἶναι τὰς πάσας διαφορὰς τῶν λημμάτων. ἔνια μὲν γὰρ αὐτῶν ἀπὸ τῶν ὑπαρχόντων τῷ μορίῳ λαμβάνεσθαι κατὰ τὴν τοῦ προβλήματος οὐσίαν, ἔνια δὲ ἀπὸ τῶν

ὑπαρχόντων μὲν, οὐ μὴν κατὰ τὸ προβεβλημένον τε καὶ ζητούμενον, ἕτερα δὲ ἀπὸ τῶν ἔξωθεν μαρτύρων. πρὸς τούτοις δὲ καὶ τὸ τέταρτον ἀπὸ τῶν σοφιστικῶν λημμάτων, τοῖς τῆς λέξεως σχήμασι πρὸς ἀμφιβολίαν πεπανουργημένον. οὐκ ὀλίγα δὲ ἔγραψα παραδείγματα, ἀφ' ὧν ἕκαστον τῶν λημμάτων ἐφευρίσκεται γένος, αὐτὰ τὰ ῥήματα τῶν χρωμένων αὐτοῖς παρατιθέμενος. καὶ δὴ τοὺς λόγους αὐτῶν ἀνατρέπων ἱκανῶς, βέλτιον ἐγνώκειν ἐν αὐτῷ τῷ τρίτῳ γράμματι τόν τ' ἀριθμὸν καὶ τὰς οὐσίας τῶν ἀρετῶν διδάσκειν. κατὰ δὲ τὸν αὐτὸν τρόπον ὑπάρχεταί μοι τῶν ἀρετῶν μνημονεύσαντι, τὸ λέγειν τὸν ἀριθμὸν καὶ τὰς διαφορὰς τῶν συμβεβηκότων, καὶ τίς γε τῶν ἐπιφανεστάτων σοφιστῶν μὴ φήσας, ὡς οὐ δυνατὸν ἀνατρέπειν ὅσα περ ὁ Χρύσιππος ἔγραψε περὶ τοῦ, τὴν καρδίαν μόνην ἐν τῷ σώματι τοῦ ζώου ἀρχὴν εἶναι τοῦ ἡγεμονικοῦ. κατὰ τοῦτο τὸ τρίτον ὑπόμνημα ἐπεξελθεῖν μὲν τῷ λόγῳ τὰ γ' ἐλλείποντα προεβίασεν. ἴσως μὲν οὖν οὗτο αἴτιον αὐτῷ γενήσεται τοῦ ἐπαίνου, ἐπεί τοι οἱ μνημονεύοντες τῶν εἰρημένων ἐν τῷ δευτέρῳ λόγῳ, γινώσκουσιν ἡμᾶς τὸ ἰσχυρόν τε καὶ γενναῖον, ὧν ὁ Χρύσιππος εἶπεν, ἀνατρέποντας, ἐάσαντάς τε τὰ ἀσθενέστατα, ἐπιδεικνύειν αὐτοῦ τὰ σφάλματα. λέγω δὴ ὅτι ὁ Χρύσιππος κατὰ τὸ πρῶτον αὐτοῦ περὶ ψυχῆς λόγον τῶν μερῶν αὐτῆς τοῦ ἡγεμονικοῦ μνημονεύειν ἀρχόμενος, ἔνθα δεικνύναι πειρᾶται τὴν ἀρχὴν τῆς ψυχῆς ἐν τῇ καρδίᾳ μόνῃ περιέχεσθαι, οὑτωσὶ λέγει. ἡ ψυχὴ πνεῦμά ἐστι σύμφυτον ἡμῖν συνεχὲς παντὶ τῷ σώματι, διῆκον ἔστ' ἂν ἡ τῆς ζωῆς συμμετρία παρῇ ἐν τῷ σώματι. ταύτης οὖν τῶν μερῶν ἑκάστῳ διατεταγμένον μορίῳ, τὸ διῆκον αὐτῆς εἰς τὴν τραχεῖαν ἀρτηρίαν φωνὴν εἶναι, τὸ δὲ εἰς ὀφθαλμοὺς ὄψιν, τὰ δὲ εἰς ὦτα, ἀκοὴν, τὰ δὲ εἰς ῥῖνας, ὄσφρησιν, τὸ δ' εἰς γλῶτταν, γεῦσιν, τὸ δ' εἰς ὅλην τὴν σάρκα, ἀφὴν, καὶ τὸ εἰς ὄρχεις, ἕτερόν τιν' ἔχον τοιοῦτον λόγον σπερματικόν, εἰς ὃ δὲ συμβαίνει πάντα ταῦτα, ἐν τῇ καρδίᾳ εἶναι, μέρος ὂν αὐτῆς τὸ ἡγεμονικόν. οὕτω δὲ ἐχόντων αὐτῶν, τὰ μὲν λοιπὰ συμφωνεῖται. περὶ δὲ τοῦ ἡγεμονικοῦ μέρους τῆς ψυχῆς διαφωνοῦσιν, ἄλλοι ἐν ἄλλοις λέγοντες αὐτὸ εἶναι τόποις. οἱ μὲν γὰρ περὶ τὸν θώρακά φασιν εἶναι αὐτὸ, οἱ δὲ περὶ τὴν κεφαλήν. κατὰ τὰ αὐτὰ δὲ ταῦτα διαφωνοῦσι ποῦ τῆς κεφαλῆς καὶ τοῦ θώρακός ἐστιν, οὐ συμφωνοῦντες αὑτοῖς. Πλάτων δὲ καὶ τριμερῆ τὴν ψυχὴν φήσας εἶναι, τὸ μὲν λογιστικὸν ἔλεγεν ἐν τῇ κεφαλῇ εἶναι, τὸ δὲ θυμοειδὲς, περὶ τὸν θώρακα, τὸ δὲ ἐπιθυμητικὸν, περὶ τὸν ὀμφαλόν, οὕτω φαίνεται διαφεύγειν ὁ τόπος ἡμᾶς, οὔτ' αἰσθήσεως ἐκφανοῦς γενομένης, ὅπερ ἐπὶ τῶν λοιπῶν συντετύχηκεν, οὔτε τῶν τεκμηρίων, δι' ὧν ἄν τις συλλογίσαιτο τοῦτο. οὐδὲ γὰρ ἂν ἀντιλογία ἐπὶ τοσοῦτον προῆλθεν, καὶ ἐν ἰατροῖς καὶ ἐν φιλοσόφοις. αὕτη πρώτη ῥῆσις γέγραπται ὑπὸ Χρεσίππου περὶ ἡγεμονικοῦ, κατὰ τὸ πρότερον περὶ ψυχῆς. τὸ μὲν γὰρ ἥμισυ μέρος αὐτῷ τῆς βίβλου τὸ πρότερον, ὑπὲρ οὐσίας ψυχῆς ἔχει τὴν σκέψιν. κατὰ δὲ τὸ ἐφεξῆς ἥμισυ τὸ ἀπὸ τῆς γεγραμμένης ῥήσεως ἀρχόμενον, ἐπιδεικνύναι πειρᾶται τὸ τῆς ψυχῆς ἡγεμονοῦν ἐν καρδίᾳ περιέχεσθαι. τὴν μὲν οὖν ἀρχὴν τοῦ λόγου δίκαιον ἀγάσασθαι, σαφῶς τε γὰρ ἅμα καὶ ἀκριβῶς ὡς ἐχρῆν εἰπεῖν ἀρχόμενον ἄνδρα τηλικούτου δόγματος εἴρηται Χρεσίππῳ. καὶ γὰρ ὅτι Γλάτων τρία μέρη τῆς ψυχῆς ἐτίθετο, καὶ ἅτινα ταῦτα εἴρηκε, καὶ καθ' οὕς τινας τόπους ἐν τοῖς ζώοις καθιδρυμένα, καὶ ὅτι λόγῳ χρὴ διασκέψασθαι περὶ τοῦ δόγματος ἐκφυγόντος τὰς αἰσθήσεις. τὰ δ' ἐφεξῆς οὐκ ἔθ' ὁμοίως ἔχει. δίκαιον γὰρ ἦν, οἶμαι, πρῶτον μὲν εἰπεῖν ὑπὸ τίνων πιθανῶν ἀναπεισθεὶς ὁ Πλάτων οὕτως ἐδόξαζεν, ἔπειτα δὲ ἐξελέγξαι καὶ διαβαλεῖν αὐτὰ, κἀπὶ τούτῳ τὴν ἑαυτοῦ κατασκευάσαι δόξαν, οὐκ ἐκ πι-

A sanè quæ insunt, non tamen secundum id quod propositū est, ac de quo quęstio habetur; alias à testibus externis. Præterea etiam quartam differentiam à sophisticis sumptionibus procedere, vocabuli figuris ad ambiguitatem dolosè constructam. Porrò non pauca exempla descripsi vnde vnumquodque sumptionum genus adinuenitur; eadem verba eorum qui ipsis vtuntur, adiiciens. Ac iam rationes ipsorum euertens, longè satius censui in hoc tertio libro & numerum & substantias facultatum docere. Pari modo subit mihi facultates recordanti enumerare numerum & discrimina accidentium; atque clarissimorum sophistarum aliquis professus Chrysippi scripta de B eo quòd cor solùm in animantis corpore animi principis sit origo, non posse euerti; hoc tertio commentario ea quæ desunt, oratione persequi coëgit. Forsan igitur hæc ipsa mihi laudis occasio fuerit, quandoquidem qui in memoria habent ea quæ secundo libro sunt comprehensa, norunt validas nos & generosas Chrysippi rationes confutasse, & relictis infirmioribus errores eius indicasse. Dico sanè Chrysippum primo suo de anima libro, principis ipsius partis mentionem facere, illinc exordientem vbi princi- C pium animæ in solo contineri corde ostendere conatur, hisce nimirum verbis. *Anima spiritus est nobis insitus, continuúsque, totum corpus permeans, quamdiu vitæ commoderatio in illo adfuerit. Inter huius itaque partes singulis destinatas partibus ea quæ in asperam arteriam pertingit, vox est; quæ in oculos, visus; quæ in aures, auditus; quæ in nares, olfactus; quæ in linguam, gustus; quæ in totam carnem, tactus; & quæ in testes, aliam quandam eiusmodi rationem seminariam obtinet. At locus in quem hæc omnia conueniunt, cor est, vbi anima principatus consistit. Quæ quum ita se habeant, de reliquis sanè* D *inter ipsos conuenit; de animæ verò principatu dissentiunt; dum alij in alijs esse locis ipsum asserunt; nonnulli siquidem in thorace ipsum esse tuentur, nonnulli in capite; in ijs autem ipsis rursus dissentiunt, dum non constat inter ipsos, quanam in capitis parte & thoracis habeatur. Plato autem triplicem esse animam professus, ratiocinatricem in capite; irascibilem circa thoracem; appetitricem circa vmbilicum esse dicebat; ita nos locus subterfugere videtur, quum nec sensui euidenter appareat, quod in reliquis accidit, neque coniecturis deprehendatur quibus id aliquis possit colligere; neque enim eousque & inter medicos, & inter philosophos controuersia precessisset.* Hæc prima E verba à Chrysippo prodita sunt de principatu animæ, in primo de eadem libro; nam dimidia libri ipsius pars prior de animæ substantia speculationem continet; reliqua pars quæ à commemoratis verbis incipit, animæ principatum contineri in corde demonstrare conatur. Principium itaque orationis admirari iustum est; quippe tum manifestè, tum exactè, vt conueniebat virum dicere tanti dogmatis principem, à Chrysippo dictum est. Etenim quòd Plato tres animæ partes statuerit, & quænam hæ sint, quibúsque locis in animantibus collocaren- F tur, exposuit; item quòd ratione de placito quod sensus effugit, considerare oporteat. Quæ subsequuntur, non ita simili modo habent. Æquum namque erat (meo iudicio) primùm exponere quibus rationibus Plato persuasus ita censuerit, deinde redarguere eas, & euertere; postea suam ipsius opinionem statuere, non probabilibus

babilibus argumentis, quibus vti mos est sophistis & rhetoribus; verùm ex scientificis, & demonstratiuis, quæ tractare philosophos veri studiosos decet. Nunquid igitur Chrysippus ita factitauit, an omnino contra? Certè oblitus est se quicquam omninò priùs de Platonis opinione dixisse. Incipit autem ab eo sumptionum genere argumentari, quod ex testium, aut vulgi opinione, non secundum rei naturam credere dignum est. Apponam autem verba ipsa, quæ in hunc ferè modum habent. *De subsequentibus pari modo disquiremus, à communi inclinatione, & sermonibus secundum hanc prolatis exordientes.* Communem inclinationem Chrysippus hîc intelligit, id quod communiter omnibus hominibus videtur: deinde inferens inquit. *Et in his abundè videntur ab initio ad hoc inclinare vt princeps scilicet animæ pars in corde sita sit.* Deinde rursus ea ipsa argumenta attingens, ita ad verbum scribit; *Communiter multi reliqui huc ferri videntur, ceu in thorace mentis affectiones oboriri sentientes, præsertim quo in loco cor est collocatum; quemadmodum in tristitia, metu, & ira; præsertim autem iracundia, dum ex corde vaporis modo erumpit, foràsque aliquò propellitur, & faciem manúsque inflans, nobis fit conspicua.* In his Chrysippum non possum non demirari, qui omnia simul confundat perturbétque. Quum enim paulò antè dixisset Platonem putare vim irascibilem in thoracis regionibus consistere; deinde ea quibus incitatus huc peruenit, dicere supersedit, qúmque omisisset eadem reprehendere, suam statim opinionem aperire incipit, primùm omnium eorum argumentorum in memoriam reuocans, quibus animam irascibilem in thorace haberi ostendit. Neque enim aliis rebus apparentibus, quàm ex iis quæ Chrysippus protulit, nunc euidentiùs demonstraueris ex thorace & corde iracundiam proficisci; nam veluti, inquit, *si iracundia ex corde euaporet, & foràs aliquò propellatur, faciémque & manus inflet, nobis apparet*; in his verbis Chrysippus consentire videtur veterum sententiæ, qui feruorem innati caloris aliquem in corde per iracundiam oboriri dicunt; quo feruore accidit, vt & facies infletur, totum corpus rubescat, calescátque & vehementer cor vna cum omnibus animantis arteriis subsiliat. An itaque Plato diuersum quiddam his dicat, quum in Timæo scribit; *Cor, venarum & sanguinis per omnia membra vehementer discurrentis fontem in regione stipata collocarunt, vt quando iracundiæ vis exardescit, ratione nunciante si quid extrinsecus iniustè fiat, vel intus aliqua concupiscentia turbet; subitò per meatus omnes quamuis angustos quicquid in corpore sensus est compos, iussa minásque sentiat, pareátque imperanti.* Præterea secundum hæc ita scribit: *At dum cor malorum expectatione & iracundia excitata subsultat, prænoscentes totam eiusmodi regionem irascentis partis veluti igneam fore, præsidium ipsi molientes, pulmonis ideam inseruerunt.* Quapropter, charissime Chrysippe, Platonis dogma scribis, quum ex corde iracundiæ vim incendi, & foràs propelli, faciémque inflari dicas.

πιθανῶν ἐπιχειρημάτων, οἷς ἔθος ἐστὶ χρῆσθαι σοφισταῖς τε καὶ ῥήτορσιν, ἀλλ' ἐξ ἐπιστημονικῶν τε καὶ ἀποδεικτικῶν, ἃ δὴ μεταχειρίζεσθαι πρέπει φιλοσόφοις ἀνδράσιν ἀλήθειαν σπουδάζουσιν. ἆρ' οὖν οὕτως ὁ Χρύσιππος ἔπραξεν, ἢ πᾶν τοὐναντίον; ἐπελάθετο μὲν, ὡς μηδὲ προειρηκὼς ὅλως τι περὶ τῆς τοῦ Πλάτωνος δόξης. ἄρχεται δ' ἐπιχειρεῖν ἀπὸ τοῦ γένους τῶν λημμάτων, ὃ κατὰ μαρτύρων δόξαν, ἢ πλήθους, οὐ κατὰ τὴν τοῦ πράγματος φύσιν ἄξιον πιστεύεσθαι. παραγράψω δὲ καὶ τὴν ῥῆσιν αὐτὴν ὧδέ πως ἔχουσαν. περὶ ὧν ἑξῆς ζητήσομεν παραπλησίως ἀπὸ τῆς κοινῆς ὁρμώμενοι φορᾶς, καὶ τῶν κατὰ ταύτην εἰρημένων λόγων. κοινὴν ἐνταῦθα φορὰν ὁ Χρύσιππος εἴρηκε, τὸ κοινῇ πᾶσιν ἀνθρώποις δοκοῦν· εἶτ' ἐπιφέρων φησί. καὶ ἐπὶ τούτων ἱκανῶς φαίνονται ἐννενεῦσθαι ἀπ' ἀρχῆς, εἰς τὸ εἶναι τὸ ἡγεμονικὸν ἡμῶν ἐν τῇ καρδίᾳ, εἶτ' ἐφεξῆς τούτων ἀπτόμενος ἤδη τῶν προειρημένων αὐτῷ, ὧδέ πως γράφει κατὰ λέξιν. κοινῇ δέ μοι δοκοῦσιν οἱ πολλοὶ φέρεσθαι ἐπὶ τοῦτο, ὡσανεὶ συναισθανόμενοι περὶ τὸν θώρακα αὐτοῖς τῶν κατὰ τὴν διάνοιαν παθῶν γινομένων, καὶ μάλιστα καθ' ὃν ἡ καρδία τέτακται τόπον, οἷον μάλιστα ἐπὶ τῶν λυπῶν, καὶ τῶν φόβων, καὶ ἐπὶ τῆς ὀργῆς, καὶ μάλιστα τοῦ θυμοῦ, ἐκ τῆς καρδίας ἀναθυμιωμένου, καὶ ὠθουμένου ἐκτὸς ἐπί τινα, καὶ ἐμφυσῶντος τὸ πρόσωπον, καὶ τὰς χεῖρας, γίνεται ἡμῖν ἔμφασις. ἐν τούτοις ἤδη πάνυ σφόδρα θαυμάζω τοῦ Χρυσίππου πάνθ' ἅμα συγχέοντός τε καὶ ταράττοντος. εἰρηκὼς τε γὰρ ὀλίγον ἔμπροσθεν ὡς ὁ Πλάτων ἐν τοῖς περὶ τὸν θώρακα τόποις ὑπολαμβάνει τὸ θυμοειδὲς ὑπάρχειν, εἶτ' ἀφ' ὧν κινηθεὶς ἐπὶ τοῦθ' ἧκεν ὑπερβὰς εἰπεῖν, ὑπερβὰς δὲ καὶ τὸ διελέγχειν αὐτά, κατασκευάζειν εὐθὺς ἄρχεται τὰ δοκοῦντα αὐτῷ πρῶτον πάντων τῶν ἐπιχειρημάτων μνημονεύων, δι' ὧν δείκνυται τὸ θυμοειδὲς ἐν τοῖς κατὰ τὸν θώρακα τόποις ὑπάρχον. οὐ γὰρ δὴ ἐξ ἄλλων πραγμάτων φαινομένων, ἢ ἐξ ὧν εἴρηκεν ὁ Χρύσιππος νῦν, ἐναργέστερον ἄν τις ἀποδείξειεν ἐκ θώρακός τε καὶ καρδίας ὁρμᾶσθαι τὸν θυμόν. ὡσανεὶ γάρ φησιν ἀναθυμιωμένου τοῦ θυμοῦ ἐκ τῆς καρδίας, καὶ ὠθουμένου ἐκτὸς ἐπί τινα, καὶ ἐμφυσῶντος τὸ πρόσωπόν τε καὶ τὰς χεῖρας, γίνεται ἡμῖν ἔμφασις. ἐν ταύτῃ τῇ ῥήσει συγχωρεῖν ἔοικεν ὁ Χρύσιππος τῷ παλαιῷ λόγῳ ζέσιν τινὰ τῆς ἐμφύτου θερμότητος ὑπολαμβάνοντι γίνεσθαι κατὰ τὴν καρδίαν ἐν τοῖς θυμοῖς, ἣ ζέσει τό, τε διαφυσᾶσθαι τὸ πρόσωπον ἕπεται, καὶ σύμπαν ἐρυθαίνειν τε καὶ θερμαίνεσθαι τὸ σῶμα, καὶ σφοδρῶς πηδᾶν τὴν καρδίαν σὺν ταῖς κατὰ τὸ ζῶον ἁπάσαις ἀρτηρίαις. ἆρ' οὖν ὁ Πλάτων ἕτερόν τι φησιν ἐπειδὰν ἐν Τιμαίῳ γράφῃ· τὴν δὲ καρδίαν ἅμα τῶν φλεβῶν καὶ πηγὴν τοῦ περιφερομένου κατὰ πάντα τὰ μέλη σφοδρῶς αἵματος, εἰς τὴν δορυφορικὴν οἴκησιν κατέστησαν, ἵν' ὅτε ζέσειε τὸ τοῦ θυμουμένου λόγου παραγγείλαντος, ὅτι τις ἄδικος περὶ αὐτὰ γίγνεται πρᾶξις ἔξωθεν, ἢ καί τις ἀπὸ τῶν ἔνδοθεν ἐπιθυμιῶν, ὀξέως διὰ πάντων τῶν στενωπῶν πᾶν ὅσον αἰσθητικὸν ἐν τῷ σώματι, τῶν τε παρακελεύσεων καὶ ἀπειλῶν αἰσθανόμενον, γίγνηται ἐπήκοον. ἔτι δὲ τούτοις ἐφεξῆς καὶ τάδε γράφει. τῇ δὲ δὴ πηδήσει τῆς καρδίας ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ καὶ τῇ τοῦ θυμοῦ ἐγέρσει προγιγνώσκοντες ὅτι διάπυρός γε ἡ τοιαύτη πᾶσα ἔμελλεν οἴκησις γίγνεσθαι τοῦ θυμουμένου, ἐπικουρίαν αὐτῇ μηχανώμενοι, τὴν τοῦ πλεύμονος ἰδέαν ἐνεφύτευσαν. ὥστε ὦ φίλτατε Χρύσιππε, τὰ Πλάτωνος δόγματα γράφεις, ἐπειδὰν ἐκ τῆς καρδίας ἀναθυμιᾶσθαί τε καὶ πρὸς τὸ ἐκτὸς ὠθεῖσθαι καὶ τὸ πρόσωπον ἐμφυσᾶν λέγῃς τὸν θυμόν.

A

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τὰ ἐξ Ὁμήρου καὶ Ἡσιόδου συνειλεγμένα τὰ ἔπη ἀπὸ τοῦ Χρυσίππου, τὴν αὐτοῦ δόξαν οὐκ ἀποδεῖξαι.

ΟΥ μὴν τοῦτό γ' ἦν σοι τὸ ἀμφισβητούμενον, εἰ τὸ θυμούμενον τῆς ψυχῆς ἐν καρδίᾳ κατῴκισται, ἀλλ' εἰ τὸ λογιζόμενον, ὅπερ ἐχρῆν ἀποδείξαντα, μὴ πολλὰ κάμνειν ὑπὲρ τοῦ θυμουμένου. μὴ δ' ἐμπεπλακέναι τὸ βιβλίον ἐπῶν ποιητικῶν, ὧν ἐφεξῆς γράφεις ὡδί.

B

Ὅς γε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο.
Ἀνδρὸς ἐνὶ στήθεσσιν ἀέξεται ἠΰτε καπνός.

Καὶ πάλιν.

Ὁ θυμὸς αὐτὸν τῶν φρενῶν ἐξῆρεν ἄνω. Καὶ πάλιν.
Πηδῶν δ' ὁ θυμὸς ἔνδοθεν μαντεύεται.

Καὶ μυρία ἕτερα τοιαῦτα παρ' ὅλον τὸ γράμμα, κατασκευάζοντα τὸ θυμούμενον ὑπάρχειν ἐν τῇ καρδίᾳ, δέον μὴ τοῦτο δεικνύειν, ἀλλὰ τὸ λογιζόμενον, ἢ νὴ Δία, εἴπερ ἀδύνατος ἦν ἄντικρυς ἐπιδεικνύναι τοῦτο, πειραθῆναι γοῦν ἐπιχειρῆσαι δεῖξαι καθ' ἓν τοῦτο τὸ μόριον εἶναι τό, τε θυμούμενον τῆς ψυχῆς καὶ τὸ λογιζόμενον. ὁ δέ γε τουτὶ μὲν οὐδ' ἐπεχείρησε πρᾶξαι κατ' οὐδὲν μέρος τοῦ βιβλίου, C χρῆται δὲ διὰ παντὸς ἐξ ἑτοίμου λαμβάνων. εὐθὺς γοῦν ἐν τοῖς ἐφεξῆς οὕτω γράφει. τῆς μὲν ὀργῆς γιγνομένης ἐνταῦθα, εὔλογον καὶ τὰς λοιπὰς ἐπιθυμίας ἐνταῦθ' εἶναι, καὶ νὴ Δία τὰ λοιπὰ πάθη, καὶ τοὺς διαλογισμούς, καὶ ὅσον τούτοις ἐστὶ παραπλήσιον. οὐδὲν γὰρ ἀναγκαῖον ἔνθα τὰ πάθη, καὶ τοὺς διαλογισμοὺς ἐνταῦθ' ὑπάρχειν, ὡς εἴ γε τοῦτ' ἐκ προχείρου τις ἀξιώσειε λαμβάνειν, αὐτὸ τὸ ζητούμενον λήψεται. Πλάτωνος μὲν γὰρ λέγοντος οὐκ ἐκ ταὐτοῦ μέρους ὁρμᾶσθαι λογισμόν τε, καὶ θυμόν, καὶ ἐπιθυμίαν. Ζήνωνος δὲ ἐν καρδίᾳ καθιδρύοντος ἅπαντα, προσῆκον ἦν, οἶμαι, D καὶ Χρυσίππῳ καὶ παντὶ τῷ μετὰ Πλάτωνα καὶ Ζήνωνα κρίνοντι τὰ δόγματα τῶν ἀνδρῶν, προσθεῖναι θατέρῳ μὲν αὐτῶν ἀπόδειξιν, θατέρῳ δ' ἔλεγχόν τινα. τὸ δὲ χωρὶς ἀποδείξεως ἀποφήνασθαι καθάπερ ὁ Χρύσιππος ἐποίησεν, ὡς ἔνθ' ἂν ᾖ τὸ παθητικὸν τῆς ψυχῆς, ἐνταῦθα καὶ τὸ λογιστικὸν ὑπάρχειν, τοσούτου δεῖ φιλοσόφῳ προσήκειν, ὥστ' οὐδ' οἱ ῥήτορες, οὐδ' οἱ σοφισταὶ πράττουσιν αὐτό. πειρῶνται γοῦν κἀκεῖνοι πίστεσί τισι πιθαναῖς χρῆσθαι. τὸ δὲ ἕκαστον τῶν ζητουμένων ἐξ ἑτοίμου λαμβάνειν, οὔτε σοφισταῖς, οὔτε ῥήτορσιν, οὔτε διαλεκτικοῖς, οὔτ' ἀποδεικτικοῖς, οὐδ' ὅλως E οὐδενὶ τῶν πάντων προσήκει. κάλλιον οὖν ἦν, οἶμαι, καθάπερ ὁ Πλάτων ἀποδεῖξαι προὐθυμήθη τὸ ἑαυτοῦ δόγμα, καὶ τὸν Χρύσιππον οὕτω, πειραθῆναι τὸ τοῦ Ζήνωνος ἀποδεῖξαι, καὶ μὴ πλῆθος ἐπῶν παραγράφειν ἐξ ἁπάντων τῶν ποιητῶν ἐκλέγοντα, δεικνύντων ὀργήν, καὶ θυμόν, καὶ φόβον, καὶ δειλίαν, καὶ θράσος, καὶ θάρσος, καὶ καρτερίαν, ὅσα τἆλλα τοιαῦτα. τὰ μὲν ἐνεργείας τινὰς εἶναι, τὰ δὲ παθήματα τῆς καρδίας. τί γὰρ αὐτῷ βούλεται ταυτὶ τὰ ἔπη τὰ ἐξ Ὁμήρου συνειλεγμένα;

F

Κραδίη δέ οἱ ἔνδον ὑλάκτει. Καί,
Στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ,
Τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης. Καί,
Ὡς πυκινὰ στήθεσσιν ἀνεστενάχιζ' Ἀγαμέμνων
Νειόθεν ἐκ κραδίης, δεῖ γὰρ δὴ ἐν νηυσὶν ἀχαιῶν.

Καί,

Ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ. Καί,

CAPVT II.

Homeri & Hesiodi carmina, quæ citantur à Chrysippo eius sententiam non confirmare.

QVanquam de hoc non ambigebas, num irascens animæ facultas cordi inesset, sed an rationalis; quo demonstrato, non multum de irascente laborare te oportebat, neque librum versibus poëticis replere, quos in eum modum deinceps recitas:

Dulcior ira viri permulto melle fluente
Augescit, calidus tantanquã alto in pectore fumus.

Ac rursus:

Ipsum ira detulit supra præcordia. Ac iterum.
Verum animus saliens intus dat præsagia.

Aliáque id genus infinita toto libro tractat, dum irascibilem facultatẽ in corde esse tuetur, quum non opus sit ostendere, sed an rationalis in eo habeatur, aut per Iouem si hoc non poterat manifestò ostendere, saltem conari debebat pro virili in hac vna parte & irascibilem & rationalem animæ facultatem esse, demõstrare. Atqui hoc ille ne aggressus quidẽ est in vllo libri loco facere, sed per totum eo vtitur, ex procinctu assumens. Statim enim in subsequentibus ita scribit. Quum hîc ira nascatur, ratio est etiã reliquas cupiditates indidẽ existere; adeóque reliquos affectus, & ratiocinationes, ad hæc quicquid est his persimile. Neque enim necessarium est, vbi affectus habentur, illic etiam ratiocinationes esse; quare si quis hoc prõptè & citra examen assumendum putauerit, id de quo est quæstio, sumetur. Quum enim Plato affirmet, non ex eadem proficisci parte ratiocinationem, iracundiam, & cupiditatem, Zeno autem in corde omnia collocet, officium meo iudicio erat Chrysippi, & cuiuslibet qui post Platonem & Zenonem virorũ placita examinat, alteri demõstrationem annectere, alteri reprehensionem aliquã. At citra demonstrationẽ sentẽtiam dicere, quemadmodum Chrysippus factitauit, putà vbi animæ pars affectionibus obnoxia existit, illic & ratiocinatricem esse; tãtum à philosophi munere abest, vt etiam nec rhetores nec sophistæ idem faciant; quippe illi probabili quadam ratione fidẽ astruere conantur. Singula autem quæ disquiruntur, ex procinctu & incõsideratè assumere, neque ad sophistas, neque ad rhetores, neque ad dialecticos, neque ad innitentes demonstrationibus, neque omninò ad vllum omnium pertinet. Pulchrius enim erat, mea sentẽtia, vt Plato suum ipsius dogma demonstrare instituit, ita Chrysippum quoq; Zenonis placitum pro virili ostendisse, & nõ versuum multitudinem ex omnibus poëtis selectam ascribere, qui indicent iram, iracundiam, metum, timiditatem, temeritatem, audaciam, & constantiam aliáq; eius generis, partim quidem actiones quasdam, partim autem cordis esse affectiones. Quid igitur sibi volunt versus hi ex Homero collecti?

Cor ipsi intus latrat. Et,
Pectore percusso verbis cor increpat ira.
Suffer & hæc cor, nam grauiora aliquando tulisti.

Item.

Pectore prudenti sursum suspiria duxit
Ex corde imo Agamemnon Græcis nauibus astans.

Ad hæc,

Sed mihi bile tumet cor. Et,

Iuno

Iuno non iram tenuit sub pectore, at inquit.
Præterea,
Verùm & post etiam sub pectore continet iram
Donec perficiat.

In his omnibus, non rationalis, sed irascibilis animæ facultas in corde contineri significatur, quemadmodum in his quoque, vt arbitror.

Atque ira hunc quamuis sapientẽ inuasit, adurens. Et,
Dulcior hic multo quàm mel quod defluit instar
Fumi in pectoribus conscendet protinus imis. Et,
----- *Cor appetit intus*
Bellum agere incessans, pugnámque subire diurnam. Et,
Atque animum audacẽ ipsi in pectore dij posuerunt. Et,
Cor Laërtiadæ dolor ast inuasit Vlysis. Et,
Pectoribus robur validum patris indidit ipsi. Et,
----- *Sed pectore Achilles*
Gnarum animum & grandem virtutibus obtinet intus. Et,
----- *Durúmque malúmque*
Dij posuere animum tibi pectore virginis ergo. Et,
Sic Aeneæ animus gauisus pectore in ipso, Et,
Et Iouis exarsit positum sub pectore robur
Noscere. Ad hæc.
Atque mihi ipsi animus bellum pugnámque subire
Permultũ ardescit nunc nunc in pectore charo. Rursus.
Ipse autem validè clamans in pectore mulsit
His animum, ast Hector cœpit meminisse timoris.
Rursus.
Incitat ô Nestor cor me atque animus generosus. Et,
Est illi prudens cor, atque animus generosus. Et,
O si clare senex genua haud minus ipse valenter
Possideas, quam animum retines in pectore charo. Et,
Nosti etenim qualis muliebri in pectore sueuit
Esse animus. Et,
Atque tuum charum cor, me patiente dolores
Sufferat. Et,
Fatus sic, animum tandem his in pectore mouit. Et,
Telemachus magnum luctum sub corde recepit. Et,
Sic dixit placans animum sub pectore charum. Et,
Huic cor in requie mansit deterrima passum.

Omnes enim hi versus, & præterea infiniti alij, si numerum spectes, quos Chrysippus apponit, irascibilẽ facultatem in corde haberi ostendũt: ego autem si omnia ascribam, librum, quemadmodũ Chrysippus, replebo: verùm ex Homero hęc quidem sufficiunt. Eorum autem quæ ex Hesiodo Chrysippus per multa & ipsa adiecit, abundè mihi erit, si duo triáue exempli gratia citauero.

Namque vbi succreuit animus sub pectore charo. Et,
Iram animum grauiter cruciantem pectore gestans. Et,
Cunctorum creuit in corde animus generosus.

In quibus sanè ad Chrysippi magnanimitatẽ obstupesco. Quum enim cõueniat hominem qui tot poëtas perlegerit, sciátq; manifestò omnibus ipsos placitis assentiẽtes, aliàs in alijs versibus, quẽadmodum & Plutarchus in omnibus Homericis exercitationibus ostẽdit, deligere quidem ex ipsis quæ placitum cui ipse studet, attestantur; relinquere autem pugnantia, & quæ interim totum contrarium astruunt; ille ex æquo omnium deinceps meminit nam eiusmodi versus omnes ab eo prætermissos esse oportebat; quibus autem mentem, intellectum, cogitationem & rationem in corde contineri aliquis dixerit, ea colligere, quemadmodum & hæc innuunt.

Iuppiter exemit tunc ipsi ex pectore mentem. Et,
Consilium Neptune meum hoc in pectore nosti. Et,
Et tibi perpetuò est sententia pectore talis. Et,
---- *Non mihi stat talis sententia pectore.*

A Ἥρῃ δ᾽ οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα.
Καὶ,
Ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ
Ἐν στήθεσσιν ἑοῖσιν.

Ἐν ἅπασι γὰρ τούτοις οὐ τὸ λογιστικὸν, ἀλλὰ τὸ θυμοειδὲς ἐν τῇ καρδίᾳ περιέχεσθαι δηλοῦται, ὥσπερ, οἶμαι, κἂν τοῖσδε.

Χόλος ὅστ᾽ ἐφέηκε πολύφρονά περ χαλεπῆναι, Καὶ,
Ὅστε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο,
Ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται ἠΰτε καπνός. Καὶ,
Κραδίη ἄληκτον πόλεμον πολεμίζειν, ἠδὲ μάχεσθαι. Καὶ,
---- Καὶ πρὸς τούτοις ἔτι.
Οἷ γνοίοισι θάρσος ἐνὶ στήθεσσιν ἔθηκε. Καὶ,
Ἀδε δ᾽ ἄχος κραδίην Λαερτιάδαο Ὀδυσῆος. Καὶ,
B Ἐν δ᾽ ἄρα οἱ στήθεσσι μένος πατρώϊον ἧκε. Καὶ,
---- Αὐτὰρ Ἀχιλλεὺς,
Δεινὸν ἐνὶ στήθεσσιν ἔχει μεγαλήτορα θυμόν. Καὶ,
--- Σοὶ δ᾽ ἄληκτόν τε κακόν τε
Θυμὸν ἐνὶ στήθεσσι θεοὶ θέσαν εἵνεκα κούρης. Καὶ,
Ὡς Αἰνείᾳ θυμὸς ἐνὶ στήθεσσι γεγήθει. Καὶ,
Πρῆσεν ἐνὶ στήθεσσιν ἐρισθενέος Διὸς ἀλκὴν,
Γνώμεναι.
Καὶ πρὸς τούτοις ἔτι.
Καὶ δέ μοι αὐτῷ θυμὸς ἐνὶ στήθεσσι φίλοισι,
Μᾶλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεσθαι. Καὶ,
Ἤπυ δ᾽ αὐτὸς ἄϋσε μάλα μέγα τοῖσι δὲ θυμὸν
C Ἐν στήθεσσιν ἔθελξε, φόβου δ᾽ ἐμνήσατο Ἕκτωρ.
Καὶ,
Νέστορ ἐμ᾽ ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ, Καὶ,
Οἷ περὶ μὲν πρόφρων κραδίη καὶ θυμὸς ἀγήνωρ. Καὶ,
Ὦ γέρον, εἴθ᾽ ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισι,
Ὥς τοι γούναθ᾽ ἕποιτο. Καὶ,
Οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός. Καὶ,
---- Σὸν δὲ φίλον κῆρ
Τετλάτω ἐν στήθεσσι κακῶς πάσχοντος ἐμοῖο. Καὶ,
Ὡς φάτο. τοῖσι δὲ θυμὸν ἐνὶ στήθεσσιν ὄρινε. Καὶ,
Τηλέμαχος δ᾽ ἐν μὲν κραδίῃ μέγα πένθος ἄεξεν. Καὶ,
Ὡς φάτ᾽ ἐνὶ στήθεσσι καθαπτόμενος φίλον ἦτορ. Καὶ,
D Τῷ δὲ μάλ᾽ ἐν πείσῃ κραδίη μένε τετληυῖα.

Πάντα μὲν γὰρ ταῦτα τὰ ἔπη, καὶ πρὸς τούτοις ἔτι μυρία ἕτερα τὸ πλῆθος, ὧν Χρύσιππος παρατίθεται, τὸ θυμοειδὲς ἐν τῇ καρδίᾳ φησὶν ὑπάρχειν. ἐγὼ δὲ εἰ πάντα παραγράφοιμι, πληρώσω τὸ βιβλίον ὥσπερ καὶ ὁ Χρύσιππος ἐπλήρωσεν, ἀλλ᾽ ἐξ Ὁμήρου μὲν ἱκανὰ καὶ ταῦτα. τῶν δ᾽ ἐξ Ἡσιόδου παραγραφέντων ὑπὸ Χρυσίππου παμπόλλων καὶ αὐτῶν ὄντων, ἀρκέσει μοι δυοῖν ἢ τριῶν ἐπιμνησθῆναι παραδειγμάτων ἕνεκα.

Τοῦ δὲ γὰρ ἀέξετο θυμὸς ἐνὶ στήθεσσι φίλοισι. Καὶ,
Οἷον ἐνὶ στήθεσσι χόλον θυμαλγέ᾽ ἔχουσα. Καὶ,
E Πάντων ἐν στήθεσσιν ἀέξετο θυμὸς ἀγήνωρ.

Ἐν οἷς ἐγὼ μὲν ἐκπλήττομαι τῆς μεγαλοψυχίας τὸν Χρύσιππον, δέον γὰρ ὡς ἄνθρωπον ἀνεγνωκότα τοσούτους ποιητὰς, καὶ γινώσκοντα σαφῶς ἅπασι τοῖς δόγμασιν αὐτοὺς μαρτυρήσαντας, ἄλλο τε κατ᾽ ἄλλα τῶν ἐπῶν, ὥσπερ καὶ Πλούταρχος ἐπέδειξεν ἐν τοῖς τῶν Ὁμηρικῶν μελετῶν. ἐκλέγειν μὲν ἐξ αὐτῶν ὅσα μαρτυρεῖ τῷ σπουδαζομένῳ πρὸς αὐτοῦ δόγματι. παραλείπει δὲ τὰ μαχόμενα, καὶ πᾶν ἐνίοτε κατασκευάζοντα τοὐναντίον. ὁ δ᾽ ὁμοίως ἑξῆς ἁπάντων μέμνηται. τὰ μὲν
F γὰρ τοιαῦτα, τῶν ἐπῶν ἅπαντ᾽ ἐχρῆν ὑπ᾽ αὐτοῦ παραλελεῖφθαι, δι᾽ ὧν δὲ νοῦν καὶ φρένας, καὶ διάνοιαν καὶ λογισμὸν, εἴπέ τις ἐν καρδίᾳ περιέχεσθαι, συνάγειν ἔδει καθάπερ ἔχει καὶ τὰ τοιαῦτα.

Τότε δὴ στηθέων θ᾽ αἷμα φρένας ἐξέλετο Ζεύς. Καὶ,
Ἔγνως Ἐννοσίγαιε ἐμὴν ἐν στήθεσι βουλήν. Καὶ,
Αἰεί τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα. Καὶ,
---- Οὔ μοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα.

Ὥσπερ γὰρ τοῦ προτέρου γένους τῶν ἐπῶν, δι' ὧν ἐν τῇ καρδίᾳ A δείκνυται τὰ τῆς ψυχῆς πάθη, παμπόλλη τις ἀφθονία παρὰ τοῖς ποιηταῖς ἐστιν. οὕτως οὐδὲ θατέρου ὀλίγα, ἐν οἷς τὸ λογιζόμενον ἐν καρδίᾳ τις ὅσον ἐπὶ τοῖς ποιηταῖς ἐπιδεῖξαι δυνήσεται.

Sicut enim prioris versuum generis, quibus in corde animæ affectus ostenduntur, infinita apud poëtas est copia: ita neque alterius pauca, quibus rationalem vim in corde sitam, quantum ad poëtas, aliquis ostendere poterit.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τίνων τῶν ἐπῶν Ὁμήρου, καὶ Εὐριπίδου, καὶ Τυρταίου, μνημονεύει ὁ Χρύσιππος καταβαλλόντων τὴν δόξαν αὐτοῦ.

Ταῦτ' οὖν ἐχρῆν ἐκλέγειν μόνα τὸν Χρύσιππον, εἴπερ ὅλως κατὰ μάρτυρας ἐγνώκει διαιρεῖν τὸν ἀγῶνα. B τὸ δὲ πλείω μὲν ἐκεῖνα, ταυτὶ δ' ἐλάττω γράψαι. τῷ μὲν τὸ ἀληθὲς τῆς ἱστορίας ἐπιδεικνυμένῳ τι καλῶς γίγνοιτο, πλείω γὰρ ὄντως ἐστὶν ἐκεῖνα. τὸ δ' ὅπερ ὁ Χρύσιππος σπουδάζει κατασκευάζειν ἐπιχειροῦντι πρὸς ἐναντιώματος ἂν εἴη, καὶ μάλισθ' ὅσα φανερῶς ἐπιτιμῶντα ποιεῖ τὸν λογισμὸν τῷ θυμῷ, καθάπερ καὶ τάδε.

> Στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ.
> Τέτλαθι δὴ κραδίη· καὶ κύντερον ἄλλό ποτ' ἔτλης.

Ταυτὶ γὰρ Ὅμηρος ἐποίησε τὸν Ὀδυσσέα λέγοντα πρὸς ἑαυ- C τὸν, ἡνίκ' ἐφ' οἷς ἑώρα κατὰ τὴν οἰκίαν πραττομένοις ὑπὸ τῶν θεραπαινῶν ἀνέζεσέ τε τὸ κατὰ τὴν καρδίαν αὐτοῦ θερμὸν, ἔμελλέ τε νικήσας ὁ θυμὸς τὸν λογισμὸν ἐπ' ἄκαιρον κόλασιν ἄξειν αὐτὸν τῶν γυναικῶν. ὃν γὰρ ἱππεὺς πρὸς ἵππον, ἢ κυνηγέτης πρὸς κύνα λόγον ἔχουσιν, τοῦτον ὁ λογισμὸς πρὸς θυμόν. ἄρχειν μὲν γὰρ ἐν ἅπασι καὶ κρατεῖν ἐστι δικαιότερον τὸ φύσει κρεῖττον ἱππεὺς μὲν ἵππου, κυνηγέτης δὲ κυνὸς, λογισμὸς δὲ θυμοῦ. συμβαίνει δ' οὐκ ἀεὶ νόμῳ φύσεως διοικεῖσθαι τὴν συζυγίαν. ἀλλ' ἵππος μὲν ἐνίοτε δυσπειθὴς οὐ κατὰ κόσμον ἐκ- D φερόμενος, συναπήνεγκεν αὐτῷ τὸν ἀναβάτην ἀρρωστίᾳ δυνάμεως, ἢ ἐπιστήμης ἱππικῆς ἀμαθίᾳ νικηθέντα. θυμὸς δὲ ἰσχυρὸς καὶ ἐπὶ τιμωρίαν ἄκαιρον ἐξορμήσας σφοδρότερον, ἔστιν ὅτε συνεπεσπάσατο λογισμὸν ἄρρωστον ἢ ἀμαθῆ. εἰ μὲν γὰρ καὶ ῥώμην καὶ ἐπιστήμην ἔχοι, κρατήσει πάντως ὅτε λογισμὸς τοῦ θυμοῦ, καὶ ὁ ἡνίοχος τοῦ ἵππου. εἰ δ' ἤτοι θατέρου τούτων ἢ ἀμφοῖν στέροιτο, κίνδυνος ἐνταῦθα τοῦ φύσει κρείττονος ἐπικρατῆσαι τὸ χεῖρον, ὥσπερ ἐν Σκύθαις τε καὶ Γαλάταις, καὶ πολλοῖς ἄλλοις βαρβάροις ἔθνεσιν ὁ θυμὸς κρείττων τοῦ λογισμοῦ. παρ' ἡμῖν δὲ ἔν τε παισὶ καὶ τοῖς ἀπαιδεύτοις ἀνθρώποις. Ὅμηρος δὲ δὴ τοῦτ' αὐτὸ ἐπιδεῖξαι βουλόμενος Ἕκτορα E μὲν καὶ Ἀχιλλέα, καί τινας ἑτέρους τοιούτους θυμῷ δουλεύοντας ὑποτίθεται νεανίσκους. Ὀδυσσέα δὲ καὶ Πολυδάμαντα, καὶ Νέστορα τῷ λογισμῷ κρατοῦντας τοῦ θυμοῦ, πολλάκις μὲν οὕτως ἰσχυρῶς ὡς μηδ' ἐξορμῆσαι πρὸς ἄλογόν τινα πρᾶξιν τὸν θυμόν. ἔστιν ὅτε δ' ὁρμῶντα μὲν, ἀλλ' ὑπὸ τοῦ λογισμοῦ κατεχόμενον, ὥσπερ κἀν τοῖσδε τοῖς ἔπεσιν Ὀδυσσέα πεποίηκεν. ἅπαντα δ' ἐφεξῆς αὐτὰ παραγράψω.

> Ἔνθ' Ὀδυσεὺς μνηστῆρσι κακὰ φρονέων ἐνὶ θυμῷ
> Κεῖτ' ἐγρηγορέων· ταὶ δ' ἐκ μεγάροιο γυναῖκες
> Ἤισαν, αἳ μνηστῆρσιν ἐμισγέσκοντο πάροιθεν,
> Ἀλλήλοισι γέλωτα καὶ εὐφροσύνην παρέχουσαι.
> Τοῦ δ' ὠρίνετο θυμὸς ἐνὶ στήθεσσι φίλοισι.
> Πολλὰ δὲ μερμήριζε κατὰ φρένα καὶ κατὰ θυμὸν, F
> Ἠὲ μεταΐξας θάνατον τεύξειεν ἑκάστῃ.
> Ἦ ἔτ' ἐῷ μνηστῆρσιν ὑπερφιάλοισι μιγῆναι
> Ὕστατα καὶ πύματα· κραδίη δέ οἱ ἔνδον ὑλάκτει
> Ὡς δὲ κύων ἀπαλοῖσι περὶ σκυλάκεσσι βεβῶσα,

CAPVT III.

Carmina quædam Homeri, Euripidis, ac Tyrtæi adducere Chrysippum, quæ suæ opinioni aduersantur.

Hæc igitur sola Chrysippum seligere conueniebat, si omninò testibus litem dirimere statuerat. At plura quidem illa, pauciora verò hæc scribere, ei qui historiæ veritatem ostendat, probe successerit; plura enim illa verè inueniuntur: ei verò qui quod Chrysippus studet, tueri aggrediatur, aduersabuntur; præsertim quæ manifestò iracundiæ aduersantem increpantémque faciunt rationem, veluti & hæc sonant.

> *Pectora sed feriens, ipsum cor increpat ira,*
> *Suffer & hæc cor, nam grauiora aliquando tulisti.*

Hæc si quidem Vlyssem ad se dicentem Homerus introduxit, quum ob ea quæ à famulis domi agi videret, calor in corde ipsius efferuesceret, & animus siue iracundia ratione deuicta ad intempestiuam mulierum punitionem ipsum iam vi præcipitem actura esset. Quam enim eques ad equum, aut venator ad canem rationem obtinent, hanc ratio ad iracundiam; equidem imperare in omnibus & præualere iustius est id quod natura præcellit; equitem sanè equo, venatorem autem cani, rationem iracundiæ. At non semper accidit tale coniugium lege naturæ administrari; verùm equus nonnunquam contumax non pro decoro elatus insessorem virium imbecillitate, aut equestris scientię ignorantia victum, simul cum ipso abripit; iracundia autem valens, & ad importunam punitionem vehementiùs erumpens, nonnunquam rationem imbecillem aut ignaram vna secum attrahit. Si enim robur scientiámque habeat, vincet nimirum & ratio iram, & auriga equum. Quòd si verò aut alterutro aut vtroque priuetur, periculum ibi est, ne id quod deterius est, natura præstantius deuincat. Quemadmodum sanè in Scythis & Galatis aliisque barbaris gentibus permultis animus rationem vincit, apud nos autem in pueris, & imperitis hominibus. Homerus autem idipsum profectò volens indicare, Hectorem, Achillem, & quosdam alios eiusmodi iracundiæ inseruientes, adolescentes inducit. Vlyssem verò, Polydamantem, & Nestorem ratione iracundiam continentes, subinde quidem tam validè, vt ne animus quidem ad irrationalem aliquam actionem proruperit; interim verò erumpat quidem, sed à ratione contineatur, quemadmodum in his versibus Vlyssem expressit; omnia vero deinceps ea ascribam.

> *Tunc sponsis meditans animo mala diuus Vlysses*
> *Decubuit vigil; interea famulæ egrediuntur*
> *Ædibus, ac venerem cum sponsis turpiter extra*
> *Exercent, largo risu sese exhilarantes.*
> *Hic ira exagitabatur sub pectore charo,*
> *Et mente atque animo versabat plurima, cuique*
> *Mortem ne insiliens conscisseret illico, sponsis*
> *Extremum an fineret misceri latrat at intus*
> *Huic cor vt catulos obiens canis ipsa tenellos.*

Ignotum

Ignotum allatrat; nec non pugnare parata est:
Latrat sic intus, male fert dum turpia facta,
Pectora percutiens, ira cor increpat idem,
Suffer & hæc cor, nam grauiora aliquando tulisti,
Quum in socios Cyclops præclaros impius esset:
Attamen hæc tolerasti, dum te educeret antro.
Metis, quando tibi mortem rebare paratam.
Sic inquit placans charissima pectore corda.

Nisi clarè Homerus in hisce percenset iracundiæ pugnam cum ratione in viro prudenti, & victoriam rationis; iracundiæ autem in ipsam obsequium; neque aliud quicquam aliquis nobis ex poëta condisci concesserit. Quum enim ea quæ tam euidenter dicuntur, in ambiguitatem fuerint deducta, neque aliis sanè quomodo vsus sit, intellexeris. Quippe ancillas peccantes conspiciens Vlysses, iracundia violenter ad ipsarum punitionem rapiebatur; à ratione verò detinebatur, vt quæ intempestiuum esse edoceret. Verùm quia ratio non facilè potuit perducere animum, vt in tempus magis idoneum punitionem differret; vehementius ab ea abripitur, veluti equum ferociùs se efferentem auriga valido freno violenter retrahens. Quinetiam hæc secum ait, Contine ô cor generosissimum in præsentia, quemadmodum etiam prius aduersus Cyclopem continuisti, videns socios ab eo consumi. Plato sanè horum versuum admodum tempestiuè in quarto de Republica libro meminisse videtur. Chrysippus autem nimisquam intempestiuè, ac ineptè; multò autem magis eorum quos Euripides Medeam dicentem finxit, quum etiam in illius anima ratio aduersus iracundiam pugnaret; nouerat enim quod impium aliquod & graue opus perpetraret filiis occidendis manum admoliens; cóque detrectabat, differebátque, & non statim concitata id designauit. Rursus ipsam iracundia velut equus quidam ferox ac pertinax aurigam superans, ad filios vi trahebat; deinde iterum ratio retrahebat, abducebátque; postea rursus iracundia in diuersum agebat; inde iterum ratio; vt subinde sursum & deorsum ab vtrisque impulsa, iracundiæ concesserit, hanc Euripides tunc loquentem ita introducit,

Equidem scio quæ sum patratura mala,
Potentior sed ira consilÿs meis.

Nouit quidem magnitudinem malorum quæ est perpetratura, à ratione edocta; verùm iracundiam ea fortiorem esse inquit, & propterea ab illa violenter ad opus abduci. Vlysses autem contra, ratione iracundiam coërcuit, etenim barbarorum indoctorúmque hominum exemplar Euripides Medeam posuit, quibus iracundia ratione valentior est; Græcorum autem & eruditorum imaginem rursus poëta Vlyssem statuit, in quibus ratio iracundiam vincit. Sæpe igitur in alio irascibilem animæ partem ratio superat, vt ne pugna quidem vnquam ipsis inter se oboriatur, sed hæc dominetur, illa obtemperet; atque hoc iis adest, qui ad summum philosophiæ perueniunt. Rursus iracundia subinde rationem ita vincit, vt imperet, & ducat perpetuò, id quod in multis barbaris, & pueris natura iracundis, insuper in ferarum non paucis, & hominibus belluinis videre licet. Est quum ne alterum quidem vsque adeo valens sit, vt statim alterum attrahat, sed aduersantur inuicem pugnántque, & temporis spacio alterum vincit. In Vlysse quidem ratio,

Ἀνδρ' ἀγνοιήσασ' ὑλάει, μέμονέν τε μάχεσθαι.
Ὣς ῥα τοῦ ἔνδον ὑλάκτει ἀγαζομένου κακὰ ἔργα·
Στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ.
Τέτλαθι δὴ κραδίη· καὶ κύντερον ἄλλο ποτ' ἔτλης,
Ἤματι τῷ, ὅτε τοι μένος ἄσχετος ἤσθιε Κύκλωψ
Ἰφθίμους ἑτάρους, σὺ δὲ ἔτλης ὄφρα σε μῆτις,
Ἐξάγαγ' ἐξ ἄντροιο οἰόμενον θανέεσθαι.
Ὣς ἔφατ' ἐν στήθεσσι καθαπτόμενος φίλον ἦτορ.

Εἰ μὴ σαφῶς ἐν τούτοις Ὅμηρος ἐκδιηγεῖται μάχην θυμοῦ πρὸς λογισμὸν ἀνδρὶ φρονίμῳ, καὶ νίκην μὲν τοῦ λογισμοῦ, τοῦ θυμοῦ δ' εὐπείθειαν πρὸς αὐτόν· οὐδ' ἄλλ' οὐδὲν ἄν τις ἡμῖν συγχωρήσειεν ἐκμανθάνειν τοῦ ποιητοῦ. τῶν γὰρ οὕτως ἐναργῶς λεγομένων εἰς ἀμφιβολίαν ἀχθέντων, οὐδὲ τοῖς ἄλλοις ἂν ἔχοι τις ὅτι χρήσαιτο. τὰς γὰρ θεραπαίνας ἁμαρτανούσας ὁρῶν Ὀδυσσεὺς ὑπὸ μὲν τοῦ θυμοῦ βιαίως εἵλκετο πρὸς τὴν τιμωρίαν αὐτῶν, ὑπὸ δὲ τοῦ λογισμοῦ κατείχετο τὴν ἀκαιρίαν ἐκδιδάσκοντος. ἐπεὶ δ' οὐκ ἠδύνατο ῥᾳδίως πείθειν ὁ λογισμὸς τὸν θυμὸν ἀναβάλλεσθαι τὴν τιμωρίαν εἰς ἐπιτηδειότερον καιρόν, σφοδρότερον αὐτῷ προσφέρεται, καθάπερ ἵππον ἐκφερόμενον ἡνίοχος ἀντισπῶν βιαίως ἰσχυρῷ χαλινῷ, καὶ δὴ καὶ ταῦτά φησι πρὸς ἑαυτόν, καρτέρει κατὰ τὸ παρὸν ὦ γενναιοτάτη καρδία, καθάπερ που καὶ πρότερον ἐκαρτέρησας ἐπὶ Κύκλωπα, ὁρῶσα τοὺς ἑταίρους ὑπ' αὐτοῦ διαφθειρομένους. ἐμοὶ μὲν δὴ τούτων τῶν ἐπῶν εὐκαιρότατα μὲν ὁ Πλάτων δοκεῖ μνημονεῦσαι ἐν τετάρτῳ πολιτείας, ἀκαιρότατα δ' ὁ Χρύσιππος. ἔτι δὲ μᾶλλον ὧν Εὐριπίδης ἐποίησε λέγουσαν τὴν Μήδειαν, ἡνίκα καὶ κατὰ τὴν ἐκείνης ψυχὴν ὁ λογισμὸς ἐστασίαζε πρὸς τὸν θυμόν. ᾔδει μὲν γὰρ ὡς ἀνόσιόν τι καὶ δεινὸν ἔργον ἐργάζοιτο τῇ τῶν παίδων ἐπιχειροῦσα σφαγῇ, καὶ διὰ τοῦτ' ὤκνει τε καὶ ἀνεβάλλετο, καὶ οὐκ εὐθὺς ὁρμήσασα ἔπραξε τοὔργον. αὖθις δ' αὐτὴν ὁ θυμὸς ὥσπερ τις ἵππος δυσπειθὴς νικήσας, τὸν ἡνίοχον ἐπὶ τοὺς παῖδας εἷλκε βίᾳ. καὶ ἔπειτα πάλιν ὁ λογισμὸς ἀντέσπασέ τε καὶ ἀπήγαγεν, εἶτ' αὖθις ἀνθεῖλκεν ὁ θυμός, εἶτ' αὖθις ὁ λογισμός, ὥστε πολλάκις ἄνω καὶ κάτω πρὸς ἀμφοῖν ἀγομένην ὡς συνεχώρησε τῷ θυμῷ, τηνικαῦτα ποιεῖ λέγουσαν ὁ Εὐριπίδης αὐτήν.

Καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά.
Θυμὸς δὲ κρείττων τῶν ἐμῶν βουλευμάτων.

Μανθάνει μὲν δή πού τι τὸ μέγεθος, ὧν μέλλει δρᾶσαι κακῶν, ὑπὸ τοῦ λογισμοῦ διδασκομένη. κρείττονα δ' εἶναί φησι αὐτοῦ τὸν θυμόν, καὶ διὰ τοῦθ' ὑπ' ἐκείνου πρὸς τοὔργον ἀπάγεσθαι βιαίως, ἔμπαλιν Ὀδυσσεῖ τῷ λογισμῷ τὸν θυμὸν ἐπισχόντι. βαρβάρων μὲν γὰρ καὶ ἀπαιδεύτων ἀνθρώπων ἔθετο παράδειγμα τὴν Μήδειαν Εὐριπίδης, οἷς ὁ θυμὸς ἰσχυρότερος τοῦ λογισμοῦ. Ἑλλήνων δὲ καὶ πεπαιδευμένων, οἷόνπερ αὖ πάλιν ὁ ποιητὴς ὑπέθετο τὸν Ὀδυσσέα, κρείττων ὁ λογισμὸς τοῦ θυμοῦ. πολλάκις μὲν οὖν ὁ λογισμὸς εἰς τοσοῦτον τοῦ θυμοειδοῦς μέρους τῆς ψυχῆς κρείττων ἐστίν, ὡς μηδέποτε μάχην αὐτοῖς γίγνεσθαι πρὸς ἀλλήλους, ἀλλὰ τὸν μὲν ἄρχειν, τὸν δ' ἄρχεσθαι. καὶ τοῦτο μὲν τοῖς εἰς τέλος ἥκουσι φιλοσοφίας ὑπάρχει. πολλάκις δ' ὁ θυμὸς τοῦ λογισμοῦ κρατεῖ τοσοῦτον, ὡς ἄρχειν τε καὶ ἡγεῖσθαι διὰ παντός. ὁρᾶται δ' ἔν τε πολλοῖς τῶν βαρβάρων τοῦτο, καὶ τῶν παίδων τοῖς φύσει θυμικοῖς, ἔτι δὲ θηρίων οὐκ ὀλίγοις, καὶ ἀνθρώπων τοῖς θηριώδεσιν. ἔστιν ὅτε δὲ οὐδ' ἕτερον εἰς τοσοῦτον ἰσχυρότερόν ἐστιν, ὡς ἐφέλκεσθαι παραχρῆμα θάτερον, ἀλλ' ἐναντιοῦταί τε πρὸς ἄλληλα, καὶ διαμάχεται, καὶ νικᾷ τῷ χρόνῳ θάτερον. ἐπ' Ὀδυσσέως μὲν ὁ λογισμός,

ἐπὶ Μηδείας δ' ὁ θυμός, ὡς δύο ὄντα αὐτὰ μόρια τῆς ψυχῆς, ἢ εἰ μὴ μόρια, πάντως γε δυνάμεις τινές. ὁ δὲ Χρύσιππος οὔτε μόρια ψυχῆς ταῦτ' εἶναι νομίζων, οὔτε δυνάμεις ἀλόγους ἑτέρας τῆς λογικῆς, ὅμως οὐκ ὀκνεῖ τῶν Ὀδυσσέως τε καὶ Μηδείας ἐπῶν μνημονεύειν, ἐναργῶς καταβαλλόντων τὴν δόξαν αὐτοῦ. πῶς ἂν οὖν τις ἔτι διαλέγοιτο τοιούτοις ἀνδράσι, μήτε τῶν ἐναργῶς φαινομένων φροντίζουσιν, ὡς ἤδη πολλάκις ἔδειξα, καὶ τῶν ἐξελεγχόντων τὰ δόγματ' αὐτῶν ὡς μαρτυρούντων μνημονεύουσιν; ἐμπέπλησται γὰρ ὁ περὶ ἡγεμονικοῦ λόγος ὑπὸ Χρυσίππου γεγραμμένος, ἐπῶν ποιητικῶν ἤτοι τὰ πάθη περὶ τὸν θώρακά τε καὶ τὴν καρδίαν συνίστασθαι μαρτυρούντων, ἢ δύο εἶναι τῆς ψυχῆς δυνάμεις ὅλῳ τῷ γένει διαφερούσας ἀλλήλων, τὴν μὲν ἄλογον, τὴν δὲ λογικήν. ὥσπερ γὰρ ἐξ Ὁμήρου καὶ Ἡσιόδου βραχέα παρεθέμην ὀλίγῳ πρόσθεν, ὧν ὁ Χρύσιππος ἔγραψεν, οὕτω ἐξ Ὀρφέως, καὶ Ἐμπεδοκλέους, καὶ Τυρταίου, καὶ Στησιχόρου, καὶ Εὐριπίδου, καὶ ἑτέρων ποιητῶν ἐπῶν μνημονεύει παμπόλλων, ὁμοίαν ἐχόντων ἀτοπίαν. οἷον καὶ ὅταν εἴπῃ Τυρταῖον λέγοντα.

Αἴθωνος δὲ λέοντος ἔχων ἐν στήθεσι θυμόν.

Ὅτι μὲν γὰρ ἔχει ὁ λέων θυμόν, ἀκριβῶς ἅπαντες ἄνθρωποι, καὶ πρὶν ἀκοῦσαι Τυρταίου γιγνώσκομεν, οὐ μὴν Χρυσίππῳ γ' ἔπρεπε παρατίθεσθαι τὸ ἔπος, ἀφαιρουμένῳ τοὺς λέοντας τὸν θυμόν. οὐδὲν γὰρ ὡς οἴεται τῶν ἀλόγων ζώων, οὔτε τὸ θυμοειδές, οὔτε τὸ ἐπιθυμητικόν, οὔτε τὸ λογιστικὸν ἔχει, ἀλλ' ὡς εἴρηταί μοι καὶ κατὰ τὸ πρῶτον γράμμα παρὰ πᾶσαν τὴν ἐνέργειαν ἀφαιροῦνται τῶν εἰρημένων ἁπάντων αὐτὰ σχεδὸν ἅπαντες οἱ Στωϊκοί. Τυρταῖος δέ γε, καθάπερ οὖν καὶ Ὅμηρος, καὶ Ἡσίοδος, καὶ ἁπλῶς εἰπεῖν ἅπαντες οἱ ποιηταί, σφοδρότατον ἔχειν φασὶ τοὺς λέοντας τὸν θυμόν, ὥστε καὶ τῶν ἀνθρώπων ὅστις ἂν ᾖ θυμοειδέστατος, εἰκάζουσι λέοντι. καὶ χωρὶς δὲ τῶν ποιητῶν ἅπαντες ἄνθρωποι τοὺς θυμικωτάτους λέοντας ὀνομάζουσιν. οὕτως οὐδὲ τοῖς ἀθληταῖς παύονται καθ' ἑκάστην ἡμέραν οὕτως ἐγκελευόμενοι· καὶ τοὐναντίον ἔοικεν ἅπαν, ἢ βούλεται συμπίπτειν τῷ Χρυσίππῳ. τῶν γὰρ ἀπὸ τῆς φύσεως αὐτοῦ τοῦ ζητουμένου πράγματος ἐπιχειρημάτων ἀποχωρῶν ἑκάστοτε, καὶ ῥητορικῶς μᾶλλον ἢ φιλοσόφως ἐν πλήθει μαρτύρων τὸ νικᾶν θέμενος, ὑπ' αὐτῶν, ὧν ἐπικαλεῖται, προδίδοται.

in Mædea autem iracundia, ceu duæ ipsæ animæ partes, aut si non partes, certè facultates quædam. At Chrysippus neque partes animæ hasce ratus, neque facultates brutas à rationali diuersas, tamen non dubitat Vlyssis & Medeæ versuum meminisse, quæ euidenter opinionem ipsius subuertunt. Quomodo igitur aliquis adhuc tum talibus viris disputet, qui neque manifestò apparentia curant (vt iam frequenter ostendi) & coarguentium ipsorum dogmata, ceu attestantium meminerunt? Nam liber de principe animæ facultate à Chrysippo conscriptus scatet versibus poëticis, qui vel affectus in pectore & corde contineri affirment, vel duas esse animæ facultates totò genere inuicem differentes, hanc irrationalem, illam rationalem. Quomodo enim ex Homero & Hesiodo pauca antè paululùm apposui, quæ Chrysippus conscripsit, ita is ex Orpheo, Empedocle, Tyrtæo, Stesichoro, Euripide, aliisque poëtis multorum versuum meminit, simili absurditate scatentium, veluti etiam quum Tyrtæum dicentem citat.

Iram feruentis gestans in corde leonis.

Quòd namque leo iram habet, accuratè omnes homines etiam priusquam audiuissemus Tyrtæum, nouimus; non tamen Chrysippo versum adiungere decorum erat, qui leonibus iram adimit. Nullum enim, vt autumat, brutum animal vel irascibilem vim, vel concupiscentem, vel rationalem obtinet, sed veluti à me dictum est superiori libro, Stoïci ferè vniuersi in omni functione supra dicta omnia eis auferunt. Tyrtæus autem, quemadmodum & Homerus, & Hesiodus, breuitérque omnes poëtæ, vehementissimam iram leones habere affirmant. Quemadmodum-
ter etiam hominem, quicunque maximè fuerit iracundus, leoni assimilant. Iam verò præter poëtas vniuersi homines eos qui ferocissimi & maximè iracundi sunt, leones nuncupant; ita neque Athletis cessant quotidie nomen hoc attribuere. Et Chrysippo contra quàm velit accidere videtur; nam dum ab argumentis rei quæ à natura ipsius disquiritur, vbique recedit, & rhetoricè magis quàm philosophicè in testium multitudine victoriam ponit, ab ipsis quos citat, proditur.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τίνες εἰσὶν οἱ ἄσπλαγχνοι, τίνες ἀκάρδιοι, τίνες ἀνεγκέφαλοι, ὧν ὀνομάτων τὸ σημαινόμενον ἀγνοεῖ ὁ Χρύσιππος.

Καὶ γὰρ οὖν ὅταν εἴπῃ διὰ τοῦτο λέγεσθαί τινας ἀκαρδίους, ὅτι πεπιστεύκασιν ἅπαντες ἄνθρωποι τὸ ἡγεμονικὸν τῆς ψυχῆς ἐν τῇ καρδίᾳ περιέχεσθαι, θαυμάζειν ἄξιόν τ' ἀνδρός, εἰ μὴ ἄχρι τοσούτου παρακολουθεῖ τοῖς λεγομένοις, ὡς γνωρίζειν ὅτι μηδένα τῶν ἀνοήτων τε καὶ ἀσυνέτων ἀκαρδίους ὀνομάζουσιν, ἀλλ' ἐκείνους μὲν ἅπαντας ἐπειδὰν σκώπτωσιν, οὐκ ἔχειν ἐγκέφαλόν φασιν, τοὺς ἀτόλμους δὲ καὶ δειλούς, ἀκαρδίους ὀνομάζουσιν. ἐξελέγχεται τοίνυν κἀνταῦθα τὸ τοῦ Χρυσίππου δόγμα πρὸς αὐτῶν ὧν ἐπικαλεῖται μαρτύρων, ἐν ἐγκεφάλῳ μὲν ὑπολαμβανόντων εἶναι τὸ λογιζόμενον, ἐν καρδίᾳ δὲ τὸ θυμοειδές, ἀλλὰ νὴ Δία θαυμασίως ὅπως ἐξηγεῖται τοὔνομα τὸ ἀκάρδιον ἤ τινι διανοίᾳ, λέγουσιν οἱ πολλοί, συνάπτων εὐθὺς αὐτῷ καὶ τὸ ἄσπλαγχνον· ἔχει δὲ ἡ ῥῆσις

CAPVT IV.

Qui sint euiscerati, qui excordes, & excerebrati, quorum nominum significationem ignorauit Chrysippus.

Etenim quum pronunciet ideo nonnullos excordes dici, quòd vniuersi homines animæ principatum in corde contineri crediderint, virum demirari satis nequeo, quod non eatenus assequitur ea quæ dicuntur, vt cognoscat nullum stolidum ac imprudentem excordem nominari; sed illos omnes quando dicteriis incessant, non habere cerebrum inquiunt; meticulosos autem & timidos excordes appellant. Ita & hîc Chrysippi dogma ab ipsis coarguitur, quos in testimonium adducit, dum putant in cerebro quidem esse rationem, in corde autem iracundiam: sed per Iouem, mirum est quomodo nomen excors interpretetur, aut quo sensu vulgus proferat, mox ei coniungit euisceratum: habent autem

tem verba ipsius in hunc modum: *Conferunt prædictis etiam huiusmodi ex his quæ dicuntur euisceratos, quatenus dicimus aliquos non habere cerebrum, & habere: ita nos sentientes dicere, & non habere cor aliquos, & habere secundum prædicta, vt euiscerati, forsan accipiantur, eò quòd nihil intus habeant condolens, iuxta contraria etiam à corde sic ipsis communius appellatis; cerebrum verò capiatur, vel quod in eodem simile quoddam existat, vel quia etiam hoc facultatem quandam habeat visceribus similem.* Ita quidem verba sonant. Conuenit autem aliquem legere ea ter quaterque multo otio, mente iis quæ dicuntur, diligenter adhibita; hac enim sola ratione puto persuadebitur, id quod communi prouerbio dicitur, dictis ipsius inesse, scilicet: NIHIL ACCIPE, ET CONTINE PROBE. Ego enim quum in multis sæpe libris orationes legissem, in quibus nomina ad verba nullo sensu connectuntur, nusquam hoc tam accuratè expressum vidi, sicut in hac modò citata sententia. Ænigma enim est oratio Chrysippi, mirabili quadam obscuritate cum intempestiua breuitate implicitum; quanquam breuitatem ne in vno quidem ipsius libro imitatus sit; sed adeo prolixus est, vt sæpe in toto libro multifariam de eisdem sursum & deorsum sermones implicet. Iam sanè obscuritatis vitium ipsi familiare est, quod interpretatricis facultatis infirmitatem sequitur. Ac mihi videtur etiam ipse id sentiens, ter & quater de eisdem rebus non detrectare sermones in longissimum producere; breuitati autem non assueuit, & rarò eam vsurpat, in quibus potissimum orationibus errorem suorum dogmatum sentit ineuitabilem; vult enim (vt opinor) breuibus ipsum percurrere aliud coargui sustinens. Et mihi videtur quemadmodum in aliis orationibus contendit manifestè interpretari, ita in quibus redarguitur sermonem obscuritate cum breuitate occultare, vt videlicet putetur ad crimen obiectum respondisse, & non omnino ipsum præteriisse, nos autem nihil possimus productis contradicere, quæ nequaquam intelligimus. Statim sanè in proposita oratione, qua euisceratum, & non habere cerebrum, quomodo vulgo dicant, exponit. Mihi quidem tale quippiam videtur innuere. Euisceratos vocant nonnullos perinde vt excordes, quoniam viscus cor est; non autem habere cerebrũ, idem valere dicunt ac euisceratum, quoniam hoc quoq; viscus est, & principale. Non tamen recipiunt omnes Stoici huiusmodi expositionẽ, sed aliud quiddam dici affirmant, id tamen non ostendunt ex penitioribus nimirum existens; ac increpant nos statim, ceu præcipiti modo, contradicentes, priusquã id quod dicitur, cognoscamus. Alij etiã conuitiis agentes acriùs, rudes nos & contentiosos appellant; nec ineruditos homines docere se velle id quod proponitur, inquiunt; etsi alia etiã nobis inuitis prolixè recenseant. Verùm quum (vt dixi) ad huiusmodi quippiam peruenerint, vbi nulla est nugacitatis occasio, qui sane libros conscribũt, celeriter simul & manifestò percurrunt. Qui autem horum commentarios interpretantur, ad inuidiæ potiùs suspicionẽ in auditores transmittendam prompti redduntur, dum nolle se docere nos simulãt, quã ad se victos esse confitendũ. Verùm euisceratos, & excerebratos iam prætergrediamur, ne ampliùs negotiũ facessamus Chrysippo manifestè reprehẽso ab iisquos ipse testes citat, ac vbi desijmus, eò reuertamur.

A ὧδε. παραβάλλουσι δὲ τοῖς εἰρημένοις καὶ τὰ τοιαῦτα τῶν λεγομένων, οἷον τοὺς ἀσπλάγχνους, καθ' ὃ φαμὲν μὴ ἔχειν τινὰς ἐγκέφαλον καὶ ἔχειν, οὕτως ἡμᾶς ὑπονοοῦντες λέγειν καὶ μὴ ἔχειν καρδίαν τινὰς καὶ ἔχειν, κατὰ τὰ προειρημένα, τῶν μὲν ἀσπλάγχνων τάχα λαμβανομένων κατὰ τὸ μηδὲν ἔχειν ἔνδον συναλγοῦν κατὰ τὰ ἐναντία, καὶ ἀπὸ τῆς καρδίας οὕτως αὐτῶν κοινότερον λεγομένων, τοῦ δ' ἐγκεφάλου λαμβανομένου. ἤτοι κατὰ τὰ αὐτὰ ὁμοίου τινὸς ὄντος, ἢ διὰ τὸ καὶ τοῦτον ἔχειν τινὰ κυρείαν τοῖς σπλάγχνοις ὁμοίαν. ἡ μὲν ῥῆσις αὕτη. χρὴ δ' αὐτὴν ἀναγνῶναί τινα καὶ τρὶς καὶ τετράκις ἐπὶ σχολῇ πολλῇ ἀ-
B κριβῶς προσέχοντα τὸν νοῦν τοῖς λεγομένοις. οὕτω γὰρ μόνως, οἶμαι, πεισθήσεται τὸ κατὰ τὴν παροιμίαν λεγόμενον ὑπάρχειν αὐτῇ, τὸ, ΛΑΒΕ ΜΗΔΕΝ, ΚΑΙ ΚΡΑΤΕΙ ΚΑΛΩΣ. ἐγὼ γ' οὖν ἐν πολλοῖς πολλάκις βιβλίοις ἀνεγνωκὼς ῥήσεις, ἐν αἷς ὀνόματα καὶ ῥήματα συνάπτεται, μηδεμίαν ἔχοντα διάνοιαν, οὐδαμόθεν τοῦτ' ἀκριβούμενον εἶδον οὕτως, ὡς κατὰ τήνδε τὴν νῦν ἡμῖν προγεγραμμένην λέξιν. αἴνιγμα γάρ ἐστιν ὁ λόγος τοῦ Χρυσίππου θαυμαστῇ τινι καταπεπλεγμένον ἀσαφείᾳ μετὰ συντομίας ἀκαίρου. καίτοι τήν γε συντομίαν, οὐδὲ καθ' ἕνα τῶν ἑαυτοῦ λόγων ἐζήλωκεν, ἀλλ' οὕτω
C μακρός ἐστιν, ὡς πολλάκις ἐν ὅλῳ βιβλίῳ πολυειδῶς ὑπὲρ τῶν αὐτῶν ἄνω τε καὶ κάτω τοὺς λόγους ἑλίττειν. τὸ μὲν δὴ τῆς ἀσαφείας αὐτῷ σύνηθες, ἀσθενείᾳ τῆς ἑρμηνευτικῆς δυνάμεως ἑπόμενον. καί μοι δοκεῖ καὶ αὐτὸς αἰσθανόμενος αὐτῆς, τρὶς καὶ τετράκις ὑπὲρ τῶν αὐτῶν ἐπὶ πλεῖστον ἐκτείνειν τοὺς λόγους οὐκ ὀκνεῖ. τὸ δὲ τῆς βραχυλογίας ἀήθές τε καὶ σπανίως ὑπ' αὐτοῦ γιγνόμενον, ἐν οἷς δὴ μάλιστα λόγοις ἄφυκτον αἰσθάνεται τὸ σφάλμα τοῦ ἑαυτοῦ δόγματος. βούλεται γὰρ, οἶμαι, παρατρέχειν αὐτὸ διὰ ταχέων, ἄλλο ὑπομένων ἐξελέγχεσθαι, καί μοι δοκεῖ καθάπερ ἐν τοῖς ἄλλοις λόγοις ἀγωνίζεται σαφῶς ἑρμηνεύειν, οὕτως ἐν
D οἷς ἐξελέγχεται συγκρύπτειν τὸν λόγον ἀσαφείᾳ μετὰ βραχυλογίας, ἵνα δηλαδὴ δοκῇ μὲν ἀπολελογῆσθαι πρὸς τοὔγκλημα, καὶ μὴ παρεληλυθέναι τελέως αὐτό. μηδὲν δὲ ἡμεῖς ἔχωμεν ἀντιλέγειν τοῖς εἰρημένοις, ὧν οὐδ' ὅλως μανθάνομεν, αὐτίκα γέ τοι κατὰ τὴν προγεγραμμένην ῥῆσιν, ἐν ᾗ τὸ ἄσπλαγχνον, καὶ τὸ μὴ ἔχειν ἐγκέφαλον ὅπως οἱ πολλοὶ λέγουσιν, ἐξηγεῖται. ἐμοὶ μὲν δοκεῖ τοιόνδε τι δηλοῦν, ἀσπλάγχνους μὲν καλοῦσιν ἐνίους ἐν ἴσῳ τῷ ἀκαρδίους, ἐπειδὴ σπλάγχνον ἡ καρδία, τὸ δ' ἐγκέφαλον μὴ ἔχειν ἐν ἴσῳ τῷ ἄσπλαγχνον εἶναι λέγουσιν, ἐπειδὴ καὶ τοῦτο σπλάγχνον τ' ἐστὶ καὶ κύριον, οὐ μὴν προσίενταί γε πάντες οἱ
E Στωϊκοὶ τὴν τοιαύτην ἐξήγησιν, ἀλλ' ἕτερον μέν τι λέγεσθαί φασιν, οὐ δηλοῦσι δὲ αὐτό, τῶν ἐσωτερικῶν ὑπάρχον δηλονότι, καὶ ἐπιτιμῶσιν ἡμῖν εὐθέως ὡς προπετῶς ἀντιλέγουσι πρὶν γνῶναι τὸ λεγόμενον. οἱ δὲ καὶ λοιδοροῦντες σφοδρότερον ἀδιδάκτους τε καὶ φιλονείκους ἀποκαλοῦσιν, οὔ φασί τε διδάξειν τὸ λεγόμενον ἀπαιδεύτοις ἀνθρώποις· καίτοι τά γ' ἄλλα καὶ μὴ βουλομένων ἡμῶν διεξέρχονται μακρῶς. ἀλλ' ὅταν ὡς εἶπον ἐπί τι τοιοῦτον ἀφίκωνται, μηδεμίαν ἔχον εὐπορίαν φλυαρίας, οἱ μὲν γράφοντες τὰ βιβλία, ταχέως θ' ἅμα καὶ σαφῶς παρατρέχουσιν. οἱ δ' ἐξηγούμενοι τὰ τούτων συγ-
F γράμματα φθόνου μᾶλλον ὑπόνοιαν εἰς τοὺς ἀκούοντας ἐκπέμπειν ἕτοιμοι γίγνονται, προσποιούμενοι μὴ βούλεσθαι διδάσκειν ἡμᾶς, ἤπερ ὁμολογοῦντες νενικῆσθαι. ἀλλὰ τοὺς μὲν ἀσπλάγχνους τε καὶ ἀνεγκεφάλους, ἤδη παρέλθωμεν, ἵνα μὴ λυπῶμεν ἐπὶ πλέον τοὺς περὶ τὸν Χρύσιππον ἐναργῶς καταμαρτυρουμένους, ὑφ' ὧν ἐπικαλοῦνται μαρτύρων.

ὅθεν δ' ἀπελίπομεν, ἐκεῖθεν πάλιν ἐπανέλθωμεν. ἐμπλήσας ὁ Χρύσιππος ὅλον τὸ βιβλίον ἐπῶν Ὁμηρικῶν, καὶ Ἡσιοδείων, καὶ Στησιχορείων, Ἐμπεδοκλείων τε, καὶ Ὀρφικῶν, ἔτι δὲ πρὸς τούτοις ἐκ τῆς τραγῳδίας, καὶ παρὰ Τυρταίου, καὶ τῶν ἄλλων ποιητῶν οὐκ ὀλίγα παραθέμενος, εἶτα μὴ συνεὶς τῆς θαυμαστῆς δὴ ταύτης ἀπεραντολογίας. τοῦτο γὰρ αὐτῇ μᾶλλον ἡγοῦμαι προσήκειν τοὔνομα, ταῦτα κατὰ λέξιν ἐπιφέρει· ταυτὶ μὲν φήσουσιν ἀδολεσχίαν εἶναι γραώδη. τυχὸν δὲ καὶ γραμματικοῦ διδασκάλου βουλομένου στίχους ὅτι πλείστους ὑπὸ τὸ αὐτὸ διανόημα τάξαι. καλῶς εἶπες ὦ Χρύσιππε ταῦτα, κάλλιον δ' ἦν εἰ μὴ μόνον εἶπες, ἀλλὰ καὶ παντάπασιν ἐφυλάξω τὴν γραώδη ταύτην ἀδολεσχίαν. τί γὰρ ἂν εἴη γραωδέστερον, ἢ ἀδολεσχότερον, ἢ γραμματιστῇ πρεπωδέστερον, ἢ πόρρω μᾶλλον ἀπεληλαμένον ἀποδείξεως προσηκούσης ἀνδρὶ φιλοσόφῳ, οὗ μνημονεύσαντα κατ' ἀρχὰς εὐθὺς τοῦ Πλάτωνος δόγματος, ἐᾶσαι μὲν τοῦτο καὶ ἀποῤῥίψαι παντάπασιν, οὐδ' ὡς ὑπὸ τῶν μεθ' αὐτὸν κατεσκευάσθαι προσγράψαντα, παρήκειν δὲ καὶ τὴν πρὸς τοὺς ἠρωτημένους ὑπὸ τῶν ἀνδρῶν λόγους ἀντιλογίαν τε καὶ λύσιν, ἐφ' ἣ δίκαιον ἦν αὐτὸν ἀποδείξεσι χρησάμενον ἐπιστημονικαῖς, ἐμπεδῶσαι τὸ ἑαυτοῦ δόγμα, ποιητῶν δὲ μεμνῆσθαι, καὶ πλῆθος ἰδιωτῶν καλεῖν μαρτυρῆσον, καὶ τί λέγουσιν αἱ γυναῖκες, γράφειν, οὐδ' οὕτω οὐδὲ ἐν αὐτοῖς οἷς καλεῖ μάρτυσιν εὐτυχοῦντα. καὶ γὰρ οἱ ποιηταὶ καὶ κατ' αὐτοῦ λέγουσιν ἅπαντες τὰ πλείω· καὶ οἱ ἰδιῶται. τίς γοῦν οὐκ ἔγραψε ποιητὴς ἐπιθυμεῖν τε καὶ θυμοῦσθαι πολλὰ τῶν ζώων ἀνθρώπου σφοδρότερον; τίς δ' ἰδιώτης οὐχ οὕτω χρῆται τοῖς ὀνόμασιν, ὡς τὸ Πλάτωνος βούλεται δόγμα; τὸν μὲν ἀκάρδιον ἐν ἴσῳ τῷ δειλὸν, καὶ ἄτολμον, καὶ ἄνανδρον ὀνομάζων, καρδίαν δὲ λαβεῖν ἐγκελευόμενος, ἐπειδὰν εἰς ἀνδρείαν πρᾶξιν ἐπεγείρῃ τὸν πέλας. ἐπεγγελῶν δὲ τοῖς ἀνόητόν τι εἰποῦσιν, ἀνεγκεφάλους καὶ ἀσυνέτους ὀνομάζων αὐτοὺς, ἑτέρους δ' ἀγχίνους, καὶ ἔννους φάσκων, οὓς ἂν ὡς συνετοὺς ἐπαινῇ, ἀσπλάγχνους δὲ ἀποκαλῶν, τοὺς μὴ ἐλεοῦντας μηδένα, μήτε φιλοῦντας, μήθ' ὅλως φροντίζοντας, ἢ ἐπαινούντων ἢ ψεγόντων, ἢ ἀδικούντων, ἢ ὠφελούντων, ἀλλ' ὥσπερ λίθους ἀναισθήτους ὑπάρχοντας. οὓς γὰρ ἂν εἰς ἀναισθησίαν παντελῆ σκῶψαι βουληθῶσιν, ἀσπλάγχνους ὀνομάζουσιν, ὥσπερ τοὺς ἄνδρας μὲν ἀκαρδίους, ἀνεγκεφάλους δὲ τοὺς ἄφρονας. ἐπεὶ δ' ἐστὶν καὶ τρίτον τι σπλάγχνον τὸ ἧπαρ ἐν ᾧ τὸ ἐπιθυμητικὸν ἵδρυται τῆς ψυχῆς, καὶ χρὴ καὶ τούτῳ συμμετρίαν τινὰ τῶν οἰκείων ὑπάρχειν κινήσεων, εἰ μέλλοι τελέως κεκοσμῆσθαι τὴν ψυχὴν ὁ ἄνθρωπος. εἴη ἂν καὶ ὁ κατὰ τοῦτ' ἀναίσθητος ὡς ἐπὶ τοῖς ἄλλοις τοῖς δύο, καὶ μοχθηρῶς διακείμενος, ἄσπλαγχνος ὀρθῶς ὀνομαζόμενος. ὁ δ' ἐναντίος αὐτῷ μεγαλόσπλαγχνος λέγεται, καθάπερ ὁ Εὐριπίδης εἰσάγει τὴν Μήδειαν ὄντως μεγαλόσπλαγχνον, ἁπάσας τὰς τῶν τριῶν σπλάγχνων δυνάμεις τε καὶ κινήσεις ἰσχυρὰς ἔχουσαν. ἐπιθυμητικωτάτην μὲν γὰρ προστίθεται τὴν γυναῖκα, καὶ θυμικωτάτην ἅμα, καὶ λογίσασθαι δεινήν. ἱκανὰ δὲ γνωρίσματα τοῦ μὲν ἐπιθυμητικοῦ τῆς ψυχῆς, εἰς ὅσον ἀμέτρου κινήσεως ἀφῖκται, τὰ περὶ τὸν ἔρωτα τοῦ Ἰάσονος, ὑφ' οὗ νικηθεῖσα, προὔδωκεν ἅμα καὶ κατέλιπε τοὺς οἰκείους, ἐπηκολούθησε δὲ καὶ τελέως ἐπίστευσεν ἑαυτὴν ἀνθρώπῳ ξένῳ. τοῦ δὲ θυμικοῦ τὸ σφοδρότητος, οἷά περ τοὺς παῖδας ἐμήνισεν, οὐ σμικρὰ γνωρίσματα. τοῦ δὲ λογιστικοῦ, τῆς συνέσεως, ὑποτίθεται γὰρ κἀν τούτοις αὐτὴν ὁ Εὐριπίδης οὐ τὴν τυχοῦσαν, οὐ σμικρὰ σημεῖα τὰ πρὸς τὸ τιμωρήσασθαι τοὺς ἐχθροὺς ἐπινοηθέντα, καὶ ὅσα πρὸς ἑαυτὴν διεξέρχεται, καὶ στέλλουσα καὶ πείθουσα τὸν θυμὸν ἀποχωρεῖν ἔργων ἀνοσίων, ὥστ' εὐλόγως ἐπ' αὐτῇ ὁ Εὐριπίδης εἶπε.

Quum Chrysippus totum librum repleuisset versibus Homericis, Hesiodicis, Stesichoriis, Empedoclæis, & Orpheicis, quúmque præterea non pauca ex tragœdia, & ex Tyrtæo, aliisque poëtis apposuisset non aduertens postea mirificam hanc loquendi infinitatem (hoc enim ei nomen conuenire magis autumo) hæc ad verbum adducit: *Hæc sanè ciuilem garrulitatem esse dicent; fortè etiam literarum magistri, qui versus quamplurimos sub eodem sensu statuere velit.* Rectè dixisti ô Chrysippe hæc; præstaret autem si non solùm dixisses, sed etiam anilem hanc loquacitatem euitasses. Quid enim esset anilius, aut nugacius, aut grammatistæ decentius, aut magis alienum à demonstratione, quæ viro philosopho conuenit, quàm placiti Platonis mentione statim ab initio facta, sinere quidem hoc, & prorsus abijcere; non autem vt à posteris ipsius id adstruatur scribere; sed controuersiam solutionémque quam in verbis viri mouent, relinquere, propter quam æquum erat ipsum demonstrationibus scientificis vsum, placitum ipsius impedire, poëtarum autem meminisse; & indoctorum multitudinem in testimonium citare, & quæ dicant mulieres, scribere, neque iis ipsis (quos citat) testibus quod cupit assequi? Etenim poëtæ contra ipsum vniuersi pronunciant; plura etiam idiotæ. Quis igitur poëta non scripsit multa animalia vehementiùs homine & concupiscere, & irasci? Quis verò idiota non sic vtitur nominibus, vt Platonis dogma exigit, excordem æquè vt timidum & meticulosum, & non virum appellans; cor autem capere adhortans, quum ad virilem actionem proximum incitat? quum eos irridet qui fatuum quid dixerunt excerebratos & imprudentes nuncupans; alios callidos, & mentis compotes, quoscunque ceu prudentes commendet; euisceratos autem, qui nullius misereantur, neque ament, neque omnino curent vel laudem, vel vituperium, vel iniuriam, vel commodum; sed veluti lapides sensuum expertes sint; quos enim vt nullo prorsus sensu præditos mordere voluerint, euisceratos dicunt; quemadmodum non viros, excordes; excerebratos autem dementes. At quia tertium quoque viscus iecur existit, in quo concupiscens animæ facultas consistat, huic etiam commoderationem quandam propriorum motuum inesse oportet, si homo in totum ornari anima debet. Iam etiam in hoc insensilis, vt in aliis duobus simul praue affectus, euisceratus rectè vocatur: quemadmodum qui è diuerso habet, visceratus, megalosplanchnus; quomodo Euripides Medeã introduxit, magnis reuera visceribus donatam, quæ validas trium viscerum facultates motúsque haberet; etenim maximè concupiscentem mulierem proponit, maximéque iracundam, simul & ratiocinando vehementem. Abundè autem sunt concupiscentis animæ, quatenus à moderato motu abscessit, indicia in Iasonis amore. à quo victa prodidit simul & reliquit domesticos, secuta autẽ est, & omnino se homini peregrino concredidit. Irascibilis autem animæ vehementiæ, quia filios occidit, non mediocria sunt argumenta. At rationalis intelligentiæ fingit enim in his quoq; ipsam Euripides non vulgarem) indicia magna, quę puniẽdis hostibus excogitata apparent, itẽ quę apud se ipsam persequitur, & submittens persuadénsque animo iracundo, vt ab impiis operibus recederet, quare Euripides meritò de ipsa dixit:

Quid-

Quidnam faciet anima
Viscosa, atque irrequieta
Oestro irritata malorum.

Hæc itaque magnis donata visceribus. Euisceratus, parum visceratus dicitur, cui tres animæ partes prauæ, exiguæ, motu & tardæ, & difficiles insunt. Interea verò orationum quas pertracto id quod nihil se offert non dubitabo efferre; dictum est à veteribus philosophis, fieri non posse, vt aliquis qui cum hominibus garrulis disserit, ab omni prorsus loquacitate abstineat. Ego igitur coactus sum à Chrysippi garrulitate adductus & idiotarum, & Euripidis voces interpretari; quod nunquam libens ausus essem facere tanti dogmatis demonstrationes perscribens. Non solùm enim Euripides aut Tyrtæus, aut alius quidam poëta, aut certè etiam idiota fidem de placito facere citra omnem demonstrationem abundè potest: sed ne ipse quidem Hippocrates omnium medicorum consensu præstantissimus, quemadmodum neque Plato omnium philosophorum princeps. Haud enim si vel omnes ipsius posteri inuidia rumpantur, neque si contentionis studio impudentia commententur, (quemadmodum Chrysippi sectatores) aut opinionem Platonis superare vnquam poterunt, aut ornatum demonstrationis imitari. Attamen neque his viris adeo super alios scientiis animam ornatis, nemo mentis compos simpliciter loquentibus dignatur fidem accommodare, sed demonstrationem expectat. Chrysippus autem, quas quidem hi dicunt demonstrationum de dogmate proposito, ne vnius quidem aut meminit, aut reprehendere aggressus est. Interim non veretur Tyrtæum & Stesichorum testes citare, quos si etiam viuos aliquis interrogaret, an de horum scientia dogmatum ambigerent, faterentur nimirum vna voce, nihil se ipsorum sensisse; ipsi autem potius, arbitror, à Chrysippo nonnihil discere, quàm ex ipsis demonstrare maluerint, deinde Chrysippus scilicet ad idiotas, ipsos duceret, sapiens ad ineruditos, prudens ad insanientes, orationum consequentiæ peritus, ad eos qui inter se & apud seipsos omni tempore verbis simul & operibus discrepant. Verùm licet insaniant in omnibus & inuicem, apudque seipsos omnes idiotæ discrepent, hoc saltem puto prudentiæ habent, ne ad ea quæ dicunt, in testimonium adducant qui contra ipsos pronuncient sententiam. At Chrysippi sapientia idiotarum inscitiam longè superat; citat enim testes à quibus damnatur. Huius gratia coactus sum ego quoque impræsentiarum esse loquacior, vt ostendam Chrysippum in omnibus grauissimè errare. Neque enim vllius demonstrationis à Platone & Hippocrate conscriptæ meminit, neque contradixit; neque ipse aliam quampiam demonstrationem protulit; neque nouit quos oporteat testes vocare. Iam ostendimus etiam priori libro quomodo Chrysippus ipse sibi aduersetur. Constat in præsentia quoque viri stupiditas, qui non modo non celat quæ conueniebat celare, vtpote euidenter sermonem suum subuertentia, sed etiam hæc sibi attestari censet.

Τί ποτε ἐργάσεται
Μεγαλόσπλαγχνος, δυσκατάπαυστος
Ψυχὴ δηχθεῖσα κακοῖσι.

αὕτη μὲν οὖν μεγαλόσπλαγχνος. ἄσπλαγχνος δὲ καὶ μικρόσπλαγχνος, ᾧ φαῦλα, καὶ μικρά, καὶ βραδυκίνητα, καὶ δυσκίνητα τὰ τρία τῆς ψυχῆς μόρια. μεταξὺ δέ μοι τῶν λόγων ὧν διεξέρχομαι, ὃ παραστὰν οὐκ ὀκνήσω φράσαι· λέλεκται δὲ ὑπὸ τῶν παλαιῶν φιλοσόφων, ὡς οὐκ ἐνδέχεταί τινα διαλεγόμενον ἀδολέσχαις ἀνθρώποις ἀπέχεσθαι τελέως ἁπάσης ἀδολεσχίας. ἐγὼ γ' οὖν ἠναγκάσθην ὑπὸ τῆς Χρυσίππου προαχθεὶς ἀδολεσχίας, ἐξηγεῖσθαι τάς τε τῶν ἰδιωτῶν καὶ τὰς Εὐριπίδου φωνάς, ὃ μήποτ' ἂν ἑκὼν ἐτόλμησα πρᾶξαι περὶ τηλικούτου δόγματος ἀποδείξεις γράφων. οὐχ ὅπως γὰρ Εὐριπίδης, ἢ Τυρταῖος, ἢ τις ἄλλος ποιητής, ἢ καὶ παντάπασιν ἰδιώτης ἱκανὸς πιστεύεσθαι περὶ δόγματος, ἁπάσης ἀποδείξεως χωρίς, ἀλλ' οὐδ' αὐτὸς ἁπάντων ἰατρῶν ὁμολογουμένως ἄριστος Ἱπποκράτης, ὥσπερ οὐδὲ ὁ πρῶτος ἁπάντων φιλοσόφων Πλάτων. οὐδὲ γὰρ ἂν ῥαγεῖεν ὑπὸ φθόνου σύμπαντες οἱ μετ' αὐτόν, οὐδ' ἂν ὑπὸ φιλονεικίας ἀναίσχυντα σοφίζωνται, καθάπερ οἱ περὶ τὸν Χρύσιππον, ἢ τὴν δόξαν ὑπερβάλλεσθαί ποτε δυνήσονται τοῦ Πλάτωνος, ἢ τὸν τῶν ἀποδείξεων μιμήσασθαι κόσμον. ἀλλ' ὅμως οὐδὲ τούτοις τοῖς ἀνδράσι τοσοῦτον ὑπὲρ τοὺς ἄλλους ἐπιστήμῃ τὴν ψυχὴν κεκοσμημένοις, οὐδεὶς νοῦν ἔχων ἁπλῶς εἰποῦσιν ἀξιοῖ πιστεύειν, ἀλλ' ἀναμένει τὴν ἀπόδειξιν. ὁ δέ γε Χρύσιππος, ὧν μὲν οὗτοι λέγουσιν ἀποδείξεων ὑπὲρ τοῦ προκειμένου δόγματος, οὔτε ἐμνημόνευσεν οὐδεμιᾶς, οὔτ' ἐξελέγχειν ἐπεχείρησεν· οὐκ αἰδεῖται δὲ Τυρταῖόν τε, καὶ Στησίχορον ἐπικαλούμενος μάρτυρας, οὓς εἰ καὶ ζῶντας ἤρετό τις περὶ τούτων τῶν δογμάτων ἐπιστήμης ἀμφισβητοῦσιν, ἐξωμολογήσαντο ἂν εὖ οἶδ' ὅτι μηδὲν ἐπαΐειν αὐτῶν. αὐτοὶ δὲ μᾶλλον ἂν οἶμαι παρὰ Χρυσίππου τι μαθεῖν, ἢ πρὸς αὐτῶν ἀποδείκνυσθαι ἠξίωσαν· εἶτα δηλαδὴ Χρύσιππος ἂν ἐπὶ τοὺς ἰδιώτας ἧκεν αὐτούς, ὁ σοφὸς ἐπὶ τοὺς ἀμαθεῖς, ὁ σώφρων ἐπὶ τοὺς μαινομένους, ὁ λόγων ἀκολουθίαν εἰδώς, ἐπὶ τοὺς διαφερομένους πρὸς ἀλλήλους τε, καὶ ἑαυτοὺς κατὰ πάντα καιρὸν ἐν λόγοις τε ἅμα, καὶ πράξεσιν. ἀλλ' εἰ καὶ μαίνονται τὰ πάντα, καὶ διαφέρονται πρὸς ἀλλήλους τε, καὶ ἑαυτοὺς ἅπαντες οἱ ἰδιῶται. τοῦτο γοῦν οἶμαι σῶφρον ἔχουσι, τὸ μὴ καλεῖν ἐφ' ἃ λέγουσι τοὺς καταμαρτυρήσοντας ἑαυτῶν. ἡ δὲ Χρυσίππου σοφία, καὶ τῆς τῶν ἰδιωτῶν ἀμαθίας ἐπέκεινα προελήλυθεν. ἐπικαλεῖται γὰρ μάρτυρας ὑφ' ὧν κατακρίνεται. τούτου χάριν ἠναγκάσθην κἀγὼ νῦν ἀδολεσχεῖν, ἵν' ἐπιδείξω τὸν Χρύσιππον ἐν ἅπασι μέγιστα σφαλλόμενον. οὔτε γὰρ ἐμνημόνευσεν οὐδεμιᾶς τῶν ὑπὸ Πλάτωνός τε, καὶ Ἱπποκράτους εἰρημένων ἀποδείξεων, οὔτε ἀντεῖπεν, οὔτ' αὐτός τινα εἶπεν ἑτέραν ἀπόδειξιν, οὔτε οἶδεν οὓς χρὴ καλεῖν μάρτυρας. ἐπεδειξάμην οὖν ἤδη, καὶ διὰ τοῦ πρώτου βιβλίου περὶ τῆς πρὸς ἑαυτὸν ἐναντιολογίας τοῦ Χρυσίππου. πρόδηλος δὲ καὶ νῦν ἐστιν ἡ ἀναισθησία τἀνδρός, ἃ χρῆν ἀποκρύπτειν ἐναργῶς καταβάλλοντα τὸν λόγον αὐτοῦ, ταῦτ' οὐ μόνον ἀποκρύπτοντος, ἀλλὰ καὶ μαρτυρεῖν ὑπολαμβάνοντος.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ἄτοποί τινες ἄλλοι λόγοι τοῦ Χρυσίππου, πρὸς τὸ ζητούμενον μηδὲν συμφέροντες ἀνατρέπονται.

ΑΠοχωρήσαντες οὖν ἤδη τῶν τοιούτων, ἴδωμεν ἑξῆς ἅπαντας οὓς ἐρωτᾷ λόγους, ἐπὶ τὴν ἀρχὴν αὖθις ἀνελθόντες ἅπαντος τοῦ λόγου, πρὸς τὸ μηδὲν παρελθεῖν. παραθήσομαι δὲ τὴν ῥῆσιν ἅπασαν, εἰ καὶ μακροτέρα πώς ἐστιν, ἔχουσαν ὧδε. τῆς μὲν οὖν ὀργῆς γινομένης ἐνταῦθα, εὔλογον καὶ τὰς λοιπὰς ἐπιθυμίας ἐνταῦθ' εἶναι, καὶ ἤδη τὰ λοιπὰ πάθη, καὶ τοὺς διαλογισμούς, καὶ ὅσα τούτοις ἐστὶ παραπλήσια. σαινόμενοι δὲ φήμῃ οἱ πολλοὶ τούτων, πολλὰ κατὰ τὴν ἀλήθειαν ἐπιλέγουσι τοιαῦτα ἐχόμενοι τῆς ῥηθείσης φορᾶς. πρῶτον μὲν γὰρ ἵνα πάντες ἐντεῦθεν ἄρξωμαι, κατὰ τοῦτό φασιν ἀναβαίνειν τινὲς τὸν θυμόν, καὶ καταπίνειν τὴν χολήν τινας ἀξιοῦσι λέγοντές τε καταπίνεσθαί τινα αὐτοῖς ἀπαράγματα, καὶ μὴ καταπίνεσθαι κατὰ τὴν τοιαύτην φορὰν λεγόμενα. οὕτω δὲ λέγεσθαι, καὶ μηδὲν αὐτοῖς τούτων καταβαίνειν, καὶ ὅτι καταπιὼν τὸ ῥηθέν, ἀπῆλθεν ὅτε Ζήνων πρὸς τοὺς ἐπιλαμβανομένους, ὅτι πάντα τὰ ζητούμενα εἰς τὸ στόμα φέρειν ἔφησεν, ἀλλ' οὐ πάντα καταπίνεσθαι, οὔτε τῆς καταπόσεως ἄλλως ἂν οἰκειότερον λεγομένης, οὔτε τῆς καταβάσεως τῶν ῥηθέντων, εἰ μὴ περὶ τὸν θώρακα τὸ ἡγεμονικὸν ἡμῶν ἦν, εἰς ὃ ταῦτα πάντα φέρεται. ἐν γοῦν τῇ κεφαλῇ ὄντος αὐτοῦ γελοίως ῥηθήσεται, καὶ ἀλλοτρίως καταβαίνειν. ἀναβαίνειν δ' ἂν οἶμαι οἰκειότερον αὐτῶν λεγομένων, καὶ οὐ καταβαίνειν τὸν προειρημένον τρόπον τῆς κατὰ τὴν ἀκοὴν αἰσθήσεως καταφερομένης περὶ τὴν διάνοιαν, ἐὰν ᾖ περὶ τὸν θώρακα, οἰκείως κατάβασις ῥηθήσεται· ἐὰν δὲ περὶ τὴν κεφαλήν, ἀλλοτριώτερον. ἐν τούτοις πάλιν ὁ Χρύσιππος οὐκ αἰσθάνεται τοὺς ἰδιώτας ἐφ' ἑαυτὸν καλῶν· τὸ γὰρ ἀναβαίνειν τὸν θυμόν, ἢ καταβαίνειν τὴν χολήν, ὅσα τ' ἄλλα τοιαῦτα λέγεται, μαρτυρεῖ τοῖς τὸν θυμόν τε, καὶ ὅλως τὰ πάθη κάτω που τετάχθαι νομίζουσιν, ὥσπερ ἐν τῇ κεφαλῇ τὸν λογισμόν. τηνικαῦτα γὰρ οἶδα, καὶ τὸ μὴ καταβαίνειν ἑαυτοῖς τὰ εἰρημένα λέγοντας τοὺς πολλούς, οὐκ ἐπειδὰν μὴ παρακολουθῶσι, μηδὲ μανθάνωσι τῶν λεγομένων, ἐπειδὰν λέγηται μέν τινα ὡς ὀργήν, ἢ λύπην, ἢ θυμόν, ἤ τι τοιοῦτον πάθος ἐκκαλεσόμενα, μὴ φροντίζῃ δὲ αὐτῶν ὁ ἀκούων, μηδὲ κινῆται κατὰ πάθος. αὕτη μὲν οὖν ἡ ἀδολεσχία, τοῦτο τὸ πέρας ἐχέτω. μετὰ ταῦτα δ' ὁ Χρύσιππος τοιᾶσδ' ἑτέρας μέμνηται. αἱ δὲ γυναῖκες καὶ μᾶλλον τι τούτων ἐμφαίνουσιν. εἰ γὰρ μὴ καταβαίνει αὐταῖς τὰ λεγόμενα, πολλάκις τὸν δάκτυλον καθάγουσι ἕως τοῦ κατὰ τὴν καρδίαν τόπου, οὐ φάσκουσαι καταβαίνειν ὧδε τὰ εἰρημένα. τοῦτο τὸ ἐπιχείρημα τοῖς ἔμπροσθεν ὁμογενές ἐστιν, δύο ἕτερα προσειληφὸς ἐπιχειρήματα πάνσοφα, τό τε γυναῖκας εἶναι τὰς λεγούσας αὐτά, καὶ μὴ ὥσπερ τὰ πρόσθεν τοὺς ἄνδρας, τό τε καὶ τῇ δείξει δηλοῦν ὥσπερ ὀρχουμένας, ἅπερ ὁ λόγος ἐπὶ τῶν ἀνδρῶν ἐδήλου. ἀλλά τοι κἀνταῦθα γενναιότατε Χρύσιππε, κατὰ σαυτοῦ καλεῖς τὰς γυναῖκας μάρτυρας. οὐδὲ γὰρ αὗται λέγουσιν οὕτως, οὐδ' ὀρχοῦνται ταῖς χερσὶν ὡς εἴρηκας, ἐπειδὰν ἀδυνῶνται συνιέναι τῶν λεγομένων. ἀλλ' ὅταν ὑπὸ λοιδορίας, ἢ ἀπειλῆς, ἤ τινος τοιούτου, μήτε ὀργίζεσθαι φάσκουσι, μήτε θυμοῦσθαι, μήθ' ὅλως ἀγανακτεῖν, ὅπερ οὐδ' αὐτὸν οἶμαι λανθάνει τὸν Χρύσιππον. ἀντιφθεγγόμενος γοῦν κἀνταῦθα ἑαυτῷ, μετ' ὀλίγον ὧδέ πως γράφει. ἀφ' ἧς τε φορᾶς λέγομεν μὴ καταβαίνειν τὰ λεγόμενα, εἴτε ἀπειλάς, εἴτε λοιδορίας, ὥστε καθικέσθαι, καὶ ἅψασθαι αὐτῶν,

A

CAPVT V.

Absurdæ quædam aliæ Chrysippi rationes ad propositum nihil pertinentes refelluntur.

ITaque iam à talibus digressi videamus deinceps orationes quas proponit vniuersas, toto sermone ad caput iterum reducto, ne aliquid omittatur. Apponam autem totam seriem, etiamsi longior sit; habet ea in hunc modum. *Quum itaque ira indidem oriatur, ratio est etiam reliquas cupiditates indidem haberi, reliquosque iam affectus, & ratiocinationes, item quæ his sunt consimilia.* B *Moti autem fama plerique horum multa eiusmodi verè dicta addunt, prædictam inclinationem sentit. Primum etenim omnes, vt inde incipiam, hac ratione dicunt nonnullis animum seu iracundiam conscendere & descendere, nonnullis bilem; dicentes quosdam ab ipsis cædes deuorari, & non deuorari ex huiusmodi impetu dicimus; sic autem dicitur & nihil ipsis horum descendere; & quòd qui deglutiuisset prædictum, discessit, & Zeno ad eos qui imparatum & incautum aggreßi erant omnia quæ quæruntur, in os ferre dixit, sed non omnia deglutire, quum neque deglutitio aliter propriè magis appelletur, neque prædictorum descensus, nisi in thorace animæ princeps facultas esset,* C *quò omnia hæc ferantur. Si itaque in capite habeatur; ridiculè dicetur & impropriè descendere, ascendere autem (mea sententia) propriè magis ipsa dicerentur, & non descendere, secundum prædictum modum sensu audiendi ad intellectum delato; si in thorace existat, propriè descensus dicetur, si autem in capite, magis impropriè.* In his rursus Chrysippus imprudens idiotas contra se vocat; nam ascendere iracundiam, aut descendere bilem, quæque alia eiusmodi dicuntur, iis attestantur, quia iracundiam, D summatimque affectus infra sitos esse existimant, quemadmodum in capite rationem; tunc enim noui plerósque non descendere sibi commemorata affirmantes, non quum nequeunt assequi, neque intelligunt quæ dicantur sed quando dicuntur nonnulla, ceu iram, aut mœrorem, aut iracundiam, aut eiusmodi aliquem affectum prouocatura; is autem qui audit, nullam de ipsis habet curam, neque affectu mouetur. Hæc igitur loquacitas hunc finem habeat. Postea Chrysippus aliarum eiusmodi meminit; *Mulieres etiam magis aliquid horum repræsentant. Si enim ea de quibus est sermo, non* E *ipsis descendunt, sæpe digitum adusque cordi vicinum locum deducunt inducentes eò non descendere iam commemorata.* Hoc argumentum prioribus consimile est, duobus aliis admodum sapientibus argumentis assumptis; nempe mulieres esse quæ hæc dicunt, & non quemadmodum antea, viros; item indicando significare ceu tripudiantes quæ oratio in viris indicabat. Atqui hîc etiam, generosissime Chrysippe, contra teipsum mulieres in testimonia adducis. Neque enim hæ in eum modum dicunt, neque manibus articulant (vt dixisti) quum negant se dicta intel- F ligere; verùm quando ob conuitia, aut minas, aut huiusmodi quippiam neque irasci dicunt, neque excandescere, neque omninò indignari, quod neque ipsum, puto, latet Chrysippum. Itaque & hîc secum discordans paulò post scribit. *A quo impetu dicimus non descendere quæ dicuntur, siue minas, siue conuitia, vt deorsum veniant, attingántque ipsas,*

atque sic mentem commoueri hoc delationis impetu, item profundas quasdam esse pronunciamus, eò quòd nihil huiusmodi possit in ipsis descendere. Quòd igitur minitantibus aut conuitiantibus dicitur non descendere in pectus ea quæ dicta sunt, etiam ipse Chrysippus testatur; adiecit autem orationi mentis vocabulum, quum oporteret dicere iracundiæ. Etenim ratiocinari, & quæ dicuntur considerare, item pugnantiam aut consequentiam rerum nouisse, rationalis facultatis opus est. Ob conuitia autem aut minas neque irasci neque excandescere, irascibilis proprium existit; verùm hæc quidem in sequentibus Chrysippus tradit, sed inter hæc quæ modò exposita sunt verba, & quæ paulò ante de mulieribus scripsi, alia habentur quæ nunc apponam, ne quicquam prorsus prætergredi videar. Habet autem hunc in modum: *Post hæc reuomere nonnullos dicimus ea quæ ipsis apparuerunt. Præterea profunditatem dicimus multorum eiusmodi commemoratis similiter; nam vbi deuorauerint huiusmodi dictum, dies est, & reposuerint hoc in animum, rursúsque illud dicentes, dies non est, rebus manentibus non absurdè neque impropriè reuomere dicuntur.* Ego sanè hoc reuomere nullum audiui dicentem; sed magis expuere, emittere, abiicere, & deponere dicunt, quum significent aliquem à prauis recedere opinionibus. Quòd si verò etiam euomere à quibusdam dicatur, idem nimirum erit quod expuere, abijcere, & aliis simile, quæ ex tralatione sumuntur. At quod nullum huiusmodi argumentum non solùm viro philosophiæ studioso, sed ne rhetorico quidem tractandum sit, ostensum etiam est à me antea; quinetiam impræsentiarum paucis liceat indicare, reuocatis in memoriam rhetoricis artibus, quas illi tradunt, docentes nos ex quibus locis ad vnumquodque propositum argumenta desumantur. Nullius siquidem eiusmodi meminerunt, qualibus Chrysippus commentarios suos repleuit. At enim si omnem dictionum seriem accuratè persequi vellem, vt nihil ex vitiis relinquatur indiscussum, indictúmque, liber in infinitum extenderetur. Quare iam iis quæ prædiximus, omissis, ad subsequentia diuertemur, per quæ Chrysippus poëtarum testimonia apponere incipit, pauca interim verba sua interponens, sæpe ceu interpretationem eorum quæ series vocum innuit, sæpe ceu compendium aliquod, & veluti summam quandam vniuersalem. Auspicatus itaque ab aliqua Empedoclis sententia, tum exponit ipsam, tum quosdam interexponendum memoratu digniores sermones incipit, inter quos est & ille in quo de voce tractatur, cuius sermonis secundo harum commentationum libro mentionem feci; vbi satius mihi visum est omnes rationes exponere, quæ probabile continent, & non omninò sunt repudiandæ, neque mulieres, neque idiotas, neque etymologias, aut manuum lationes, aut inclinationes, reclinationésve capitis, aut poëtas in testes aduocant. In quibus etiam solis permanere decreueram, non ea ipsis adijciens, quæ nunc mihi scribuntur. quum autem amicis melius esse visum sit, non quę omninò Chrysippus effutiuit eadem prorsus prætermittere; sed tum absurditatem ipsorum prodere; tum ostendere hæc non modò nihil ipsum iuuare, sed & contra Stoïcorum placita adduci aduersus Stoïcorum dogmata assumpta. Ideo omnia ista isto libro apposui. De voce equidem non opus est verba adhuc facere impræsentiarum, quum vniuersum modum superiori libro abundè tradiderim.

καὶ οὕτως κινεῖσθαι τὴν διάνοιαν ἀπὸ τῆς φορᾶς ταύτης, καὶ βαθείας τινάς φαμεν εἶναι, τὸ διὰ μηδὲν τῶν τοιούτων ἐφικέσθαι καταβῆναι αὐτῶν. ὅτι μὲν οὖν ἐπὶ τῶν ἀπειλούντων ἢ λοιδορούντων λέγεται τὸ μὴ καταβαίνειν εἰς τὸ στῆθος τὰ εἰρημένα, καὶ αὐτὸς ὁ Χρύσιππος μαρτυρεῖ. προσέρριψε δὲ τῷ λόγῳ τὸ τῆς διανοίας ὄνομα δέον εἰπεῖν θυμοῦ. τὸ μὲν γὰρ λογίζεσθαί τε, καὶ νοεῖν τὰ λεγόμενα, καὶ τὸ μαχόμενον ἢ ἀκόλουθον ἐπίστασθαι τῆς λογιστικῆς δυνάμεως ἔργον. τὸ δὲ ἐπὶ λοιδορίαις ἢ ἀπειλαῖς, μήτ' ὀργισθῆναι, μήτε θυμωθῆναι τῆς θυμοειδοῦς ἴδιον. ἀλλὰ ταῦτα μὲν ἐν τοῖς ἐφεξῆς ὁ Χρύσιππος λέγει. μεταξὺ δὲ ταύτης τῆς τε νῦν γεγραμμένης ῥήσεως, καὶ ἧς ὀλίγον ἔμπροσθεν ἔγραψα περὶ τῶν γυναικῶν, ἑτέρα ῥῆσίς ἐστιν ἣν ἤδη παραγράψω, πρὸς τὸ μηδὲν ὅλως ὑπερβαίνειν δοκεῖν, ἔχει δὲ ὧδε. τούτοις δ' ἀκολούθως ἀνεμεῖν τέ τινάς φαμεν τὰ φανέντα αὐτοῖς, καὶ ἔτι τὸ βαθὺ λέγομεν πολλῶν τοιούτων συμφώνως τοῖς εἰρημένοις, καταπιόντες γὰρ ὅμοιον εἰπεῖν ὅτι ἡμέρα ἐστὶ, καὶ ἐναποθέμενοι τοῦτο εἰς τὴν διάνοιαν, καὶ πάλιν ἐκεῖνο λέγοντες ὅτι οὐκ ἔστιν ἡμέρα μενόντων τῶν πραγμάτων, οὐκ ἀλλοτρίως οὐδ' ἀνοικείως ἀνεμεῖν λέγονται. τοῦτο τὸ ἀνεμεῖν ἐγὼ μὲν οὐδὲ ἤκουσά τινος λέγοντος, ἀλλὰ μᾶλλον ἀποπλῦσαι, καὶ ἐκπλῦσαι, καὶ ἐκβαλεῖν, καὶ ἀπορρῖψαι, καὶ ἀποθέσθαι λέγουσιν, ἐπειδὰν λέγωσί τινα δόξαν ἀποστῆναι μοχθηρῶν. εἰ δ' ἄρα καὶ τὸ ἐξεμέσαι λέγοιτο πρός τινων, εἴη ἂν ταυτὸν τῷ ἀποπλῦσαι, καὶ ἀπορρῖψαι, καὶ τοῖς ἄλλοις τοῖς ἐκ μεταφορᾶς λεγομένοις ὁμοίως ἔχον. ὅτι δ' οὐ μόνον ἀνδρὶ φιλοσοφοῦντι τῶν τοιούτων ἐπιχειρημάτων οὐδέν ἐστι μεταχειριστέον, ἀλλ' οὐδὲ ῥητορικῷ, δέδεικται μὲν ἤδη μοι, καὶ διὰ τῶν ἔμπροσθεν, οὐ μὴν ἀλλὰ καὶ νῦν ἔνεστιν ἐνδείξασθαι διὰ βραχέων, ἀναμνήσαντα τῶν ῥητορικῶν τεχνῶν ἃς ἐκεῖνοι γράφουσι, διδάσκοντες ἡμᾶς τόπους ἐπιχειρημάτων εἰς ἑκάστην ὑπόθεσιν. οὐδενὸς γὰρ τοιούτων μνημονεύουσιν, οἵων ὁ Χρύσιππος ἐνέπλησε τὰ ἑαυτοῦ συγγράμματα. ἀλλὰ γὰρ εἴπερ πᾶσαν ῥῆσιν ἀκριβολογεῖσθαι βουληθείην, ὡς μηδὲν τῶν ἁμαρτημάτων ἀνέλεγκτον παραλιπεῖν, εἰς ἄπειρον ἄν τι μῆκος ἐκταθείη τὸ βιβλίον. ἀφέμενος οὖν ἤδη τῶν προγεγραμμένων, ἐπὶ τὰ ἐφεξῆς τρέψομαι, δι' ὧν ὁ Χρύσιππος ἄρχεται παρατίθεσθαι τὰς τῶν ποιητῶν μαρτυρίας, μεταξὺ παρεντιθεὶς αὐτῶν ὀλίγας λέξεις ἑαυτοῦ. πολλάκις μὲν ὥσπερ ἐξήγησιν ὧν ἡ ῥῆσις βούλεται, πολλάκις δ' ὥσπερ ἐπιτομήν τινα, καὶ οἷον καθόλου τι κεφάλαιον. ἀρξάμενος οὖν ἀπό τινος Ἐμπεδοκλείου ῥήσεως ἐξηγεῖταί τε αὐτὴν, καί τινων κατὰ τὴν ἐξήγησιν ἀξιολογωτέρων ἄρχεται λόγων, ἐν οἷς ἐστι καὶ ὁ περὶ τῆς φωνῆς, οὗ κατὰ τὸ δεύτερον ἐμνημόνευσα τῶνδε τῶν ὑπομνημάτων, ἐν ᾧ βιβλίῳ πάντας ἔδοξέ μοι κάλλιον εἶναι παραθέσθαι τοὺς λόγους, οἳ τὸ πιθανὸν ἔχουσι, καὶ οὐχὶ ἀπόβλητοι τελέως εἰσὶν, οὐδὲ γυναῖκας, οὐδὲ ἰδιώτας, οὐδὲ ἐτυμολογίας, ἢ φορὰς χειρῶν, ἢ ἐπινεύσεις, ἢ ἀνανεύσεις κεφαλῆς, ἢ ποιητὰς ἐπικαλοῦνται μάρτυρας, ἐφ' ὧν καὶ μόνων ἐγνώκειν καταμεῖναι, μὴ προσθεὶς αὐτοῖς ταυτὶ τὰ νῦν μοι γραφόμενα. δόξαν δὲ τοῖς ἑταίροις ἄμεινον εἶναι, μὴ δ' ὅσα παντάπασιν ἠδολέσχηται τῷ Χρυσίππῳ, μηδὲ ταῦθ' ὑπερβῆναι παντελῶς, ἀλλ' ἐπισημήνασθαί τε τὴν ἀτοπίαν αὐτῶν, ἐπιδεῖξαί τε πρὸς τὸ μηδὲν πλέον αὐτὸν ἔχειν αὐτὰ κατὰ τῶν Στωϊκῶν δογμάτων παρειλημμένα, διὰ τοῦτο προσέθηκα πάντα ταῦτα κατὰ τόδε τὸ βιβλίον. περὶ μὲν δὴ τῆς φωνῆς, οὐδὲν ἔτι δέομαι λέγειν ἐν τῷδε, σύμπαντα τὸν τρόπον ἱκανῶς ἐξειργασμένος ἐν τῷ περὶ τούτου βιβλίῳ.

ὅσα δ' ἐφεξῆς ἔτι τοῦ περὶ ταύτης λόγου κατὰ τὸ τοῦ Χρυσίππου βιβλίον εἰρημένα, τούτων ἤδη μνημονεύσω. ἔστι δὲ τά τε κατὰ τὰς φορὰς τῶν χειρῶν, ὅτε ἐφαπτόμεθα τῶν στέρνων ἡμᾶς αὐτοὺς δεικνύντες. ἔτι τε τὰ κατὰ τὴν, ἐγώ, φωνήν, ἃ δὴ κἂν τοῖς ἐτυμολογικοῖς εἶπεν ἔχειν τι φάσκων αὐτὰ, δεικτικὸν ἐκ τοῦ φαινομένου διὰ τὸ κατὰ τὴν προτέραν ἐν αὐτῇ συλλαβῇ. ὡς ἐπὶ τὸ στῆθος ἀπάγεσθαι τήν τε κάτω γένυν, καὶ τὸ χεῖλος. εἴρηταί μοι καὶ περὶ τούτων ἤδη κατὰ τὸ δεύτερον τῶνδε τῶν ὑπομνημάτων, κἂν τοῖς περὶ ὀνομάτων ὀρθότητος. ὅμοια δὲ τοῖς τοιούτοις ἐπιχειρήμασι, καὶ τὰ κατὰ τὴν ἐτυμολογίαν εἰσὶ τοῦ τῆς καρδίας ὀνόματος, ἑξῆς τῶν προειρημένων ὑπὸ τοῦ Χρυσίππου γεγραμμένα κατὰ τὸ πρότερον περὶ ψυχῆς ὧδέ πως ἔχοντα. τούτοις πᾶσι συμφώνως, καὶ τοὔνομα τοῦτ' ἔσχηκεν ἡ καρδία κατά τινα κράτησιν, καὶ κυρείαν, ἀπὸ τοῦ ἐν αὐτῇ εἶναι τὸ κυριεῦον, καὶ κρατοῦν τῆς ψυχῆς μέρος, ὡς ἂν κρατία λεγομένη, τὸ μὲν ὡς πρὸς τὴν ζωὴν ἡμῶν κυριώτατον εἶναι τὸ σπλάγχνον· οὐδ' ἡμεῖς ἀμφισβητοῦμεν, ὦ γενναιότατε Χρύσιππε. οὐ μὴν ἁπλῶς γε κυριώτατον εἶναι συγχωροῦμεν. οὐ γὰρ ἀρχὴν αὐτό, καὶ δεσπόζειν τῶν ἄλλων ἡ φύσις ἔνειμεν ὅτῳ μέν γε προσηκόντως διοικῆσαι τὰ κατὰ τὸν ἄνθρωπον, ἀλλ' ἐγκεφάλῳ μὲν ἀρχήν. ὑπακούειν δὲ τῇ καρδίᾳ, καθάπερ ἡμεῖς ἀποδείκνυμεν. ἐφεξῆς δὲ τοῖς εἰρημένοις ὁ Χρύσιππος τάδε γράφει. ὁρμῶμεν κατὰ τοῦτο τὸ μέρος, καὶ συγκατατιθέμεθα τούτῳ, καὶ εἰς τοῦτο συντείνει τὰ αἰσθητήρια πάντα. ταῦτα τὰ κεφάλαια μόνα τῶν ἐπιστημονικῶν ἐστι, καὶ εἴπερ ἀπέδειξεν ὁ Χρύσιππος αὐτά, τότ' ἂν ἐπῃνοῦμέν τε τὸν ἄνδρα, καὶ τοῖς δόγμασιν ἐπειθόμεθα τῶν Στωϊκῶν. ἐπεὶ δ' ἀποδεῖξαι μὲν οὐκ ἐπεχείρησεν, ἀπεφήνατο δὲ μόνον, ἡμεῖς δὲ πρόσθεν μὲν ἤδη περὶ τῶν αὐτῶν ἀπεδείξαμεν, ὡς οὔτε κατὰ τὴν καρδίαν γίγνεται, καὶ πάντων αὐτῶν ἐγκέφαλός ἐστιν ἀρχή, καὶ διὰ τῶν ἐφεξῆς δέ, οὐδὲν ἧττον ἀποδείξομεν, οὐκ ἔτ' ἂν οἶμαι δίκαιον εἶναι τοῖς Χρυσίππου πιστεύειν δόγμασιν, ἀλλὰ τοῖς Ἱπποκράτους, καὶ Πλάτωνος. ταυτὶ μὲν οὖν τὰ κεφάλαια τὸ σύμπαν κῦρος ἐν αὐτοῖς ἔχοντα περὶ τῶν προκειμένων ἡμῖν δογμάτων, οὕτως ταχέως ὁ Χρύσιππος παρέδραμεν, ὡς ἐπιμνησθῆναι μόνον. ἐν οἷς δὲ οὐ χρή, μηκύνει περιττῶς, ἑξῆς δὲ περί τε φωνῆς μνημονεύει καὶ νεύρων ἀρχῆς, ὑπὲρ ὧν ἀμφοτέρων εἴρηταί μοι κατὰ τὰ πρόσθεν ὑπομνήματα. καὶ μετὰ ταῦτα τὴν ἀκάρδιον ἐξηγεῖται προσηγορίαν, ὑπὲρ ἧς ἔμπροσθεν ἤδη μοι λέλεκται, τοσοῦτον δὲ ἐπισημανοῦμαι, καὶ νῦν ἀπ' αὐτῆς τῆς λέξεως τοῦ Χρυσίππου μαρτυρούσης οἷς προεῖπον. ἔχει δὲ ὧδε, κατὰ τοῦτο καὶ εὐκάρδιοι λέγονταί τοι εἶναι τινὲς καθάπερ εὔψυχοι, καὶ καρδίαν ἀλγεῖν οἱ κηδόμενοί τινων, ὡς ἂν κατὰ τὴν καρδίαν τῆς κατὰ τὴν λύπην ἀλγηδόνος γιγνομένης. ἐν ταύτῃ γὰρ τῇ ῥήσει σαφῶς ὁ Χρύσιππος ἐμαρτύρησεν ἡμῖν, ὡς οὐδέποτε τὸ λογιζόμενον τῆς ψυχῆς οὐδεὶς τῶν ἰδιωτῶν ἐν καρδίᾳ νενόμικεν ὑπάρχειν, οὐδ' ὁ ἀκάρδιος τὸν ἄψυχον ὡς οἴεται ὁ Χρύσιππος, ἀλλὰ τὸ ἄτολμον δηλοῖ παρ' αὐτοῖς. οὕτω δὲ καὶ τὴν καρδίαν ἀλγεῖν, τὸ λυπεῖσθαι λέγουσιν, ὡς καὶ τοῦτ' αὐτὸς μαρτυρεῖ διὰ τῆς αὐτῆς ταύτης ῥήσεως τῆς νῦν γεγραμμένης, ἐν ᾗ φησιν, ὡς ἂν κατὰ τὴν καρδίαν τῆς κατὰ τὴν λύπην ἀλγηδόνος γιγνομένης. οὕτως ἐν ἅπασι τοῖς λόγοις ὁ Χρύσιππος οὐκ αἰσθάνεται τὰ πάθη τῆς ψυχῆς ἐν τοῖς κάτω τῆς κεφαλῆς μέρεσιν ὑπάρχειν κατασκευάζων, οὐ τὸ λογιζόμενον, ἢ ἐπιστήμην δεχόμενον, ἢ ἀλήθειαν σπουδάζον. οὕτω δὲ κἀπειδὰν ἐπιφέρων εἴπῃ· τὸ γὰρ ὅλον καθάπερ ἐν ἀρχῇ εἶπον, εὖ μάλ' ἐμφαίνουσιν οἵ τε φόβοι, καὶ αἱ λῦπαι κατὰ τοῦτο τὸ μέρος γιγνόμεναι.

Quæ autem deinceps in libro de ipsa Chrysippus prodiderit, eorum nunc meminero. Sunt autem ea quæ ex manuum lationibus petuntur, quum pectora attingimus, nosipsos ostendentes; præterea quæ de voce, ego, protulit; quæ sanè etiam in etymologicis posuit; habere aliquid dicens, quod ex euidenti demonstret, eo quòd in prima eius syllaba inferiorem maxillam & labrum veluti ad pectus adduci contingat. Dictum à me de his est etiam in secundo horum commentariorum volumine, item in libris de nominum rectitudine. Iam verò huiusmodi argumentis similia sunt, quæ ex ratione nominis cordis sumuntur, post prædicta à Chrysippo primo de anima libro, hunc in modum perscripta? *His omnibus concorditer nomen etiam hoc, cor, respondet, ex quadam præcellentia & dominio, quia princeps & imperatrix animæ facultas, veluti dominium dicta, in eo consistat, hoc sanè, quòd ad vitam nostram viscus sit principalissimum.* Neque nos ô præclare Chrysippe ambigimus, non tamen absoluto sermone principalissimum esse concedimus. Non enim dominari ipsum & præesse aliis natura tribuit; quum conuenienter ea quæ in homine sunt, administrantur, verùm cerebro imperare, cordi obedire donauit; quemadmodum nos ostendimus. Postea quæ dicta sunt, Chrysippus deinceps hæc scribit; *ex hac parte motus impetum habemus; & hac assentimus; in eandem quoque omnia sensus instrumenta pertinent.* Hæc capita solum scientificorum existunt: quæ si Chrysippus demonstrasset, tunc hominem laudaremus, & Stoicorum placitis auscultaremus. Quoniam verò demonstrare non aggressus est, solùm autem pronunciauit, & nos iam antea de his eisdem ostendimus neque in corde fieri, sed omnium ipsorum originem esse cerebrum, nihilóque minus per ea quæ sequuntur, demonstrabimus; non amplius æquum esse puto vt Chrysippi placitis, sed Hippocratis & Platonis fidem habeamus. Hæc igitur capita totam summam de propositis nobis dogmatibus in se comprehendentia, tam celeriter Chrysippus transcurrit, vt tantum meminerit; vbi autem non oportet, superfluè prolixus est; deinde verò vocis & neruorum principij mentionem facit; de quibus vtrisque, superioribus commentariis tractatum à me est. Postea dictionem excordem interpretatur, de qua iam priùs disserui. Tantillum verò præterea in præsentia adnotabo ex ipsa Chrysippi dictione, quæ attestatur ea quæ prædixi; habet autem hunc in modum; *Hac ratione etiam bene cordati dicuntur aliqui esse, quemadmodum bene animosi; & cor dolere, qui nonnulla curant, tanquam in corde tristitiæ dolor oriatur.* Hac enim sententia manifestò Chrysippus testatus est nobis, quòd nunquam rationalem animæ vim vllus idiotarum in corde haberi existimauerit; neque excors, inanimatum (vt opinatur Chrysippus) sed timidum apud ipsos significat. Pari modo cor dolere, pro angi ac tristari dicunt. veluti & hoc ipse testatur eadem in hac dictionum serie modò comprehensa, vbi pronunciat, tanquam in corde tristitiæ dolor nascatur. Similiter in omnibus orationibus Chrysippus imprudens ac inscius animi affectus partibus cerebro inferioribus inesse astruit, non rationalem animam, aut scientiæ capacem, aut veritatis studiosam. Sic verò etiam quum inferens, dicit; *Nam in totum, quemadmodum per initia dixi, admodum ostendunt & metus & tristitia eadem in parte prouenientes.*

Attestatur

Atteſtatur hîc quoque Platonis ſententiæ. *Item* A *per ſubſequentia perſimili modo non intilligit ſe adſtruere, quòd iraſcens vis in corde collocetur; etenim in metu cordis palpitatio euidens eſt, & in hanc partem totius animæ concurſus; quum alioquin non accidentaliter ea eueniant, tanquam aliud aliis affectum communicare ſoleat, in quo etiam conſidunt circa ipſum vt principale in ſe contracti, tanquam ab ipſo conſeruari debeant: triſtitiæ quoque affectus indidem naturâ oboriuntur, nullius alterius conſortio, neque loci dolentis conſenſu. Quippe doloribus nonnullis vehementibus eorum cauſa infeſtantibus, alius quidem nullus locus affectiones has oſtendit, cordis* B *autem regio maximè.* Hæc omnia verè à Chryſippo dici affirmabimus, adhortabimúrque ipſius ſectatores eorum meminiſſe, & non ampliùs à nobis aliam requirere demonſtrationem de eo quòd metus, triſtitiæ, omnéſque id genus affectus in corde conſiſtant; verùm hoc etiam ab ipſis Stoicis confeſſum aſſumitur, non ſolùm enim Chryſippus, ſed Cleanthes quoque & Zeno hæc promptè conſtituunt. Illud autem inſpicere ſolùm conuenit, in quo omnem dubitationem eſſe contingit, an etiam pars animæ rationalis inibi habeatur. Si enim quemadmodum animoſa, manifeſtò his verbis quæ Chry- C ſippus iam ſubinde protulit, oſtenditur in corde contineri; nos autem & de rationali perſimiles has, aut etiam vehementiores adhuc demonſtrationes appoſuerimus de eo quòd in capite & cerebro ipſa exiſtat, quid aliud quàm Platonis & Hippocratis placitum oſtendetur, quum nos vtraſque demonſtrationes compoſuerimus.

μάρτυρα καὶ ταῦτα τῷ τοῦ Πλάτωνος λόγῳ. καὶ διὰ τῶν ἑξῆς δὲ κατὰ τὸ παραπλήσιον τρόπον, οὐκ αἰσθάνεται κατασκευάζων, ὡς ἐν τῇ καρδίᾳ τὸ θυμοειδὲς ἵδρυται τῆς ψυχῆς. ἤτε γὰρ ἐν τοῖς φόβοις πάλσις τῆς καρδίας ἐκφανής ἐστι, καὶ ἡ εἰς τοῦτο τῆς ὅλης ψυχῆς συνδρομή. οὐκ ἄλλως ἐπιγιγνομένων ἀυτῶν, καθάπερ ἄλλοις ἄλλου συμπάσχειν πεφυκότος, καθὸ καὶ συνιζάνουσιν εἰς αὐτὴν, συνάγόμενοι πρὸς τοῦτο, ὡς ἂν τὸ ἡγεμονικὸν, καὶ κατὰ τὴν ὡς ἂν αὐτῶν τούτου φυλακὴν. καὶ τὰ τῆς λύπης πάθη ἐνταῦθοί που φύεσθαι γίνεται, οὐδενὸς ἄλλου συμπάσχοντος οὐδὲ συναλγοῦντος τόπου. ἀλγηδόνων γὰρ ἰνῶν κατὰ ταῦτα γιγνομένων σφοδρῶν, ἕτερος μὲν οὐδεὶς ἐμφαίνει τόπος τὰ πάθη ταῦτα, ὁ δὲ περὶ τὴν καρδίαν μάλιστα. ταῦτα πάντα φήσομεν ἀληθῶς ὑπὸ τοῦ Χρυσίππου λέγεσθαι, καὶ παρακαλέσομεν γε τοὺς ἀπ' αὐτοῦ μεμνῆσθαί τε αὐτῶν, καὶ μηκέτι παρ' ἡμῶν ἑτέραν ἐπιζητεῖν ἀπόδειξιν ὑπὲρ τοῦ τοὺς φόβους, καὶ τὰς λύπας, καὶ πάνθ' ὅσα τοιαῦτα πάθη κατὰ τὴν καρδίαν συνίστασθαι, ἀλλὰ τοῦτο μὲν καὶ παρ' αὐτῶν ὁμολογούμενον λαμβάνεται τῶν Στωϊκῶν. οὐ μόνον γὰρ Χρύσιππος, ἀλλὰ καὶ Κλεάνθης, καὶ Ζήνων ἑτοίμως αὐτὰ τιθέασιν. ἐκεῖνο δ' ἐπισκέπτεσθαι χρὴ μόνον, ἐν ᾧ τὴν πᾶσαν ἀμφισβήτησιν εἶναι συμβέβηκεν, εἰ καὶ τὸ λογιζόμενόν ἐστιν ἐνταῦθα. εἰ γὰρ ὥσπερ τὸ θυμοειδὲς ἐναργῶς ἐπιδείκνυται, δι' ὧν ὁ Χρύσιππος ἤδη πολλάκις εἴρηκε λόγων περιεχόμενον ἐν τῇ καρδίᾳ. ἡμεῖς δὲ εἰ περὶ τοῦ λογιζομένου παραπλησίας ταύτας, ἢ καὶ σφοδροτέρας ἔτι προσθείημεν ἀποδείξεις ὑπὲρ τοῦ κατὰ τὴν κεφαλήν τε, καὶ τὸν ἐγκέφαλον ὑπάρχειν αὐτό, τί ἄλλο ἢ τὸ Πλάτωνός τε, καὶ Ἱπποκράτους ἀποδειχθήσεται δόγμα, τὰς ἀποδείξεις ἀμφοτέρας ἡμῶν συνθέντων.

CAPVT VI.

Epilogus verarum & ſcientificarum demonſtrationum de cerebro & corde. D

FOrtè igitur præſtiterit, quoniam in hunc ſermonem incidimus, demonſtrationes ſcientificas in memoriam reuocare, quibus de ſuperiori commentario diffuſiùs diſputaui, aſſumptiones oſtendens vnde aliquis propoſitum demonſtrauerit. Erat autem id caput, ab iis quæ inſunt accidúntque vtrique viſceri, ſecundum rei de qua eſt quæſtio, ſubſtantiam, ordiri oportere; ac ſanè quæ inſunt accidúntque vtrique, priuatim omnia ſuprà ſumus executi. Porrò horum capita hæc quoque erant. Primùm quidem, quòd inſtrumento- E rum tum ſenſum tum motum arbitrarium omnibus animalis partibus diſpenſantium, qui nerui appellantur, cerebrum originem ac principium eſſe contigit, veluti arteriarum cor. Deinde, quòd contuſis aut vulneratis cerebri ventriculis, totum animans actutum torpidum euadit, non tamen interit vel arteriarum vel cordis motus; quemadmodum vbi cor ſimiliter affectum fuerit, arteriarum motus læduntur; totum verò animal nullam neque ſenſus neque motus noxam experiri videtur. Inſuper oſtendimus neutrum commemoratas facultates alteri ſubminiſtrare, ne- F que cor cerebro ſentientem, motricémque pro arbitrio, neque cerebrum cordi pulſatricem; ſed eſt vtraque pars vtriuſque facultatis veluti fons aliquis. Iam ratio oſtendit quoque à morbis teſtimonium, de quo in ſubſequentibus copioſius agemus. Cerebro etenim patiente,

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Ἐπίλογος τῶν ἀληθῶν τε, καὶ ἐπιστημονικῶν ἀποδείξεων περὶ τοῦ ἐγκεφάλου τε, καὶ τῆς καρδίας.

ΙΣως οὖν ἄμεινον ἐπεὶ κατὰ τοῦτο τοῦ λόγου γεγόναμεν, ἀναμνῆσαι τῶν ἐπιστημονικῶν ἀποδείξεων, ὑπὲρ ὧν ἐπὶ πλέον ἐν τῷ πρὸ τούτου διελέχθην ὑπομνήματι, τὰ λήμματα δεικνὺς, ἐξ ὧν ἄν τις ἀποδείξει τὸ προκείμενον. ἦν δ' αὐτῶν τὸ κεφάλαιον ἐκ τῶν ὑπαρχόντων, καὶ συμβεβηκότων ἑκατέρῳ τῶν σπλάγχνων κατὰ τὴν οὐσίαν τοῦ ζητουμένου πράγματος, ἄρχεσθαι χρῆναι, καὶ δὴ τὰ ὑπάρχοντά τε, καὶ συμβαίνοντα καθ' ἑκάτερον ἴδια πάντα διήλθομεν ἔμπροσθεν. ἦν δὲ καὶ τούτων κεφάλαια ταῦτα. πρῶτον μὲν ὡς τῶν αἴσθησίν τε, καὶ κίνησιν τὴν κατὰ προαίρεσιν ἅπασι τοῖς τοῦ ζώου μέλεσι παρεχόντων ὀργάνων, ἅπερ ὀνομάζεται νεῦρα, τὸν ἐγκέφαλον ἀρχὴν ὑπάρχειν συμβέβηκεν, ὥσπερ τῶν ἀρτηριῶν τὴν καρδίαν. ἔπειτα δ' ὅτι θλιφθεισῶν μὲν ἢ τρωθεισῶν τῶν κατὰ τὸν ἐγκέφαλον κοιλιῶν, ὅλον τὸ ζῶον αὐτίκα γίνεται καρῶδες, οὐ μὴν ἀπόλλυταί γε, οὔτε ἡ κατὰ τὰς ἀρτηρίας, οὔτε ἡ κατὰ τὴν καρδίαν κίνησις, ὥσπερ γε κἀπειδὰν ὁμοίως τὴν καρδίαν διαθῶμεν, αἱ μὲν κατὰ τὰς ἀρτηρίας κινήσεις παραβλάπτονται. τὸ δὲ ὅλον ζῶον, οὔτε εἰς αἴσθησιν οὐδεμίαν, οὔτε κίνησιν οὐδὲν φαίνεται βλαπτόμενον. ἐπεδείξαμεν δὲ καὶ ὡς οὐδέτερον οὐδετέρῳ χορηγεῖ τῶν εἰρημένων δυνάμεων, οὔθ' ἡ καρδία τῷ ἐγκεφάλῳ τῆς αἰσθητικῆς τε, καὶ κατὰ προαίρεσιν κινητικῆς, οὔθ' ὁ ἐγκέφαλος τῇ καρδίᾳ τῆς σφυγμικῆς, ἀλλ' ἐστὶν ἑκάτερον τῶν μορίων ἑκατέρας δυνάμεως οἷον πηγή τις. ἐνδείκνυται δ' ὁ λόγος ἤδη, καὶ τὴν ἀπὸ τῶν νοσημάτων μαρτυρίαν, ὑπὲρ ἧς ἐν τοῖς ἑξῆς ἐπὶ πλέον ἐροῦμεν. ἐγκεφάλου μὲν γὰρ πάσχοντος,

ἕτοιμον παραφρονῆσαί τε, καὶ ἀκίνητον, καὶ ἀναίσθητον γενέσθαι τὸ ζῶον. καρδίας δὲ, συγκοπῆναι μὲν, καὶ ἀπολέσθαι, τῶν προειρημένων δ' οὐδὲ ἓν παθεῖν. εἴπερ οὖν οὕτως ταῦτ' ἔχει καθάπερ ἔχει, καὶ οἱ λέγοντες ἐκ καρδίας πεφυκέναι τὰ νεῦρα, λέγειν μὲν δύνανται τοῦτο καὶ γράφειν, ὥσπερ καὶ ἄλλα πολλὰ λέγουσί τε, καὶ γράφουσιν. οὐ μὴν ἐπί γε τῶν ζώων ἐναργῶς δεικνύναι. τὴν μὲν γὰρ λεγομένην ἀρχὴν, ἀφ' ἧς τὰ νεῦρα πέφυκεν, ἐγκέφαλον ἀναγκαῖον ὑπάρχειν. ὅσα δὲ Χρύσιππος ἐπὶ πλεῖστον μηκύνων ἐπὶ τῆς καρδίας διεξῆλθεν, οὐ τὸ λογίζεσθαι δείκνυσι τὸ σπλάγχνον, ἀλλὰ τὸ θυμοῦσθαι, καὶ τὸ φοβεῖσθαι, καὶ τὸ λυπεῖσθαι, καὶ πάνθ' ὅσα τοῦ θυμοειδοῦς τῆς ψυχῆς ἐστιν ἔργα τε καὶ πάθη.

A promptè desipere animal, & motus sensúsque expers reddi. At corde affecto, in syncopen prolabi, & interire, prædictorum autem ne vnum quidem perpeti. Itaque si in eum modum hæc se habent, quemadmodum habent; & qui ex corde neruos prodire tuentur, dicere quidem hoc possunt, & scribere quemadmodum etiam alia pleraque & dicunt, & scribunt; non tamen in animantibus euidenter ostendere. Siquidem quod principium dicitur à quo nerui proueniunt, cerebrum existere necesse est. Quæ autem Chrysippus impendiò prolixus de corde disseruit, non ratiocinari B viscus indicant, sed irasci, timere, & tristari, ac omnia quæ irascibilis animæ tum opera, tum affectus existunt.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὑπόλοιπα τὰ τοῦ Χρυσίππου περὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ λήμματα, μάταιά τε εἶναι καὶ ψευδῆ.

Ὅπερ οὖν εἶπον ἤδη πρόσθεν ἐν τῷδε τῷ γράμματι, τοῦτο καὶ νῦν ἀναγκαῖον ἀναμνῆσαι, ὅτι ὁ Χρύσιππος ἐν τῇ μετὰ τὰς προγεγραμμένας ῥήσεις λέξει, προχείρως πάλιν ἐξ ἑνὸς ἄρχεσθαι μόνου τὰς δυνάμεις ἀμφοτέρας λαμβάνει, μηδὲ μίαν ἀπόδειξιν, ἢ παραμυθίαν, ἢ πιθανότητα τῷ λόγῳ προσθείς, ὡς ἐξ αὐτῆς φανερὸν ἔσται τῆς λέξεως αὐτοῦ τόνδε τὸν τρόπον ἐχούσης. ἀτόπως οὖν αὐτὸ κατὰ ταῦτα ἐξακολουθησόμενον, ἐάν τε μὴ φῶσι τὴν λύπην, καὶ τὴν ἀγωνίαν ἀλγηδόνας εἶναι, ἐάν τε ἀλγηδόνας, ἐν ἄλλῳ γίνεσθαι τόπῳ ἢ τῷ ἡγεμονικῷ. τὰ δ' αὐτὰ καὶ ἐπὶ τῆς χαρᾶς, καὶ ἐπὶ τοῦ θάρσους ἐροῦμεν, ἅπερ ἐμφαίνει περὶ τὴν καρδίαν γινόμενα. ὃν τρόπον γὰρ ὅταν τὸν πόδα πονῶμεν, ἢ τὴν κεφαλὴν, περὶ τούτους τοὺς τόπους ὁ πόνος γίνεται, οὕτως συναισθανόμεθα, καὶ τῆς κατὰ τὴν λύπην ἀλγηδόνος περὶ τὸν θώρακα γινομένης, οὔτε τῆς λύπης οὐκ οὔσης ἀλγηδόνος, οὔτε ἐν ἑτέρῳ τινὶ τόπῳ ἢ τῷ ἡγεμονικῷ αὐτῆς γινομένης. πρὸς ταύτην ῥῆσιν δίκαιον ἀποκρίνασθαι τῷ Χρυσίππῳ, καθ' ἕκαστον ὧν ἐρωτᾷ κεφαλαίων, εὐθέως ἀπὸ τῆς ἀρχῆς τὸ πρῶτον ἀναλαβόντας, ἔνθα φησὶ τὴν λύπην καὶ τὴν ἀγωνίαν, καὶ τὴν ὀδύνην ἀλγηδόνας ὑπάρχειν. εἴτε γὰρ ἐρωτῶν ἡμᾶς οὕτως, εἴποι τις ὡς Χρύσιππος εἴρηκεν, εἴτε ἀποφαινόμενος, ἐπαινέσομεν αὐτοῦ τὸν λόγον, καὶ φήσομεν ἀγωνίαν, καὶ λύπην, καὶ ὀδύνην ἀλγηδόνας εἶναι τῷ γένει. μᾶλλον δ' εἰ χρὴ τοῖς ὀνόμασι κατὰ τὴν τῶν Ἑλλήνων χρήσασθαι συνήθειαν, ὀδύνας τε καὶ ἀλγηδόνας οὐδὲν ἕτερον ἀλλήλων διαφέρειν, ὥσπερ οὐδὲ κίονα, οὐδὲ στῦλον, οὐδ' ὦπας καὶ ὀφθαλμούς. ἀγωνίας μέντοι καὶ λύπης οἷον γένος εἶναί τι τὴν ἀλγηδόνα. τὸ δ' ἐν τῷ ἡγεμονικῷ τόπῳ τὰς ἀλγηδόνας γίνεσθαι, τοῦτ' οὐκ ἔτι τῷ Χρυσίππῳ συγχωρήσομεν, αὐτῷ τὴν ἀλγηδόνα κατά τε τὸ ἡγεμονικὸν συνίστασθαι. δίκαιος οὖν ἐστιν ἐπιδεῖξαι, καθ' ἓν καὶ ταὐτὸν σπλάγχνον ἀμφοτέρας ᾠκισμένας τὰς δυνάμεις. καίτοι τί λέγω καθ' ἓν καὶ ταὐτόν; οὐ γὰρ πρὸς Χρύσιππον οὕτω χρὴ ποιεῖσθαι τὸν λόγον, ἀλλὰ πρὸς Ἀριστοτέλην, συγχωροῦντα μὲν εἶναι πλείους δυνάμεις ἡμῶν ἐν τῇ ψυχῇ τῷ γένει διαφερούσας. οὐ μὴν ἐν ἄλλῳ γε, καὶ ἄλλῳ σπλάγχνῳ καθιδρύσθαι. πάντων γὰρ ἀρχὴν εἶναι βούλεται καρδίαν. ὁ δὲ Χρύσιππος, οὐδὲ τὰς δυνάμεις αὐτὰς διαλλάττειν ἀλλήλων ὁμολογεῖ, οὐδ' ἑτέρᾳ μέν τινι δυνάμει θυμοῦσθαι τὸ ζῶον, ἑτέρᾳ ἐπιθυμεῖν, ἑτέρᾳ δὲ λογίζεσθαι. οὔκουν οὐδ' ἡμᾶς οὕτω χρὴ προβάλλειν αὐτὸ, καθάπερ ὀλίγον ἔμπροσθεν εἴπομεν, ἐπιδεῖξαι

CAPVT VII.

Reliquas Chrysippi de principatu animæ sumptiones, inanes esse ac falsas.

ID profectò quod iam antea hoc in libro dixi, nunc etiam repetere est necessarium, quod Chrysippus in oratione post citata verba promptè C rursus assumit, ex vno solo vtrasque facultates ordiri, ne vna quidem demonstratione, aut persuasione, aut probabilitate orationi adiecta, vt ex ipsa sententia constabit, quæ hunc in modum sonat. *Absurdè itaque id ex his ducendum, siue non dicant tristitiam & timorem dolores esse, siue dolores in alio loco gigni, quàm in animæ principatu. Eadem etiam de gaudio & confidentia dicemus, quæ in corde generari videntur. Nam quomodo quum pede aut capite laboramus, in his locis dolor gignitur; ita etiam tristitiæ dolorem in thorace orientem percipimus; quum neque tristitia non sit dolor, neque in alio quodam loco quàm animæ* D *principis ipsa obueniat.* Aduersus hæc verba æquum est Chrysippo respondere iuxta singula capita quæ discutio, priori statim ab initio repetito, vbi affirmat tristitiam, timorem, & dolorem cruciatus existere. Siue enim aliquis nos interrogans ita dicat, quemadmodum Chrysippus dixit, siue pronuncians sententiam, laudabimus illius sermonem dicemúsque timorem, tristitiam, & dolorem, cruciatus esse genere; imò si oportet secundum Græcorum consuetudinem vti nominibus, dolores & cruciatus nihil inter se differre: quemadmodum ne-E que columnam & pylam, neque lumina & oculos; timoris verò & tristitiæ veluti genus esse quoddam cruciatuum. In principis animæ facultatis loco dolores oboriri, id nondum Chrysippo concedemus doloremque in principatu animæ consistere. Æquum itaque est ostendere, in vno eodémque viscere vtrasque habitare facultates. At verò quid dico in vno & eodem? Non enim ad Chrysippum ita facere verba conuenit, sed ad Aristotelem, qui quidem plures in anima nostra facultates genere diuersas esse concedit, non tamen in alio atque alio vis-F cere collocari. Omnium namque principium cor esse vult; Chrysippus autem neque facultates ipsas inter se differre profitetur, neque alia quadam facultate animal irasci, alia concupiscere, alia ratiocinari; quare neque nos ita idipsum proponere conuenit, quemadmodum antea diximus, ostendere adhortantes quomodo

modo in eodem animantis loco, & irascibilis animæ facultas sit, & rationalis, & concupiscens. Itaque adhortabimur vel Chrysippum, vel eius sectatorem, vt priorem hanc & generaliorem quæstionem constituat & demonstret. Hæc autem est, eiusdem facultatis opera existere, ratiocinari, irasci, cibos, potúsque, ac venerem appetere. Nos siquidem quum in aliis animantibus euidenter ea distincta esse ostendimus, tum prætcrea in pueris, qui ratione minimè vtuntur, iracundiæ autem & concupiscentiis validissimis tanquam feræ inseruiunt. Iam inter nos ipsos qui ratione maximè vtitur, minimè concupiscit, & irascitur; qui verò irrationali cuipiam animæ parti obnoxius est, minimè ratione vtitur. Ad hæc, Medeæ Euripidis, & Vlyssis Homerici impræsentiarum habenda est mentio, in quibus vtræque animæ partes inter se contendebant, innuentes manifestò non vnam existere. Vicit autem in prudentiore, pars animæ potior; in indocta & barbara, deterior. Ac in plerisque hominibus huiusmodi secundum animam eueniunt, ratione nonnunquam cum parte irascibili pugnante, nonnunquam cum appetente. At Chrysippus vnà cum aliis Stoicis, in brutis animalibus propè recedit ad dogma, ne appetere quidem ea pronuncians. Ac mihi de sermonis impudentia priùs dictum est: in pueris autem vltro citróque cauillantur, non similiter omnes, sed impudentia, & præter id quod apparet pronunciando, omnes sibi respondent. Dicturus sum autem de his vberiùs postea. Pari modo etiam de animæ affectuum differentia nihil dicunt in quo cum euidentibus, aut inter se ipsos conueniant, aut vnusquisque secum. De quibus omnibus decreui subsequenti libro quarto tractare. Hic enim tertius haud scio quomodo interruptus est propter Stoicorum contentiones, qui non aliquibus eorum quæ Chrysippus prodidit, sed vniuersis contradicere compulerunt. Ego verò eorum quidem quæ Chrysippus etiam sensit superfluo à se dicta, ac quæ forsan alicui (vt ipse ait) à grammatista quodam aut anu garrula videntur effutita, satiùs putaui esse non omninò meminisse. Reliquis autem vniuersis bifariam partitis, superiori libro percensui quæ omnium erant validissima. Ea verò quæ de animæ affectibus quæruntur, hoc tertio commentationum libro statueram expedire. Hoc itaque (si Deus nos seruet) omninò faciemus At quia impræsentiarum meminisse omnium decreuimus quæ Chrysippus priore libro de principe animæ facultate differens prodidit, tempestiuum deinceps iam fuerit, commemoratis reliqua adiungere. Cohæret itaque talis quidem Chrysippi sententia superiùs commemoratæ, secundum quam insuper lationis impetum, & eiusmodi omnia dicuntur. *Attigi cor tuum sicuti animam, & attingo cor dicimus, non æquè dicentes quod aliqui nos penetrauerint in cerebro & in visceribus & in iecore, sed prædictis similiter. Illa enim mihi videntur dici, tanquam aliquis proferat, interiora tua attingo, maleficio eousque perueniente.* Corde autem quemadmodum anima vtimur, atque hæc innotescent obseruantibus magis; quod in his præter quòd nihil demonstrat; & idiotas vocat testes, nihil ex propositis concludit; Verùm quòd patibilis & irrationalis animæ pars, non rationalis in corde habeatur ostendat, apertè constat; quapropter neque longiùs ipsis immorari conuenit, quum similem

A παρακαλοῦντας ὡς ἐν ταὐτῷ τόπῳ τοῦ ζῴου, καὶ τὸ θυμοειδές ἐστιν, καὶ τὸ λογιστικόν, καὶ τὸ ἐπιθυμητικόν. τὸ τοίνυν πρότερόν τε τούτου; καὶ γενικώτερον ζήτημα τοῦτο παρακαλέσομεν, ἢ Χρύσιππον, ἤ τινα τῶν ἀπ' αὐτοῦ καταστήσασθαί τε, καὶ ἀποδεῖξαι, τοῦτο δ' ἐστὶ τὸ τῆς αὐτῆς εἶναι δυνάμεως ἔργα, τό τε λογίζεσθαι, καὶ τὸ θυμοῦσθαι, καὶ τὸ βρωμάτων τε, καὶ πομάτων, καὶ ἀφροδισίων ἐπιθυμεῖν. ἡμεῖς μὲν γὰρ ἐπί τε τῶν ἄλλων ζῴων ἐναργῶς ἐπιδείκνυμεν αὐτὰ κεχωρισμένα, καὶ προσέτι τῶν παίδων, οἳ λογισμῷ μὲν ἥκιστα χρῶνται, θυμοῖς δὲ καὶ ἐπιθυμίαις ἰσχυροτάταις, ὥσπερ τὰ θηρία δουλεύουσι. καὶ ἡμῶν B γ' αὐτῶν, ὁ μὲν τῷ λογισμῷ μάλιστα χρώμενος, ἥκιστ' ἐπιθυμητικός τ' ἐστὶ καὶ θυμικός, ὁ δ' ὑπό τινος τῶν ἀλόγων τῆς ψυχῆς μορίων ἀρχόμενος, ἥκιστα χρῆται λογισμῷ. καὶ τῆς Μηδείας δ' ἀναμνηστέον ἐν τούτῳ τῆς Εὐριπίδου, καὶ τοῦ Ὁμηρικοῦ Ὀδυσσέως, ἐν οἷς ἐστασίασε μὲν ἑκάτερα πρὸς ἄλληλα τῆς ψυχῆς τὰ μόρια, δηλοῦντα σαφῶς ὡς οὐχ ἕν ἐστιν. ἐνίκησε δὲ ἐπὶ τοῦ σοφωτέρου τὸ βέλτιον, ἐπὶ δὲ τῆς ἀπαιδεύτου τε, καὶ βαρβάρου, τὸ χεῖρον. καὶ ἐπὶ πολλῶν ἀνθρώπων τοιαῦτ' ἐστι γινόμενα κατὰ τὴν ψυχὴν τοῦ λογισμοῦ, ποτὲ μὲν τῷ θυμοειδεῖ μαχομένου, ποτὲ δὲ τῷ ἐπιθυμητικῷ. ὁ δὲ Χρύσιππος ἅμα C τοῖς ἄλλοις Στωϊκοῖς, ἐπὶ μὲν τῶν ἀλόγων ζῴων ὁμόσε χωρεῖ πρὸς τὸ δόγμα, μηδ' ἐπιθυμεῖν φάσκων. καί μοι περὶ τῆς ἀναισχυντίας τοῦ λόγου πρόσθεν εἴρηται. ἐπὶ δὲ τῶν παίδων ἄνω καὶ κάτω περιπλέκουσιν, οὐχ ὡσαύτως μὲν ἅπαντες, ἀναισχυντοῦντες δὲ καὶ παρὰ τὸ φαινόμενον ἀποφαινόμενοι πάντες. εἰρήσεταί μοι δὲ καὶ περὶ τούτων ἐπὶ πλέον ἐν τοῖς ἐφεξῆς, ὡσαύτως δὲ καὶ περὶ τῶν κατὰ τὴν ψυχὴν παθῶν τῆς διαφορᾶς οὐδὲν ὁμολογούμενον, οὔτε τοῖς ἐναργέσιν, οὔτ' ἀλλήλοις λέγουσιν, οὔθ' ἕκαστος ἑαυτῷ. περὶ ὧν ἁπάντων ἔγνωκα κατὰ τὸν ἑξῆς λόγον τὸν δ' διελθεῖν. οὗτος γὰρ ὁ τρίτος οὐκ οἶδ' ὅπως παρενέπεσε, διὰ D τὰς τῶν Στωϊκῶν ἔριδας ἀξιούντων, μὴ ὅσα τῶν ὑπὸ Χρυσίππου γεγραμμένων, ἀλλὰ πρὸς ἅπαντα τὴν ἀντιλογίαν ποιεῖσθαι. ἐγὼ δ' ὧν μὲν καὶ αὐτὸς ὁ Χρύσιππος ᾔσθετο περιττῶς εἰρημένων ὑφ' ἑαυτοῦ, καὶ τάχ' ἂν τῷ δόξαντι ὡς αὐτός φησιν ὑπὸ γραμματιστοῦ τινος ἢ γραὸς ἀδολεσχούσης εἰρῆσθαι, βέλτιον ᾤμην εἶναι μηδ' ὅλως μνημονεύειν. τὰ δ' ἄλλα σύμπαντα δίχα τέμνων, ἐν μὲν τῷ πρὸ τούτου διῆλθον, ἅπερ ἦν ἁπάντων ἰσχυρότατα. τοῖς δὲ περὶ τῶν τῆς ψυχῆς παθῶν ζητουμένοις ἐγνώκειν ἀναθεῖναι, κατὰ τόδε τὸ γ' τῶν ὑπομνημάτων. τοῦτο μὲν οὖν ἐὰν ὁ θεὸς ἡμᾶς σώζῃ, πάντως πράξομεν. ἐπεὶ δ' ἐν τῷ E νῦν ἐνεστῶτι λόγῳ μνημονεῦσαι πάντων διέγνωμεν, ὧν εἶπεν ὁ Χρύσιππος ἐν τῷ προτέρῳ περὶ ψυχῆς ἡγεμονικοῦ διαλεγόμενος, ἑξῆς ἂν εἴη καιρὸς ἤδη συνάπτειν τοῖς εἰρημένοις τὰ λοιπά. συνεχὴς οὖν τῇ προγεγραμμένῃ ῥήσει τῶν Χρυσίππου τοιάδε τίς ἐστι, καθ' ἣν ἔτι φορὰν καὶ τὰ τοιαῦτα λέγεσθαι πάντα. ἡψάμην σου τῆς καρδίας ὥσπερ τῆς ψυχῆς, καὶ ἅπτομαι τῆς καρδίας λέγομεν, οὐχ ὡς ἀντιπαρέλθοιέν τινες ἡμᾶς ἐπὶ τοῦ ἐγκεφάλου, καὶ τῶν σπλάγχνων λέγοντες, καὶ τοῦ ἥπατος, ἀλλὰ τοῖς προειρημένοις παραπλησίως. ἐκεῖνα γάρ μοι δοκεῖ λέγεσθαι, ὡς ἄν τις ἔφη τῶν ἐντός σου ἅπτομαι διϊκνουμένης τῆς κακοποιΐας ἐπὶ τοσοῦ- F τον. τῇ δὲ καρδίᾳ καθάπερ ἂν τῇ ψυχῇ χρώμεθα. καὶ τούτων ἔσται ἔμφασις ἐφιστᾶσι μᾶλλον, ὅτι καὶ ταῦτα πρὸς τῷ μηδὲν ἀποδεικνύειν, ἀλλ' ἰδιώτας ἐπικαλεῖσθαι μάρτυρας, οὐδὲ περαίνει τι τῶν προκειμένων, ἀλλὰ τὸ παθητικόν τε, καὶ ἄλογον τῆς ψυχῆς, οὐ τὸ λογιζόμενον ἐνδείκνυται κατὰ τὴν καρδίαν ὑπάρχειν, ἄντικρυς δῆλον· ὅθεν οὐδ' ἐπὶ πλέον ἐν αὐτοῖς χρὴ διατρίβειν, ὁμοίας

ρουσιν ἀτοπίαν οἷς ἤδη πολλάκις ἔδειξα. μετὰ δὲ τὴν προγεγραμμένην ῥῆσιν, ἑτέρα τις ἐφεξῆς ἐστιν, ἐν ᾗ τοὺς ἀσπλάγχνους τε, καὶ τοὺς οὐκ ἔχοντας ἐγκέφαλον ἐξηγεῖταί πως λέγονται, περὶ ἧς αὐτάρκως ἔμπροσθεν εἴρηται. μετὰ δὲ ταῦτα, τοιάνδε τινὰ γράφει ῥῆσιν· κατὰ τοιάνδε μοι δοκοῦσι μάλιστα φορὰν, καὶ οἱ τιμωρητικώτεροι πρός τινας φερόμενοι ὁρμᾶν ἐπὶ τὸ ταύτην ἐκσπάσαι, καθ' ἣν φορὰν ἐπιτείνοντες, καὶ πρὸς τὰ λοιπὰ τῶν σπλάγχνων ὁμοειδῶς φέρονται. ἐνταῦθα πάλιν ὁ Χρύσιππος οὐκ οἶδ' ὅπως ἀγνοεῖ κατασκευάζων ἕτερόν τι τοῦ προκειμένου σκέμματος. οἱ γὰρ ἀπειλοῦντές τισιν, ὥσπερ ἐκκόψαι τοὺς ὀφθαλμοὺς αὐτῶν ἐνίοτε λέγουσιν, ἢ κατάξαι τὴν κεφαλὴν, ἢ συντρίψαι τὰ σκέλη· κατὰ τὸν αὐτὸν τρόπον ἐστὶν ὅτε καὶ τὴν καρδίαν ἐκσπάσαι φασὶν ἐν ἴσῳ τῷ ἀποκτεῖναι. ἀλλὰ τί τοῦτο πρὸς τὰ παρόντα; ὅ γὰρ ἀποτεμεῖν ἐνίοτε τὰ ὦτα καὶ τὴν ῥῖνα, καὶ διασπάσαι πολλάκις ἄλλοις ἀπειλοῦσιν οἱ ἄνθρωποι. καί πού τις εὐχομένη παρὰ τῷ ποιητῇ γυνὴ, τάδε λέγει.

----τοῦ ἐγὼ μέσον ἧπαρ ἔχοιμι
Ἐσθέμεναι προσφῦσα-----

τί οὖν οὐ καὶ τὸ ἧπαρ ἀρχὴν τῆς ψυχῆς ἀποφαινόμεθα, φίλτατε Χρύσιππε; καὶ ταῦθ' Ὅμηρον ἔχοντες μάρτυρα τηλικοῦτον ποιητὴν, ᾧ μᾶλλον ἦν σε πιστεύειν δίκαιον, ἢ τοῖς ἰδιώταις. οὗτος μέν γε πρὸς τοῖς ἄλλοις ἔτι, καὶ ταῦθ' ὑπὲρ ἥπατος ἔγραψε.

Καὶ Τιτυὸν εἶδον γαίης ἐρικυδέος υἱὸν
Κείμενον ἐν δαπέδῳ, ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα.
Γῦπε δέ μιν ἑκάτερθε παρημένω, ἧπαρ ἔκειρον
Δέρτρον ἔσω δύνοντες, ὁ δ' οὐκ ἀπαμύνετο χερσί.
Λητὼ γὰρ εἵλκυσε Διὸς κυδρὴν παράκοιτιν.
Πειθώ τ' ἐρχομένην διὰ καλλιχόρου Πανοπῆος.

ἐν τούτοις ὁ ποιητὴς ἐναργῶς ἐνδείκνυται τὸ τῆς ψυχῆς ἐπιθυμητικὸν μέρος ὑπάρχειν ἐν ἥπατι. διότι γὰρ φησὶν ἐπεθύμησεν ὁ Τιτυὸς ὑβρίσαι τὴν Λητὼ, διὰ τοῦτο γῦπες αὐτοῦ κείρουσι τὸ ἧπαρ, ὡς εἰς αὐτὸ μάλιστα τιμωρούμενοι τὸ κατάρξαν τῆς ὕβρεως. ἀλλ' ἐνταῦθα μὲν ἐπαινῶ τὸν Χρύσιππον, ἑκόντα σιωπήσαντα τὸ καταβάλλον αὐτοῦ τὴν δόξαν. ἐν οἷς δ' ἤτοι περαίνει μηδὲν, ἢ καθ' ἑαυτοῦ καλεῖ τοὺς μαρτυρήσοντας, ἐνταῦθα νομίζω μὴ συνιέναι τῶν ἀκολουθούντων τε, καὶ μαχομένων ἀλλήλοις πραγμάτων, ὥσπερ γε κᾀν τοῖς ἑξῆς τῶν προγεγραμμένων ἐν οἷς φησι. καὶ τὰ τῶν ὀργιζομένων δὲ πάθη περὶ τὸν θώρακα φαίνεται γινόμενα, καὶ τὰ τῶν ἐρώντων, ὥστε καὶ τὴν ἐπιθυμίαν μάλιστα γίνεσθαι περὶ τούτους τοὺς τόπους. ἐφ' ἑκάστῃ τῶν τοιούτων ῥήσεων ἐπιφθέγγεσθαι προσήκει. τί οὖν, ὦ Χρύσιππε, τοῦτο πρὸς τὸ λογιστικὸν ὑπὲρ οὗ ζητοῦμεν; οὐ γὰρ δὴ περὶ τῶν ὀργιζομένων, ἢ ἐπιθυμούντων ἡ ἀμφισβήτησις ἦν, εἰ κατὰ τὸν θώρακά τε, καὶ περὶ τὸν θώρακα τοῖς οὕτως ἔχουσι κινεῖται τὰ πάθη, ἀλλ' εἰ καὶ τὸ λογιζόμενον ἐνταῦθά ἐστιν. ἐφεξῆς δὲ τούτων τάδε γράφει. εὖ μάλα δὲ παρίστασι τὸ λεγόμενον, ὡς ἔφην, καὶ αἱ ἐν αὐτοῖς γινόμεναι μελέται, καὶ ῥήσεων, καὶ τῶν παραπλησίων. ἐν ᾧ γὰρ ταῦτα πάντα συντελεῖται πάντως εὔλογον ἐν ἐκείνῳ, καὶ τὴν τοῦ λόγου διέξοδον γίνεσθαι, καὶ λέγειν ἡμᾶς, καὶ διανοεῖσθαι κατ' ἐκεῖνο. ἀληθῆ ταῦτα γράφεις, ὦ Χρύσιππε. καθ' ὃ γὰρ ἐν ἑαυτοῖς μελετῶμεν, ἢ καὶ μετὰ σιγῆς διεξερχόμεθα διανοούμενοι, τοῦτό ἐστι τὸ λογιζόμενον. ἀλλ' ἀπότερον ἐγκέφαλος ἢ καρδία τὸ διανοούμενόν ἐστιν, ὃ ἀπ' ἀρχῆς ἐζητοῦμεν, ἐχρῆν ἀποδεῖξαί σε, καὶ μὴ τὸ πρότερον λῆμμα

A habeant absurditatem iis quæ iam subinde indicaui; post præscriptam sententiam, alia quædam subsequitur, qua euisceratos, & nullo præditos cerebro exponit, quomodo dicantur; de qua abundè supra disputatum est. Ab his huiusmodi quædam tradit; *Ob talem potissimum propensionem videntur mihi etiam qui maiore vlciscendi studio in quosdam feruntur ad hoc euellendum impelli, quo impetu magis intenso etiam ad reliqua viscera similiter feruntur.* Hîc rursus Chrysippus, haud noui quomodo ignorat se diuersum quiddam à proposita consideratione astruere. Nam qui minitantur quibusdam, ceu oculos ipsorum nonnunquam B euellere dicunt; aut confringere caput, aut comminuere crura; eodem modo interim cor quoque extrahere dicunt, eodem significatu, quo est occidere. Sed quid hoc ad præsentia pertinet? Nam amputare nonnunquam aures, & nasum item discerpere frequenter aliis minantur homines. Et quædam mulier apud poëtam precando hæc dicit;

——— Huius ego medium hepar haberem
Vescendum incumbens ———

Cur igitur non etiam iecur animæ initium (charissime Chrysippe) pronunciamus? præsertim quum C Homerum tantum poëtam eius rei testem habeamus; cui iustius erat te fidem adhibere, quàm idiotis. Hic sanè præter alia, adhuc etiam hæc de iecinore prodidit;

Et Tityum vidi claræ telluris alumnum,
Porrigitur cui tota nouem per iugera corpus.
Hinc atq; hinc geminos rostro vrget vultur aduco,
Immortale iecur tondens; iacet ille supinus,
Nec depellendi manibus datur vlla potestas.
Latonæ namque ausus erat tentare cubile,
Quum Pytho Panopei peteret per amœna vireta.

In his poëta manifestò concupiscentem animæ D facultatem iecinori inesse indicat. Quòd enim, ait, Tityus Latonem constuprare cupierit, ideo vultures iecur ipsius rodunt, tanquam illatæ contumeliæ pœnam in id potissimum reiicientes. Sed hîc quidem laudo Chrysippum, quòd sua sponte subticuerit id quod opinionem eius subuertit; in quibus autem vel nihil concludit, vel contra se testes citat, ibi autumo hominem non intelligere rerum consequentiam, ac inter se pugnantiam, quemadmodum in his quæ commemorata subsequuntur hoc modo; *Et irascentium affectus in thorace oboriri apparent: item amantium. Quapropter etiam concupiscentia in his potissimum locis ac-* E *cidit.* In vnaquaque huiusmodi serie acclamare conuenit. Quid igitur hoc, ô Chrysippe, ad vim rationalem, de qua est quæstio? Non enim de irascentibus aut concupiscentibus erat dubitatio, an in thorace & circa thoracem ita habentibus affectiones moueantur, sed an etiam rationalis vis indidem habeatur. Post hæc autem sic scribit: *Admodum confirmant id quod dicitur, vt aiebam, etiam meditationes in ipsis factæ, tum verborum, tum similium. In quo enim hæc omnia perficiun-* F *tur, ibi planè consentaneum est & sermonis explicationem fieri, ac indidem nos dicere, & meditari.* Hæc vera ô Chrysippe scribis. In qua enim parte apud nos meditamur, aut cum silentio quoque cogitando percensemus, hæc est rationi dicata: verùm cerebrúmne, an cor, pars sit quæ intelligit (quod per initia quærebamus) demonstrasse te oportebat, & non priore lemmate

sumpto,

sumpto, quod apud omnes in confesso est, putare te aliquid ab eo amplius ad eorum quæ disquiruntur inuentionem habiturum. Nemo enim est, qui non fateatur, in qua consideramus & disserimus, in ea parte principem esse animæ facultatem. Sed non hoc erat quod inquiritur, verùm an cor hæc sit pars, quod non demonstrasti, nisi fortè dicas te sentire in corde dum ratiocinaris. Atqui inter initia totius sermonis hunc in modum dixisti; *Ita locus nos subterfugere videtur, dum neque sensus euidens apparet, quod in reliquis contigit; neque coniecturæ sint quibus aliquis hoc posit colligere; neque enim eousque controuersia inter medicos & philosophos processisset.* Hæc locutus Chrysippus, si rursus in eodem libro dicat nos ratiocinationes in corde oborientes percipere, neque suiipsius videbitur meminisse, & contra euidentia mentiri, non est tamen vir talis. Quare non dicet ex sensu quodam singula prædicta in corde fieri, se agnoscere. Attamen si non sensu, sed demonstratione aliqua, quàm lubens eam audiuerim. Mihi sanè videtur sermone de voce etiam nunc vsus esse, quod ex iis quæ infert, conijcio; nam ab intellectu (inquit) dicere oportet, & apud seipsum dicere, aut vocem explicare, & corde cogitare, & apud se vocem proferre, & foràs emittere. Etenim confessum aliquod capiens tanquam eiusdem partis sit dicere, & apud se dicere, deinde assumens idem cordis opus esse dicere, ex ambobus concludit, in corde fieri, vt aliquis apud se dicat. Verùm nos superiori libro rationem à Zenone propositam, cur vox ex corde ederetur, prauam ostendimus. Quapropter etiam nunc ratio à Chrysippo proposita, simul cum illa sublata est, abolitáque. Itaque sequentem iam inspiciamus. *Huic autem conforme est, quòd gemitus quoque inde procedunt.* At gemitus, ô Chrysippe, & voces ex thorace quidem & pulmone dicemus emitti, non tamen ex corde; quemadmodum nec voces; demonstrauimus namque hæc singula alibi, non simpliciter, nec quemadmodum tu, nulla demonstratione adhibita. Ab his versuum multitudinem Chrysippus citat, ex quibus plurima secum pugnant, vti antea ostendi. In iis autem quæ versibus interiecta sunt, quamuis paucissima existant, Chrysippus ipse sibi aduersatur: quod subsequenti libro ostendam, vbi de animi affectibus sermonem instituere decreui. In præsentia verborum solùm ipsius mentionem facturus sum, quæ hunc in modum habent. *Poëta paulò in his prolixior, multis adstruit & rationalem vim & irascibilem hoc in loco consistere, congregans in idem ipsas; quemadmodum & faciendum est;* manifestè enim inibi concedit diuersum quiddam ab anima rationali esse, & irascibilem, & concupiscentem. In corde autem habitare affirmat, quod Aristotelis, non Stoicorum dogma est; deinde præfatus quædam vbi poëta in corde rationem haberi pronunciat, ita infert ex consequentibus; *Quod verò & concupiscibilis hîc resideat, hinc constat,*

Nunquam aliàs animum languenti in pectore nostrum
Seu Dea, seu mulier, tanto deuinxit amore.

Postea rursus adducit, Quòd irascibilis facultas inibi habeatur, huiusmodi plura declarant.

Non iram Iuno tenuit sub pectore, at inquit.

Et,

Atque ira hunc quamuis sapientem adurens.

A λαβόντα πρὸς ἀπάντων ὁμολογούμενον ἡγεῖσθαί τι πρὸς αὐτοῦ πλέον ἕξειν εἰς τὴν τῶν ζητουμένων εὕρεσιν. οὐδεὶς γοῦν ἐστιν ὃς οὐχ ὁμολογήσει, καθ᾽ ὃ σκεπτόμεθα καὶ διαλεγόμεθα, κατὰ τοῦτο τὸ μόριον εἶναι τὸ τῆς ψυχῆς ἡγεμονικόν. ἀλλ᾽ οὐ τοῦτ᾽ ἦν τὸ ζητούμενον, ἀλλ᾽ εἰ καρδία τοῦθ᾽ ὑπάρχει τὸ μόριον, ὅπερ οὐκ ἀπέδειξας, εἰ μή πω ἄρα φῂς αἰσθάνεσθαι κατὰ τὴν καρδίαν λογιζόμενος, ἀλλ᾽ ἐν ἀρχῇ γε τοῦ λόγου παντὸς ἔφησθα κατὰ λέξιν ὧδε. οὔτε φαίνεται διαφεύγειν ὁ τόπος ἡμᾶς, οὔτε αἰσθήσεως ἐμφανοῦς γινομένης, ὅπερ ἐπὶ τῶν λοιπῶν συντέτευχεν, οὔτε τῶν τεκμηρίων, δι᾽ ὧν ἄν τις συλλογίσαιτο τοῦτο, οὐδὲ γὰρ ἂν ἐπὶ τοσοῦτον ἡ ἀντιλογία προῆλθε, καὶ ἐν ἰατροῖς, καὶ ἐν φιλοσόφοις. B ὁ ταῦθ᾽ εἰπὼν Χρύσιππος, εἰ πάλιν ἐν ταὐτῷ βιβλίῳ φάσκοι τῶν διαλογισμῶν ἡμᾶς αἰσθάνεσθαι κατὰ τὴν καρδίαν γινομένων, οὔθ᾽ ἑαυτοῦ δόξει μεμνῆσθαι, καὶ καταψεύδεσθαι τῶν ἐναργῶν, οὐ μὴν τοιοῦτός γ᾽ ὁ ἀνήρ, ὥστ᾽ οὐκ ἂν εἴποι δι᾽ αἰσθήσεώς τινος ἐπιγινώσκειν ἐν τῇ καρδίᾳ τῶν προειρημένων ἕκαστον γινόμενον. καὶ μὴν εἰ μὴ δι᾽ αἰσθήσεως, ἀλλὰ δι᾽ ἀποδείξεώς τινος, ἡδέως ἂν ἀκούσαιμι αὐτῆς. ἐμοὶ μὲν δὴ δοκεῖ τῷ περὶ τῆς φωνῆς λόγῳ, καὶ νῦν προσκεχρῆσθαι. τεκμαίρομαι δὲ καὶ ἐκ τῶν ἐπιφερομένων. ἀπὸ γὰρ τῆς διανοίας φησὶ δεῖ λέγειν, καὶ ἐν ἑαυτῷ C λέγειν ἢ φωνὴν διεξιέναι, καὶ καρδίαν νοεῖσθαι, καὶ ἐν ἑαυτοῖς φωνὴν διεξιέναι, καὶ ἐκτὸς ἐκπέμπειν. ὁμολογούμενον γάρ τι λαμβάνων ὡς τοῦ αὐτοῦ μορίου τὸ λέγειν εἴη, καὶ τὸ ἐν ἑαυτῷ λέγειν, εἶτα προσλαμβάνων αὐτὸ τῆς καρδίας ἔργον εἶναι τὸ λέγειν, ἐξ ἀμφοῖν ἔχει περαινόμενον, ἐν τῇ καρδίᾳ γίνεσθαι τὸ ἐν ἑαυτῷ λέγειν. ἀλλ᾽ ἡμεῖς γε κατὰ τὸ πρὸ τούτου γράμμα τὸν ὑπὸ τοῦ Ζήνωνος ἐρωτηθέντα λόγον, ὑπὲρ τοῦ τὴν φωνὴν ὑπὸ τῆς καρδίας ἐκπέμπεσθαι, μοχθηρὸν ἐπεδείξαμεν, ὥστε καὶ ὁ νῦν ἐρωτώμενος ὑπὸ τοῦ Χρυσίππου λόγος, ἅμα ἐκείνῳ συνῄρηται. ἐπισκεψώμεθα οὖν ἤδη τὸν ἑξῆς. οἰκείως δὲ τούτῳ D καὶ οἱ στεναγμοὶ ἐντεῦθεν προΐενται. καὶ τοὺς στεναγμούς, ὦ Χρύσιππε, καὶ τὰς φωνὰς ἐκ τοῦ θώρακος μὲν φήσομεν ἐκπέμπεσθαι καὶ τοῦ πνεύμονος, οὐ μὴν ἐκ τῆς καρδίας, ὥσπερ οὐδὲ τὰς φωνάς. ἀποδέδεικται γὰρ ἡμῖν ὑπὲρ ἑκάστου τούτων ἐν ἑτέροις οὐχ ἁπλῶς, οὐδ᾽ ὥσπερ ὑπὸ σοῦ νῦν, οὐδεμίαν ἀπόδειξιν προσθέντος. ἐφεξῆς δὲ τοῖσδε πλῆθος ἐπῶν ὁ Χρύσιππος γράφει τῶν πλείστων ἑαυτῷ μαχομένων, ὡς ἔμπροσθεν ἔδειξα. τὰ δὲ μεταξὺ τῶν ἐπῶν, ἔστι μὲν ὀλίγιστα. περιέχεται δέ τις κατὰ ταῦτ᾽ ἐναντιολογία τοῦ Χρυσίππου πρὸς ἑαυτόν, ἣν ἐν τῷ μετὰ τοῦτ᾽ ἐπιδείξω βιβλίῳ, καθ᾽ ὃ περὶ τῶν τῆς ψυχῆς παθῶν E ἔγνωκα ποιήσασθαι τὸν λόγον. ἐν δὲ τῷ παρόντι τῶν ῥήσεων αὐτῶν ἐπιμνησθήσομαι μόνον, ἐχουσῶν ὧδε. ὁ δὲ ποιητὴς πλεονάζων ἐν τούτοις διὰ πολλῶν παρίστησιν, ὅτι καὶ τὸ λογιστικὸν καὶ τὸ θυμοειδὲς περὶ τοῦτόν ἐστι τὸν τόπον, συνάγων ὡς ταὐτὸν αὐτά, καθάπερ καὶ δεῖ ποιῆσαι. φανερῶς γὰρ ἐνταῦθα συγχωρεῖ μὲν ἕτερόν τι παρὰ τὸ λογιστικὸν εἶναι, τό τε θυμοειδὲς, καὶ τὸ ἐπιθυμητικόν· ἐν δὲ τῇ καρδίᾳ κατῳκίσθαι φησὶν, ὅπερ Ἀριστοτέλους ἐστὶν, οὐ τῶν Στωϊκῶν δόγμα, καὶ διὰ τῶν ἑξῆς δὲ προειπὼν ἐν οἷς ὁ ποιητὴς ἐν τῇ καρδίᾳ τὸ λογιζόμενον ὑπάρχειν ἀποφαίνεται. μετὰ ταῦτ᾽ ἐπιφέρει, ὅτι δὲ καὶ τὸ ἐπιθυμητικὸν F ἐνταῦθα, διὰ τούτων ἐμφαίνει.

Οὐ γάρ πώποτέ μ᾽ ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς,
Θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν.

εἶτ᾽ ἐφεξῆς, ὅτι δὲ τὸ θυμοειδὲς ἐνταῦθά πού ἐστι, τὰ τοιαῦτα ἐμφαίνει πλείονα ὄντα.

Ἥρῃ δ᾽ οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα.
Καὶ χόλον, ὅστ᾽ ἐφέηκε πολύφρονά περ χαλεπῆναι.

ἐν τοῖς τοιούτοις ἅπασιν ὁ Χρύσιππος ὁμολογεῖ δυνάμεις τινὰς εἶναι τῆς ψυχῆς, τήν τε θυμοειδῆ, καὶ τὴν ἐπιθυμητικὴν ἑτέρας τῆς λογιστικῆς. ἀλλὰ περὶ μὲν τούτων, ὡς ἔφην, ἐν τῷ τετάρτῳ διαλέξομαι γράμματι. τὰ δ' ὑπόλοιπα τῶν κατὰ τὸ Χρυσίππου βιβλίον ἐπιδραμὼν, ἐνταῦθά που καὶ αὐτὸς ἤδη καταπαύσω τὸν ἐνεστῶτα λόγον. μετὰ δὲ τὸ πλῆθος τῶν ἐπῶν, ἐφεξῆς ὁ Χρύσιππος περί τε φωνῆς, καὶ λόγου, καὶ νεύρων ἀρχῆς, ὅσα τε τούτοις συνέζευκται, διῆλθεν, ἃ δὴ καὶ μόνα τῶν κατὰ τὸ βιβλίον ἔπρεπεν ἀνδρὶ φιλοσόφῳ, περὶ ὧν καὶ ἡμεῖς ἐν τῷ πρὸ τούτου λόγῳ διεληλύθαμεν, ὑπερβάντες τὰ περιττῶς ἠδολεσχημένα.

In his omnibus Chrysippus fatetur facultates quasdam esse animæ, irascibilem, & concupiscibilem, à rationali diuersas; sed de his (vt dixi) quarto libro disseram. Reliqua verò eorum quæ in Chrysippi volumine sum prætergressus, hîc etiam ipse iam præsentem librum finire cogito. A versuum multitudine Chrysippus deinceps de voce, ratione & neruorum principio, quæque his coniuncta sunt, percensuit, quæ etiam sola in libro comprehensa, viro philosopho conueniebant; super quibus nos quoque superiori libro tractauimus, prætergressi superuacanea loquacitate tractata.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Χρύσιππον οὐκ ὀρθῶς ἐξηγήσασθαι μῦθον τῆς γενέσεως τῆς Ἀθηνῆς, καὶ τοῖς ἑαυτοῦ δόγμασιν ἐναντιοῦσθαι.

Νυνὶ μέντοι κατὰ τοῦτο βιβλίον ἐπεὶ καὶ ταῦτ' ἔδοξε προσθεῖναι, τά τ' ἄλλα τὰ προειρημένα διῆλθον, ἑξῆς τε προσθήσω τὸν περὶ τῆς Ἀθηνᾶς λόγον. αἰσθόμενος γὰρ ὁ Χρύσιππος ἐναντιούμενον τοῖς ἑαυτοῦ δόγμασι τὸν περὶ τῆς θεῆς μῦθον ἀπὸ τῆς τοῦ Διὸς κεφαλῆς ὑπειλημμένης γεννηθῆναι, τοιάδε λέγει. παραγράψω γὰρ ἅπασαν τὴν ῥῆσιν αὐτοῦ εἰ καὶ μακροτέρα πώς ἐστιν. ἀκούω δή τινας λέγειν παραμυθουμένους πρὸς τὸ ἐν τῇ κεφαλῇ εἶναι τὸ ἡγεμονικὸν τῆς ψυχῆς μέρος. τὸ γὰρ τὴν Ἀθηνᾶν Μῆτιν οὖσαν, καὶ οἷον φρόνησιν ἐκ τῆς κεφαλῆς γενέσθαι τοῦ Διὸς, σύμβολόν φασιν εἶναι, τοῦ ταύτῃ τὸ ἡγεμονικὸν εἶναι. οὐ γὰρ ἄλλως ἂν ἐν τῇ κεφαλῇ γενέσθαι Μῆτιν καὶ φρόνησιν, εἰ μὴ τὸ ἡγεμονικὸν ἐν ταύτῃ ἐστί. πιθανοῦ μέν τινος ἐχόμενοι, διαμαρτάνοντες δ' ὡς ἐμοὶ φαίνεται, καὶ ἀγνοοῦντες τὰ περὶ τούτων ἱστορούμενα, περὶ ὧν οὐ χεῖρόν ἐστιν ἐπὶ πλέον εἰπεῖν ἐν τοῖς ἐνεστῶσι ζητήμασι. φασὶ δ' οἱ μὲν οὕτως ἁπλῶς ἐκ τῆς τοῦ Διὸς κεφαλῆς αὐτὴν γενέσθαι, οὐδὲ προσιστοροῦντες τὸ πῶς, ἢ κατὰ τίνα λόγον. ὁ δὲ Ἡσίοδος ἐπὶ πλέον λέγει, ἐν ταῖς θεογονίαις, τινῶν μὲν ἐν τῇ θεογονίᾳ γραφόντων τὴν γένεσιν αὐτῆς. πρῶτον μὲν Μήτιδι συγγενομένου τοῦ Διὸς, δεύτερον δὲ Θέμιδι. τινῶν δὲ ἐν ἑτέροις ἄλλως γραφόντων, τὴν γένεσιν αὐτῆς. ὡς ἄρα γενομένης ἐρίδος τῷ Διῒ καὶ τῇ Ἥρᾳ, γεννήσειεν ἡ μὲν Ἥρα δι' ἑαυτῆς τὸν Ἥφαιστον, ὁ δὲ Ζεὺς τὴν Ἀθηνᾶν ἐκ τῆς Μήτιδος καταποθείσης ὑπ' αὐτοῦ. ἡ μὲν γὰρ εἰς αὐτὸν κατάποσις τῆς Μήτιδος, καὶ ἔνδον τοῦ Διὸς, τῆς Ἀθηνᾶς γένεσις κατ' ἀμφοτέρους τοὺς λόγους ἐστίν. διαφέρουσι δ' ἐν τῷ πῶς ταῦτα συνετελέσθη πρὸς τὸν ἐνεστῶτα λόγον, ὅθεν ὡς ὄντος τοιούτου. τὸ γὰρ κοινὸν ἐν αὐτοῖς ὑπάρχον μόνον χρήσιμόν ἐστι πρὸς τὰ ἐνεστῶτα. λέγεται δ' ἐν μὲν τῇ θεογονίᾳ, οὕτω.

Ζεὺς δὲ θεῶν βασιλεὺς πρώτην ἄλοχον θέτο Μῆτιν.
Πλεῖστα θεῶν εἰδυῖαν, ἠδὲ θνητῶν ἀνθρώπων.
Ἀλλ' ὅτε δή ῥ' ἤμελλε θεὰν γλαυκῶπιν Ἀθήνην
Τέξεσθαι, τότ' ἔπειτα δόλῳ φρένας ἐξαπατήσας
Αἱμυλίοισι λόγοισιν, ἑὴν ἐγκάτθετο νηδύν·
Ὥς οἱ συμφράσσαιτο θεὰ ἀγαθόν τε κακόν τε.

Εἶτα προελθὼν φησὶν οὕτως,

Αὐτὸς δ' ἐκ κεφαλῆς γλαυκώπιδα γείνατ' Ἀθήνην,
Δεινὴν, ἐγρεκύδοιμον, ἀγέστρατον, ἀτρυτώνην,
Πότνιαν, ᾗ κέλαδοί τ' ἅδον, πόλεμοί τε μάχαι τε.

στήθεσι γὰρ αὐτοῖς ἔνδον εὔδηλον ὅτι ἀπέθετο τὴν Μῆτιν, καὶ οὕτως φησὶν αὐτὴν γεννῆσαι κατὰ τὴν κεφαλήν. ἐν δὲ τοῖς μετὰ ταῦτα πλείω διεληλυθότος αὐτοῦ, τοιαῦτ' ἐστὶ τὰ λεγόμενα.

CAPVT VIII.

Chrysippum ortus Mineruæ fabulam neque rectè explicasse, neque proprio dogmati consonam esse.

Nvnc verò hoc in libro, quoniam & hæc visum est apponere, & alia quæ præcedunt, sum executus, hîc deinceps sermonem de Minerua adiiciam. Nam quum Chrysippus sentiret fabulam de dea, quæ ex Iouis capite creata esse putatur, suis ipsius dogmatis aduersari, huiusmodi adfert. Ascribam enim totam ipsius orationem, etsi prolixior sit; *Audio sanè quosdam verba facere vt ostendant principem animæ facultatem in capite contineri; nam Mineruam, quæ consilium est, & veluti prudentia, ex Iouis capite natam esse, argumentum ferunt eius quòd principatus animæ hîc consistat. Non enim alioquin dicerent in capite natum esse consilium, & prudentiam, nisi principatus animæ ibidem consisteret. Tales sanè qui hoc dicunt, probabile quiddam habent; sed meo iudicio aberrant, & ignorant quæ de his narrantur, de quibus nihil mali fuerit copiosius in præsentibus quæstionibus agere. Porrò affirmant alij ita simpliciter ex Iouis capite ipsam prouenisse, ne adiicientes quidem narrando, quomodo, aut, qua ratione. Hesiodus autem vberiùs in deorum generationibus persequitur; nonnullis in theogonia generationem eius scribentibus primum vt Iupiter cum Metide coierit; deinde cum Themide; nonnullis autem alibi aliter originem eius tradentibus, vt videlicet contentione inter Iouem & Iunonem orta, Iuno sanè ex se Vulcanum procreauerit, Iupiter autem Mineruam ex Metide, quam deglutierat. Nam quòd Metis deglutita fuerit, & intra Iouem fuerit Mineruæ generatio in vtrorumque sermonibus habetur. Differunt autem in eo, quomodo hæc facta fuerint; quod præsenti sermoni nihil facit, nam quod commune in ipsis habetur, solùm præsentibus conducit.* Scribitur autem in theogonia ad eum modum:

Iuppiter ipse Deum prima pro coniuge Metin
Sumpsit, doctrinâ superantem hominésque Deósque.
Sed glaucis oculis Diuam paritura Mineruam
Ab Ioue tum demum decepta est mente dolosis
Ac blandis verbis, qui Pallada condidit aluo,
Quò Dea consuleret patri prauúmque bonumque.

Deinde progressus ita concinit;

Ex capite ipse suo generauit pallada glaucam,
Quæ grauis horrendas acies inuicta gubernat;
Cui strepitus pugnæque placent, & bella verendæ.

Nam pectore ipso Metin reposuisse intus manifestò constat, atque ita ipsam ex capite generasse tradit. Post illa quum plura ipse recensuisset, eiusmodi subnectit.

Vulcanum

Vulcanum ex lite hac peperit Saturnia natum
Artibus insignem, Aegiocho sine coniuge magno;
Artibus insignis Diuos supereminet omnes.
Rursus & Oceani, crinitæ & Thetyos ille
Absente accepit pulchra Iunone puellam.
Decipit hic Metin licet hæc versuta pareret
Quam propria manibus complexam condidit aluo.
Fortius hic metuens aliud ne fulmen obiret,
Hanc ideo alta librans Saturnius ætheris hospes
Protinus absorpsit; concepit & ipsa Mineruam
Protinus, & peperit custos hominumque Deûmque
Vertice apud ripas fluuij Tritonis opacas.
At rursum latitans Iouis intra viscera Metis,
Palladis insedit mater gnara illa Deorum
Atque hominum inuentrix sapiens iustique bonique.
Tunc dea concubuit Themis artibus inclyta iustis
Præ cunctis Diuis superas habitantibus ædes.
Aegida quæ fecit terrentia castra fugantem,
Pallada congenerans arma intus bellica habentem.

A Ἐκ ταύτης ἔριδος, ἡ μὲν τέκε φαίδιμον υἱὸν
Ἥφαιστον τέχνῃσιν, ἄνευ Διὸς αἰγιόχοιο.
Ἐν πάντων παλάμῃσι κεκασμένον οὐρανιώνων.
Αὐτὰρ ὅ γ' Ὠκεανοῦ καὶ Τηθύος ἠϋκόμοιο
Κούρῃ νόσφ' Ἥρας παρελέξατο καλλιπαρῄου.
Ἐξαπατῶν Μῆτιν, καίπερ πολὺ δινεύουσαν.
Συμμάρψας δ' ὅγε χερσὶν, ἑὴν ἐγκάτθετο νηδύν.
Δείσας μὴ τέξῃ κρατερώτερον ἄλλο κεραυνοῦ.
Τοὔνεκά μιν Κρονίδης ὑψίζυγος αἰθέρι ναίων,
Κάππιεν ἐξαπίνης. ἡ δ' αὐτίκα Παλλάδ' Ἀθήνην
Κύσατο, τὴν μὲν ἔτικτε πατὴρ ἀνδρῶν τε θεῶν τε
Παρ' κορυφὴν Τρίτωνος ἐπ' ὄχθῃσι ποταμοῖο.
B Μῆτις δ' αὖτε Ζηνὸς ὑπὸ σπλάγχνοις λεληθυῖα,
Ἧστο Ἀθηναίη μήτηρ τέκτηνα δικαίων
Πλεῖστα θεῶν εἰδυῖα, καταθνητῶν τ' ἀνθρώπων.
Ἔνθα θεὰ παρέλεκτο Θέμις παλάμαις, περὶ πάντων
Ἀθανάτων ἐκέκαστο Ὀλύμπια δώματ' ἐχόντων.
Αἰγίδα ποιήσασα φοβέστρατον ἔντος Ἀθήνη,
Σὺν τῇ ἐγείνατό μιν πολεμήϊα τεύχε' ἔχουσαν.

Hæc præfatus Chrysippus, deinde continuato sermone hæc prodit. *Quæ igitur de Minerua dicuntur, huiusmodi sunt, quæ alterius cuiusdam argumenti significationem præbent. Primum enim Metis dicitur, tanquam prudentia quædam, & rerum vitæ necessariarum ars, qua artes deglutire oportet, & reponere; qua ratione etiam dicta nonnullos deuorare dicimus, propter deglutitionem autem meritò dicuntur ea in ventriculum quoque reponi. Postea deglutitam eiusmodi artem parere in ipso persimilem matri parienti, ratio est. Ad hæc, ea quæ ex scientificis apud sese pariunt, quomodonam egrediantur, & per quod, considerare licet. Constat enim quòd oratione per os iuxta caput efferantur pari modo hîc capite nuncupato, quomodo ouis caput dicitur, & capita nonnullis adimunt; qua ratione proficiscens & ex vertice nasci dicitur, quum plures huiusmodi immutationes signi ratione fiant, ac citra historiam hanc ab eo solùm quòd hæc ex capite nata sit, persimilia quis dixerit; non enim in capite ipsam generari dicit, nisi quidam peruertentes immutantésque sermonem, egredi hîc natam aliter dicant. Quare potius & hoc signum alterius est, vt dixi; nam artificia quæ in nobis ipsis nascuntur ex capite potißimum prodeuntia, prædictum sermonem declarant.* Hæc Chrysippi oratio est. Quoniam verò admodùm longa est, eóque forsan nonnulli non exactè totam ipsius mentem intelligunt, ego breuiter explicare conabor, quæ sibi velit. Non pugnat mecum (inquit) fabula quæ Mineruam prudentiam existentem ex Iouis capite prognatam esse refert, non enim hoc ipsum in ea solùm dictum est, sed quòd Iupiter deglutita Metide, & veluti prægnans ex ea factus, generatam in se puellam ex capite peperit. Dictam autem sic esse fabulam, inquit, quandoquidem artes vniuersas in corde consistentes per rationem, sermones nonnulli in lucem elati per caput exeunt. Est enim os, capitis quoque pars. Quippe non pilosa duntaxat portio, sed totum etiam quod post ceruicem supernè habetur, caput nominatur, quo significatu cuiuspiam caput amputari dicimus. At si non ex ore Iouis, sed ex vertice Mineruam prodiisse fabulata est, nihil absurdi dicunt esse, quum plures huiusmodi immutationes aliquid iudicandi ratione fiant. In his orationibus Chrysippus reliqua sanè proba-

Ταῦτα προειπὼν ὁ Χρύσιππος, ἑξῆς αὖθις συνάπτων τάδε γράφει. τὰ μὲν οὖν περὶ τῆς Ἀθηνᾶς λεγόμενα τοιαῦτά ἐστιν, ἄλλου τινὸς συμβόλου ποιοῦντ' ἔμφασιν. πρῶτον μὲν γὰρ ἡ Μῆτις λέγεται ὡσανεί τις φρόνησις, καὶ περὶ τῶν κατὰ τὸν βίον τέχνη, ἣν τὰς C τέχνας δεῖ καταπίνεσθαι, καὶ ἐναποτίθεσθαι, καθ' ὃν λόγον, καὶ τὰ λεγόμενά τινας καταπίνειν φαμέν. διὰ δὲ τὴν κατάποσιν συνηκολουθηκότως λέγεται, καὶ εἰς τὴν κοιλίαν ἀποτίθεσθαι αὐτά. μετὰ ταῦτα τὴν καταποθεῖσαν τοιαύτην τέχνην, τίκτειν εὔλογον ἐν αὐτῷ παραπλησίαν τῇ τικτούσῃ μητρί. πρός τε τούτοις, τὰ ὑπὸ τῶν ἐπιστημονικῶν τικτόμενα ἐν αὐτοῖς· πῶς δ' ἂν ἐκπορεύοιτο, καὶ διὰ τίνος μάλιστα, πάρεστι σκοπεῖν. φανερὸν γὰρ ὅτι λόγῳ ἐκφέρεται διὰ τοῦ στόματος κατὰ τὴν κεφαλὴν ἐξ ἴσου, οὕτως τῆς κεφαλῆς λεγομένης, ὃν τρόπον προβάτου κεφαλὴ λέγεται, καὶ τὰς κεφαλὰς ἀφαιροῦσί τινων, καθ' ὃν λόγον παραγινόμενον, καὶ ἐκ τῆς κορυφῆς λέγεται γενέσθαι, τῶν τοιούτων D παραλλαγῶν κατὰ σύμβολον γινομένων πλειόνων, καὶ χωρὶς δὲ τῆς ἱστορίας ταύτης ἀπ' αὐτοῦ μόνου τοῦ γενέσθαι ταύτην κατὰ τὴν κεφαλὴν, τὰ παραπλήσιά τις λέγοι· οὐ γὰρ ἐν τῇ κεφαλῇ φησὶν αὐτὴν γενέσθαι εἰ μή τινες διαστρέφοντες, ἢ παραλλάττοντες τὸν λόγον ἐξελθεῖν ταύτῃ, γινομένην δ' ἄλλ' ὡς ἔρρηται· ὥστε μᾶλλον καὶ τοῦτο σύμβολον πρὸς τὸ ἕτερον εἶναι, ὡς ἔφην. τὰ γὰρ ἐν αὐτοῖς γινόμενα τεχνικὰ κατὰ τὴν κεφαλὴν ἐξιόντα μάλιστα, ἀποσημαίνει τὸν προειρημένον λόγον. αὕτη μὲν ἡ τοῦ Χρυσίππου ῥῆσις. ἐπεὶ δ' ἐστὶ πάνυ μακρὰ, καὶ διὰ τοῦτ' ἴσως τινὲς οὐκ ἀκριβῶς E αὐτῆς ἅπαντα τὸν νοῦν καταμανθάνουσιν, ἐγὼ πειράσομαι διὰ βραχέων εἰπεῖν ἃ βούλεται δηλοῦν. οὐ μάχεταί μοι φησὶν, ὁ μῦθος λέγων ἐκ τῆς τοῦ Διὸς κεφαλῆς γεγεννῆσθαι τὴν Ἀθηνᾶν, φρόνησιν ὑπάρχουσαν. οὐ γὰρ αὐτὸ τοῦτο μόνον εἴρηται καὶ αὐτὸν, ἀλλ' ὅτι καταπιὼν τὴν Μῆτιν ὁ Ζεὺς, καὶ ὥσπερ ἐγκύμων ἐξ αὐτῆς γενόμενος, τὴν γεννηθεῖσαν ἐν αὐτῷ κόρην ἀπεκύησε διὰ τῆς κεφαλῆς. εἰρῆσθαι δ' οὕτω φησὶ τὰ κατὰ τὸν μῦθον, ἐπειδὴ τὰς τέχνας ἁπάσας ἐν τῇ καρδίᾳ συνισταμένας, διὰ τὸν λόγον εἰς τὸ φανερὸν ἐκφερομένοι τινὲς λόγοι, διὰ τῆς κεφαλῆς ἐξίασιν. ἔστι γὰρ καὶ τὸ στόμα τῆς κεφαλῆς μόριον. οὐ γὰρ τὸ τετριχωμένον μόνον, F ἀλλὰ καὶ τὸ μετὰ τὸν τράχηλον ἄνωθεν ἅπαν ὀνομάζεσθαι κεφαλὴν, καθ' ὃ σημαινόμενον ἀποτμηθῆναί τινος λέγομεν τὴν κεφαλήν. εἰ δὲ μὴ διὰ τοῦ στόματος τοῦ Διὸς, ἀλλ' ἐκ τῆς κορυφῆς ἐμυθολόγησεν ἐξεληλυθέναι τὴν Ἀθηνᾶν, οὐδὲν ἄτοπον εἶναί φασι τοιούτων παραλλαγῶν κατὰ σύμβολον γινομένων πλειόνων. ἐν τούτοις τοῖς λόγοις ὁ Χρύσιππος, τὰ μὲν ἄλλα πι-

στανῶς τε ἅμα, καὶ εὐμηχάνως ἐξηγεῖται τὸν μῦθον, προσαρμόττων αὐτὸν τῷ Στωϊκῷ δόγματι. τὸ δὲ συνέχον τε, καὶ κυριώτατον τοῦ λόγου παντός, ὑπὲρ οὗ δίκαιον ἦν ἀγωνίσασθαι, μάλιστα διὰ ταχέων παρέδραμεν, ὡς κἀν τοῖς πρόσθεν ἐποίησεν ἐξηγούμενος, ὅπερ οἱ πολλοὶ λέγουσι τοὺς μὲν οὐκ ἔχειν, τοὺς δ' ἔχειν ἐγκέφαλον. ὡς γὰρ ἐν ἐκείνοις αὐτὸ τὸ ζητούμενον, τάχιστα παρῆλθεν, ἐν τοῖς ἔξωθεν αὐτοῦ μηκύνας ἐπὶ πλεῖστον, οὕτω κἀνταῦθα τὸ συνέχον αὐτὸ τοῦ λόγου διὰ ταχέων παρέδραμεν ἀρκεσθεὶς εἰπεῖν, διὰ τοῦτ' ἐκ τῆς κορυφῆς γεγενῆσθαι τὴν Ἀθηνᾶν, οὐκ ἐκ τοῦ στόματος τοιούτων παραλλαγῶν κατὰ σύμβολον γινομένων πλειόνων. ἐχρῆν γὰρ αὐτὸν ἢ μὴ δ' ὅλως ἅψασθαι τοῦ μύθου, μηδὲν γ' ἀναγκαῖον ἔχοντος ἀνδρὶ φιλοσόφῳ πρὸς ἀπόδειξιν δόγματος, ἢ ἁπτόμενον, ὅπερ ἦν μάλιστα τὴν ἀντιλογίαν συνέχον, ἀκριβῶς ἅπασαν ἐξελθεῖν, καὶ εἰ πλειόνων ἔχρηζε λόγων, οὐκ ὀκνήσαντα τοὺς πολλοὺς προσγράψαι. βουλόμενος δ' ἄν τις οἶμαι, καὶ τοὺς τοιούτους ἑτέρως ἐξηγεῖσθαι, πολλὰς ἐπιχειρημάτων ἀφορμὰς ἐκ τῶν κατὰ τὰς ἀνατομὰς φαινομένων δύναιτο λαμβάνειν, ὑπὲρ ὧν ἐπὶ πλέον μὲν ἐν τοῖς ἑξῆς ἀναγκαῖον ἔσται διελθεῖν, ἐπειδὰν περὶ τοῦ ψυχικοῦ πνεύματος ὁ λόγος ἡμῖν γίνηται. διὰ βραχέων δ' αὖ καὶ νῦν αὐτὰ μόνον εἴποιμι τὰ κεφάλαια τῶν μελλόντων ἀποδειχθήσεσθαι. ὥσπερ γὰρ αὐτὸ τὸ σῶμα τῆς καρδίας ἐξ ἑαυτοῦ διαστελλόμενόν τε, καὶ συστελλόμενον ἐν μέρει τὰς ὕλας τε ἕλκει, καὶ αὖθις ἐκπέμπει, κατὰ τὸν αὐτὸν τρόπον ὁ ἐγκέφαλος ἐπειδὰν προέληται τοῦ περιεχομένου κατὰ τὰς ἑαυτοῦ κοιλίας πνεύματος, ὃ δὴ καὶ ψυχικὸν ὀνομάζομεν, ἐπιπέμψαι τινὶ μορίῳ, τὴν εἰς τοῦτ' ἐπιτήδειον κίνησιν κινηθείς, οὕτως ἐπιπέμπει. γένεσις δὲ τῷ πνεύματι τῷδε τῷ κατὰ τὰς κοιλίας αὐτοῦ, τάχα μέν τις ὀλίγη, καὶ ἐκ τῶν εἰς αὐτὰς παραγινομένων γίγνεται φλεβῶν. τὴν πλείστην δὲ καὶ κυριωτάτην αἱ κατὰ τὸ δικτυοειδὲς πλέγμα, τὸ κατὰ τὴν τοῦ ἐγκεφάλου βάσιν ἀρτηρίαι χορηγοῦσιν, αἵτινες ἀπὸ τῆς καρδίας ἀναφέρονται. ὥστ' εἴ τις βούλοιτο τοῖς ἀληθέσι συνάπτειν τὸν μῦθον ἐν τοῖς κάτω μέρεσι κυηθεῖσαν τὴν φρόνησιν, τοῦτ' ἔστι τὸ πνεῦμα τὸ ψυχικόν, ἐν τῇ κεφαλῇ φασι τελειοῦσθαι, καὶ μάλιστά γε κατὰ τὴν κορυφήν, ὅτι κατὰ ταύτην ἐστὶν ἡ μέση, καὶ κυριωτάτη τῶν ἐγκεφάλου κοιλιῶν. ἐγὼ μὲν οὖν ὥσπερ ὁ Πλάτων αὐτὸς εἶπε, τὰ τοιαῦτα πάντα μυθολογήματα, ἄλλως μὲν χαρίεντα ἡγοῦμαι, λίαν δὲ δεινοῦ, καὶ ἐπιπόνου, καὶ οὐ πάνυ εὐτυχοῦς ἀνδρός, κατ' ἄλλο μὲν οὐδέν. ὅτι δ' αὐτῷ ἀνάγκη μετὰ τοῦτο, τὸ τῶν ἱπποκενταύρων εἶδος ἐπανορθοῦσθαι, καὶ αὖθις τὸ τῆς χιμαίρας. καὶ ἐπιρρεῖ δὲ ὄχλος τοιούτων γοργόνων καὶ πηγασῶν, καὶ ἄλλων ἀμηχάνων πλήθη τε, καὶ ἀτοπώτερα λόγων τινῶν φύσεων, αἷς εἴ τις ἀπιστῶν προσβιβᾷ κατὰ τὸ εἰκὸς ἕκαστον, ἅτε ἀγροίκῳ τινὶ σοφίᾳ χρώμενος, πολλῆς αὐτῷ σχολῆς δεήσει. ταύτην τὴν ῥῆσιν ἐχρῆν ἀνεγνωκότα τὸν Χρύσιππον ἀποκεχωρηκέναι τῶν μύθων, καὶ μὴ κατατρίβειν τὸν χρόνον ἐξηγούμενον αὐτῶν τὰς ὑπονοίας. ἂν γὰρ ἅπαξ εἰς τοῦτ' ἀφίκηταί τις, ἀνάριθμον πλῆθος ἐπιρρεῖ μυθολογημάτων, ὥσθ' ὅλον ἀπολέσει τὸν βίον, εἴ τις ἐπεξέρχοιτο πάντα. ἄμεινον δ' ἦν οἶμαι τὸν ἀληθείας ὄντως ἐφιέμενον ἄνδρα, μή τι λέγουσιν οἱ ποιηταὶ σκοπεῖν, ἀλλὰ τῶν ἐπιστημονικῶν λημμάτων, ὑπὲρ ὧν ἐν τῷ δευτέρῳ γράμματι διῆλθον, ἐκμαθόντα τὴν τῆς εὑρέσεως ὁδόν, ἐφεξῆς μὲν ἀσκῆσαί τε, καὶ γυμνάσασθαι κατὰ ταύτην. ὅταν δ' ἱκανῶς ἤδη τὰ κατὰ τὴν ἄσκησιν αὐτῷ προήκειν, τηνικαῦτα ἀφικόμενον ἐφ' ἕκαστον τῶν προβλημάτων, ἐπισκέπτεσθαι περὶ τῶν εἰς τὰς ἀποδείξεις αὐτοῦ λημμάτων,

biliter simul & industriè fabulam exponit, Stoico dogmati ipsam accommodans, principalissimum autem, & totius sermonis summam continens pro quo æquum erat contendere potissimum, breuiter prætercurrit, sicut in prioribus factitauit, exponens quòd vulgus dicit alios non habere, alios habere cerebrum. Vt enim illic id quod quæritur, percurrit obiter, in accessoriis, & ad rem non spectantibus diutissimè immoratus: ita hîc quoque ipsam sermonis summam breuiter attigit, contentus dicere, ideo Mineruam ex vertice, non ex ore fuisse procreatam, quòd plures huiusmodi immutationes symboli ratione fiant. Conueniebat autem ipsum aut non omninò attigisse fabulam, quæ nihil homini philosopho ad dogmatis demonstrationem necessarium continet; aut si attingeret, quod maximè ad controuersiam pertineret, exactè totum explicasse, & si pluribus verbis opus esset, non detrectare multa ascribere. Nam si quis (vt arbitror) & huiusmodi aliter volet interpretari, multas argumentorum occasiones ex iis quæ in dissectionibus apparent, poterit desumere, super quibus iterum pleniùs tractare erit necessarium, vbi de animali spiritu verba fecero. Compendiosè etiam in præsentia ipsa duntaxat capita illorum quæ demonstraturus sum, perstringam. Quemadmodum enim ipsum cordis corpus sua virtute dilatatum & contractum vicissim, materias & attrahit & rursus expellit, pari modo cerebrum vbi statuerit spiritum in ventriculis ipsius contentum, quem sanè animalem quoque nominamus, parti cuipiam transmittere, motu ad id idoneo incitatum, ita distribuit; hunc autem spiritum, qui in ventriculis ipsius est, fortasse quidem paucum etiam venæ ad ipsos pertinentes generant; copiosissimum verò & principalissimum arteriæ plexum retiformem (qui ad cerebri basim est) perreptantes, suppeditant; quæ à corde sursum feruntur. Quare si quis fabulam veris volet connectere, in partibus inferioribus prudentiam conceptam, (hoc est spiritum animalem) in capite natura perfici, præsertim in vertice, quoniam in hoc, medius & principalissimus cerebri sinus habetur. Ego itaque, sicut Plato ipse dixit, omnes eiusmodi fabulas, aliter quidem gratas puto, sed viri esse admodum difficilis, laboriosi, & non ita felicis, non alia quidem ratione quàm quia ipsi necesse est post modum Hippocentaurorum speciem ad aliquam rectitudinem reducere & rursus Chimeræ, etiam affluet turba huiusmodi Gorgonum, Pegasorum, & aliarum fatuitatum copia, absurdioresque sermones quarundam naturarum, quibus si quis fidem derogans, vnumquodque ad aliquam conuenientiam adducat, tanquam rustica quadam sapientia vtens, multum ipse otij requiret. Hac oratione perlecta conueniebat Chrysippum à fabulis recessisse, & non tempus conterere, opiniones ipsarum exponendo. Si enim huc semel aliquis deuenerit, innumerabilis fabularum copia affluet; quapropter totam perdet vitam, si quis omnia persequatur. Satius autem erat opinor hominem veritatis omninò cupidum, non quid poëtæ dicant, considerare; sed scientificarum sumptionum, de quibus secundo libro tractaui, inuentionis viâ perceptâ, deinceps in ea se experiri, ac exercitare: vbi verò abundè iam se exercuerit, tunc ad singula problemata peruenientem, considerare quænam sumptionum ad demonstrationes ipsorum

ex sensu simplici, quæ verò ab experientia aut vitæ, aut eius quæ in artibus est, quæ rursus ex euidentibus intellectui, capientem, concludere iam ex ipsis id quod propositum est oportet. Si hanc viam Chrysippus ingressus, omisisset fabulas, etymologias, reclinationes, declinationésque capitis, manuum motus, labrorum figuras, poëtarum testimonia, vnà cum mulieribus, & aliis idiotis, ipse nimirum veritatem inuenisset, & nobis tempus non periisset, dum ostendimus ei, neque in quibus citat testimonia, neque in his quicquam se ampliùs habere. Siquidem poëtæ plurima contra ipsius dogmata dicunt, & fabulæ, & idiotæ, & alij singuli quos vt sibi attestantes priori libro de anima produxit. Hæc sunt quæ ego reliqueram ex libro superiori, quæ Chrysippus in tractatu de animæ principatu tradiderat, putans, etsi ille non reuereatur eis diutius quàm par sit immorari, mihi certè conuenire, ab huiusmodi garrulitate recedere. At quia (vt dixi) visum est quibusdam familiaribus honoris studio commotis, huiusmodi orationum mentionem vt facerem; illis gratificans, hunc quoque librum scripsi, ita vt quatenus mihi fieri licuit, prolixius à Chrysippo dicta, breuiter transcurrerem, & non pauca vtilia huic operi præfarer.

A τινὰ μὲν ἐξ αἰσθήσεως ἁπλῆς, τινὰ δ' ἐξ ἐμπειρίας, ἤτοι τῆς κατὰ τὸν βίον, ἢ τῆς κατὰ τὰς τέχνας, τινὰ δὲ ἐκ τῶν πρὸς νόησιν ἐναργῶν χρὴ λαβόντα, περαίνειν ἐξ αὐτῶν ἤδη τὸ προκείμενον. εἰ ταύτην τὴν ὁδὸν ὁ Χρύσιππος ἐτράπετο προελθὼν, τὴν κατὰ τοὺς μύθους τε, καὶ τὰς ἐτυμολογίας, ἀνανεύσεις τε, καὶ κατανεύσεις κεφαλῆς, καὶ χειρῶν κινήσεις, καὶ χειλῶν σχήματα, καὶ ποιητῶν μαρτυρίας ἅμα γυναιξὶ, καὶ τοῖς ἄλλοις ἰδιώταις, αὐτός τ' ἂν εὑρίσκετ' ἀληθὲς, ἡμῶν τε τὸν χρόνον οὐκ ἂν ἀπώλλυεν, ἐπιδεικνυόντων αὐτῷ μηδὲ ἐν οἷς ἐπικαλεῖται μάρτυσι, μηδὲ ἐν τούτοις τι πλέον ἔχοντι. καὶ γὰρ οἱ ποιηταὶ τὰ πλείω κατὰ τῶν B δογμάτων αὐτοῦ λέγουσι, καὶ οἱ μῦθοι, καὶ οἱ ἰδιῶται, καὶ τῶν ἄλλων ἕκαστος, οὓς ὡς ἑαυτῷ μαρτυροῦντας ἐν τῷ προτέρῳ περὶ ψυχῆς ἔγραψε. ταῦτ' ἐστὶν ἃ παραλελοίπειν ἐγὼ κατὰ τὸ πρὸ τούτου βιβλίον, ὧν εἰρήκει Χρύσιππος ἐν τῷ περὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ λόγῳ νομίζων, εἰ κἀκεῖνος οὐκ ᾐδέσθη πλεονάζειν ἐν αὐτοῖς, ἐμοὶ γοῦν προσήκειν ἀποχωρῆσαι τῆς τοιαύτης ἀδολεσχίας. ἐπεὶ δ', ὡς ἔφην, ἔδοξε τῶν ἑταίρων τισὶν ὑπὸ φιλοτιμίας κινηθεῖσιν ἐπιμνησθῆναί με καὶ τῶν τοιούτων λόγων, ἐκείνοις χαριζόμενος ἔγραψα, καὶ τουτὶ τὸ βιβλίον. ὅσον οἷόν τ' οὖν ἐμοὶ μετὰ τοῦ διὰ ταχέων παρέρχεσθαι τὰ περιττῶς ὑπὸ τοῦ Χρισίππου γεγραμμένα, καὶ τῶν χρησίμων τῇ προκειμένῃ πραγματείᾳ προστιθεὶς οὐκ ὀλίγα.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΚΑΘ' ΙΠΠΟΚΡΑΤΗΝ ΚΑΙ ΠΛΑΤΩΝΑ ΔΟΓΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

GALENI DE HIPPOCRATIS ET PLATONIS PLACITIS LIBER QVARTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΤΕΤΑΡΤΩι.

Γράφεται τὰ τοῦ Χρυσίππου σφάλματα περὶ τῶν τῆς ψυχῆς παθῶν, καὶ περὶ τῆς ὑφ' ἧς αὐτὰ γίνεται δυνάμεως.

ARGVMENTVM LIBRI QVARTI.

Scribuntur errores Chrysippi de animi affectibus, ac de ea à qua ipsi manant facultate

CAPVT PRIMVM.

Chrysippum non rectè sensisse de concupiscibili ac irascibili animæ facultate, & sibi ipsi aduersari.

QVod disputatio nostra lõgiùs producta sit, nõ ego accusandus venio, sed ij qui libros à se cõscriptos prauis repleuerũt argumẽtis. Hæc si quis omnia prætereat, forsã in suspicionẽ veniet, non posse ea dissoluere potiùs quàm

ΚΕΦΑΛΑΙΟΝ Α'.

C Χρύσιππον ἀμηχάνως περὶ τῆς ἐπιθυμητικῆς τε, καὶ θυμοειδοῦς τῆς ψυχῆς δυνάμεως ἐγνωκέναι, καὶ πρὸς αὐτὸν διαφέρειν.

ΤΩΝ μὲν λόγων τοῦ μήκους οὐχ ἡμᾶς αἰτιατέον, ἀλλὰ τοὺς ἐμπλήσαντας ἃ συνέγραψαν βιβλία μοχθηρῶν ἐπιχειρημάτων. ἅπερ εἰ μέν τις ἅπαντα παρέρχοιτο, τάχ' ἂν ὑποπτευθείη τῷ μὴ δύνασθαι λύειν αὐτὰ, μᾶλλον οὐ τῷ καταφρονεῖν,

ἀρξασθαι τὴν βραχυλογίαν. εἰ δ' ἀκολουθῶν ἐξελέγχοι πάντα, κίνδυνος εἰς τοσαύτην ἐμπεσεῖν μακρολογίαν, ὡς μηδέποτε κεφαλὴν ἐπιθεῖναι τῇδε τῇ πραγματείᾳ. ταῦτά τοι κἀγὼ βουληθεὶς ἑκάτερον τῶν ἐγκλημάτων ἐκφυγεῖν, εὑρηκέναι μοι δοκῶ μέσην τινά, καὶ σύμμετρον ὁδὸν ἴσον ἀφεστῶσαν ἐλλιποῦς τε βραχυλογίας, καὶ περιττῆς μακρολογίας. ἐάσας γὰρ ἅπαντας τοὺς ἄλλους Στωϊκούς, ὅσα Χρύσιππος ἔγραψεν εἰς τὸ περὶ τῶν διοικουσῶν ἡμᾶς δυνάμεων δόγμα, ταῦτ' ἔγνων χρῆναι προχειρισάμενος μόνα παραβάλλειν αὐτὰ τοῖς ὑφ' Ἱπποκράτους τε, καὶ Πλάτωνος εἰρημένοις. παμπόλλων δ' ἐπιχειρημάτων γεγραμμένων αὐτῷ περί τε τοῦ τὰ B πάθη τῆς ψυχῆς ἐν τοῖς κατὰ τὸν θώρακα τόποις συνίστασθαι. περὶ δὲ τοῦ, τὸ λογιζόμενον ἐνταῦθ' ὑπάρχειν, οὐδὲ μιᾶς ἀποδείξεως εἰρημένης, ἀλλ' ἑτοίμως ἀεὶ λαμβάνοντος τἀνδρός, ἔνθα τὰ πάθη τῆς ψυχῆς συνίσταται, ἐνταῦθα καὶ τὴν διάνοιαν ὑπάρχειν. εἴρηται μὲν ἤδη μοι πρὸς αὐτὸν οὐκ ὀλίγα, καὶ διὰ τῶν ἔμπροσθεν, εἰρήσεται δὲ καὶ νῦν ὅσον ὑπόλοιπον. εἰ μὲν οὖν ἀεὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν ὁ Χρύσιππος ἔγραψε, καὶ μὴ διεφέρετο πρὸς αὐτὸν ἐν τοῖς πλείστοις δόγμασιν ἐπαμφοτερίζων, οὐδ' ἂν ἐμοὶ μακρὸς ὁ τῆς ἀντιλογίας ἐγίνετο λόγος. ἐπεὶ δ' ἄλλοτε ἄλλα περὶ τῶν αὐτῶν εὑρίσκεται γράφων, οὐκ C ἔτι ῥᾴδιον, οὔτε τὴν γνώμην ἑρμηνεῦσαι τἀνδρός, οὔθ' ὅπῃ σφάλλεται δεικνύναι. περὶ γοῦν τῶν διοικουσῶν ἡμᾶς δυνάμεων ἐν τῷ προτέρῳ περὶ τῆς ψυχῆς εἰπὼν ὡς ὁ Πλάτων ὑπελάμβανε, τὸ μὲν λογιστικὸν ἐν τῇ κεφαλῇ τετάχθαι, τὸ δὲ θυμοειδὲς ἐν τῇ καρδίᾳ, τὸ δὲ ἐπιθυμητικὸν περὶ τὸν ὀμφαλόν. ἐν τοῖς ἑξῆς αὐτὸς εἰς τὴν καρδίαν πειρᾶται τὰ τρία συνάγειν. ἔχουσι δὲ αἱ ῥήσεις ὧδε. ὁ δὲ ποιητὴς πλεονάζων ἐν τούτοις διὰ πολλῶν παρίστησιν, ὅτι καὶ τὸ λογιστικόν, καὶ τὸ θυμοειδὲς περὶ τοῦτόν ἐστι τὸν τόπον, συνάπτων εἰς ταὐτόν, καὶ τὸ ἐπιθυμητικόν, καθάπερ καὶ ἔδει ποιῆσαι. εἶτα ἐπιφέρων φησί. ὅτι D μὲν γὰρ τὸ λογιστικόν ἐστιν ἐνταῦθα, διὰ τούτων ἐμφαίνεται.

> Ἄλλο δ' ἐνὶ στήθεσσι νόος, καὶ μῆτις ἀμύμων.
>
> Ἀλλ' ἐμὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν.

εἶτ' ἐφεξῆς ἔπη παραθέμενος πλείω, μετὰ ταῦτά φησιν. ὅτι δὲ καὶ τὸ ἐπιθυμητικὸν ἐνταῦθα ἐκ τούτων ἐμφαίνει.

> Οὐ γάρ πώποτ' ἐμ' ὧδε θεᾶς ἔρος, οὐδὲ γυναικός.
>
> Θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσε.

καὶ μετ' ὀλίγα πάλιν. ὅτι δὲ καὶ τὸ θυμοειδὲς ἐνταῦθα αὐτῷ ἐστι, τὰ τοιαῦτα ἐμφαίνει πλείονα ὄντα.

> Ἥρης δ' οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα.

καὶ ἔτι, E

> Καὶ χόλον ὅς τ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι.
>
> Ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο,
>
> Ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται, ἠΰτε καπνός.

ἐναργέστατα καὶ σαφέστατα διὰ τῶν τοιούτων ἐνδεικνύμενος, ὡς ὑπολαμβάνει καὶ αὐτὸς ὁμοίως Ἱπποκράτει, καὶ Πλάτωνι, δυνάμεις τῆς ψυχῆς ὑπάρχειν ἑτέρας παρὰ τὸν λογισμόν, τήν τ' ἐπιθυμητικήν, καὶ τὴν θυμοειδῆ. καὶ καθ' ἕτερον μόνον τοῦτο διαφερόμενος αὐτοῖς, καθ' ὅσον ἐν τῇ καρδίᾳ πάσας εἶναί φησιν, ὡς Ἀριστοτέλης ὑπελάμβανεν, οὐκ ἐν τοῖς τρισὶ σπλάγχνοις, ἐγκεφάλῳ, καὶ ἥπατι, καὶ καρδίᾳ, ἀλλὰ καὶ τὰ F τῶν δυνάμεων ἔργα τε, καὶ τὰ πάθη, διὰ τῶν ἐπῶν ὡς ἔγραψεν, αὐταρκῶς ἐνεδείξατο, διὰ μὲν τοῦ φάναι.

> Οὐ γάρ πώποτ' ἐμ' ὧδε θεᾶς ἔρος, οὐδὲ γυναικός.
>
> Θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν,

ὡς ὁ ἔρως πάθος εἴη τῆς ἐπιθυμητικῆς δυνάμεως. ἐν δὲ τῷ λέγειν,

> Ἥρη δ' οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα,

A velle amplecti. Si verò ordine omnia coarguat, periculum est ne in eam incidat prolixitatem, vt nunquam finem huic operi imponat; quæ duo crimina quum ego quoque deuitare cuperem, inueniſſe mihi videor mediam quandam & mediocrem viam æquè distantem à deficienti breuitate, & superuacanea prolixitate. Omissis enim omnibus aliis Stoïcis, quæ Chrysippus ad placitum de gubernantibus nos facultatibus asserendum prodidit, hæc ego censui, vbi priùs notiora omnibus reddidissem, cum Hippocraticis & Platonicis conferenda. Porrò quum permulta B argumenta literis mandauerit, de eo quod animæ affectus in thoracis regionibus consistant; quod autem rationalis facultas ibi contineatur, ne vna quidem demonstratione adhibita, sed hoc semper lemmate ex promptu citato, vbi animi affectus consistunt, inibi etiam intellectus est; produxi sanè aduersus ipsum iam antea quoque non pauca, quod reliquum est, etiam in præsentia persequar. Si igitur semper eadem de eisdem tradidisset, nec ipse secum dissensisset plurimis in dogmatis tergiuersans, neutiquam ego sermonem contradicendo longiùs produxissem. Quoniam verò aliàs alia de eisdem scribe- C re deprehenditur, non ampliùs facilè est neque viri sententiam interpretari, neque quomodo erret, ostendere. Quum itaque libro priore de anima facultates corpus nostrum regentes secundum Platonis sententiam explicasset, rationalem quidem in capite esse collocatam; irascibilem in corde; concupiscibilem circa vmbilicum, in subsequentibus ad cor tres reducere conatur. Habent autem verba ipsius ad hunc modum; *Poëta in hisce redundans, multis affirmat constituítque facultatem rationalem & irascibilem in hoc esse loco, coniungens eodem etiam concupiscibilem, quemadmodum* D *quoque faciendum erat*: deinde ita inferens, ait: *Quòd enim rationalis facultas inibi consistat, ex his quæ sequuntur, constat.*

> *Verùm aliud mens est in pectore, nemò fidelis.* &
>
> *Ast animum nunquam suasit sub pectore verbis.*

Deinde rursus pluribus appositis versibus inquit, Quòd & concupiscibilis ibidem sit, ex his liquet:

> *Nunquam alias animum languenti in pectore nostrum*
>
> *Seu Dea, seu mulier, tanto deuinxit amore.*

Iterum paulò post, Quòd etiam irascibilis eundem locum occupet, eiusmodi multa declarant;

E *Pectore non iram Iuno suppressit, at inquit.*

Item,

> *Atque ira inuasit sapientem quamlibet vrens,*
>
> *Dulcior & multò quàm mel quod defluit, instar*
>
> *Fumi in pectoribus conscendit protinus imis.*

Quibus verbis euidentissimè ac manifestissimè indicat quam ipse similiter Hippocrati & Platoni opinatus sit, facultates animæ alias esse præter rationem, nempe concupiscibilem & irascibilem, ac in altero solùm hoc ab ipsis discrepat, putà quòd in corde omnem esse affirmet, quæ Aristotelis erat opinio, non in tribus visceribus, cerebro, iecinore, & corde; imò etiam F facultatum opera & affectus, versibus quemadmodum scripsit, abundè ostendit, hoc pacto;

> *Non effusus amor mihi diua aut fœminæ adegit*
>
> *Sic animum.*

Hoc pacto amor concupiscibilis facultatis affectus fuerit. Quum autem inquit:

> *Non iram Iuno suppressit corde, sed inquit;*

Sic

Sic animosæ facultatis erit. Refert autem in præsentia nihil, siue opera facultatum, siue affectus, eiusmodi omnia dicantur. Postea enim de ipsis accuratè considerabimus. Chrysippus priore quidem de anima libro, non solummodo non refragatur nullam esse animi facultatem, aut concupiscibilem, aut irascibilem, sed etiam affectus ipsarum edocet, & vnum corporis locum attribuit. Omnibus verò his in quibus de affectibus tractat, in tribus item quibus rationales de ipsis quæstiones considerantur, ad hæc & in quo medendi ratio, quam partem moralem nonnulli inscribunt, non item similiter cognoscere deprehenditur; verùm alia tanquam in vtramque partem declinans conscribit; alia ceu ne vnam quidem animæ facultatē esse, neque concupiscibilem, neque irascibilem autumans. Etenim in affectus definitionum expositione ostendit facultatem quandam irrationalem in anima affectuum causam existere, vt paulò posterius indicabo, verba ipsius interpretatus. In subsequentibus vbi quærit vtrum affectus iudiciis superueniant, palàm à Platonis opinione recedit, quippe qui neque in problematis diuisione, huius quoq; meminisse dignatus est, quanquam hoc primùm statim aliquis possit ipsi obiicere, quòd in diuisione parum absoluta deliquerit. Siquidem affectus, exempli gratia amor, vel iudicium quoddam est, vel iudicio accidens, aut motus aberrans concupiscibilis facultatis: sic etiam ira, vel iudiciū, vel affectus quidam irrationalis hoc subsequens, aut motus vehemens facultatis irascibilis. At hîc neq; eo modo ac si problema posset trifariam partiri, aggreditur rationem, dum conatur ostendere, melius esse vt iudicia ipsa putentur, & non iudiciorum quædam accidentia; oblitus quæ ipse priore de anima libro prodidit, nempe amorem concupiscibilis esse facultatis; iram, irascibilis.

ὡς ὁ χόλος τῆς θυμοειδοῦς. διαφερέτω δ' ἕν γε τῷ παρόντι μηδὲν, εἴτε ἔργα τῶν δυνάμεων, εἴτε πάθη τὰ τοιαῦτα πάντα λέγοιμεν. ὕστερον γὰρ ὑπὲρ αὐτῶν ἀκριβῶς ἐπισκεψόμεθα. κατὰ μὲν τὸ πρότερον περὶ ψυχῆς βιβλίον ὁ Χρύσιππος, οὐχ ὅπως ἀντιλέγει μηδεμίαν εἶναι τῆς ψυχῆς δύναμιν, ἢ ἐπιθυμητικὴν, ἢ θυμοειδῆ, ἀλλὰ καὶ τὰ παθήματ' αὐτῶν ἐκδιδάσκει, καὶ τόπον ἀπονέμει τοῦ σώματος ἕνα. κατὰ δὲ τὰ περὶ τῶν παθῶν ἅπαντα τά τε τρία, δι' ὧν ἐπισκέπτεται τὰ λογικὰ περὶ αὐτῶν ζητήματα, καὶ προσέτι τὸ θεραπευτικὸν, ὃ δὴ καὶ ἠθικὸν ἐπιγράφουσί τινες, οὐκ ἔθ' ὁμοίως εὑρίσκεται γιγνώσκων. ἀλλὰ τὰ μὲν ὡς ἐπαμφοτερίζων γράφει, τὰ δὲ ὡς μηδεμίαν ἡγούμενος εἶναι δύναμιν τῆς ψυχῆς, μήτε ἐπιθυμητικὴν, μήτε θυμοειδῆ. κατὰ μὲν γὰρ τὴν ἐξήγησιν τῶν ὁρισμῶν τοῦ πάθους, ἐμφαίνει τινὰ δύναμιν ἄλογον ἐν τῇ ψυχῇ τῶν παθῶν αἰτίαν ὑπάρχειν, ὡς ὀλίγον ὕστερον ἐπιδείξω τὴν ῥῆσιν ἐξηγησάμενος αὐτοῦ. ἐν δὲ τοῖς ἑξῆς, ἔνθα ζητεῖ πότερα κρίσεσιν ἐπιγίγνεται τὰ πάθη, προφανῶς ἀποχωρεῖ τῆς Πλάτωνος δόξης, ὅς γ' οὐδὲ τὴν ἀρχὴν, ἐν τῇ διαιρέσει τοῦ προβλήματος, ἠξίωσε καὶ ταύτης ἐπιμνησθῆναι, καί τοι τοῦτο πρῶτον εὐθὺς ἐγκαλέσειεν ἄν τις αὐτῷ παρὰ τὸ τῆς διαιρέσεως ἐλλιπὲς ἐσφαλμένῳ. τὸ γάρ τοι πάθος οἷον ὁ ἔρως ἤτοι κρίσις τίς ἐστι, ἢ κρίσεσιν ἐπιγιγνόμενον, ἢ κίνησις ἔκφορος τῆς ἐπιθυμητικῆς δυνάμεως. οὕτω δὲ καὶ ὁ χόλος ἤτοι κρίσις, ἢ ἑπόμενόν τι ταύτῃ πάθος ἄλογον, ἢ κίνησις σφοδρὰ τῆς θυμοειδοῦς δυνάμεως. ὁ δέ γ' οὐδ' οὕτως ἐγχωρεῖν εἰς τρία τέμνεσθαι τὸ πρόβλημα, μεταχειρίζεται τὸν λόγον ἐπιδεικνύναι πειρώμενος, ὡς ἄμεινον εἴη κρίσεις ὑπολαμβάνειν αὐτὰ, καὶ οὐκ ἐπιγιγνόμενά τινα ταῖς κρίσεσιν, ἐπιλαθόμενος ὧν αὐτὸς ἐν τῷ προτέρῳ τῷ περὶ ψυχῆς ἔγραψε, τὸν μὲν ἔρωτα τῆς ἐπιθυμητικῆς εἶναι δυνάμεως, τὸν δὲ χόλον, τῆς θυμοειδοῦς.

CAPVT II.

Chrysippum aberrasse in affectuum definitionibus, & quomodo inter se error & affectus differant.

QVemadmodum autem in his & oblitus est eorum simul quæ ipse conscripsit, & aduersus veterum dogma contradicere non est dignatus; pari modo in generalium affectuum definitionibus quas priores exposuit, tandem à sententia ipsorum recedit, tristitiam definiens recentem mali præsentis opinionem; metum, expectationem; voluptatē, recentem boni præsentis opinionem. Manifestò enim in his rationalis animæ duntaxat meminit, relicta concupiscibili & irascibili; quoniam opinionem expectationémque, in rationali solâ consistere autumat; in cupiditatis verò finitione, quam appetitum irrationalem esse pronunciat, attingit sanè aliquo modo, quantum ad dictionem attinet, irrationalem animæ facultatem; desciscit autem & hîc in ipsius expositione; siquidem appetitus etiam quem in definitione assumpserat, facultatis rationalis existit. Definit itaque ipsum rationalem impetum ad aliquid, quatenus licet, iucundum. In his autem definitionibus impetus, opiniones, & iudicia, affectus esse autumat; in quibusdam verò subsequentibus Epicuro & Zenoni magis, quàm suis ipsius dogmatis consentanea scribit; nam mœstitiam definiens, demissionem esse ait propter rem quæ fugienda videtur; voluptatem elationem propter rem quæ eligenda putatur,

ΚΕΦΑΛΑΙΟΝ Β'.

Χρύσιππον ἐσφάλθαι ἐν τοῖς τῶν παθῶν ὁρισμοῖς, καὶ πῶς τὸ σφάλμα τε, καὶ τὸ πάθος ἀλλήλων διαφέρουσι.

ΩΣπερ δ' ἐν τούτοις ἐπελάθετό τε ἅμα τῶν ἑαυτῷ γεγραμμένων, οὐκ ἠξίωσέ τε πρὸς τὸ τῶν παλαιῶν ἀντειπεῖν δόγμα, κατὰ τὸν αὐτὸν τρόπον ἐν τοῖς ὁρισμοῖς τῶν γενικῶν παθῶν, οὓς πρώτους ἐξέθετο, τελέως ἀποχωρεῖ τῆς γνώμης αὐτῶν, τὴν λύπην ὁριζόμενος δόξαν πρόσφατον κακοῦ παρουσίας· τὸν δὲ φόβον, προσδοκίαν κακοῦ· τὴν δ' ἡδονὴν, δόξαν πρόσφατον ἀγαθοῦ παρουσίας. ἄντικρυς γὰρ ἐν τούτοις τοῦ λογιστικοῦ τῆς ψυχῆς μόνου μέμνηται, παραλείπων τό τ' ἐπιθυμητικὸν, καὶ τὸ θυμοειδές· καὶ γὰρ τὴν δόξαν, καὶ τὴν προσδοκίαν ἐν τῷ λογικῷ μόνῳ συνίστασθαι νομίζει. κατὰ μέν τοι τὸν τῆς ἐπιθυμίας ὅρον, ἣν ὄρεξιν ἄλογον εἶναί φησιν· ἐφάπτεται μέν πως ὅσον ἐπὶ τῇ λέξει τῆς ἀλόγου κατὰ τὴν ψυχὴν δυνάμεως. ἀποχωρεῖ δὲ κἀνταῦθα κατὰ τὴν ἐξήγησιν αὐτῆς, εἴγε καὶ ἡ ὄρεξις ἣν κατὰ τὸν ὁρισμὸν παρέλαβε, τῆς λογικῆς ἐστι δυνάμεως. ὁρίζεται γοῦν αὐτὴν ὁρμὴν λογικὴν ἐπί τι ὅσον χρὴ ἧδον. ἐν μέν τοι δὴ τούτοις τοῖς ὅροις, ὁρμὰς, καὶ δόξας, καὶ κρίσεις, ὑπάρχειν οἴεται τὰ πάθη. κατὰ δέ τινας τῶν ἑξῆς Ἐπικούρῳ, καὶ Ζήνωνι μᾶλλον, ἢ τοῖς ἑαυτοῦ δόγμασιν ἀκόλουθα γράφει. τήν τε γὰρ λύπην ὁριζόμενος μείωσιν εἶναί φησιν ἐπὶ φευκτῷ δοκοῦντι ὑπάρχειν, τὴν δ' ἡδονὴν ἔπαρσιν ἐφ' αἱρετῷ δοκοῦντι ὑπάρχειν.

καὶ γὰρ αἱ μειώσεις, καὶ αἱ ἐπάρσεις, καὶ αἱ συστολαί, καὶ αἱ διαχύσεις, A καὶ γὰρ τούτων ἐνίοτε μέμνηται, τῆς ἀλόγου δυνάμεώς ἐστι παθήματα ταῖς δόξαις ἐπιγιγνόμενα. τοιαύτην δέ τινα τὴν οὐσίαν τῶν παθῶν Ἐπίκουρος καὶ Ζήνων, οὐκ αὐτὸς ὑπολαμβάνει, ὃ καὶ θαυμάζειν ἐπέρχεταί μοι τἀνδρὸς, ἐν ἐπαγγελίᾳ λογικῆς τε ἅμα, καὶ ἀκριβοῦς διδασκαλίας, οὐκ ἀκριβοῦντος. καὶ γὰρ οὐκ αὐτὰ ταῦτα μόνον αὐτὸς ἑαυτῷ διαφέρεται φανερῶς, ἀλλὰ κἀπειδὰν ὑπὲρ τῶν κατὰ τὸ πάθος ὁρισμῶν γράφων ἄλογόν τε, καὶ παρὰ φύσιν κίνησιν ψυχῆς αὐτὸ φάσκῃ, καὶ πλεονάζουσαν ὁρμὴν, εἶτα τὸ μὲν ἄλογον ἐξηγούμενος τὸ χωρὶς λόγου τε, καὶ κρίσεως εἰρῆσθαι φάσκει. τῆς δὲ πλεοναζούσης ὁρμῆς παράδειγμα, τοὺς τρέχοντας σφοδρῶς παραλαμβάνει. B ταυτὶ γὰρ ἀμφότερα μάχεται τῷ κρίσεις εἶναι τὰ πάθη. εἰσόμεθα δ' ἐναργέστερον, αὐτὰς τὰς ῥήσεις αὐτοῦ παραγράψαντες. ἔχει δ' ἡ μὲν ἑτέρα, τόνδε τὸν τρόπον. δεῖ δὲ πρῶτον ἐντεθυμῆσθαι, ὅτι τὸ λογικὸν ζῶον ἀκολουθητικὸν φύσει ἐστὶ τῷ λόγῳ, καὶ κατὰ τὸν λόγον, ὡς ἂν ἡγεμόνα πρακτικόν. πολλάκις μέν τοι καὶ ἄλλως φέρεται ἐπί τινα, καὶ ἀπό τινων ἀπειθῶς τῷ λόγῳ ὠθούμενον ἐπὶ πλεῖον, καθ' ἣν φορὰν ἀμφότεροι ἔχουσιν οἱ ὅροι τῆς παρὰ φύσιν κινήσεως ἀλόγως οὕτως γινομένης, καὶ τοῦ ἐν ταῖς ὁρμαῖς πλεονασμοῦ. C τὸ γὰρ ἄλογον τουτὶ ληπτέον ἀπειθὲς λόγῳ, καὶ ἀπεστραμμένον τὸν λόγον, καθ' ἣν φορὰν, καὶ ἐν τῷ ἔθει τινάς φαμεν ὠθεῖσθαι, καὶ ἀλόγως φέρεσθαι ἄνευ λόγου κρίσεως, οὐχὶ εἰ διημαρτημένως φέρεται, καὶ παριδών τι κατὰ τὸν λόγον, ταῦτ' ἐπισημαινόμεθα, ἀλλὰ μάλιστα καθ' ἣν ὑπογράφει φορὰν οὐ πεφυκότος τοῦ λογικοῦ ζώου κινεῖσθαι, οὕτως κατὰ τὴν ψυχὴν, ἀλλὰ κατὰ τὸν λόγον. ἡ μὲν οὖν ἑτέρα τῶν τοῦ Χρυσίππου ῥήσεων ἐξηγουμένη τὸν πρότερον τῶν ὅρων τοῦ πάθους, ἐνταυθοῖ τελευτᾷ. τὴν δ' ὑπόλοιπον ἐν ᾗ τὸν ἕτερον ὅρον ἐξηγεῖται γεγραμμένην, ἐφεξῆς τῇδε κατὰ τὸ πρῶτον σύγγραμμα περὶ παθῶν, D ἤδη σοι παραθήσομαι. κατὰ τοῦτο δὲ καὶ ὁ πλεονασμὸς τῆς ὁρμῆς εἴρηται, διὰ τὸ τὴν καθ' αὑτοὺς καὶ φυσικὴν τῶν ὁρμῶν συμμετρίαν ὑπερβαίνειν. γένοιτο δ' ἂν τὸ λεγόμενον διὰ τούτων γνωριμώτερον, οἷον ἐπὶ τοῦ πορεύεσθαι καθ' ὁρμὴν, οὐ πλεονάζει ἡ τῶν σκελῶν κίνησις, ἀλλὰ συναπαρτίζει τι τῆς ὁρμῆς, ὥστε καὶ στῆναι ὅταν ἐθέλῃ καὶ μεταβάλλειν. ἐπὶ δὲ τῶν τρεχόντων καθ' ὁρμὴν οὐκέτι τοιοῦτον γίνεται, ἀλλὰ πλεονάζει παρὰ τὴν ὁρμὴν ἡ τῶν σκελῶν κίνησις, ὥστε ἐκφέρεσθαι καὶ μὴ μεταβάλλειν εὐπειθῶς οὕτως εὐθὺς ἐναρξαμένων, αἷς οἶμαί τι παραπλήσιον, καὶ ἐπὶ τῶν ὁρμῶν γίνεσθαι, διὰ τὸ E τὴν κατὰ λόγον ὑπερβαίνειν συμμετρίαν, ὥσθ' ὅταν ὁρμᾷ μὴ εὐπειθῶς ἔχειν πρὸς αὐτόν. ἐπὶ μὲν τοῦ δρόμου τοῦ πλεονασμοῦ λεγομένου παρὰ τὴν ὁρμὴν, ἐπὶ δὲ τῆς ὁρμῆς παρὰ τὸν λόγον. συμμετρία γάρ ἐστι φυσικῆς ὁρμῆς ἡ κατὰ τὸν λόγον, καὶ ἕως τοσούτου, καὶ ἕως αὐτὸς ἀξιοῖ. διὸ δὴ καὶ τῆς ὑπερβάσεως κατὰ τοῦτο, καὶ οὕτως γινομένης πλεονάζουσά τε ὁρμὴ λέγεται εἶναι καὶ παρὰ φύσιν, καὶ ἄλογος κίνησις ψυχῆς. αἱ μὲν τοῦ Χρυσίππου ῥήσεις αὗται. σκεψώμεθα δ' ἀκριβέστερον ὑπὲρ ἑκατέρας αὐτῶν ἀπὸ τῆς προτέρας ἀρξάμενοι, καθ' ἣν F ἐξηγεῖται πῶς εἴρηται τὸ πάθος ἄλογος, καὶ παρὰ φύσιν κίνησις ψυχῆς. ἐπειδὴ γὰρ ἠπίστατο δύο σημαινόμενα πρὸς τῆς, ἄλογος, φωνῆς, ὧν τὸ ἕτερον βούλεται μόνον δηλοῦσθαι κατὰ τὸν ὅρον, τὸ χωρὶς κρίσεως, ὀρθῶς ἐποίησε, μηδεμίαν ὑπολιπόμενος ἀμφιβολίαν, ἀλλ' αὐτὸς δηλώσας, ὅτι τὴν κατὰ τὸ πάθος ὁρμὴν, ἄλογον εἶναί φησι καθ' ὅσον ἀπέστραπται τὸν λόγον,

siquidem demissiones, elationes, contractiones & diffusiones (horum enim interdum meminit) irrationalis facultatis affectus sunt, opinionibus superuenientes. At huiusmodi quandam affectuum substantiam Epicurus & Zeno, non ipse existimat; quod etiam admirari mihi subit de viro qui in rationalis simul & exquisitæ doctrinæ professione non exquisitè agat. Etenim non eadem hæc solùm ipse sibi repugnantia manifestò adfert; verùm etiam vbi de affectus definitionibus scribens, irrationalem & præter naturam animæ motum ipsum pronunciat; impetum quoque redundantem; deinde irrationale exponens, id quod sine ratione & iudicio est, dictum affirmat; redundantis autem impetus exemplum, currentes vehementer assumit. Hæc namque ambo pugnant cum eo quòd affectus sint iudicia. Sciemus autem clariùs vbi ipsa authoris verba apposuerimus. Habent autem altera in hunc modum; *Primum considerandum est, animal rationale natura rationem sequi, ac secundum rationem tanquam ducem actiuum. Sæpe verò etiam aliter ad quædam fertur, & à quibusdam rationi inobediens longiùs propellitur; quem lationis modum vtraque habet definitio & illa scilicet quæ motum præter naturam qui tam irrationaliter accidit, & quæ in impetu abundantiam obtinet; nam irrationale hoc sumendum est rationi immorigerum, & ab ea auersum; qua latione etiam per consuetudinem, aliquem propelli dicimus, & irrationabiliter sine rationis iudicio ferri, nequaquam si errabundè feratur, ac prætergressus aliquid secundum rationem, ea notamus; sed præcipuè dum eum circumscribit impetum secundum quem animal rationale ita moueri natum non sit, sed secundum rationem potius.* Itaque altera Chrysippi oratio priorem affectus definitionem exponens hîc desinit. Reliqua vbi alteram definitionem interpretatur, post hanc primo de affectibus libro conscripta, iam tibi apponetur hoc modo. *Etiam exuperantia impetus dicta est, eò quòd propriam eorum & naturalem impetus commoderationem transgrediatur, fiet autem quod dicitur, per hæc manifestiùs, veluti in eundo iuxta animi impetum non excellit crurum motus, sed aliquo pacto impetum adæquat; ita vt & sistat quum velit, & mutetur, in currentibus autem iuxta animi arbitrium non sanè huiusmodi fit, sed crurum motus præter animi impetum redundat, vt efferantur, & non obsequenter mutent tam subitò incepta; quibus puto etiam aliquid persimile in animi impetibus fieri, eò quòd rationalem excedant modum, vt quum appetunt, non ei sint morigeri; in cursu quidem redundantia quoad impetum dicta; in impetu autem quoad rationem, nam naturalis appetentiæ modus ex ratione habetur, atque eousque peruenit, quousque ipsa censet; quare etiam excessus qui in hoc atque ita fit, & redundans impetus, prætérque naturam, & irrationalis animæ motus esse dicitur.* Hæc sanè Chrysippi verba sunt. Inspiciamus autem accuratiùs vtramque ipsorum seriem, à priore exorsi, qua exponit quomodo affectus dictus sit irrationalis, & præter naturam animi motus. Quum enim sciuisset duo voce (irrationalis) significari, quorum alterum duntaxat in definitione vult indicari, nempe sine iudicio, rectè factitauit, qui ne vnam quidem ambiguitatem reliquerit, sed ipse ostenderit quòd eum qui in affectu impetum animi, irrationalem esse pronunciat, quatenus à ratione sit auersus,

&

& eidem repugnet, ſinéque iudicio accidat. Hoc igitur dicto, quo à ratione eſſe auerſum protulit, irrationalem qui in affectione motum ab inanimis irrationalibúſque animalibus ſegregauit. Mouetur ſiquidem & lapis & lignum interdum, aliáque ſingula inanimata, ſed non vt à ratione auerſa, neque vt eidem immorigera. Cuius enim neutiquam intereſt vt obtemperet ſequatúrque rationem, hoc quomodo repugnare aut auerti vnquam à ratione poterit? ſed omninò non vti ratione meritò dicetur: auerſum autem eſſe, & non obſequi id dicetur, quod naturam quidem habet ſequendi obtemperandique, ſed interim præter ſui naturam alio modo fertur. Hinc ſanè monſtratur, neque inanimato cuidam, neque irrationali animanti affectum innaſci animalem. Quum autem ſcribit ſine ratione & iudicio affectionis motum fieri, deinde coniungens iterum dicit, nequaquam ſi errabundè feratur, & prætergrediatur aliquid ſecundum rationem, & auerſus & immorigerus ei, affectus ab erroribus diſtinguit, idque perdecenter. Etenim errores praua ſunt iudicia, & ratio veritatem ementita, & errori implicita. Affectus contra, nullum quidem erratum, neque prætermiſſum in ratiocinatione, ſed eſt animi motus rationi inobediens. Nam qui vt patriam ſeruet, liberorum vitam contemnit, vel aliis iugulandos tradit, vel iugulare ipſe ſuſtinet, honeſti imaginatione hoc facit, & ratiocinatione quadam vſus. Medeam autem econtrario non ſolùm à nulla perſuaſa eſt ratiocinatione, vt filios interimeret; ſed etiam contra in totum (quantum ad ratiocinationem attinet) ſcire ſe ait cuiuſmodi factura ſit mala; verùm iracundiam conſiliis eſſe potentiorem, hoc eſt, non ſubijci & obtemperare & obſequi rationi tanquam dominæ cuidam affectum, ſed diſſidere, & recedere & auerſari mandatum, ceu alterius cuiuſdam opus aut affectus virtutis exiſtat, non ratiocinatricis. Quomodo enim vel non obtemperare ſibi ipſi aliquid poſſit, vel à ſeipſo auerti, aut non ſeipſum ſequi? Hæc igitur omnia præterquam quòd nihil accuſatione dignum habeant, præterea etiam tum verè, tum diſtinctè, tum iuxta Platonis ſententiam ſunt pronunciata; conſimiliter etiam ea quæ in expoſitione ſecundi definitionum libri ab ipſo ſunt perſcripta, quâ meminit itidem celeriter currentium, qui ne ſi ſiſtere quidem velint, ſtatim id poſſint facere. Clarè enim & hîc alia facultas præter rationem oſtenditur, à qua affectiones abſoluuntur. Cognoſcemus id euidentiùs, ſi cauſam inuenerimus, vnde fit vt non ſubitò multi currentium poſſint conſiſtere. Porrò inueniemus eam inde, quòd non omnibus ita eueniat, ſed qui per planam quandam aut decliuem feruntur viam; etenim eorum qui per accliuia currunt loca, nulli hoc euenit, ſtatim namque conſiſtunt vbi voluerint, tanquam mole corporis ipſos, non vi deorſum ferente quemadmodum illos rapiebat. Quippe compoſita ineſt ipſorum lationis cauſa; vna tanquam animalium, quæ animæ impetu mouentur, altera tanquam inanimatorum corporum, quæ pondere inclinant; ita namque & lapides ſubinde è montibus deferuntur, conſiſtere interea impotentes, priuſquam ad locum aliquem planum aut cauum peruenerint. Quapropter etiam in hoc exemplo facultas altera præter ratiocinationem oſtenditur, natura irrationabilis, cuiuſmodi eſt in animalium corporibus grauitas.

A καὶ ἀπειθεῖ τῷ λόγῳ, καὶ χωρὶς κρίσεως γίνεται. διὰ μὲν οὖν τοῦ ἀπεστράφθαι φάναι τὸν λόγον, ἐχώρισε τὴν κατὰ τὸ πάθος ἄλογον κίνησιν τῶν ἀψύχων τε καὶ τῶν ἀλόγων ζώων. κινεῖται μὲν γὰρ καὶ λίθος, καὶ ξύλον ἐνίοτε, καὶ τῶν ἄλλων ἕκαστον τῶν ἀψύχων, ἀλλ' οὐχ ὡς ἀπεστραμμένον τὸν λόγον, οὐδ' ὡς ἀπειθοῦν. ᾧ γὰρ τὴν ἀρχὴν μὴ μέτεστι τοῦ πείθεσθαί τε καὶ ἕπεσθαι τῷ λόγῳ, τοῦτό πως ἂν ἢ ἀπειθεῖν, ἢ ἀπεστράφθαι ποτὲ δύναιτο τὸν λόγον; ἀλλ' ὅλως μὴ χρῆσθαι λέγοιτο ἂν εἰκότως. ἀπεστράφθαι δὲ καὶ ἀπειθεῖν λεχθήσεται, ὃ φύσιν μὲν ἔχον ἕπεσθαί τε καὶ πείθεσθαι, παρὰ φύσιν δέ ποθ' B ἑτέρως φερόμενον. ἐκ μὲν δὴ τῶν τοιούτων δείκνυται, ὃ μήτ' ἀψύχῳ τινὶ, μήτ' ἀλόγῳ ζώῳ πάθος ἐγγίνεσθαι ψυχικόν. ἐπειδὰν δὲ γράφῃ χωρὶς λόγου, καὶ κρίσεως γίγνεσθαι τὴν κατὰ τὸ πάθος κίνησιν, εἶτα συνάπτων ἐφεξῆς λέγει οὐχὶ εἰ διημαρτημένως φέρεται, καὶ παριδών τι κατὰ τὸν λόγον, καὶ ἀπεστραμμένως τε, καὶ ἀπειθῶς αὐτῷ, διεῖλε τῶν ἁμαρτημάτων τὰ πάθη, καὶ πάνυ δεόντως. τὰ μὲν γὰρ ἁμαρτήματα μοχθηραὶ κρίσεις εἰσὶ, καὶ ὁ λόγος ἐψευσμένος τῆς ἀληθείας, καὶ διημαρτημένος. τὸ δὲ πάθος ἔμπαλιν οὐδὲν μὲν ἡμαρτημένον, οὐδὲ παρορώμενον κατὰ τὸν λογισμὸν, ἀπειθὴς δέ ἐστι C τῷ λόγῳ κίνησις ψυχῆς. ὁ μὲν γὰρ ὑπὲρ τοῦ σῶσαι τὴν πατρίδα τῆς ζωῆς, καὶ τῶν τέκνων καταφρονήσας, καὶ ἤτοι παραδοὺς ἑτέροις ἀποσφάττειν, ἢ αὐτὸς ὑπομείνας σφάξαι, τῇ γε τοῦ καλοῦ φαντασίᾳ τοῦτο δρᾷ, καὶ λογισμῷ τινι χρησάμενος. ἡ Μήδεια δ' ἔμπαλιν, οὐ μόνον ὑπ' οὐδενὸς ἐπείσθη λογισμοῦ κτείνειν τοὺς παῖδας, ἀλλὰ καὶ τοὐναντίον ἅπαν ὅσον ἐπὶ τῷ λογισμῷ μανθάνειν φησὶ οἷα δρᾶν μέλλει κακά. τὸν θυμὸν δὲ εἶναι κρείττονα τῶν βουλευμάτων, τουτέστιν οὐχ ὑποτετάχθαι, καὶ πείθεσθαι, καὶ ἕπεσθαι, καθάπερ τινὶ δεσπότῃ τῷ λόγῳ τὸ πάθος, ἀλλ' ἀφηνιάζειν, καὶ ἀποχωρεῖν, καὶ ἀπωθεῖν τῷ προστάγματι, ὡς D ἑτέρας τινὸς ἔργον, ἢ πάθημα δυνάμεως ὑπάρχον, οὐ τῆς λογιστικῆς. πῶς γὰρ ἂν ἢ ἀπειθεῖν ἑαυτῷ τι δύναιτο, ἢ ἀποστρέφεσθαι ἑαυτὸ, ἢ μὴ ἕπεσθαι ἑαυτῷ; ταυτὶ μὲν οὖν ἅπαντα πρὸς τῷ μηδὲν ἔχειν μεμπτὸν, ἔτι καὶ ἀληθῶς τε καὶ διωρισμένως, καὶ κατὰ τὴν Πλάτωνος εἴρηται γνώμην. παραπλησίως δὲ καὶ τὰ κατὰ τὴν ἐξήγησιν τοῦ δευτέρου τῶν ὅρων ὑπ' αὐτοῦ γεγραμμένα, δι' ἧς ἐμνημόνευσε, καὶ τῶν τρεχόντων ὠκέως, οἳ μηδ' εἰ στῆναι βούλοιντο, παραχρῆμα δύναιντο παρέχειν αὐτό. σαφῶς γὰρ κἀνταῦθα ἔνδειξις γίγνεται E δυνάμεως ἑτέρας παρὰ τὸν λόγον, ὑφ' ἧς ἀποτελεῖται τὰ παθήματα. γνοίημεν δ' ἂν ἐναργέστερον εἰ τὴν αἰτίαν ἐξεύροιμεν, ὑφ' ἧς συμβαίνει μὴ δύνασθαι στῆναι παραχρῆμα πολλοὺς τῶν θεόντων. ἡ δ' εὕρεσις ἐξ αὐτοῦ γένοιτ' ἂν ἡμῖν τοῦ μὴ πᾶσιν οὕτως συμβαίνειν, ἀλλ' ὅσοι δι' ὁμαλοῦς τινος ἢ κατάντους φέρονται. τῶν μὲν γὰρ ἀνάντη χωρία διαθεόντων, οὐκ ἔτι οὕτω τοῦτο συμπίπτει, παραχρῆμα γοῦν ἵστανται βουληθέντες, ὡς ἂν τῆς ῥοπῆς τοῦ σώματος μὴ φερούσης αὐτοὺς βιαίως κάτω, καθάπερ ἐκείνους ἔφερε. σύνθετος γὰρ αὐτῶν ἔνεστιν ἡ τῆς φορᾶς αἰτία. ἡ μέν τις ὡς F ζώων ὑφ' ὁρμῆς κινουμένων, ἡ δ' ὡς ἀψύχων σωμάτων τῷ βάρει ῥεπόντων. οὕτω γοῦν καὶ λίθοι πολλάκις ὀρῶν καταφέρονται στῆναι μεταξὺ μὴ δυνάμενοι, πρὶν ἀφικέσθαι πρός τι χωρίον ὁμαλὸν, ἢ κοῖλον, ὥστε καὶ κατὰ τοῦτο τὸ παράδειγμα, δυνάμεώς ἐστιν ἔνδειξις ἑτέρας παρὰ τὸν λογισμὸν, ἀλόγου τὴν φύσιν, οἷάπερ ἐστὶν ἐν τοῖς τῶν ζώων σώματι τὸ βάρος.

ὅτι δ' οὐ δύνανται διὰ τοῦτο στῆναι βουληθέντες, οὐ μόνον ἐκ τῆς τῶν ἀνάντων τε, καὶ κατάντων χωρίων διαφορᾶς ἔνεστι μαθεῖν, ἀλλὰ καὶ ἐκ τῆς ἐν αὐτοῖς τοῖς ὁμαλέσι διαφόρου κινήσεως. ὁ μὲν γὰρ εἰς τοὐπίσω τὴν ῥοπὴν τοῦ σώματος ποιησάμενος ἐν τῷ τρέχειν, αὐτοκράτωρ ἐστὶ τοῦ στῆναι. ὁ δ' εἰς τὸ ἔμπροσθεν, ὑπ' ἐκείνης κωλύεται. καὶ δι' αὐτό γε τοῦτο οὕτω θέουσιν ἅπαντες, ὑπ' αὐτῆς τοῦ πράγματος τῆς φύσεως διδασκόμενοι συντελεῖν τὴν εἰς τὸ πρόσω ῥοπὴν τῷ τάχει τῆς κινήσεως. ὥσπερ οὖν ἐπὶ τοῦ παραδείγματος, ὦ γενναιότατε Χρύσιππε, τοῖς μὲν μηδὲν ὑπὸ τοῦ κατὰ τὸ σῶμα βάρους εἰς τάχος κινήσεως ὠφελουμένοις, ἕτοιμον τὸ στῆναι, τοῖς δ' ἐκ διττῆς αἰτίας τὸ τάχος γεννῶσιν, οὐκ ἔθ' ἡ βούλησις ἱκανή. κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῶν τῆς ψυχῆς ὁρμῶν, ὅταν μὲν ὁ λογισμὸς μόνος ἔχῃ τὴν αἰτίαν, ἐπ' αὐτῷ παῦσαι τὴν ὁρμήν. ὅταν δ' ἤτοι θυμὸς ἢ ἐπιθυμία τις αὐτῷ προσέλθῃ, δυνάμεις ἄλογοί τε καὶ παραπλήσιαι τῷ κατὰ τὸ σῶμα βάρει, παραχρῆμα μὲν οὐχ οἷόν τε στῆναι, χρόνῳ δ' ἂν ἴσως γένοιτο καὶ τοῦτο, καθάπερ ἐπὶ τῶν θεόντων. τὸ δ' ἴσως τῷ λόγῳ προσέθηκα διὰ τὴν τῶν κατὰ μέρος αἰτίων, ὅσα τε κινεῖ τὴν ὁρμὴν ἄνισον δύναμιν. ἐπεὶ γὰρ καὶ λογισμὸς αὐτὴν κινεῖ, καὶ ἐπιθυμία, καὶ θυμός, ἡ μὲν ὑφ' ἑνὸς αὐτῶν συστᾶσα τῶν ἄλλων ἡσυχαζόντων, ὑπ' ἐκείνου μόνου δεσπόζεται, ὥστ' εἰ μὲν ὑπὸ τοῦ λογισμοῦ γένοιτο, καὶ καταπαύσειν αὐτήν, καὶ αὖθις ἐπεγείρειν οἷόν τε διὰ μόνου τοῦ βουληθῆναι. εἰ δ' ὑπὸ θυμοῦ τινος ἢ ἐπιθυμίας, ὅταν ἐκεῖνα λωφήσῃ, εἰ δ' ὑφ' ἑκατέρων ἐνεργούντων γίγνοιτο λογισμοῦ θ' ἅμα, καὶ τινος ἀλόγου δυνάμεως. εἰ μὲν οὖν ἀντισπῶντος τοῦ λογισμοῦ κρατήσῃ τὸ ἰσχυρότερον, εἰ δὲ συνεκθέοντος, οὐδέποτε παύσεται. λέγω δὲ συνεκθεῖν τῷ πάθει τὸν λογισμόν, ὅταν ἅπερ ἐκεῖνος προστάττῃ, καὶ ὁ λογισμὸς δοξάζῃ, ὥσπερ ἐπὶ τῶν ἀκολάστων. δοξάζουσι γὰρ ἀγαθὸν εἶναι μέγιστον οὗτοι τὴν ἀπόλαυσιν τῶν ἡδίστων, ἑκουσίως ἑπομένου κατὰ τὴν ψυχὴν αὐτῶν τοῦ λογισμοῦ τῇ ἐπιθυμίᾳ. ἀντιτείνειν δέ φημι τὸν λογισμὸν τῷ πάθει, μὴ δοξάζοντος μέν τ' ἀνθρώπου καλὸν ἢ ἀγαθὸν εἶναι τὴν ἀπόλαυσιν τῆς προκειμένης ἡδονῆς. ἑλκόμενον δέ πως ἐπ' αὐτὴν διὰ τὴν τῆς ἐπιθυμητικῆς δυνάμεως ἰσχυρὰν κίνησιν. ἀλλ' εἰ μὲν ὁ λογισμὸς κρατήσειεν, ἐγκρατὴς ἑαυτοῦ τε, καὶ τῶν ἑαυτοῦ παθῶν ὁ τοιοῦτος ἄνθρωπός ἐστί τε καὶ λέγεται. εἰ δ' ἐπιθυμία, τοὐναντίον τῷδε πρόσρημα λαβών, ἀκρατὴς ὀνομάζεται. ὅταν δ' ὑπὸ τοῦ λογισμοῦ μόνου πρὸς τὴν τῶν ἡδέων ἄγηται χρῆσιν, ὁ τοιοῦτος σώφρων καλεῖται, σκοπὸν τῆς αἱρέσεως αὐτῶν, οὐ τὴν ἀπόλαυσιν, ἀλλὰ τὴν ὠφέλειαν πεποιημένος. ὥσπερ γε καὶ ἀκόλαστος ὁ πρὸς τῆς ἐπιθυμίας μόνης ἀγόμενος ἀκολουθοῦντος αὐτῇ τοῦ λόγου, καθάπερ τινὸς οἰκέτου τῇ τοιαύτῃ συμπλοκῇ τῶν τὰς ὁρμὰς κινούντων αἰτίων, μαρτυρεῖ καὶ τὸ τοῦ Χρυσίππου παράδειγμα. τῶν μὲν γὰρ πρὸς ἄναντες θεόντων, ἡ λογικὴ μόνη δύναμις ἡγεῖται. τῶν δ' ἀκουσίως ἐπὶ κρημνοῦ φερομένων, ἡ ἄλογος, ἥνπερ δὴ τὸ βάρος τοῦ σώματος ἔφαμεν ὑπάρχειν, τῶν δ' ἐς τὸ κάταντες θεόντων, ἀμφότεραι. οὕτω δὲ καὶ τῶν ἐφ' ὁμαλοῖς εἰ πρόσω ῥέποιεν, ὡς εἴγε ἐνανεύοιεν ὀπίσω, θέοιε μὲν ἂν οὕτω γε τῶν ἑτέρων ἧττον. ἵσταιντο δ' ἂν ὁπότε βουληθεῖεν, ὥστε οὐδὲν ἄχρι γε τῆς τῶν ὅρων ἐξηγήσεως ὁ Χρύσιππος ἐναντίον ἀπεφήνατο τοῖς παλαιοῖς.

A Quòd autem eius causâ quum velint non possunt consistere, non solùm ex accliuium decliuiúmque locorum differentia licet condiscere; sed etiam ex differenti in ipsis planis regionibus motu. Etenim qui retrorsum corporis inclinationem inter currendum molitur, sistendi potens est, & sui iuris. Qui verò in anteriorem partem, ab illa impeditur; & hac ipsa de causa hoc pacto omnes currunt ab ipsa rei natura edocti, corporis inclinationem in anteriora celeritati motus conferre. Quemadmodum igitur, exempli gratia, præclare Chrysippe, iis qui nihil à corporis pondere ad motus celeritatem iuuantur B in promptu est vt sistant; illis verò, qui ex duplici causa celeritatem generant, non ampliùs voluntas satis est; eodem modo in animi impetu, quum ratiocinatio sola causam habuerit, promptum est propter ipsám cessare impetum; vbi verò aut iracundia, aut cupiditas quædam ei accesserit, vires irrationales, & corporis grauitati persimiles statim quidem neutiquam posse consistere, sed temporis spatio fortè hoc quoque fiet, quemadmodum in currentibus. Fortè autem orationi apposui, propter particularium causarum, ac eorum quæ impetum mo- C uent, vim inæqualem. Quandoquidem enim & ratiocinatio ipsum mouet, & cupiditas, & iracundia; siquidem ab vno ipsorum constituatur aliis quiescentibus, ab illo solo regitur; quare si à ratione fiat, & compescere ipsum, & rursus excitare sola voluntate licet: sin ab iracundia quadam & cupiditate, quum illa cessauerint; sin ab vtriusque operantibus fiat, ratione simul, & irrationali quadam facultate, ratione quidem renitente, quod valentius est præcellet; simul autem concurrente, nunquam cessabit. Dico autem simul concurrere affectui rationem, quum D quæ ille facit, etiam ratio opinatur; quemadmodum in intemperantibus & proteruis (qui autumant bonum esse maximum, delectabilium fruitionem) ratio in anima ipsorum cupiditatem vltrò sequitur. At reniti ac repugnare affectui rationem dico, quum homo non opinatur propositæ voluptatis fruitionem honestum aut bonum esse; trahitur autem quodammodo ad eam propter valentem concupiscibilis facultatis motum. Verùm si ratio superauerit, talis homo, tum sui, tum suorum affectuum continens & est, & dicitur. Sin autem cupiditas, contrariam huic appellationem sortitus, incontinens nominatur. E Quum verò à ratione sola ad suauium vsum ducitur, talis temperans vocatur, hoc consilio ea deligens, non vt fruatur, sed vt iuuetur: quemadmodum etiam proteruus, qui à sola cupiditate ducitur, ratione tanquam famulo quodam ipsam subsequente. Eiusmodi causarum impetus animi excitantium complexui attestatur etiam Chrysippi exemplum. Etenim aduersus accliue currentes, sola vi rationali ducuntur. Qui autem inuiti ad præcipitium feruntur, irrationali, quàm sanè corporis pondus esse diximus in decliue currentes, vtrisque. Pari modo qui in pla- F no currunt, si prorsum tendant; nam si retrorsum renitantur, current quidem aliis minus, sed vbi voluerint, sistentur. Quare nihil Chrysippus, vsque ad definionum expositionem, veteribus contrarium pronunciauit.

CAP.

CAPVT III.

Chrysippum sibi ipsi & Stoicorum plurimis aduersari in affectuum definitione.

QVum autem deinceps inspicit; iudiciáne quædam, an quæ iudicia sequantur, affectus esse putandum sit, vtrobique à veteribus recedit: sed multò magis dum quod deterius est eligit. Etenim Zenoni in hoc, & sibi & multis aliis Stoicis repugnat, qui non iudicia ipsa animi, sed irrationales quæ post hæc contractiones, submissiones, ostentationes, elationes, & diffusiones, animi affectus esse existimant. Verùm Posidonius ab vtraque opinione recessit, vt qui neque iudicia, neque iudiciis superuenientia affectus esse, sed hos ab irascibili & concupiscibili facultate fieri autumet, veterem sermonem ex toto secutus. Ac Chrysippi sectatores subinde in commentario suo de affectibus interrogat, quæ superantis impetus sit occasio, quum ratio præter ipsius tum opera, tum modum nequeat excellere, quapropter constat aliam quandam irrationalem vim causam existere, cur animi impetus præter rationis modum redundet; quemadmodum grauitatem corporis causam esse rationis expertem, ob quam supra arbitrij mensuram abundet. Sed mirum hoc non est, si Chrysippus multis dicat contraria; quemadmodum neque quòd à veritate aberrauerit; condonandum enim est ei, quum homo sit, & iuuenile quiddam peccet. Verùm quòd neque aggressus sit omninò ea quæ veteribus dicta sunt, dissoluere, & secum ipse repugnet, dum nunc sine ratione & iudicio affectus fieri arbitratur; nunc non solùm iudicia subsequi affirmat, sed idipsum esse iudicia; siquidem neutiquam attingere iudicium, maximè nimirum contrarium est ei, quòd affectus sit iudicium; nisi per Iouem succurrens ei aliquis, affirmet plura iudicij nomen significare, & in definitionis expositione veluti circunspectionem, dictum esse iudicium, vt sit idem sine iudicio, & sine circunspectione. Vbi verò iudicia esse affectus dicit, & impetus & assensus nominari iudicia. At si quis hoc receperit, redundans assensus erit affectus. Rursúsque Posidonius interrogabit ex qua causa redundet præter quod etiam maximum peccatum in docendi lege Chrysippus commiserit. Si enim in hoc ipso caput dogmatis est, vt æquiuocationem distinguat, ostendátque quo in significatu sine iudicio affectus fiant, in quo autem iudicia sint, is verò ne in vno quidem libro ex quatuor quos scripsit de affectibus id fecit quomodo non quis eum iure accusauerit? Forsan enim ne summam quidem dicendi breuitatem aliquis æmulatus, rectè tam necessaria prætergrederetur; multò magis, quum longissimè sermones protenderet, quemadmodum Chrysippus, sed de his etiam paulò posteriùs considerabimus.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Χρύσιππον καὶ ἑαυτῷ τε, καὶ πολλοῖς τῶν Στωϊκῶν ἐν τῷ τῶν παθῶν ὁρισμῷ μάχεσθαι.

ΟΠότε δ' ἐφεξῆς ἐπισκέπτηται, πότερον κρίσεις τινὰς ἢ κρίσεσιν ἑπόμενα χρὴ νομίζειν εἶναι τὰ πάθη, καθ' ἑκάτερον μὲν ἀποχωρεῖ τῶν παλαιῶν· πολὺ δὲ μᾶλλον ἐν τῷ τὸ φαυλότερον ἡγεῖσθαι. καὶ γὰρ Ζήνωνι κατά γε τοῦτο, καὶ ἑαυτῷ, καὶ πολλοῖς ἄλλοις μάχεται τῶν Στωϊκῶν, οἳ οὐ τὰς κρίσεις αὐτὰς τῆς ψυχῆς, ἀλλὰ καὶ τὰς ἐπὶ ταύταις ἀλόγους συστολάς, καὶ ταπεινώσεις, καὶ δήξεις, ἐπάρσεις τε καὶ διαχύσεις ὑπολαμβάνουσιν εἶναι τὰ τῆς ψυχῆς πάθη. Ποσειδώνιος μέν γε τελέως ἀπεχώρησεν ἀμφοτέρων τῶν δοξῶν, οὔτε γὰρ κρίσεις, οὔτε ἐπιγινόμενα κρίσεσιν, ἀλλ' ὑπὸ τῆς θυμοειδοῦς τε, καὶ ἐπιθυμητικῆς δυνάμεως ἡγεῖται γίγνεσθαι τὰ πάθη, κατὰ πᾶν ἀκολουθήσας τῷ παλαιῷ λόγῳ, καὶ πυνθάνεταί γε τοὺς περὶ τὸν Χρύσιππον οὐκ ὀλιγάκις ἐν τῇ περὶ παθῶν ἑαυτοῦ πραγματείᾳ, τίς ἡ τῆς πλεοναζούσης ὁρμῆς ἐστιν αἰτία. ὁ μὲν γὰρ λόγος οὐκ ἂν δύναιτό γε πλεονάζειν παρὰ τὰ ἑαυτοῦ πράγματά τε καὶ μέτρα. πρόδηλον οὖν ὡς ἑτέρα τις ἄλογός ἐστι δύναμις αἰτία τοῦ πλεονάζεσθαι τὴν ὁρμὴν ὑπὲρ τὰ μέτρα τοῦ λόγου, καθάπερ τοῦ πλεονάζεσθαι τὸν δρόμον ὑπὲρ τὰ μέτρα τῆς προαιρέσεως, ἄλογος ἡ αἰτία τὸ βάρος τοῦ σώματος. ἀλλ' οὐ τοῦτο θαυμαστὸν εἰ πολλοῖς ἐναντία λέγει Χρύσιππος, ὥσπερ οὐδ' ὅτι τῆς ἀληθείας ἀπέσφαλται. συγγνώμη γὰρ ἀνθρώπῳ γε ὄντι καὶ ἁμαρτάνοντι, ὡραῖόν τι. ἀλλ' ὅτι μήτε ἐπεχείρησεν ὅλως τὰ πρὸς τῶν παλαιῶν εἰρημένα διαλύσασθαι, καὶ πρὸς αὐτὸν διαφέρεται. νυνὶ μὲν γίνεσθαι νομίζων τὰ πάθη ἄνευ λόγου, καὶ κρίσεως, νυνὶ δ' οὐ μόνον κρίσεσιν ἕπεσθαι φάσκων, ἀλλ' αὐτὸ δὴ τοῦτο κρίσεις εἶναι. τὸ γὰρ μηδ' ὅλως ἐφάπτεσθαι κρίσεως ἐναντιώτατον δήπου τῷ κρίσιν εἶναι τὸ πάθος. εἰ μὴ νὴ Δία βοηθῶν τις αὐτῷ φαίη, πλείω σημαίνειν τὸ τῆς κρίσεως ὄνομα, καὶ κατὰ μὲν τὴν ἐξήγησιν τοῦ ὅρου τὴν ἐπίσκεψιν εἰρῆσθαι κρίσιν, ὡς εἶναι τὸ ἄνευ κρίσεως, ἴσον ἄνευ ἐπισκέψεως· ἔνθα δὲ κρίσεις εἶναί φησι τὰ πάθη, τὰς ὁρμάς τε, καὶ τὰς συγκαταθέσεις ὀνομάζεσθαι κρίσεις. ἀλλ' εἴπερ τοῦτό τις δέξαιτο, πλεονάζουσα συγκατάθεσις ἔσται τὸ πάθος, καὶ πάλιν ὁ Ποσειδώνιος ἐρήσεται τὴν αἰτίαν, ὑφ' ἧς πλεονάζεται πρὸς τῷ, καὶ μέγιστον ἁμάρτημα κατὰ τὴν διδασκαλίαν ἡμαρτῆσθαι τῷ Χρυσίππῳ. εἰ γὰρ ἐν αὐτῷ δὴ τούτῳ τὸ κῦρος τοῦ δόγματός ἐστιν ἐν τῷ διαστείλασθαι τὴν ὁμωνυμίαν, καὶ δεῖξαι κατά τι μὲν σημαινόμενον, ἄνευ κρίσεως γίνεσθαι τὰ πάθη, κατά τι δὲ κρίσεις εἰσίν. ὁ δ' οὐδὲ καθ' ἓν τῶν τεττάρων βιβλίων, ἃ περὶ τῶν παθῶν ἔγραψεν ἐποίησεν αὐτό, πῶς οὐκ ἄν τις αὐτὸν δικαίως μέμψαιτο; τάχα μὲν γὰρ οὐδὲ βραχυλογίαν τις ἄκραν ἐζηλωκώς, ὀρθῶς ἂν ὑπερβαίνοιτο τὰ οὕτως ἀναγκαῖα, πολὺ δ' οὖν μᾶλλον, ὅταν ἐπὶ μήκιστον ἐκτείνῃ τοὺς λόγους, ὥσπερ ὁ Χρύσιππος. ἀλλὰ περὶ μὲν τούτων καὶ μικρὸν ὕστερον ἐπισκεψόμεθα.

CAPVT IV.

Claris & distinctis nominibus vtendum; & nomina sine ratione, sine voce, & alia eiusmodi bifariam significare apud omnes homines.

DE eo autem quod nihil faciat, si ipse sibi contradicat, quũ infinita adhuc possem adferre,

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Δεῖ χρῆσθαι διωρισμένως τε καὶ σαφῶς τοῖς ὀνόμασι, καὶ τὰ ὀνόματα μὲν ἄλογον, ἄφωνον καὶ τἄλλα παραπλήσια διχῶς σημαίνειν πρὸς τοὺς ἅπαντας ἀνθρώπους.

ΠΕρὶ δὲ τοῦ μὴ φροντίζειν τῆς πρὸς ἑαυτὸν ἐναντιολογίας αὐτόν, ἔχων ἔτι μυρία λέγειν, ἃ τάχ'

ἂν καὶ ὕστερον εἰ μακροτέρας ἐπιλαβοίμην σχολῆς, εἰς μίαν ἀθροίσαιμι πραγματείαν ἅπαντα, παραλιπὼν τἆλλα, μόνων τῶν οἰκείων τοῖς νῦν προκειμένοις μνημονεύσω. τὴν τοίνυν ἐπιθυμίαν ἐν τῷ πρώτῳ περὶ παθῶν ὁρισάμενος ὄρεξιν ἄλογον, αὐτὴν πάλιν τὴν ὄρεξιν ἐν ἕκτῳ τῶν κατὰ γένος ὅρων, ὁρμὴν λογικὴν εἶναί φησιν ἐπί τι, ὅσον χρὴ ἧδον αὐτῷ. οὕτω δὲ αὐτὴν ὁρίζεται κἀν τοῖς περὶ τῆς ὁρμῆς, ὥστε τὸν τῆς ἐπιθυμίας ὅρον ἀναπληρούμενον γίγνεσθαι τοιοῦτον. ἐπιθυμία ἐστὶν ὁρμὴ λογικὴ ἐπί τι, ὅσον χρὴ ἧδον αὐτῷ, ἄλογος. ἀλλὰ τὸ μὲν ἐν διαφέρουσιν ἤτοι βιβλίοις, ἢ χωρίοις βιβλίων ἀναισθήτως ἔχειν τῆς ἐναντιολογίας, ἧττον δεινόν. ὅταν δ' ἐν αὐτοῖς οἷς φθέγγεταί τις ἐναντία τε, καὶ παντοίως μαχόμενα συμπλέξῃ, συγχεῖ καὶ ταράσσει τὴν διδασκαλίαν ἐν τῷδε, καὶ πολλὴν ἀπορίαν παρέχει τοῖς ἐξελέγχειν αὐτὰ πειρωμένοις. ὥσπερ ἂν εἰ καὶ οὕτω τις εἴποι γε καταβὰς ἄνω, καὶ διαλεχθεὶς τῷ λίθῳ, καὶ πλεύσας διὰ μέσης τῆς πέτρας, ἀνελθεῖν εἰς τὸν βυθὸν τῆς λίμνης. ἄν τε γὰρ ὡς οὐ καταβάντα διελέγχῃς, φάσκων αὐτὸν ἄνω μεμενηκέναι καταβάντα. τοῦτ' αὐτὸ δήπου φήσει, καὶ αὐτὸς εἰρηκέναι κατὰ τὸν λόγον ἐν τῷ προσθεῖναι τὸ ἄνω· ἄν θ' ὡς οὐδενὶ διελέχθη, καὶ τοῦτ' εἰρῆσθαι φήσει. ταὐτὸ γὰρ εἶναι τὸ, λίθῳ διαλέγεσθαι τῷ μηδὲ λίθῳ, τῷ λίθῳ γὰρ οὐδεὶς διαλέγεται. καὶ τἆλλα οὕτως ἅπαντα σοφιστικῶς ἐπανορθοῦσθαι δυνήσεταί τις, ὥστε κατ' ἀρχὰς εὐθὺς δεῖν ἀποδρᾶναι λόγων εἶδος τοιούτων ἐν ᾧ χρὴ τοὺς ἀκούοντας, οὐχ ἃ σημαίνεται συνήθως ὑφ' ἑκάστου τῶν ὀνομάτων μανθάνειν, ἀλλ' ἕτερά τινα. τοιοῦτον γάρ τι καὶ ὁ Χρύσιππος ἀξιώσει, ἐπειδὰν μὲν ἄνευ κρίσεως λέγῃ τις γίνεσθαι τὰ πάθη, τῆς ψυχῆς ἀκούειν ἡμᾶς ἀξιῶν, ὅτι μετὰ κρίσεώς τε γίνεται καὶ κρίσεις εἰσίν. ἐπειδὰν δ' ἄνευ λόγου καὶ ἄλογα, τὸ μήτ' ἄλογα, μήτ' ἐν ἀλόγῳ τινὶ δυνάμει τῆς ψυχῆς, ἀλλ' ἐν τῇ λογιζομένῃ, καὶ λογικά. τὸ γὰρ κρίνειν ταύτης ἔργον ὑπάρχειν. ἐπειδὰν δ' ἀπειθῶς τε καὶ ἀπεστραμμένως τοῦ λόγου, τὸ μηδεμίαν ἐπιζητεῖν ἑτέραν ἐν τῇ ψυχῇ δύναμιν, ἧς κινουμένης ἀπειθῶς τῷ λόγῳ γίγνεσθαι τὰ πάθη. μηδὲν γὰρ εἶναί τινα τοιαύτην, ὡς ἔνιοι τῶν φιλοσόφων ὑπολαμβάνουσιν ἐπιθυμητικήν τε καὶ θυμοειδῆ προσαγορεύοντες. τὸ ὅλον γὰρ εἶναι τὸ τῶν ἀνθρώπων ἡγεμονικὸν, λογικόν. εἰ μὲν γὰρ εἰς πρόβλημά τις ἀπὸ στόματος ἐπιχειρῶν λέγοι, κάλλιον μὲν καὶ τούτῳ διωρισμένως τε χρῆσθαι, καὶ σαφῶς τοῖς ὀνόμασιν. ἔξεστι δ' οὖν ὅμως συγγνώμην αὐτοῦ τὰ σφάλματα. τὸ δ' ἐπιστημονικὴν καὶ λογικὴν πραγματείαν ἐπαγγειλάμενον γράφειν, ἀπειθῆ μὲν τῷ λόγῳ τινὰ κίνησιν ὀνομάζειν. ἀξιοῦν δ' ἡμᾶς ἀκούειν αὐτὴν λογικὴν, ἢ ἀπεστράφθαι μὲν τὸν λόγον. εἶναι δ' οὐδὲν ἄλλο ἢ λόγον τε καὶ κρίσιν αὐτὴν, οὐκ οἶδ' εἰ μὴ τῆς μεγίστης μέμψεως ἄξιος ὑπάρχει ἄνθρωπος, μὴ συγχωρῶν ἐπὶ ταὐτοῦ λέγειν αἰσχύνεσθαι καὶ αἰδεῖσθαι, μηδ' ἥδεσθαι καὶ χαίρειν. ἀλλ' ἀκριβοῦν ἅπαντα καὶ μέχρι τῶν ὀνομάτων ἀξιῶν αὐτὸν ἐν τοῖς συγγράμμασιν, ὃ μικρὸν ἔμπροσθεν οὐκ ἐκ λόγου καὶ κρίσεως ἔφησε γίγνεσθαι, προελθὼν ἐν λόγῳ καὶ κρίσει συνίστασθαί φησιν. ἐνὸν ἐκφυγεῖν μὲν ἁπάσας τὰς οὕτως ἀκαίρους τε ἅμα, καὶ παρὰ τὸ τῶν Ἑλλήνων ἔθος ἀναπιμπλαμένας ὁμωνυμίας, ἀκριβῶσαι, καὶ διαρθρῶσαι τὸν λόγον Ἑλληνικοῖς τε, καὶ σαφέσιν ὀνόμασιν.

quæ forsan etiam postea plus nactus otij in vnum conferam commentarium omnia, nunc omissis aliis eorum duntaxat quæ propriè ad institutum præsens pertinent comminiscar. Itaque cupiditatem quum primo de affectibus definiuisset appetitum irrationalem, ipsum rursus appetitum sexto generalium definitionum libro, appetentiam seu impetum rationalem ad aliquid esse pronunciat, quantum conuenit, ei iucundum. Hoc modo ipsam definit etiam in libris de animi impetu, vt cupiditatis definitio aperta & explicata talis fiat. Cupiditas est impetus rationalis ad aliquid quantum cōuenit ei iucundum, rationis expers. Verùm quòd in diuersis vel libris, vel librorum locis contradictionem nō percipiat, minus graue est. Quum autem in eisdem quæ loquitur aliquis, contraria & omninò repugnantia connectat, disciplinam in eo & confundit, & perturbat, magnámque dubitationem iis qui illa conantur redarguere, exhibet; veluti si quis etiam in eum modum dicat; descendit sursum, & disputauit cum lapide; & nauigans per mediam petram, ascendit in profundum stagni. Siue enim tanquam qui non descenderit arguas, dicens eum sursum mansisse, quum descēdisset; idem hoc nimirum & ipse referet se in oratione dixisse, dum apposuerit sursum; siue tanquam cum nullo disseruisset, atq; hoc dictum esse affirmabit. Nam idem esse cum lapide disserere, quod ne cum lapide quidem; nam cum lapide nemo disserit. Aliáq; ita omnia sophisticè corrigere poterit aliquis; quare per initia statim oportet huiusmodi orationum speciem repudiare, in qua conuenit auditores non quæ consueto modo à singulis nominibus significantur, sed alia quædam intelligere. Tale siquidem aliquid etiam Chrysippus censebit, quum sanè sine iudicio animi affectus aliquis dicat fieri, inaudire nos volens, quòd cum iudicio fiant, & iudicia sint; quum autem sine ratione fieri dicat, & irrationales, censens nos intelligere, neque irrationales esse, neque in irrationali quadam facultate animi, sed in ratiocinante, & rationabiles existere; etenim iudicare, huius opus esse; quum autem contumaciter & inuitâ ratione fieri dicat aliquis, volens nos ne vnam quidem aliam in anima facultatem inquirere, qua mota contumaciter rationi affectus fiant; nihil siquidem esse huiusmodi quandam facultatem, vt nonnulli philosophorum autumant, concupiscibilem & irascibilem appellantes, totum namque esse quod hominibus dominetur, rationem. Si enim problema aliquis memoriter enumeret, commentetur, præstat etiam huic distinctis clarisq; vti nominibus; nihilominus tamen erroribus ipsius venia daretur. At si quis scientificum opus & rationale pollicitus scribere, contumacem in rationem motum quendam nominet, velit autem nos inaudire ipsum rationalem; aut auersum quidem esse à ratione dicat, velit tamen nihil aliud esse quàm rationem ipsúmque iudicium; haud noui, si non maxima accusatione homo ille dignus sit, dum non concedit de eodem dici, pudere & reuereri, neque delectari & gaudere: sed qui exquisitè omnia etiam vsque ad nomina disquirere censet, idem in cōmentariis, quod paulò antea non ex ratione & iudicio dixit fieri, progressus, in ratione & iudicio inquit cōsistere: quum liceret omnes inopportunas huiusmodi, & præter consuetudinem Græcorum refertas æquiuocationes fugere, & accuratè articulatéque sermonem tum Græcis, tum manifestis nominibus illustrare;

nam

nam irrationale perinde vt mutum & collo carentem bifariam omnes homines dicunt, ac tertium nullum est in eis significatum inuenire, neque apud Græcos huius tempestatis, neque apud veteres, si quid ex libris ipsorum coniiciendum est. Porrò mutum & collo carentem, (cogit enim nos Chrysippica interpretatio hæc quoque verba exponere) appellant quodammodo partim (vt opinor) vocis aut colli priuatione, partim vitio. Si enim dicat aliquis pisces mutos esse, aut stirpes, eò quòd omninò vocem non habeant; ita nuncupat. Si verò mutum citharœdum dicas, aut præconem; vitium aliquod vocis hominis ostenditur. Vel enim exigua voce præditum, aut aspera, aut obscura, aut huiusmodi aliud quippiam ipsum esse dicis, non tamen omninò voce esse destitutum. Simili ratione etiam collo priuatos quosdam homines nominant, non per Iouem, quemadmodum pisces priuatos dixerit aliquis quòd neutiquam ipsis insit collum (nemo enim hoc pacto homo atrachelus fuerit, vt in totum collo careat) sed quòd exiguum habent collum, nonnulli sic appellantur; ac manent etiam hîc persimiles duo significatus, quemadmodum in dictione mutus. Ita verò etiam sine pede, sine ventre, sine latere, sine manu, atque omnia eiusmodi, nonnunquam dictione (a) significatum cuiusque nominis cui præponitur, tollente, interim non tollente. Ita inuenio etiam irrationale nomen apud veteres omnes dictum esse, item ab huius sæculi hominibus dici. Quum etenim vel piscem aliquis vel cancrum irrationalem esse dicit, omninò tollit significatum ex voce (irrationalis.) Quum verò aliquid quod ab aliquo dicitur incusantes vocitant irrationale, non ceu nullius rationis compos, sed veluti culpandum, prauéque affectum sic vocitant. Aliud verò tertium, vel etiam, per Iouem, quartum, vt hi vi cogunt & detorquent significatum, non est in Græcorum consuetudine qui interpretari vocem profitentur. Innuit hoc quoque ipse Chrysippus his verbis: *Quare etiam non abs re dicitur à quibusdam, animi affectum motum esse præter naturam, vt in metu habet, cupiditate, & similibus. Omnes enim huiusmodi motus & constitutiones immorigeræ sunt rationi, & auersæ: quapropter & irrationabiliter dicimus tales ferri, non veluti malè in ratiocinando sic aliquis dixerit, in eo quod secus habeat, quam bona ratio exigat, verùm secundum rationis auersionem.* Manifestò his Chrysippus indicat duo significata dictionis (irrationalis) quæ etiam verè apud Græcos habentur; alterum cui bona ratio contraria est; alterum quod nihil rationis participat. Proinde quod bonæ rationi opponitur, peccatum est, & iudicium prauum; alterum quod sine omni ratione fit, est secundum affectum impetus, motúsque. Quòd si plura essent significata nominis (irrationale) non detrectasset vtique de illis verba facere, ostendens quòd in nullo alio ipsorum irrationalis dictus sit animi affectus; verùm in illo solùm, quod ipse nominauit, id quod iuxta rationis auersionem fit. Quæ enim malè quis iudicauit, in iis non à ratione auersus est, sed in ea errauit. At qui impetus ex iracundia aut cupiditate absoluuntur, non vtentes ratione, hos irrationales nominat secundum alterum significatum, in quo vocem (a) negare & tollere postpositæ sibi dictionis significatum dicebamus, nam inobsequens, rationi motus animi, irrationalis est,

τὸ γοῦν ἄλογον ὡσαύτως ἀφώνῳ τε, καὶ ἀτραχήλῳ διχῶς ἅπαντες ἄνθρωποι λέγουσιν, καὶ τρίτον οὐδὲν ἐστιν ἐπ' αὐτῶν σημαινόμενον εὑρεῖν, οὔτε παρὰ τοῖς νῦν Ἕλλησιν, οὔτε παρὰ τοῖς παλαιοῖς, εἴ τι χρὴ τεκμαίρεσθαι τοῖς βιβλίοις αὐτῶν. ἄφωνον δὲ δή πως λέγουσι, καὶ ἀτράχηλον. ἀναγκάζει γὰρ ἡμᾶς τὰ ῥήματα ἡ Χρυσίππου ἑρμηνεία, καὶ ταῦτ' ἐξηγεῖσθαι. τὸ μὲν οἶμαι στερήσει φωνῆς, ἢ τραχήλου, τὸ δὲ κακώσει. εἰ μὲν γάρ τις φάσκει τοὺς ἰχθῦς ἀφώνους ὑπάρχειν, ἢ τὰ φυτά, τῷ μηδ' ὅλως ἔχειν φωνὴν οὕτως αὐτὰ προσαγορεύει. εἰ δέ τις ἄφωνον εἶναι λέγοι τὸν κιθαρῳδόν, ἢ τὸν κήρυκα, κάκωσίν τινα ἐνδείκνυται τῆς φωνῆς τοῦ ἀνθρώπου, ἢ γὰρ μικρόφωνον, ἢ τραχύφωνον, ἢ μελάμφωνον, ἢ τι τοιοῦτον ἕτερον εἶναί φησιν αὐτόν, οὐ μὴν παντελῶς γ' ἐστερῆσθαι φωνῆς. οὕτω δὲ καὶ ἀτραχήλους τινὰς ὀνομάζουσιν ἀνθρώπους, οὐ μὰ Δία ὥσπερ τοὺς ἰχθῦς, ἀτραχήλους ἄν τις εἴποι διότι μηδ' ὅλως αὐτοῖς ὑπάρχει τράχηλος. οὐδεὶς γὰρ ἂν οὕτως γε ἄνθρωπος ἀτράχηλος εἴη ὡς ἐστερῆσθαι τὸ πάμπαν τραχήλου, ἀλλὰ τῷ μικρὸν ἔχειν τὸν τράχηλον ὀνομάζονταί τινες οὕτως. καὶ μένει κἀνταῦθα τὰ παραπλήσια δύο σημαινόμενα, καθάπερ ἐπὶ τῆς ἄφωνος προσηγορίας. οὕτω δὲ καὶ ἄπους, καὶ ἀσκελής, καὶ ἀκοίλιος, καὶ ἄπλευρος, καὶ ἄχειρ, καὶ πάνθ' ὅσα τοιαῦτα ποτὲ μὲν ἀναιρούσης τῆς, α', φωνῆς τὸ σημαινόμενον ἑκάστου τῶν ὀνομάτων, οὗ προτάττεται. ποτὲ δ' οὐκ ἀναιρούσης. οὕτως εὑρίσκω καὶ τὸ ἄλογον ὄνομα παρὰ τοῖς παλαιοῖς ἅπασιν εἰρημένον, ὑπό τε τῶν νῦν ἀνθρώπων λεγόμενον. ἐπειδὰν μὲν γὰρ ἢ τὸν ἰχθῦν τις, ἢ τὸν καρκίνον ἄλογον εἶναι φάσκῃ, παντάπασιν ἀναιρεῖ τὸ σημαινόμενον ἐκ τῆς, ἄλογος, φωνῆς. ἐπειδὰν δὲ τόδε τι τὸ ὑπὸ τοῦδε λεγόμενον, ἐπιμεμφόμενοι φάσκωσιν ἄλογον, οὐχ ὡς οὐδένα λόγον ἔχον, ἀλλ' ὡς μεμπτέον, καὶ πονηρῶς ἔχον οὕτως ὀνομάζουσιν. ἄλλο δὲ τρίτον, ἢ καὶ νὴ Δία τέταρτον, ὡς οὗτοι βιάζονται σημαινόμενον, οὐκ ἔστιν ἐν ἔθει τοῖς Ἕλλησιν, οἳ ἐξηγεῖσθαι τὴν φωνὴν ἐπαγγέλλονται. δηλοῖ δὲ τοῦτο καὶ αὐτὸς ὁ Χρύσιππος ἐν τῇδε τῇ ῥήσει. διὸ καὶ οὐκ ἀπὸ τρόπου λέγεται ὑπό τινων τὸ τῆς ψυχῆς πάθος εἶναι κίνησις παρὰ φύσιν, ὡς ἐπὶ φόβου ἔχει καὶ ἐπιθυμίας, καὶ τῶν ὁμοίων. πᾶσαι γὰρ αἱ τοιαῦται κινήσεις τε, καὶ καταστάσεις ἀπειθεῖς τε τῷ λόγῳ εἰσὶ καὶ ἀπεστραμμέναι. καθὸ καὶ ἀλόγως φαμὲν φέρεσθαι τοὺς τοιούτους, οὐχ ὅτι κακῶς ἐν τῷ διαλογίζεσθαι, ὡς ἄν τις εἴποι κατὰ τὸ ἔχειν ἐναντίως πρὸς τὸ εὐλόγως. ἀλλὰ κατὰ τὴν τοῦ λόγου ἀποστροφήν. ἐναργῶς ἐν τούτοις ὁ Χρύσιππος ἐνδείκνυται τὰ δύο σημαινόμενα τῆς ἀλόγου φωνῆς, ἅπερ καὶ ὄντως ἐστὶ παρὰ τοῖς Ἕλλησι. τὸ μὲν ἕτερον, ᾧ τὸ εὔλογον ἐναντίον ἐστί, τὸ δ' ἕτερον, ᾧ μηδὲν μέτεστι λόγου. τὸ μὲν οὖν ἀντικείμενον τῷ εὐλόγῳ, ἁμάρτημά ἐστι καὶ κρίσις μοχθηρά. τὸ δ' ἕτερον, ὃ χωρὶς λόγου γίγνεται παντός, ἡ κατὰ τὸ πάθος ὁρμὴ καὶ κίνησις. εἰ δέ γε ἦν πλείω τὰ σημαινόμενα τοῦ, ἄλογον, ὀνόματος, οὐκ ἂν ὤκνησεν οὐδὲ περὶ ἐκείνων εἰπεῖν. ἐπιδεικνὺς ὡς οὐδὲ καθ' ἓν αὐτῶν ἄλογον εἴρηται τὸ τῆς ψυχῆς πάθος, ἀλλὰ κατὰ μόνον ὅπερ αὐτὸς ὠνόμασε τὸ κατὰ τὴν ἀποστροφὴν τοῦ λόγου γινόμενον. ὅσα μὲν γάρ τις ἔκρινε κακῶς, οὐκ ἀπέστραπται τὸν λόγον, ἀλλ' ἔσφαλται κατ' αὐτόν. ὅσαι δ' ὁρμαὶ κατὰ θυμόν, ἢ ἐπιθυμίαν ἀποτελοῦνται, μὴ προσχρώμεναι λόγῳ, ταύτας ἀλόγους ὀνομάζει, κατὰ τὸ ἕτερον τῶν σημαινομένων, ἐν ᾧ τὴν, α', φωνὴν ἀποφάσκειν τε, καὶ ἀναιρεῖν ἐλέγομεν τὸ σημαινόμενον τῆς μετ' αὐτὴν τεταγμένης. ἡ γὰρ ἀπειθὴς λόγῳ κίνησις ψυχῆς, ἄλογός ἐστι κατὰ τοῦτο τὸ σημαινόμενον,

ἐν ᾧ τὸ μηδὲ ὅλως χρῆσθαι λόγῳ περιέχεται. ὡς εἴγε χρώμεθα λόγῳ, καὶ κατ' αὐτὴν οὐκ ὀρθῶς ὁ Χρύσιππος εἶπεν, ἔν τε τῷ πρώτῳ περὶ παθῶν, οὐχὶ διημαρτημένως φέρεται, καὶ παριδών τι κατὰ τὸν λόγον, ἀλλ' ἀπεστραμμένως τε καὶ ἀπειθῶς αὐτῷ. καὶ πάλιν ἐν τῷ θεραπευτικῷ τῶν παθῶν, αὐτὰ δὴ ταῦτα τὰ μικρῷ πρόσθεν μοι παραγεγραμμένα διὰ τῆς ῥήσεως, ἐν ᾗ τὸ μὲν ἐναντίως, τῷ εὐλόγως λεγόμενον ἄλογον, οὐκ ἔφασκεν ἐν τῷ τοῦ πάθους ὁρισμῷ σημαίνεσθαι. θάτερον δὲ τὸ ἀπειθές τε, καὶ ἀπεστραμμένον τὸν λόγον. ἐπιφέρων γοῦν φησιν οἷαι καὶ ἀκρατεῖς αἱ τοιαῦται καταστάσεις εἰσίν, ὡς ἂν οὐ κρατούντων ἑαυτῶν, ἀλλ' ἐκφερομένων καθάπερ οἱ τῷ τόνῳ τρέχοντες προσεκφέρονται, οὐ κρατοῦντες τῆς τοιαύτης κινήσεως. οἱ δὲ κατὰ τὸν λόγον κινούμενοι, ὡς ἂν ἡγεμόνα καὶ τούτῳ οἰακίζοντες κἂν ὁποιοσοῦν ᾖ, κρατοῦσιν ἤτοι ἀπαθεῖς εἰσι τῆς τοιαύτης κινήσεως, καὶ τῆς κατ' αὐτὴν ὁρμῆς. ἐνταῦθα γὰρ πάλιν τὸ κἂν ὁποιοσοῦν ᾖ προσκείμενον ἐπὶ τοῦ λόγου, σαφῶς ἐνδείκνυται τὸν ἀπὸ τῶν ἁμαρτημάτων διορισμὸν τοῦ πάθους. εἴτε γὰρ ὑγιὴς εἴη καὶ ἀληθὴς ὁ λόγος, εἴτε μοχθηρός τε καὶ ψευδής, ὁ κινούμενος κατ' αὐτόν, οὐκ ἄν ποτε γένοιτ' ἐν πάθει. κατὰ μὲν γὰρ τὸν ἀληθῆ, προσηκόντως τε καὶ κατορθωμένως κινεῖται, κατὰ δὲ τὸν ψευδῆ, μοχθηρῶς τε καὶ διημαρτημένως. ἵνα γὰρ ὁ λόγος ἡγεμών ἐστιν, ἢ ἀρετὴ ἕπεται, ἢ ἁμάρτημα, πάθος οὐδέποτε. τὸ γοῦν οἰηθῆναι τὴν ἡδονὴν ἀγαθὸν εἶναι, καθάπερ ὁ Ἐπίκουρος, ἡμαρτημένος τε λόγος ἐστὶ καὶ ψευδής, ἁπάσας τε τὰς ἐνεργείας, καὶ κατὰ μέρος κινήσεις ἐκ τῆς ψυχῆς ὅσαι τῆς ἡδονῆς, ὡς τέλους στοχάζονται μοχθηρῶς, μοχθηρὰς μὲν ἐξ ἀνάγκης ἔχει καὶ διημαρτημένας, οὐ μὴν ἤδη γέ πω καὶ πάθη. τὸ γὰρ ἴδιον τοῦ πάθους, αὐτὸ δὴ τοῦτ' ἐστι τὸ χωρὶς λόγου κινεῖσθαι τὴν ψυχήν, ὅθεν καὶ δεόντως ὁ Χρύσιππος ἔγραψεν. οἱ δὲ κατὰ λόγον κινούμενοι, ὡς ἂν ἡγεμόνα καὶ τούτῳ οἰακίζοντες τὰς κατὰ μέρος δηλονότι κινήσεις τῆς ψυχῆς, κρατοῦσι τῆς κατ' αὐτὰς ὁρμῆς, ἀνάλογον τοῖς περιπατοῦσιν, ἀλλ' οὐχ ὑπ' αὐτῶν ἐκφέρονται βιαίως, ὥσπερ οἱ κατὰ πρανοῦς θέοντες. συνάπτων γοῦν τῇ προγεγραμμένῃ ῥήσει, καὶ ταυτὶ προσγράφει. οἱ δέ γε κατὰ τὸν λόγον κινούμενοι, ὡς ἂν ἡγεμόνα καὶ τούτῳ οἰακίζοντες, καὶ ἐὰν ὁποιοσοῦν ᾖ, κρατοῦσι τῶν κινήσεων, καὶ τῶν κατ' αὐτὰς ὁρμῶν, ὥστε πεισθῆναι ἐάνπερ ἐνδείκνυται αὐτὸς παραπλησίως τοῖς περιπατοῦσιν. οὐκ ἀρκεσθεὶς δὲ τούτοις ἐπιφέρει. διὸ καὶ αἱ οὕτως ἄλογοι κινήσεις, πάθη τε λέγονται καὶ παρὰ φύσιν εἶναι, ἅτ' ἐκβαίνουσαι τὴν λογικὴν σύστασιν, πῶς οὕτως; ἢ δηλονότι χωρὶς λόγου παντός, καὶ ἀπεστραμμέναι τὸν λόγον ὃν ἡγεμόνα ἔδωκεν ἡμῖν ἡ φύσις ἁπασῶν τῶν κατὰ μέρος ἐνεργειῶν. οὐχ ἡγεῖται δ' ἐν τοῖς πάθεσιν, ὅθεν ἐκβεβηκέναι φησὶ τὴν λογικὴν σύστασιν, ἁπάσας τὰς κατὰ πάθος κινήσεις ὀρθότατα λέγων. εἰ γὰρ ἡ μὲν λογικὴ τοῦ ζώου σύστασις ἡγεμόνα κέκτηται τὸν λόγον, οὐ κρατεῖ δ' οὗτος, οὐδ' ἡγεῖται τῶν κατὰ τὸ πάθος κινήσεων, ἐκβέβηκε τὴν λογικὴν φύσιν ὁ κατὰ πάθος κινούμενος, καὶ μὴν εἴπερ οὐ λόγος ὁρμῆς ἡγεῖται, ἀποκρινάσθωσαν ἡμῖν οἱ περὶ τὸν Χρύσιππον, ὅτι τί ποτέ ἐστι τὸ ἡγούμενον. οὐ γὰρ δή γε ἀποχρήσει αὐτοῖς εἰπεῖν, ὡς οὔτε λόγος, οὔτε ἄλλη δύναμις οὐδεμία. συγχωροῦσι γὰρ οὕτως ἀναίτιόν τινα κίνησιν, ὃ πάντως μᾶλλον φυλάττεσθαι παραινοῦσι, καὶ μέμφονταί γε τὸν Ἐπίκουρον, ἐπειδὴ μήν τινα τοιαύτην ὑποτίθεται. εἴπερ οὖν μηδὲν ἀναιτίως γίγνεται,

in eo significatu quo (neutiquam ratione vti) comprehenditur. Nam si vtamur ratione etiam in eo, non rectè dixit Chrysippus in primo de affectibus libro, non, inquiens, errabundè fertur, & prætergressus aliquid in ratione, sed inuitâ ipsâ & in eam contumaciter ei. Rursus commentario de curandis affectibus eadem sanè hæc, quæ paulò prius à me ad verbum præscripta sunt, vbi irrationale quod contrariè ei quod bona ratione est, dicitur, non pronunciabat, in affectus definitione significari; sed alterum inobsequentem & auersum à ratione, subinferens itaque inquit, *cuiusmodi etiam incontinentes tales constitutiones existunt, tanquam sese non continerent, sed efferrentur; quemadmodum qui validè currunt, vltro efferuntur, talem motum non continentes. At qui secundum rationem mouentur, tanquam ducem, etiam hac gubernantes, qualiscunque ea quoque fuerit, continent, vel certè non ab eiusmodi motu afficiuntur, eiusque impetuosis elationibus.* Hîc enim rursus illud qualiscunque sit, in ratione propositum, manifestò vitiorum ab affectu dinstinctionem indicat. Siue enim sana & vera extiterit ratio, siue praua & mendax, is qui secundum ipsam mouetur, nunquam in affectum inciderit, siquidem secundum veram, decenter & rectè mouetur; secundum falsam prauè & vitiosè. Vbi enim ratio dux est, aut virtus sequitur, aut vitium, affectus nunquam. Itaque putare voluptatem bonum existere, quemadmodum Epicurus, peccans vitiosáque & falsa ratio est; omnésque actiones, & particulares animi motus, qui voluptatem tanquam finem respiciunt prauè, prauos sanè necessariò, & aberrantes facit ac vitiosos, non tamen iam affectus quoque; quippe proprium affectus hoc ipsum est, vt anima citra rationem moueatur. Vnde etiam decenter Chrysippus scripsit. *Qui autem secundum rationem tanquam ducem mouentur, & hac particulares scilicet animi motus gubernant, impetus in eis continent; simili iis modo qui obambulant, sed non violenter ab ipsis efferuntur, quemadmodum qui in decliui currunt. Connectentes itaque suprascriptæ sententiæ, hæc quoque ascribit: At qui secundum rationem tanquam ducem mouentur, & hac etiam, qualiscunque sit, gubernantes, motus impetúsque eorum continent, ita vt pareant, si modò ipsa indicet similiter iis qui obambulant.* Non contentus autem his, adducit: *Quapropter etiam tam irrationales motus, & affectus, & præter naturam esse dicuntur, tanquam rationalem dispositionem egredientes.* Quo pacto? An certè sine omni ratione, & ab ea auersi, quam natura omnium particularium functionum ducem nobis dedit, non præest autem in affectibus, vnde rationalem constitutionem vniuersos affectus motiones excessisse dicit, rectissimè scribens. Si enim rationalis animi constitutio ducem nacta est rationem, non autem hæc dominatur, neque motibus secundum affectum præest, is qui pro affectu mouetur, rationalem egressus est naturam. Atqui si non ratio impetui præest, respondeant nobis Chrysippi sectatores, quid tandem sit, quod præest. Non enim sufficiet ipsis dicere, quòd neque ratio, neque vlla facultas alia. Concedunt namque ita motum quendam cáusæ expertem, quod multò magis vitandum statuunt, accusántque Epicurum, quum huiusmodi quendam proponit. Si igitur nihil sine causa fit

& hoc omnibus propè philosophis communiter in confesso est, non Chrysippo solùm aut Aristoteli aut Platoni, respondeant nobis quæ tandem affectuum motus causa existat. Non enim iam ratio dux neque causa ipsis est, quemadmodum in peccatis, & rectè gestis. Itaque Posidonium (vti puto) in geometria educatum, & magis quàm alij Stoici demonstrationes sequi assuetum, puduit Chrysippi, qui manifestò apparentibus repugnet, & sibi ipse contradicat: ac conatur non modò seipsum, sed etiam Cittieum Zenonem Platonicis adducere: reliqui verò Stoici propè vniuersi haud noui quomodo sequi potius ea in quibus Chrysippus aberrauit, sustinent, quàm verùm deligere.

CAPVT V.

Chrysippum errasse in causis perturbationum, & Posidonij ea de re sententia aduersus Stoicos.

AC huius tempestatis inter eos clarissimi, interrogantibus nobis frequenter, quæ tandem affectuum motus causa statuenda sit, sursum & deorsum sermones implicant, sed nihil manifestò expediunt. Verùm interim peccantem rationem dicunt, falsámque opinionem motuum secundum affectus causam esse pronunciant. At quum rursus Chrysippi dictis molestentur, & his cedunt, & motus quosdam causarum expertes statuunt, manéntque nunquam in eisdem responsionibus, sed Euripi modo frequenter resiliunt; resiliúntque ab eo quòd ratio opinióque affectus causet, ad id quòd sine causa sic quodam modo mota anima in affectus incidat. Ab eo rursus quòd motus vanus, & expers causæ sit, ad id quòd affectuum motus rationales sint; siquidem reprehensio vtriusque responsionis ex procinctu apposita, non finit alterutri ipsorum immorari cum dicendo quidem affectuum motus à ratione fieri, nequeant vitium ab affectu discernere, dum autem hanc adimunt, in motum quendam causæ expertem incidant; quum liceat ipsis ex facili ambas absurditates subterfugere; hanc quòd nequeant vitium ab affectu segregare, separante ratione affectus; illam quòd fiat aliquid sine causa, confessi irrationales quasdam facultates in anima affectuum ipsius causas esse. Non solùm igitur alij, sed etiam Chrysippus ipse in commentariis de affectibus in nulla hæret firmiter opinione, verùm semper ceu in vnda fluctuat. Quinetiam sine omni ratione fieri dicit affectus, & rursus rationalis solius esse facultatis; vt propterea neque in irrationabilibus animalibus consistant, & sine iudicio fiant, rursúsque sint iudicia. Incidit autem nonnunquam vt etiam dicat temerè affectuum motus fieri; quod nihil aliud est, quàm sine causa, siquis exactè verbum examinet. Verbis itaque paulò superius scriptis subiungit. *Meritò autem affectuum generi etiam timor attribuitur, secundum quod incutitur vel temerè accidit.* At si sine causa temerè dicis, ô Chrysippe, & tibi ipse refragaris, & Aristoteli, & Platoni, & omnium hominum sententiis, multóque prius ipsi rerum naturæ, quum nihil sine causa possit fieri.

A καὶ τοῦτ᾽ ἔστιν ἁπάντων σχεδόν τι τῶν φιλοσόφων ὁμολόγημα κοινόν, οὐ Χρυσίππου μόνον, ἢ Ἀριστοτέλους, ἢ Πλάτωνος· ἀποκρινάσθωσαν ἡμῖν, ἥτις ποτ᾽ ἐστὶν αἰτία τῆς κατὰ πάθη κινήσεως. οὐ γὰρ δὴ ὅ γε λόγος γε νῦν ἡγεμὼν, οὐδ᾽ αἴτιος αὐτοῖς ὑπάρχει καθάπερ ἔν τε τοῖς ἁμαρτήμασι, καὶ κατορθώμασιν. ὁ μὲν οὖν Ποσειδώνιος, ὡς ἂν οἶμαι τεθραμμένος ἐν γεωμετρίᾳ, καὶ μᾶλλον τῶν ἄλλων Στωϊκῶν ἀποδείξεσιν ἕπεσθαι συνειθισμένος, ᾐδέσθη τήν τε πρὸς τὰ σαφῶς φαινόμενα μάχην, καὶ τὴν αὐτὴν πρὸς αὐτὸν ἐναντιολογίαν τοῦ Χρυσίππου, καὶ πειρᾶται μὴ μόνον ἑαυτὸν τοῖς Πλατωνικοῖς, ἀλλὰ καὶ τὸν Κιτιέα Ζή- B νωνα προσάγειν. οἱ δ᾽ ἄλλοι Στωϊκοὶ σχεδὸν ἅπαντες, οὐκ οἶδ᾽ ὅπως ἕπεσθαι μᾶλλον οἷς ἔσφαλη Χρύσιππος ὑπομένουσιν, ἢ τἀληθὲς αἱρεῖσθαι.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Σφαλῆναι τοὺς Χρυσιππείους ἐν τῷ τὰς τῆς ψυχῆς τῶν παθῶν αἰτίας λέγειν, περὶ ὧν τι αὖ πρὸς τοὺς Στωϊκοὺς εἴποι ὁ Ποσειδώνιος, δῆλον.

ΚΑὶ οἵ γε νῦν αὐτῶν ἐνδοξότατοι πυνθανομένων ἡμῶν ἑκάστοτε τινά ποτε χρὴ τίθεσθαι τὴν αἰτίαν, τῆς κατὰ τὰ C πάθη κινήσεως, ἄνω μὲν καὶ κάτω τοὺς λόγους ἑλίττουσιν, ἀποσαφοῦσι δ᾽ οὐδὲν, ἀλλ᾽ ἐνίοτε μὲν τὸν ἡμαρτημένον λόγον φασὶν, καὶ τὴν δόξαν τὴν ψευδῆ τῶν κατὰ τὰ πάθη κινήσεων αἴτιον ὑπάρχειν. δυσωπούμενοι δ᾽ αὖθις ὑπὸ τῶν Χρυσίππου ῥήσεων, ὑποχωροῦσί τε τούτων, καὶ κινήσεις τινὰς ἀναιτίους ὑποτίθενται, καὶ μένουσιν οὐδέποτ᾽ ἐπὶ τῶν αὐτῶν ἀποκρίσεων, ἀλλ᾽ Εὐρίπου δίκην ἑκάστοτε μεταρρέουσιν, ἀπὸ μὲν τοῦ τὸν λόγον τε, καὶ τὴν δόξαν αἰτιᾶσθαι τῶν παθῶν, ἐπὶ τὸ χωρὶς αἰτίας οὑτωσί πως κινουμένην τὴν ψυχὴν ἐμπίπτειν τοῖς πάθεσιν. ἀπὸ δ᾽ αὖ τῆς εἰκαίας τε καὶ D ἀναιτίου κινήσεως, ἐπὶ τὸ λογικὰς εἶναι τὰς κινήσεις τῶν παθῶν. ὁ γὰρ ἔλεγχος ἑκατέρων τῶν ἀποκρίσεων ἐκ προχείρου παρακείμενος, οὐκ ἐᾷ καταμένειν ἐπ᾽ οὐδετέρας αὐτῶν, ἐν μὲν τῷ τὰς κατὰ τὰ πάθη κινήσεις ὑπὸ τοῦ λόγου γίγνεσθαι φάσκειν, οὐκ ἐχόντων αὐτῶν ἁμάρτημα διακρῖναι πάθους. ἐν δὲ τῷ καὶ τοῦτον ἀφελεῖν, εἰς ἀναίτιόν τινα κίνησιν ἐμπιπτόντων, ἐνὸν αὖθις ἐξ ἑτοίμου φυγεῖν ἀμφοτέρας τὰς ἀτοπίας. τὴν μὲν τοῦ μὴ δύνασθαι διελεῖν πάθους ἁμάρτημα, χωρίζοντος τοῦ λόγου τὰ πάθη. τὴν δὲ τοῦ γίνεσθαί τι χωρὶς αἰτίας ὁμολογήσαντας, ἀλόγους τινὰς εἶναι δυνάμεις ἐν τῇ E ψυχῇ τῶν κατ᾽ αὐτὴν παθῶν αἰτίας. οὐ μόνον τοίνυν οἱ ἄλλοι, ἀλλὰ καὶ ὁ Χρύσιππος αὐτὸς ἐν τοῖς περὶ παθῶν συγγράμμασιν ἐπ᾽ οὐδεμιᾶς ὀχεῖται βεβαίως δόξης, ἀλλ᾽ ἀεὶ σαλεύει καθάπερ ἐν κλύδωνι. καὶ γὰρ καὶ χωρὶς λόγου παντὸς γίγνεσθαί φησιν τὰ πάθη, καὶ αὖθις τῆς λογικῆς εἶναι δυνάμεως μόνης, ὥστε διὰ τοῦτο μηδὲ ἐν τοῖς ἀλόγοις ζώοις συνίστασθαι, καὶ χωρὶς κρίσεως γίνεσθαι, καὶ αὖθις κρίσεις εἶναι. ἐμπίπτει δέ ποτε καὶ εἰς τὸ φάσκειν εἰκῇ γίνεσθαι τὰς κατὰ τὰ πάθη κινήσεις, ὅπερ οὐδὲν ἄλλο ἐστὶν, ἢ ἀναιτίως εἴ τις ἀκριβῶς ἐξετάζοι τὸ ῥῆμα. αἷς γοῦν ὀλίγον ἔμπροσθεν γέγραφε F ῥήσεσιν, ἐφεξῆς φησιν. εἰκείως δὲ τῷ τῶν παθῶν γένει ἀποδίδοται καὶ ἡ πτοία. κατὰ τὸ ἐνσεσοβημένον τοῦτο καὶ φερόμενον εἰκῇ. ἀλλ᾽ εἰ μὲν τὸ ἀναιτίως εἰκῇ λέγεις, ὦ Χρύσιππε, καὶ σεαυτῷ μάχῃ, καὶ Ἀριστοτέλει, καὶ Πλάτωνι, καὶ ταῖς ἁπάντων ἀνθρώπων ἐννοίαις, καὶ πολὺ πρότερον αὐτῇ τῇ τῶν πραγμάτων τῇ φύσει, μηδενὸς ἀναιτίως γίγνεσθαι δυναμένου.

Εἰ δὲ τὸ χωρὶς λόγου σημαίνει σοι τὸ εἰκῆ, τὸ μὲν ἄλογον οὕτω γε μετειλημμένον ἂν εἴη. τὸ δ' ἐξ ἀρχῆς ζητούμενον ἔτι μένει, τὴν παράλογον ταύτην κίνησιν, ὑπὸ λόγου μὲν μὴ γινομένην, ὑπ' αἰτίας δέ τινος γινομένην, ἐρωτῶμέν σε τίς ἐδημιούργησεν αἰτία; ἡμεῖς μὲν γὰρ φαμὲν ἐνίοτε μὲν τὴν θυμοειδῆ δύναμιν, ἐνίοτε δὲ τὴν ἐπιθυμητικήν. σὺ δὲ οὔτε ταῦτα ὁμολογεῖς, οὔτε τὴν λογικὴν εἰπεῖν τολμᾷς, ἀλλ' εἰκῆ γίνεσθαι φήσας ἀπηλλάχθαι νομίζεις τοῦ ζητήματος, οὐκ εἰδὼς ὅτι πᾶν ὅτι περ ἂν εἰκῆ, καὶ ἀπὸ ταυτομάτου γίνεσθαι λέγηται, κατὰ τὴν ὡς πρὸς ἡμᾶς γνῶσιν οὕτω προσαγορεύεται. ταῖς δ' ἀληθείαις οὐδὲν αὐτῶν οὕτω γίγνεται, καθάπερ καὶ ὁ θειότατος Ἱπποκράτης εἶπεν. ἡμῖν μὲν αὐτόματον, αἰτίᾳ δ' οὐκ αὐτόματον. οὕτω δὲ καὶ τὸ πλεονάζουσαν ὁρμὴν εἶναι τὸ πάθος, ἐξηγούμενος ὁ Χρύσιππος, ἔν τε τῷ περὶ παθῶν ἠθικῷ, κἀν τῷ πρώτῳ τῶν λογικῶν, ὑπὲρ τὴν τοῦ λόγου συμμετρίαν γίνεσθαί φησιν τὴν ὑπερβολὴν τῆς κινήσεως, οὐ μὴν τήν γ' αἰτίαν αὐτῆς προστίθησιν. ἐχρῆν δέ γε κἀνταῦθα μὴ περιπλέκειν, καὶ ταράττειν τὸν λόγον εἰς περιττὸν ἐκτείνοντα μῆκος, ἀλλὰ τοῦ πλεονάζεσθαι τὴν ὁρμὴν εἰπόντα τὴν αἰτίαν, ἀπηλλάχθαι. ὡς γὰρ ἐπὶ τῶν εἰς τὸ κάταντες θεόντων, ἅμα τῇ βουλήσει τὸ βάρος τοῦ σώματος αἴτιον ὑπάρχει τῆς κινήσεως, οὕτως ἐν τοῖς τῆς ψυχῆς πάθεσιν ὅτι ποτ' ἄλλο τῇ λογικῇ δυνάμει προσιὸν, αἴτιον γίνεται τῆς ἀμέτρου, καὶ ὡς αὐτὸς εἴωθεν ὀνομάζειν ἐκφόρου κινήσεως, ἐχρῆν αὐτὸν διελθεῖν. ἡ δ' οὖν ῥῆσις ἡ κατὰ τὸ θεραπευτικὸν τῶν παθῶν βιβλίον ὧδέ πως ἔχει. οἰκείως δὲ καὶ ὁρμὴ πλεονάζουσα λέγεται εἶναι τὸ πάθος, ὡς ἄν τις ἐπὶ τῶν ἐκφερομένων κινήσεων πλεονάζουσαν κίνησιν εἴποι, τοῦ πλεονασμοῦ ἐν αὐτῇ γινομένου κατὰ τὴν τοῦ λόγου ἀποστροφὴν, καὶ τὸ ἄνευ τοῦ πλεονασμοῦ τούτου, σωσικόν. ὑπερβαίνουσα γὰρ τὸν λόγον ἡ ὁρμὴ καὶ παρὰ τοῦτον ἀθρόως φερομένη, οἰκείως τ' ἂν πλεονάζειν ῥηθείη. καὶ κατὰ τοῦτο παρὰ φύσιν γίγνεσθαι, καὶ εἶναι ἄλογος, ὡς ὑπογράφομεν, ὑπερβαίνουσά φησι τὸν λόγον ἡ ὁρμὴ, καὶ παρὰ τοῦτον ἀθρόως φερομένη, τὴν κατὰ τὸ πάθος ἔκφορον ἀπεργάζεται κίνησιν. οὐκοῦν ὁ λόγος αἴτιος, ὦ Χρύσιππε, τῆς ἐκφόρου τε καὶ ἀμέτρου κινήσεως. αὐτὸς γὰρ ὁμολογεῖς αὐτὴν γίνεσθαι παρὰ τὸν λόγον, οὐκ ἐγχωρεῖ δ' ἅμα τε παρὰ τὸν λόγον γίνεσθαί τι καὶ ὑπὸ τοῦ λόγου, πάντως δ' ὑπό τινος αἰτίας. οὐκ ἔστι δ' ἐκείνη λογική, ἄλογος ἄρα τις ἡ τὸ πάθος ἐργαζομένη δύναμις. καὶ τάχ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτῶν πικροῖς ἁλισκόμεθα, καίτοι γ' ἐνὸν ἡμῖν λέγειν, ὦ γενναιότατε Χρύσιππε, δυοῖν θάτερον, ἢ ὡς οὐδὲν διαφέρει πάθος ἁμαρτήματος, ἢ ὡς ἐπιγίνεται τοῖς ἁμαρτήμασι τὰ πάθη. τούτων γὰρ ὁποτερονοῦν εἰπόντες, οὐκ ἂν ἀναγκαζόμεθα τὴν αἰτίαν οὐκ ἀποκρίνεσθαι τῆς παρὰ τὸν λόγον ἀμέτρου κινήσεως. ἀλλὰ τούτων μὲν οὐδέτερον ὑπέμεινας εἰπεῖν, αἰδούμενος ἐναντία λέγειν τοῖς ἐναργῶς φαινομένοις. αὐτὸς δὲ πρὸς αὑτὸν ἐναντιολογούμενος οὐκ αἰσθάνῃ παρὰ τὸν λόγον γίνεσθαι φάσκων τινὰς κινήσεις, καὶ ἀπεστράφθαι τὸν λόγον καὶ ἀφηνιάζειν αὐτὸν, κἄπειτα μικρὸν ὕστερον τὰς αὐτὰς ταύτας ὑπὸ λογικῆς γίνεσθαι δυνάμεως φάσκων. ἡ δ' αὐτὴ μάχη κἀν τῷ κρίσεις τε φάσκειν εἶναι τὰ πάθη τῆς ψυχῆς, καὶ χωρὶς κρίσεως γίνεσθαι. τὴν μὲν οὖν ἐκ τοῦ πρώτου περὶ παθῶν ῥῆσιν, ἔνθα φησὶν χωρὶς κρίσεως γίνεσθαι τὰ πάθη, παρεθέμην ἔμπροσθεν. ὅτι δὲ καὶ κατὰ τὸ θεραπευτικὸν αὐτοῦ βιβλίον, ὃ δὴ καὶ ἠθικὸν ἐπιγράφεται τῆς αὐτῆς δόξης ἔχεται, μαθεῖν ἐστιν ἐκ τῆσδε τῆς ῥήσεως.

Quod si citra rationem significat tibi temerè, dictio (irrationale) sic transumpta erit. At quod ab initio quærebatur, adhuc manet, hunc motum præter rationem qui à ratione quidem non fit, sed à causa aliqua, interrogamus te quæ causa effecit? Nos enim affirmamus interim vim irascibilem interim concupiscibilem. Tu autem neque hæc fateris, neque rationalem audes dicere, sed temerè fieri locutus liberatum te esse à quæstione putas, ignarus totum quodcunque temerè & sua sponte fieri dicitur, quantum nos cognoscere possumus, ita appellari. Reuera autem nihil ipsorum ita fit, quemadmodum & diuinissimus Hippocrates dixit. *Nobis quidem, fortuitum, causæ autem non fortuitum.* Pari modo quòd affectus redundans sit animi impetus, Chrysippus exponens tum in libro morali de affectibus, tum in primo logicorum motus excessum supra rationis commoderationem fieri asseuerat, non tamen causam ipsius apponit. Conueniebat enim hîc quoque sermonem non implicare, turbaréque superflua prolixitate, sed vbi causam cur impetus animi redundet, expediuisset, cessare. Sicut enim in iis qui in decliue currunt, vnà cum voluntate, corporis grauitas motus causa existit: ita in animi affectibus; quænam alia rationali facultati accedens, causa immodici, & (vt ipse solebat nominare) elati motus efficiatur, oportebat ipsum percensuisse. Verba igitur in libro de medendis affectibus, in hunc modum habent: *Propriè etiam impetus animi redundans affectus esse dicitur, tanquam si quis in elatis motibus redundantem motum dicat, redundantia in eo oboriente secundum rationis auersionem, & id quod sine redundantia hac fit facilè consistens. Excedens enim ratiónem impetus, & præter hanc vniuersim latus, propriè redundare dicetur, & secundum hoc præter naturam fieri, & esse irrationalis, vt subscribimus.* Excedens (inquit) rationem impetus, & præter hanc raptim latus, secundum affectum elatum efficit motum, ob quod ratio, (ô Chrysippe) elati & immodici motus causa non est. Ipse namque confiteris eum præter rationem fieri. At non potest aliquid simul & præter rationem, & à ratione fieri, omninò autem ab aliqua causa; illa verò non est rationalis; irrationalis igitur quædam est facultas quæ affectum efficit; & forsan non ab aliis, sed ipsorum amarulentiis corripimur; & si liceat nobis dicere, Chrysippe generosissime, alterutrum, vel quòd nihil affectus à vitio differat, vel quòd vitiis affectiones superueniant Horum enim quodcunque dixerimus, non cogimur causam immodici præter naturam motus respondere. Verùm neutrum horum dicere sustinuisti, reueritus contraria iis quæ manifestò apparent, enunciare. Ipse verò imprudens tibimet contradicis, præter rationem inquiens motus quosdam fieri, & auerti à ratione, & ab ea dissidere, deinde paulò posteriùs eosdem hos à rationali facultate fieri pronuncians. Similiter tecum pugnas, dum animi affectus esse iudicia, & sine iudicio fieri tueris. Ea itaque verba ex primo de affectibus libro, vbi affectus fieri sine iudicio affirmat, superiùs apposui. Quòd autem etiam in libro ipsius de medendis affectibus, qui moralis quoque inscribitur, eandem opinionem referat, ex hisce verbis est condiscere:

Non

Non enim in iudicando singula bona; eorum dicuntur infirmitates hæ, sed ex eo quòd nimium, in his, à naturali lege exciderint. Si quis autem fortè in hac dictionum serie dicet, infirmitatem non priuauit, quò minùs sit iudicium; non tamen in ipso solo mendaci falsóque iudicio generationem eius statuit, sed procedere ait nimium à naturali modo ex iis quæ adducuntur, sententia Chrysippi manifestabitur, vnde non sine ratione nonnulli mulierum amore & auium studio insani dicuntur. Si enim non frustra imponetur insaniæ nomen infirmitatis appendiculo, insania autem ab irrationali facultate oritur in corpore, nihil minùs quàm infirmitas rationalium; sed per Iouem forsan aliquis dixerit, insaniam non propter irrationalem facultatem nasci, sed quòd amplius quàm conuenit, eductum sit iudicium, opinióque; quemadmodum si etiam ita dixisset, infirmitates in anima fieri simpliciter, non quòd falsò de quibusdam ceu bonis aut malis existimauerit, sed quòd maxima ea putauerit. Nondum enim infirmitatem esse diuitiis tanquam bonis opinionem, sed quum quis eas maximum esse bonum arbitratur; & ne vita quidem dignum censeat diuitiis destitutum; in hoc enim consistere diuitiarum argentíque studium, quæ infirmitates sunt. Sed hæc pronuncianti Posidonius contradicens, hunc in modum ait; *Huiusmodi autem quæ à Chrysippo dicuntur, inquirere aliquis poterit; primùm quidem quomodo sapientes, qui maxima & insuperabilia bona, honesta omnia esse putant, non secundum affectum ab eis mouentur, exoptantes quæ appetunt, & exultantes facti ea propter, vbi fuerint assecuti. Si enim magnitudo apparentium bonorum malorúmve mouet, vt putet aliquis secundum officium, & dignitatem esse præsentiam ipsorum, aut aduentum, & nullam rationem admittat de eo quòd aliter conueniat ab ipsis moueri; eis qui insuperabilia sua esse statuunt hoc accidere oportebat; quod non videtur fieri. Similiter qui procedunt peccántque, aut magna incommoda à malitia venire autumant, eos decebat tum metu labascere, tum mæstitia non mediocri concidere; quod nec ipsum contingit.* Post hæc deinde Posidonius in eum modum tradit. *Si præter apparentium magnitudinem, animi quoque imbecillitatem accusent, & propterea sapientes liberos ab affectibus esse dicant, prauos autem quum imbecilles sint, non secundum communem imbecillitatem, sed magis diffusam, neque sic quæstio soluta est; quòd namque propter animi morbum affectibus infestantur, apud omnes in confesso est. Quomodo verò commoti animi, aut commouentis, inquiritur sanè, sed non subindicatur.* Inde rursus hæc itidem prodit. *Non solùm qui magis diffluenti laborant malitia, & in lapsus facilitate consistunt affectibus affliguntur, verùm omnes dementes, quousque malitiam retineant, & in magnos affectus & in exiguos incidunt.* Postea in hanc sententiam scribit. *Putare autem decorum exigere in accidentibus, ita commotum esse, vt à ratione auertatur, magnum affectum indicet, neque rectè putare est; fit autem & propter mediocrem & exiguum.* Continua his Posidonius mox ista commemorat. *Quum duo simul eandem imbecillitatem obtinent, & similem capiunt imaginationem boni aut mali, alius affectui implicatur, alius non; hic minùs, ille magis;*

A οὐ γὰρ ἐν τῷ κρίνειν ἀγαθὰ ἕκαστα τούτων, λέγεται ἀρρωστήματα ταῦτα, ἀλλὰ κατὰ τὸ ἐπὶ πλέον ἐκπεπτωκέναι πρὸς ταῦτα, τοῦ κατὰ φύσιν. ἴσως δ' ἄν τινος ἐν τῇδε τῇ ῥήσει λέξοντος, οὐκ ἀπεστέρηκε μὲν τοῦ κρίσιν εἶναι τὸ ἀρρώστημα, οὐ μὴν ἐν αὐτῇ γε μόνῃ τῇ ψευδεῖ κρίσει τὴν γένεσιν αὐτοῦ τίθεται, ἀλλὰ προσέρχεσθαί φησι τὸ ἐπὶ πλέον, ἐκ τῶν ἐπιφερομένων ἡ γνώμη τοῦ Χρυσίππου καταφανήσεται, ὅθεν οὐκ ἀλόγως γυναικομανεῖς τινες λέγονται, καὶ ὀρνιθομανεῖς. εἰ γὰρ δὴ μὴ μάτην ἐγκείσεται τὸ τῆς μανίας ὄνομα τῷ τοῦ ἀρρωστήματος προσαρτήματι, μανία δ' ὑπὸ τῆς ἀλόγου κατὰ τὸ σῶμα γίνεται δυνάμεως, οὐδὲν ἧττον τὸ ἀρρώστημα τῶν λογικῶν. B ἀλλὰ νὴ Δία ἴσως ἄν τις φήσειε τὸ μανιῶδες, οὐ διὰ τὴν ἄλογον γίνεσθαι δύναμιν, ἀλλὰ διὰ τὸ ἐπὶ πλέον ἢ προσῆκεν ἐξῆχθαι τήν τε κρίσιν, καὶ τὴν δόξαν, ὡς εἰ καὶ οὕτως ἔλεγεν ἀρρωστήματα γίνεσθαι κατὰ τὴν ψυχήν, οὐχ ἁπλῶς τῷ ψευδῶς ὑπειληφέναι περί τινων, ὡς ἀγαθῶν ἢ κακῶν, ἀλλὰ τῷ μέγιστα νομίζειν αὐτά. μηδέ πω γὰρ ἀρρώστημα τὴν περὶ τῶν χρημάτων εἶναι δόξαν ὡς ἀγαθῶν, ἀλλ' ἐπειδάν τις αὐτὰ μέγιστον ἀγαθὸν εἶναι νομίζοι, καὶ μηδὲ ζῆν ἄξιον ὑπολαμβάνοι τῷ στερηθέντι χρημάτων. ἐν τούτῳ C γὰρ συνίστασθαι τήν τε φιλοχρηματίαν, καὶ τὴν φιλαργυρίαν ἀρρωστήματα οὔσας. ἀλλὰ τῷ ταῦτα φάσκοντι Ποσειδώνιος ἀντιλέγων, ὧδέ πώς φησι. τοιούτων δ' ὑπὸ τοῦ Χρυσίππου λεγομένων διαπορήσειεν ἄν τις, πρῶτον μέν, πῶς οἱ σοφοί, μέγιστα καὶ ἀνυπέρβλητα νομίζοντες εἶναι ἀγαθὰ τὰ καλὰ πάντα, οὐκ ἐμπαθῶς κινοῦνται ὑπ' αὐτῶν ἐπιθυμοῦντές τε ὧν ὀρέγονται, καὶ περιχαρεῖς γινόμενοι ἐπὶ τοῖς αὐτοῖς, ὅταν τύχωσιν αὐτῶν. εἰ γὰρ τὸ μέγεθος τῶν φαινομένων ἀγαθῶν ἢ κακῶν κινεῖ τὸ νομίζειν καθῆκον, καὶ κατ' ἀξίαν εἶναι παρόντων αὐτῶν, ἢ παραγινομένων, καὶ μηδένα D λόγον προσίεσθαι περὶ τοῦ ἄλλως δεῖν ὑπ' αὐτῶν κινεῖσθαι, τοὺς ἀνυπέρβλητα νομίζοντας εἶναι τὰ περὶ αὐτούς, τοῦτ' ἔδει πάσχειν ὅπερ οὐχ ὁρᾶται γινόμενον. ὁμοίως δὲ καὶ εἰς τοὺς προκόπτοντας ἢ μεγάλας βλάβας ὑπὸ τῆς κακίας ὑπολαμβάνοντας, παρεῖναι, ἔδει δὲ καὶ ὑποφέρεσθαι φόβοις, καὶ λύπαις περιπίπτειν μὴ μετρίαις, ὅπερ οὐδ' αὐτὸ συμβαίνει. τούτοις δ' ἐφεξῆς ὁ Ποσειδώνιος, καὶ τάδε γράφει. εἴτε πρὸς τῷ μεγέθει τῶν φαινομένων, καὶ τὴν ἀσθένειαν τῆς ψυχῆς αἰτιάσοιντο, καὶ διὰ τοῦτο τοὺς μὲν σοφούς, τὸ παράπαν ἐροῦσιν ἀπηλλάχθαι τῶν παθῶν, τοὺς δὲ φαύλους, ὅτε ἀσθενεῖς ὦσι E μὴ κατὰ τὴν κοινὴν ἀσθένειαν, ἀλλὰ κατὰ τὴν ἐπὶ πλεῖον ἐρρυηκυῖαν, οὐδ' οὕτως λέλυται τὸ ζητούμενον. ὅτι γὰρ διὰ τὴν νόσον τῆς ψυχῆς ἐν τοῖς πάθεσι γίνονται, πάντες ὁμολογοῦσι. πῶς μέντοι γε κινηθείσης, καὶ πῶς κινούσης, ζητεῖται μέν, οὐχ ὑποδείκνυται δέ. εἶτ' ἐφεξῆς καὶ τάδε γράφει. οὐ μόνον δ' οἱ ἐπὶ πλέον ἐρρυηκυῖαν ἔχοντες τὴν κακίαν, καὶ ἐν ταῖς εὐεμπτωσίαις ὄντες, ἐμπίπτουσιν εἰς τὰ πάθη, ἀλλὰ πάντες οἱ ἄφρονες ἕως ἂν ἔχωσι τὴν κακίαν, καὶ εἰς μεγάλα πάθη, καὶ εἰς μικρὰ ἐμπίπτουσι. καὶ τούτων ἑξῆς τάδε. τὸ δ' ὑπολαμβάνειν κατ' ἀξίαν εἶναι τῶν συμβεβηκότων οὕτως F κεκινῆσθαι, ὥστε ἀποστρέφεσθαι τὸν λόγον, μέγα πάθος ἐμφαίνει, οὐ καλῶς ὑπολαμβάνειν ἐστί. γίνεται δὲ καὶ διὰ σύμμετρον καὶ μικρόν. ἐχόμενα δὲ τούτων ὁ Ποσειδώνιος, καὶ τάδε γράφει. δυοῖν τε τὴν αὐτὴν ἀσθένειαν ἐχόντων, καὶ τὴν ὁμοίαν λαμβανόντων φαντασίαν ἀγαθοῦ, ἢ κακοῦ, ὁ μὲν ἐν πάθει γίνεται, ὁ δὲ οὔ. καὶ ὁ μὲν ἧττον, ὁ δὲ μᾶλλον,

καὶ ἐνίοτε ὁ ἀσθενέστερος μεῖζον ὑπολαμβάνων τὸ προσπεπτωκὸς οὐ κινεῖται, καὶ αὐτὸς ἐπὶ τοῖς αὐτοῖς. ὅτε μὲν ἐν πάθεσι γίνεται, ἔστιν ὅτε δ' οὔ· καὶ ὅτε μὲν μᾶλλον, ὅτε δ' ἧττον. οἱ δ' ἀήθεις μᾶλλον πάσχουσιν ἐν φόβοις, ἐν λύπαις, ἐν ἐπιθυμίαις, ἐν ἡδοναῖς. καὶ οἱ κακώτεροι, συναρπάζονται ταχέως ὑπὸ τῶν παθῶν. ἐφεξῆς δὲ τούτων ὁ Ποσειδώνιος ῥήσεις τε ποιητικὰς παρατίθεται, καὶ ἱστορίας παλαιῶν πράξεων μαρτυρούσας οἷς λέγει. καὶ μετὰ ταῦτα ἐπιφέρων φησί. τὸ μὲν ἄρα κακὸν ὑπὸ τοῦ ἀσυνήθους ταχὺ συναρπάζεσθαι, τὸ τ' ἐναντίως ἡγεμὼν χρόνῳ μετασυνεθιζόμενον· ἐν οἷς αἱ μὲν ὑπολήψεις ἴσαι πολλάκις, καὶ τὰ τῆς ἀσθενείας. τὰ πάθη δ', οὔτ' ἐπίσης, οὔτ' ἴσα γίνεται. καὶ μὴν καὶ τούτων ἑξῆς τοιάσδε τινὰς ἐρωτήσεις ἐρωτᾷ. παραγράψω δὲ καὶ ταύτας αὐτοῖς ὀνόμασι, κἂν μακρότεραί πως αἱ ῥήσεις ὦσι. διὰ τί δέ τινες τῶν μεγάλων νομιζόντων, καὶ περὶ ἀσθενεῖς ὄντες ταῖς γνώμαις, βουλεύονταί τε καὶ συμφερομένους ἄλλους παραλαμβάνουσιν, ὡς ὁ διαγρυπνῶν Ἀγαμέμνων. οὗτος γὰρ διὰ τὴν ἧτταν εὐθὺς ἅμα τοῖς ἄλλοις ἀριστεῦσιν ἀρρήτῳ τινὶ πένθει βέβλητο κατὰ τὸν ποιητήν. λωφήσαντος δὲ τοῦ πάθους, καὶ περὶ τῆς τῶν συμβεβηκότων ὑπολήψεως ἅμα τῆς τῶν λογισμῶν ἀσθενείας διαμενούσης, οὐδαμῶς ἡσυχάζειν ἐδοκίμαζεν.

> Ἥδε δὲ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
> Νέστορ' ἐπὶ πρῶτον Νηλήϊον ἐλθέμεν ἀνδρῶν.
> Εἴ τινα οἱ σὺν μῆτιν ἀμύμονα τεκτήναιτο,
> Ἥτις ἀλεξίκακος πᾶσι Δαναοῖσι γένοιτο.

ἐπεὶ δὲ καὶ αὐτὸς ὁ Νέστωρ θεασάμενος διὰ τῆς ὁρμῆς πόῤῥωθεν προσιόντα, τίς ἐστιν ἐπερωτᾷ, δηλώσας μετά τινος σχετλιασμοῦ, φησί.

> Πλάζομαι ὧδ', ἐπεὶ οὔ μοι ἐπ' ὄμμασι νήδυμος ὕπνος
> Ἱζάνει, ἀλλὰ μέλει πόλεμος, καὶ κήδε' Ἀχαιῶν,
> Αἰνῶς γὰρ Δαναῶν περιδείδια. οὐδέ μοι ἦτορ
> Ἔμπεδον, ἀλλ' ἀλύκτημαι· κραδίη δέ μοι ἔξω
> Στηθέων ἐκθρώσκει, τρομέει δ' ὑπὸ φαίδιμα γυῖα.

Εἰ μὲν δὴ τὴν καρδίαν σαλευόμενος οὕτως ὑπὸ τοῦ φόβου, πάρεστι συμβουλευόμενος, οἱ ἐν τοῖς πάθεσιν ὄντες, οὐ κατ' ἀξίαν τῶν συμβεβηκότων καθήκειν νομίζοντες μηδένα λόγον προσίεσθαι, κινοῦνται κατὰ τὰ πάθη. Εἰ δὲ μηκέτι φοβούμενος, ἀνανεούμενος δὲ τὰ ἐν τῷ φόβῳ ταῦτά φησι, διὰ τί ποτε τῆς αὐτῆς ὑπολήψεως, καὶ ἀσθενείας ὑποκειμένης, οἱ μὲν ἀποκλίνουσι τὸν λόγον, οἱ δὲ προσίενται, διαπορήσειεν ἄν τις εὐλόγως. τὸ δ' αἴτιον τοῦ πάθους παντὸς οὐκ εἴρηκεν. ἑξῆς τούτοις ὁ Ποσειδώνιος, καὶ τάδε φησί. τὸ δὲ δὴ μὴ μόνον ἀποστρέφεσθαι τὸν λόγον ἐν ταῖς ἐπιθυμίαις, ὥς φησιν, ἀλλὰ καὶ προσυπολαμβάνειν, ὅτι εἰ καὶ μὴ φέρειν ἐστί, καὶ οὕτως ἑκτέον, μάχην παρεῖχεν φέρεσθαί τε, ὡς ἐπὶ μέγα συμφέρειν. καὶ διὰ τὸ μέγεθος αὐτοῦ, εἰ καὶ ἀσύμφορον ἐστιν ἄξιον ἡγεῖσθαι τοῦ μεγέθους αὐτοῦ, εἰ καὶ μηδὲν ἔχει μέγεθος, ἀλλὰ καὶ τοὐναντίον ὅμως ἀντέχεσθαι οὕτως αὐτοῦ. ἔστω γὰρ τοὺς λέγοντας, ὅτι οὐκ ἔστι συμφέρειν ἀποστρέφεσθαι, καὶ τοὺς ἐπαγγελλομένους δείξειν. ὅτι ἀσύμφορόν ἐστι, λήρεις ἡγεῖσθαι, καὶ διὰ τὸ μέγα ὄφελος εἶναι τὸ διωκόμενον. ἀλλ' ἐκεῖνό γε ἀπίθανον, διὰ τὸ μέγα αὐτὸ ἀγαθὸν ὑπολαμβάνειν οἴεσθαι δεῖν, κἂν ᾖ μέγιστον κακὸν, ὅμως αὐτὸ λαμβάνειν ἐπιφωνοῦντας, ἐὰν ἀπολέσθαι τοῦτό μοι νῦν συμφέρει. τούτου γὰρ τὴν αἰτίαν οὐ πιθανόν ἐστιν ἐν τῇ ὑπολήψει κεῖσθαι τοῦ μέγα ἀγαθὸν ὑπάρχειν ἐφ' ὃ ὠθοῦνται. ζητητέον δὲ ἐγὼ μὲν οὐκ ἔχω πρὸς ταῦτα, οὐ δὴ ἀποκρίνασθαι τῷ Ποσειδωνίῳ,

A *& nonnunquam imbecillior maius suscipiens accidens non mouetur, atque idem in eisdem, nunc affectibus mouetur, nunc non; interim magis, interim minus. Insueti igitur magis afficiuntur metu, tristitia, cupiditatibus, & voluptatibus, & peiores corripiuntur celeriter ab affectibus.* Ab his Posidonius verba poëtica apponit, & historias veterum gestorum, quæ dictis ipsius attestantur, & post hæc inferens ait. *Aliud malum vtique ab insueto celeriter corripitur, aliud autem contrario modo inducitur temporis spatio in assuetudinem veniens, in quibus* B *opiniones æquales subinde & imbecillitates, affectus neque æqualiter, neque æquales fiunt.* Quinetiam secundum hæc, tales quasdam disputationes introducit, ascribam autem eas ad verbum, etsi prolixiores sint. *Cur nonnulli qui magni putantur, licet imbecilles sensibus sint, consulant, & consiliarios alios adhibent, quemadmodum vigilans Agamemnon? Hic enim propter superatum exercitum statim vnà cum aliis principibus ineffabili quodam luctu perculsus apud poëtam; cessante autem affectu, licet accidentium opinio simul cum rationum imbecillitate permaneret, nequaquam conquiescere proba-* C *bat.*

> *Optima sed visa est animi sententia cunctis,*
> *Nestora Neliaden primarium adire virorum*
> *Si quod consilium laudabile condecet vnà,*
> *Omnibus ac posset Danais præstare salutem.*

Postquam verò & Nestor ipse à longinquo aduenientem conspexisset, quis sit interrogauit, indicans, cum quadam miseratione ait.

> *Sic erro, quoniam dulcis mihi somnus ocellis*
> *Haud sedet, at bellum est Græcorum & funera curæ,*
> D
> *Nam Danais valdè metuo; neque tuta mihi mens*
> *Astat quum pauitat, verùm cor prosilit extra*
> *Pectus sollicitum claros tremor occupat artus.*

Si iam in corde ita commotus metu, adest consulturus, ij qui afficiuntur non secundum dignitatem accidentium, decorum putantes nullam rationem admittere, secundum affectus mouentur. At si non ampliùs timens, sed renouans timorem hæc ait, quid tandem ipsa suspicione & imbecillitate subiecta, alij declinant rationem, alij assumunt, iure aliquis dubitauerit. At causam totius affectus non expli- E cuit. Post hæc Posidonius ita quoque ait. *At non solùm auerti à ratione in cupiditatibus, vt refert, sed & existimare, etsi non vtile sit aliquid & sic habendum, in illud tanquam vtile ferri repugnantiam habere; & propter eius magnitudinem quamuis inutile sit, magnitudine dignum existimare, etsi magnitudinem non habeat; imò & contrarium, similiter tamen ipsum amplecti; finge enim eos qui dicunt quòd non commodum sit auerti, & eos qui promittunt ostendere, quòd incommodum sit, fatuos putare, & quòd magna sit vtilitas, id persequi, sed illud improbabile, eò quod magnum ipsum bonum existimet putare oportere, quam-* F *uis maximum sit malum, tamen ipsum capere; acclamantes, si pereundum esset hoc mihi nunc conducit; huius enim causam non probabile est in opinione sitam esse, quòd magnum bonum existat, id ad quod pelluntur. Quæ omnia disquirenda veniunt.* Ego sanè ad hæc quid Posidonio respondeam non habeo,

neque

neque alium quenquam habiturum autumo, si ab ipsa rerum natura, & huius sæculi Stoicis coniectura sumenda est. Siquidem ne vnum quidem ex multis, nec iis vulgaribus nostra tempestate natis, audiui, qui aliquid probabile ad dubitationes à Posidonio propositas adferret, sed de illis quidem rursus differemus.

νομίζω δὲ μηδ' ἄλλον τινὰ ἕξειν, εἴτε χρὴ τεκμαίρεσθαι, τῇ τε φύσει τῶν πραγμάτων αὐτῇ, καὶ τοῖς νῦν οὖσι Στωϊκοῖς. οὐκ ὀλίγων γὰρ οὐδὲ τῶν ἐπιτυχόντων ἐν τοῖς καθ' ἡμᾶς χρόνοις γεγονότων, οὐδενὸς αὐτῶν οὐδὲν ἤκουσα πιθανὸν εἰπόντος εἰς τὰς ὑπὸ τοῦ Ποσειδωνίου προβληθείσας ἀπορίας. ἀλλὰ περὶ μὲν ἐκείνων, καὶ αὖθις ἐροῦμεν.

CAPVT VI.

Chrysippum fateri facultatem à rationali diuersam in hominibus reperiri.

At quòd Chrysippus non semel aut bis, verùm sæpe admodum fatetur diuersam à ratiocinatrice facultatem quandam esse in animis hominum causam effectuum, licet nobis ex huiusmodi condiscere, vbi causam eorum quæ fiunt statuit, parum rectè, animi infirmitatem, imbecillitatémque, sic enim ipsas nominat, sicut & contraria, hoc firmitatem, illud robur. Quæ enim non rectè homines faciunt, partim ad prauum iudicium refert, partim ad infirmitatem animi, ac imbecillitatem; sicut & eis quæ rectè administrant, rectum iudicium præest, cum bono animi robore. Sed talium quemadmodum iudicium opus est facultatis rationalis, ita firmitas, robur, virtúsque facultatis est diuersæ à rationatrice, quam ipse Chrysippus appellat firmitatem seu robur, ac recedere ait nonnunquam ab iis quæ rectè nobis decreta sunt, robore animi remittente, neque continuò perseuerante, neque morem gerente rationis imperiis; euidenter in huiusmodi ostendens qualis res sit affectus. Iam verò & verba ipsius nonnulla de his ascribam, sunt autem ex morali de affectibus libro. *Præterea etiam in hoc forsan corporis robur dicitur inualidum & validum esse, neruosi generis ratione, quòd in operibus per hoc obeundis possimus, aut non possimus aliquid. Item in anima robur dicitur, tanquam bonum robur, & inualidum, ac iterum. Quemadmodum enim in tremore & prehensione alicuius, & similibus quæ per neruos efficiuntur, perfectrix quædam est constitutio, & concedens neruis priùs resolutis & relaxatis; respondet etiam in animo talis neruorum ratio secundum quam, & per translationem enerues quosdam dicimus, & neruos habere.* Deinde rursus hoc ipsum exponens, ita scribit. *Alius metu oboriente discedit; alius lucro aut damno illato recessit, remisitque, alius in aliis similibus non paucis. Singula enim huiusmodi peruertunt subigúntque nos in seruitutem, ceu ipsis concedentes, & amicos & vrbes prodere, ipsósque in multas & indecoras actiones porrigere, impetu ad theatra soluto; qualis introductus est etiam Euripidi Menelaus. Nam arrepto gladio ad Helenam fertur tanquam occisurus. Posteaquam autem vidisset, & ad pulchritudinem eius obstupuisset, abiecit gladium, neque hunc adhuc continere potens, sicut & increpatio ipsius ei, dixit. Tu vbi mammam illius inspexisti, abiecto gladio osculum accepisti, proditori blandiens cani.* Quæ omnia rectè dicta sunt à Chrysippo, sed pugnant cum eo, quòd affectus sint iudicia. Quum enim Menelaus Helenam occidere decreuisset, traxissétque gladium, quum propiùs accessisset, attonitus ob eius pulchritudinem, propter infirmitatem imbecillitatémque animi,

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Χρύσιππον ὁμολογεῖν δύναμιν εἶναι ἐν τοῖς ἀνθρώποις ἑτέραν τῆς λογικῆς.

Ὅτι δ' ὁ Χρύσιππος οὐχ ἅπαξ ἢ δίς, ἀλλὰ πάνυ πολλάκις αὐτὸς ὁμολογεῖ, δύναμίν τινα ἑτέραν εἶναι τῆς λογικῆς ἐν ταῖς ψυχαῖς τῶν ἀνθρώπων αἰτίαν τῶν παθῶν, ἔνεστιν ἡμῖν ἐκ τῶν τοιούτων καταμαθεῖν ἐν οἷς αἰτιᾶται τῶν πραττομένων οὐκ ὀρθῶς ἀτονίαν τε, καὶ ἀσθένειαν τῆς ψυχῆς. οὕτω γὰρ αὐτὰς ὀνομάζει καθάπερ γε, καὶ τἀναντία τὸ μὲν εὐτονίαν, τὸ δ' ἰσχύν. ὅσα γὰρ οὐκ ὀρθῶς πράττουσιν ἄνθρωποι, τὰ μὲν εἰς μοχθηρὰν κρίσιν ἀναφέρει, τὰ δ' εἰς ἀτονίαν, καὶ ἀσθένειαν τῆς ψυχῆς, ὥσπερ γε καὶ ὧν κατορθοῦσιν, ἡ ὀρθὴ κρίσις ἐξηγεῖται μετὰ τῆς κατὰ τὴν ψυχὴν εὐτονίας. ἀλλὰ τοιούτων ὥσπερ ἡ κρίσις ἔργον ἐστὶ τῆς λογικῆς δυνάμεως, οὕτως ἡ εὐτονία, ῥώμη τε καὶ ἀρετὴ δυνάμεως ἑτέρας παρὰ τὴν λογικήν, ἣν αὐτὸς ὁ Χρύσιππος ὀνομάζει τόνον, ἀφίστασθαί τέ φησιν ἐστὶν ὅτε τῶν ὀρθῶς ἐγνωσμένων ἡμῖν, ἐνδόντος τοῦ τόνου τῆς ψυχῆς, καὶ μὴ παραμείναντος ἕως παντός, μήτ' ἐξυπηρετήσαντος τοῖς τοῦ λόγου προστάγμασιν. ἐναργῶς ἐν τοῖς τοιούτοις ἐνδεικνύμενος οἷόν τι τὸ πάθος ἐστίν. ἤδη δὲ καὶ ῥῆσιν αὐτοῦ τινα παραγράψω περὶ τούτων ἐκδιδάσκουσαν. ἔστι δ' ἐκ τοῦ περὶ παθῶν ἠθικοῦ. ἔτι δὲ καὶ κατὰ τοῦτ' ἴσως οἱ ἐπὶ τοῦ σώματος λέγονται τόνοι, ἄτονοι καὶ εὔτονοι εἶναι κατὰ τὸ νευρῶδες, τῷ δύνασθαι ἡμᾶς ἢ ἀδυνατεῖν ἐν τοῖς διὰ τούτων ἐπιτελουμένοις ἔργοις. καὶ ὁ ἐν τῇ ψυχῇ λέγεται τόνος, ὡς εὐτονία καὶ ἀτονία, καὶ ἐφεξῆς. ὥσπερ γὰρ ἐν δρόμῳ καὶ ἀνθέλξει τινός, καὶ τῶν παραπλησίων ἤδη ἃ διὰ τῶν νεύρων ἐνεργεῖται, ἔστι τις ἐπιτελεστικὴ κατάστασις, καὶ ἐνδοτικὴ τῶν νεύρων προεκλελυμένων καὶ ἀνειμένων, ἀναλόγως καὶ ἐπὶ ψυχῆς ἐστι τοιοῦτον νευρῶδες, καθὸ καὶ κατὰ μεταφορὰν ἀνεύρους τινὰς λέγομεν, καὶ νεῦρα ἔχειν. εἶθ' ἑξῆς ἐξηγούμενος αὐτὸ τοῦτο, τάδε γράφει. ὁ μὲν δείμων ἐπιγινομένων ἀφίσταται, ὁ δὲ κέρδους ἢ ζημίας φερομένης ἐξελύθη καὶ ἐνέδωκεν. ὁ δὲ καθ' ἕτερα τοιαῦτα, οὐκ ὀλίγα. ἕκαστον γὰρ τῶν τοιούτων, τρέπεταί τε καὶ δουλοῦται ἡμᾶς, ὡς ἐνδιδόντας αὐτοῖς, καὶ φίλους, καὶ πόλεις προδιδόναι, καὶ αὐτοὺς εἰς πολλάς, καὶ ἀσχήμονας πράξεις ἐπιδιδόναι, τῆς πρὸς θέατρα φορᾶς ἐκλυθείσης, οἷος εἰσῆκται, καὶ τῷ Εὐριπίδῃ ὁ Μενέλαος, σπασάμενος γὰρ τὴν μάχαιραν, φέρεται ἐπὶ τὴν Ἑλένην ὡς ἀναιρήσων. ἰδὼν δὲ καὶ καταπλαγεὶς εἰς τὸ κάλλος, ἐξέβαλε τὴν μάχαιραν, οὐδὲ ταύτης ἔτι δυνάμενος κρατεῖν, καθὰ καὶ ἡ ἐπίπληξις αὐτῆς εἴρηκεν αὐτῷ. σὺ δ' ὡς ἐσεῖδες μαστὸν ἐκείνης ἐκβαλὼν ξίφος, φίλημ' ἐδέξω προδότιν αἰκάλλων κύνα. ἃ πάντα εἴρηται ὀρθῶς τῷ Χρυσίππῳ, μάχεται δὲ τῷ κρίσεις εἶναι τὰ πάθη. κρίνας γοῦν ὁ Μενέλαος ἀποκτεῖναι τὴν Ἑλένην, καὶ σπασάμενος τὸ ξίφος, ἐπειδὴ πλησίον ἧκεν αὐτῆς, ἐκπλαγεὶς τοῦ κάλλους διὰ τὴν ἀτονίαν, καὶ ἀσθένειαν τῆς ψυχῆς,

(τοῦτο γάρ ἐστιν ὃ κατασκευάζει παρ' ὅλον τὸν λόγον ὁ Χρύσιππος) οὐ μόνον ἀπέρριψε τὸ ξίφος, ἀλλὰ καὶ καταφιλεῖ τὴν γυναῖκα, καὶ ὥσπερ ἂν εἴποι τις αὐτὸν δοῦλον ἐγχειρίζει, οὐ μεταπεισθεὶς ὑπὸ λόγου τινὸς ὡς ἑτέραν κτήσασθαι κρίσιν, ἀλλ' ἀκρίτως τε, καὶ ἀλόγως ὁρμήσας ἐπὶ τἀναντία τοῖς ἐξ ἀρχῆς κεκριμένοις. ὅθεν καὶ αὐτὸς ὁ Χρύσιππος ἐπιφέρων ἐρεῖ. διὸ πάντων τῶν φαύλων οὕτω πραττόντων ἀποστατικῶς, καὶ ἐνδοτικῶς κατὰ πολλὰς αἰτίας ἀσθενῶς, καὶ κακῶς ἕκαστα πράττειν ἂν λέγοιτο. τὸ μὲν οὖν ἀποστατικῶς μὲν τοῦ λόγου, τοῖς πάθεσι δ' ἐνδοτικῶς ἁπάντων τῶν φαύλων πραττόντων, ἀσθένειάν τινα καὶ ἀτονίαν ἐμφαίνεσθαι κατὰ τὴν ψυχὴν αὐτῶν, ἀληθέστατα λέγεται. τὸ δὲ κατὰ πολλὰς αἰτίας, ὃ δὴ καὶ αὐτὸς προσέθηκεν ἐν τῇ ῥήσει. καλῶς μὲν εἴρηται πρὸς αὐτοῦ, κάλλιον δ' ἦν εἰ καὶ τὰς πολλὰς ταύτας αἰτίας, αἵ τινές ποτ' εἰσὶν, ἐφεξῆς αὐτὸς διεληλύθει. εἰ γάρ τις προσέχοι τὸν νοῦν, οὐδὲν οὕτως εὑρήσει συνέχον τὴν περὶ τῶν παθῶν πραγματείαν, καὶ μάλιστα τὴν θεραπευτικὴν, ἐν ᾗ ταῦτ' ἔγραψεν, ὡς τὸ πάσας γνῶναι τὰς αἰτίας ὑφ' ὧν ἀποχωροῦσι τῶν ἐξ ἀρχῆς κρίσεων οἱ κατὰ πάθος τι πράττοντες. ὁ δέ γε τοσούτου δεῖ συμπάσας ἀκριβῶς ἐκδιδάσκειν, ὥστ' οὐδ' αὐτὴν ταύτην, ἧς μέμνηται νῦν, ἐδήλωσε σαφῶς. οὐ γὰρ δὴ ἀπαρκέσει γ' ἡμῖν εἰπεῖν, ὡς ἡ τῆς ψυχῆς ἐστιν ἀσθένεια. κοινὴ γὰρ αὕτη γε κατὰ πάντα τὰ πάθη καὶ μία. Χρύσιππος δὲ πολλὰς εἶναί φησιν αἰτίας τὰς ἐξελεγχούσας, δηλονότι τὴν ἀσθένειαν τῆς ψυχῆς, ὥσπερ ἐπὶ μὲν τοῦ Μενέλεω, τὸ κάλλος τῆς Ἑλένης, ἐπὶ δὲ τῆς Ἐριφύλης, τὸν χρυσὸν, ἐπ' ἄλλου δέ τινος, ἄλλο. μυρία γάρ ἐστι τὰ κατὰ μέρος, ὑφ' ὧν ἐξίστανται τῆς ἀρχαίας κρίσεως οἱ κατὰ πάθος ζῶντες. ἀλλ' οὐ χρὴ τῶν μυρίων τούτων μνημονεύειν, ἀλλ' εἰς ὀλίγα κεφάλαια τὸν λόγον ἄγειν, ὡς ὁ Πλάτων ἐποίησε· βασιλικὸν μέν τι λέγων εἶναι καὶ δεσποτικὸν, ἐπιστήμην, καὶ μήποτε ἂν ἁμαρτεῖν μηδένα κατὰ μηδὲν, ἐπιστήμης παρούσης. τοὺς μέντοι μεταπεισθέντας, ἢ ἐπιλαθομένους αὐτῶν, ἢ βιασθέντας, ἢ δελεασθέντας, ἐξαμαρτάνειν ἄλλον ἐν ἄλλῃ πράξει. ἀλλὰ τὸ μὲν ἐπιλαθέσθαι, καὶ τὸ μεταπεισθῆναι, πάθος οὐδέπω, καθάπερ οὐδὲ τὸ μηδὲ ὅλως ἔχειν ἐπιστήμην· ἀμαθία γὰρ τοῦτο καὶ ἄγνοιά ἐστιν, οὐ πάθος. εἰ δέ τις ὑπὸ θυμοῦ βιασθεὶς, ἢ δελεασθεὶς ὑφ' ἡδονῆς, ἀπέστη τῶν ἐξ ἀρχῆς κεκριμένων, ἀσθενὴς μὲν ἡ ψυχὴ τούτῳ καὶ ἄτονος. ἡ κίνησις δ' αὐτῆς τὸ πάθος ἐστὶν, ὥσπερ που καὶ ἡ τοῦ κατὰ τραγῳδίαν ὑποκειμένου Μενέλεω ψυχὴ δελεασθεῖσα πρὸς τῆς ἐπιθυμίας, ἐξέστη τῶν κεκριμένων. ἡ δέ γε Μήδεια βιασθεῖσα πρὸς τοῦ θυμοῦ, περὶ ἧς καὶ αὐτῆς οὐκ οἶδ' ὅπως ὁ Χρύσιππος οὐκ αἰσθάνεται καθ' ἑαυτοῦ τῶν Εὐριπίδου μεμνημένος ἐπῶν.

> Καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά,
> Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων.

οὐ γὰρ μανθάνειν ἐχρῆν εἰρηκέναι τὸν Εὐριπίδην, εἰ τοῖς τοῦ Χρυσίππου δόγμασιν ἔμελλε μαρτυρήσειν, ἀλλ' αὐτὸ τὸ ἐναντιώτατον ἀγνοεῖν τε, καὶ μὴ μανθάνειν οἷα δρᾶν μέλλει κακά. τὸ δὲ γινώσκειν μὲν αὐτὸ, νικᾶσθαι δ' ὑπὸ τοῦ θυμοῦ, τί ἄλλο ἐστὶν, ἢ δύο ἀρχὰς εἰσάγοντος ἀνθρώπου, τῶν τῆς Μηδείας ὁρμῶν; ἑτέραν μὲν ᾗ γιγνώσκομέν τε τὰ πράγματα, καὶ ἐπιστήμην ἔχομεν αὐτῶν, ἥ τίς ἐστιν ἡ λογικὴ δύναμις. ἑτέραν δ' ἄλογον, ἧς ἔργον τὸ θυμοῦσθαι. αὕτη μὲν οὖν Μηδείας ἐβιάσατο τὴν ψυχήν. ἡ δὲ ἑτέρα ἡ ἐπιθυμητικὴ, τὴν τοῦ Μενέλεω δελεάσασα, κατηνάγκασεν ἀκολουθεῖν, οἷς αὐτὴ προσέταττε.

(hoc enim Chrysippus toto libro nititur) non solùm gladium abiecit, sed etiam mulierem osculatur, & veluti aliquis dixerit, seipsum seruum tradit, non persuasus ab aliqua ratione, vt aliud acquireret iudicium, verùm citra iudicium, citráque rationem, impetu ad contraria ductus iis quæ initio statuerat. Vnde & Chrysippus ipse inferens ait. *Quocirca omnibus ignauis ita facientibus desciscendo & succumbendo secundum multas causas, imbecilliter & malè singula fieri dicentur.* Desciscendo igitur à ratione, affectibus autem succumbendo, omnibus vilibus agentibus, imbecillitatem quandam & infirmitatem in anima ipsorum ostendi verissimè dicitur; at (secundum multas causas) quod & ipse in oratione apposuit, bene sanè ab eo dictum est, sed præstitisset si etiam multas has causas, quæ tandem sint, ipse pertractasset. Si quis enim animum obtendat, nihil inueniet in quo summa tractationis de affectibus & præcipuè curatiuæ, (in qua hæc ipse prodidit) ita consistat, vt in cognitione omnium causarum, propter quas qui aliquid secundum affectum faciunt, à iudiciis initio institutis recedunt. Hic autem tantum abest, vt omnes exactè edoceat, vt ne hanc ipsam quidem cuius in præsentia meminit, apertè indicauerit. Non enim sufficiet nobis dicere animi esse imbecillitatem, quippe communis hæc in omnibus affectibus & vna existit. Chrysippus autem multas esse causas dicit, quæ imbecillitatem scilicet animi coarguant, quemadmodum in Menelao pulchritudinem Helenæ, in Erisiphile aurum, in alio quodam aliud. Infinita enim sunt particularia propter quæ à veteri iudicio ij qui secundum affectum viuunt, digrediuntur: verùm horum innumerabilium mentio facienda non est, sed in pauca capita sermo cogendus, quemadmodum Plato factitauit, regium quiddam & dominatorium esse dicens scientiam, & nec vllum vnquam in aliqua re scientiâ præsente aberrare. Dimotos autem à proposito vel oblitos, aut coactos, aut deceptos, alium in alia actione errare. Sed omnino oblitum esse, & dimotum à proposito, affectus nondum est, quemadmodum neque omnino scientiam habere, id namque inscitia, ignorantiáque, non affectus est. At si quis iracundia compulsus, aut voluptate deceptus, ab iis quæ initio statuerat recesserit, imbecillis quidem huic anima & infirma est; motus autem ipsius affectus est, veluti etiam anima Menelai, qui in tragœdia introducitur, à cupiditate decepta recessit ab iis quæ instituerat. Iam Medea iracundia compulsa, de qua haud noui quomodo Chrysippus Euripidis versuum imprudens contra sese meminerit.

> *Ego equidem noui patrabo quæ mala,*
> *Potentior sed ira est consiliis meis.*

Non enim intelligere Euripidem dixisse oportebat, si Chrysippi dogmatis erat attestaturus, verùm id quod maximè contrarium est, ignorare, neque scire quæ factura erat mala. At cognoscere quidem id, ab iracundia autem vinci, quid aliud est quàm duo principia Medeæ perturbationum introducere? alterum quo res cognoscimus, & scientiam ipsarum habemus, quæ rationalis est facultas; alterum irrationale, cuius opus est irasci. Hoc itaque Medeæ animam compulit; alterum quod concupiscibilem Menelai animam decipiens, sequi adegit ea, quæ ipsum imperabat.

At

At Chrysippus neque contrarietatem in his percipit, & infinita alia id genus prodit, veluti quum dicit. *Est meo iudicio res communissima irrationalis hæc animi latio, & à ratione auersa, veluti & nonnullos iracundia ferri dicimus.* Ac rursus. *Quare etiam in his ita affectu motis ceu de egressis sentimus, & tanquam ad immutatos verba facimus, & qui nec apud se, nec in se sunt.* Deinde etiam rursus eadem exponit. *Immutatio fit, & ex se digressio, non in alia quadam re, quàm rationis auersione, sicuti prædiximus. Nam iracundia ferri, & excessisse, & non apud se, neque in se esse, omniáque id genus attestantur manifestò affectus iudicia esse, & in rationali animæ facultate consistere quemadmodum quæ ita se habent. Quocirca huiusmodi voces audire licet in amantibus, & alioqui vehementer appetentibus irascentibúsque, quòd iracundiæ volunt gratificari; & sinere ipsos, siue melius, siue non, ac nihil eis dicere. Item quòd hoc omni modo faciendum sit, etsi peccent, vel ipsis incommodum sit.* Quinetiam quæ hunc in modum à Chrysippo dicuntur, irascibilem facultatem diuersam quandam à ratiocinatrice ostendunt; & impetum animantis nonnunquam ab illa incipere docet, interim à concupiscibili, quum in affectu consistit; veluti quum extra affectum, à rationali. Respondent autem prædictis & quæ sic à Chrysippo dicuntur, quemadmodum hæc quoque habent. *Cuiusmodi maximè impetu & amantes volunt apud se amatores habere inconsideratiùs, & sine aliqua conuersione rationali subsistentes, & præterea rationis ipsos admonentis transgressores; imò neutiquam eiusmodi quiddam audire tolerantes; etenim eiusmodi omnia veteri opinioni attestantur, sicuti etiam post hæc quæ deinceps sequuntur; Tamque longè à ratione absunt, vt audiant, aut attendant id genus aliquod, vt nec iniuria hæc de illis dici possint.*

Nam diua Cypris admonita laxat nihil;
Si namque cogas, amplius hæc intenditur;
Amórque castigatus infestat magis.

Item hæc, & quæ sequuntur deinceps, veteri placito attestantur de affectuum generatione. Habent autem in hunc modum. *Quoniam tanquam inopportunum obiurgatorem, & non arbitrum eorum quæ fiunt in amando, rationem refugiunt, ceu hominem qui intempestiuè admonere videatur, quum & dij videantur ipsis permittere vt peierent.* Insuper quæ sequuntur. *Ad hæc magis licuerit ipsis (inquit) id quod ingruit facere, cupiditatem sequentibus.* Hic sanè per Iouem dixit sequentibus cupiditatem, quemadmodum antea dixi iracundiam; rationem verò neque in his, neque in alio quodam affectu commotos sequi dicit, sed auersari omninò ipsam, fugere, & non assumere, atque omnia eius generis. Quinetiam quum Menandri carminis meminit in quo dicit; *Mentem subditam habens, in dolium transmisi*, manifestò hîc quoque sententiam veteri opinioni suffragantem apponit, veluti quum exponens non apud se, neque in se esse,* hæc profert. *Propriè verò etiam efferri dicuntur, qui sic irascuntur, similiter iis qui in cursu efferuntur quoad excessum,*

A Χρύσιππος δὲ, οὔτε τῆς ἐν τούτοις ἐναντιώσεως αἰσθάνεται, καὶ μυρία ἕτερα γράφει τοιαῦτα, καθάπερ ἐπειδὰν λέγῃ. ἔστι δ' ὡς οἶμαι κοινότατον ἡ ἄλογος αὕτη φορὰ, καὶ ἀπεστραμμένη τὸν λόγον, καθὸ καὶ θυμῷ φαμέν τινας φέρεσθαι. καὶ πάλιν. διὸ καὶ ἐπὶ τῶνδε τῶν ἐμπαθῶν, ὡς περὶ ἐξεστηκότων ἔχομεν, καὶ ὡς πρὸς παρηλλαχότας ποιούμεθα τὸν λόγον, καὶ οὐ παρ' ἑαυτοῖς, οὐδ' ἐν ἑαυτοῖς ὄντας. καὶ ἐφεξῆς δὲ πάλιν ἐξηγούμενος αὐτὰ ταῦτα. ἡ δὲ παραλλαγὴ γίγνεται, καὶ ἡ ἐξ αὐτοῦ ἀναχώρησις, οὐ κατ' ἄλλο τι ἢ τὴν τοῦ λόγου ἀποστροφὴν, ὡς προείπομεν. τό τε γὰρ θυμῷ φέρεσθαι, καὶ ἐξεστηκέναι, καὶ οὐ παρ' ἑαυτοῖς, οὐδ' ἐν ἑαυτοῖς εἶναι, καὶ πάνθ' ὅσα B τοιαῦτα φανερῶς μαρτυρεῖ τὸ κρίσεις εἶναι τὰ πάθη, κἀν τῇ λογικῇ δυνάμει τῆς ψυχῆς συνίστασθαι, καθάπερ καὶ τὰ οὕτως ἔχοντα. διὸ καὶ τοιαύτας ἔστιν ἀκοῦσαι φωνὰς, ἐπί τε τῶν ἐρώντων, καὶ τῶν ἄλλως σφόδρα ἐπιθυμούντων, καὶ ἐπὶ τῶν ὀργιζομένων. ὅτι τε τῷ θυμῷ θέλουσι χαρίζεσθαι, καὶ ἐᾶν αὐτοὺς εἴτ' ἄμεινον, εἴτε μὴ, καὶ μηθὲν λέγειν αὐτοῖς. καὶ ὡς τοῦτο, ἐκ παντός γε τρόπου ποιητέον, καὶ εἰ διαμαρτάνουσι, καὶ εἰ ἀσύμφορόν ἐστιν αὐτοῖς. καὶ γὰρ καὶ τὰ οὕτως ὑπὸ τοῦ Χρυσίππου λεγόμενα, τὴν θυμοειδῆ δύναμιν ἑτέραν τινὰ τῆς λο- C γιζομένης ἐνδείκνυται, καὶ τὴν ὁρμὴν τοῦ ζῴου, ποτὲ μὲν ὑπ' ἐκείνης ἄρχεσθαι διδάσκει, ποτὲ δ' ὑπὸ τῆς ἐπιθυμητικῆς, ὅταν γ' ἐν πάθει καθεστήκῃ, καθάπερ ὅταν ἔξω πάθους, ὑπὸ τῆς λογικῆς. ὅμοια δὲ τοῖς προγεγραμμένοις, καὶ τὰ οὕτως ὑπὸ τοῦ Χρυσίππου λεγόμενα, καθάπερ ἔχει καὶ τάδε. οἵας μάλιστα φορὰς, καὶ οἱ ἐρώμενοι ἀξιοῦσι πρὸς ἑαυτοὺς ἔχειν τοὺς ἐραστὰς, ἀπερισκεπτότερον, καὶ ἄνευ ἐπιστροφῆς λογικῆς ἱσταμένους, καὶ ἔτι τοῦ παραινοῦντος λόγου αὐτοῖς ὑπερβατικοὺς ὄντας, μᾶλλον δ' οὐδ' ὅλως ὑπομενητικοὺς ἀκοῦσαί τινος τοιούτου. καὶ γὰρ καὶ τὰ τοιαῦτα πάντα τῇ παλαιᾷ δόξῃ D μαρτυρεῖ, καθάπερ καὶ τὰ ἐφεξῆς αὐτῶν τάδε. οὕτως τε μακρὰν ἀπέχουσιν ἀπὸ τοῦ λόγου, ὡς ἂν ἀκοῦσαι, ἢ προσέχειν τινὶ τοιούτῳ, ὥστε μηδὲ τὰ τοιαῦτα ἀπὸ τρόπου ἔχειν γ' αὐτοῖς λέγεσθαι.

Κύπρις γὰρ οὐδὲν νουθετουμένη χαλᾷ.
Ἂν γὰρ βιάζῃ, μᾶλλον ἐντείνειν φιλεῖ.
Νουθετούμενος δ' ἔρως μᾶλλον πιέζει.

καὶ γὰρ καὶ ταῦτα, καὶ τὰ ἐφεξῆς λεγόμενα τῷ παλαιῷ μαρτυρεῖ δόγματι, περὶ τῆς τῶν παθῶν γενέσεως. ἔχει δ' οὕτως. ὅτι δ' ὥσπερ ἄκαιρον ἐπιτιμητὴν, καὶ οὐκ ἐπιγνώμονα τοῖς E γινομένοις ἐν τῷ ἐρᾶν ἀποκλίνουσι τὸν λόγον, καθάπερ ἄνθρωπον ἀκαίρως δοκοῦντα νουθετεῖν. ἡνίκα δὴ καὶ οἱ θεοὶ δοκοῦσιν αὐτοῖς ἐφιέναι ἐπιορκεῖν. καὶ ἔτι τὰ τούτων ἑξῆς. ἔτι μᾶλλον ἐξείη φησὶν αὐτοῖς τὸ ἐπιὸν ποιεῖν, ἀκολουθοῦσι τῇ ἐπιθυμίᾳ. ἐνταῦθα μέν γε, ναὶ μὰ τὸν Δία σαφῶς εἶπεν ἀκολουθοῦσι τῇ ἐπιθυμίᾳ, καθάπερ ἔμπροσθεν ἔφην τῷ θυμῷ. λόγῳ δ' οὔτ' ἐν τούτοις, οὔτ' ἐν ἄλλῳ τινὶ τῶν ἑξῆς ἀκολουθεῖν φησὶ τοὺς ἐν πάθει καθεστηκότας, ἀλλ' ἀπεστράφθαι διὰ παντὸς αὐτὸν, καὶ φεύγειν, καὶ μὴ προσίεσθαι, καὶ πάνθ' ὅσα τοιαῦτα. καὶ μὴν δὴ, καὶ ὅταν μνημονεύῃ τοῦ Μενανδρείου F ἔπους, ἐν ᾧ φησι τὸν νοῦν ὑποχείριον ἔχων, εἰς τὸν πίθον δέδωκα, φανερῶς κἀνταῦθα μαρτυροῦσαν ἀπόφασιν, τῇ παλαιᾷ δόξῃ παρατίθεται. καθάπερ κἀπειδὰν ἐξηγούμενος τὸ μὴ παρ' ἑαυτοῖς εἶναι, μηδ' ἐν ἑαυτοῖς, λέγῃ ταυτί. οἰκείως δὲ καὶ ἐκφέρεσθαι λέγονται, οἱ οὕτως ὀργιζόμενοι, τοῖς ἐπὶ τῶν δρομέων προεκφερομένοις παραπλησίως κατὰ τὸ πλεονάζον,

τὴν μὲν παρὰ τὴν ἐν τῷ τρέχειν ὁρμήν, τὴν δὲ παρὰ τὸν ἴδιον λόγον. οὐ γὰρ ἂν οὕτως οἵ γε κρατοῦντες τῆς κινήσεως καθ' ἑαυτοὺς ἂν κινεῖσθαι λέγοιντο, ἀλλὰ κατ' ἄλλην τινὰ βίαν ἔξωθεν αὐτῶν. ὁμολογεῖ κἀνταῦθα βίαν τινὰ τὴν κινοῦσαν εἶναι πᾶσι τοῖς πάθεσιν ὁρμὰς ὀρθότατα γινώσκων, πλὴν ὅτι τὴν βίαν ἔξωθεν αὐτῶν ἔφησεν εἶναι, δέον οὐκ ἔξωθεν, ἀλλ' ἐν τοῖς ἀνθρώποις ὑπάρχειν εἰπεῖν. οὐ γὰρ δι' αὐτὸ λέγομεν αὐτοὺς ἑαυτοῖς ἔξω καθεστηκέναι, καὶ μὴ ἐν ἑαυτοῖς εἶναι, διότι τὸ βιαζόμενον αὐτοὺς ὁρμᾶν κατὰ τὸ πάθος, ἔξωθέν ἐστιν, ἀλλ' ὅτι παρὰ φύσιν ἔχουσιν. εἴ γε τὸ λογικὸν τῆς ψυχῆς ᾧ κρατεῖν, καὶ ἄρχειν τῶν ἄλλων ἦν κατὰ φύσιν, οὐ κρατεῖ νῦν, ἀλλὰ κρατεῖται, καὶ ἄρχεται πρὸς τῶν ἀλόγων τῆς ψυχῆς δυνάμεων. ὅπερ οἶμαι καὶ διὰ τῶν τοιούτων παραδειγμάτων ὁ Χρύσιππος κατασκευάζων οὐκ αἰσθάνεται. παρατίθεται γοῦν τὸν Εὐριπίδου γεγραμμένον Ἡρακλέους πρὸς Ἄδμητον διάλογον. ἔχει δ' ὧδε.

Τί δ' ἂν προκόπτοις εἰ θέλεις στένειν ἀεί;

Ταυτὶ μὲν Ἡρακλῆς λέγει, ὁ δ' Ἄδμητος ἀποκρίνεται,

Ἔγνωκα κ' αὐτὸς, ἀλλ' ἔρως τις ἐξάγει.

δῆλον γὰρ ὅτι τῆς ἐπιθυμητικῆς δυνάμεως, οὐ τῆς λογικῆς ὁ ἔρως πάθος ὑπάρχων, ἐξάγει τὴν ὅλην ψυχήν, καὶ ἄγει τὸν ἄνθρωπον εἰς ἐναντίας πράξεις, ὧν ἐξ ἀρχῆς ἐκεκρίκει. παρατίθεται δὲ καὶ τὰ τοῦ Ἀχιλλέως πρὸς τὸν Πρίαμον εἰρημένα.

Ἄνσχεο μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.
Οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἑῆος.
Οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθῃσθα.

Ταῦτα μὲν φησι λέγειν αὐτὸν πρὸς αὐτὸν διαλεγόμενον, οὕτω γὰρ ἔγραψεν αὐτοῖς ὀνόμασιν. ἐξίστασθαι δ' οὐκ ὀλιγάκις ἐκ τῶν αὐτῶν τούτων κρίσεων ἐν τοῖς συμπίπτουσιν, καὶ μὴ κρατεῖν ἑαυτοῦ νικώμενον ὑπὸ τῶν παθῶν. καὶ γὰρ οὖν κἀνταῦθα τό τε τῶν κρίσεων ἐξίστασθαι, καὶ τὸ μὴ κρατεῖν ἑαυτοῦ, καὶ τὸ ποτὲ μὲν εἶναι παρ' ἑαυτῷ, ποτὲ δ' οὔ. καὶ πάνθ' ὅσα τοιαῦτα, τοῖς τε φαινομένοις ἐναργῶς ὁμολογεῖ, καὶ τῇ παλαιᾷ δόξῃ, περὶ παθῶν τε καὶ ψυχῆς δυνάμεων, οὐ μὴν οἷς ὑπέθετο Χρύσιππος. ὁμοίως δ' εἴρηται, καὶ τὰ τοιαῦτα κατὰ τὸ περὶ τῶν παθῶν βιβλίον. τὸ γὰρ δὴ σεσοβημένον, καὶ παρηλλαγὸς ἐν ἡμῖν, καὶ ἀπειθὲς τῷ λόγῳ, οὐχ ἧττον ἐπὶ τῆς ἡδονῆς καταγίνεται. καὶ πάλιν οὕτω γὰρ ἐξιστάμεθα, καὶ ἔξω γινόμεθα ἑαυτῶν, καὶ τελέως ἀποτυφλούμεθα ἐν τοῖς σφαλλομένοις, ὥστ' ἔστιν ὅτε σπόγγον ἔχοντες, ἢ ἔριον ἐν ταῖς χερσίν, τοῦτον διαράμενοι βάλλομεν ὡς δή τι περαίνοντες δι' αὐτῶν. εἰ δὲ τυγχάνομεν μάχαιραν ἔχοντες, ἢ ἄλλο τι, τούτῳ ἂν ἐχρησάμεθα παραπλησίως. καὶ ἐφεξῆς. πολλάκις δὲ κατὰ τὴν τοιαύτην τυφλότητα τὰς κλεῖς δάκνομεν, καὶ τὰς θύρας τύπτομεν, οὐ ταχὺ αὐτῶν ἀνοιγομένων, πρός τε τοὺς λίθους ἐὰν προσπταίσωμεν, τιμωρητικῶς προσφερόμεθα καταγνύντες, καὶ ῥιπτοῦντες αὐτοὺς εἴς τινας τόπους, καὶ ἐπιλέγοντες καθ' ἕκαστα τούτων ἀτοπώτατα. ὡσαύτως δὲ κἀν τοῖς ἑξῆς φησιν. ἐννοήσειε δ' ἄν τις ἐκ τῶν τοιούτων, καὶ τὴν ἐν τοῖς πάθεσιν ἀλογιστίαν, καὶ ὡς ἐν τοῖς τοιούτοις ἀποτυφλούμεθα καιροῖς, ὡς ἂν ἕτεροί τινες γεγονότες τῶν προδιειλεγμένων. ὅλως δ' εἴ τις ἐκλέγοι πάντα, καὶ παραγράφοι νῦν ὅσα κατὰ τὸ περὶ παθῶν εἴρηται βιβλίον αὐτῷ, μαχόμενα μὲν οἷς αὐτὸς ὑπέθετο δόγμασιν, ὁμολογοῦντα δὲ τοῖσδε φαινομένοις ἐναργῶς, καὶ τῇ Πλάτωνος δόξῃ, μῆκος ἂν ἄμετρόν τι γένοιτο τοῦ βιβλίου. μεστὸν γάρ ἐστιν αὐτῷ τὸ γραμμάτων τε, καὶ κρίσεων ἐξίστασθαι λέγοντι,

horum quidem in currendi impetu, eorum verò in propria ratione. Non enim qui hoc pacto mouentur, ex seipsis moueri dicentur, sed secundum aliam quandam vim extrinsecus adhibitam. Fatetur hîc quoque vim quandam omnibus affectibus adesse motricem, impetus rectissimè intelligens, nisi quòd vim extra ipsos esse dixit, quum conueniebat non extrinsecus, sed in hominibus esse dicere. Quippe non ideo dicimus ipsos extra se consistere, neque in seipsis esse, quia id quod ipsos secundum affectum irruere cogit, extrinsecus est, sed quia præter naturam habent. Siquidem rationalis animæ pars, quam continere, & imperare aliis, erat secundum naturam, non continet nunc, sed continetur, & gubernatur ab irrationabilibus animi potentiis, quod etiam huiusmodi exemplis Chrysippus imprudens astruit. Itaque apponit ex Euripidis scriptis dialogum Herculis ad Admetum, qui ita habet.

Sed quid reuoluis, an semper mærere vis?

Hæc quidem Hercules dicit, Admetus autem respondet?

Et ipse noui, verùm amor ne concitat.

Constat enim quum concupiscibilis facultatis, non rationalis, amor sit affectus, totum animum educere, hominémque in contrarias actiones rapere iis quæ initio statuerat. Item Achillis dicta ad Priamum apponit.

Sustineas, animò nec ineuitabile plores.
Nil siquidem efficies lugendo funera nati,
Quem neque restitues, mala ni sis altera passus.

Hæc quidem dicere ipsum ait, secum disserentem. Item scripsit ad verbum. Recedere non rarò ab ipsis his iudiciis aliquem in iis quæ accidunt, nec continere se quum ab affectibus vincitur. Etenim hîc quoque à iudiciis recedere, & non se continere, & interdum esse apud se, interdum non, ac omnia id genus, tum euidentibus manifestò respondent, tum veterum opinioni, & de affectibus, & animæ facultatibus, non tamen iis quæ Chrysippus proposuit. Similiter dicta sunt & huiusmodi in libro de affectibus. *Nam quod perturbatum est, immutatúmque in nobis, & rationi inobsequens, non minus in voluptate conuersatur.* Ac rursus. *Sic enim recedimus, & extra nos rapimur; & in totum excæcamur in iis quæ deliquimus; quapropter interdum spongiam aut lanam in manibus habentes, hanc vastatam proiicimus, tanquam aliquid per eas absoluentes. At si fiat vt gladium, vel aliud quippiam habeamus, hoc vsi fuerimus similiter.* Ac deinceps. *Sæpe verò in huiusmodi cæcitate claues mordemus, & fores pulsamus, quum non celeriter aperiuntur. Item in lapides si illidimus, puniendi studio efferimur, damnantes, proijcientésque ipsos in aliqua loca, & acclamantes in singulis his absurdißima quæque.* Pari modo in subsequentibus ait; *Considerauerit aliquis ex huiusmodi, rationis penuriam in affectibus: & quo pacto in talibus excæcamur temporibus, tanquam alieni facti ab iis qui priùs ratione vtebantur.* In totum si quis omnia eligat, ascribátque nunc, quæ in libro de affectibus comprehensa sunt, pugnantia quidem iis dogmatis, quæ ipse statuit; consentanea autem & manifestò apparentibus, & Platonis opinioni, in immensum liber excreuerit, librum enim ipse repleuit dum homines à iudiciis recedere dicit,

&

& ab iis quæ priùs ratione erant instituta, propter iracundiam, aut cupiditatem, aut voluptatem, aut eiusmodi quippiam, ac furiosè agitari, & non in se, neque apud se esse, excæcaríque animo, irrationabiliter ferri, atque omnia eius generis. Sanè eiusmodi verba ipsius alicui per otium seligere committo.

CAPVT VII.

Quæ scripsit Posidonius aduersus Chrysippum de causis affectuum animi.

QVum autem manifestè iam figura ipsorum demonstrata sit, digrediar ad nonnulla, quæ Posidonius contra Chrysippum protulerit. Itaque *definitio*, inquit, *mæstitiæ. Quemadmodum etiam multæ aliæ affectuum tum à Zenone dictæ, tum à Chrysippo scriptæ, manifestè sententiam eius coarguunt. Nam mæstitiæ esse recentem opinionem quod malum sibi adsit, pronunciat*, in qua etiam compendiosiùs nonnunquam dicentes, hunc in modum proferunt. Mœstitia est opinio recens mali præsentis. Esse sanè recens dicit quod proximum tempore; causam verò ipsum dicere Posidonius exigit, propter quam mali opinio quum recens est, animum submittat, tristitiámque efficiat. Inueterata autem, aut neutiquam, aut non adhuc similiter contrahat; etsi ne (recens) quidem, in finitione apponi conueniebat, modò Chrysippi dicta vera sint. Nam secundum ipsius sententiam, potiùs magni mali, vel impatibilis, vel intolerabilis, sicut ipse nominare consueuit, tristitiam dictam esse opinionem non recentis; vbi & bifariam Chrysippo Posidonius contradicit; in hac quidem secunda definitione mentionem faciens & sapientum, & prouidorum; veluti prius comprehensum est. Alij siquidem in maximis bonis, alij in maximis malis dum se esse putant, tamen propterea affectui non implicantur. In prima definitione causam quærit cur non mali præsentis opinio tristitiam, sed recens solùm efficiat; aítque, omne immodicum & peregrinum subitò irruens, & excedere, & à veteribus recedere facit opinionibus; vsitatum verò & consuetum, inueteratúmque, aut nullo pacto immutat vt secundum affectum moueat, aut parum admodum; quare etiam domesticum ac familiare sibi facere dicit, rebus non præsentibus tanquam præsentibus vti. Significat autem Posidonio verbum hoc προενδημεῖν, quasi effingere & afformare sibi rem quæ futura est, & tanquam cum iam facta, consuetudinem quandam paulatim inire. Quocirca etiam Anaxagoræ dictum assumpsit hîc quomodo quum aliquis ei filium mortuum esse nunciasset, admodum constanter dixit. Noui mortalem me procreasse; & quemadmodum hoc sumpto sensu Euripides Theseum loquentem introduxit.

A sapiente aliquo perdoctus ego
In curas animum, & calamitates indidi,
Atque exulem me proposui à patria mea, ac mortes
Immaturas & vias malas alias;
Vt si quid paterer ex ijs quæ putaueram
Aliquando, animum non morderent recentia.

Ita dicta etiam hæc esse pronunciat.

A καὶ τῶν προδιαλελογισμένων διὰ τὸν θυμὸν, ἢ τὴν ἐπιθυμίαν, ἢ τὴν ἡδονὴν, ἤ τι τοιοῦτον μανιωδῶς τε κινεῖσθαι, καὶ οὐκ ἐν ἑαυτῷ, οὐδὲ παρ᾽ ἑαυτῷ εἶναι, τετυφλῶσθαί τε τὴν διάνοιαν, ἀλογίστως τε φέρεσθαι, καὶ πάνθ᾽ ὅσα τοιαῦτα. τὰς μὲν δὴ τοιαύτας ῥήσεις αὐτῷ, τινὶ κατὰ σχολὴν ἐκλέγειν ἐπιτρέπω.

ΚΕΦΑΛΑΙΟΝ Ζʹ.

B Τί εἶπεν ὁ Ποσειδώνιος πρὸς Χρύσιππον περὶ τῶν τῆς ψυχῆς παθῶν.

ΔΕδειγμένου δὲ ἤδη σαφῶς αὐτῶν τοῦ τύπου, μεταβησόμεθα δὴ ἐπί τινα τῶν ὑπὸ τοῦ Ποσειδωνίου πρὸς τὸν Χρύσιππον ἀντειρημένων. ὁ γοῦν ὅρος οὗτος, φησὶν, ὁ τῆς λύπης. ὥσπερ οὖν καὶ ἄλλοι πολλοὶ τῶν παθῶν, ὑπό τε Ζήνωνος εἰρημένοι, καὶ πρὸς τοῦ Χρυσίππου γεγραμμένοι σαφῶς ἐξελέγχουσι τὴν γνώμην αὐτοῦ. δόξαν γὰρ εἶναι πρόσφατον τὸ κακὸν αὐτῷ παρεῖναι, φησὶ τὴν λύπην, ἐν ᾧ καὶ συντομώτερον ἐνίοτε λέγοντες ὧδέ πως προφέρονται. λύπη ἐστὶ δόξα πρόσφατος κακοῦ παρουσίας. εἶναι μὲν δὴ τὸ C πρόσφατόν φησι τὸ ὑπόγυιον κατὰ τὸν χρόνον, ἀξιοῖ δὲ τὴν αἰτίαν αὐτῶν ῥηθῆναι δι᾽ ἣν ἡ τοῦ κακοῦ δόξα πρόσφατος μὲν οὖσα, συστέλλει τε τὴν ψυχὴν, καὶ λύπην ἐργάζεται. χρονισθεῖσα δ᾽ ἢ οὐδ᾽ ὅλως, ἢ οὐκ ἔθ᾽ ὁμοίως συστέλλει, καίτοι οὐδὲ τὸ πρόσφατον ἐχρῆν ἐγκεῖσθαι κατὰ τὸν ὅρον, εἴπερ ἀληθῆ τὰ Χρυσίππου. κατὰ γὰρ τὴν γνώμην αὐτοῦ μᾶλλον τοῦ μεγάλου κακοῦ, ἢ ἀνυπομονήτου, ἢ ἀκαρτερήτου, καθάπερ αὐτὸς εἴωθεν ὀνομάζειν τὴν λύπην εἰρῆσθαι δόξαν, οὐ προσφάτου, ἔνθα καὶ διχόθεν ὁ Ποσειδώνιος ἀντιλέγει τῷ Χρυσίππῳ. κατὰ μὲν τοῦτον τὸν δεύτερον ὁρισμὸν D ἀναμιμνήσκων τῶν τε σοφῶν, καὶ τῶν προκοπτόντων, ὡς ἔμπροσθεν εἴρηται, οἱ μὲν γὰρ ἐν μεγίστοις ἀγαθοῖς, οἱ δ᾽ ἐν μεγίστοις κακοῖς ἑαυτοὺς ὑπολαμβάνοντες εἶναι, ὅμως οὐ γίνονται διὰ τοῦτ᾽ ἐν πάθει. κατὰ δὲ τὸν πρῶτον ἐρωτᾷ τὴν αἰτίαν, δι᾽ ἣν οὐχ ἡ τῆς τοῦ κακοῦ παρουσίας δόξα τὴν λύπην, ἀλλ᾽ ἡ πρόσφατος ἐργάζεται μόνη, καί φησι, διότι πᾶν τὸ ἀμελέτητον, καὶ ξένον, ἀθρόως προσπῖπτον, ἐκπλήττει τε, καὶ τῶν παλαιῶν ἐξίστησι κρίσεων. ἀσκηθὲν δὲ καὶ συνεθισθὲν, καὶ χρονίσαν, ἢ οὐδ᾽ ὅλως ἐξίστησιν ὡς κατὰ πάθος κινεῖν, ἢ ἐπὶ E μικρὸν κομιδῇ, διὸ καὶ προενδημεῖν φησι τοῖς πράγμασι, μήποτε παροῦσιν, οἷον παροῦσι χρῆσθαι. βούλεται δὲ τὸ προενδημεῖν ῥῆμα τῷ Ποσειδωνίῳ, τὸ οἷον προαναπλάττειν τε, καὶ προτυποῦν τὸ πρᾶγμα παρ᾽ ἑαυτῷ τὸ μέλλον γενήσεσθαι, καὶ ὡς πρὸς ἤδη γενόμενον ἐθισμόν τινα ποιεῖσθαι κατὰ βραχύ. διὸ καὶ τὸ τοῦ Ἀναξαγόρου παρείληφεν ἐνταῦθα, ὡς ἄρα τινὸς ἀναγγείλαντος αὐτῷ τεθνάναι τὸν υἱὸν, εὖ μάλα καθεστηκότως εἶπεν. ᾔδειν θνητὸν γεννήσας. καὶ ὡς τοῦτο λαβὼν Εὐριπίδης τὸ νόημα τὸν Θησέα πεποίηκε λέγοντα.

F
Ἐγὼ δὲ παρὰ σοφοῦ τινος μαθὼν
Εἰς φροντίδας νοῦν συμφοράς τ᾽ ἐβαλλόμην.
Φυγάς δ᾽ ἐμαυτῷ προστιθεὶς πάτρης ἐμῆς
Θανάτους τ᾽ ἀώρους, καὶ κακὰς ἄλλας ὁδούς.
Ὡς εἴ τι πάσχοιμ᾽ ὧν ἐδόξαζόν ποτε
Μή μοι νεαρὸν προσπεσὸν ψυχὴν δάκοι.

οὕτω δὲ εἰρῆσθαί φησι καὶ τὰ τοιαῦτα.

Εἰ μὲν τόδ' ἦμαρ πρῶτον ἦν κακουμένῳ,
Καὶ μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν,
Εἰκὸς σφαδάζειν ἦν ἂν ὡς νεόζυγα
Πῶλον, χαλινὸν ἀρτίως δεδεγμένον.
Νῦν δ' ἀμβλύς εἰμι καὶ κατηρτυκὼς κακῶν,
Ἔσθ' ὅτε τὰ τοιαῦτα μακρὸς χρόνος μαλάξει,
Νῦν δέ θ' ἡ βάσκει κακόν.

ὅτι δ' ἐν τῷ χρόνῳ μαλάττεται τὰ πάθη, κἂν αἱ δόξαι μένωσι τοῦ κακόν τι αὐτοῖς γεγονέναι, καὶ ὁ Χρύσιππος ἐν τῷ δευτέρῳ περὶ παθῶν μαρτυρεῖ γράφων ὧδε. ζητήσαι δ' ἄν τις καὶ περὶ τῆς ἀνέσεως τῆς λύπης πῶς γίνεται, πότερον δόξης τινὸς μετακινουμένης, ἢ πασῶν διαμενουσῶν, καὶ διὰ τί τοῦτ' ἔσται. εἶτ' ἐπιφέρων φησί. δοκεῖ δέ μοι ἡ μὲν τοιαύτη δόξα διαμένειν ὅτι κακὸν αὐτὸ, ὃ δὴ πάρεστιν. ἐγχρονιζομένης δ' ἀνίεσθαι ἡ συστολὴ, καὶ ὡς οἶμαι ἡ ἐπὶ τὴν συστολὴν ὁρμή. τυχὸν δὲ καὶ ταύτης διαμενούσης, οὐχ ὑπακούσεται τὰ ἑξῆς. διὰ ποιὰν ἄλλην ἐπιγινομένην διάθεσιν δυσλόγιστον τούτων γινομένων. οὕτω γὰρ καὶ κλαίοντες, καὶ μὴ βουλόμενοι κλαίειν κλαίουσιν, ὅταν μὴ ὁμοίας τὰς φαντασίας τὰ ὑποκείμενα ποιῇ, καὶ ἐνίστηταί τι ἢ μηθέν. ὃν τρόπον γὰρ ἡ θρήνων παῦσις γίνεται, καὶ κλαυθμοὶ, τοιαῦτα εὔλογον, καὶ ἐπ' ἐκείνων συντυγχάνειν ἐν ταῖς ἀρχαῖς μᾶλλον τῶν πραγμάτων κινούντων, καθάπερ ἐπὶ τῶν τὸν γέλωτα κινούντων γίνεσθαι ἔφην, καὶ τὰ ὅμοια τούτοις. ὅτι μὲν οὖν ἐν τῷ χρόνῳ παύεται τὰ πάθη, καίτοι τῆς δόξης διαμενούσης, αὐτὸς ὁ Χρύσιππος ὁμολογεῖ. διὰ τίνα μέντοι τὴν αἰτίαν τοῦτο γίνεται, δυσλόγιστον εἶναί φησιν, εἶθ' ἑξῆς ἕτερα παραπλησίως γινόμενα γράφει, περὶ ὧν οὐδ' αὐτῶν δηλονότι τὴν αἰτίαν ἐπαγγέλλεται γινώσκειν. ἀλλ' οὐ Ποσειδώνιός γε, Χρύσιππε, τὰς αἰτίας τῶν τοιούτων ἀγνοεῖν φησιν, ἀλλ' ἐπαινεῖ καὶ ἀποδέχεται τὰ ὑπὸ τῶν παλαιῶν εἰρημένα, ἃ ἐφεξῆς ἐρῶ. σὺ δ' οὔτ' ἐκείνων μνημονεύσας, οὔτ' ἄλλην αὐτὸς εἰπὼν, οἴει λελύσθαι τὸ ζητούμενον ἂν ὁμολογήσῃς ἀγνοεῖν τὴν αἰτίαν. καίτοι τό γε συνέχον ὅλην τὴν πραγματείαν τήν τε τῶν λογικῶν ζητημάτων, καὶ τὴν θεραπευτικὴν τῶν παθῶν οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ τὰς αἰτίας ἐξευρεῖν ὑφ' ὧν γίνεταί τε, καὶ παύεται τὰ πάθη. οὕτω γὰρ ἄν τις οἶμαι, καὶ τὴν γένεσιν αὐτῶν κωλῦσαι, καὶ γενομένας παῦσαι δυνηθείη. συναναιρεῖσθαι γὰρ εὔλογον οἶμαι ταῖς αἰτίαις τάς τε γενέσεις, καὶ τὰς ὑπάρξεις τῶν πραγμάτων. ταῦτά τοι καὶ ἀπορεῖς κατὰ τὸ περὶ τῶν παθῶν βιβλίον τι, καὶ γράψαι τοιοῦτον ἡμῖν, ᾧ προσέχοντες τὸν νοῦν, κωλύσομέν τε τῶν παθῶν ἕκαστον γίνεσθαι, καὶ γενόμενον ἰασόμεθα. καίτοι καὶ τοῦ Πλάτωνος θαυμαστῶς γράψαντος, ὡς καὶ ὁ Ποσειδώνιος ἐπισημαίνεται θαυμάζων τὸν ἄνδρα, καὶ θεῖον ἀποκαλεῖ, ὡς καὶ πρεσβεύων αὐτοῦ τά τε περὶ τῶν παθῶν δόγματα. καὶ τὰ περὶ τῶν τῆς ψυχῆς δυνάμεων, ὅσα τε περὶ τοῦ μὴ γίνεσθαι τὴν ἀρχὴν. ἢ γενόμενα παύεσθαι τάχιστα τῆς ψυχῆς τὰ πάθη, γέγραπται πρὸς αὐτοῦ. συνῆφθαι δὲ καὶ τὴν περὶ τῶν ἀρετῶν διδασκαλίαν τούτοις φησί. καὶ τὴν περὶ τοῦ τέλους, καὶ ὅλως πάντα τὰ δόγματα τῆς ἠθικῆς φιλοσοφίας, ὥσπερ ἐκ μιᾶς μηρίνθου δεδέσθαι τῆς γνώσεως τῶν κατὰ τὴν ψυχὴν δυνάμεων. αὐτός τε δείκνυσιν, ὡς ὑπὸ θυμοῦ τε καὶ ἐπιθυμίας γίνεται τὰ πάθη, καὶ διὰ τίνα τὴν αἰτίαν ἐν τῷ χρόνῳ καθίσταται, κἂν αἱ δόξαι τε, καὶ αἱ κρίσεις ἔτι μένωσι τοῦ κακὸν ὑπάρχειν αὐτοῖς, ἢ γεγονέναι. προσάγεται δ' εἰς τοῦτο μαρτυρεῖ, καὶ αὐτῷ τῷ Χρυσίππῳ, κατὰ τὸ δεύτερον περὶ τῶν παθῶν ὧδέ πως γράφοντι. περὶ δὲ τῆς λύπης,

A

Si hic primus esset malorum dies mihi,
Et non diu vexarer in laboribus,
Forsan renitterer vt pullus iugo recens
Subditus, excutiens frænum susceptum nuper;
At nunc malis obdurui, & occallui.
Hæc interim emollescent longo tempore;
Malum pubescit nunc.

Quòd autem in processu temporis affectus mitigatur, etsi manserit opinio quod malum aliquod ipsis euenerit. Idem Chrysippus secundo de affectibus testatur, hunc in modum scribens: *Quæsierit etiam aliquis de remissione tristitiæ quomodo fiat, vtrum opinione quadam dimota, an omnibus permanentibus, & propter quid hoc erit.* Deinde inferens inquit; *Videtur mihi huiusmodi opinio permanere, quoniam malum est ipsum, quod iam adest, quum autem ea immoratur, contractio remitti, ac mea sententia, ad contractionem impetus. Fortè etiam hac permanente non subaudient reliqua, quum hæc propter certam aliam superuenientem dispositionem discussu difficilem fiant; ita namque & plorantes cessant, & nolentes plorare plorant, quum similes imaginationes subiecta faciant, & instet aliquid, aut nihil. Quomodo enim lamentationes cessant & ploratus, ita ratio est etiam in illis accidere, per initia magis rebus mouentibus, veluti in his qui risum mouent, fieri dixi.* atque his similia. Quòd igitur tempore affectus cessant, opinione licet permanente, ipse Chrysippus confitetur. Cur autem id fiat, ratione id difficilè comprehendi posse dicit. Deinde alia similiter accidentia scribit, quorum neque ipsorum causam cognoscere promittit. At Posidonius, ô Chrysippe, eiusmodi rerum causam non ignorare se refert, sed veterum dicta, quæ deinceps percensebo, laudat & recipit. Tu neque illorum memor, neque aliam ipse prolocutus, putas quæstionem esse solutam, si causam nescire fatearis, quanquam totius operis, & rationalium quæstionum, & de medendis affectibus, nihil aliud summam continet quàm causas adinuenire, ex quibus affectiones & fiant, & desinant. Ita namque aliquis meo iudicio, tum ne ipsæ generentur, prohibebit; tum generatas sistere potuerit. Etenim ratio est, siquid iudico, vna cum causis generationes, & rerum existentias tolli. Hac ratione etiam non habes in secundo de affectibus libro eiusmodi aliquid nobis perscribere, cui animum aduertentes, & prohibemus singulos affectus oriri, & ortis medebimur, quanquam id Plato admirabili modo scripserit, quemadmodum & Posidonius indicat, admirans virum; diuinum quoque appellat, ceu maxima reputans ipsius dogmata de affectibus, déque animæ facultatibus, & quæ de eo quòd neutiquam affectus animi oboriantur, vel oborti citissimè desinant ab ipso scripta fuêre. Coniunctam verò de virtutibus disciplinam his esse contendit, item eam quæ de fine, ac in totum omnia moralis philosophiæ placita, veluti ex vno vinculo cognitionis animæ virium sit alligata; ipséque indicat, quomodo ab iracundia & cupiditate affectus proueniant, quáque de causa tempore subsidant, etsi opiniones adhuc & iudicia permaneant, de eo quòd malum ipsis sit, aut fuerit obortum. Ad hoc citat testem etiam Chrysippum ex secundo de affectibus libro, hisce verbis. *Verùm de tristitia*

quod

quod repleti nonnulli similiter ab ea recedere apparent, quemadmodum, & de Achille Patroclum lugente hæc poëta scribit.

Ast hic iam lachrymis fuerat satur atque querelis.

Item.

Et desiderium luctus à mente recessit.

Ad Priamum hortandum cum impetu properauit mæstitiæ irrationabilitatem pacans. Deinde rursus hæc adducit. *Qua ratione non desperabit aliquis rebus ita perdurantibus, & inflammatione affectuum remittente, rationem ingredientem, & veluti locum capientem, affectionis irrationabilitatem sistere.* Manifestò siquidem Chrysippus in his confitetur & affectus inflammationem temporis spatio remitti, suspicione adhuc & opinione permanente, & homines affectuum motionibus repleri; ac ideo quum affectus exiguam quietem subit, rationem superiorem euadere. Hæc namque vera quidem sunt, si quæ alia; verùm cum ipsius hypothesibus discordant, quemadmodum etiam quæ inferuntur, hoc modo prolata dicuntur eiam eiusmodi ab affectuum mutatione.

Luctus continuò mæsti satur est.

Præterea eiusmodi, Ad tristitiæ diductionem, infelicibus delectabile quodammodo est plorare, & fortunas deflere.

Insuper his deinde subdit;

Sic ait, at desiderium patris obuenit illi

Deflendi. Et

Eundem suscitauit luctum, Reduxit curas lachrymabiles. Denique plura adhuc alia id genus à poëtis colligere testimonia licet, eius quòd homines tristitia, lachrymis, ploratibus, gemitu, victoria, honore, & omnibus eiusmodi repleantur, propter quæ nihil negotij est colligere causam, ob quam temporis spatio affectus desinunt, ratio autem cupiditatum impetui dominatur. Vt enim pars animæ affectibus obnoxia peculiaria quædam appetibilia concupiscit: ita etiam ipsis, quum accidunt, repletur; atque in hoc suum ipsius motum sistit; qui animalis impetu præerat, & vt secum ducebat quocunque ferebatur. Quare affectuum quietis causæ incomprehensibiles non sunt, quemadmodum Chrysippus dictitabat, sed etiam admodum manifestæ ei qui cum veteribus nolit contendere. Nihil enim tam clarum est, quàm vires quasdam in nostris animis inesse natura concupiscentes, hanc voluptatem, illam dominium & victoriam; quas euidenter etiam in aliis animantibus videri Posidonius affirmat; quemadmodum nos quoque statim ab initio primi libri ostendimus. Accusat autem rectè Chrysippum in eo quod dicit. Fortè impetu permanente non obedient reliqua ob certam aliam oborientem dispositionem. Fieri siquidem non posse ait vt impetus quidem animi adsit, ab alia verò causa quadam ipsius actio impediatur, vnde quum dicit. Sic enim & plorantes cessant, & nolentes plorare plorant, quum similes subiecta imaginationes efficiant: causam hîc quoque rogat Posidonius, cur etiam plerique non volentes subinde plorant, & lachrymas cohibere nequeunt; ac alij plorare adhuc volentes, protinus cessant, ob motiones affectibus subditas vehementer ita inhærentes, vt non euincantur à voluntate, aut ita omninò cessantes, vt ab ipsis excitari nequeant. Ita enim quomodo ratio & pugnet cum affectu, & ab eo

καὶ ὡς ἂν ἐμπλησθέντες τινὲς, ὁμοίως φαίνονται ἀφίστασθαι, καθάπερ καὶ ἐπὶ Ἀχιλλέως ταῦτα λέγει ὁ ποιητὴς, πενθοῦντος τὸν Πάτροκλον.

Ἀλλ' ὅτε δὴ κλαίων τε κυλινδόμενός τ' ἐκορέσθη. Καὶ

Οἱ ἀπὸ πραπίδων ἦλθ' ἵμερος ἠδ' ἀπὸ γυίων.

ἐπὶ τὸ παρακαλεῖν ὥρμησε τὸν Πρίαμον τὴν τῆς λύπης ἀλογίαν αὐτοῦ περιστάς. εἶτ' ἐφεξῆς ἐπιφέρει καὶ ταῦτα. καθ' ὃν λόγον οὐκ ἂν ἀπελπίσαι τις οὕτως τῶν πραγμάτων ἐγχρονιζομένων, καὶ τῆς παθητικῆς φλεγμονῆς ἀνιεμένης, τὸν λόγον παρεισδυόμενον, καὶ οἱονεὶ χώραν λαμβάνοντα παριστάναι τὴν τοῦ πάθους ἀλογίαν. ἐναργῶς γὰρ ἐν τούτοις ὁ Χρύσιππος ὁμολογεῖ, τήν τε παθητικὴν φλεγμονὴν ἀνίεσθαι κατὰ τὸν χρόνον, ἔτι τῆς ὑπολήψεώς τε καὶ δόξης μενούσης, ἐμπίπλασθαί τε τῶν παθητικῶν κινήσεων τοὺς ἀνθρώπους. καὶ διὰ τοῦτο παῦλαν τινα λαμβάνοντος τοῦ πάθους, καὶ ἡσυχάσαντος, τὸν λόγον ἐπικρατέστερον γίνεσθαι. ταῦτα γὰρ ἀληθῆ μέν ἐστιν, εἴπερ τινα καὶ ἄλλα. μάχεται δὲ ταῖς ὑποθέσεσιν αὐτοῦ, καθάπερ καὶ τὰ ἐπιφερόμενα τόνδε τὸν τρόπον ἔχοντα. λέγεται δὲ καὶ τοιαῦτα εἰς τὴν μεταβολὴν τῶν παθῶν.

----λαιψηρὸς δὲ κόρος στυγεροῖο γόοιο.

καὶ ἔτι τὰ τοιαῦτα εἰς τὸ κατὰ τὴν λύπην ἀγωγόν. τοῖσδε δυστυχοῦσί πως τερπνὸν τὸ κλαῦσαι, κἀποδύρασθαι τύχας. καὶ ἔτι τούτων ἐφεξῆς.

Ὣς φάτο, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο. Καὶ

Τὸν αὐτὸν ἀνέγειρε γόον, ἀνάγει πολύδακρυν ἀηδόνα.

ἔτι δὲ ἀμέλει πάμπολλα καὶ ἄλλα τοιαῦτα παρὰ τῶν ποιητῶν ἀθροῖσαι μαρτύρια, τοῦ καὶ λύπης, καὶ δακρύων, καὶ κλαυθμῶν, καὶ θρήνου, καὶ νίκης, καὶ τιμῆς, καὶ πάντων τε τῶν τοιούτων ἐμπίπλασθαι τοὺς ἀνθρώπους, ἐφ' οἷς οὐδὲν χαλεπόν ἐστι συλλογίζεσθαι τὴν αἰτίαν, δι' ἣν ἐν τῷ χρόνῳ παύεται μὲν τὰ πάθη, κρατεῖ δὲ τῶν ὁρμῶν ὁ λόγος. ὡς γὰρ ἐφίεται τὸ παθητικὸν τῆς ψυχῆς οἰκείων τινῶν ὀρεκτικῶν, οὕτως καὶ τυγχανόντων αὐτῶν ἐμπίπλαται, κἂν τούτῳ τὴν ἑαυτῶν κίνησιν καθίστησιν, ἥτις ἐκράτει τῆς ὁρμῆς τοῦ ζώου, καὶ καθ' ἑαυτὴν ἦγεν ἐφ' ὅτι προήγετο. οὔκουν ἀσυλλόγιστοι τῆς παύλας τῶν παθῶν εἰσιν αἱ αἰτίαι, καθάπερ ὁ Χρύσιππος ἔλεγεν, ἀλλὰ καὶ πάνυ σαφεῖς τῷ γε μὴ βουλομένῳ φιλονεικεῖν τοῖς παλαιοῖς. οὐδὲν γὰρ οὕτως ἐναργές ἐστιν, ὡς τὸ δυνάμεις τινὰς ἐν ταῖς ἡμετέραις εἶναι ψυχαῖς ἐφιεμένας φύσει, τὴν μὲν ἡδονῆς, τὴν δὲ κράτους καὶ νίκης, ἃς ἐναργῶς ὁρᾶσθαί φησι, κἂν τοῖς ἄλλοις ζώοις ὁ Ποσειδώνιος, ὥσπερ καὶ ἡμεῖς ἐπεδείξαμεν εὐθὺς ἐν ἀρχῇ τοῦ πρώτου γράμματος. ἐπιμέμφεται δ' ὀρθῶς τοῦ Χρυσίππου, κἂν τῷ φάναι. τυχὸν δὲ τῆς ὁρμῆς διαμενούσης, οὐχ ὑπακούσεται τὰ ἑξῆς διὰ ποιὰν ἄλλην ἐπιγινομένην διάθεσιν. ἀμήχανον γὰρ εἶναί φησι παρεῖναι μὲν τὴν ὁρμὴν, ὑπ' ἄλλης δέ τινος αἰτίας κωλύεσθαι τὴν κατ' αὐτὴν ἐνέργειαν, ὅθεν κἀπειδὰν λέγῃ, οὕτω γὰρ καὶ κλαίοντες παύονται, καὶ μὴ βουλόμενοι κλαίειν κλαίουσιν, ὅταν ὁμοίας τὰ ὑποκείμενα φαντασίας ποιῇ, τὴν αἰτίαν ἐρωτᾷ κἀνταῦθα ὁ Ποσειδώνιος, δι' ἣν καὶ οἱ πολλοὶ μὴ βουλόμενοι πολλάκις κλαίουσιν, ἐπισχεῖν μὴ δυνάμενοι τὰ δάκρυα. καὶ ἄλλοι κλαίειν ἔτι βουλόμενοι, φθάνουσιν ἔτι παυόμενοι διὰ τὰς παθητικὰς κινήσεις σφόδρα ἐγκειμένας, ὡς μὴ κρατεῖσθαι πρὸς τῆς βουλήσεως, ἢ παντελῶς πεπαυμένας, ὡς μηκέτ' ἐπεγείρεσθαι δύνασθαι πρὸς αὐτῶν. οὕτω γὰρ ἥ τε τοῦ λόγου μάχη τε, καὶ διαφορὰ

πρὸς τὸ πάθος εὑρεθήσεται, καὶ τῆς ψυχῆς αἱ δυνάμεις ἐναργῶς ὀφθήσονται, οὐ μὰ Δία, ὡς Χρύσιππός φησι διά τινας αἰτίας ἀσυλλογίστους τούτων γινομένων, ἀλλὰ διὰ τὰς ὑπὸ τῶν παλαιῶν εἰρημένας. οὐ γὰρ Ἀριστοτέλης μόνον, ἢ Πλάτων ἐδόξαζον οὕτως. ἀλλ' ἔτι πρόσθεν ἄλλοι τέ τινες, καὶ ὁ Πυθαγόρας, ὡς καὶ ὁ Ποσειδώνιός φησιν, ἐκείνου πρώτου τε εἶναι λέγων τὸ δόγμα, Πλάτωνα δ' ἐξεργάσασθαι, καὶ κατασκευάσαι τελεώτερον αὐτό. διὰ τοῦτο τοίνυν καὶ τὰ ἔθη φαίνεται πλεῖστον δυνάμενα, καὶ ὅλως ὁ χρόνος εἰς τὰς παθητικὰς κινήσεις· ἐν μὲν γὰρ τοῖς ἔθεσιν οἰκειοῦται κατὰ βραχὺ τὸ τῆς ψυχῆς ἄλογον, οἷς ἂν ἐντρέφηται. κατὰ δὲ τὸν χρόνον ὡς προείρηται, παῦλα γίνεται τῶν παθῶν ἐμπιπλαμένων τῶν ἀλόγων τῆς ψυχῆς δυνάμεων, ὧν ἐπεθύμουν ἔμπροσθεν. αἱ δὲ λογικαὶ γνώσεις τε καὶ κρίσεις, καὶ ὅλως ἐπιστῆμαι πᾶσαι καὶ τέχναι, διὰ τὸν χρόνον αὐτὸν μόνον ψιλὸν, οὔτε δύσλυτοι φαίνονται γίγνεσθαι, καθάπερ οἱ κατὰ πάθος ἐθισμοὶ, οὔτε μετατίθεσθαί τε καὶ παύεσθαι, καθάπερ ἡ λύπη καὶ ἄλλα πάθη. τίς γὰρ τοῦ τὰ δὶς δύο τέτταρα εἶναι διὰ τὸν χρόνον ἐμπλησθεὶς, ἀπέστη καὶ μετεδόξασεν; ἢ τίς τοῦ, μὴ πάσας εἶναι τὰς ἐκ τοῦ κέντρου τοῦ κύκλου, καθ' ἕκαστόν τε τῶν ἄλλων θεωρημάτων, οὐδείς ἐστιν ὅστις ἐμπλησθεὶς ἀπέθετο τὴν παλαιὰν δόξαν, ὥσπερ ἀποτίθεται τὸ κλαίειν τε καὶ λυπεῖσθαι, καὶ στένειν, οἰμώζειν τε καὶ θρηνεῖν, ὅσα τε ἄλλα τοιαῦτα, κἂν αἱ περὶ τῶν γεγενημένων, ὡς κακῶν ὅμοιαι διαμένωσιν ὑπολήψεις. ἱκανὰ μὲν οὖν ἀμέλει, καὶ ταῦτα πρὸς ἔνδειξιν, ὧν οὐκ ὀρθῶς ἔγραψεν ὁ Χρύσιππος, ὑπέρ τε τῶν τῆς ψυχῆς παθῶν, καὶ πολὺ πρότερον ἔτι περὶ τῶν ἐργαζομένων αὐτὰ δυνάμεων. οὐ μὴν ἀλλὰ διὰ τοῦ πέμπτου γράμματος ἔγνωκα περὶ τῶν αὐτῶν ἔτι διαλεχθῆναι, παραλείπων μὲν τὰ πλεῖστα τῶν οὐκ ὀρθῶς εἰρημένων αὐτῷ. μόνων δὲ ἐκείνων μνημονεύων, ἐν οἷς ἐναντιολογεῖται πρὸς ἑαυτὸν, ἐναντία τε τολμᾷ φθέγγεσθαι τοῖς ἐναργῶς φαινομένοις. ἐπιμνησθήσομαι δ' ἐν αὐτοῖς ἔτι καὶ τῶν ὑπὸ τοῦ Ποσειδωνίου πρὸς τὸν Χρύσιππον ἀντειρημένων.

differat, inuenietur, animique vires manifestò seruabuntur, non per Iouem, vt Chrysippus ait, propter causas aliquas incomprehensibiles his accidentibus; verùm ob eas quæ à veteribus sunt expositæ. Quippe non Aristoteles tantùm aut Plato sic opinabantur, sed adhuc priores, aliique nonnulli, & Pythagoras, vt etiam Posidonius inquit, illius & primi dogma esse pronuncians, Platonem autem elaborasse fecisséque ipsum absolutius. Propterea igitur & consuetudines, & omninò tempus ad affectuum motus plurimum posse videntur; etenim consuetudine irrationabilitas animæ molescat in quocunque educetur. Tempore autem, vt prædictum est, affectus conquiescunt, repletis irrationabilibus animi facultatibus, his quæ antea desiderabant. At rationales cognitiones, iudicia, & summatim scientiæ omnes, artésque propter solum ipsum tempus nudum, neque difficiles ad dissolutionem fieri apparent, quemadmodum secundum affectum consuetudines, neque transponi & cessare, sicuti tristitia, aliique affectus. Quis namque ab eo quòd bis duo sint quatuor expletus temporis processu recessit, aliterque putauit? Vel quis de eo quòd omnes ex centro circuli æquales existant: In singulisque aliis speculationibus nullus est qui expletus veterem abiecit opinionem, quemadmodum deponit, sistitque plorare, tristari, suspirare, lugere, lamentari, quæque huius generis sint alia, etsi de præteritis tanquam malis opiniones permaneant. Sufficerent quidem igitur & hæc ad indicationem eorum quæ non rectè Chrysippus tradidit de animæ affectibus, & multò adhuc priùs de facultatibus ipsos efficientibus; attamen libro quinto de eisdem insuper disserere decreui, relinquens quidem plurima non rectè ab eo dicta, illorum verò duntaxat memor, in quibus sibi ipse aduersatur, contrariáque audet euidenter apparentibus proferre. Cæterùm indidem ea pariter quæ Posidonius aduersus Chrysippum litteris mandauerit, in memoriam sum reducturus.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΚΑΘ' ΙΠΠΟΚΡΑΤΗΝ ΚΑΙ ΠΛΑΤΩΝΑ ΔΟΓΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

GALENI DE HIPPOCRATIS ET PLATONIS PLACITIS LIBER QVINTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΠΕΜΠΤΩι.

Ενταῦθα τρεῖς εἶναι τὰς τῆς ψυχῆς δυνάμεις τε, καὶ τὰ πάθη ἀποδείκνυται, καὶ τὰ τοῦ Χρυσίππου ἐν τῷ τὰ τῆς ψυχῆς πάθη διαγινώσκειν τε καὶ θεραπεύειν, σφάλματα λέγεται.

ARGVMENTVM LIBRI QVINTI.

Hic tres animæ facultates & affectus esse probatur, Chrysippique errores in affectibus animi dignoscendis curandísque produntur.

CAPVT PRIMVM.

Quid agitur in toto hoc libro, & discrepantes in definiendis animi affectibus Chrysippi, Zenonis & Posidonij sententiæ.

SERMO de animi affectibus, necessarius etiam propter se mihi habitus est; magis autem ipsum necessarium Chrysippi sectatores reddiderunt, qui ad loci principem animæ facultatem continentis demonstrationem eo sunt vsi. Nam quum ostendissent quomodo ipsi vniuersos affectus in corde consistere opinentur, vt autem veritas habet, solam iracundiam; deinde vbi assumpsissent, vbicunque animi affectiones sint, ibi quoque ratiocinatricem ipsius facultatem haberi; ita iam concludunt, in corde ratiocinatricem existere. Nos verò, quoniam inde iracundia prosilit, vera ipsos dicere affirmamus, non tamen quòd vno in loco & irascibilem & ratiocinatricem facultatem esse necessarium sit, neque quòd vnius opera facultatis existant, concedimus; verùm demonstrare ipsos volumus, sicuti alia quæ ad rationem attinent, sic etiam quòd necessariò idem affectuum & rationis principium existat. Chrysippus itaque libro priore de affectibus ostendere conatur affectus ratiocinatricis facultatis quædam esse iudicia. Zeno non ipsa iudicia, sed superuenientes eis contractiones, solutionésque, elationes & casus animi affectus esse existimauit. Posidonius autem ab vtrisque dissentiens, laudat simul & admittit Platonis dogma, aduersatúrque Chrysippo;

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐν ὅλῳ τῷ βιβλίῳ λέγεται· καὶ τὰ ἐν τῷ διορίζειν τὰ τῆς ψυχῆς πάθη, Χρυσίππου τε, καὶ Ζήνωνος, καὶ Ποσειδωνίου διαφέροντα δόγματα.

ΠΕΡΙ τῶν παθῶν τῆς ψυχῆς λόγος ἀναγκαῖος μὲν ἦν ἡμῖν ἐσκέφθαι, καὶ δι' ἑαυτόν. ἀναγκαιότερον δὲ ἐποίησαν αὐτὸν οἱ περὶ τὸν Χρύσιππον εἰς ἀπόδειξιν τοῦ περιέχοντος τόπου τὸ τῆς ψυχῆς ἡγεμονοῦν προσχρησάμενοι. δείξαντες γὰρ ὡς μὲν αὐτοὶ νομίζουσιν ἅπαντα τὰ πάθη συνιστάμενα κατὰ τὴν καρδίαν, ὡς δὲ τἀληθὲς ἔχει τὰ κατὰ μόνον τὸν θυμόν, ἔπειτα προσλαβόντες· ὡς ἔνθα ἂν ᾖ τὰ πάθη τῆς ψυχῆς, ἐνταῦθ' ἐστι καὶ τὸ λογιζόμενον αὐτῆς, οὕτως ἤδη συμπεραίνουσιν, ἐν τῇ καρδίᾳ τὸ λογιστικὸν ὑπάρχειν. ἡμεῖς δὲ ὅτι μὲν ἐντεῦθεν ὁρμᾶται τὰ κατὰ τὸν θυμόν, ἀληθεύειν αὐτούς φαμεν, οὐ μὴν οὔθ' ὅτι καθ' ἕνα τόπον ἀναγκαῖόν ἐστι τό τε θυμούμενον εἶναι, καὶ τὸ λογιζόμενον, οὔθ' ὅτι μιᾶς δυνάμεως ἐστὸν ἔργα συγχωροῦμεν, ἀλλ' ἀποδεικνύειν αὐτοὺς ἀξιοῦμεν ὥσπερ τἄλλα τὰ κατὰ τὸν λόγον, οὕτω καὶ ὅτι τὴν αὐτὴν ἀρχὴν ἀναγκαῖόν ἐστιν εἶναι, τῶν τε παθῶν, καὶ τοῦ λογισμοῦ. Χρύσιππος μὲν οὖν ἐν τῷ πρώτῳ περὶ παθῶν ἀποδεικνύναι πειρᾶται κρίσεις τινὰς εἶναι τοῦ λογιστικοῦ τὰ πάθη, Ζήνων δ' οὐ τὰς κρίσεις αὐτάς, ἀλλὰ τὰς ἐπιγιγνομένας αὐταῖς συστολὰς καὶ λύσεις, ἐπάρσεις τε καὶ τὰς πτώσεις τῆς ψυχῆς ἐνόμιζεν εἶναι τὰ πάθη. ὁ Ποσειδώνιος δ' ἀμφοτέροις διενεχθεὶς, ἐπαινεῖ τε ἅμα καὶ προσίεται τὸ Πλάτωνος δόγμα, καὶ ἀντιλέγει τοῖς περὶ τὸν Χρύσιππον,

οὔτε κρίσεις εἶναι τὰ πάθη δεικνύων, οὔτε ἐπιγιγνόμενα κρίσεσιν, ἀλλὰ κινήσεις τινὰς ἑτέρων δυνάμεων ἀλόγων, ἃς ὁ Πλάτων ὠνόμασεν ἐπιθυμητικήν τε καὶ θυμοειδῆ. πολλῶν δ' εἰρημένων αὐτῷ πρὸς ἀπόδειξιν τοῦ παλαιοῦ δόγματος, ἃ μέν ἐστιν ἐπίκαιρα, ταῦτ' ἐν τῷ περὶ τούτου λόγῳ τετάρτῳ τῆς ὅλης ὄντι πραγματείας, ἐπειράθην εἰπεῖν διὰ βραχέων ἐπὶ τῇ τελευτῇ τοῦ γράμματος. ἐν μὲν γὰρ τοῖς ἔμπροσθεν αὐτὸς ἀπ' ἐμαυτοῦ διῆλθον ὅσα τε μάχεται τῶν ἐναργῶς φαινομένων τῷ Χρυσίππου δόγματι, καὶ ὅσα πρὸς ἑαυτὸν ἐναντιολογούμενος εἴρηκεν, οὐκ ἀναμείνας τὸν ἔξωθεν κατήγορον. ἱκανὰ μὲν οὖν ἦν καὶ ἐκεῖνα πρὸς ἀπόδειξιν τοῦ πλείους εἶναι δυνάμεις, αἷς ἐπιθυμοῦμέν τε καὶ θυμούμεθα, καὶ λογιζόμεθα, καὶ μὴ μίαν ὡς ὁ Χρύσιππος οἴεται. προσκείσεται δ' οὐκ ὀλίγα, καὶ κατὰ τοῦτον ἔτι τὸν λόγον, ὅσα ὁ Χρύσιππος αὐτὸς ἐναντιολογούμενος αὐτῷ, μαρτυρεῖ τοῖς τ' ἀληθέσιν ἅμα, καὶ τῷ παλαιῷ δόγματι. τὰ μὲν γὰρ ἄλλα τὰ κακῶς εἰρημένα πρὸς αὐτοῦ, καίτοι πάμπολλα τὸν ἀριθμὸν ὄντα, παρελθεῖν ἔκρινα, πολύβιβλόν τε ἅμα τὴν πραγματείαν ἔσεσθαί μοι νομίζων, εἰ πάντ' ἐξελέγχοιμι καλῶς, πεπεισμένος τε ὑπὸ φιλονεικίας τῆς πρὸς τοὺς παλαιοὺς ἐριστικώτερον ὑπ' αὐτῶν ἀντεροῦντάς μοι τοὺς ἐπαινοῦντας τὰ Χρυσίππου δόγματα. ἐν οἷς δὲ αὐτὸς ἑαυτὸν καταβάλλει μετὰ τοῦ καὶ μάχεσθαι τοῖς ἐναργῶς φαινομένοις, ἐν τούτοις ἡγοῦμαι τάχα ἂν αἰδεσθῆναί τέ τινα, καὶ μεταστῆναι πρὸς τὰ βελτίω, καθάπερ καὶ ὁ Ποσειδώνιος ἐποίησεν, αἰδεσθεὶς συναγορεῦσαι ψευδεῖ φανερῶς δόγματι τῷ τῶν ἄλλων Στωϊκῶν, οἵ γε μέχρι τοσούτου φιλονεικίας ἥκουσιν, ὥστ' ἐπειδὴ τῆς λογικῆς δυνάμεως ἔφασαν εἶναι τὰ πάθη, τοῖς ἀλόγοις ζώοις μὴ μετέχειν αὐτῶν συγχωρεῖν, οἱ πλεῖστοι δ' οὐδὲ τοῖς παιδίοις, ὅτι δηλαδὴ καὶ ταῦτ' οὐδέπω λογικά. τὸ μὲν οὖν οὕτως ἀναισχυντεῖν πρὸς τὰ πᾶσιν ἀνθρώποις ἐναργῶς φαινόμενα, σοφιστῶν ἔργον ἐστί. τὸ δὲ μηδὲ ἅπερ ὑπέθεντο δύνασθαι διαφυλάττειν, ἀλλ' ἐναντία γράφειν αὐτῶν, ἀγυμνάστων περὶ λόγον ἀνθρώπων, οἷός περ καὶ ὁ θαυμασιώτατος Χρύσιππος ἐν παμπόλλαις εὑρίσκεται πραγματείαις. ἀλλὰ περὶ μὲν τῶν ἄλλων ἑτέρωθι.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Οὐκ ὀρθῶς τὸν Χρύσιππον τὰ τῆς ψυχῆς πάθη ταῖς τῶν σωμάτων νόσοις προσεικάζειν.

Περὶ δὲ τῶν τῆς ψυχῆς παθῶν, ὡς οὐκ ἔστι τῆς λογικῆς δυνάμεως ἤδη μέν μοι, καὶ τὸ περὶ τούτου πεπλήρωται βιβλίον, ὧν αὐτὸς ἄκων ὁμολογεῖ. πληρωθήσεται δ' οὐδὲν ἧττον, καὶ τοῦτο τὴν ἀρχὴν ἐνθένδε ποιησαμένῳ. τὸ πάθος τῆς ψυχῆς κίνησίν τινα παρὰ φύσιν ἄλογον ὑπάρχειν, οὐχ οἱ παλαιοὶ μόνον, ἀλλὰ καὶ Χρύσιππος ὁμολογεῖ. καὶ μὲν δὴ ὡς ἡ κίνησις αὕτη ταῖς τῶν ἀστείων οὐκ ἐγγίνεται ψυχαῖς, ὡμολόγηται παρ' ἀμφοῖν. ὁποία δέ τίς ἐστιν ἡ τῶν φαύλων ψυχὴ κατά τε τὰ πάθη, καὶ πρὸ τῶν παθῶν, οὐκ ἔθ' ὁμοίως ἐξηγοῦνται. Χρύσιππος μὲν γὰρ ἀνάλογον ἔχειν αὐτήν φησι τοῖς ἐπιτηδείοις σώμασιν εἰς πυρετοὺς ἐμπίπτειν, ἢ διαρροίας, ἢ τι τοιοῦτον ἕτερον ἐπὶ μικρᾷ, καὶ τυχούσῃ προφάσει. καὶ μέμφεταί γε ὁ Ποσειδώνιος αὐτοῦ τὴν εἰκόνα. χρῆναι γάρ φησιν οὐ τούτοις ἀλλὰ τοῖς ἁπλῶς ὑγιαίνουσι σώμασιν εἰκάσαι τὴν τῶν φαύλων ψυχήν. εἴτε γὰρ ἐπὶ μεγάλοις αἰτίοις, εἴτ' ἐπὶ μικροῖς πυρέττοιεν, οὐδὲν διαφέρειν ὡς πρὸς τὸ πάσχειν τε αὐτά,

neque iudicia esse affectus ostendens, neque superuenientia iudicio, verùm motiones aliquas aliarum facultatum irrationabilium, quas Plato concupiscibilem & irascibilem nominauit. Quum autem multa ad veteris placiti demonstrationem prodiderit, quæ sanè præclara sunt ac opportuna, eadem superiori libro, qui totius operis quartus est, conatus sum breuiter ad commentarij calcem explicare. Etenim in prioribus ipse ex meo ingenio percensui, quæ euidenter apparentia cum Chrysippi placito pugnarent, & quæ sibimet contradicens ipse protulerit, non remoratus accusatorem externum.; suffecerant igitur & illa ad demonstrandum plures esse facultates, quibus concupiscimus, irascimur, ratiocinamur, & non vnam, veluti Chrysippus autumat. Apponentur autem non pauca etiam in hoc adhuc libro, quæ Chrysippus ipse sibi contraria dicens, contestatur veris simul, & veteri placito. Siquidem alia quæ perperam ab eo sunt dicta, quamuis numero permulta, præterire decreui; tum quia opus prolixum fore, si omnia probè coarguam, censeo; tum quia persuasum mihi est, eos qui Chrysippi placita collaudant, præ litigandi studio, quo erga veteres afficiuntur, litigiosiùs de ipsis mihi contradicturos. At in quibus ipse se deiicit, pugnátque cum manifestò apparentibus, in his puto forsan reuereri posse aliquem, & transire ad meliora, quemadmodum & Posidonius factitauit, reueritus falsò palam dogmati aliorum Stoicorum suffragari, qui eò veniunt contentionis, vt cum rationalis facultatis affectus esse dixerunt, non concedant animalia irrationalia eorum habere communionem, plurimi ne pueros quidem, quoniam scilicet & hi nondum rationis compotes sunt. Itaque tam impudenter aduersus ea, quæ omnibus hominibus euidenter apparent, resistere, ad sophistas pertinet. At quòd neque ea quæ statuerunt, tueri possint, sed contraria ipsis scribant, hominum est in dicendo non exercitatorum, qualis etiam maximè mirabilis ille Chrysippus in multis operibus deprehenditur. Verùm de aliis alibi.

CAPVT II.

Ineptè Chrysippum animi affectus corporis affectionibus assimilare.

AT de animi affectibus quòd rationalis facultatis non sint, iam sanè etiam superior liber repletus est his quæ ipse vel inuitus fatetur. Nihilominus & hic replebitur hinc ducto exordio. Affectum animi, motionem quandam præter naturam, rationis expertem esse, non veteres tantùm, sed Chrysippus quoque concedit. Quinetiam quòd motus hic ciuilium animis non innascitur, apud vtrosque in confesso est. Qualis autem sit prauorum anima, tum in affectibus, tum ante affectus, non itidem exponunt. Chrysippus namque ipsam respondere ait corporibus, quæ in febres, aut alui profluuium, aut aliud quoddam eiusmodi, leui ac fortuita occasione incidere sunt idonea. At Posidonius similitudinem ipsius damnat; oportere siquidem ait non his, verùm simpliciter sanis corporibus prauorum animam assimilare; siue enim ob magnas causas, siue ob paruas febricitent, nihil interesse vt patiantur ea,

&

& in affectum quomodocunque ducantur. Verùm eò quòd hæc facilè, illa difficilè incidunt, inuicem differre. Non igitur rectè à Chrysippo assimilari dicit animæ sanitatem, corporis sanitati; morbum verò, corporis constitutioni, quæ facilè in morbum incidat. Quippe sapientis animam scilicet nullis obnoxiam affectibus fieri; corpus autem nullum illis esse liberum; verùm iustius existere, vt prauorum animæ, vel corporeæ sanitati, quæ omnis procliuitatem in morbum habet (sic enim appellauit Posidonius) vel ipsi morbo assimilentur; esse enim vel morbosum quendam habitum, vel iam laborantem. Consentit autem Chrysippo, vt ipse & ægrotare dicat animo omnes prauos, similétque morbum ipsorum commemoratis corporis constitutionibus; itaque sic ad verbum scribit. *Quare & morbus animi similis est, non quemadmodum Chrysippus existimauit, morboso corporis habitui prauo ob quem subijciuntur erraticis, nec periodum habentibus febribus in quas incidunt, sed magis assimilatur animæ morbus vel corporeæ sanitati, procliuitatem in morbum cadendi habenti, vel ipsi morbo. Est enim corporis morbus habitus iam ægrotans. At qui à Chrysippo morbus dicitur, facilitas potiùs cadendi in febres apparet.* In his sanè laudo Posidonium, quòd prauorum animas, quum extra affectus constiterint, sanis corporibus similes esse prædicat. Non probo autem quòd eiusmodi constitutionem morbum nominet. Oportebat enim, si rectè sapientum animas vellet assimilare, dicete, simili corporibus modo, quæ ab affectibus sunt immunia, ipsas habere, siue sunt, siue non sunt quædam huiusmodi; (superfluum enim quantum ad propositam similitudinem hoc considerare.) At prouidorum, bono habitu præditis, mediocrium verò virorum, sanis sine bona habitudine, vulgarium autem & prauorum, iis qui leui de causa laborant, sed irascentium aut furibundorum, aut summatim affectu aliquo obsessorum, iis qui iam ægrotant. Sed enim cauisse mihi videtur, ne in omnibus à Chrysippo dissentiens deprehendatur. Quam enim aliam causam dicas, eius qui animi morbum ipse constitutioni corporum, tum sanorum, tum iam laborantium constitutioni assimilet? Non enim ambobus, verùm solis ægrotantibus animas laborantes comparasse erat iustius. Quippe vna res, putà animi morbus, nequit duabus contrariis rebus, sanitati pariter & morbo assimilari. Si enim hoc, etiam sanitatem morbo persimilem esse oportebit. Siquidem animæ morbo vtrumque ipsorum assimilauit. Quippe quæ eidem similia sunt, omninò etiam inter se similia sunt. At Chrysippus absurdiùs adhuc ne in circuitu quidem morbis quibusdam consistentibus, veluti tertianis aut quartanis febribus, animi morbum assimilari concedit. Scribit itaque hunc in modum. *Cogitandum igitur animi morbum febrili corporis constitutioni esse simillimum, qua non circuitus modò, sed inordinatæ febres horroresque oboriuntur, & præsertim à dispositione, paruisque superuenientibus causis.* Haud noui quæ tandem ipsis sit opinio. Alios procliues ad morbum, ægrotare iam dicit: iam verò ægrotantes nequaquam ægrotare. Nam qui in quartanis, tertianisque periodis sunt, quum quidem concutiuntur & febricitant, affectu detinentur; quum autem morbosa ipsorum constitutio commouetur, nihilque horum ipsi patiuntur, sed in dictis interuallis existunt,

καὶ εἰς πάθος ἄγεσθαι καθ' ὁτιοῦν. ἀλλὰ τῷ τὰ μὲν εὐέμπτωτα εἶναι, τὰ δὲ δύσπτωτα, διαφέρειν ἀλλήλων. οὐκοῦν ὀρθῶς εἰκάζεσθαί φησιν ὑπὸ τοῦ Χρυσίππου, τὴν μὲν ὑγίειαν τῆς ψυχῆς, τῇ τοῦ σώματος ὑγιείᾳ, τὴν δὲ νόσον, τῇ ῥᾳδίως εἰς νόσημα ἐμπιπτούσῃ καταστάσει τοῦ σώματος. ἀπαθῆ μὲν γὰρ γίγνεσθαι ψυχὴν τὴν τοῦ σοφοῦ δηλονότι, σῶμα δ' οὐδὲν ὑπάρχειν ἀπαθές. ἀλλὰ δικαιότερον εἶναι προσεικάζειν τὰς τῶν φαύλων ψυχάς, ἤτοι τῇ σωματικῇ ὑγιείᾳ ἐχούσῃ τὸ εὐέμπτωτον εἰς νόσον. οὕτω γὰρ ὠνόμασεν ὁ Ποσειδώνιος, ἢ αὐτῇ τῇ νόσῳ. εἶναι γὰρ ἤτοι νοσώδη τινὰ ἕξιν, ἢ ἤδη νοσοῦσαν. συμφέρεται μέντοι τῷ Χρυσίππῳ, καὶ αὐτὸς ὡς νοσεῖν τε, καὶ λέγειν τὴν ψυχὴν ἅπαντας τοὺς φαύλους, ἐοικέναι τε τὴν νόσον αὐτῶν ταῖς εἰρημέναις τοῦ σώματος καταστάσεσι. λέγει γοῦν ὧδε κατὰ λέξιν. διὸ καὶ ἡ νόσος τῆς ψυχῆς ἔοικεν, οὐχ ὡς ὁ Χρύσιππος ὑπείληφε τῇ νοσώδει καχεξίᾳ τοῦ σώματος, καθ' ἣν ὑποφέρεται ῥομβώδεσιν οὐχὶ περιοδικοῖς οἷς τ' ἐμπίπτει πυρετοῖς. ἀλλὰ μᾶλλον ἔοικεν ἡ ψυχικὴ νόσος ἤτοι σωματικῇ ὑγιείᾳ ἐχούσῃ τὸ εὐέμπτωτον εἰς τὴν νόσον, ἢ αὐτῇ τῇ νόσῳ. ἔστι γὰρ ἡ μὲν σωματικὴ νόσος, ἕξις ἤδη νοσοῦσα. ἡ δὲ ὑπὸ τοῦ Χρυσίππου λεγομένη νόσος, εὐεμπτωσίᾳ μᾶλλον ἔοικεν εἰς πυρετούς. ἐν τούτοις τὸν Ποσειδώνιον ἐπαινῶ μέν, ὅτι τοῖς ὑγιαίνουσι σώμασιν ὁμοίως ἔχειν φησὶ τὰς τῶν φαύλων ψυχάς, ὅταν ἔξω παθῶν καθεστήκασιν, οὐκ ἐπαινῶ δὲ νόσον ὀνομάζοντα τὴν τοιαύτην κατάστασιν. ἐχρῆν γὰρ εἴπερ ὀρθῶς εἴκαζε τὰς μὲν τῶν σπουδαίων ψυχάς, ὁμοίως ἔχειν φάναι τοῖς ἀπαθέσι σώμασιν, εἴτ' οὖν ἐστιν, εἴτ' οὐκ ἔστι τινὰ τοιαῦτα. (περιττὸν γὰρ ὡς πρὸς τὴν προκειμένην εἰκόνα διασκέπτεσθαι τοῦτο.) τὰς δὲ τῶν προκοπτόντων τοῖς εὐεκτικοῖς, τὰς δὲ τῶν μετρίων ἀνδρῶν, τοῖς ὑγιαίνουσι χωρὶς εὐεξίας, τὰς δὲ τῶν πολλῶν τε, καὶ φαύλων τοῖς ἐπὶ σμικρᾷ προφάσει νοσοῦσι. τὰς δὲ τῶν ὀργιζομένων, ἢ θυμουμένων, ἢ ὅλως ἐν πάθει τινὶ καθεστώτων τοῖς ἤδη νοσοῦσιν. ἀλλὰ γὰρ εὐλαβηθῆναί μοι δοκεῖ διαφερόμενος ἐν ἅπασι φωραθῆναι Χρυσίππῳ. τίνα γὰρ ἄν τις ἄλλην αἰτίαν εἴποι τοῦ τὴν νόσον τῆς ψυχῆς ὁμοιοῦν αὐτὸν τῇ καταστάσει τῶν θ' ὑγιαινόντων σωμάτων, τῶν τ' ἤδη νοσούντων. οὐ γὰρ ἀμφοτέροις, ἀλλὰ μόνοις τοῖς νοσοῦσι δικαιότερον ἦν παραβεβλῆσθαι τὰς νοσούσας ψυχάς. ἀδύνατον γὰρ ἓν πρᾶγμα τὴν νόσον τῆς ψυχῆς δυσὶν ἐναντίοις ὡμοιῶσθαι πράγμασιν ὑγιείᾳ τε ἅμα, καὶ νόσῳ. εἰ γὰρ δὴ τοῦτο, καὶ τὴν ὑγίειαν ἀναγκαῖον ἔσται τῇ νόσῳ παραπλησίαν ὑπάρχειν, εἴ γε δὴ καὶ τῇ τῆς ψυχῆς νόσῳ προσέοικεν ἑκάτερον αὐτῶν. τὰ γὰρ τῷ αὐτῷ παραπλήσια, πάντως που καὶ ἀλλήλοις ἐστὶ παραπλήσια. Χρύσιππος δ' ἀτοπώτερον ἔτι, μηδ' ἐν ταῖς περιοδικαῖς τισι νόσοις καθεστώσαις οἱονεὶ τριταίων, ἢ τεταρταίων πυρετῶν ὡμοιῶσθαι συγχωρῶν τὴν νόσον τῆς ψυχῆς. γράφει γοῦν ὧδε. ὑπονοητέον τοίνυν τὴν μὲν τῆς ψυχῆς νόσον ὁμοιοτάτην εἶναι τῇ τοῦ σώματος πυρετώδει καταστάσει, καθ' ἣν οὐ περιοδικῶς, ἀλλ' ἀτάκτως πυρετοί, καὶ φρῖκαι γίνονται, καὶ ἄλλως ἀπὸ τῆς διαθέσεως, καὶ μικρῶν ἐπιγινομένων αἰτίων. οὐκ οἶδα τί ποτε δόξαν αὐτῷ, τοὺς μὲν ἐπίμως ἔχοντας πρὸς τὸ νοσῆσαι, νοσεῖν ἤδη φησί, τοὺς δ' ἤδη νοσοῦντας, οὐχ ὅλως νοσεῖν. οἱ γὰρ ἐν τεταρταίαις, καὶ τριταίαις περιόδοις ὄντες, ἐπειδὰν μὲν ῥιγῶσί τε καὶ πυρέττωσιν, ἐν πάθει καθεστήκασι. κινουμένης δ' αὐτῶν τῆς νοσώδους κατασκευῆς, ἐπειδὰν μηδὲν τούτων πάσχωσιν, ἀλλ' ἐν τοῖς καλουμένοις διαλείμμασιν ὦσιν,

ἔξω τῶν παθῶν εἰσι. τὴν μέντοι νοσώδη κατάστασιν, εἰκάζοι τις ἂν οἶμαι τοῖς ἤτοι πενθοῦσιν, ἢ ἐρῶσιν, ἢ φθονοῦσιν, ἤ τι τοιοῦτον ἕτερον πάσχουσιν. καὶ γὰρ οὗτοι καθ' ὃν μὲν ἂν χρόνον, ἢ ὑπνώττωσιν, ἢ πρὸς ἄλλῳ τινὶ τὴν διάνοιαν ἔχωσιν, ἔξω τῶν παθῶν γίνονται. μετ' ὀλίγον δὲ ἀναμνησθέντες αὐτῶν, εἰς παραπλησίαν τινὰ κατάστασιν ἀφικνοῦνται ταῖς καταβολαῖς τῶν πυρετῶν. ὅσοις μέντοι μήτε πένθος ἐνέστηκε, μήτ' ἐπιθυμία τις ὑπόγυος, ἢ θυμὸς, οὗτοι τοῖς ὑγιαίνουσι τὰ σώματα παραπλησίως ἔχουσιν. ἐπεὶ δὲ καὶ τούτων αὐτῶν ἔνιοι μὲν εἰσὶν εὐάλωτοι νόσοις, ἔνιοι δ' οὔ, καὶ τῶν τὰς ψυχὰς ὑγιαινόντων, οἱ μὲν τούτοις, οἱ δ' ἐκείνοις ὁμοίως ἕξουσιν, οὐ μὴν λεχθήσονταί γε νοσεῖν τὰς ψυχάς· ὥσπερ μηδ' ἐκεῖνοι τὰ σώματα. ἀλλὰ νὴ Δία φήσει τις ἴσως τῶν Στωϊκῶν, ὥσπερ οὖν καὶ λέγουσιν, οὐ τὴν αὐτὴν ἀναλογίαν εἶναι τῇ ψυχῇ πρὸς τὸ σῶμα, κατά τε τὰ πάθη, καὶ τὰ νοσήματα, καὶ τὴν ὑγίειαν. τί ποτ' οὖν, ὦ βέλτιστοι, φαίημεν ἂν ἡμεῖς πρὸς αὐτούς, εἰκάζετε τοῖς κατὰ τὸ σῶμα πάθεσί τε, καὶ νοσήμασι τὰ τῆς ψυχῆς πάθη; τί δὲ Χρύσιππος ἐν τῷ περὶ παθῶν ἠθικῷ γράφει ταυτί· οὔτε γὰρ περὶ τὸ νοσοῦν σῶμά ἐστί τις τέχνη ἣν προσαγορεύομεν ἰατρικήν, οὐχὶ δὲ καὶ περὶ τὴν νοσοῦσαν ψυχὴν ἐστί τις τέχνη, οὔτ' ἐν τῇ κατὰ μέρος θεωρίᾳ τε, καὶ θεραπείᾳ δεῖ λείπεσθαι ταύτην ἐκείνης. διὸ καὶ καθάπερ τῷ περὶ τὰ σώματα ἰατρῷ καθήκει τῶν τε συμβαινόντων αὐτοῖς παθῶν ἐντὸς εἶναι, ὡς εἰώθασι τοῦτο λέγειν, καὶ τῆς ἑκάστῳ οἰκείας θεραπείας, οὕτω καὶ τῷ τῆς ψυχῆς ἰατρῷ ἐπιβάλλει ἀμφοτέρων τούτων ἐντὸς εἶναι, ὡς ἔνι ἄριστα. καὶ ὅτι οὕτως ἔχοι, μάθοι ἄν τις τῆς πρὸς ταῦτα ἀναλογίας παρατεθείσης ἀπ' ἀρχῆς. ἡ γὰρ πρὸς ταῦτα ἀντιπαρατείνουσα οἰκειότης, παραστήσει ὡς οἴομαι, καὶ τὴν τῶν θεραπειῶν ὁμοιότητα, καὶ ἔτι τὴν ἀμφοτέρων τῶν ἰατρειῶν πρὸς ἀλλήλας ἀναλογίαν. ὅτι μὲν οὖν ἀναλογίαν τινὲς βούλονται εἶναι τῶν ἐν τῇ ψυχῇ τοῖς κατὰ τὸ σῶμα, δῆλον οἶμαι γεγονέναι, καὶ οὐ μόνον γε διὰ τῆς προγεγραμμένης ῥήσεως, ἀλλὰ καὶ δι' ὧν ἐφεξῆς γράφει τόνδε τὸν τρόπον ἐχόντων. καθάπερ γὰρ καὶ ἐπὶ τοῦ σώματος θεωρεῖται ἰσχύς τε, καὶ ἀσθένεια, εὐτονία, καὶ ἀτονία, καὶ τόνος, πρὸς δὲ τούτοις ὑγίειά τε καὶ νόσος, εὐεξία τε καὶ καχεξία, καὶ τἄλλα ὅσα τούτοις ἑξῆς καταλέγει, πάθη τε καὶ ἀρρωστήματα, καὶ νοσήματα. κατὰ τὸν αὐτόν φησι τρόπον ἀνάλογόν τινα πᾶσι τούτοις, καὶ ἐν ψυχῇ λογικῇ συνίσταταί τε καὶ ὀνομάζεται, εἶθ' ἑξῆς ἐπιφέρων φησίν, ὡς οἴομαι ἀπὸ τῆς τοιαύτης ἀναλογίας τε καὶ ὁμοιότητος, καὶ τῆς ἐν αὐτοῖς συνωνυμίας γεγενημένης. καὶ γὰρ καὶ κατὰ ψυχήν τινας λέγομεν ἰσχύειν, καὶ ἀσθενεῖν, καὶ εὐτόνους, καὶ ἀτόνους εἶναι. καὶ ἔτι νοσεῖν, καὶ ὑγιαίνειν. οὕτω πως καὶ τοῦ πάθους, καὶ τοῦ κατ' αὐτὴν ἀρρωστήματος λεγομένου, καὶ τῶν τούτοις παραπλησίων. ἐναργῶς γὰρ ἐν τούτοις ὁ Χρύσιππος ἀναλογίαν τινὰ βούλεται σώζεσθαι τῶν ἐν τῇ ψυχῇ τοῖς κατὰ τὸ σῶμα, καὶ παθῶν πρὸς πάθη, καὶ ἀρρωστημάτων πρὸς ἀρρωστήματα, καὶ νοσημάτων πρὸς νοσήματα, καὶ ὑγιείας πρὸς ὑγίειαν, καὶ εὐεξίας πρὸς εὐεξίαν, καὶ ἰσχύος πρὸς ἰσχύν, καὶ ἀσθενείας πρὸς ἀσθένειαν. καὶ ἁπλῶς εἰπεῖν, ἁπάντων τῶν συνωνύμως λεγομένων πρὸς ἅπαντα. καὶ γὰρ τοὔνομα, καὶ τὸν λόγον αὐτῶν εἶναι τὸν αὐτόν, εἴ γε δὴ συνώνυμά φησιν ὑπάρχειν αὐτά, ὥστε ὅπως ἄν τις ὁρίζηται καθόλου τὴν ἐν τῷ σώματι νόσον, ἀναγκαῖον εἶναι τούτῳ, καὶ τὴν ἐν ψυχῇ κατὰ τὸν αὐτὸν τρόπον ὁρίζεσθαι. ὅτι μὲν οὖν πρόκειται τῷ Χρυσίππῳ ἀναλογίαν ἅπασαν ἐξηγεῖσθαί τε καὶ φυλάττειν, ἐκ τούτων δῆλον.

extra affectus sunt. Morbosam verò constitutionem assimilauerit aliquis meo iudicio iis qui vel lugent, vel amant, vel inuident, vel huiusmodi quodam alio vrgentur affectu. Siquidem in quocunque tempore vel dormiunt, vel ad aliud quoddam mentem habent, extra affectum feruntur. Paulò post vbi ipsorum meminerint, in constitutionem quandam febrium insultibus persimilem deueniunt. Quibus verò neque luctus obuenit, neque cupiditas quædam, vel iracundia recens, hi iis qui corporibus sani sunt, similiter habent. Quoniam verò & horum ipsorum nonnulli facilè capiuntur morbis, nonnulli minùs, & inter eos qui animo valent, alij his, alij illis similiter habebunt, non tamen dicentur animis ægrotare; siquidem ne illi quidem corporibus. Sed per Iouem, dicet forsan aliquis Stoicorum, quemadmodum vtique dicunt, non eandem esse animæ cum corpore proportionem in affectibus, morbis, & sanitate. Quidnam igitur, ô præstantissimi, nos ad ipsos dixerimus, assimilatis corporis affectibus morbisque, animi affectus? Cur autem Chrysippus in libro morali de affectibus hæc scribit? *Neque enim circa ægrum corpus ars quædam est, quam vocamus Medicinam, non autem & circa animam ægrotantem ars quædam habetur, neque hanc in particulari speculatione ac curatione illa inferiorem esse oportet. Quare itidem veluti corporum medico conuenit, & intra affectus ipsis euenientes esse (vt consueuerunt hoc dicere) & intra peculiarem vniuscuiusque curationem: sic & animæ medico incumbit, vt quam licet maximè intra hæc ambo existat. Et quòd ita habeat, didicerit aliquis proportione quæ inter ipsa est ab initio exposita; nam proprietas eorum ad hæc comparata confirmabit meo iudicio curationum quoque similitudinem, præterea vtriusque medicinæ inter se proportionem.* Quòd itaque nonnulli animæ proportionem cum corpore esse volunt, innotuisse arbitror, idque non solùm ex superiùs comprehensa sententia, verùm ex his pariter, quæ deinceps quoque hunc in modum describit. *Quemadmodum enim in corpore spectatur robur, imbecillitas, firmitas, infirmitas, & vis, ad hæc sanitas, morbus, bonus, malúsque habitus, ac alia quæ post hæc enumerat, affectus, ægritudines, & morbi: pari, inquit, modo, proportione quadam omnibus his, & in anima rationali consistunt nominantúrque.* Deinde rursus; *Inferam (inquit) tanquam, vt puto, ab huiusmodi proportione & similitudine itidem cognominatione in ipsis facta. Etenim animo quosdam valere dicimus, & infirmari, validos & inualidos esse; ad hæc ægrotare, & sanos esse.* Ita etiam affectus eiusque infirmitas dicitur, atque his consimilia. Manifestè enim in his Chrysippus proportionem quandam animi affectuum cum iis quæ corpori accidunt, seruare cogitat, vitiorum cum vitiis, affectionum cum affectionibus, morborum cum morbis, sanitatis cum sanitate, boni habitus cum bono habitu, roboris cum robore, imbecillitatis cum imbecillitate, & summatim omnium quæ simili nomine dicuntur, cum omnibus. Quippe nomen rationémque ipsorum esse eandem siquidem synonyma ipsa esse pronunciat; quapropter vt quis vniuersim corporis morbum definiat, necessarium huic esse, & animi morbum pari modo definire. Quòd itaque Chrysippo institutum est, proportionem vniuersam & interpretari, & tueri, hinc manifestè constat.

At

At si aggressus ipsum facere, non assequitur quod propositum est, haud desistendum est à similitudine, verùm disciplina tanquam minimè verax damnanda est. Id verò nihilominus ipsi inest in subsequenti toto sermone qui in opere morali de affectibus habetur; scribit itaque hunc in modum. *Quare etiam pro more Zenoni oratio producta est. Animi morbus, corporis infirmitati simillimus est; dicitur autem corporis morbus esse immoderatio calidi in eo, frigidi, sicci, & humidi.* Ac paulò post, *Corporis sanitas, bona quædam temperies, & commoderatio commemoratorum.* Ac deinde rursus, *Puto enim esse bonam corporis habitudinem optimam dictorum temperiem.* Iterúmque deinceps, *Dicuntur autem & hæc non abs re in corpore, eò quòd in calidis, frigidis, humidis, & siccis eueniens commoderatio aut immoderatio, est sanitas, aut morbus. At in neruis commoderatio, aut immoderatio, robur vel imbecillitas, firmitas vel infirmitas existit; in membris autem commoderatio vel immoderatio, pulchritudo aut turpitudo est.* Sed hæc, ô præclare Chrysippe, omnia rectè percensuisti; trade autem nobis, vt pollicitus es, proportionem eorum quæ in anima consimili ipsis nomine appellata sunt, auspicatus à sanitate & morbo. Quemadmodum enim sanitas corporis est commoderatio simplicissimarum eius partium, quæ iam & elementa nuncupamus calidi dico, & frigidi, & sicci, & humidi: eodem modo etiam erit animi sanitas, commoderatio quædam simplicium ipsis partium: quæ tandem, & quot, quomodóque inuicem se habeant, persequi tibi erit necessarium, si nihil eorum quæ promisisti, es omissurus. Quinetiam morbus animi similiter immoderatio quædam est, & discordia ipsarum harum partium inter se quarum commoderatio animi erat sanitas. Sunt autem hæ partes, iuxta Platonis sententiam, irascibilis, rationalis, præterea ad hæc tertia concupiscibilis; vt seruetur sanitatis & morbi omninò similitudo animi cum corpore; etenim concordes inuicem hæ tres, & in nullo dissidentes, sanitatem animi efficiunt; discordes autem & contendentes, morbum; est namque morbus superius quoddam & vniuersalius veluti paulò ante dictum est. Comprehendimus itaque ipsius notionem hoc pacto, rei natura congenitæ dissidium ex aliqua corruptela, sic enim Plato in Sophista definiuit. Quòd autem suprema est demonstratio hæc, & omnes particulares morbos exactè comprehendit, tum animi nostri, tum corporis, tum aliorum animantium, stirpiúmque, iam verò eos etiam qui in ciuitatibus totis, haud operosum est condiscere: sic enim, puto, ciuili bello oppressas ciuitates, intestino bello ægrotare in seipsis dicimus, tanquam ij qui congeneres natura in ipsis sunt, ad pugnam descenderint. Hæc sanè generalissima totius morbi notio est; at simplicissimarum partium inuicem seditio minus hac est generalis, & hac adhuc minùs, quùm calidi, frigidi, sicci, & humidi immoderatio quædam esse dicitur; corporis enim hæc solius, & aliorum nullius est morbus, quemadmodũ & ratiocinatricis dissidium nullius aliorum est, præterquam animi morbus. At Chrysippus duplici modo peccat in horum disciplina. Primum quidem quia ipse secum dissentit, in opere quidem Ethico de affectibus, dicens animi morbum vniuocè cum corporis morbo appellari.

A Εἰ δὲ ἐπιχειρήσας αὐτὸν ποιεῖν, οὐ τυγχάνει τοῦ προτεθέντος, οὐκ ἀποστατέον ἐστὶ τῆς ὁμοιότητος, ἀλλὰ τῇ διδασκαλίᾳ μεμπτέον, ὡς οὐκ ἀληθεῖ. τοῦτο δ' οὐδὲν ἧττον αὐτῇ, καὶ κατὰ τὸ ἐφεξῆς ὑπάρχειν λέγων ἅπαντα τὸν ἐν τῷ περὶ παθῶν ἠθικῷ. γράφει γοῦν ὧδε. διὸ καὶ κατὰ τρόπον παρείκασται Ζήνωνι λόγος. ἡ δὲ τῆς ψυχῆς νόσος ὁμοιοτάτη ἐστὶ τῇ τοῦ σώματος ἀκαταστασίᾳ. λέγεται δὲ εἶναι σώματος νόσος ἡ ἀσυμμετρία τῶν ἐν αὐτῷ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ. καὶ μετ' ὀλίγα. ἡ δ' ἐν τῷ σώματι ὑγίεια, εὐκρασία τις καὶ συμμετρία τῶν εἰρημένων. καὶ πάλιν ἐφεξῆς. οἶμαι γὰρ εἶναι B εὐεξίαν σώματος, τὴν ἀρίστην τῶν ῥηθέντων εὐκρασίαν. καὶ πάλιν ἐφεξῆς. λέγεται δὲ καὶ ταῦτα οὐκ ἀπὸ τρόπου ἐπὶ τοῦ σώματος, διότι ἡ ἐν θερμοῖς, καὶ ψυχροῖς, καὶ ὑγροῖς, καὶ ξηροῖς γινομένη συμμετρία, ἢ ἀσυμμετρία ἐστὶν ὑγίεια, ἢ νόσος. ἡ δὲ ἐν νεύροις συμμετρία, ἢ ἀσυμμετρία, ἰσχὺς, ἢ ἀσθένεια, καὶ εὐτονία, ἢ ἀτονία. ἡ δ' ἐν τοῖς μέλεσι συμμετρία, ἢ ἀσυμμετρία, κάλλος ἢ αἶσχος. ἀλλὰ ταῦτα μὲν, ὦ γενναιότατε Χρύσιππε, καλῶς ἅπαντα διῆλθες. ἀπόδος δ' ἡμῖν ὡς ἐπηγγείλω τὴν ἀναλογίαν τῶν ἐν τῇ ψυχῇ συνωνύμως αὐτοῖς ὀνομασμένων, ἀρξάμενος ἀπὸ τῆς ὑγιείας τε καὶ C νόσου. ὥσπερ γὰρ ὑγίεια σώματός ἐστιν ἡ συμμετρία τῶν ἁπλουστάτων αὐτοῦ μορίων, ἃ δὲ καὶ στοιχεῖα προσαγορεύομεν (τοῦ θερμοῦ λέγω, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ) κατὰ τὸν αὐτὸν τρόπον εἴη ἂν οἶμαι, καὶ ἡ τῆς ψυχῆς ὑγίεια συμμετρία τις τῶν ἁπλῶν αὐτῆς μορίων, ἃ τινά ποτ' ἐστὶ καὶ ὁπόσα, καὶ ὅπως ἔχοντα πρὸς ἄλληλα, διελθεῖν ἀναγκαῖον ἔσται σοι, μέλλοντί γε μηδὲν παραλείψειν ὧν ἐπηγγείλω. καὶ δὴ καὶ ἡ νόσος, ἡ τῆς ψυχῆς ὡσαύτως ἀσυμμετρία τις ἔσται, καὶ στάσις πρὸς ἄλληλα τῶν αὐτῶν τούτων μορίων, ὧν ἡ συμμετρία τῆς ψυχῆς ἦν ὑγίεια. τὰ δὲ μόρια ταῦτα κατὰ τὸν Πλά- D τωνα, τὸ θυμοειδές ἐστι, καὶ τὸ λογιστικὸν, ἔτι τε πρὸς τούτοις τρίτον τὸ ἐπιθυμητικὸν, ὥστε σώζεσθαι τήν τε τῆς ὑγιείας, καὶ τὴν τῆς νόσου κατὰ πᾶν ὁμοιότητα τῆς ψυχῆς πρὸς τὸ σῶμα. συμφωνοῦντα μὲν γὰρ ἀλλήλοις τὰ τρία, καὶ κατὰ μηδὲν στασιάζοντα, τὴν ὑγίειαν τῆς ψυχῆς ἀπεργάζεται, διαφωνήσαντα δὲ καὶ στασιάσαντα, τὴν νόσον. ἔστι γὰρ ἡ νόσος ἀνωτέρω, καὶ καθόλου μᾶλλον, ὡς μικρὸν ἔμπροσθεν εἴρηται. περιλάβωμεν οὖν αὐτῆς τὴν ἔννοιαν, ἢ τοῦ φύσει συγγενοῦς ἔκ τινος διαφθορᾶς, διαφοράν, οὕτω γὰρ ἐν σοφιστῇ Πλάτων ὡρίσατο. ὅτι δ' ἀνωτάτω τ' ἐστὶν ἡ ἀπόδειξις ἥδε, καὶ πάσας E τὰς κατὰ μέρος νόσους ἀκριβῶς ἐπιλαμβάνει, τάς τε τῆς ψυχῆς ἡμῶν, καὶ τὰς τοῦ σώματος, καὶ τὰς ἐν τοῖς ἄλλοις ζώοις τε καὶ φυτοῖς, ἤδη δὲ κἂν ταῖς πόλεσιν ὅλαις οὐ χαλεπὸν καταμαθεῖν. οὕτω γὰρ οἶμαι, καὶ τὰς στασιαζούσας πόλεις ἐμφυλίῳ πολέμῳ νοσεῖν ἐν ἑαυταῖς λέγομεν, ὡς ἂν εἰς μάχην ἀφιγμένων τῶν ἐν αὐταῖς φύσει συγγενῶν. αὕτη μὲν ἡ γενικωτάτη νόσου πάσης ἔννοια. τῶν δ' ἁπλουστάτων μορίων, ἡ πρὸς ἄλληλα στάσις, ἧττον ταύτης ἐστὶ γενική, καὶ ταύτης ἔθ' ἧττον, ἐπειδὰν θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ ἀμετρία τις εἶναι λέγεται. σώματος γὰρ αὕτη γε μό- F νου, καὶ οὐδενὸς τῶν ἄλλων ἐστὶ νόσος, ὥσπερ γε καὶ ἡ τοῦ λογιστικοῦ στάσις οὐδενὸς τῶν ἄλλων ἐστὶ, πλὴν ψυχῆς νόσος. ὁ δὲ Χρύσιππος ἁμαρτάνει διττὰ κατὰ τὴν ἐν τούτοις διδασκαλίαν. πρῶτον μὲν, ὅτι διαφέρεται πρὸς αὑτόν, ἐν μὲν τῷ περὶ παθῶν ἠθικῷ, συνωνύμως ὀνομάζεσθαι λέγων τὴν ἐν τῇ ψυχῇ νόσον τῇ κατὰ τὸ σῶμα.

διὰ δὲ τοῦ πρώτου τὴν λογικὴν εἰκάζων αὐτὴν, εὐλύτῳ καὶ εὐδιαφθάρτῳ ὑγιείᾳ. ἔπειθ' ὅτι μηδ' ὅπερ ἀληθῶς ὑπέσχετο κατὰ τὸ θεραπευτικὸν, καὶ ἠθικὸν ἐπιγραφόμενον βιβλίον, ἠδυνήθη δεῖξαι. τί δ' ἐστὶ τοῦτο; τὴν μερῶν τῆς ψυχῆς ἡ πρὸς ἄλληλα συμμετρία, καθ' ἣν ὑγιαίνειν τε λέγεσθαι, καὶ νοσεῖν. πάντα γὰρ αὐτῆς τά τε πάθη, καὶ τὰ νοσήματα, καθ' ἓν ὑποθέμενος γίγνεσθαι τὸ λογιστικὸν, εἰκότως ἀπορεῖ διηγήσασθαι τίνων μὲν ἐστι μορίων ἡ τῆς ψυχῆς ὑγεία, συμμετρία. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐν συμμετρίᾳ μερῶν ὑποθέμενος γίγνεσθαι τὸ κάλλος, ἐν ἀμετρίᾳ δέ τινι τὸ αἶσχος, εἰκότως ἀπορεῖ διηγήσασθαι ποίων μὲν τῆς ψυχῆς μερῶν ἡ συμμετρία κάλλος ἐστὶ, ποίων δὲ ἀμετρία, αἶσχος. καίτοι γράφει γ' ἐφεξῆς, ὧν ὀλίγον ἔμπροσθεν αὐτοῦ παρεθέμην ῥήσεων, ὧδε. διὸ καὶ καλὴ, ἢ αἰσχρὰ ψυχὴ ἀνάλογον ῥηθήσεται κατὰ συμμετρίαν τέ τινα, καὶ ἀσυμμετρίαν ποιῶν δέ τινων μερῶν. ὅτι μὲν οὖν κατὰ συμμετρίαν τέ τινα, καὶ ἀσυμμετρίαν ποιῶν δέ τινων μερῶν τῆς ψυχῆς, ἢ καλὴν, ἢ αἰσχρὰν αὐτὴν εἶναι λεκτέον ἐστὶ, καὶ ὑγιαίνουσαν, καὶ νοσοῦσαν ὀρθῶς εἴρηται τῷ Χρυσίππῳ. τίνα δ' ἐστὶ ταῦτα τὰ τῆς ψυχῆς μόρια μὴ δυνάμενος εἰπεῖν, ὡς ἂν ἐν ἑνὶ μόνῳ τῷ λογιστικῷ, καὶ τὴν ὑγείαν αὐτῆς, καὶ τὴν νόσον, καὶ τὸ κάλλος, καὶ τὸ αἶσχος τιθέμενος, ἀναγκάζει περιπλέκειν τε τὸν λόγον, καὶ τῆς ἐνεργείας αὐτῆς, ὡς μερῶν μνημονεύειν. ἐφεξῆς γοῦν οἷς παρεθέμην, ὧδε γράφει. ἔστι δὲ τῆς ψυχῆς μέρη, δι' ὧν ὁ ἐν αὐτῇ λόγος συνέστηκε, καὶ ἡ ἐν αὐτῷ διάθεσις. καὶ ἔστι καλὴ, ἢ αἰσχρὰ ψυχὴ κατὰ τὸ ἡγεμονικὸν μόριον ἔχον, οὕτως ἢ οὕτως κατὰ τοὺς οἰκείους μερισμούς. ποίους οἰκείους μερισμοὺς, ὦ Χρύσιππε, προσγράψας ἐφεξῆς ἀπαλλάξεις ἡμᾶς πραγμάτων. ἀλλ' οὔτ' ἐνταῦθα προσέγραψας, οὔτ' ἐν ἄλλῳ τινὶ τῶν σεαυτοῦ βιβλίων, ἀλλ' ὥσπερ οὐκ ἐν τούτῳ τὸ πλεῖστον κῦρος ὑπάρχον τῆς περὶ τῶν παθῶν πραγματείας, ἀποχωρήσεις τε παραχρῆμα τῆς διδασκαλίας αὐτοῦ, καὶ μηκύνεις τὸν λόγον ἐν τοῖς οὐ προσήκουσι, δέον ἐπιμεῖναι καὶ δεῖξαι τίνα ποτὲ ἐστὶ τὰ μόρια τοῦ λογιστικοῦ τῆς ψυχῆς. ἐπεὶ τοίνυν σὺ παρέδραμες, εἴθ' ἑκὼν, εἴτ' ἄκων τὸν λόγον, οὐ γὰρ ἔχω συμβαλεῖν, ἐγὼ πειράσομαι τοῖς σοῖς δόγμασιν ἑπόμενος, ἐξευρεῖν τέ σου τὸ βούλημα, καὶ διασκέψασθαι περὶ τῆς ἀληθείας αὐτοῦ, τὴν ἀρχὴν ἀπὸ τῆς προγεγραμμένης ῥήσεως ποιησάμενος, ἐχούσης ὧδε.

Primò autem logicorum assimilans ipsum solubili & ad corruptionem procliui sanitati; deinde quoniam neque quod verè pollicitus erat in Therapeutico & Ethico inscripto libro potuit indicare. Quid autem hoc? partium animi inter se commoderatio, quâ valere dicitur & ægrotare; omnes enim ipsius tum affectus tum morbos in vno quum statuisset fieri rationali, meritò ignorat ostendere quarum sit partium commoderatio animi sanitas. Pari modo quum in commoderatione partium fieri pulchritudinem constituisset, in immoderatione verò quadam deformitatem, non iniuria nescit indicare qualium animi partium symmetria pulchritudo sit, qualium verò immoderatio deformitas. Et si scribat subinde post ea quæ paulò antè ipsius apposui, hunc in modum. *Quare etiam pulchra vel deformis anima secundum proportionem dicetur pro commoderatione quadam & immoderatione eiusmodi nonnullarum partium.* Quòd igitur ex commoderatione quadam & immoderatione huiusmodi nonnullarum animæ partium, vel pulchram vel turpem esse, dicere oportet, & sanam & ægrotantem, rectè à Chrysippo pronunciatum est. At quæ huiusmodi animæ partes sint, quum non possit dicere, tanquam in vna sola ratiocinatrice & sanitatem ipsius, & morbum, & pulchritudinem, & deformitatem constituens, cogitur & implicare sermonem & functionum ipsis tanquam partium meminisse. Ab his quæ adieci, ita scribit. *Sunt autem partes animæ per quas ratio in eo constituta est, & in ipsa ratione dispositio, ac pulchra turpisve est anima, prout principalis pars se habet, sic vel sic secundum peculiares partitiones.* Quales peculiares partitiones, ô Chrysippe ascribens, deinde nos à negotiis liberabis; Sed neque hic ascripsisti, neque in alio tuo libro, sed tanquam non in hoc tota summa operis de affectibus existat, recedis statim ab ipsius disciplina, & sermonem in rebus non ad rem pertinentibus producis; quum referret morari, & ostendere quæ tandem ratiocinatricis animæ partes existant. Quoniam igitur tu prætermisisti siue volens siue inuitus sermonem (non enim possum conijcere) ego conabor, placita tua sequens, tum inuenire voluntatem tuam, tum de veritate ipsius considerare, initium ab oratione superiùs comprehensa sumens, quæ hunc in modum habet.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Χρύσιππον συγχεῖσθαι ταῖς ἐνεργείαις τὰ τῆς ψυχῆς μόρια, καὶ τῇ ψυχῇ τὸν λόγον· καὶ περὶ τῆς ὑγιείας τε, καὶ νόσου. περὶ κάλλους τε, καὶ αἴσχους τῆς ψυχῆς, ἀλόγως τῆς τοῦ Πλάτωνος δόξης ἀποχωρεῖν.

CAPVT III.

Chrysippum confundere partes cum functionibus & rationem cum anima; ac de sanitate; de morbo; de pulchritudine ac deformitate animæ ineptè à Platone dissentire.

Ἔστι δέ γε τῆς ψυχῆς μέρη δι' ὧν ὁ ἐν αὐτῇ λόγος συνέστηκεν. ἀναμιμνήσκων ἴσως ἡμᾶς τῶν ἐν τοῖς περὶ τοῦ λόγου γεγραμμένων ὧν σὺ ἐδήλωσας, ὡς ἔστιν ἐννοιῶν τέ τινων, καὶ προλήψεων ἄθροισμα. ἀλλ' εἴπερ ἑκάστην τῶν ἐννοιῶν, καὶ προλήψεων εἶναι μόριον νομίζεις τῆς ψυχῆς, ἁμαρτάνεις διττά. πρῶτον μὲν γὰρ οὐ ψυχῆς ἐχρῆν, ἀλλὰ λόγου ταῦτ' εἶναι μόρια φάσκειν, ὥσπερ οὖν καὶ γράφεις ἐν τῇ περὶ λόγου πραγματείᾳ. οὐ γὰρ δή που ταὐτόν ἐστι ψυχὴ, καὶ λόγος. ἄλλως τε καὶ διὰ τῆς προγεγραμμένης ῥήσεως ἐνδείξω τὴν ἐν τῇ ψυχῇ συνισταμένων,

SVnt autem animæ partes, per quas ratio in ea consistit. In memoriam fortè reducens nobis ea quæ in libris de ratione scripta sunt, per quæ tradidisti quòd notionum quarundam & præsumptionum sit collectio. Verùm si notiones singulas assumptionésque partes animæ esse arbitraris, dupliciter erras. Primum enim non animæ; sed rationis has esse partes dicendum erat, quemadmodum sanè scribis etiam in opere de ratione; quippe non idem est anima & ratio; tum etiam in hac superiùs posita oratione ostendisti rationem vnum aliquod esse eorum

quæ

quæ in anima consistunt. Non idem verò anima est, & id quod in ea consistit. Deinde si hoc quoque aliquis irreprehensum permiserit, certè notiones & præsumptiones, non partes animæ, sed actiones quasdam esse dicere oportet. Nihil autem ex propriis functionibus compositum est, neque oculus, neque auris, neque manus, neque crus, neque aliud omnium quicquam; verùm sunt actiones quidem oculi, coloris cuiúsque discretiones, albi & nigri, flaui & gilui, aliorúmque omnium; sicuti & auris rursus vocum, acutæ, grauis, magnæ, paruæ, lenis, & asperæ; non tamen hæ sunt partes vel auris, vel oculi. Verùm nouisti sanè & tu manifestò cornu speçie esse quandam tunicam, & acini specie alteram; præterea humorem, & crystallinum, & vitreum aliásque huiusmodi oculorum partes, quemadmodum & auris ossa, cartilagines, neruos, membranas, ac id genus alias. Ne igitur in anima partes cum functionibus confundito; siquidem notiones præsumptionésque, animæ actiones sunt, veluti ipse tu alibi doces; item auditorius spiritus, visoriúsque, præterea voci & generationi dicatus, ad hæc omnia, principi animæ parti, in quo etiam rationem aiebas consistere, ex qua potissimùm parte, animæ deformitatem & pulchritudinem innasci ei refers. Hic inquam spiritus duo quidem possidet partes, & constitutiones, elementáque per tota inuicem temperata, frigidum & calidum; sin aliis quoque nominibus à substantia voles ipsa appellare, aërem & ignem, quin imò madorem quendam assumpserunt à corporibus, in quibus peruiuiscunt; sed mirarer si horum commoderationem, sanitatem aut pulchritudinem principem animæ partem esse volueris. Nam corporis ipsius sanitatem in his collocare conueniebat; principalis autem animæ partis non item in his, ne ipso quoque te authore. Abolitum itaque nobis totum exemplum, & vniuocationis promissio omninò euanescit, dum non possumus ostendere eodem modo in principe animæ parte morbum aut sanitatem, pulchritudinem aut deformitatem quemadmodum in toto corpore, consistere; etsi hoc priùs promiseras rectè intelligens seruánsque omnium dictorum notionem, non tamen persequi in totum potuisti, neque interpretatus es tum proportionem, tum similitudinem eorum quæ in anima cum illis quæ in corpore fiunt. Rursus itaque sermonem repetam, vt aliquem finem abundè nunc consequatur. Morbi notionem in primo de affectibus Chrysippus confundit, respondere inquiens animi morbum corporis constitutioni, quâ facile in febres aut alui profluuia, aut huiusmodi aliquid prolabitur. At in therapeutico mobi notionem seruauit, nihil solicitus quod ipse sibi aduersaretur; exponere verò, vt pollicitus erat, animæ morbum vnà cum aliis quibus respondere ipsam ait corpori, omninò non potuit, præter quòd etiam in idem confundit tum sanitatem animæ, tum pulchritudinem; in corpore quidem enim ad amussim ea distinxit, sanitatem in elementorum symmetria collocans, pulchritudinem in partium commoderatione. Id quòd manifestò indicauit oratione paulò antè commemorata, vbi sanitatem corporis in calido, in frigido, sicco, & humido commoderationem esse affirmat; quæ nimirum corporum sunt elementa.

A ὡς ἕν τι καὶ ὁ λόγος ἐστίν. οὐ ταὐτὸν δὲ ψυχή ἐστι, καὶ τὸ ἐν αὐτῇ συνιστάμενον. ἔπειτα δ' εἰ καὶ τοῦτό τις ἐάσειεν ἀνέλεγκτον, ἀλλά τοι τάς γ' ἐννοίας καὶ προλήψεις, οὐ μόρια τῆς ψυχῆς εἶναι λεκτέον, ἀλλ' ἐνεργείας τινάς. οὐδὲν δ' ἐκ τῶν οἰκείων ἐνεργειῶν σύγκειται, οὔτε οὖν ὁ ὀφθαλμός, οὔτε τὸ οὖς, οὔτε χείρ, οὔτε σκέλος, οὔτ' ἄλλο τῶν πάντων οὐδέν. ἀλλ' εἰσὶν ἐνέργειαι μὲν ὀφθαλμοῦ, αἱ τῶν χρωμάτων ἑκάστου διαγνώσεις λευκοῦ καὶ μέλανος, καὶ ξανθοῦ, καὶ φαιοῦ, καὶ τῶν ἄλλων ἁπάντων, ὥσπερ γε καὶ ὠτὸς αὖ αἱ τῶν φωνῶν, ὀξείας, καὶ βαρείας, καὶ μεγάλης, καὶ μικρᾶς, καὶ λείας, καὶ τραχείας. οὐ B μὴν τά γε μόρια ταῦτ' ἐστιν, οὔτ' ὠτός, οὔτ' ὀφθαλμοῦ. ἀλλ' οἶσθα δήπου καὶ σὺ σαφῶς, ὡς κερατοειδής τέ τις ἐστι χιτὼν, καὶ ῥαγοειδὴς ἕτερος, καὶ ἔτι κρυσταλλοειδές τε, καὶ ὑαλοειδὲς ὑγρὸν, ἕτερά τε τοιαῦτα μόρια τῶν ὀφθαλμῶν, ὥσπερ γε καὶ ὠτὸς ὀστᾶ, καὶ χόνδροι, καὶ νεῦρα, καὶ ὑμένες, ὅσα τε ἄλλα τοιαῦτα. μὴ τοίνυν μηδὲ ἐπὶ τῆς ψυχῆς σύγχει τὰ μόρια ταῖς ἐνεργείαις. αἱ μὲν γὰρ ἔννοιαι, καὶ αἱ προλήψεις, ἐνέργειαι τῆς ψυχῆς, ὡς αὐτὸς σὺ δι' ἑτέρων ἐκδιδάσκεις, τό τε ἀκουστικὸν πνεῦμα, καὶ τὸ ὀπτικὸν, ἔτι τε πρὸς τούτοις, φωνητικόν τε καὶ γεννητικὸν, καὶ πρὸ πάντων αὐτῶν τὸ ἡγεμονικὸν, ἐν ᾧ καὶ τὸν λό- C γον ἔφης συνίστασθαι, καθ' ὃ δὴ καὶ μάλιστα μόριον τῆς ψυχῆς αἶσχος, καὶ κάλλος ἐγγίνεσθαι λέγεις αὐτῇ. τοῦτ' οὖν τὸ πνεῦμα, δύο μὲν κέκτηται μόριά τε, καὶ στοιχεῖα, καὶ καταστάσεις, δι' ὅλων ἀλλήλοις κεκραμένα, τὸ ψυχρὸν καὶ θερμόν. εἴπερ δ' ἑτέροις ὀνόμασι, καὶ ἀπὸ τῶν οὐσιῶν ἐθέλοι τις αὐτὰ προσαγορεύειν, ἀέρα τε καὶ πῦρ, οὐ μὴν, ἀλλὰ καὶ ἰκμάδα τινὰ προσείληφεν ἀπὸ τῶν σωμάτων ἐν οἷς διαιτᾶται. ἀλλὰ θαυμάζοιμ' ἂν εἰ τὴν τούτων συμμετρίαν, ὑγίειαν, ἢ κάλλος εἶναι βουλήσῃ τοῦ ἡγεμονικοῦ. τοῦ μὲν γὰρ σώματος αὐτοῦ τὴν ὑγίειαν ἐν τούτοις τίθεσθαι προσῆκεν, ὡς ἡγεμονικοῦ δὲ ψυχῆς, D οὐκ ἔτ' ἐν τούτοις οὐδὲ κατ' αὐτόν σε. διέφθαρται τοίνυν ἡμῖν ὅλον τὸ παράδειγμα, καὶ ἡ τῆς συνωνυμίας ἐπαγγελία παντάπασιν οἴχεται, μὴ δυνηθεῖσιν ἐπιδεῖξαι τὸν αὐτὸν τρόπον ἐν τῷ τῆς ψυχῆς ἡγεμονικῷ νόσον, ἢ ὑγίειαν, ἢ κάλλος, ἢ αἶσχος συνιστάμενα καθάπερ ἐν ὅλῳ τῷ σώματι. καίτοι τοῦτό γ' ὑπέσχου πρότερον ὀρθῶς γιγνώσκων, καὶ φυλάττων τὴν ἔννοιαν ἁπάντων τῶν εἰρημένων, οὐ μὴν ἀκολουθῆσαι μέχρι παντὸς ἠδυνήθης, οὐδ' ἐξηγήσω τὴν ἀναλογίαν τε, καὶ ὁμοιότητα τῶν κατὰ τὴν ψυχὴν ἐγγιγνομένων τοῖς κατὰ τὸ σῶμα. αὖθις οὖν ἀναλήψομαι τὸν λόγον, ἵνα δή τι πέρας ἱκα- E νὸν νῦν ἀπολαύῃ. τῆς νόσου τὴν ἔννοιαν, ἐν μὲν τῷ πρώτῳ περὶ παθῶν συνέχεεν ὁ Χρύσιππος, ἀνάλογον ἔχειν φάμενος τὴν ἐν τῇ ψυχῇ νόσον τῇ τοῦ σώματος καταστάσει, καθ' ἣν εὐεμπτώτως εἰς πυρετοὺς, ἢ διαρροίας, ἤ τι τοιοῦτον ἔχει. κατὰ μέντοι τὸ θεραπευτικὸν, ἐφυλάξατο μὲν τὴν ἔννοιαν τῆς νόσου, τῆς πρὸς ἑαυτὸν οὐδὲν φροντίσας ἐναντιολογίας· ἐξηγήσασθαι δ' ὡς ὑπέσχετο τὴν ἐν τῇ ψυχῇ νόσον ἅμα τοῖς ἄλλοις οἷς ἀνάλογον ὑπάρχειν αὐτῇ φησι πρὸς τὸ σῶμα, παντάπασιν ἠδυνάτησε μετὰ τοῦ καὶ συγχεῖν εἰς ταὐτὸν τήν θ' ὑγίειαν τῆς ψυχῆς, καὶ τὸ κάλλος. ἐπὶ μὲν F γὰρ τοῦ σώματος ἀκριβῶς αὐτὰ διωρίσατο, τὴν μὲν ὑγίειαν τῶν στοιχείων ἐν συμμετρίᾳ θέμενος, τὸ δὲ κάλλος ἐν τῇ τῶν μορίων. ἐδήλωσε γὰρ σαφῶς τοῦτο διὰ τῆς προγεγραμμένης ὀλίγον ἔμπροσθεν ῥήσεως, ἐν ᾗ τὴν μὲν ὑγίειαν τοῦ σώματος ἐν θερμοῖς, καὶ ψυχροῖς, καὶ ξηροῖς, καὶ ὑγροῖς συμμετρίαν εἶναί φησιν, ἅπερ δὴ στοιχεῖα δηλονότι τῶν σωμάτων ἐστίν.

τὸ δὲ κάλλος οὐκ ἐν τῇ τῶν στοιχείων, ἀλλ' ἐν τῇ τῶν μορίων συμμετρίᾳ συνίστασθαι νομίζει, δακτύλου πρὸς δάκτυλον δηλονότι, καὶ συμπάντων αὐτῶν πρός τε μετακάρπιον, καὶ καρπὸν, καὶ τούτων, πρὸς πῆχυν, καὶ πήχεως πρὸς βραχίονα, καὶ πάντων πρὸς πάντα, καθάπερ ἐν τῷ Πολυκλείτου κανόνι γέγραπται. πάσας γὰρ ἐκδιδάξας ἡμᾶς ἐν ἐκείνῳ τῷ συγγράμματι, τὰς συμμετρίας τοῦ σώματος ὁ Πολύκλειτος, ἔργῳ τὸν λόγον ἐβεβαίωσε, δημιουργήσας ἀνδριάντα κατὰ τὰ τοῦ λόγου προστάγματα, καὶ καλέσας δὴ καὶ αὐτὸν τὸν ἀνδριάντα, καθάπερ καὶ τὸ σύγγραμμα, κανόνα. τὸ μὲν δὴ κάλλος τοῦ σώματος ἐν τῇ τῶν μορίων συμμετρίᾳ κατὰ πάντας ἰατροὺς, καὶ φιλοσόφους ἐστίν. ἡ δ' ὑγίεια τῶν στοιχείων αὖ πάλιν ἅττα ποτ' ἂν ᾖ, πρὸς ἄλληλά ἐστι συμμετρία. εἴτε γὰρ ἐξ ὄγκων καὶ πόρων, ὡς Ἀσκληπιάδης ὑπετίθετο τὰ τῶν ζώων σύγκειται σώματα, συμμετρία τούτων ἐστὶν ἡ ὑγίεια. εἴτ' ἐξ ἀτόμων ὡς Ἐπίκουρος, εἴτ' ἐξ ὁμοιομερῶν ὡς Ἀναξαγόρας, εἴτ' ἐκ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ, καθάπερ ὅ τε Χρύσιππος δοξάζει, καὶ πάντες οἱ Στωϊκοὶ, καὶ πρὸ αὐτῶν Ἀριστοτέλης, καὶ Θεόφραστος, καὶ πρὸ τούτων ἔτι Πλάτων, καὶ Ἱπποκράτης, ἡ τῶν στοιχείων κατὰ πάντα συμμετρία τὴν ὑγίειαν ἐργάζεται. εἰ τοίνυν ἐθέλοι τις ἅπασαν τὴν ἀναλογίαν αὐτῶν κατὰ τὸ σῶμα, τοῖς κατὰ τὴν ψυχὴν διασώζειν ὡς ὑπέσχετο Χρύσιππος, ἐπιδεῖξαι χρὴ τοῦτον ἔκ τινων ἁπλῶν ὡσανεὶ στοιχείων συγκειμένην τὴν ὅλην ψυχὴν, ἵνα ἐν τῇ τούτων πρὸς ἄλληλα συμμετρίᾳ, τὴν ὑγίειαν, καὶ τὴν νόσον αὐτῆς εὕρῃ γιγνομένην, ὅπερ ὁ Πλάτων ἐποίησε. Χρύσιππος δ' οὔτε ταύτην ἠδυνήθη τὴν ὁμοιότητα διδάξαι, καίτοι ὑποσχόμενος, οὔτε τὴν τοῦ κάλλους τῆς ψυχῆς, ἀλλὰ εἰς ταὐτὸν συνέχεεν τῇ ὑγιείᾳ τὸ κάλλος. κατὰ γὰρ τοὺς οἰκείους τοῦ λόγου μερισμοὺς, καλὴν ἢ αἰσχρὰν ἔφησε γίγνεσθαι ψυχήν. ὑγιαίνουσα δ' ἢ νοσοῦσά πως ἂν γένοιτο παρέλιπεν, εἰς ταὐτὸν οἶμαι συγχέων ἄμφω, καὶ μὴ δυνάμενος ἀκριβῶς τε, καὶ ὡρισμένως ὑπὲρ αὐτῶν ἀποφήνασθαι, καθάπερ ὁ Πλάτων ἐποίησεν, ἐν ἄλλοις τέ τισι, καὶ τῷ σοφιστῇ. τὴν μὲν τῶν μερῶν τῆς ψυχῆς πρὸς ἄλληλα στάσιν, ἀποφηνάμενος εἶναι νόσον ψυχῆς, τὰς δὲ παραφόρους τε, καὶ ἀμέτρους κινήσεις αὐτῆς, τουτέστι τὰς ἐνεργείας τὰς καθ' ὁρμὴν, αἶσχος, ὥσπερ γε τὴν μὲν συμφωνίαν τε, καὶ συμμετρίαν πρὸς ἄλληλα τῶν μορίων αὐτῆς, ὑγίειαν, τὴν δὲ συμμετρίαν τῶν κινήσεων, τὸ κάλλος. ὥσπερ γὰρ τὸ σῶμα τὸ καλὸν, ἐν τῇ συμμετρίᾳ τῶν μορίων τὴν γένεσιν ἴσχει, κατὰ τὸν αὐτὸν τρόπον ἐνεργείᾳ καλὴ διὰ τὴν τῶν κατὰ μέρος κινήσεων γίγνεσθαι συμμετρίαν. οὕτω γοῦν καὶ ὀρχεῖσθαι, καὶ παγκρατιάζειν, καὶ παλαίειν, καὶ βαδίζειν εὐσχημόνως, καὶ καλῶς λέγονταί τινες, ἕτεροι δ' ἀσχημόνως τε, καὶ αἰσχρῶς. ἐν μὲν τῇ συμμετρίᾳ τῶν κατὰ μέρος κινήσεων τὸ κάλλος τῶν ἐνεργειῶν ἐστι γνώριμον, κατὰ δὲ τὰς ἀμετρίας, τὸ αἶσχος. ἔχουσι δὲ καὶ αἱ τοῦ Πλάτωνος ῥήσεις ἐκ τοῦ σοφιστοῦ, τόνδε τὸν τρόπον. ΞΕ. δύο μὲν εἴδη κακίας περὶ ψυχὴν ῥητέον. ΘΕ. ποῖα; ΞΕ. τὸ μὲν, οἷον νόσον ἐν σώματι, τὸ δ' οἷον αἶσχος ἐγγιγνόμενον. ΘΕ. οὐκ ἔμαθον. ΞΕ. νόσον ἴσως, καὶ στάσιν οὐ ταὐτὸν νενόμικας. ΘΕ. οὐδ' αὖ πρὸς τοῦτο ἔχω τι χρή με ἀποκρίνασθαι. ΞΕ. πότερον ἄλλο τι στάσιν ἡγούμενος, ἢ τὴν τοῦ φύσει συγγενοῦς ἔκ τινος διαφθορᾶς διαφοράν; ΘΕ. οὐδέν. ΞΕ. ἀλλ' αἶσχος, ἄλλο τι πλὴν τὸ τῆς ἀμετρίας πανταχοῦ δυσειδὲς τῶν ἐνόντων γένος;

Pulchritudinem verò non in elementorum, sed in partium commoderatione consistere arbitratur, digiti ad digitum scilicet, omniúmque ipsorum ad metacarpium & carpum, & horum ad cubitum, cubiti ad brachium, & omnium ad omnia, quemadmodum in Polycleti regula scriptum est. Omnes namque corporis commoderationes, quum in illo commentario Polycletus nos docuisset, opere sermonem confirmauit, fabricatus statuam iuxta sermonis exordia, & vocans etiam ipsam statuam, veluti & commentarium, regulam. Pulchritudo sanè corporis in partium commoderatione, secundum omnes & Medicos & Philosophos consistit; sanitas verò, elementorum rursus, quæcunque sint, inter se est commoderatio; siue enim ex corpusculis & meatibus, vt Asclepiades putauit, animantium corpora constant, horum commoderatio est sanitas; siue ex atomis, vt Epicurus; siue ex similaribus, vt Anaxagoras; siue ex calido, frigido, sicco, & humido, quemadmodum & Chrysippus opinatur, omnésque Stoici, atque ante ipsos Aristoteles, & Theophrastus, & ante hos adhuc Plato & Hippocrates, elementorum in omnibus commoderatio sanitatem efficit. Si igitur aliquis volet omnem proportionem eorum quæ in corpore, cum iis quæ in anima sunt, conseruare, vt promisit Chrysippus, ostendere hunc oportet ex quibus simplicibus veluti elementis, composita sit tota anima, vt in horum inuicem commoderatione sanitatem & morbum ipsius fieri inueniat, id quod Plato factitauit. Verùm Chrysippus neque hanc potuit docere similitudinem, etsi pollicitus, neque pulchritudinis animæ; sed in idem pulchritudinem cum sanitate confudit. Nam secundum proprias rationis partitiones pulchram aut turpem fieri animam dixit: sana autem vel morbida quomodo fiat, reliquit, in idem puto ambo confundens, vt qui nequeat exactè distinctéque de ipsis disputare, quemadmodum Plato fecit tum in aliis quibusdam, tum in Sophista, partium animæ inter se discordiam, animæ morbum esse affirmans; efferatos autem & immoderatos ipsius motus, hoc est, functiones ex animi impetu profectas, turpitudinem; sicuti & partium ipsius inter se concordiam, commoderationémque, sanitatem; motuum verò mediocritatem, pulchritudinem. Sicut enim corporis pulchritudo in partium commoderatione generationem obtinet, eodem modo functio propter particularium motuum commoderationem pulchra euadit: ita sanè & saltare, & Pancratium ludum agere, luctari, & ire decenter & pulchrè nonnulli dicuntur; alij verò indecorè & turpiter. Sanè in commoderatione motionum particularium, pulchritudo actionum est cognita; ex immoderatione, turpitudo. Platonis verba ex Sophista sic habent. HOS. *Duæ species malitiæ in anima dicentur.* THE. *Quænam?* HOS. *Altera veluti morbus in corpore, altera veluti turpitudo innascens.* THE. *Non intelligo.* HOS. *Morbum forsan & discordiam non idem putas?* THE. *Neque ad hoc quid respondendum sit habeo.* HOS. *Vtrum aliud quippiam seditionem arbitraris, quàm eius quòd natura connatum est, discordiam ex corruptela quadam prouenientem?* THE. *Nihil aliud.* HOS. *Turpitudóne aliud quippiam est, præterquam immoderationis vndique deformatum genus?*

THE. *Ne-*

THE. *Nequaquã aliud.* Sic in vniuersum de morbo & turpitudine, quale natura vtrumque ipsorum existat, Plato nos docuit; & quomodo animis innascantur deinceps tradens de morbo hæc quoque scribit. HOS. *Iam in anima nonne opiniones cum cupiditatibus, & iracundiam cum voluptatibus, & rationem cum dolore, atque omnia inter se hæc in prauè affectis sentimus dissentire?* THE. *Vehementer sanè.* HOS. *Congenera tamen necessariò hæc sunt vniuersa.* THE. *Cur enim non?* HOS. *Discordiam itaque & morbum animi prauitatem dicentes rectè pronunciabimus.* THE. *Rectissimè omninò.* Deinde rursus, quomodo turpitudo animis innascatur, pertractans ait; HOS. *Quid autem? Quæ motum participant, & scopum quendam sibi præfigunt, ac dum hunc contingere nituntur, in vnoquoque impetu præter ipsum feruntur & aberrant; vtrum iis dicemus à commoderatione inter se mutua, vel contrà, ab incommoderatione hæc accidere?* THE. *Nimirum ab immoderatione.* HOS. *Atqui animam nouimus omnem non sua sponte quiduis ignorare.* THE. *Planè.* HOS. *Ignorare verò nihil aliud est quàm desipere quum animæ ad veritatem incitatæ aberrat intelligentia.* THE. *Profectò quidem;* HOS. *Animam igitur stultam, turpem, & immoderatam esse statuendum est.* Hæc sanè in Sophista Plato tradidit & generatim membratim de sanitate & pulchritudine, turpitudine & morbo vniuersis quidem notione ipsorum subscripta; membratim verò, quomodo animis innascantur, tradito. Reliqua ipsius verba non pauca, in plerisque commentariis, vbi de sanitate & pulchritudine, turpitudine & morbo disseruit, huc apponere non mihi videtur in præsentia opportunum. Sed quando de sanitate & morbis disputatio nobis concludetur, ostendendo similiter Hippocratem & Platonem de ipsis sentire, plenius in illis huiusmodi verborum meminero.

A ΘΕ. οὐδαμῶς ἄλλο. οὕτως μὲν ἐν τῷ καθόλου περὶ νόσου τε, καὶ αἴσχους. ὁποῖον δὲ τὴν φύσιν ἑκάτερον αὐτῶν ἐστιν, ἐδίδαξεν ἡμᾶς ὁ Πλάτων. καὶ ὅπως ἐγγίγνονται ταῖς ψυχαῖς ἐφεξῆς διδάσκων, περὶ μὲν τῆς νόσου ταῦτα γράφει. ΞΕ. τί δαί; ἐν ψυχῇ δόξας ἐπιθυμίαις, καὶ θυμὸν ἡδοναῖς, καὶ λόγον λύπαις, καὶ πάντα ἀλλήλοις ταῦτα τῶν φλαύρως ἐχόντων, οὐκ ᾐσθήμεθα διαφερόμενα; ΘΕ. καὶ σφόδρα γε. ΞΕ. ξυγγενῆ γε μὴν ἐξ ἀνάγκης ξύμπαντα γέγονε. ΘΕ. πῶς γὰρ οὔ; ΞΕ. στάσιν ἄρα καὶ νόσον τῆς ψυχῆς, πονηρίαν λέγοντες ὀρθῶς ἐροῦμεν. ΘΕ. ὀρθότατα μὲν οὖν. εἶτ' ἐφεξῆς ὅπως αἶ-
B σχος ἐγγίγνεται ψυχαῖς διεξιὼν φησι. ΞΕ. τί δή; ὅσα κινήσεως μετασχόντα, καὶ σκοπόν τινα θέμενα, πειρώμενα τούτου τυγχάνειν, καθ' ἑκάστην ὁρμὴν παράφορα αὐτοῦ γίγνεται καὶ ἀποτυγχάνει, πότερον αὐτὰ φήσομεν ὑπὸ συμμετρίας τῆς πρὸς ἄλληλα, ἢ τοὐναντίον ὑπὸ ἀμετρίας αὐτὰ πάσχειν; ΘΕ. δῆλον ὡς ὑπὸ ἀμετρίας. ΞΕ. ἀλλὰ τὴν ψυχὴν γε ἴσμεν ἄκουσαν πᾶσαν, πᾶν ἀγνοοῦσαν. ΘΕ. σφόδρα γε. ΞΕ. τό γε μὴν ἀγνοεῖν ἐστιν ἐπ' ἀλήθειαν ὁρμωμένης ψυχῆς παραφόρου ξυνέσεως γιγνομένης, οὐδὲν ἄλλο πλὴν παραφροσύνη. ΘΕ. πάνυ μὲν οὖν. ΞΕ. ψυχὴν ἄρ'
C ἀνόητον, αἰσχρὰν καὶ ἄμετρον θετέον. οὕτω μὲν ἐν τῷ σοφιστῇ Πλάτων ἀπεφήνατο, καὶ καθόλου, καὶ κατὰ μέρος ὑπὸ ὑγιείας τε καὶ κάλλους, αἴσχους τε καὶ νόσου, καθόλου μὲν ὑπογράψας τὴν ἔννοιαν αὐτῶν, κατὰ μέρος δὲ, ὅπως ἐγγίγνεται ταῖς ψυχαῖς διδάξας. τὰς δ' ἄλλας αὐτοῦ ῥήσεις οὐκ ὀλίγας οὔσας ἐν πολλοῖς τῶν συγγραμμάτων ἐν οἷς περὶ ὑγιείας τε καὶ κάλλους, αἴσχους τε καὶ νόσου διῆλθεν, οὔ μοι δοκεῖ νῦν εἶναι παρατίθεσθαι καιρός: ἀλλ' ἐπειδὰν ὑπὲρ ὑγιείας τε καὶ νόσων ὁ λόγος ἡμῖν περαίνηται, δεικνύουσιν ὡσαύτως Ἱπποκράτην, καὶ τὸν Πλάτωνα γιγνώσκειν ὑπὲρ αὐτῶν, ἐπὶ πλέον ἐν ἐκείνοις τῶν
D τοιούτων μνημονεύσω ῥήσεων.

CAPVT IV.

Chrysippum affectuum animi curationes ignorasse ac ineptè tradidisse quòd eorum causas & ignorarit neque scripserit.

NVnc autem quia non absolutè de pulchritudine, aut turpitudine, aut morbis; neque de solis corporis, sed de animi affectibus nobis disputatio proposita est, reliqua quidem omittam, id autem solùm quod institutum est, repetam. Institui verò ostendere, neque in vna animæ parte, neque in vna ipsius facultate tum iudicia fieri, tum affectus consistere, quemadmodum Chrysippus affirmabat; sed etiam facultates ipsius plures esse diuersi generis, & partes plures. Facultates sanè animæ quibus concupiscimus, irascimur, ratiocinamur, tres esse numero & Posidonius & Aristoteles fatentur. Quòd autem & sedibus ipsæ inuicem disiunctæ sint, & anima nostra non modò multas in se facultates habeat, sed etiam composita ex partibus sit diuersi generis, & substantia differentibus, Hippocratis est & Platonis placitum; ac à me sanè multa iam de veritate ipsius superiùs dicta sunt, multáque in subsequentibus dicentur. Nunc ad Chrysippum rursus reuertor, qui neque commemoratas facultates in anima nostra esse fatetur,

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Χρύσιππον τὰς τῶν τῆς ψυχῆς παθῶν θεραπείας ἀγνοῆσαί τε, καὶ ἀμηχάνως γράψαι τὰς αὐτῶν δηλονότι αἰτίας ἀγνοοῦντα, καὶ μὴ γράψαντα.

NΥνὶ δ', οὔτε γὰρ ἁπλῶς περὶ κάλλους, ἢ ὑγιείας, ἢ αἴσχους, ἢ νοσημάτων ὁ λόγος, οὔτε περὶ μόνων τῶν τοῦ σώματος, ἀλλὰ περὶ τῶν παθῶν τῆς ψυχῆς ἡμῖν πρόκειτο,
E παραλείψω μὲν τἄλλα, ὃ προκείμενον δ' αὐτὸ μόνον ἀναλήψομαι. πρόκειται δὲ δεικνύειν, ὡς οὔτε καθ' ἓν μέριον τῆς ψυχῆς, οὔτε κατὰ μίαν αὐτῆς δύναμιν, αἵ τε κρίσεις γίγνονται, καὶ τὰ πάθη συνίσταται, καθάπερ ὁ Χρύσιππος ἔφασκεν, ἀλλὰ καὶ δυνάμεις πλείους αὐτῆς εἰσιν ἑτερογενεῖς, καὶ μόρια πλείω. ὅτι μὲν δὴ τὰς δυνάμεις τῆς ψυχῆς τρεῖς εἶναι τὸν ἀριθμὸν, αἷς ἐπιθυμοῦμέν τε, καὶ θυμούμεθα, καὶ λογιζόμεθα, καὶ Ποσειδώνιος ὁμολογεῖ, καὶ Ἀριστοτέλης. ὅτι δὲ καὶ τοῖς τόποις αὐτὰς ἀλλήλων κεχωρίσθαι, καὶ τὴν ψυχὴν ἡμῶν μὴ μόνον ἔχειν ἐν ἑαυτῇ δυνάμεις πολλὰς, ἀλλὰ καὶ
F σύνθετον ἐκ μορίων ὑπάρχειν ἑτερογενῶν τε, καὶ διαφερόντων ταῖς οὐσίαις, Ἱπποκράτους ἐστὶ, καὶ Πλάτωνος δόγμα. καί μοι πολλὰ μὲν ἤδη περὶ τῆς ἀληθείας αὐτοῦ διὰ τῶν ἔμπροσθεν εἴρηται, πολλὰ δ' ἐν τοῖς ἐφεξῆς εἰρήσεται. νυνὶ δ' ἐπὶ τὸν Χρύσιππον αὖθις ἐπάνειμι, μήτε τὰς εἰρημένας δυνάμεις ὁμολογοῦντα κατὰ τὴν ψυχὴν ἡμῶν ὑπάρχειν,

ἀλλὰ πᾶσαν ἐνέργειάν τε, καὶ πάθος ἐν τῷ λογιστικῷ μόνῳ συνίστασθαι φάσκοντα, μήθ᾽ ὅπως ἰᾶσθαι χρὴ τὰ πάθη γινόμενα, μήθ᾽ ὅπως κωλῦσαι γίνεσθαι διδάσκοντα. διηνέχθη μὲν οὖν καὶ περὶ τούτου πρὸς ἑαυτὸν, ὥσπερ καὶ περὶ παμπόλλων ἑτέρων, ἐν μὲν τῷ προτέρῳ περὶ ψυχῆς τιθέμενος, εἶναι ταύτας δυνάμεις τῆς ψυχῆς, ἃς ἐν τῷ πρὸ τούτου γράμματι, παραθέμενος αὐτοῦ τὰς ῥήσεις ἐπέδειξα. κατὰ δὲ τὰ περὶ τῶν παθῶν βιβλία κρίσεις τινὰς ὑπάρχειν τὰ πάθη, τοῦ λογιστικοῦ τῆς ψυχῆς ἀποφηνάμενος. ἀλλ᾽ ἡμεῖς ἃ μὲν ἀληθῶς εἶπε, μαρτυρεῖα τῶν Ἱπποκράτους τε καὶ Πλάτωνος δογμάτων, οὐ τὰ τυχόντα νομίζομεν ὑπάρχειν, εἰρημένα τε πρὸς ἀνδρὸς οὐ συνετοῦ μόνον, ἀλλὰ καὶ σπεύδοντος ἅπαντι τρόπῳ τὸ παλαιὸν δόγμα διαβάλλειν. ἡ γὰρ περὶ τῶν τοιούτων μαρτυρία καταναγκαζομένων ὑπὸ τῆς ἀληθείας εἴωθε γίγνεσθαι. μεταβάντες δὲ πάλιν ἐφ᾽ ἕτερα, τῶν ὑπ᾽ αὐτοῦ γεγραμμένων εἰς τὸ προκείμενον, ἐπιδείξομεν ὅπως καὶ τούτων ἔνια μὲν οἷς αὐτὸς εἶπεν οὐ συμφωνεῖ, ἔνια δ᾽ αὖ τοῖς ἐναργέσι μάχεται, τινὰ δὲ κατ᾽ ἄμφω πεπλημμέληται, καὶ πρῶτόν γε πάλιν ἀναλάβωμεν εἰς ὅπερ ἐτελεύτησεν ὁ προγεγραμμένος μοι λόγος, ὡς ὑγίεια καὶ νόσος, αἶσχός τε καὶ κάλλος, ψυχῆς ἐν τοῖς μέρεσι γίγνεται αὐτῆς, καὶ ὡς τὰ μέρη ταῦτα, ἔννοιαί τε καὶ προλήψεις εἰσὶ, συγχωρήσωμεν αὐτῷ τήν γε πρώτην. ὅτι μὲν γὰρ ὅλως οὐ χρὴ κατὰ τὰς ἐνεργείας τίθεσθαι νόσον ἢ ὑγίειαν, ἀλλ᾽ αἶσχος ἢ κάλλος μόνον, εἴρηταί μοι πρόσθεν. ὅτι δ᾽ οὐδ᾽ εἴ τις οὕτω συγχωρήσειε, τὰ γοῦν ἑξῆς ὀρθῶς εἴρηται, νῦν ἐπιδεῖξαι πειράσομαι. εἴπερ γὰρ ἐν τῷ μάχεσθαι δύο κρίσεις ἀλλήλαις ἡ τῶν παθῶν ἐστι γένεσις, ἀνάγκη τῶν δύο τούτων κρίσεων, ἤτοι τὴν ἑτέραν μὲν ὑπάρχειν ἀληθῆ, τὴν ἑτέραν δὲ ψευδῆ, ἢ ἀμφοτέρας ψευδεῖς. εἴ τις καὶ τοῦτο συγχωρήσειεν, ἔχει γάρ τινα ζήτησιν λογικήν. εἴτε δὲ ἀμφοτέρας ψευδεῖς, εἴτε τὴν ἑτέραν αὐτῶν ἀληθῆ φαίημεν ὑπάρχειν, οὐδαμῶς ἡ μάχη τῶν κρίσεων ἔσται τὸ πάθος, ἀλλ᾽ εἰ μὲν ἰσάζοιέ πως ἀλλήλαις αἱ κρίσεις, ὡς πρὸς πίστιν ἐπέχειν, ἀναγκαῖον ἡμᾶς ἔσται περὶ τῆς τοῦ πράγματος ὑπάρξεως, εἰ δ᾽ ἡ ἑτέρα φαίνοιτο μακρῷ πιστοτέρα, συγκατατίθεσθαι μὲν καὶ πράττειν γέ τι κατὰ τὴν συγκατάθεσιν, οὐκ ἀπερισκέπτως δὲ, καθάπερ εἰ καί τις τὴν ἡδονὴν ἀγαθὸν οἰόμενος ὑπάρχειν, ἔχοι τι βραχὺ περιέλκον εἰς τοὐναντίον. ἢ εἰ μόνον τὸ καλὸν ἀγαθὸν ὑπολαμβάνων, ὅμως ἔτι καὶ αὐτὸς ἀντισπῶσαν ἑτέραν ὑπόληψιν ἔχοι πρὸς τὸ μὴ διατεταμένως πιστεύειν. ἢ εἰ καθάπερ ὁ Πύρρων ἀμφοτέρας ὁμοτίμως τιθέμενος, ἐπέχοι περὶ τῆς ἀποφάσεώς τε καὶ συγκαταθέσεως. ἐν οὐδενὶ γὰρ τῶν τοιούτων συνίσταται τὸ πάθος, ὥσπερ καὶ αὐτὸς ὁ Χρύσιππος ἐναργῶς ἐδήλωσε, δι᾽ ὧν ἐν τῷ πρὸ τούτου γράμματι παρεθέμην ῥήσεων, ἐν αἷς φησιν οὐχὶ διημαρτημένως φέρεται, καὶ παριδών τι κατὰ τὸν λόγον, ὅσα τ᾽ ἄλλα τοιαῦτα προσέγραψε συνίστασθαι τὸ πάθος. ἀλλ᾽ ὅταν ἀπειθὴς ἡ ὁρμὴ γίγνηται τῷ λόγῳ, ὥστε κἀνταῦθα πάλιν ἐναντιολογίαν τινὰ εὑρίσκεσθαι τοῦ Χρυσίππου πρὸς ἑαυτὸν, εἴπερ ἀποχωρίσας τὸ πάθος τῶν διημαρτημένων κρίσεων, αὖθις ἐν τῇ τῶν κρίσεων πρὸς ἀλλήλας ἐναντιολογίᾳ, τά τε νοσήματα τῆς ψυχῆς, καὶ τὰ πάθη συνίστασθαι λέγοι. μὴ τοίνυν θαυμάζωμεν ἔτι, μηδ᾽ ὅτι τὰς θεραπείας τῶν παθῶν ὀρθῶς μὲν ὁ Πλάτων ἔγραψεν, ὡς ὁ Ποσειδώνιος αὐτῷ μαρτυρεῖ, μοχθηρῶς δ᾽ ὁ Χρύσιππος. ὁ γὰρ μήτε πάσας τὰς αἰτίας τῶν παθῶν ἀποφήνασθαι τολμήσας, ἀλλ᾽ ἐν ταῖς κυριωτάταις ἀπορεῖν ὁμολογήσας,

ſed omnem & actionem & affectum in ſola rationali parte conſiſtere tuetur; neque quomodo affectibus obortis mederi conueniat, neque quomodo ne fiant, prohibere, edoceat. Pugnat itaque & in hoc cum ſeipſo, ſicuti in pleriſque aliis; in priore ſanè libro de anima conſtituens has animæ facultates eſſe, quas ſuperiori libro appoſitis ipſis verbis indicaui; in libris autem de affectibus iudicia quædam eſſe rationalis animæ partis affectus pronuncians. Sed nos quæ quidem verè dixit, teſtimonia & Hippocratis & Platonis dogmatum non vulgaria eſſe putamus, prolatáque à viro non prudente tantùm, ſed etiam quouis modo vetus placitum euertere conante. Quæ enim hoc pacto ſumuntur teſtimonia, ab his qui à veritate coguntur fieri ſolent; digreſſi rurſus ad alia quæ ab eo ad rem propoſitam ſcripta ſunt, oſtendemus quomodo etiam horum nonnulla iis quæ ipſe dixit, non conſentiunt; nonnulla rurſus euidentibus repugnant; quædam in ambobus peccant. Ac primùm repetamus id vbi ſuperiùs comprehenſa mihi diſputatio deſiit, nempe ſanitatem & morbum, turpitudinem & pulchritudinem animæ in partibus ipſius fieri, partéſque has notiones & præſumptiones eſſe concedamus ei primùm. Quod enim omninò non oportet inter actiones, morbum, vel ſanitatem, ſed turpitudinem aut ſolam pulchritudinem collocare, comprehenſum à me priùs eſt. Quòd autem neque ſi quis quæſita conceſſerit, ſequentia rectè dicta ſint, nunc oſtendere tentabo. Si enim dum pugnant duo inuicem iudicia, affectus generantur, neceſſitas cogit, ex duobus his iudiciis vel alterum eſſe verum, alterum falſum, vel vtraque falſa, ſi quis etiam hoc conceſſerit (habet enim quandam logicam inquiſitionem) ſiue ambo falſa, ſiue alterum ipſorum verum eſſe dixerimus, neutiquam pugna iudiciorum erit affectus. Verùm ſi æquaueris aliquo modo inter ſe iudicia, quoad fidem, neceſſarium erit nos animo ſuſpenſos eſſe circa rei exiſtentiam, ſin alterum videatur longè fide dignius, aſſentiri quidem & agere nonnihil iuxta aſſenſum, non inconſideratè autem; quemadmodum ſi aliquis voluptatem bonum eſſe putans habeat aliquid quod in diuerſum modicè retrahat; vel ſi ſolùm honeſtum bonum exiſtimans, tamen adhuc & ipſe habeat opinionem aliam reluctantem, ne plenè credat; vel ſi quemadmodum Pyrrho vtramque æqualiter ponens, contineat ſe ne affirmet concedátque. In nullo enim huiuſmodi affectus conſiſtit, ſicuti & ipſe Chryſippus manifeſtè indicauit verbis, quæ ſuperiori libro appoſui, vbi ait, Non ſi errabundè fertur, & prætergreſſus aliquid ſecundum rationem, & cætera quæ huiuſmodi aſcripſit, affectum conſtituere; verùm quum animi impetus rationi fit inobſequens, vt & hic rurſus ſibi nonnihil contradicere Chryſippus inueniatur; ſiquidem affectum à iudiciis peccantibus ſegregans, rurſus in iudiciorum inuicem pugna, & morbos animi, & affectus conſiſtere dicit. Ne igitur miremur adhuc quòd affectuum curationes rectè quidem Plato conſcripſit, vt Poſidonius ipſi atteſtatur; prauè autem Chryſippus. Qui enim neque omnium affectuum cauſas pronunciare auſus eſt, ſed in principaliſſimis dubitare ſe confeſſus eſt,

vt

vt in superiori libro ostensum est: neque in quibus pronunciare aliquid ausus est, rectè protulit, hic, mea sententia, non poterit curationem ipsorum vt decet moliri: sed quod dixi iam & antea, si quis quatuor Chrysippi libros coarguat, multò pluribus commentariis ei opus erit.

CAPVT V.

Ex puerorum perturbationibus & institutionibus plures animæ facultates inter se dissidentes probari.

QVæ igitur maximè ad institutum nobis opus necessaria sunt, hæc duntaxat persequemur, ac primùm ipsorum præponemus, quod de puerorum institutione dicitur. Neque enim à ratione impetus ipsorum moderari possis dicere, vt qui rationem necdum habeant; neque quòd non irascantur, doleant, gaudeant, rideant, plorent, atque eiusmodi aliis innumeris affectibus implicentur. Multò enim & plures & vehementiores affectus pueris quàm adultis oboriuntur (quanquam neque Chrysippi placitis consentanea sint) sicuti neque dicere possis quod nulla propensio natura ipsis insit ad voluptatem, aut alienatio ad laborem. Etenim inclinant à nullo docti magistro omnes pueri ad voluptates: auersantur autem, fugiúntque labores. Videmus autem eos ipsos & irascentes, & calcitrantes, & mordentes, ac vincere cupientes, & in eiusmodi præualere, quemadmodum nonnulla animantia nullo præmio proposito præter ipsam victoriam; id quod euidenter apparet in coturnicibus, gallis, perdicibus, ichneumone, aspide, crocodilo, aliisque infinitis. Sic itaque peculiariter inclinare etiam pueri videntur, & ad voluptatem, & ad victoriam; quemadmodum paulò post ostendunt, vbi processerint ætate; quoniam ad honestum naturalem quandam propensionem habent: peccantes igitur pudefiunt, gaudéntque honestis operibus, & iustitiam aliásque virtutes amplectuntur, ac faciunt multa secundum harum virtutum notiones; prius, quum adhuc essent parui, ex affectu viuentes, ac nullam præceptorum ex ratione curam habentes. Quum itaque hæ tres propensiones nobis natura iusta vnamquamque partium animi speciem insint, ad voluptatem sanè propter concupiscibilem, ad victoriam verò propter irascibilem, ad honestum propter ratiocinatricem; Epicurus sanè infimæ animæ partis propensionem solùm conspexit. Chrysippus autem optimè quum dixerit peculiariter nos affici erga solum honestum, quod est nimirum & bonum. At vniuersas tres proprietates perspicere solis veteribus philosophis licuit. Relictis itaque duabus, Chrysippus meritò ambigere se dicit quomodo prauitas generetur, quum neque causam ipsius possit dicere, neque consistentiæ modos, neque quomodo pueri peccent, queat inuenire, quæ bona ratione opinor omnia etiam Posidonius in eo damnat coarguitque. Si enim ad honestum protinus ab initio peculiariter pueri ducerentur, malitiam non interius, neque ex ipsis, verùm extrinsecus solùm innasci ipsis oportebat. Atqui videntur etiam si probis moribus educentur, & vt par est erudiantur, omninò aliquid peccare:

A ὡς ἐν τῷ περὶ τούτου δέδεικται γράμματι, μήτ' ἐν αἷς ἐτόλμησεν εἰπεῖν τι καλῶς ἀποφηνάμενος, οὐδ' οὐκ ἂν οἶμαι δύναιτο τὴν θεραπείαν αὐτῶν ποιήσασθαι κατὰ τρόπον, ἀλλ' ὅπερ εἶπον ἤδη καὶ πρόσθεν, εἴ τις ἐξελέγχοι τὰ τέσσαρα τοῦ Χρυσίππου βιβλία, πολὺ πλεόνων αὐτῷ δεήσει συγγραμμάτων.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ἐκ παθῶν τε καὶ διοικήσεων τῶν παίδων πολλὰς τὰς τῆς ψυχῆς δυνάμεις ἀλλήλων διαφερούσας ἀποφαίνεσθαι.

B Ὅσα τοίνυν ἀναγκαιότατα πρὸς τὴν προκειμένην ἡμῖν πραγματείαν ἐστὶ, ταῦτα ἐπέλθωμεν μόνα, καὶ πρῶτόν γε αὐτῶν προχειρισώμεθα τὸ περὶ τῆς τῶν παίδων διοικήσεως. οὔτε γὰρ ὑπὸ λόγου τὰς ὁρμὰς αὐτῶν ἐπιτροπεύεσθαι δυνατὸν εἰπεῖν (οὐ γὰρ ἔχουσιν ἤδη τὸν λόγον) οὔθ' ὡς οὐ θυμοῦταί τε, καὶ λυπεῖται, καὶ ἥδεται, καὶ γελᾷ, καὶ κλαίει, καὶ τοιαῦθ' ἕτερα πάθη πάσχει μυρία. πολὺ γὰρ δὴ καὶ πλείω, καὶ σφοδρότερα τὰ πάθη τοῖς παιδίοις ἐστὶν οὐ τοῖς τελείοις. οὐ μὴν ἀκολουθεῖ γε ταῦτα τοῖς Χρυσίππου C δόγμασιν, ὥσπερ οὔτε τὸ μηδεμίαν οἰκείωσιν εἶναι φύσει πρὸς ἡδονὴν, ἢ ἀλλοτρίωσιν πρὸς πόνον. ἅπαντα μὲν γὰρ ἀδιδάκτως ἅπαντα τὰ παιδία πρὸς τὰς ἡδονὰς, ἀποστρέφεται δὲ καὶ φεύγει τοὺς πόνους. ὁρῶμεν δ' αὐτὰ καὶ θυμούμενα, καὶ λακτίζοντα, καὶ δάκνοντα, καὶ νικᾶν ἐθέλοντα, καὶ κρατεῖν τῶν τοιούτων, ὥσπερ ἔνια τῶν ζώων οὐδενὸς ἄθλου προβαλλομένου παρὰ τὸ νικᾶν αὐτό. φαίνεται δ' ἐναργῶς τὸ τοιοῦτον ἐπ' ὀρτύγων, καὶ ἀλεκτρυόνων, καὶ περδίκων, ἰχνεύμονός τε καὶ ἀσπίδος, καὶ κροκοδείλου, καὶ μυρίων ἑτέρων. οὕτως οὖν οἰκειοῦσθαι, καὶ τὰ παιδία φαίνεται, καὶ πρὸς D ἡδονὴν, καὶ πρὸς νίκην, ὥσπερ ὕστερόν ποτε δείκνυσιν ἐπειδὰν προβαίνῃ κατὰ τὴν ἡλικίαν, ὅτι πρὸς τὸ καλὸν ἔχει τινὰ φυσικὴν οἰκείωσιν. αἰδεῖται γοῦν ἁμαρτάνοντα προϊούσης αὐτῆς τῆς ἡλικίας, καὶ χαίρει τοῖς καλοῖς ἔργοις, καὶ δικαιοσύνης, καὶ τῶν ἄλλων ἀρετῶν ἀντιποιεῖται, καὶ πράττει πολλὰ κατὰ τὰς τῶν ἀρετῶν τούτων ἐννοίας, ἔμπροσθεν ἡνίκα ἦν ἔτι σμικρὰ κατὰ πάθος ζῶντα, καὶ τῶν ἐκ τοῦ λόγου προσταγμάτων οὐδεμίαν φροντίδα ποιούμενα. τριῶν οὖν τούτων ἡμῖν οἰκειώσεων ὑπαρχουσῶν φύσει καθ' ἕκαστον τῶν μορίων τῆς ψυχῆς εἶδος, πρὸς μὲν τὴν ἡδονὴν διὰ τὸ E ἐπιθυμητικὸν, πρὸς δὲ τὴν νίκην διὰ τὸ θυμοειδὲς, πρὸς δὲ τὸ καλὸν διὰ τὸ λογιστικόν. Ἐπίκουρος μὲν τὴν τοῦ χείρονος μορίου τῆς ψυχῆς οἰκείωσιν ἐθεάσατο μόνην, ὁ δὲ Χρύσιππος τὴν τοῦ βελτίστου φάμενος ἡμᾶς οἰκειοῦσθαι πρὸς μόνον τὸ καλὸν, ὅπερ εἶναι δηλονότι καὶ ἀγαθόν. ἁπάσας δὲ τὰς τρεῖς οἰκειώσεις θεάσασθαι μόνοις τοῖς παλαιοῖς ὑπῆρξε φιλοσόφοις. ἐάσας οὖν τὰς δύο ὁ Χρύσιππος εἰκότως ἀπορεῖν ἐρεῖ τῆς κατὰ τὴν κακίαν γενέσεως, οὔτ' αἰτίαν ἔχων εἰπεῖν αὐτῆς, οὔτε τρόπους τῆς συστάσεως, οὔθ' ὅπως ἁμαρτάνει τὰ παιδία δυνάμενος ἐξευρεῖν F ἅπερ εὐλόγως οἶμαι πάντα, καὶ ὁ Ποσειδώνιος αὐτοῦ καταμέμφεται, καὶ ἐλέγχει. εἰ γὰρ δὴ πρὸς τὸ καλὸν εὐθὺς ἐξ ἀρχῆς ᾠκείωται τὰ παιδία, τὴν κακίαν οὐκ ἔνδοθεν οὐδ' ἐξ ἑαυτῶν, ἀλλ' ἔξωθεν μόνον ἐχρῆν αὐτοῖς ἐγγίνεσθαι, ἀλλὰ μὴν ὁρᾶταί γε κἂν χρηστοῖς ἔθεσιν ἐντρέφηται, καὶ προσηκόντως παιδεύηται, πάντως ἐξαμαρτάνοντά τι,

καὶ τοῦτ' αὐτὸ καὶ ὁ Χρύσιππος ὁμολογεῖ, καίτοι γ' ἐνῆν αὐτῷ παριδόντι τὴν ἐναργῆ φαινομένων αὐτὸ μόνον ὁμολογῆσαι, ὃ ταῖς ἰδίαις ὑποθέσεσιν ἀκόλουθον. εἰ καλῶς ἀχθείη τὰ παιδία, πάντως αὐτὰ φάσκοντι σοφοὺς ἄνδρας γενήσεσθαι τοῦ χρόνου προϊόντος, ἀλλ' οὐκ ἐτόλμησε τοῦτό γε καταψεύσασθαι τῶν φαινομένων. ἀλλὰ κἂν ὑπὸ φιλοσόφῳ τρέφηται μόνῳ, καὶ μηδὲν μήτε θεάσηται, μήτ' ἀκούσῃ πώποτε παράδειγμα κακίας, ὅμως οὐκ ἐξ ἀνάγκης αὐτὰ φιλοσοφήσειν. διττὴν γὰρ εἶναι τῆς διαστροφῆς τὴν αἰτίαν. ἑτέραν μὲν ἐκ κατηχήσεως τῶν πολλῶν ἀνθρώπων ἐγγινομένην. ἑτέραν δ' ἐξ αὐτῆς τῶν πραγμάτων τῆς φύσεως. ἐγὼ δὲ ὑπὲρ ἑκατέρας αὐτῶν ἀπορῶ, καὶ πρώτης γε τῆς ἐκ τῶν πέλας γιγνομένης. καὶ γὰρ διὰ τί θεασάμενά τε, καὶ ἀκούσαντα παράδειγμα κακίας, οὐχὶ μισεῖ τοῦτο καὶ φεύγει ὃ μηδεμίαν οἰκείωσιν ἔχει πρὸς αὐτό, θαυμάζειν ἐπέρχεταί μοι, καὶ πολὺ δὴ μᾶλλον ἐπειδὰν μήτε θεασάμενα, μήτ' ἀκούσαντα πρὸς αὐτῶν τῶν πραγμάτων ἐξαπατηθῇ. τίς γὰρ ἀνάγκη τοὺς παῖδας ὑπὸ μὲν τῆς ἡδονῆς ὡς ἀγαθοῦ δελεάζεσθαι, μηδεμίαν οἰκείωσιν ἔχοντας πρὸς αὐτήν, ἀποστρέφεσθαι δὲ καὶ φεύγειν τὸν πόνον, εἴπερ μὴ καὶ πρὸς τοῦτον ἠλλοτρίωται φύσει; τίς δ' ἀνάγκη πρὸς μὲν τοῖς ἐπαίνοις, καὶ ταῖς τιμαῖς ἥδεσθαί τε καὶ χαίρειν αὐτοῖς, ἄχθεσθαι δὲ καὶ φεύγειν τοὺς ψόγους, καὶ τὰς ἀτιμίας; εἴπερ μὴ καὶ πρὸς ταῦτα φύσει τινὰ ἔχουσιν οἰκείωσίν τε καὶ ἀλλοτρίωσιν. εἰ γὰρ μὴ ταῖς φωναῖς, ἀλλὰ τῇ γε δυνάμει τῶν λεγομένων ὁμολογεῖν ἔοικεν ὁ Χρύσιππος, ὡς ἔστιν οἰκείωσίς τέ τις ἡμῖν, καὶ ἀλλοτρίωσις φύσει πρὸς ἕκαστον τῶν εἰρημένων. ἐπειδὰν γὰρ λέγῃ, τὰς περὶ ἀγαθῶν καὶ κακῶν ἐγγίνεσθαι τοῖς φαύλοις διαστροφάς, διά τε τὴν πιθανότητα τῶν φαντασιῶν, καὶ τὴν κατήχησιν, ἐρωτητέον αὐτὸν τὴν αἰτίαν, δι' ἣν ἡδονὴ μὲν ὡς ἀγαθόν, ἀλγηδὼν δ' ὡς κακόν, πιθανὴν προβάλλουσι φαντασίαν. οὕτως δὲ καὶ διὰ τί, τὴν μὲν νίκην τὴν ἐν Ὀλυμπιάσι, καὶ τὴν τῶν ἀνδριάντων ἀνάθεσιν, ἐπαινούμενά τε καὶ μακαριζόμενα πρὸς τῶν πολλῶν ἀκούοντες ὡς ἀγαθά, περὶ δὲ τῆς ἥττης τε καὶ τῆς ἀτιμίας, ὡς κακὰ ἑτοίμως πειθόμεθα. καὶ γὰρ καὶ ταῦθ' ὁ Ποσειδώνιος μέμφεται, καὶ δεικνύναι πειρᾶται πασῶν τῶν ψευδῶν ὑπολήψεων τὰς αἰτίας, ἐν μὲν τῷ θεωρητικῷ διὰ τῆς παθητικῆς ὁλκῆς, προηγεῖσθαι δ' αὐτῆς τὰς ψευδεῖς δόξας, ἀσθενήσαντος περὶ τὴν κρίσιν τοῦ λογιστικοῦ, γεννᾶσθαι γὰρ τῷ ζώῳ τὴν ὁρμήν, ἐνίοτε μὲν ἐπὶ τῇ τοῦ λογιστικοῦ κρίσει, πολλάκις δ' ἐπὶ τῇ κινήσει τοῦ παθητικοῦ. συνάπτει δ' εἰκότως τοῖς λόγοις τούτοις ὁ Ποσειδώνιος, τὰ κατὰ τὸ φυσιογνώμονα φαινόμενα. καὶ γὰρ τῶν ζώων καὶ τῶν ἀνθρώπων, ὅσα μὲν εὐρύστερνά τε καὶ θερμότερα, θυμικώτερα πάνθ' ὑπάρχει φύσει, ὅσα δὲ πλατυίσχιά τε καὶ ψυχρότερα, δειλότερα. καὶ κατὰ τὰς χώρας οὐ σμικρῷ τινι διενηνοχέναι τοῖς ἤθεσι τοὺς ἀνθρώπους εἰς δειλίαν καὶ τόλμαν, ἢ τὸ φιλήδονόν τε καὶ φιλόπονον, ὡς τῶν παθητικῶν κινήσεων τῆς ψυχῆς ἑπομένων ἀεὶ τῇ διαθέσει τοῦ σώματος, ἣν ἐκ τῆς κατὰ τὸ περιέχον κράσεως οὐ κατ' ὀλίγον ἀλλοιοῦσθαι. καὶ γὰρ δὴ καὶ τὸ αἷμα διαφέρειν ἐν τοῖς ζώοις φησὶ θερμότητι, καὶ ψυχρότητι, καὶ πάχει, καὶ λεπτότητι, καὶ ἄλλαις φησὶ διαφοραῖς οὐκ ὀλίγαις, ὑπὲρ ὧν Ἀριστοτέλης ἐπὶ πλεῖστον διῆλθεν. ἡμεῖς δὲ κατὰ τινὰ οἰκεῖον καιρὸν ἐπὶ προήκοντι τῷ λόγῳ μνημονεύσομεν αὐτῶν, ἡνίκα ἂν καὶ ταύτας τὰς Ἱπποκράτους τε, καὶ Πλάτωνος ῥήσεις περὶ τούτων παραγράφωμεν. ἐν δὲ

atque hoc ipsum Chrysippus quoque confitetur, quamuis liceret ipsi euidenter apparentia prætergresso, hoc solùm concedere, quòd propriis hypothesibus erat consentaneum; ipsos scilicet omninò pueros, si probè omninò educati fuerint, in viros sapientes temporis processu euasuros affirmando, sed non ausus est hoc aduersus euidentia mentiri; verùm quamuis sub philosopho duntaxat educentur, & nullum neque viderint, neque audiuerint vnquam malitiæ exemplum, tamen non necessariò ipsos philosophiæ incubituros; duplicem namque causam esse peruersitatis; alteram ex multorum hominum instructione innascentem: alteram ex ipsa rerum natura. Ego verò de vtraque ipsarum dubito, & prima quæ ex familiaribus oboritur. Etenim cur qui viderint audiuerintque malitiæ exemplum non oderint hoc, & fugerint, eò quòd nullam proprietatem erga ipsum habeant, mirari mihi subit, & multò magis quum neque viso, neque audito eo, ab ipsis rebus decipiantur. Quæ enim necessitas pueros à voluptate tanquam bono inescari, ne vnam quidem propensionem erga ipsam habentes; auersari autem & fugere laborem, si non & ab hoc natura alienati sunt? Quæ rursus necessitas laudibus & honoribus oblectari, & ipsis gaudere, odisse autem & fugere reprehensiones & ignominiam, si non etiam ad hæc natura inclinationem quandam habent, alienationémque? Si enim non verbis, saltem virtute eorum quæ dicuntur, Chrysippus videtur consentire, quòd insit nobis natura inclinatio quædam & alienatio; quippe quum dicit peruersitates circa bona & mala innasci prauis, propter imaginationum probabilitatem, & institutionem; causa ab eo roganda est, cur voluptas quidem vt bonum, dolor autem vt malum, probabilem obiiciunt imaginationem. Ita rursus cur victoriam in Olympicis, & statuarum erectionem laudari extollíque à plerisque audientes, quòd bona sint, cladem contra, & ignominiam, quòd mala sint, facilè persuademur. Etenim Posidonius criminatur, tentátque ostendere omnium falsarum opinionum causas in speculatiuo sanè per affectuum attractionem; præcedere autem ipsam falsas opiniones, vbi ratiocinatrix circa iudicium fuerit imbecillis; oboriri enim animali impetum nonnunquam sanè propter ratiocinatricis iudicium, sæpe verò ob motum partis affectibus obnoxiæ. Connectit autem meritò his rationibus Posidonius ea quæ in physionomia apparent. Etenim animalium ac hominum, quæ lati pectoris & calidiora sunt, omnia naturam habent iracundiorem; quæ verò latis coxis constant, & frigidiora sunt, timidiorem. Et secundum varietatem regionum non parum quiddam moribus homines ad timorem & audaciam, vel voluptatis laborisque studium differunt, tanquam affectuum animi motibus, corporis dispositionem, quam ex aëris temperatura non modicè immutari contingit sequentibus. Quinetiam sanguinem in animantibus differre, calore, frigiditate, crassitie, & tenuitate pronunciat; item aliis non paucis differentiis; de quibus Aristoteles plenissimè tractauit. Nos autem suo tempore sermonis processu mentionem ipsarum faciemus, quando etiam eadem tum Hippocratis, tum Platonis verba de istis ascribemus. In præsentiâ

sentiâ verò ad Chrysippum oratio mihi instituta est, qui neque aliud eorum quæ secundum affectus fiunt, cognouit, neque quòd corporis temperamenta peculiares ipsis affectuum motus efficiunt; ita namque Posidonius nominare consueuit. Aristoteles autem apertè iam vocat animalium omnia huiusmodi, animæ constitutiones; exponitque quomodo ex diuersis temperamentis constituantur. Quare mea sententia etiam affectuum animi curatio in nonnullis quidem prompta & facilis est, eò quòd neque affectuum motus ipsis insint validi, neque ratiocinatrix pars imbecillis natura, & imprudens, sed propter inscitiam, prauásque consuetudines id genus hominum ex affectu viuere cogatur. Nonnullis verò difficilis & ægra, quum motus affectuum qui ex corporis constitutione necessariò obueniunt, magni extiterint, & vehementes, ratiocinatrixque imbecillis facultas & imprudens; quippe & hunc veri scientiam adipisci oportet, ac effectuum motus retundere, probis institutionibus assuescentem, si quis hominem moribus præstantiorem reddbuilturus est. Sic autem & ab initio hominem ad optimum conformare oportet, ante omnia quidem ipsorum seminum ratione habita, deinde victus quo grauida vtetur, & in alimentis, & potionibus, & exercitiis, & quiete, & somno: de quibus omnibus Plato accuratissimè disseruit; Chrysippus non solùm ipse nihil quod ad rem pertineret dixit, sed ne successorum quidem ipsius alicui inuentionis occasionem reliquit, prauam induens sermoni crepidam. Hæc vtique Posidonius ei obiicit, ac miratur quæ Plato de conformatione infantium qui adhuc in vtero geruntur, tradidit; editorum autem alimento & institutione; ac conscripsit veluti compendium aliquod in primo ipsius de affectibus commentario, eorum quæ à Platone dicta sunt, scilicet oportere pueros educari & institui, vt reddant partem animi affectibus opportunam & irrationalem, motibus commoderatam, ac rationis mandato morigeram. Hic enim optimus est in puerorum institutione apparatus facultatis animæ affectibus obnoxiæ, si ad ratiocinatricis dominium quàm maximè idonea sit, exiguam enim primum & imbecillem hanc esse decet, magnam verò & valentem circa quartumdecimum ætatis annum euadere, quando iam dominari & imperare ipsam conuenit, tanquam aurigam quendam pari connatorum equorum cupiditati & iracundiæ, dum non valentes nimium sunt, neque imbecillæ, neque pigræ, neque effrenes, neque contumaces omninò, vel indecoræ, vel contumeliosæ, sed in omne promptæ, tum sequi, tum obedire rationi. Huius autem ipsius institutionem virtutémque scientiam esse oportet rerum naturæ, quemadmodum aurigæ, speculationum artis aurigandi; nam in brutis animæ facultatibus scientiæ non solent innasci; sicuti nec equis; sed his sanè propria virtus ex consuetudine quadam irrationali proficisci; aurigis autem ex disciplina rationali. Porrò sequitur rursus hæc etiam de virtutibus sermo duplicem continens errorem, siue scientias quis omnes ipsas, siue vires existimet. Siquidem irrationalium animæ partium necesse irrationales quoque virtutes esse; ratiocinatricis autem solius rationalem, quapropter meritò illarum sanè virtutes, facultates sunt;

τῷ παρόντι πρὸς τοὺς περὶ τὸν Χρύσιππον, ὁ λόγος ἐνέστηκέ μοι μήτ' ἄλλο γιγνώσκοντας τῶν κατὰ τὰ πάθη, μήθ' ὡς αἱ τοῦ σώματος κράσεις οἰκείας ἑαυταῖς ἐργάζονται τὰς παθητικὰς κινήσεις, οὕτως γὰρ ὁ Ποσειδώνιος ὀνομάζειν εἴωθεν. Ἀριστοτέλης δ' ἄντικρυς ἤδη καλεῖ τῶν ζώων ἁπάσας τὰς τοιαύτας τῆς ψυχῆς καταστάσεις, ἐξηγεῖταί τε καθ' ὅντινα τρόπον ἐπὶ ταῖς διαφερούσαις κράσεσι συνίσταται. διόπερ οἶμαι καὶ ἡ τῶν παθῶν τῆς ψυχῆς ἴασις ἐπ' ἐνίων μὲν εὔκολός τε καὶ ῥᾳδία, διὰ τὸ μήτε τὰς παθητικὰς κινήσεις αὐτοῖς ἰσχυρὰς ὑπάρχειν, μήτε τὸ λογιστικὸν ἀσθενὲς φύσει καὶ ἀσύνετον, ἀλλὰ δι' ἀμαθίαν, καὶ μοχθηροὺς ἐθισμοὺς ἐμπαθῶς ἀναγκάζεσθαι ζῆν τοὺς τοιούτους ἀνθρώπους. ἐνίοις δὲ χαλεπὴ καὶ δύσκολος, ὅταν κινήσεις αἱ κατὰ πάθος, αἱ διὰ τὴν τοῦ σώματος κατασκευὴν ἀναγκαίως γιγνόμεναι, μεγάλαι δή τινες οὖσαι τύχωσι καὶ σφοδραί, τό τε λογιστικὸν ἀσθενές, καὶ ἀσύνετον φύσει. χρὴ γὰρ καὶ τοῦτον μὲν ἐπιστήμην λαβεῖν τῆς ἀληθείας, καὶ τὰς κατὰ πάθος δὲ κινήσεις ἀμβλυνθῆναι χρηστοῖς ἐπιτηδεύμασιν ἐθισθεῖσαν, εἴ τις μέλλοι βελτίονα τὸ ἦθος ἀποδεῖξειν τὸν ἄνθρωπον. οὕτω δὲ καὶ πλάττειν ἐξ ἀρχῆς ἄνθρωπον χρὴ πρὸς τὸ βέλτιστον, ἁπάντων μὲν πρῶτον αὐτῶν τῶν σπερμάτων προνοουμένους, εἶτ' ἐφεξῆς τῆς διαίτης ᾗ ἡ κύουσα διαιτήσεται, κατά τε τὰς τροφάς, καὶ τὰ πόματα, καὶ τὰ γυμνάσια, καὶ τὰς ἡσυχίας, καὶ τοὺς ὕπνους, καὶ τὰς ἐγρηγόρσεις, ἐπιθυμίας τε καὶ θυμούς, ὅσα τ' ἄλλα τοιαῦτα, περὶ ὧν ἁπάντων, ὁ μὲν Πλάτων ἀκριβέστατα διῆλθεν, ὁ δὲ Χρύσιππος οὐ μόνον αὐτὸς οὐδὲν ἱκνούμενον εἶπεν, ἀλλ' οὐδὲ τὴν ἀπ' αὐτοῦ τινι κατέλιπεν ἀφορμὴν εὑρέσεως, μοχθηρὰν ὑποβαλλόμενος τῷ λόγῳ τὴν κρηπῖδα. ταῦτά τοι καὶ ὁ Ποσειδώνιος αὐτῷ μέμφεται, μετὰ τοῦ καὶ θαυμάζειν ὅσα Πλάτων εἶπεν ὑπὲρ τῆς τῶν παίδων ἔτι τε κυουμένων ἐν τῇ μήτρᾳ διαπλάσεως, ἀποκυηθέντων τε τροφῆς καὶ παιδείας, καὶ γέγραφέν γε ἐπιτομήν τινα κατὰ τὸ πρῶτον αὐτοῦ περὶ παθῶν σύγγραμμα τῶν ὑπὸ Πλάτωνος εἰρημένων, ὡς χρὴ τρέφεσθαι καὶ παιδεύεσθαι τοὺς παῖδας, ὑπὲρ τοῦ τὸ παθητικόν τε, καὶ ἄλογον τῆς ψυχῆς σύμμετρον ἀποφαίνεσθαι ταῖς κινήσεσι, καὶ τοῖς τοῦ λόγου προστάγμασιν εὐπειθές. αὕτη γὰρ ἀρίστη παίδων παιδείας παρασκευὴ τοῦ παθητικοῦ τῆς ψυχῆς, ὡς ἂν ἐπιτηδειοτάτη ἡ πρὸς τὴν ἀρχὴν τοῦ λογιστικοῦ. μικρὸν μὲν γὰρ τὰ πρῶτα, καὶ ἀσθενὲς ὑπάρχειν τοῦτο, μέγα δὲ καὶ ἰσχυρὸν ἀποτελεῖσθαι περὶ τὴν τεσσαρεσκαιδεκαετῆ ἡλικίαν, ἡνίκα ἤδη κρατεῖν τε καὶ ἄρχειν αὐτὸ προσήκει, καθάπερ ἡνίοχόν τινα τοῦ ζεύγους τῶν συμφύτων ἵππων ἐπιθυμίας τε καὶ θυμοῦ, μήτ' ἰσχυρῶν ὑπαρχόντων ἄγαν, μήτ' ἀσθενῶν, μήτ' ὀκνηρῶν, μήτ' ἐκφόρων, μήτε δυσπειθῶν ὅλως, ἢ ἀκόσμων, ἢ ὑβριστῶν, ἀλλ' εἰς ἅπαν ἑτοίμων ἕπεσθαί τε καὶ πείθεσθαι τῷ λογισμῷ. τούτου δ' αὐτοῦ τὴν παιδείαν τε, καὶ τὴν ἀρετὴν ἐπιστήμην εἶναι τῆς τῶν ὄντων φύσεως, ὥσπερ τοῦ ἡνιόχου τῶν ἡνιοχικῶν θεωρημάτων. ἐν γὰρ ταῖς ἀλόγοις τῆς ψυχῆς δυνάμεσιν ἐπιστήμας οὐκ ἐγγίνεσθαι, καθάπερ οὐδὲ ἐν τοῖς ἵπποις. ἀλλὰ τούτοις μὲν τὴν οἰκείαν ἀρετὴν ἐξ ἐθισμοῦ τινος ἀλόγου παραγίνεσθαι, τοῖς δ' ἡνιόχοις ἐκ διδασκαλίας λογικῆς. ἕπεται δ' αὖθις τοῖσδε, καὶ ὁ περὶ τῶν ἀρετῶν λόγος αὐτοῖς ἔχων τὸ σφάλμα διττόν, εἴτ' ἐπιστήμας τις ἁπάσας αὐτάς, εἴτε δυνάμεις ὑπολάβοι. τῶν μὲν γὰρ ἀλόγων τῆς ψυχῆς μερῶν, ἀλόγους ἀνάγκη καὶ τὰς ἀρετὰς εἶναι. τοῦ λογιστικοῦ δὲ μόνου λογικήν, ὥστ' εὐλόγως ἐκείνων μὲν αἱ ἀρεταὶ δυνάμεις εἰσίν,

ἐπιστήμη δὲ μόνου τοῦ λογιστικοῦ. Χρύσιππος δὲ μεγάλα σφάλλεται, οὐχ ὅτι μηδεμίαν ἀρετὴν ἐποίησε δύναμιν, οὐ γὰρ μέγα τὸ τοιοῦτον σφάλμα ἐστὶν, οὐδὲ διαφερόμεθα πρὸς αὐτὸν, ἀλλ' ὅτι πολλὰς ἐπιστήμας τε καὶ ἀρετὰς εἶναι φήσας, μίαν ἔφησεν εἶναι δύναμιν τῆς ψυχῆς. οὐ γὰρ ἐνδέχεται μιᾶς δυνάμεως ἀρετὰς εἶναι πολλὰς, εἴ γε μηδὲ τελειότητας πολλὰς ἑνὸς πράγματος. μία γὰρ ἑκάστου τῶν ὄντων ἡ τελειότης, ἡ δ' ἀρετὴ τελειότης ἐστὶ τῆς ἑκάστου φύσεως, ὡς αὐτὸς ὁμολογεῖ. κάλλιον οὖν Ἀρίστων ὁ Χῖος, οὔτε πολλὰς εἶναι τὰς ἀρετὰς τῆς ψυχῆς ἀποφηνάμενος, ἀλλὰ μίαν, ἣν ἐπιστήμην ἀγαθῶν τε, καὶ κακῶν εἶναί φησιν, οὔτε περὶ τῶν παθῶν ἐναντία ταῖς ἰδίαις ὑποθέσεσι γράψας, ὥσπερ ὁ Χρύσιππος.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Ἅττα ὁ Ποσειδώνιος ἔγραψε περὶ τέλους τε, καὶ αἰτιῶν τῶν τῆς ψυχῆς παθῶν, καὶ τῆς τῶν αἰτιῶν διαγνώσεώς τε, καὶ ἡ τῆς διαγνώσεως χρεία.

Ἀλλὰ περὶ μὲν τῶν ἀρετῶν ἐν τοῖς ἑξῆς ἐροῦμεν, ἐπεὶ δὲ καὶ περὶ τούτων ὁ Χρύσιππος ἐπηρεάζει τὸν Πλάτωνα. νυνὶ γὰρ ἐξ ἀκολουθίας τινὸς ἑαυτῶν ἐμνημονεύσαμεν τῷ περὶ τῶν παθῶν δόγματι, καὶ τοῦ περὶ τῶν ἀρετῶν ἐξ ἀνάγκης ἑπομένου, ὥσπερ καὶ ὁ Ποσειδώνιός φησιν, ὧδέ πως γράφων αὐτοῖς ὀνόμασι, κατὰ τὸ πρῶτον περὶ παθῶν οὐ μετὰ πολλὰ τῆς ἀρχῆς τοῦ βιβλίου. νομίζω γὰρ καὶ τὴν περὶ ἀγαθῶν, καὶ κακῶν, καὶ τὴν περὶ τελῶν, καὶ τὴν περὶ ἀρετῶν, ἐκ τῆς περὶ παθῶν ὀρθῆς διασκέψεως ἠρτῆσθαι. ὅτι μὲν οὖν τὴν περὶ τῶν ἀρετῶν ὀρθῶς δόξαν ἐζεῦχθαι συμβέβηκε τῇ περὶ τῶν παθῶν, αὐτάρκως ἐνδεδεῖχθαί μοι δοκῶ. ὅτι δὲ καὶ τὴν περὶ ἀγαθῶν τε καὶ τοῦ τέλους, ἀρκεῖ μοι τὰ Ποσειδωνίου παραγράψαι τόνδε τὸν τρόπον ἔχοντα. τὸ δὴ τῶν παθῶν αἴτιον, τουτέστι τῆς τε ἀνομολογίας, καὶ τοῦ κακοδαίμονος βίου τὸ μὴ κατὰ πᾶν ἕπεσθαι, τῷ ἐν αὐτῷ δαίμονι συγγενεῖ τε ὄντι, καὶ τὴν ὁμοίαν φύσιν ἔχοντι τῷ τὸν ὅλον κόσμον διοικοῦντι, τῷ δὲ χείρονι, καὶ ζωώδει ποτὲ συνεκκλίνοντας φέρεσθαι. οἱ δὲ τοῦτο παριδόντες, οὔτε ἐν τούτοις βελτιοῦσι τὴν αἰτίαν τῶν παθῶν, οὔτ' ἐν τοῖς περὶ τῆς εὐδαιμονίας, καὶ ὁμολογίας ὀρθοδοξοῦσιν. οὐ γὰρ βλέπουσιν ὅτι πρῶτόν ἐστιν ἐν αὐτῇ τὸ κατὰ μηδὲν ἄγεσθαι ὑπὸ τοῦ ἀλόγου τε, καὶ κακοδαίμονος, καὶ ἀθέου τῆς ψυχῆς. ἐν τούτοις φανερῶς ὁ Ποσειδώνιος ἐδίδαξε πηλίκον ἁμαρτάνουσιν οἱ περὶ τὸν Χρύσιππον, οὐ μόνον ἐν τοῖς περὶ τῶν παθῶν λογισμοῖς, ἀλλὰ καὶ περὶ τοῦ τέλους. οὐ γὰρ ὡς ἐκεῖνοι λέγουσιν, ἀλλ' ὡς ὁ Πλάτων ἐδίδαξε τὸ τῇ φύσει ζῆν ὁμολογουμένως ἐστίν. ὄντως γὰρ ἐν ἡμῖν τοῦ μὲν βελτίονος τῆς ψυχῆς μέρους, τοῦ δὲ χείρονος. ὁ μὲν τῷ βελτίονι συνεπόμενος, ὁμολογουμένως ἂν λέγοιτο τῇ φύσει ζῆν. ὁ δὲ τῷ χείρονι μᾶλλον ἑπόμενος ἀνομολογουμένως· ἔστι δ' οὗτος μὲν ὁ κατὰ πάθος ζῶν, ἐκεῖνος δὲ ὁ κατὰ λόγον. οὐκ ἀρκεσθεὶς δὲ τούτοις ὁ Ποσειδώνιος, ἐναργέστερόν τε καὶ σφοδρότερον καθάπτεται τῶν περὶ τὸν Χρύσιππον, ὡς οὐκ ὀρθῶς ἐξηγουμένων τὸ τέλος. ἔχει δὲ ἡ ῥῆσις ὧδε. ἃ δὴ παρέντες ἔνιοι, τὸ ὁμολογουμένως ζῆν συστέλλουσιν εἰς τὸ πᾶν τὸ ἐνδεχόμενον ποιεῖν ἕνεκα τῶν πρώτων κατὰ φύσιν, ὅμοιον αὐτὸ ποιοῦντες τῷ σκοπὸν ἐκτίθεσθαι τὴν ἡδονὴν, ἢ τὴν ἀοχλησίαν, ἢ ἄλλο τι τοιοῦτον. ἔστι δὲ μάχην ἐμφαῖνον κατ' αὐτὴν τὴν ἐκφορὰν, καλὸν δὲ καὶ εὐδαιμονικὸν οὐδέν.

solius autem ratiocinatricis, scientia. At Chrysippus vehementer errat, non solùm quòd ne vnam quidem virtutem, facultatem fecerit, non enim magnus is error est, neque in hoc dissentimus, sed quod multas & scientias & virtutes esse dicens, vnam esse animæ facultatem dixerit. Quippe fieri non potest, vt vnius facultatis multæ sint virtutes; siquidem neque perfectiones multæ vnius rei esse poterunt. Vna enim cuiusque eorum quæ sunt perfectio est; at perfectio cuiusque naturæ virtus est, vt ipse fatetur. Melius itaque Aristo Chius, neque multas esse animæ virtutes pronunciat, sed vnam, quam bonorum malorúmque scientiam esse tuetur; neque de affectibus contraria suis hypothesibus scribit, quemadmodum Chrysippus.

CAPVT VI.

Quæ Posidonius scripserit aduersus Chrysippum de fine; ac de affectuum animi causis causarúmque dignotione, & dignotionis vsus.

VErùm de virtutibus posteà agetur, quia etiam in his Chrysippus calumniatur Platonem; nunc enim ex consecutione quadam de eis mentio facta est, cum decretum de affectibus, decreta de virtutibus necessariò consequatur, quemadmodum & Posidonius inquit, ita scribens ad verbum in primo de affectibus, non multò post libri initium. *Puto enim considerationem de bonis & malis, item de finibus, insuper de virtutibus speculationem, ex ea quæ de affectibus est rectè pendere. Quod itaque opinionem de virtutibus rectè ei quæ de affectibus est, coniungi accidit, abundè à me ostensum arbitror.* Quòd autem & de bonis & de fine opinio coniuncta est, sufficit mihi Posidonij verba scribere, quæ hunc in modum habent. *Affectuum causa sanè, hoc est, dissensionis & infelicis vitæ est non sequi per omnia genium nobis insitum, qui connatus ac similis naturæ est ei qui totum mundum gubernat; cum deteriore verò & qui animali peculiaris est nonnunquam declinando efferri. Qui verò hoc præterierunt neque in his affectuum meliorem causam reddiderunt, neque in iis quæ de felicitate & consensu sunt, rectè opinantur; quippe qui non vident primum esse in ea, in nulla re duci ab irrationali, infelici, & Dei experte anima.* In his manifestò Posidonius docuit quantum Chrysippi sectatores aberrent, non solùm in disputationibus de affectibus, sed etiam de fine. Non enim est vt illi dictitant, sed vt Plato tradidit, naturæ consentaneam vitam agere. Quum enim in nobis alia potior sit animæ pars, alia deterior; qui potiorem sequitur, consentaneam naturæ vitam agere dicetur; qui deteriorem magis æmulatur, repugnantem; hic autem ex affectu, ille secundum rationem viuit. Porrò non contentus his Posidonius, euidentiùs vehementiúsque Chrysippi sectatores attingit, qui non rectè finem interpretentur. Habent autem verba in eum modum. *Quæ sanè prætermittentes nonnulli id quod est cum consensu naturæ viuere, contrahunt in hoc quod est, omne quod potest fieri, agere causâ primorum secundum naturam, simile eis facientes, qui scopum proponunt voluptatem, aut tranquillitatem, aut aliud quippiam eiusmodi. Hoc autem pugnam ostendit in ipsa prolatione, honestum autem & felix nihil;*

comitatur enim necessariò finem; finis autem non est; sed si hoc rectè percipiatur licet eo vti ad ambiguitates auferendas, quas sophistæ producunt, quod equidem non continget de eo quod est viuere secundum peritiam eorum quæ in tota natura eueniunt; quod idem valet, ac si dicas conuenienter naturæ viuere nisi hoc ignauè ad aliquam suarum differentiarum vergere contingat. Sufficiebat itaque forsan & hoc ad absurditatis indicationem eorum quæ Chrysippus de fine dixit, exponendo quomodo quis vitam naturæ consentaneam assequatur. Melius tamen puto etiam post hæc, à Posidonio scripta apponere, quæ hocce modo habent; *Hanc sanè absurditatem causa affectuum visa dissoluit, ac principia peruersitatis in rebus appetendis fugiendísque indicauit, ac modos exercitationis diuisit.* Item quæ de affectus impetu dubitantur, declarauit. *Non exigua, neque vulgaria inquit nos consecuturos bona, causâ affectuum inuentâ.* Nam vt discamus exactè quale tandem sit vita naturæ consentanea, ex inuenta affectuum causa adiuti sumus. Siquidem qui ex affectu viuit, non consentaneam naturæ vitam agit; qui non ex affectu, consentaneam naturæ transigit. Sequitur enim hic irrationalem & attonitam animæ partem, ille rationalem & diuinam. Porrò initia peruersitatis in rebus appetendis fugiendísque, causa affectuum inuenta edocuit; nam propria facultatibus animæ irrationabilibus, nonnulli decepti quasi simpliciter propria opinantur, ignari quòd voluptas & imperium in proximos, animalis partis animæ sunt appetibilia. Sapientia verò, & omne bonum honestúmque, simul & rationalis & diuinæ partis est. Modos autem exercitij, inquit, affectuum causa cognita distinxit. Alios enim in huiusmodi numeris pariter & harmoniis studiísque, alios in talibus viuere iubebimus, quemadmodum Plato nos docuit; hebetes quidem & pigros & vecordes, tum in rectis numeris, tum harmoniis animam validè mouentibus, tum eiusmodi studiis educantes; iracundiores autem & furibundos magis tractantes, contrariis; quoniam cur per deum immortalem (interrogabo enim adhuc hoc à Chrysippo) Damon musicus, quum esset apud tibicinam Phrygium modulantem, adolescentibus quibusdam ebriosis, & insania quædam peragentibus, Doricum canere iussit, illi verò statim à motu insulso cessarunt? Non enim nimirum opiniones ratiocinatricis facultatis docentur à cantionibus tibicinæ, sed affectibus obnoxia pars animæ, quum sit irrationalis, excitatur, mitigatúrque motibus irrationabilibus. Siquidem irrationali ab irrationalibus & commodum & noxa obuenit; rationali verò ex scientia, bonáque disciplina. Atque hæc ex affectuum causa cognita accedere nobis ait, & iuuare Posidonius affirmat; & præterea quæ de affectus impetu ambiguntur, declarare. Deinde ipse quæ tandem ea sint, inferens, hunc in modum exponit: *Puto namque nuper vos vidisse, quomodo ratione persuasi malum sibi adesse, vel inferri, neque timent, neque dolent; imaginationes autem illorum ipsorum capiunt. Quomodo enim aliquis ratione mouebit irrationale, si non quandam descriptionem sensibili persimilem adiecerit? Sic igitur ex narratione nonnulli in cupiditatem incidunt, & manifestò iussi fugere incurrentem Leonem, non videntes extimescunt.*

A παρέπεται γὰρ κατ' ἀνάγκην τῷ τέλει, τέλος δ' οὐκ ἔστιν, ἀλλὰ καὶ τούτου διαληφθέντος ὀρθῶς, ἔξεστι μὲν αὐτῷ χρῆσθαι πρὸς τὸ διακόπτειν τὰς ἀπορίας ἃς οἱ σοφισταὶ προτείνουσι, μὴ μέντοι γε τὸ κατ' ἐμπειρίαν τῶν κατὰ τὴν ὅλην φύσιν συμβαινόντων ζῆν, ὅπερ ἰσοδυναμεῖ τῷ ὁμολογουμένως εἰπεῖν ζῆν, ἡνίκα μὴ τοῦτο μικροπρεπῶς συντείνῃ εἰς τὸ τῶν διαφορῶν τυγχάνειν. ἤρκει μὲν οὖν ἴσως καὶ τοῦτο πρὸς ἔνδειξιν τῆς ἀτοπίας, ὧν ὁ Χρύσιππος εἴρηκε περὶ τοῦ τέλους ἐξηγούμενος, ὅπως ἄν τις τυγχάνοι τοῦ ὁμολογουμένως τῇ φύσει ζῆν. ἄμεινον μὴν ἡγοῦμαι καὶ τὰ τούτοις ἐξῆς ὑπὸ τοῦ Ποσειδωνίου γεγραμμένα παραθέσθαι τόνδε τὸν τρόπον ἔχοντα. B Ταύτην τε δὴ τὴν ἀτοπίαν διέλυσεν ἡ αἰτία τῶν παθῶν ὀφθεῖσα, καὶ τὰς ἀρχὰς ἔδειξε τῆς ἐν τοῖς ὀρεκτοῖς καὶ φευκτοῖς διαστροφῆς, καὶ τοὺς τρόπους τῆς ἀσκήσεως διεῖλε, καὶ τὰ διαπορούμενα περὶ τῆς ἐκ πάθους ὁρμῆς ἐξέφηνεν. οὐ σμικρά γε οὐδὲ τὰ τυχόντα φησὶν ἡμᾶς ἀπολαύσειν ἀγαθά, τῆς αἰτίας τῶν παθῶν εὑρεθείσης. εἰς γὰρ τὸ μαθεῖν ἀκριβῶς οἷόν τι τὸ ὁμολογουμένως τῇ φύσει ζῆν ἐστιν, ἐκ τῆς τῶν παθῶν αἰτίας εὑρεθείσης ὠφελήθημεν. ὁ μὲν γὰρ κατὰ πάθος, οὐχ ὁμολογουμένως ζῇ τῇ φύσει, ὁ δὲ μὴ κατὰ πάθος, ὁμολογουμένως ζῇ τῇ φύσει. C ἕπεται γὰρ, ὁ μὲν τῷ ἀλόγῳ καὶ ἐμπλήκτῳ τῆς ψυχῆς, ὁ δὲ τῷ λογικῷ τε καὶ τῷ θείῳ, καὶ τὰς ἀρχὰς δὲ τῆς ἐν τοῖς αἱρετοῖς τε καὶ φευκτοῖς διαστροφῆς ἐδίδαξεν ἡ αἰτία τῶν παθῶν εὑρεθεῖσα. τὰ γὰρ οἰκεῖα ταῖς ἀλόγοις δυνάμεσι τῆς ψυχῆς ἐξαπατώμενοί τινες ὡς ἁπλῶς οἰκεῖα δοξάζουσιν, οὐκ εἰδότες ὡς τὸ μὲν ἥδεσθαί τε καὶ τὸ κρατεῖν τῶν πέλας, τοῦ ζωώδους τῆς ψυχῆς ἐστιν ὀρεκτά. σοφία δὲ καὶ πᾶν ὅσον ἀγαθόν τε καὶ καλὸν, ἅμα τοῦ λογικοῦ τε καὶ θείου, καὶ τοὺς τρόπους δέ φησι τῆς ἀσκήσεως, ἡ τῶν παθῶν αἰτία γνωσθεῖσα διωρίσατο. τοὺς μὲν γὰρ ἐν ποιοῖσδε ῥυθμοῖς ἅμα, καὶ ἁρμονίαις, καὶ ἐπιτηδεύμασι, D τοὺς δὲ ἐν ποιοῖσδε διαιτᾶσθαι κελεύσομεν, ὥσπερ ὁ Πλάτων ἡμᾶς ἐδίδαξε, τοὺς μὲν ἀμβλεῖς καὶ νωθρεῖς, καὶ ἀθύμους, ἔν τε τοῖς ὀρθίοις ῥυθμοῖς καὶ ταῖς κινούσαις ἰσχυρῶς τὴν ψυχὴν ἁρμονίαις, καὶ τοῖς τοιούτοις ἐπιτηδεύμασι τρέφοντες. τοὺς δὲ θυμικωτέρους καὶ μανικώτερον ἄττοντας, ἐν ταῖς ἐναντίαις. ἐπεὶ διὰ τί πρὸς θεῶν. ἐρωτήσω γὰρ ἔτι τοῦτο τοὺς ἀπὸ τοῦ Χρυσίππου, Δάμων ὁ μουσικὸς αὐλητρίδι παραγενόμενος αὐλούσῃ τὸ Φρύγιον νεανίαις τισὶν οἰνωμένοις, καὶ μανικὰ ἄττα διαπραττομένοις, ἐκέλευσεν αὐλῆσαι τὸ Δώριον, οἱ δ' εὐθὺς ἐπαύσαντο τῆς ἐμπλήκτου φορᾶς; οὐ γὰρ E δήπου τὰς δόξας τοῦ λογιστικοῦ μεταδιδάσκονται πρὸς τῶν αὐλημάτων, ἀλλὰ τὸ παθητικὸν τῆς ψυχῆς ἄλογον ὑπάρχον, ἐπεγείρονταί τε, καὶ πραΰνονται διὰ κινήσεων ἀλόγων. τῷ μὲν γὰρ ἀλόγῳ, διὰ τῶν ἀλόγων ἥ τε ὠφέλεια καὶ ἡ βλάβη, τῷ λογικῷ δὲ δι' ἐπιστήμης τε καὶ ἀμαθίας. καὶ ταῦτ' οὖν ἐκ τῆς τῶν παθῶν αἰτίας γνωσθείσης ὠφελεῖσθαί φησιν ἡμᾶς ὁ Ποσειδώνιος· καὶ προσέτι τὰ διαπορούμενά φησι περὶ τῆς ἐκ πάθους ὁρμῆς ἐξέφηνεν, εἶτ' αὐτὸς ἅττα ποτ' αὐτά ἐστιν ἐπιφέρων ἐξηγεῖται τόνδε τὸν τρόπον. οἶμαι γὰρ ὅτι πάλαι βλέπετε πῶς διὰ λόγου μὲν πεισθέντες κακὸν ἑαυτοῖς παρεῖναι ἢ F ἐπιφέρεσθαι, οὔτε φοβοῦνται οὔτε λυποῦνται, φαντασίας δ' ἐκείνων αὐτῶν λαμβάνονται. πῶς γὰρ ἄν τις λόγῳ κινήσειε τὸ ἄλογον, ἐὰν μή τινα ἀναζωγράφησιν προσβάλληται αἰσθητῇ παραπλησίαν. οὕτως οὖν ἐκ διηγήσεώς τινες εἰς ἐπιθυμίαν ἐκπίπτουσιν, καὶ ἐναργῶς ἐγκελευσαμένου φεύγειν τὸν ἐπιφερόμενον λέοντα, οὐκ ἰδόντες φοβοῦνται.

ταῦτά τε οὖν εἴρηται καλῶς τῷ Ποσειδωνίῳ. καὶ τὰ τούτων ἐφεξῆς ἔτι, συμπάσας τὰς αἰτίας ἐξηγουμένῳ τῶν ἀπορηθέντων ὑπὸ τοῦ Χρυσίππου, περὶ ὧν καὶ τὸ πρὸ τούτου γράμμα δῆλον ἐπὶ τῆς τελευτῆς, ὅθεν μοι δοκῶ καὶ νῦν ἐνταῦθα καταπαῦσαι τὸν λόγον, μίαν ἔτι τὴν ἐφεξῆς αὐτοῦ παραγράψας ῥῆσιν ἔχουσαν ὧδε. καὶ μὴν οἱ προκόπτοντες, μεγάλα κακὰ δοκοῦντες ἑαυτοῖς, οὐ λυποῦνται, φέρονται γὰρ οὐ κατὰ τὸ ἄλογον τῆς ψυχῆς οὕτως, ἀλλὰ κατὰ τὸ λογικόν. εἶτ' ἐφεξῆς ἐπιζητῶν διὰ τί τὰ χρονίζοντά τε τῶν παθῶν ἡσυχέστερά τε καὶ ἀσθενέστερα γίγνεται, τὴν αἰτίαν ἀποδίδωσιν, ὑπὲρ ἧς ὁ Χρύσιππος ἐν τῷ δευτέρῳ περὶ παθῶν ἀπορεῖν ὡμολόγησεν. εἴρηται δὲ περὶ αὐτῆς ὑφ' ἡμῶν ἐπὶ τῇ τελευτῇ τοῦ τετάρτου, καὶ νῦν εἰρήσεται διὰ βραχέων οἷον ἐπιτομή τις τῆς Ποσειδωνίου ῥήσεως μακρᾶς ὑπαρχούσης. τὸ τοίνυν παθητικὸν τῆς ψυχῆς ἐν τῷ χρόνῳ, τοῦτο μὲν ἐμπίπλαται τῶν οἰκείων ἐπιθυμιῶν, τοῦτο δὲ κάμνει ταῖς πολυχρονίαις κινήσεσιν, ὥστε δι' ἄμφω καθησυχάσαντος αὐτοῦ, καὶ μέτρια κινουμένου, κρατεῖν ὁ λογισμὸς ἤδη δύναται, ὥσπερ καὶ ἵππου τινὸς ἐκφόρου τὸν ἐπιβάτην ἐξενεγκόντος βιαίως, εἶτα κάμνοντός τε ἅμα τῷ δρόμῳ καὶ προσέτι καὶ ἐμπλησθέντος ὧν ἐπεθύμησεν, αὖθις ὁ ἡνίοχος ἐγκρατὴς καταστάίη. φαίνεται γὰρ τοῦτο πολλάκις γιγνόμενον, καὶ οἵ γε παιδεύοντες τὰ νέα τῶν ζώων, ἐπιτρέψαντες αὐτοῖς κάμνειν τε ἅμα καὶ ἐμπλησθῆναι κατὰ τὰς ἐκφόρους κινήσεις, ὕστερον ἐπιτίθενται. περί τε οὖν τῶν τοιούτων ἠπόρησεν ὁ Χρύσιππος, ὡς ἂν οὐ δυνάμενος εἰς τὸ παθητικὸν τῆς ψυχῆς ἀναφέρεσθαι αὐτῶν τὰς αἰτίας, καὶ προσέτι. καὶ γὰρ καὶ τοῦτο δείκνυσιν ἐν τοῖς ἑξῆς ὁ Ποσειδώνιος, οὐ τοῖς φαινομένοις μόνοις, ἀλλὰ καὶ Ζήνωνι καὶ Κλεάνθει διαφέρεται, τὴν μὲν τοῦ Κλεάνθους γνώμην ὑπὲρ τοῦ παθητικοῦ τῆς ψυχῆς ἐκ τῶνδε φαίνεσθαί φησι τῶν ἐπῶν. ΛΟΓ. Τί ποτ' ἐσθ' ὅτι βούλει θυμέ; τοῦτό μοι φράσον. Θ. Ἐγὼ λογισμὲ, πᾶν ὃ βούλομαι ποιεῖν. ΛΟΓ. Βασιλικόν γε. Θ. Πλὴν ὅμως εἶπον πάλιν. Ὡς ἂν ἐπιθυμῶ ταῦθ' ὅπως γενήσεται. ταυτὶ τὰ ἀμοιβαῖα, Κλεάνθους φησὶν εἶναι Ποσειδώνιος, ἐναργῶς ἐνδεικνύμενος τὴν περὶ τοῦ παθητικοῦ τῆς ψυχῆς γνώμην αὐτοῦ, εἴγε δὴ πεποίηκε τὸν λογισμὸν τῷ θυμῷ διαλεγόμενον ὡς ἕτερον ἑτέρῳ. ὁ δὲ Χρύσιππος οὔθ' ἕτερον εἶναι νομίζει τὸ παθητικὸν τῆς ψυχῆς τοῦ λογιστικοῦ. καὶ τῶν ἀλόγων ζώων ἀφαιρεῖται τὰ πάθη φανερῶς ἐπιθυμίᾳ τε καὶ θυμῷ διοικουμένων ὡς καὶ Ποσειδώνιος ὑπὲρ αὐτῶν ἐπὶ πλέον διεξέρχεται. ὅσα μὲν οὖν τῶν ζώων δυσκίνητ' ἐστὶ καὶ προσπεφυκότα δίκην φυτῶν πέτραις, ἤ τισιν ἑτέροις τοιούτοις, ἐπιθυμίᾳ μόνῃ διοικεῖσθαι λέγει αὐτά, τὰ δ' ἄλλα τὰ ἄλογα σύμπαντα, ταῖς δυνάμεσιν ἀμφοτέραις χρῆσθαι, τῇ τ' ἐπιθυμητικῇ καὶ τῇ θυμοειδεῖ, τὸν ἄνθρωπον δὲ μόνον ταῖς τρισί. προσειληφέναι γὰρ καὶ τὴν λογιστικὴν ἀρχήν. ταῦτά τε οὖν ὀρθῶς εἴρηται τῷ Ποσειδωνίῳ, καὶ ἄλλα πάμπολλα καθ' ὅλην τὴν περὶ τῶν παθῶν πραγματείαν. ὥσπερ οὖν ὁ Χρύσιππος ἐσφαλμένος ἐν αὐτοῖς, ὡς ἄν τις εἴποι τοῖς στοιχείοις τῆς περὶ τῶν παθῶν θεωρίας ἐξ ἀνάγκης πάμπολλα κακῶς εἶπεν, οὕτως ἀνάγκη τὸν ἀληθέσι ταῖς ἀρχαῖς χρησάμενον, εἰ μὲν ἀκριβῶς φυλάξειε τὸ πρὸς αὐτὰς ἀκόλουθον, ἅπαντα εἰπεῖν ὀρθῶς. εἰ δ' οὐκ ἀκριβῶς, ἀλλὰ τά γε πλεῖστα κατορθῶσαι, δοκῶ μοι καταπαύσειν ἤδη τὸν ἐνεστῶτα λόγον ἐν τῷδε. τὸ γὰρ ἐπισκέπτεσθαι νῦν ὁποίας τινὸς ἔχεται γνώμης ὁ Ζήνων, οὐ κατὰ τὸν ἐξ ἀρχῆς ἄν μοι προτεθέντα γίγνοιτο σκοπόν. ἕνεκα γὰρ τοῦ μὴ μακρολογεῖν ἀποχώρησιν ἔφην τῶν ἄλλων Στωϊκῶν, ἐξετάζειν δὲ μόνα τὰ Χρυσίππου.

Hæc itaque bene à Posidonio dicta sunt. Item quæ hæc subsequuntur, vniuersas exponenti causas eorum de quibus Chrysippus ambigebat; ac ego superiori libro ad calcem de eisdem disputaui; vnde mihi videor etiam nunc in præsentia finiturus sermonem, modò vnam adhuc subsequentem ipsius orationem ascripsero, quæ hunc in modum habet: *At verò prouidi magna mala sibi instare videntes, non dolent, quippe non secundum irrationalem animæ partem feruntur ita, sed secundum rationalem.* Postea rursus hic cur affectus temporis spatio quietiores, imbecillioresque redduntur, causam reddit; super quâ Chrysippus in secundo de affectibus dubitare se confessus est. Nos de ea ad finem quarti diximus, atque nunc breuiter dicemus, ceu compendium quoddam Posidonij orationis, quæ prolixior est. Itaque pars animæ affectibus obnoxia temporis spatio, partim repletur propriis cupiditatibus, partim laborat motibus diuturnis; quapropter amborum nomine eâ conquiescente, & mediocriter motâ, superior esse ratio iam potest: quemadmodum & equo effreni insessorem violenter excutiente, deinde laborante simul & cursu, & præterea etiam repleto iis quæ concupiuit, rursus auriga superior euadit; id quod sæpe fieri solet. Ac qui iuuenilia animantia erudiunt, vbi ipsis concesserint & laborare simul, & satiari motibus effrenatis, postea ipsis insident. De eiusmodi igitur Chrysippus hæsitauit, vt qui ipsorum causas ad partem animæ affectibus deditam non posset referre; præterea (etenim & hoc in subsequentibus Posidonius ostendit) non euidentibus solum, verùm & Zenoni Cleanthíque repugnat. Cleanthis sanè sententiam, de parte animi affectibus obnoxia, ex his apparere versibus affirmat. RA. Quid tandem est quid cupis anime? Hoc mihi dicito. IR. Ego, quod cupio facere omnino, RA. id regium. IR. At dic iterum. Vt cupio, ita hoc fiet modo? Hos versus responsorios Cleanthis esse dicit Posidonius, manifestò ostendens suam de affectibus obnoxia parte sententiam; siquidem introduxit rationem iracundię colloquentem, ceu alterum alteri. At Chrysippus neq; diuersam animę partem affectibus deditã à rationali arbitratur, & affectus tollit à brutis animantibus, quũ manifestò libidine & iracundia gubernentur, quemadmodum & Posidonius de ipsis copiosiùs pertractat. Quę itaque animantia ęgrè mouentur, & adnata sunt stirpium modo petris, aut quibusdam aliis eiusmodi cupiditate sola gubernari ipsa pronũciat; reliqua verò bruta vniuersa vtrisque facultatibus vti, & concupiscibili, & irascibili, hominem autem solùm tribus; nam & rationale principiũ hunc assumere. Hæc à Posidonio rectè dicta sunt, aliáque permulta in toto de affectibus opere. Quẽadmodũ igitur Chrysippus in ipsis, vt ita dicã, elementis speculationis de affectibus errãs, necessariò multa perperã dixit: ita necesse est eum qui veris vtitur principiis, modo accuratè ipsorũ consequentia obseruauerit, totũ rectè dicere. Sin minùs accuratè, certè plurima bene affirmare. Visum iam mihi est pręsentem librũ hîc finire; nam inspicere nunc, qualisnã sententię sit Zeno, diuersum fuerit ab eo quod per initia mihi proposui; quippe, ne fierem prolixior, ab aliis Stoïcis me recessurum retuli; sola verò Chrysippi dicta examinaturum.

Siquidem

Siquidem neque quid tandem singuli philosophi de anima sentirent, hoc opere persequi me promittebam, verùm quomodo veritatem habeant Platonis & Hippocratis placita examinare. Quare & ea quæ contra Chrysippum protuli, præter institutum producta sunt, & Zeno si eadem quæ Chrysippus sentit, eorundem criminum reus declarabitur. Quòd si Platonis sequatur principia, veluti Cleanthes & Posidonius, nostræ sic particeps philosophiæ erit. Si verò, quod ego credo, affectus iudiciis superuenire putat, medius erit inter pessimam de ipsis sectam Chrysippi, & optimam, quam tum Hippocrates, tum Plato omnium primi celebrarunt. Posidonius etiam Pythagoram dicit, quum nullus ipsius Pythagoræ commentarius ad nos peruenerit, coniiciens autem ex iis quæ nonnulli eius discipuli tradiderunt. Sed quod paulò ante dixi, non historiam veterum dogmatum liber hic docturum me promisit, verùm sola quæ Hippocrati & Platoni dicta sunt, inspecturum. Ac mihi hoc quatenus licet breuissimè absoluitur. Non enim quia in multos libros opus deductum est, speculari oportet; sed hoc ad multitudinem magnitudinémque eorum quæ inspicimus dogmatum referre; examinaréque & inspicere, si de ipsis licet breuius dicere, ita vt nihil necessarium omittatur, sicut hoc etiam ex ipsis quæ Chrysippus scripsit de affectibus, licet condiscere; nam quum quatuor libros adeo grandes ipse conscripserit, vt singuli nostros duplò superent, nos tamen ne in integris quidem duobus sententiam ipsius de affectibus explicauimus, ita vt etiam eorum quæ Posidonius in id opus conscripsit, meminerimus. Iam sanè controuersia contra Chrysippum finem habeat. Puto enim si quis animum prędictis adhibuerit, haud ægrè ipsum adinuenturum quæ particulatim in toto opere cõmiserit errata. Sin autẽ aliquis non hisce attenderit, neq; si plura scribantur, attendet.

καὶ γὰρ οὐδὲ τί ποτε ἕκαστος ἐγίγνωσκε τῶν φιλοσόφων περὶ ψυχῆς, ὑπεσχόμην ἐν τῇδε τῇ πραγματείᾳ διηγεῖν, ἀλλ' ὅπως ἀληθείας ἔχει τὰ Πλάτωνός τε καὶ Ἱπποκράτους δόγματα διασκέψασθαι, ὥστε καὶ τὰ πρὸς τὸν Χρύσιππον ἀντειρημένα μοι παρὰ τὸ προκείμενον ἐλέγετο, καὶ Ζήνων εἰ μὲν τὰ αὐτὰ βούλοιτο Χρυσίππῳ, τοῖς αὐτοῖς ἐγκλήμασιν ὑπεύθυνος καταστήσεται. εἰ δὲ τοῖς τοῦ Πλάτωνος ἀρχαῖς ἕποιτο Κλεάνθει τε καὶ Ποσειδωνίῳ παραπλησίως, τῆς ἡμετέρας ἂν οὕτω μετέχοι φιλοσοφίας. εἰ δ' ὅπερ ἐγὼ πείθομαι, κρίσεσιν ἐπιγίγνεσθαι τὰ πάθη νομίζει, μέσος ἂν εἴη τῆς τε χείρονος περὶ αὐτῶν αἱρέσεως τῆς Χρυσίππου καὶ τῆς ἀρίστης ἣν Ἱπποκράτης τε καὶ Πλάτων ἁπάντων πρῶτοι μετεχειρίσαντο. Ποσειδώνιος δὲ καὶ Πυθαγόραν φησὶν αὐτοῦ μὲν τοῦ Πυθαγόρου συγγράμματος οὐδενὸς εἰς ἡμᾶς διασωζομένου, τεκμαιρόμενος δ' ἐξ ὧν ἔνιοι τῶν μαθητῶν αὐτοῦ γεγράφασιν, ἀλλ' ὅπερ εἶπον ὀλίγον ἔμπροσθεν οὐχ ἱστορίαν δογμάτων παλαιῶν ὁ λόγος διδάξειν ἐπηγγείλατο, μόνα δὲ τὰ πρὸς Ἱπποκράτους καὶ Πλάτωνος εἰρημένα διασκέψασθαι. καί μοι τοῦτο καθ' ὅσον οἷόν τ' ἦν περαίνεται διὰ βραχυτάτων. οὐ γὰρ ὅτι πολύβιβλος ἡ πραγματεία χρὴ σκοπεῖν, ἀλλὰ τοῦτο μὲν εἰς τὸ πλῆθός τε καὶ τὸ μέγεθος, ὧν ἂν ἐπισκεπτώμεθα δογμάτων ἀναφέρειν ἐξετάζειν τε καὶ σκοπεῖν, εἰ περὶ τῶν αὐτῶν ἐνεχώρει βραχύτερον εἰπεῖν ἄνευ τοῦ παραλιπεῖν τι τῶν ἀναγκαίων, ὡς τοῦτό γε καὶ ἐξ αὐτῶν ὧν ἔγραψε Χρύσιππος περὶ παθῶν ἔνεστι καταμαθεῖν. τεττάρων γὰρ βιβλίων οὕτω μεγάλων αὐτῷ γεγραμμένων, ὥσθ' ἕκαστον εἶναι διπλάσιον τῶν ἡμετέρων, ὅμως ἡμεῖς οὐδ' ἐν ὅλοις δυοῖν τὴν περὶ τῶν παθῶν αὐτοῦ γνώμην ἐξητάκαμεν ἤδη, καὶ τῶν ὑπὸ Ποσειδωνίου γραφέντων εἰς τὴν αὐτὴν πραγματείαν ἐπιμνησθέντες. ἡ μὲν δὴ πρὸς Χρύσιππον ἀντιλογία τέλος ἐχέτω. νομίζω γὰρ εἰ μέν τις προσέχει τὸν νοῦν τοῖς εἰρημένοις, οὐκ ἂν χαλεπῶς αὐτὸν ἐξευρήσειν ὅσα κατὰ μέρος ἐν ὅλῃ τῇ πραγματείᾳ διημάρτηται. εἰ δέ τις οὐ προσέχει τούτοις, οὐδ' ἂν ἐπὶ πλείω γράφηται προσέξει.

CAPVT VII.

Platonis suis de tribus animæ siue partibus siue facultatibus vitæ nostræ gubernatricibus.

DIgrediar iam ad eam quam Plato quarto de republica posuit demonstrationem, quòd tres animę partes secundum animę impetum nos mouentes habeantur. At sciendum hîc quoque est, id sanè non demonstrari necessariò, quod partes sint inter se differentes. Non enim magis tres esse facultates, quàm tres partes, sermo ostendit; quod quidem tres partes sint in totum, siue partes animæ, siue facultates vnde vita nostra gubernatur, appelles argumentis inuictis, & quæ vel inuito fidem faciant, & quibus nemo possit contradicere, demonstratur. Quare etiam ex iis quæ modò dicentur, Chrysippi opinio subuertetur; astruetur autem commune Aristotelis, Platonis, & Posidonij placitum, nempe quòd in altera facultate nos ratiocinamur; in altera irascimur; in tertia concupiscimus. Quòd verò & substantiis, hæc inter se differant, & multò magis quod in diuersis consistant locis, ex iis sanè quæ modò dicentur, scientificam capere demonstrationem non licet. Subsequenti autem commentario, qui totius operis sextus est, manifestis sumptionibus secundũ Hippocratis & Platonis methodos demonstrabitur.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Τὸ τοῦ Πλάτωνος δόγμα περὶ τριῶν ἢ μορίων, ἢ δυνάμεων ἡμᾶς διοικουσῶν.

ΜΕταβήσομαι δ' ἤδη πρὸς τὴν ὑπὸ Πλάτωνος εἰρημένην ἀπόδειξιν, ἐν τῷ τετάρτῳ τῆς πολιτείας ὑπὲρ τοῦ τρία τῆς ψυχῆς εἶναι μόρια τὰ καθ' ὁρμὴν ἡμᾶς κινοῦντα. γινώσκειν δὲ χρὴ κἀνταῦθα, τὸ μὲν ὅτι μόρια διαφέροντ' ἀλλήλων ἐστὶν, οὐκ ἀναγκαστικῶς ἀποδεικνύμενον, οὐδὲν γὰρ μᾶλλον τρεῖς εἶναι δυνάμεις, ἢ τρία μόρια δείκνυσιν ὁ λόγος. ὅτι μέν γε τρία μόνα σύμπαντ' ἐστὶν, εἴτε μόρια ψυχῆς, εἴτε δυνάμεις, ὑφ' ὧν ὁ βίος ἡμῶν διοικεῖται, βιαστικῶς τε καὶ ἀναντιρρήτως ἀποδείκνυται, ὥστε καὶ ἐκ τῶν νῦν λεχθησομένων, ἡ μὲν τοῦ Χρυσίππου διαβληθήσεται δόξα, κατασκευασθήσεται δὲ τὸ κοινὸν Ἀριστοτέλους, καὶ Πλάτωνος, καὶ Ποσειδωνίου δόγμα, τὸ καθ' ἑτέραν μὲν ἡμᾶς δύναμιν λογίζεσθαι, καθ' ἑτέραν δὲ θυμοῦσθαι, κατ' ἄλλην δ' ἐπιθυμεῖν. ὅτι μέν τοι καὶ ταῖς οὐσίαις ἀλλήλων ταῦτα διαφέρει, καὶ πολὺ μᾶλλον ὅτι κατὰ διαφέροντας ἵδρυται τόπους, ἐκ μὲν τῶν νῦν λεχθησομένων ἐπιστημονικὴν ἀπόδειξιν οὐκ ἔνεστι λαβεῖν. ἐν δὲ τῷ μετὰ ταῦθ' ὑπομνήματι γραφησομένῳ μοι, τῆς ὅλης πραγματείας ἕκτῳ γενήσεσθαι μέλλοντι, δι' ἐναργῶν λημμάτων ἀποδειχθήσεται κατὰ τὰς Ἱπποκράτους τε καὶ Πλάτωνος μεθόδους.

ἰστέον δ' ὅτι καὶ ὁ Πλάτων αὐτὸς ἐπίσταται τὴν δύναμιν τῶν λεχθησομένων ἀποδείξεων. ἄρχεσθαι γοῦν αὐτῶν μέλλων, τάδε προὔγραψε. καὶ εὖ ἴσθι, ὦ Γλαύκων, ὡς ἡ ἐμὴ δόξα ἀκριβῶς μὲν τοῦτο ἐκ τοιούτων μεθόδων, οἵαις δὴ νῦν ἐν τοῖς λόγοις χρώμεθα, οὐ μή ποτε λάβωμεν. ἄλλη γὰρ μακροτέρα καὶ πλείων ὁδὸς ἐστί, δι' ἧς ἀποδείκνυται τρία τῆς ψυχῆς ἡμῶν εἶναι τὰ μέρη, οὐ μόνον τοῖς τόποις τοῦ σώματος, ἀλλὰ καὶ ταῖς οὐσίαις, καὶ ταῖς δυνάμεσι, καὶ ταῖς ἐνεργείαις, διαφέροντα ὡς κατὰ τὸν ἑξῆς λόγον ἐπιδείξω, καθ' ὃν καὶ τὴν μέθοδον αὐτὴν, ἣν ἐνταῦθ' αἰνίττεται, μέλλω διεξέρχεσθαι. διὰ τί δὲ καίτοι μὴ θαρρῶν ἧ μέλλει λέγειν, ἀποδείξει ὅμως χρῆται, πρόδηλον ὑπάρχειν, οἶμαι, τῷ γε προσεσχηκότι τὸν νοῦν. οἷς δὲ ἀρτίως ἐλέγομεν, ὡς ὅτι μὲν τρεῖς εἰσι δυνάμεις διοικοῦσαι τὸν βίον ἡμῶν, ἐναργῶς ἀποδείκνυται, μὴ μέν τοι τό, ὅτι διαφέρουσαι ταῖς οὐσίαις. πρὸς δὲ τὴν προκειμένην αὐτῷ πραγματείαν ἐν τῇ πολιτείᾳ, τὴν περὶ δικαιοσύνης τε καὶ τῶν ἄλλων ἀρετῶν, ὑπὲρ ἁπασῶν γὰρ ἐν τοῖς ἑξῆς ποιεῖται τὸν λόγον, ἤρκει τὸ δειχθῆναι τρεῖς εἶναι δυνάμεις ἑτερογενεῖς. οὕτω γοῦν καὶ ὁ Ποσειδώνιος ὑπολαβὼν, ἀπεχώρησέ τε τοῦ Χρυσίππου, καὶ μᾶλλον ἠκολούθησεν Ἀριστοτέλει καὶ Πλάτωνι. προσέθηκα δὲ τῷ λόγῳ τὸ μᾶλλον, ἐπειδὴ κατὰ μέρος εὑρίσκονταί τινα διαφωνοῦντες οἱ τρεῖς ἄνδρες ὑπὲρ τῆς τῶν ἀρετῶν διαφορᾶς, κατὰ δὲ τὸ συμπέρασμα ὁμολογοῦσιν ἀλλήλοις. ἐπιδείξω δὲ καὶ αὐτὸ τοῦτο σαφῶς, ἡνίκ' ἂν ἐν τοῖς ἔπειτα τὸν ὑπὲρ τῶν ἀρετῶν διεξέρχωμαι λόγον. ἐν δὲ τῷ παρόντι τῶν ἐν τῷ τετάρτῳ τῆς πολιτείας ὑπὸ τοῦ Πλάτωνος εἰρημένων ἀποδείξεων ἤδη μνημονεύσω, προγράψας τὴν ῥῆσιν ἀφ' ἧς ἄρχεται τοῦ λόγου, ἔχει δὲ ὧδε. Ταὐτὸν δῆλον ὅτι τἀναντία ποιεῖν, ἢ πάσχειν, κατὰ ταὐτόν γε καὶ πρὸς ταὐτὸν οὐκ ἐθελήσει ἅμα· εἶθ' ἑξῆς πιστωσάμενός τε τοῦτο καὶ περὶ τῶν δοκούντων μάχεσθαι διελθὼν ἐπιφέρει. Ἆρ' οὖν, ἦν δ' ἐγὼ, τὸ ἐπινεύειν τῷ ἀνανεύειν, καὶ τὸ ἐφίεσθαί τινος λαβεῖν τῷ ἀπαρνεῖσθαι, καὶ τὸ προσάγεσθαι τῷ ἀπωθεῖσθαι, πάντα τὰ τοιαῦτα τῶν ἐναντίων ἀλλήλοις θείης, εἴτε ποιημάτων, εἴτε παθημάτων; οὐδὲν γὰρ ταύτῃ διοίσει; Ἀλλ' ἦ δ' ὅς, τῶν ἐναντίων. Τί οὖν, ἦν δ' ἐγὼ, διψῆν καὶ πεινῆν, καὶ ὅλως τὰς ἐπιθυμίας, καὶ αὖ τὸ ἐθέλειν, καὶ τὸ βούλεσθαι, οὐ ταῦτα πάντα εἰς ἐκεῖνά ποι ἂν θείης τὰ εἴδη τὰ νῦν λεχθέντα; οἷον, ἀεὶ τὴν τοῦ ἐπιθυμοῦντος ψυχὴν, οὐχὶ ἤτοι ἐφίεσθαι φήσεις ἐκείνου οὗ ἂν ἐπιθυμῇ, ἢ προσάγεσθαι τοῦτο ὃ ἂν βούληταί οἱ γενέσθαι; ἢ αὖ οὐ καθ' ὅσον ἐθέλει τί οἱ πορισθῆναι, ἐπινεύειν τοῦτο πρὸς αὐτὴν, ὥσπερ τινὸς ἐρῶντος ἐπορεγομένου αὐτοῦ τῆς γενέσεως; Ἔγωγε. τί δέ, τὸ ἀβουλεῖν, καὶ μὴ ἐθέλειν, μηδ' ἐπιθυμεῖν, οὐκ εἰς τὸ ἀπωθεῖν καὶ ἀπελαύνειν ἀπ' αὐτῆς, καὶ εἰς ἅπαντα τἀναντία ἐκείνοις θήσομεν; Πῶς γὰρ οὔ; ἐν ταύτῃ τῇ ῥήσει καὶ ταῖς ἑξῆς ἁπάσαις δείκνυσιν ἕτερον εἶναι μέρος τῆς ψυχῆς τὸ ἐπιθυμοῦν, τοῦ λογιζομένου, πῶς καὶ τίνα τρόπον, ἐν μὲν τῷ πεινῆν ἐφιέμεθα πληρωθῆναι σιτίων, ἐν δὲ τῷ διψῆν, πόματος. ἀλλὰ παῖδες μὲν ὄντες ὁμοίως τοῖς ἀλόγοις ζώοις ἑτοίμως ἐπὶ τὸ πληρωθῆναι ἐρχόμεθα, μήτ' εἰ συνοίσει τοῦτο, μήτ' εἰ βλάψει σκοπούμενοι. κατὰ δὲ τὴν ἡλικίαν καὶ τὸν λογισμὸν γενόμενοι, πολλάκις μὲν οὐδ' ὅλως πίνομεν, ἐπειδὰν πεισθῶμεν ὑπὸ τοῦ πόματος βλάβην ἔσεσθαι. πολλάκις δὲ ὀλιγώτερον ἢ ὅσον ἐπιθυμοῦμεν, εἰ κἀνταῦθ' μέλλοι βλάψειν τὸ πλέον, ἐνίοτε δ' ὕδωρ πίνομεν, οἶνον ἐπιθυμοῦντες πιεῖν, ἢ σφοδρῶς ὀρεγόμενοι ψυχροῦ, θερμὸν προσφερόμεθα. οἱ δέ γε ἀλόγιστοι τῶν ἀνθρώπων ὡσαύτως τοῖς βρέφεσι, καὶ θηρίοις, οὔτε τὸν καιρὸν ἀναμένουσιν, οὔτε ποσότητα καὶ ποιότητα τοῦ σώματος ἐπισκέπτεσθαι.

At sciendum venit, ipsum quoque Platonem vim dicendarum demonstrationum callere, incepturus enim ipsas, hæc præmisit. *At certè scito, ô Glauco, nos, vt mea fert opinio, nunquam ex huiusmodi methodis quibus nunc in præsenti disputatione vtimur, exactè id comprehensuros.* Alia enim longior ampliórque via est, qua tres animæ nostræ partes esse demonstrantur, non modò locis corporis, sed etiam substantia, viribus, actionibúsque differentes, vt subsequenti libro ostendam, quo & methodum ipsam, quam inibi obscurè significat, sum persecuturus. Cur autem, licet non confidat demonstrationi quam dicturus est, ea tamen vsus sit, constare ei, arbitror qui animum adhibuerit eis quæ nuper dicebamus, quod tres esse facultates vitam nostram gubernantes, manifestò ostendit; non autem quod substantia diuersæ sint. Porrò ad propositam ipsis tractationem in libro de republica, nempe de iustitia, aliísque virtutibus (nam de vniuersis subsequenti sermone verba facit) abundè erat indicasse tres esse facultates genere diuersas. Sic vtique & Posidonius opinatus, à Chrysippo recessit, potiúsque Aristotelem & Platonem secutus est. Adieci autem orationi (potius) quoniam in particularibus quibusdam tres hi viri de virtutum differentia dissentire inueniuntur; in conclusione autem inter se conueniunt. Id quod manifestò ostendam, quum in subsequentibus sermonem de virtutibus aggrediar; in præsentia verò demonstrationum, quas Plato in quarto de republica adduxit, iam meminero; præscripta serie, à qua disputationem orditur. Habet autem hunc in modum: *Constat planè, idem contraria facere, aut pati, secundum idem & ad idem simul non posse.* Deinde fide huius facta, etiam de iis quæ videntur pugnare, disputans, infert: *Nonne annuere & renuere; cupere aliquid accipere, & auersari; admonere & repellere; omnia eiusmodi inter se contraria pones, siue actiones, siue passiones? nihil enim interest. Certè, contraria. Quid igitur, esurire, sitire, & omnino appetere, velle, eligere, nonne hæc omnia ad illorum species referes quæ modò diximus? Veluti, semper cupientis animam, nonne vel appetere illud dixeris quod cupit, vel sciscere quod sibi adesse eligit? vel rursus nonne quatenus aliquid sibi porrigi vult, annuere, illud ad se, amantis cuiusdam instar, id vt fiat affectantis? Equidem. Quid verò? nolle aspernari, negligere, non cupere, nonne in reijciendi repellendíque ab ea speciem, & in omnia illis contraria constituemus? Quid ni?* Hac oratione & subsequentibus vniuersis ostendit animæ partem concupiscibilem diuersam esse à ratiocinante; quomodo etiam in fame, cibis repleri appetimus; in siti, potu. Verùm pueri quum sumus, instar brutorum animalium promptè ad repletionem ferimur, neque an id conducet, neque an oberit, considerantes. Ætate verò & ratione prouecti, sæpe ne bibimus quidem omnino vbi persuasum habuerimus ex potu noxam secuturam, sæpe minùs quàm appetimus, si & hîc copia obfutura est; interdum aquam bibimus, vinum concupiscentes, aut frigidam vehementer appetentes, calidam assumimus. At rationis expertes homines, similiter infantibus & feris, neq; tẽpus expectant, neq; quãtitatem qualitatémq; corporis sustinẽt inspicere.

quod

Quòd autem nec feræ, nec infantes ratione vtuntur, etiam apud Chrysippum in confesso est. At quod vi quadam alia præter rationem, ad fruendum iis quæ concupiscunt, alliciuntur, interdum fatetur, interdum negat, implicans sursum & deorsum orationes; quum liceret virum studiosum veritatis, ex procinctu colligere vim quandam esse irrationalem, quæ ad corporis fruitionem ducat, non bruta solùm, & pueros, sed etiam brutis similes homines. Itaque ad huiusmodi demonstrationem primùm oratio nos deduxit, ex consequentia quadam; ipsámque non parum conferentem, iis quæ à Platone dicuntur. Ad viros autem iam perfectos non ætate modò, sed etiam ratione sermone deuenientes speculabimur quo modo ratiocinatrix facultas cum appetente in nobis pugnet, tum in morbis, tum in aliis plerisque constitutionibus, in quibus nondum opportunum videtur sitientem potum assumere, & cibos esurientem, calefieri rigentem, refrigerar incalescentem, venere vti eum qui ad illam incitatur. Etenim bruta in nobis facultas, ad singula quæ desiderantur, requirentem allicit, ratio retrahit, & inopportunam commotionem continet, ac pugna frequenter vtriusque valida inter se oboritur, euidenter indicans duplicem esse in nobis naturam facultatum inuicem diffidentium. Si enim vna esset sola, quemadmodum in pueris, nihil prohiberet intempestiuè nos frui appetibilibus; quemadmodum etiam si sola esset ratio, ad nihil retrahere & reniti solita, nullum esset negotium sitientem non bibere, aut esurientem non esse; neque continens, neque sobrius qui non bibit nominarertur, sicuti nec qui non vadit nisi velit. Nunc autem quoniam duplices quædam sunt faculcates hominem attrahentes, est autem bruta potus appetens, quæ hanc continet rationalis, incontinentia in huiusmodi, & continentia generatur. Verùm hoc nobis non exigui momenti obiter demonstratum in sermone de virtutibus, memoriæ mandetur; neque continentiam esse aliquid, neque temperantiam, sublata rationi concupiscibili facultate. Sed rursus ad institutum redeo, nempe sitientis, non autem volentis bibere anima, aliquâ ipsius facultate aut parte, potum concupiscit; alterâ verò aliquâ fugit, & auersatur, vni enim & eidem arripere aliquid & fugere non licet. Siue autem arripere & fugere dicas, siue persequi, siue appetere, nihil interest; quemadmodum neque si dicas velle, aut affectare, aut amplecti, aut arripere, aut concupiscere; nam huiusmodi nominum diuisio nihil ad præsentem speculationem conducit, sed è contrario importuna est, & quæstionem de rebus ad ambiguitatem de nominibus deducit. Quare etiam moliuntur nonnulli de industria, vt nihil concludatur, singulis nominibus instare. Si enim affectare dicas potum sitientem, non concedunt affectare dicendum esse. Causam namq; aliquam affectationem esse, & solius sapientis, nempe ipsum esse impetũ rationalem ad aliquod, gaudentis quantum oportet. Si concupiscere, nec sic quidem nominandum concedunt. Etenim vt quis sitiat nõ in prauis solùm, sed ciuilibus quoq; prouenire; concupiscentiam verò ipsam & prauã esse, & solis innasci prauis; nam esse affectationem affatim reptantem ad hoc vt fiat. At si non longam adeo definitionem ipsius fecerit,

Τὸ μὲν δὲ μὴ χρῆσθαι λογισμῷ, μήτε τὰ θηρία, μήτε τὰ βρέφη, καὶ πρὸς τὸν περὶ τὸν Χρύσιππον ὡμολόγηται. τὸ δὲ ὑπὸ δυνάμεώς τινος ἑτέρας παρὰ τὸν λογισμὸν ἐπὶ τὴν ἀπόλαυσιν, ὧν ἐπιθυμοῦσιν ἔρχεσθαι, ποτὲ μὲν ὁμολογοῦσιν, ἔστιν ὅτε δ' ἀρνοῦνται περιπλέκοντες ἄνω καὶ κάτω τοὺς λόγους, ἐνὸν ὡς ἄνδρας ἐραστὰς ἀληθείας ἐκ προχείρου συλλογίζεσθαι δύναμίν τινα ὑπάρχειν ἄλογον, ἐπὶ τὴν τοῦ σώματος ἀπόλαυσιν ἄγουσαν, οὐ τὰ βοσκήματα μόνα καὶ τοὺς παῖδας, ἀλλὰ καὶ τοὺς βοσκήμασιν ὁμοίους ἀνθρώπους. εἰς μὲν οὖν τὴν τοιαύτην ἀπόδειξιν ὁ λόγος ἡμᾶς ἤγαγεν, προτέραν ὁ ἐξ ἀκολουθίας τινός, οὐ σμικρὰ συντελοῦσαν οὐδ' αὐτὴν τοῖς ὑπὸ τοῦ Πλάτωνος λεγομένοις. ἐπὶ δὲ τοὺς ἤδη τελείους ἄνδρας, οὐ κατὰ τὴν ἡλικίαν μόνον, ἀλλὰ καὶ κατὰ τὸν λογισμὸν ἀφικόμενοι τῷ λόγῳ θεασώμεθα ἤδη τὴν αὐτοῖς μάχην τῆς λογιστικῆς δυνάμεως πρὸς τὴν ἐπιθυμητικήν, ἔν τε νόσοις καὶ ἄλλαις πολλαῖς περιστάσεσιν, ἐν αἷς οὔπω δοκεῖ καιρὸς εἶναι προσφέρεσθαι πόμα τὸν διψῶντα, καὶ σιτία τὸν πεινῶντα, καὶ θάλπεσθαι τὸν ῥιγοῦντα, καὶ ψύχεσθαι τὸν θαλπόμενον, ἀφροδισίοις τε χρῆσθαι τὸν ἐπὶ ταῦτ' ὀργῶντα. ἡ μὲν γὰρ ἄλογος ἐν ἡμῖν δύναμις ἐφ' ἕκαστον τῶν ἐπιθυμουμένων ἕλκει τὸν δεόμενον, ὁ δὲ λογισμὸς ἀντισπᾷ, καὶ κατέχει τὴν οὐκ ἐν καιρῷ φοράν· καὶ μάχη γε πολλάκις ἑκατέρων ἰσχυρὰ γίγνεται πρὸς ἄλληλα, φανερῶς ἐνδεικνυμένη διττὴν εἶναι φύσιν ἐν ἡμῖν τῶν στασιαζουσῶν ἀλλήλαις δυνάμεων. εἴπερ γὰρ ἦν μία μόνη, καθάπερ ἐν τοῖς παισίν, οὐδὲν ἐκώλυεν ἀκαίρως ἡμᾶς ἀπολαύειν τῶν ἐπιθυμουμένων, ὥσπερ γε καὶ εἰ μόνος ὁ λογισμὸς ἦν, πρὸς οὐδὲν ἀνθέλκειν τε καὶ στασιάζειν εἰθισμένος, οὐδὲν ἂν ἦν πρᾶγμα διψῶντα μὴ πίνειν, ἢ πεινῶντα μὴ ἐσθίειν, οὐδ' ἐγκρατὴς οὐδὲ σώφρων ἂν ὁ μὴ πίνων ὠνομάζετο, καθάπερ οὐδ' ὁ μὴ βαδίζων εἰ μὴ βούλοιτο. νυνὶ δ' ἐπεὶ διτταί τινές εἰσιν αἱ τὸν ἄνθρωπον ἐπισπώμεναι δυνάμεις. ἔστι δὲ ἄλογος ἡ τοῦ πόματος ἐπιθυμοῦσα, ἡ δὲ κατέχουσα ταύτην λογική, ἀφροσύνης ἐν τῷ τοιούτῳ καὶ ἐγκρατείας, γένεσις. ἀλλὰ τοῦτο μὲν ἡμῖν οὐ σμικρὸν ἐν παρέργῳ δειχθὲν εἰς τὸν περὶ τῶν ἀρετῶν λόγον, μνημονευέσθω μήτ' ἐγκράτειαν εἶναί τι, μήτε σωφροσύνην, ἀναιρεθείσης τῷ λόγῳ τῆς ἐπιθυμητικῆς δυνάμεως. ἐπὶ δὲ τὸ προκείμενον αὖθις ἐπάνειμι, ὡς ἡ τοῦ διψῶντος μέν, μὴ βουλομένου δὲ πίνειν ψυχή, κατὰ μέν τινα τῶν ἑαυτῆς δυνάμεων ἢ μερῶν, ἐφίεται ποτοῦ, καθ' ἕτερον δέ τι φεύγει καὶ ἀποτρέπεται. ἑνὶ γὰρ καὶ ταὐτῷ προσίεσθαί τι καὶ φεύγειν, οὐκ ἐνδέχεται. εἴτε δὲ προσίεσθαι καὶ φεύγειν λέγοις, εἴτε διώκειν εἴτ' ἐφίεσθαι διαφέρει οὐδέν, ὥσπερ οὐδὲ εἰ βούλεσθαι, ἢ ὀρέγεσθαι, ἢ ἀντιποιεῖσθαι, ἢ ἀσπάζεσθαι, ἢ ἐπιθυμεῖν. ἡ γὰρ τῶν τοιούτων ὀνομάτων διαίρεσις, οὐδὲν εἰς τὴν παροῦσαν σκέψιν ὀνίνησιν, ἀλλ' αὐτὸ τοὐναντίον ἄκαιρός τε ἐστὶ καὶ τὴν περὶ τῶν πραγμάτων ζήτησιν, εἰς τὴν περὶ τῶν πραγμάτων ἀμφισβήτησιν ἀπάγει. διὸ καὶ τεχνάζονταί τινες ἐξεπίτηδες ὑπὲρ τοῦ μηδὲν περανθῆναι πρὸς ἕκαστον τῶν ὀνομάτων ἐνίστασθαι, εἰ μὲν ὀρέγεσθαι πόματος εἴποις τὸν διψῶντα, μὴ συγχωροῦντες ὀρέγεσθαι λέγειν, αἴτιον γάρ τι τὴν ὄρεξιν εἶναι καὶ μόνου τοῦ σοφοῦ. ὑπάρχειν γοῦν αὐτὴν ὁρμὴν λογικὴν ἐπί τι ὅσον χρὴ ἥδοντος, ἂν δὲ ἐπιθυμεῖν, οὐδὲ οὕτως ὀνομάζειν συγχωροῦντες. τὸ μὲν γὰρ διψῆν οὐκ ἐν τοῖς φαύλοις μόνον, ἀλλὰ καὶ τοῖς ἀστείοις γίγνεσθαι. τὴν δ' ἐπιθυμίαν αὐτήν τε φαύλην εἶναι, καὶ μόνοις τοῖς φαύλοις ἐγγίνεσθαι. εἶναι γὰρ ὄρεξιν ἀθρόως ῥεπτικὴν πρὸς τὸ τυγχάνειν. εἰ δὲ μὴ μακρὸν οὕτως αὐτῆς ὁρισμὸν ποιήσειεν,

ἀλλ' ὄρεξίν τε ἄλογον ὑπάρχειν εἰπὼν, ἐπιτιμήσει μάλα σεμνῶς ἀνδρὶ, πολλάκις οὐκ ἐν τῇ τῶν πραγμάτων ἐπιστήμῃ μόνον, ἀλλὰ κἀν τῇ τῶν ὀνομάτων χρήσει, μυρίων διαφέροντι. τοιοῦτοι δ' ἀμέλει καὶ τῶν παλαιῶν ἦσαν οὐκ ὀλίγοι, καθάπερ καὶ αὐτὸς ὁ Πλάτων φησὶν, ὀνόμασι χρώμενοι καινῶς μετωνομασμένοις; δι' οὓς μοι δοκεῖ καὶ νῦν οὐχ ἓν ἁπλῶς γράψαι κατὰ τὸν προκείμενον λόγον ὄνομα. χρήσασθαι δὲ ἐξεπίτηδες ἅπασιν οἷς ἐγχωρεῖ ταὐτὸν δηλῶσαι πρᾶγμα. τῷ τε γὰρ ὀρέγεσθαι, καὶ τῷ ἐπιθυμεῖν, καὶ τῷ ἐφίεσθαι, καὶ τῷ νεύειν, ἐπορέγεσθαί τε καὶ θέλειν, καὶ βούλεσθαι, καὶ προσάγεσθαι, καὶ μέντοι καὶ τοῖς ἐναντίοις αὐτῶν ἐπὶ τοῦ ἑνὸς πράγματος φαίνεται χρώμενος τῷ ἀβουλεῖν καὶ μὴ ἐθέλειν. ἐνδείξασθαι γὰρ αὐτῷ πρόκειται καὶ δηλῶσαι σαφῶς, ὃ βούλεται περὶ τὴν ἀπόδειξιν ἐσπουδακότι, καὶ δουλεύοντι διὰ τῆς λέξεως τῇ μηνύσει τοῦ πράγματος, οὐ τερθρευομένῳ περὶ τὰς συλλαβάς. ἐκ μὲν δὴ τῶν προειρημένων ἕτερον ἐπέδειξε τὸ ἐπιθυμοῦν τοῦ λογιζομένου. παραγράφειν γὰρ ἁπάσας αὐτοῦ τὰς ῥήσεις, μακρὸν ἔδοξέ μοι, δυναμένῳ γε παντὶ τῷ βουλομένῳ τὸ ἐφεξῆς ἅπαν ἀναγνῶναι τοῦ βιβλίου χωρίον. εἰ δὲ καὶ τὴν ἐπὶ τῆς τελευτῆς ὅμως τοῦ λόγου δέοι παραγράψαι ῥῆσιν, ὡς ἔμοιγε δοκεῖ χάριν τοῦ σαφεστέραν γενέσθαι τὴν ἐπὶ τὸ δεύτερον κεφάλαιον μετάβασιν, οὐδὲ ταύτην παρήσω. ἔχει δὲ ὧδε. Ἄρα τοῦ διψῶντος ἡ ψυχὴ, καθόσον διψῇ, οὐκ ἄλλο τι βούλεται ἢ πιεῖν, καὶ τούτου ὀρέγεται, καὶ ἐπὶ τοῦτο ὁρμᾷ; δῆλον δή. οὐκοῦν εἴ ποτέ τι αὐτὴν ἀνθέλκει διψῶσαν, ἕτερον ἄν τι ἐν αὐτῇ εἴη αὐτοῦ τοῦ διψῶντος, καὶ ἄγοντος, ὥσπερ θηρίον ἐπὶ τὸ πιεῖν· οὐ γὰρ δὴ, φαμὲν, τό γε αὐτὸ, τῷ αὐτῷ, τῷ ἑαυτοῦ, περὶ τὸ αὐτὸ, ἅμα τἀναντία πράττοι. οὐ γὰρ οὖν ὥσπερ γε, οἶμαι, τοῦ τοξότου οὐ καλῶς ἔχει λέγειν, ὅτι αὐτοῦ ἅμα αἱ χεῖρες τὸ τόξον ἀπωθοῦνταί τε καὶ προσέλκονται, ἀλλ' ὅτι μὲν ἄλλη μὲν ἡ ἀπωθοῦσα χεὶρ, ἑτέρα δ' ἡ προσαγομένη. παντάπασι μὲν οὖν, ἔφη; πότερον δὴ φαμέν τινας, ἔστιν ὅτε διψῶντας οὐκ ἐθέλειν πιεῖν; καὶ μάλα γ', ἔφη, πολλοὺς καὶ πολλάκις. τί οὖν, ἔφην ἐγὼ, φαίη τις ἂν τούτων πέρι. οὐκ ἐνεῖναι μὲν ἐν τῇ ψυχῇ αὐτῶν τὸ κελεῦον, ἐνεῖναι δὲ τὸ κωλῦον πιεῖν, ἄλλο ὂν καὶ κρατοῦν τοῦ κελεύοντος; ἔμοιγ', ἔφη, δοκεῖ. Ἆρ' οὖν οὐ τὸ μὲν κωλῦον τὰ τοιαῦτα ἐγγίγνεται ὅταν ἐγγένηται ἐκ τοῦ λογισμοῦ; τὰ δὲ ἄγοντα καὶ ἕλκοντα, διὰ παθημάτων τε καὶ νοσημάτων παραγίγνεται; φαίνεται. οὐ δὴ ἀλόγως, ἦν δ' ἐγὼ, ἀξιώσομεν αὐτὰ διττά τε καὶ ἕτερα ἀλλήλων εἶναι. τὸ μὲν ᾧ λογίζεται, λογιστικὸν προσαγορεύοντες τῆς ψυχῆς· τὸ δ' ᾧ ἐρᾷ τε καὶ πεινῇ καὶ διψῇ, καὶ περὶ τὰς ἄλλας ἐπιθυμίας ἐπτόηται, ἀλόγιστόν τε καὶ ἐπιθυμητικὸν πληρώσεών τινων καὶ ἡδονῶν ἑταῖρον. διὰ τούτων ἔδειξεν ἕτερον εἶδος εἶναι ψυχῆς τὸ λογιστικὸν τοῦ ἐπιθυμητικοῦ, ἀλλ' ὡς εἶπον καὶ πρόσθεν, οὔπω μοι πρόκειται δεικνύειν ὡς ἕτερα τῷ εἴδει ταυτὶ τὰ δύο μέρη τῆς ψυχῆς ἐστιν, ἀλλ' εἴς γε τὸ προκείμενον ἀπόχρη τὸ περαινόμενον ἀναμφισβητήτως, ὅτι μὴ τῆς αὐτῆς ἐστι δυνάμεως τό, τε λογίζεσθαι καὶ τὸ, σιτίων, ἢ ποτῶν, ἢ ἀφροδισίων ἐπιθυμεῖν, ὅπερ οὐκ οἶδ' ὅπως ὁ Χρύσιππος ἅμα πολλοῖς Στωϊκοῖς ἠγνόησεν. ἀλλὰ τὸ μὲν ἀγνοῆσαί τι συγγνωστὸν, ὡς καὶ πρόσθεν ἔλεγον, οὐ συγγνωστὸν δὲ, τὸ πλημμελῶς οὕτως μεταχειρίσασθαι τὸν λόγον, ὥστε τῶν μὲν τοῖς κωμικοῖς, ἢ τραγικοῖς ποιηταῖς εἰρημένων μνημονεύειν, εἰς τηλικούτου δόγματος ἀπόδειξιν, ἀνθρώπων οὐδ' ἐπιχειρούντων ἀποδεικνύειν οὐδὲν, ἀλλὰ μόνον οἷα ἂν αὐτοῖς δόξῃ πρέπειν τῷ λέγοντι προσώπῳ, κατὰ τὸ δρᾶμα κοσμούντων διὰ τῆς ἑρμηνείας.

sed affectationem irrationalem esse dixerit quis, increpabit admodum grauiter virum sub.nde, non in rerum duntaxat scientia, sed in nominum quoque vsu ab infinitis euariantem. Tales denique & veterum non pauci fuerunt quemadmodum & ipse Plato inquit, nominibus vtentes recens transnominatis, propter quos mihi visus est etiam nunc, non vnum simpliciter scribere nomen in sermone proposito, verùm ex industria vti omnibus quibus licet eandem rem significare. Nam & verbo affectare & concupiscere, & aggredi, & annuere, & appetere, & velle, & diligere, & adducere, quinetiam contrariis ipsorum in vna re videtur vti, non diligere, & non velle; quippe institutum ipsi erat sententiam suam ostendere, & indicare manifestò circa demonstrationem studioso, & seruienti per dictionem rei significatui, non curioso circa syllabas. Ex prædictis sanè diuersum indicauit appetens à ratiocinante. Ascribere enim omnem ipsius dictionem longum mihi visum est, quum liceat vnicuique, si volet, totum subsequentem libri locum relegere. At si etiam ad finem sermonis posita verba necesse sit apponere, vt mihi videtur, quoad secundum caput digressio fiat manifestior, neque hęc omittam; habent autem in eum modum. *Sitientis igitur anima, quatenus sitit, nihil aliud appetit quàm bibere, idque affectat, & ad ipsum fertur. Clarum est omnibus. Si quid ergo ipsam quandoque retrahit sitientem, aliud quiddam erit in ipsa ab ea parte diuersum quæ sitit, & quasi bestia ad bibendum impellit; neque enim fieri posse dicimus, vt idem aliquid eodem sui circa idem simul agat contraria. Non vtique. Quemadmodum absurdum dictu est, eandem sagittarij manum simul arcum impellere, & intendendo ad se trahere, verùm dicendum est alteram esse manum quæ impellit, alteram verò quæ contrahit. Omnino sic est. Dicemúsne esse aliquos, qui quum sitiant, nolint bibere? Multos planè, & sæpe. Quid igitur de his dixerit aliquis, esséne in horum anima aliquid quod bibere iubeat, aliquid contra quod prohibeat, quod quidem cum dominetur aliud est, ab eo quod iubet? Mihi quidem sic videtur. An non igitur quod prohibet ista, ex ratione inest quoties operatur? Quæ verò ducunt alliciúntque, ex affectibus & morbis proficiscuntur; Apparet. Meritò igitur duo hæc, & inter se diuersa esse existimabimus; hoc quo ratiocinatur animans, rationale eius appellantes; illud quo amat, esurit, sitit, & ad alias cupiditates inclinat, brutum, & cupidum repletionum quarundam, & voluptatum amicum.* His indicauit rationalem animæ speciem diuersam esse à concupiscibili. Verùm vt dixi etiam prius, nondum mihi institutum est ostendere quomodo hæ duæ animæ partes specie variant. Sed ad rem propositam abundè est, quod indubitatò colligitur, nempe non eiusdem esse facultatis, ratiocinari, & cibos, aut potum, aut venerem concupiscere; quod haud noui quomodo Chrysippus vnà cum multis Stoicis ignorauit. At ignorare aliquid, ei condonandum est, sicuti & antea dicebam. Non autem condonandum est, quòd tam ineptè sermonem tractauerit, vt eorum quæ Comicis vel Tragicis poëtis dicta sunt, ad tanti dogmatis demonstrationem mentionem faciat, quum eiusmodi homines ne conentur quidem demonstrare quicquam, sed solùm quæcunque ipsis conuenire dicenti personæ videantur, in fabula per interpretationem exornent.

Quæ

Quæ verò à Platone ad ipsius demonstrationem dicta sunt, neque meminerit, neque refellere aggrediatur, sed ex procinctu in promptúque assumere, quod vbicunque animi affectus habeantur, ibidem sit etiam rationale. Chrysippus itaq; semper sui similis. Plato autem vbi in præscripta oratione concupiscibilem facultatem à rationali distinxisset, postea conatur etiam irascibilem distinguere. In eum autem modum verba ipsius incipiunt. *Hæ itaque duæ in anima species definitæ insint. Illa autem quæ ad iram pertinet, quáve irascimur; vtrum tertia, an alteri eorum cognata? Fortè, inquit, ei quæ voluptates cupit, est cognata; atqui credo hoc equidem ex eo quod quondam audiui, quod videlicet quum Leontius Aglaionis filius ex Piræo sub Borealem murum extra ciuitatem ascendens, animaduerteret cadauera propè littus iacentia, simul & videre cupiebat, & horrebat tamen, absterrebatúrque, vultúmque tegebat, secum ipse pugnans. Cupiditate denique superatus, ad cadauera directis & patefactis oculis aduentauit, dicens. Ecce iam vobis licet, ô infelices, desiderium vestrum pulchro explere spectaculo. Audiui & ipse, inquit. Itaque sermo, dicebam, hic testatur iram interdum succensere & pugnare aduersus concupiscentias, tanquam hæc inter se diuersa sint; significat inquit.* Iterum his quoque Plato indicat concupiscibilem facultatem ab irascibili diuersam esse, vtēs nimirum axiomate per initia subiecto, nempe fieri non posse, vt exactè vnum & simplex & incompositum affectet quippiam simul, & auersetur: gaudeat eodem, & molestetur; verùm necesse est vt aliud sit quod concupiscat spectare cadauera, aliud quod prohibeat spectare: & quòd concupiscenti omnino voluptas quædam ex spectaculo futura est, prohibenti molestia & dolor. Nam irasci concupiscenti, & grauiter ferre ipsius impetus, ac prohibere, velléque voluptates increpare, & de iis conqueri, omniáque id genus, alterius partis animæ opus sunt, non ipsius concupiscentis. At si non partis, certè facultatis omnino alterius. Dictum enim iam id subinde, hoc in libro nunquam nos cum Aristotele & Posidonio contendere, qui quidem inter se consentiunt, ratiocinari nos, irasci & concupiscere, non sanè speciebus, aut partibus animæ, sed facultatibus. Etenim subsequenti sermone ostendemus, non facultatibus tantùm, sed etiam partibus animę, inter se diuersis specie. At in præsentia hoc abundè est solùm demonstrasse, vt Chrysippi in his negligentia innotescat, quomodo ipse validarum rationum quas Plato ad dogmatis nunc nobis inquirendi demonstrationem proposuit, neq meminit alicuius ipsarum, neque refellere aggressus est, etsi totũ ipsius librum primum de anima versibus poëticis repleuerit, vbi de principe parte animæ tractauit. Non solùm autem in hoc subticuit Platonis rationes, sed in commentariis quoq de affectibus, tribúsque logicis, & in iis qui priuatim sine causis ab eo scripti sunt, Therapeuticum & Ethicum nuncupant. Itaque ad reliqua Platonis verba veniamus, quæ ita habent. *Nonne & alibi frequenter animaduertimus quando distrahunt aliquem præter rationem cupiditates, obiurgantem ipsum sese, & aduersus id sui quô trahitur, indignantem, & quasi duobus dissentientibus adiutricem ratieni iracundiam accurrere, cupiditatibus verò communicantem quum statuit ratio nihil moliendum esse. Nec te arbitror vnquam affirmare vel in teipso, vel in alio tale quippiam deprehendisse. Non per Iouem.*

A τῶν δ' ὑπὸ Πλάτωνος εἰρημένων εἰς τὴν ἀπόδειξιν αὐτοῦ, μήτε μνημονεῦσαι μήτ' ἀντειπεῖν ἐπιχειρῆσαι, ἀλλ' ἐξ ἑτοίμου τε καὶ προχείρου λαμβάνειν, ὡς ἔνθ' ἂν ᾖ τὰ πάθη τῆς ψυχῆς, ἐνταῦθ' ἐστὶ καὶ τὸ λογιζόμενον. Χρύσιππος μὲν οὖν ἀεὶ τοιοῦτος. ὁ δὲ Πλάτων ἐπειδὴ διώρισεν ἐν τῇ προγεγραμμένῃ ῥήσει τὸ ἐπιθυμητικὸν τοῦ λογιστικοῦ, μετὰ ταῦτα πειρᾶται καὶ τὸ θυμοειδὲς αὐτῶν διορίζειν. ἔχει δ' ἡ ἀρχὴ τῆς ῥήσεως ὧδε. Ταῦτα μὲν τοίνυν (ἦν δ' ἐγώ) δύο ἡμῖν ὡρίσθω εἴδη ἐν ψυχῇ ἐνόντα. αὐτὸ δὴ τὸ θυμοῦ καὶ ᾧ θυμούμεθα, πότερον τρίτον; ἢ τούτων ποτέρῳ εἴη ἂν ὁμοφυές; ἴσως, ἔφη, τῷ ἑτέρῳ τῷ ἐπιθυμητικῷ. B Ἀλλ' (ἦν δ' ἐγώ) ποτε ἀκούσας τι, πιστεύω τούτῳ, ὡς ἄρα Λεόντιος ὁ Ἀγλαΐωνος, ἀνιὼν ἐκ Πειραιέως, ὑπὸ τὸ Βόρειον τεῖχος, ἐκτὸς αἰσθόμενος νεκροὺς παρὰ τῷ δημίῳ κειμένους, ἅμα μὲν ἰδεῖν ἐπιθυμοῖ, ἅμα δὲ δυσχεραίνοι καὶ ἀποτρέποι ἑαυτόν, καὶ τέως μὲν μάχοιτό τε καὶ παρακαλύπτοιτο. κρατούμενος δ' οὖν ὑπὸ τῆς ἐπιθυμίας, διελκύσας τοὺς ὀφθαλμούς, προσδραμὼν πρὸς τοὺς νεκρούς, ἰδοὺ ὑμῖν, ἔφη, ὦ κακοδαίμονες, ἐμπλήσθητε τοῦ καλοῦ θεάματος. Ἤκουσα, ἔφη, καὶ αὐτός. Οὗτος μέντοι, ἔφην, ὁ λόγος σημαίνει τὴν ὀργὴν χαλεπαίνει καὶ πολεμεῖν ἐνίοτε ταῖς ἐπιθυμίαις, ὡς ἄλλο ὂν ἄλλῳ. σημαίνει γὰρ ἔφη. πάλιν κἀν τούτοις ὁ Πλάτων ἐπιδείκνυσιν ὡς ἕτερόν ἐστι τὸ ἐπιθυμητικὸν τοῦ C ὀργιζομένου, προσχρώμενος δηλονότι τῷ κατ' ἀρχὰς ὑποκειμένῳ ἀξιώματι, ὡς οὐκ ἐνδέχεται τὸ ἀκριβῶς ἓν καὶ ἁπλοῦν, καὶ ἀσύνθετον ὀρέγεσθαί τινος καὶ ἀποτρέπεσθαι, καὶ χαίρειν τῷ αὐτῷ καὶ δυσχεραίνειν, ἀλλ' ἀναγκαῖον, ἕτερον μὲν τὸ ἐπιθυμοῦν θεάσασθαι τοὺς νεκρούς, ἕτερον δὲ τὸ κωλῦον θεάσασθαι, καὶ ὡς τῷ μὲν ἐπιθυμοῦντι, πάντως ἡδονή τις κατὰ τὴν θέαν ἤμελλεν ἔσεσθαι, τῷ δὲ κωλύοντι, δυσχέρειά τε καὶ ἀνία. τὸ γὰρ ὀργίζεσθαι τῷ ἐπιθυμοῦντι καὶ δυσχεραίνειν αὐτοῦ τῆς ὁρμῆς, καὶ κωλύειν, ἐθέλειν τε τῆς ἐπιθυμίας ἐπιτιμᾶν τε καὶ μέμφεσθαι, καὶ πάνθ' ὅσα τοι- D αῦτα, μέρους ἑτέρου τῆς ψυχῆς ἔργον ἐστὶν οὐκ αὐτοῦ τοῦ ἐπιθυμοῦντος. εἰ δὲ καὶ μὴ μέρους, ἀλλὰ δυνάμεώς γε πάντως ἑτέρας. εἴρηται γὰρ ἤδη γε τοῦτο πολλάκις, ὡς οὐδέποτε κατὰ τόδε τὸ βιβλίον ἀγωνιζόμεθα πρὸς Ἀριστοτέλην καὶ Ποσειδώνιον, ὁμολογοῦντας μὲν ἑτέροις ἀλλήλων, λογίζεσθαί τε, καὶ θυμοῦσθαι, καὶ ἐπιθυμεῖν ἡμᾶς, οὐ μὴν εἴδεσί γε ἢ μορίοις ψυχῆς, ἀλλὰ δυνάμεσιν. ἐν γὰρ τοῖς ἐφεξῆς λόγοις ἐπιδείξομεν ὅτι μὴ δυνάμεσι μόνον, ἀλλὰ καὶ μέρεσι τῆς ψυχῆς, ἑτέροις ἀλλήλων καὶ εἴδος. ἐν δὲ τῷδε τῷ νῦν ἐνεστῶτι, τοῦτ' ἀρκεῖ μόνον ἀποδεῖξαι πρὸς ἔνδειξιν τῆς Χρυσίππου περὶ τὰ τοιαῦτα ῥᾳθυ- E μίας, ὡς αὐτὸς ἰσχυρῶν λόγων ὑπὸ Πλάτωνος ἠρωτημένων εἰς ἀπόδειξιν, τοῦ νῦν ἡμῖν ζητουμένου δόγματος, οὔτ' ἐμνήσθη τινὸς αὐτῶν, οὔτ' ἀντειπεῖν ἐπεχείρησεν, καίτοι πληρώσας λόγων μακρῶν καὶ ποιητικῶν ἐπῶν, ὅλον τὸ πρῶτον βιβλίον περὶ ψυχῆς, ἐν ᾧ περὶ ἡγεμονικοῦ διεξῆλθεν. οὐ μόνον δὲ κατὰ τοῦτο τελέως ἐσιώπησε τοὺς τοῦ Πλάτωνος λόγους, ἀλλὰ καὶ κατὰ τὰ περὶ παθῶν συγγράμματα, τά τε τρία τὰ λογικά, καὶ τὰ χωρὶς αἰτιῶν ἰδίᾳ γεγραμμένα ὑπ' αὐτοῦ, τὸ θεραπευτικόν τε καὶ ἠθικόν, ἐπιγραφόμενον. ἐπὶ τὰς ὑπολοίπους οὖν τοῦ Πλάτωνος ῥήσεις ἴωμεν ἐχούσας ὧδε. οὐκοῦν καὶ ἄλλοθι, ἔφην, πολλάκις αἰσθανόμεθα, ὅταν βιάζωνταί τινα παρὰ τὸν λογισμὸν ἐπιθυμίαι, λοιδοροῦντά τε αὑτὸν καὶ θυμούμενον τῷ βιαζομένῳ ἐν ἑαυτῷ, καὶ ὥσπερ δυοῖν στασιαζόντοιν ξύμμαχον τῷ λόγῳ γιγνόμενον τὸν θυμὸν τοῦ τοιούτου; ταῖς δ' ἐπιθυμίαις αὐτὸν κοινωνήσαντα αἱροῦντος λόγου, μηδὲν ἀντιπράττειν, οἶμαι, δέ σε οὐκ ἂν φάναι γενομένου ποτ' ἐν σαυτῷ τοιούτου αἰσθέσθαι, οἶμαι, δ' οὐδ' ἐν ἄλλῳ. οὐ μὰ τὸν Δία, ἔφη,

A κατὰ μὲν οὖν τὴν προτέραν ῥῆσιν ὁ Πλάτων ἐν ᾗ τοῦ ποθοῦντος θεάσασθαι τοὺς νεκροὺς ἐμνημόνευσεν, ἐναργῶς μὲν ἀπέδειξεν ἕτερον ὑπάρχειν τὸ θυμούμενον τοῦ ἐπιθυμοῦντος, οὐ μὴν ὅτι τὸ λογιζόμενον, ἕτερον ἀμφοῖν ἐστιν ἐναργῶς εἶπεν, ἀλλ' ἐνεδείξατο, καὶ κατ' ἐκεῖνον μέν πως τὸν λόγον, ἐνταῦθα δ' ἱκανῶς ὑπεξέρχεται. ὅταν γάρ τινα βιάζηταί τις ἐπιθυμία παρὰ τὸν λογισμόν, ὡς ἐπὶ τὸν ἔμπροσθεν εἰρημένον Λεόντιον, ὁ θυμὸς ἐνταῦθα κινεῖται συμμαχῶν τῷ λογισμῷ, καὶ πολλάκις μὲν ἐκράτησεν ἅμα τῷ λογισμῷ τῆς ἀμέτρου κινήσεως τοῦ ἀκολάστου τῆς ψυχῆς εἴδους, καὶ κατέσχε τε καὶ διεκώλυσεν αὐτό, καὶ τῆς ὁρμῆς ἐπέσχεν. ὥσπερ οὖν καὶ ὁ Λεόντιος ἐδυνήθη λοιδορηθεὶς ἑαυτῷ, B τῆς περὶ τὸ θεάσασθαι τοὺς νεκροὺς ἀκρασίας προελθεῖν μὴ θεασάμενος αὐτούς, ἐνίοτε δ' ἀμφοτέρων τῶν μερῶν τῆς ψυχῆς, ἀρχόντων τε καὶ λοιδορουμένων, ἀντιπρατόντων τε καὶ ἀνθελκόντων, ἐκράτησε τὸ ἐπιθυμητικόν, ὥσπερ ἐπ' αὐτοῦ τοῦδε τοῦ θεασαμένου τοὺς νεκροὺς ὁ Πλάτων διηγεῖται γενέσθαι, συνενδεικνύμενος ἐν τῷ λόγῳ πολλά. καὶ γὰρ ὅτι τὸ θυμαινόμενον ἕτερόν ἐστι τοῦ ἐπιθυμοῦντος, καὶ ὅτι τὸ λογιζόμενον ἀμφοῖν ἄλλο, καὶ ὡς τὸ θυμαινόμενον οὐδέποτε συμμαχεῖ τῷ ἐπιθυμητικῷ, δι' ἑνὸς ἐνεδείξατο τοῦδε τοῦ προειρημένου παραδείγματος. οὐδεὶς γὰρ ἐπετίμησεν ἑαυτῷ ποτε καὶ ὠργίσθη, διότι τῶν ἀκαίρως ἐπι- C θυμιῶν ἀφίστασθαι προαιρεῖται. εἴπερ τις γὰρ ἐν νόσῳ τῇ ἀμέτρως συγκαιομένῃ ὀρεγόμενος πόμα τὸ ψυχρὸν ὁρμὴν πλεονάζουσαν. ἐντεῦθεν περὶ πόματος ψυχροῦ λογισάμενος, ὀλέθριον οἴσειν αὐτῷ τὸ πόμα, ἐλάττω εἶτ' ἐπισχὼν τὴν ὁρμήν, καὶ κατὰ τὰς ψυχὰς ἂν ἐπετίμησεν αὐτῷ καὶ ὠργίσθη, διότι καλῶς ἐλογίσατο, οὐδεὶς ὡς οἶμαι, τῶν πάντων, ἀλλ' ἔνθα μὲν ἂν ἑκὼν ὁ λογισμὸς ἕπηται τῷ ἐπιθυμητικῷ, συνέπεται καὶ τὸ θυμοειδὲς τῷ λογισμῷ. τούτῳ γὰρ ὑπηρετεῖν καὶ συμπράττειν ὥσπερ τις κύων κυνηγέτῃ κατὰ τοῦ τρίτου τῆς ψυχῆς εἴδους ὑπὸ τῆς φύσεως ἐδόθη. ἔνθα δὲ ἐναντιοῦται, καὶ στασιάζει καὶ μάχεται, μετὰ τοῦ D λογισμοῦ γίνεται, καὶ τούτῳ συμμαχεῖ. ὅτι δὲ τῷ λογιστικῷ τὸ θυμοειδὲς ἀεὶ κατὰ τοῦ ἐπιθυμητικοῦ συμμαχεῖ, καὶ διὰ τῆς ἐπιφερομένης ῥήσεως δῆλον ποιεῖται γράφων ὧδε. τί δέ; ἦν δ' ἐγώ, ὅταν τις οἴηται ἀδικεῖν, οὐχ, ὅσῳ ἂν γενναιότερος ᾖ, τοσούτῳ ἧττον δύναται ὀργίζεσθαι, καὶ πεινῶν καὶ ῥιγῶν, καὶ ἄλλο ὁτιοῦν τῶν τοιούτων πάσχων ὑπ' ἐκείνου ὃν ἂν οἴηται δικαίως ταῦτα δρᾶν; καὶ ὃ λέγω, οὐκ ἐθέλει πρὸς τοῦτον αὐτοῦ ἐγείρεσθαι ὁ θυμός; ἀληθῆ, ἔφη. τί δέ; ὅταν ἀδικεῖσθαί τις ἡγεῖται, οὐκ ἐν τούτῳ ζεῖ τε καὶ χαλεπαίνει καὶ συμμαχεῖ τῷ δοκοῦντι δικαίῳ; καὶ διὰ τὸ πεινῆν, καὶ διὰ τὸ ῥιγοῦν, καὶ πάντα τὰ τοιαῦτα πάσχειν, καὶ ὑπομένων νι- E κᾷ καὶ οὐ λήγει τῶν γενναίων, πρὶν ἂν ἢ διαπράξηται, ἢ τελευτήσῃ, ἢ ὥσπερ κύων ὑπὸ νομέως, ὑπὸ τοῦ λόγου τοῦ παρ' αὐτῷ ἀνακληθεὶς πραϋνθῇ; ἐν ταύτῃ τῇ ῥήσει πάλιν ὁ Πλάτων ἐμνημόνευσεν, δυοῖν ἀνθρώπων ἀμφοῖν μὲν ταὐτὰ πασχόντων ὑπό τινος ἄρχοντός τε καὶ κρατοῦντος ὡς καὶ πεινῆν, καὶ διψῆν, καὶ ῥιγοῦν, ἀλλὰ τοῦ μὲν ἑτέρου δικαίως πεπεισμένου πάσχειν αὐτά, τοῦ δὲ ἑτέρου ἀδίκως, εἶτά φησιν, ὡς ὁ μὲν ἕτερος ὅστις οἴεται δικαίως πάσχειν ταῦτα, διὰ τὸ πρότερον αὐτὸς ἀδικεῖν τι, φέρει πρᾴως αὐτὰ καὶ οὐκ ὀργίζεται τῷ δικαίως κολάζοντι, καὶ τοσούτῳ γε μᾶλλόν φησι, ὅσῳπερ ἂν γενναιότερος. εἴρηκε δὲ F τοῦτο περὶ αὐτοῦ τοῦ κολαζομένου. οὗτος γὰρ ὅσῳπερ ἂν εὐγενέστερος ὑπάρχῃ φύσει, τοσούτῳ μᾶλλον ὑπομένει γενναίως τὰς κολάσεις. ὁ δ' ἕτερος ὅστις ἂν ἀδικεῖσθαι νομίζῃ, θυμοῦται καὶ χαλεπαίνει, καὶ συμμαχεῖ τῷ δοκοῦντι δίκαια. ταῦθ' ὁσημέραι γενόμενα, κἀπὶ τῶν οἰκετῶν ἐστι θεάσασθαι. ὅσοι μὲν γὰρ ἂν αὐτῶν,

In priori igitur ratione Plato vbi desiderantis videre cadauera meminit, euidenter sanè demonstrauit irascibile & concupiscibile esse diuersa, non tamen rationale ab vtrisque esse diuersum manifestò dixit, sed indicauit aliquo pacto in illo quoque sermone, hîc autem abundè explicat. Quum enim aliquem cogit cupiditas quædam præter rationem, vt in comprehenso superiùs Leontio, iracundia tunc mouetur rationi auxiliaria, ac sæpe vicit vnà cum ratione immoderatum motum libidinosæ ac intemperantis animæ speciei, & continuit, prohibuítque ipsam, ab impetúque coarguit. Quemadmodum & Leontius potuit sibiipsi conuitiatus de spectandi cadauera impotentia procedere, ea non contemplatus. Interim verò vtriusque animæ partibus certantibus, conuitiantibus, renitentibus, & retrahentibus, concupiscibilis dominatur, sicut in hoc ipso qui cadauera spectauit, Plato fieri recenset, simul in oratione multa indicans. Etenim quòd iracundia diuersa est à cupiditate, item quòd ratio ab vtrisque discrepat, ad hæc quòd iracundia nunquam cupiditati auxiliatur, vno hoc commemorato exemplo indicauit. Nullus enim seipsum vnquam increpauit, & iratus est, quod ab intempestiuis cupiditatibus desistere instituerit. Quis enim in morbo supra modum æstu confectus frigidam potionem appetens magno impetu, deinde cum ratiocinatus lethale sibi poculum fore, prohibuerit impetum; se corripuit, & iratus est, eò quòd bene rationem inierit? nemo, vt opinor, omnium: sed vbi vltro ratio sequitur appetentiam, consequitur & iracundia rationem. Huic enim vt subseruiat & auxilietur, tanquam canis quidam venatori, contra tertiam animæ speciem à natura data est. Vbi autem aduersatur ratio appetentiæ, diffidet & pugnat; iracundia à ratione stat, & huic opitulatur. Porrò quòd rationi illa semper contra cupiditatem auxiliatur, etiam subsequenti oratione manifestum reddit, ita scribens. *Quid porrò? quando quis iniuriam inferre se putat, nonne quo generosior est, eò minùs potest irasci, dum esurit, riget, & aliud quoduis tale patitur ab eo quem iure hæc agere censet? & quod iam dixi, iracundia istius in eum quodammodo non irritatur? Vera loqueris. Quid autem quando iniuriam se pati quis putat? nonne tunc feruet, satagit, & sæuit, & auxilium præstat ei quod iustum videtur, famem, frigus, & cætera eiusmodi tolerans, & ad victoriam contendit, neque à generoso opere cessat priùs quàm vel transegerit, vel obierit, vel tanquam canis à pastore, ita denique reuocatus ab ea quæ in ipso est ratione mitescat.* In hac oratione rursus Plato meminit duorum hominum, amborum eadem patientium à quodam imperante & dominante, vt & esuriant, & sitiant, & algeant; verùm vt alter quidem iustè ea pati persuasum habeat, alter iniquè. Deinde, ait, quòd alter sanè qui iustè hæc pati existimat, quia priùs ipse iniuriam aliquam intulerit, æquo animo eá fert, & non irascitur iustè punienti, eóque magis, inquit, quò fuerit generosior; dixit autem hoc de eo qui punitur. Nam hic quantò generosiore fuerit natura, tantò magis generosè punitiones sustinet: alter verò qui iniuria se affici putat, irascitur, ægrè fert, & defendit id quod sibi iustum videtur. Hæc quotidie fieri etiam in domesticis videre licet. Qui enim ex ipsis,

aut furfurantes, aut huiusmodi aliud quippiam facientes deprehenduntur, si cædantur, fame puniantur, & ignominia à dominis afficiantur, non irascuntur; qui verò iniquè aliquid horum aut pati putauerint, aut passos se fuisse, horum iracundia semper intus sæuit desiderátque vicissim iniuriam inferentem punire. Constat iam ex ambobus exemplis irascibilem animæ facultatem à natura nobis inditam esse, rationi adiutricem; quam sanè videtur adiuuare, quum ab aliquo vel intus vel extrinsecus iniuria affici, & vi compelli autumat. Itaque autumare iniuria affici, rationalis facultatis est. Id autem vlcisci contra eum qui vim infert, animosæ proprium est. Quum igitur concupiscibilis animi facultas immoderatè ad aliquid irruens, inuitam rationem violenter traxerit, irascibilis contra illam rationi opitulatur. Quum autem extrinsecus iniuria quis illam afficiat, vicissim punire conatur; vbi rursus à nullo affici iniuria ratio putatur, neque tunc iracundia efferuescit, etsi quàm maximè corpus iustè puniatur ab aliquo, vel algere, vel famescere, vel sitire coactum. Vnde liquet iram naturali statu præditam, opiniones rationis sequi. Fieri enim quandoque potest, vt hęc quoque prauè affecta inobsequens rationi moueatur; quod paulò post etiam ipse Plato indicans scribit. *An quemadmodum in ciuitate apparuerunt tria quædam genera quæ ipsam continent, quæstuarium, auxiliarium, consultorium: ita & in anima tertia quædam vis est iracundia, quæ naturâ ipsa rationi auxiliatur, nisi ex improba educatione fuerit deprauata?* Quæ igitur irascibilis animæ differentiæ sint, non est tempestiuum nunc dicere, quippe in subsequenti libro de affectibus animæ, vt Platoni visum est, & de morbis vitiisque eiusdem vniuersis, malitiæ quomodo gignantur, curentúrque, vbi orta sunt, percensere decreui. Quinetiam de pulchritudine & sanitate ipsius, omnibúsque virtutibus, non parum enim in his quoque Chrysippus errat. Nunc vnam adhuc Platonis orationem subscribere cogito, qua indicat iracundiam à ratione esse diuersam. Scripta est post comprehensa superius in quarto de Republica libro, hunc in modum. *Nam in puerulis hoc quiuis intelligat, qui statim nati, iracundia pleni sunt, rationis autem aliqui nunquam, multi serò compotes fieri mihi videntur. Per Iouem probè dixisti. Præterea in bestijs ita esse quisque (vt ipse dicis) comperies. Testatur & Homeri illud, quod supra adduximus.*

Pectora sed læso charum cor increpat ira.

In his porrò Homerus tanquam hæc inter se differant, alterum horum obiurgare alterum facit; ipsam videlicet rationem de meliori peiorique consultantem, irrationalem iracundiæ impetum cohibere. Hîc euidenter Plato indicat iracundiam diuersam esse à ratione. Nam pueri, quemadmodum & bestiæ, iracundia pleni sunt, rationis minimè compotes. Itaque in feris ausi sunt nonnulli dicere, neque iracundiam, neque cupiditatem animis ipsorum inesse. In pueris autem haud scio quid dicent. Non enim sanè horum quoque affectus ratiocinatione oportet condiscere, sed recordari solùm abundè est, scilicet non aliter nos nunc, aliter pueros adhuc irasci. Quippe facultas irascibilis, & modus generandi, affectus similis est; vnúmque & solùm eximium viris adultis inest, quum non ex affectu degunt,

ἢ κλέπτοντες, ἢ τι τοιοῦτον ἕτερον δρῶντες ἁλῶσι, καὶ μαστιγούμενοι, καὶ λιμαγχονούμενοι, καὶ ἀτιμαζόμενοι πρὸς τῶν δεσποτῶν, οὐκ ὀργίζονται. ὅσοι δ' ἂν οἰηθῶσιν ἀδίκως τι τούτων, ἢ πάσχειν, ἢ πεπονθέναι, ἀεὶ τούτων ἔνδον ὁ θυμὸς ἀγριούμενός ἐστι καὶ ποθῶν ἀντιτιμωρήσασθαι τὸν ἀδικοῦντα. δηλοῦται δ' ἐξ ἀμφοτέρων τῶν παραδειγμάτων ὡς τὸ θυμοειδὲς ὑπὸ τῆς φύσεως ἡμῖν ἐδόθη σύμμαχον τῷ λογιστικῷ. τούτῳ γοῦν δὴ φαίνεται συμμαχοῦν, ὅταν ὑπό τινος, ἢ ἔνδοθεν, ἢ ἔξωθεν ἀδικεῖσθαί τε καὶ βιάζεσθαι δοξάζῃ. τὸ μὲν οὖν δοξάζειν ἀδικεῖσθαι, τοῦ λογιστικοῦ, τὸ δ' ἐπαμύνειν αὐτῷ κατὰ τοῦ βιαζομένου, τοῦ θυμοειδοῦς ἴδιον. ἐπειδὰν μὲν οὖν ἀμέτρως ἐπί τι φερόμενον τὸ τῆς ψυχῆς ἐπιθυμητικὸν, ἄκοντα τὸν λογισμὸν ἕλκῃ βιαίως, κατ' ἐκείνου σύμμαχον τῷ λογιστικῷ τὸ θυμοειδὲς γίγνεται. ὅταν δὲ ἔξωθεν ᾖ, τὶς ἀδικῶν ἐκεῖνον, ἀντιτιμωρεῖσθαι σπεύδει. ἐπειδὰν δ' ὑπὸ μηδενὸς ἀδικεῖσθαι δοξάζῃ τὸ λογιστικὸν, οὐδ' ὁ θυμὸς ἀναζεῖ τηνικαῦτα, κἂν ὅτι μάλιστα κολάζηται τὸ σῶμα δικαίως ὑπό τινος, ἢ ῥιγοῦν, ἢ πεινῆν, ἢ διψῆν ἀναγκαζόμενον, ᾧ δῆλον ὡς ταῖς δόξαις ἕπεται τοῦ λογιστικοῦ, κατὰ φύσιν ἔχον τὸ θυμοειδές. ἐνδέχεται γάρ ποτε καὶ τοῦτο μοχθηρῶς διακείμενον, ἀπειθῶς κινεῖσθαι τῷ λογισμῷ. μετ' ὀλίγα γοῦν καὶ αὐτὸς ὁ Πλάτων ἐνδεικνύμενος τοῦτό φησιν. εἰ καθάπερ ἐν τῇ πόλει συνεῖχεν αὐτὴν τρία ὄντα γένη, χρηματιστικὸν, ἐπικουρητικὸν, βουλευτικόν· οὕτω καὶ ἐν ψυχῇ τρίτον ἐστὶ τὸ θυμοειδὲς, ἐπίκουρον ὂν τῷ λογιστικῷ φύσει, ἐὰν μὴ ὑπὸ κακῆς τροφῆς διαφθαρῇ. τίνες μὲν οὖν εἰσιν αἱ διαφοραὶ τοῦ θυμοειδοῦς, οὐκ ἐν καιρῷ νῦν λέγειν. ἐν γὰρ τῷ μετὰ τοῦτον λόγῳ περί τε τῶν παθῶν τῆς ψυχῆς, ὡς ἐδόκει Πλάτωνι καὶ περὶ νοσημάτων καὶ ἁμαρτημάτων κατ' αὐτὴν ἁπασῶν, τῆς κακίας ὅπως γίγνεταί τε καὶ θεραπεύεται, μετὰ τὸ γενέσθαι διελθεῖν ἔγνωκα, καὶ δὴ καὶ περὶ κάλλους τε καὶ ὑγιείας αὐτῆς ἁπασῶν τε τῶν ἀρετῶν. οὐ σμικρὰ γὰρ οὐδ' ἐν τούτοις ὁ Χρύσιππος σφάλλεται. νυνὶ δὲ ἔτι μίαν ῥῆσιν ὑπογράψαι βούλομαι τοῦ Πλάτωνος, ἐν ᾗ δείκνυσιν ἕτερον ὑπάρχειν τὸ θυμοειδὲς τοῦ λογιστικοῦ. γέγραπται δ' ἐφεξῆς τῶν προειρημένων ἐν τῷ τετάρτῳ τῆς πολιτείας τόνδε τὸν τρόπον. καὶ γὰρ ἐν τοῖς παιδίοις τοῦτό γ' ἄν τις ἴδοι, ὅτι θυμοῦ μὲν, εὐθὺς γενόμενα, μεστά ἐστι. λογισμοῦ δ' ἔνιοι μὲν ἔμοιγε δοκοῦσιν οὐδέποτε μεταλαμβάνειν, οἱ δὲ πολλοὶ, ὀψέ ποτε, ναὶ μὰ Δί', ἦν δ' ἐγὼ, καλῶς γε εἶπες. ἔτι δ' ἐν τοῖς θηρίοις ἄν τις ἴδοι ὃ λέγεις, ὅτι οὕτως ἔχει. πρὸς δὲ τούτοις καὶ ὃ ἄνω που ἐκεῖ εἴπομεν, τὸ τοῦ Ὁμήρου μαρτυρήσει τό.

Στῆθος δὲ πλήξας, κραδίην ἠνίπαπε μύθῳ.

Ἐνταῦθα γὰρ δὴ σαφῶς, ὡς ἕτερον ἑτέρῳ ἐπιπλῆττον πεποίηκεν Ὅμηρος, τὸ ἀναλογισάμενον περὶ βελτίονός τε καὶ χείρονος τῷ ἀλογίστως θυμουμένῳ. ἐν τούτοις ἐναργῶς ὁ Πλάτων ἐπιδείκνυσιν ἕτερον ὑπάρχον τὸ θυμούμενον τοῦ λογιζομένου. οἱ γοῦν παῖδες ὥσπερ καὶ τὰ θηρία θυμοῦ μὲν πλήρεις εἰσὶ, λογισμοῦ δὲ ἥκιστα μετέχουσιν. ἐπὶ μὲν οὖν τῶν θηρίων ἐτόλμησαν ἔνιοι λέγειν, οὔτε θυμὸν, οὔτ' ἐπιθυμίαν ἐνυπάρχειν αὐτῶν ταῖς ψυχαῖς, ἐπὶ δὲ τῶν παίδων οὐκ οἶδ' ὅτι φήσουσιν. οὐ γὰρ δή γε καὶ τὰ τούτων πάθη διὰ συλλογισμοῦ χρὴ μαθεῖν, ἀλλ' ἀναμνησθῆναι μόνον αὔταρκες, ὡς οὐκ ἄλλως μὲν νῦν, ἄλλως δὲ παῖδες ὄντες θυμούμεθα. καὶ γὰρ δύναμις ἡ αὐτὴ, καὶ ὁ τρόπος τοῦ πάθους γενέσεως ὅμοιος· ἓν καὶ μόνον ἐξαίρετον ὑπάρχει τοῖς τελείοις ἀνδράσιν, ὅταν γε μὴ κατὰ πάθος ὦσιν,

ἀλλὰ λογισμὸς αὐτῶν ἐξηγεῖται τοῦ βίου, κατέχουσιν ἐν πολλαῖς πράξεσι τὸν θυμὸν, ὥσπερ τις νομεὺς κύνα γενναῖον ἀγριώτερον ἐκφερόμενον ἐπὶ τοὺς πέλας. ἐν δὲ τοῖς παισὶν, οὐδὲν γίγνεται τοιοῦτον, ὥσπερ οὐδὲ ἐν τοῖς θηρίοις, ὅτι τοῖς μὲν οὐδέπω, τοῖς δὲ οὐδέποτε λογισμὸς ἄρχει τῶν ὁρμῶν. ταῦτα μὲν οὖν ὀρθῶς εἴρηται τῷ Πλάτωνι, καὶ προσέτι τὸ κατὰ τὴν τελευτὴν τῆς ῥήσεως, γεγραμμένον, ἔνθα τὸν Ὅμηρον ἐπάγεται μάρτυρα ταυτὶ λέγοντα.

Στῆθος δὲ πλήξας κραδίην ἠνείπαπε μύθῳ.

Ἐνταῦθα γάρ φησιν, ὡς ἕτερον ἑτέρῳ πεποίηκεν ἐπιπλῆττον τὸ ἀναλογισάμενον περὶ τοῦ βελτίονός τε καὶ χείρονος τῷ ἀλογίστῳ θυμουμένῳ. ἐβουλόμην δ᾽ ἂν καὶ τὸν Χρύσιππον ἀνεγνωκέναι τε τὴν ῥῆσιν αὐτοῦ, προσεσχηκέναι τε τὸν νοῦν αὐτῇ. πάντως γὰρ ἄν τι καὶ αὐτὸς ὤνητο, μαθὼν ὁπηνίκα τε προσήκει καλεῖν Ὅμηρον μάρτυρα καὶ περὶ τίνων πραγμάτων. οὔτε γὰρ ἐν ἀρχῇ τῶν λόγων, ἀλλ᾽ ἐπειδὰν ἱκανῶς ἀποδείξῃ τις τὸ προκείμενον, ἀνεπίφθονον ἤδη καὶ τοὺς πρεσβυτέρους ἐπικαλεῖσθαι μαρτυρήσοντας, οὔτε περὶ πραγμάτων ἀδήλων παντάπασιν. ἀλλ᾽ ἤτοι περὶ φαινομένων ἐναργῶς, ἢ παρακειμένην αἰσθήσει τὴν ἔνδειξιν ἐχόντων, οἷά περ ἐστὶ τὰ πάθη τῆς ψυχῆς, οὐ μακρῶν λόγων οὐδ᾽ ἀποδείξεων ἀκριβεστέρων δεόμενα, μόνης δὲ ἀναμνήσεως ὧν ἑκάστοτε πάσχομεν ὡς καὶ Ποσειδώνιος εἶπεν. ὅτι μὲν γὰρ ἐν ἐγκεφάλῳ τὸ λογιζόμενόν ἐστιν, ἢ ἐν καρδίᾳ τὸ θυμούμενον, οὐ μεγάλην μοῖραν πρὸς πίστιν ἐκ τῶν μαρτύρων, ἀλλ᾽ ἀποδείξει χρὴ τὸ πᾶν ἐπιτρέπειν ἐνταῦθα. τὸ δὲ πρότερον εἶναι τοῦ θυμουμένου τὸ λογιζόμενον, οὔτ᾽ ἀποδείξεως δεῖται μακρᾶς, οὔτε σοφῶν τῶν μαρτυρησόντων, ἀλλ᾽ ἀρκεῖ μὲν καὶ Ὅμηρος ἐπὶ τοῖς ἀρτίως ῥηθεῖσι μαρτυρῶν. ἀρκεῖ δὲ καὶ Θουκυδίδης λέγων. καὶ οἱ λογισμῷ ἐλάχιστα χρώμενοι, θυμῷ πλεῖστα εἰς ἔργον καθίστανται. ἀρκεῖ δὲ καὶ Δημοσθένης εἰπών. ἀλλὰ μὴν αὖτις ἄφνω τὸν λογισμὸν φθάσας ἐξαχθῇ, πράξεις ὑβριστικὰς ποιήσει. δι᾽ ὀργὴν δ᾽ ὁ Πλάτων ἔφησε πεποιηκέναι, πρὸς τούτοις οἱ λοιποὶ πάντες, καὶ ῥήτορες, καὶ ποιηταὶ, καὶ μυθολόγοι, διὰ γὰρ τὴν ἐνάργειαν τοῦ πράγματος, οὐδείς ἐστιν ὃς οὐχ οὕτω γιγνώσκει. προσεκτέον οὖν ἐστι τῇ προγεγραμμένῃ τοῦ Πλάτωνος ῥήσει, τῶν τε ἄλλων ἕνεκα καὶ ὅπως ἀσφαλῶς, οὐ περὶ μὲν τοῦ κατὰ τὸν ἐγκέφαλον εἶναι τὸ λογιζόμενον, ἐν καρδίᾳ δὲ τὸ θυμούμενον, ἐπεκαλέσατο μαρτυρήσοντα τὸν Ὅμηρον, ἀλλὰ περὶ μόνου τοῦ διαφέρειν τὸ θυμούμενον τῆς ψυχῆς τοῦ λογιζομένου. τοῦτο μὲν γὰρ ἅπαντες ἄνθρωποι γιγνώσκουσι, δι᾽ ἐνάργειαν, ἐκεῖνο δ᾽ οὐκ ἔθ᾽ ὁμοίως ἅπαντες, ἀλλ᾽ ἀποδείξεως αὐτῷ δεῖ, διό μοι δοκῶ κἀγὼ καταπαύειν μὲν ἤδη τὸν ἐνεστῶτα λόγον. ἐν δὲ τῷ μετ᾽ αὐτὸν ἐπὶ τὴν ἀπόδειξιν τρέπεσθαι τοῦ καὶ τοῖς τόποις διωρεῖσθαι τὰ τρία μόρια τῆς ψυχῆς.

sed ratio ipsorum vitæ præest, quod scilicet continent in multis actionibus iracundiam, quemadmodum pastor aliquis canem generosum ferocius in proximos insilientem. At in pueris nihil eiusmodi accidit, quemadmodum neque in bestiis, quoniam his nondum, illis nunquam ratio impetus animi coërcet. Hæc itaque rectè Platoni dicta sunt, necnon id, quod in fine orationis scriptum est, vbi Homerum testimonia hæc dicentem introducit.

Pectora sed læso charum cor increpat ira.

Hîc enim ait quomodo alterum cupit alterum castigare, ipsam videlicet rationem de meliori peioríque consultantem, irrationalem iracundiæ impetum cohibere. Optarem etiam Chrysippum verba hæc legisse, animúmque eis adhibuisse. Omnino enim aliquid fructus ipse retulisset, edoctus quomodo Homerum citare testem conueniat, & quibus de rebus. Neque enim initio sermonum, sed vbi abundè quis rem propositam demonstrauit, candidum iam est etiam antiquiorum citare testimonia. Neque de rebus omnino obscuris, sed vel euidenter apparentibus, vel expositam sensui indicationem habentibus, cuiusmodi sunt animi affectus, qui non longis sermonibus, neque demonstrationibus accuratioribus indigent, verùm sola recordatione eorum quæ nos frequenter patimur, veluti & Posidonius aiebat. Quòd enim in cerebro ratio consistit, vel in corde iracundia, non magnam vim ad fidem faciendam ex testibus obtinet; verùm demonstrationi totum hoc committere oportet. Porrò quòd ratio iracundiâ sit prior, neque demonstrationem requirit longam, neque sapientium testimonia, sed abundè est etiam Homeri, præter modò dicta, testimonium. Sufficit & Thucydides inquiens. *Qui ratione minimè vtuntur, iracundia plerumque in opus rapiuntur*. Satis est & Demosthenis dictum. *At verò siquis repente extra rationem fuerit eductus, actiones contumeliosas obibit*. Propter iram autem Plato dixit fecisse, ad hæc reliqui omnes, & Rhetores, & Poëtæ, & fabularum scriptores. Siquidem propter rei euidentiam, nemo est qui non ita sentiat. Itaque Platonis verbis supra comprehensis attendendum est, tum aliorum causa, tum quomodo securè Homerum testem citauerit, non de eo quòd in cerebro ratio, in corde iracundia consistat, sed quòd solùm irascibilis anima à ratiocinatrice differat, id quod omnes homines propter euidentiam cognoscunt; illud autem non ita similiter omnes, sed demonstratione ipsum indiget. Quare mihi visum est librum præsentem iam finire; subsequenti verò ad id demonstrandum aggredi, quod etiam locis tres animæ partes sint distinctæ.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΚΑΘ' ΙΠΠΟΚΡΑΤΗΝ ΚΑΙ ΠΛΑΤΩΝΑ ΔΟΓΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

GALENI DE HIPPOCRATIS ET PLATONIS PLACITIS LIBER SEXTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΕΚΤΩι.

Τρεῖς τῆς ψυχῆς δυνάμεις τοῖς τόποις διωρίσθαι, καὶ τὸ μὲν ἧπαρ φλεβῶν αἵματός τε, καὶ τῆς ἐπιθυμητικῆς δυνάμεως ἀρχὴν εἶναι, ὡς καὶ τὴν καρδίαν ἀρτηριῶν τε καὶ θυμοειδοῦς, ἀποδείκνυται.

ARGVMENTVM LIBRI SEXTI.

Tres animæ facultates ſedibus eſſe diſtinctas, ac iecur venarum ſanguinis, & concupiſcibilis facultatis principium eſſe, vt cor arteriarum & iraſcibilis facultatis, demonſtratur.

CAPVT PRIMVM.

Quid actio, quid affectus.

PROPOSITVM ſanè mihi erat ab A initio de facultatibus corpus noſtrum regentibus conſiderare, ex cordéne ſolo vniuerſæ proficiſcantur, quemadmodum Ariſtoteles & Theophraſtus exiſtimabant; an tria ipſarum principia ponere ſatius ſit, vt Hippocrates & Plato opinabantur. Verùm quia Chryſippus non de principiis tantum contra veteres contendit, ſed de ipſis etiam facultatibus, vt qui neque iraſcibilem, neque concupiſcibilem eſſe conceſſerit, putaui oportere opinione ipſius ante inſpecta, ita rurſus ad id quod ab initio propoſueram, reuerti, nempe cerebrum, B cor, & iecur, facultatum nos regentium eſſe principia. Huc itaque oratio iam deuenit, ac exordium à nominum interpretatione ſumet, quibus iam priùs vſi ſumus, & in medio hoc libro frequenter vtemur. Ne enim quicquam eorum quæ dicta ſunt, perperam inaudiatur, ſed in omnibus diſtinctum ſimul, & promptè manifeſtum euadat, maximè neceſſarium eſt ſingula nomina de qua re dicantur, exactè definiuiſſe. Etenim ſolui etiam nonnullas quæſtiones priùs huc delatas hoc modo contingit; quemadmodum certè & hanc, vtrum actiones

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐνέργειά τε, καὶ τί πάθος.

A ΠΡΟΥΚΕΙΤΟ μὲν ἐξ ἀρχῆς ἐπισκέψασθαι περὶ τῶν διοικουσῶν ἡμᾶς δυνάμεων, εἴτ' ἐκ τῆς καρδίας μόνης ὁρμῶνται σύμπασαι, καθάπερ Ἀριστοτέλης τε καὶ Θεόφραστος ὑπελάμβανον, εἴτε τρεῖς ἀρχὰς αὐτῶν τίθεσθαι βέλτιον, ὡς Ἱπποκράτης τε καὶ Πλάτων ἐδόξαζον. ἐπεὶ δὲ Χρύσιππος οὐ περὶ τῶν ἀρχῶν μόνον ἠμφισβήτησε πρὸς τοὺς παλαιούς, ἀλλὰ καὶ περὶ τῶν δυνάμεων αὐτῶν, οὔτε τὴν θυμοειδῆ συγχωρήσας ὑπάρχειν, οὔτε τὴν ἐπιθυμητικήν, ἔδοξε χρῆναι τὴν τούτου προτέραν δόξαν ἐπισκεψαμένοις, οὕτως ἐπανέρχεσθαι πάλιν ἐπὶ τὸ προκείμενον ἐξ ἀρχῆς, ὡς ἐγκέφαλός τε καὶ καρδία, B καὶ ἧπαρ ἀρχαὶ τῶν διοικουσῶν ἡμᾶς δυνάμεών εἰσιν. ἀφῖκται οὖν ὁ λόγος ἤδη πρὸς τοῦτο, καὶ ἀρχὴν ἕξει τὴν τῶν ὀνομάτων ἐξήγησιν, οἷς ἔμπροσθέν τε ἤδη κεχρήμεθα, κἂν τῷ μεταξὺ τούτῳ λόγῳ πολλάκις χρησόμεθα. πρὸς γὰρ τὸ μηδενὸς τῶν εἰρημένων παρακούειν, ἀλλ' ἐν ἅπασι τὸ διωρισμένον τε ἅμα καὶ σαφές, ἕτοιμον ὑπάρχειν, ἀναγκαιότατόν ἐστιν ἕκαστον τῶν ὀνομάτων, ἐφ' ὅτου λέγεται πράγματος ἀκριβῶς ἀφωρίσθαι. καὶ γάρ τοι καὶ λύεσθαί τινα τῶν ἔμπροσθεν ἀναβληθέντων ζητημάτων ἐκ τούτου τοῦ τρόπου συμβέβηκεν, ὥσπερ οἶμαι, καὶ τόδε, πότερον ἐνερ-

γείας ἢ πάθη προσαγορευτέον ἐστὶ τὴν ἐπιθυμίαν, καὶ τὸν θυμόν, A ὅσα τἄλλα τοιαῦτα. ἡ μὲν οὖν ἐνέργεια κίνησίς ἐστιν δραστική (δραστικὴν δ' ὀνομάζω τὴν ἐξ ἑαυτοῦ) τὸ δὲ πάθος, ἐν ἑτέρῳ κίνησίς ἐστιν ἐξ ἑτέρου, ὥστε ἀναγκαῖον μὲν πολλάκις εἰς ἓν ὑποκείμενον τῷ πάθει τὴν ἐνέργειαν συνέρχεσθαι, καὶ κατὰ τοῦτο διαφέρειν μηδέν, τῷ λόγῳ μέντοι διαφέρειν. ἡ γὰρ ὑπὸ τοῦ τέμνοντος ἐν τῷ τεμνομένῳ διαίρεσις, ἓν καὶ ταὐτὸν ὑπάρχουσα πρᾶγμα, τοῦ μὲν τέμνοντος ἐνέργεια, τοῦ δὲ τεμνομένου πάθος ἐστίν. οὕτως οὖν καὶ ὁ θυμός, ἐνέργεια μὲν ἐστι τοῦ θυμοειδοῦς, πάθημα δὲ τῶν λοιπῶν τῆς ψυχῆς δύο μερῶν, καὶ προσέτι τοῦ σώματος ἡμῶν παντὸς ὅταν ὑπὸ τοῦ θυμοῦ βιαίως ἄγηται πρὸς τὰς πράξεις. ἓν B μὲν δὴ τοῦτο τὸ σημαινόμενον ἑκατέρων τῶν ὀνομάτων, ἕτερον δὲ τὴν μὲν ἐνέργειαν, κατὰ φύσιν τινὰ κίνησιν ἡμῶν νοούντων, τὸ δὲ πάθος παρὰ φύσιν. πολλαχῶς δὲ τοῦ κατὰ φύσιν λεγομένου, τοῦτ' ἀκούειν χρὴ νῦν, ὃ κατὰ πρῶτον λόγον ὑπὸ τῆς φύσεως γίγνεται. κατὰ πρῶτον δὲ λόγον ἐκεῖνα γίγνεσθαί φαμεν ὑπὸ τῆς φύσεως, ὧν ὥσπερ σκοπῶν ἀντιποιεῖται, καὶ μὴ δι' ἀκολουθίαν τινὰ ἑτέροις ἐξ ἀνάγκης ἕπεται. ἡ τοιαύτη κίνησις κατὰ φύσιν, εἴτ' ἐξ αὐτοῦ κινοῖτο τὸ κινούμενον, εἴθ' ὑφ' ἑτέρου. ἤδη μὲν οὖν, οἶμαι, σαφὲς εἶναι τὸ λεγόμενον, ἀλλ' οὐδὲν χεῖρον ἐπὶ παραδειγμάτων αὐτὸ σαφέστερον ἀπεργάσασθαι. ἡ τῆς καρδίας κίνησις, ἡ μὲν κα- C τὰ τοὺς σφυγμοὺς ἐνέργειά ἐστιν, ἡ δὲ κατὰ τοὺς παλμούς, πάθος. ἐξ αὐτῆς μὲν γάρ ἐστι καὶ ἡ κατὰ τοὺς παλμούς, ἀλλ' οὐ κατὰ φύσιν. ἐξ ἑαυτῆς δὲ καὶ ἡ τῶν σφυγμῶν, ἀλλὰ κατὰ φύσιν. δεῖ δὲ τοῦ σφυγμοῦ ὀνόματος ἀκούειν οὕτως νῦν, ὡς Πραξαγόρας, καὶ Ἡρόφιλος, ἅπαντές τε σχεδὸν οἱ μετ' αὐτοὺς ἐχρήσαντο μέχρι καὶ ἡμῶν, ὡς ἥγε παλαιοτέρα χρῆσις, ἣ κἂν τοῖς Ἐρασιστράτου τε καὶ Ἱπποκράτους εὑρίσκεται γράμμασιν, ἑτέρα τίς ἐστι, καὶ λεχθήσεται περὶ αὐτῆς ἐν τοῖς μετὰ ταῦτα. τῶν μέντοι τῆς καρδίας ἰδίαν κίνησιν ὀνομαζόντων ἡμῶν σφυγμόν, ὁ παλμὸς μὲν πάθος εἶναι λεχθήσεται κατά γε τὸ δεύτερον τῆς πάθος φωνῆς σημαινόμενον, D ὁ σφυγμὸς δ' οὐ πᾶς ἐνέργεια. τὸν γὰρ μείζονα τοῦ κατὰ φύσιν, ἢ μικρότερον, ἢ ὠκύτερον, ἢ βραδύτερον, ἢ πυκνότερον, ἢ ἀραιότερον, ἢ πως ἄλλως ἐξιστάμενον, οὐκ ἄν τις ἐνέργειαν εἴποι κατὰ τὸ δεύτερον τῆς ἐνεργείας σημαινόμενον, ἐξ ἑαυτῆς μὲν γὰρ ἐν τοῖς τοιούτοις σφυγμοῖς ἡ καρδία κινεῖται. κατὰ φύσιν δ' οὐ κινεῖται, ὥστ' εἰ οὕτως ἔτυχεν οὐδὲν εἶναι θαυμαστὸν ἓν πρᾶγμα, καὶ πάθος ὀνομάζεσθαι, καὶ ἐνέργειαν, ὥσπερ τὸν μικρότερον τοῦ κατὰ φύσιν σφυγμόν, οὐ μὴν κατά γε ταὐτὸν σημαινόμενον. ἀλλὰ κατὰ μὲν τὸ πρότερον ῥηθέν, ἐνέργειαν. ἔστι μὲν γὰρ καὶ ἡ κατὰ τοῦτον τὸν σφυ- E γμὸν κίνησις δραστική, κατὰ δὲ τὸ δεύτερον οὐκ ἐνέργεια ἀλλὰ πάθος, ὅτι μὴ κατὰ φύσιν ἐστὶν ἡ κίνησις. οὕτως οὖν ἔχει κἀπὶ τοῦ θυμοῦ, καὶ τῶν ἄλλων παθῶν. ἅπαντα γὰρ ἐνέργειαί τινές εἰσι τοῦ παθητικοῦ τῆς ψυχῆς, κατά γε τὸ πρῶτον τῆς ἐνεργείας σημαινόμενον. καθ' ὅσον δ' ἔκφοροί τε καὶ ἄμετροι κινήσεις εἰσί, καὶ οὐ κατὰ φύσιν, οὐκ ἐνέργειαι λέγοιντ' ἂν ὑπάρχειν, ἀλλὰ πάθη κατὰ τὸ δεύτερον σημαινόμενον. οἷος γάρ τις κατὰ τὴν τῶν ἀρτηριῶν κίνησιν ὁ μέγας σφυγμός ἐστι, τοιοῦτος κατὰ τὴν τοῦ θυμοειδοῦς ὁ θυμός, οἷος δ' αὖ πάλιν ὁ μικρὸς σφυγμός, τοιοῦτον ἡ ἀθυμία. F αὕτη μὲν γὰρ ἐλλιπής ἐστι κίνησις τοῦ θυμοειδοῦς. ὑπερβάλλουσα δὲ καὶ πλεονάζουσα τοῦ προσήκοντος, ἡ κατὰ τοὺς θυμούς. ταύτῃ γοῦν ἐνέργειαί τε ἅμα καὶ πάθη λεχθήσονται, καθ' ἕτερόν τε καὶ ἕτερον σημαινόμενον, ἥτε ὀργὴ καὶ ἡ λύπη, καὶ ὁ φόβος, καὶ ἡ ἐπιθυμία, καὶ ὁ θυμός.

an affectus appellare conueniat cupiditatem, & iracundiam, aliáque eiusmodi. Actio quidem igitur motus est efficiens, efficientem autem nomino qui ex se est. Affectus autem motus est in altero ex altero; vt necessariò quidem sæpe in vnum subiectum cum affectu actio conueniat; & in hoc nihil est differentiæ; oratione autem discrepant. Nam à secante facta diuisio in eo quod secatur, vna & eadem res cum sit, secantis quidem actio, eius autem quod secatur, affectus est. Ita sanè & iracundia actio quidem est irascibilis animæ; affectus autem reliquarum ipsius duarum partium; & præterea totius nostri corporis, quum ab iracundia violenter ad actiones ducitur. Hoc quidem vnum est significatum vtriusque nominis. Alterum autem, si actionem quidem motum quendam naturalem intelligamus. affectum autem, præter naturam. At quum multifariam id quod secundum naturam est, dicatur, hoc inaudiri nunc oportet, quod primaria ratione à natura fit. Primaria autem ratione illa fieri à natura dicimus, quæ veluti scopos natura amplectitur, nec ex aliqua consequentia, alia necessariò sequitur, talis motus est secundum naturam, siue ex ipso moueatur id quod mouetur, siue ab altero. Constare itaque iam arbitror id quod dicitur, sed nihil mali fuerit, exemplis id reddere manifestius. Cordis motus pulsuum ratione actio est; palpitationum respectu, affectus. Ex eodem enim est & palpitationum motus, sed non secundum naturam; ex eodem etiam pulsuum motus, sed secundum naturam. At pulsus nomen ita nunc audiendum est, vt praxagoras, Herophilus, & prope omnes posteri ad nostra vsque tempora vsi sunt. Nam vetustior vsus, qui in Erasistrati & Hippocratis libris inuenitur, alius est, & de eo posteriùs dicetur. Quòd si verò cordis peculiarem motum pulsum appellemus, palpitatio quidem affectus esse dicetur, pro secunda dictionis (affectus) significatione; pulsus autem non omnis actio; nam maiorem, naturali, aut minorem, aut citatiorem, aut tardiorem, aut frequentiorem, aut rariorem, aut alio quodam modo excedentem nemo actionem dixerit, pro secundo actionis significatu. Quippe ex seipso in huiusmodi pulsibus cor mouetur, sed non secundum naturam mouetur. Quare si ita eueniat, nihil est mirum, vnam rem & affectum, & actionem appellari; sicuti minorem naturali pulsum; non tamen eodem significatu, sed priore dicto actio (est enim & huius pulsus motus efficiens) secundo autem non actio, sed affectus, quoniam non secundum naturam est motus. Sic igitur in iracundia habet, & in aliis affectibus. Omnes siquidem actiones quædam sunt animæ affectibus obnoxiæ, ex primo actionis significatu. Quatenus autem effrenes & immoderati motus sunt, neque secundum naturam, non actiones esse dicentur, sed affectus, ex secundo significatu. Qualis enim res in arteriarum motu magnus pulsus est, talis in irascibilis animæ motu iracundia. Qualis autem rursus paruus pulsus, talis timiditas. Hic enim deficiens motus est animæ irascibilis; exuperans autem, & amplior quàm conuenit, is qui in iracundia deprehenditur. Hac itaque ratione & actiones simul & affectus dicentur, alio atque alio significatu, ira, dolor, metus, cupiditas, iracundia, aliáque

aliáque huiusmodi, & præterea quatenus totum corpus cum anima ab ipsis abripitur, motus animantis affectus erit vtroque significatu. Frequenter enim iracundiam reliqua duo sequuntur. Sæpe verò concupiscentiam, tanquam abstracta compulsáque, iugalium equorum instar, quorum alter valentiùs impellens alterum attrahit secum cum toto curru & auriga, alter præ imbecillitate sequitur submissus contractúsque, ipse autem auriga vi aufertur. Tunc enim in effreni equo motus, actio & affectus, ipsius dicetur; priore quidem significatu actio (motus enim ex seipso est) secundo autem non actio, quum sit motus ei præter naturam, sed iam affectus; aurigæ verò motus, ne secundum alterum quidem significatum actio est, sed secundum vtrumque, affectus siquidem neque ex seipso, neque secundum naturam motus ei existat. Multi enim motus etsi non efficientes quidam sint, neque ex seipsis, sed eò quòd secundum naturam sunt, actiones dicuntur, quemadmodum etiam cruris, vel totius manus; ex aliis enim motus initium, non ex seipsis hæc obtinent, quomodo & cor; attamen & incessus crurum actio est, & secundo significatu dicitur, quanquam nonnulli parum exercitati in rerum significationibus, incessum non crurum actionem, sed per crura esse pronunciant; ac verè quidem dicentes; nam ad prius principaliúsque significatum perueniunt. Quòd verò solùm ita dicere censent, nec concedunt etiam secundum alterum interpretari, non rectè faciunt. Sic itaque & iracundia & concupiscentia, tum affectus, tum actiones dicentur; nam insitarum animæ facultatum, motus quidam, & immoderati & præter naturam quum sint, quoniam ex se quidem illi mouentur, ideo facultatum actiones sunt; quoniam verò immoderatè, idcirco affectus; ac totius sanè animæ ipsarúmque facultatum vtrarumque dum mouentur, præter naturam motus sunt, irrationalibus quidem potentiis propter immoderationem, toti autem animæ, eò quòd præter naturam, quia non à motibus animæ affectibus subditæ, sed à rationalis iudiciis vitam nostram regi dispensaríque affirmamus. Quum igitur contra gubernamur, prætérque naturam, eóque etiam secundum affectum talis vita transigatur, propter has sanè iam causas, siue actionem, siue affectum dicat aliquis iracundiam, aut cupiditatem, aut aliorum similium affectuum quempiam, non increpare hunc oportet, priusquam significatum ex voce quæsieris ad quod intendens, ita nominarit. Inuenitur autem & Plato ipse nonnunquam actiones, nonnunquam verò affectus appellare sitim, famem, & in totum cupiditates, iracundiámque. Insuper quòd nihil ad præsentia refert, hoc an illo modo nomines, in quarto de Republica libro hunc in modum scribit: *Num igitur annuere, renuere, aggredi aliquid capere, auersari, & adducere, repellere, omnia huiusmodi inter se contraria posueris, siue actiones, siue passiones?* Hoc exemplis euidentiùs docere instituens, hæc inducit. *Quid autem, esurire, sitire, & omninò appetere, velle, eligere? Nonne hæc omnia ad illorum species referes quæ modò diximus, velutì semper cupientis animam? Nonne vel aggredi dices illud quod appetit,*

A ὅσα τε ἄλλα τοιαῦτα, καὶ προσέτι καθ' ὅσον ὅλον τὸ σῶμα μετὰ τῆς ψυχῆς ἀπάγεται πρὸς αὐτῶν ἡ κίνησις τοῦ ζώου, πάθος ἔσται κατ' ἄμφω τὰ σημαινόμενα. πολλάκις μὲν γὰρ ἕπεται τῷ θυμοειδεῖ τὰ λοιπὰ δύο. πολλάκις δὲ τῷ ἐπιθυμητικῷ, καθάπερ ἑλκόμενά τε καὶ συρόμενα παραπλήσιον τρόπον, ὡσεὶ καὶ ξυνωρίδες ἵππων, ὁ μὲν ἕτερος ἰσχυρότερον ἀΐξας ἐπισύρει τὸν ἕτερον ἅμ' ἑαυτῷ μετὰ τοῦ σύμπαντος ἅρματός τε καὶ ἡνιόχου, ὁ δ' ἕτερος δ' ὑπ' ἀσθενείας ἕπεται κατεπτηχώς, αὐτὸς δ' ὁ ἡνίοχος ἀποφέρεται βίᾳ. τηνικαῦτα γὰρ ἡ μὲν κατὰ τὸν ἔκφορον ἵππον κίνησις, ἐνέργειά τε καὶ πάθος αὐτοῦ λεχθήσεται. κατὰ μὲν τὸ πρότερον σημαινόμενον, ἐνέργεια· κίνησις γάρ ἐστιν ἐξ ἑαυτοῦ· B κατὰ δὲ τὸ δεύτερον, οὐκ ἐνέργεια, παρὰ φύσιν γ' οὖσα κίνησις αὐτῷ, ἀλλ' ἤδη πάθος. ἡ μέντοι τοῦ ἡνιόχου κίνησις οὐδὲ καθ' ἕτερον τῶν σημαινομένων ἐνέργειά ἐστιν, ἀλλὰ κατ' ἄμφω πάθος, εἴγε μήτ' ἐξ ἑαυτοῦ, μήτε κατὰ φύσιν ἡ κίνησις αὐτῷ. πολλαὶ γὰρ τῶν κινήσεων εἰ καὶ μὴ δραστικαί τινές εἰσι, μήτ' ἐξ ἑαυτῶν, ἀλλὰ τῷ γε κατὰ φύσιν ὑπάρχειν, ἐνέργειαι λέγονται, καθάπερ καὶ ἡ τοῦ σκέλους, ἢ ὅλης τῆς χειρός. ἐξ ἑτέρων γὰρ ἔχει ταῦτα τὴν ἀρχὴν τῆς κινήσεως οὐκ ἐξ ἑαυτῶν, ὥσπερ ἡ καρδία, ἀλλ' ὅμως καὶ ἡ βάδισις ἐνέργεια σκελῶν ἐστι, καὶ λέγεται κατὰ τὸ δεύτερον σημαινόμενον, εἰ καί τινες ὑπ' ἀγυμνασίας τῆς περὶ τὰ C σημαινόμενα τὴν βάδισιν οὐ σκελῶν ἐνέργειαν, ἀλλὰ διὰ σκελῶν εἶναί φασιν. ἀληθὲς μέν τι λέγοντες, ἐπὶ γὰρ τὸ πρότερόν τε, καὶ κυριώτερον ἔρχονται σημαινόμενον. ὅτι μέντοι μόνον οὕτως λέγειν ἀξιοῦσιν, καὶ μὴ συγχωροῦσι, καὶ κατὰ θάτερον ἑρμηνεύειν, οὐκ ὀρθῶς ποιοῦσιν. οὕτως οὖν καὶ ὁ θυμός, καὶ ἡ ἐπιθυμία, καὶ πάθος, καὶ ἐνέργειαι λεχθήσονται. τῶν γὰρ τῆς ψυχῆς συμφύτων δυνάμεων, κινήσεις τινὲς ἄμετροί τε καὶ οὐ κατὰ φύσιν οὖσαι, διότι μὲν ἐξ ἑαυτῶν ἐκεῖναι κινοῦνται, διὰ τοῦτ' ἐνέργειαι τῶν δυνάμεών εἰσιν. διότι δ' ἀμέτρως, διὰ τοῦτο πάθη, καὶ τῆς ὅλης μὲν ψυχῆς, καὶ αὐτῶν δὲ τῶν κινουμένων δυνάμεων ἀμφοτέρων αἱ κινήσεις αὐτῶν παρὰ φύσιν εἰσίν. ταῖς μὲν ἀλόγοις δυνάμεσιν διὰ τὴν ἀμετρίαν. τῇ δ' ὅλῃ ψυχῇ, διότι παρὰ φύσιν, ἐπεὶ οὐχ ὑπὸ τῶν τοῦ παθητικοῦ κινήσεων, ἀλλ' ὑπὸ τῶν τοῦ λογιστικοῦ κρίσεων ἐπιτροπεύεσθαί τε, καὶ διοικεῖσθαί φαμεν τὸν βίον ἡμῶν. ὅταν οὖν ἔμπαλιν διοικώμεθα, παρὰ φύσιν τε δηλονότι, καὶ διὰ τοῦτο, καὶ κατὰ πάθος ὁ τοιοῦτος βίος ἐπιτελεῖται. διὰ ταύτας μὲν ἤδη τὰς αἰτίας, ἄν τ' ἐνέργειάν τις, ἄν τε πάθος εἴπῃ τὸν θυμόν, ἢ τὴν ἐπιθυμίαν, ἤ τι τῶν ἄλλων τῶν κατὰ ταῦτα παθῶν, E οὐ χρὴ μέμφεσθαι τούτῳ, πρὶν ἔρεσθαι τὰ σημαινόμενα ἐκ τῆς φωνῆς ἐφ' ὅτι φέρων οὕτως ὠνόμασεν. εὑρίσκεται δὲ καὶ Πλάτων αὐτὸς ἐνίοτε μὲν ἐνεργείας, ἐνίοτε δὲ πάθη προσαγορεύων, τό τε διψῆν, καὶ τὸ πεινῆν, καὶ ὅλως τὰς ἐπιθυμίας, καὶ τοὺς θυμούς, καὶ μὴν δή, καὶ ὡς οὐδὲν διαφέρει πρός γε τὰ προκείμενα τὸ οὕτως, ἢ ἐκείνως ὀνομάζειν, ἐν τῷ τετάρτῳ τῆς πολιτείας ὧδε γράφει. ἆρ' οὖν, ἦν δ' ἐγώ, τὸ ἐπινεύειν, τὸ ἀνανεύειν, καὶ τὸ ἐφίεσθαί τινος λαβεῖν, τὸ ἀπαρνεῖσθαι, καὶ τὸ προσάγεσθαι, τὸ ἀπωθεῖσθαι, πάντα τὰ τοιαῦτα τῶν ἐναντίων ἀλλήλοις θείης, εἴτε ποιημάτων, F εἴτε παθημάτων; διὰ παραδειγμάτων δ' ἐναργέστερον τοῦτο διδάξαι προελόμενος, ἐπιφέρων φησί. τί οὖν; ἦν δ' ἐγώ· διψῆν, καὶ πεινῆν, καὶ ὅλως τὰς ἐπιθυμίας, καὶ αὖ τὸ ἐθέλειν, καὶ τὸ βούλεσθαι, οὐ πάντα ταῦτα εἰς ἐκεῖνά ποι ἂν θείης τὰ εἴδη τὰ νῦν δὴ λεχθέντα, οἷον ἀεὶ τὴν τοῦ ἐπιθυμοῦντος ψυχήν; οὐχὶ ἤτοι ἐφίεσθαι φήσεις ἐκείνου οὗ ἂν ἐπιθυμῇ,

ἢ προσάγεσθαι τοῦτο ὃ ἂν βούληταί οἱ γενέσθαι; ἢ αὖ καθόσον ἐθέλει τί οἱ πορισθῆναι, ἐπινεύειν τοῦτο πρὸς αὑτὴν, ὥσπερ τινὸς ἐρῶντος ἐπορεγομένην αὐτοῦ τῆς γενέσεως; ἔγωγε. τί δὲ, τὸ ἀβουλεῖν, καὶ μὴ ἐθέλειν, μηδ' ἐπιθυμεῖν, οὐκ εἰς τὸ ἀπωθεῖν καὶ ἀπελαύνειν ἀπ' αὐτῆς, καὶ εἰς ἅπαντα τἀναντία ἐκείνοις θήσομεν, αὗται μὲν αἱ τοῦ Πλάτωνος ῥήσεις, οὐ μόνον ὅπερ ἐλέγομεν ἐπιδεικνύουσαι σαφῶς ὡς τὸ πεινῆν, καὶ τὸ διψῆν, καὶ ὅλως τὸ ἐπιθυμεῖν τινος, ἢ ἐφίεσθαί τε καὶ φεύγειν, εἴτε ποιήματά τις, εἴτε παθήματα, τουτέστιν εἴτε ἐνεργείας, εἴτε πάθη προσαγορεύσειεν οὐδὲν διαφέρει, ἀλλὰ καὶ περὶ τῶν μερῶν τῆς ψυχῆς διδάσκουσαι.

vel adducere quod sibi adesse eligit? vel rursus nonne quatenus aliquid sibi porrigi vult, annuere illud ad se, amantis cuiusdam instar, id vt fiat affectantem? Equidem. Quid verò, nolle, aspernari, negligere, non cupere? Nonne in reijciendi repellendique ab ea speciem, & in omnia illis contraria referemus? Hæc sanè Platonis verba sunt, non solùm quod dicebamus ostendentia manifestò, nempe esurire, sitire, & omnino appetere aliquid, aut aggredi, & auersari, siue actionem aliquis, siue passionem, hoc est, siue functionem, siue affectum appellauerit, nihil interest: sed etiam de animi partibus docentia.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Πλάτωνα νῦν τρία τῆς ψυχῆς εἴδη τίθεσθαι, νῦν εἰς τρία μέρη διαιρεῖσθαι.

ΔΙὸ καὶ καλῶς ἂν ἔχοι μὴ παραδραμεῖν αὐτὰς, ἀλλ' ὅλον ἀναλαβεῖν τὸν λόγον, ὃν ἐν τῷ τετάρτῳ τῆς πολιτείας διῆλθεν, ὑπὲρ τοῦ τρία τὰ τῆς ψυχῆς ἡμῶν ὑπάρχειν εἴδη. προσέχειν δὲ χρὴ κἀνταῦθα τῶν λεγομένων τὸν νοῦν ἀπ' αὐτῶν ἀρξαμένους αὖθις τῶν ὀνομάτων, καὶ μὴ νομίζειν ἐπιλανθάνεσθαι τὸν Πλάτωνα τῶν ἐφ' ἑαυτοῦ λεγομένων. ἐπειδὰν εἴδη τρία τὴν ψυχὴν ἡμῶν ἔχειν εἰπὼν, αὖθις εἰς τρία μέρη διαιρεῖσθαι φάσκει. καὶ γὰρ εἴδη, καὶ μέρη ψυχῆς, ὀρθῶς ἄν τις ὀνομάζοι τὸ λογιστικὸν, καὶ τὸ θυμοειδὲς, καὶ τὸ ἐπιθυμητικόν. ὥσπερ εἰ καὶ σώματος εἴδη τις εἰπὼν εἴη φλέβα, καὶ ἀρτηρίαν, καὶ νεῦρον, ὀστοῦν τε καὶ χόνδρον, καὶ σάρκα, καὶ τἄλλ' ὅσα τοιαῦτα, μετὰ ταῦθ' ὡς περὶ μερῶν αὐτῶν διαλέγοιτο. καὶ γὰρ καὶ μέρη τοῦ σώματος ἡμῶν ἀληθῶς ἄν τις εἶναι λέγοι τὰ τοιαῦτα. συμπληροῦται γὰρ τὸ ὅλον ἐξ αὐτῶν, καὶ μέντοι καὶ εἴδη τοῦ σώματος οὐδὲν ἧττον, ἐν μόνοις γὰρ τοῖς ὁμοιομερέσι τὸ διαφέρειν εἶδος οὐκ ἔστιν, ἢ τὸ τῆς σαρκὸς μέρος, ἢ τὸ τῆς φλεβὸς, ἢ τὸ τῆς πιμελῆς. οὐδὲ ἀληθὲς εἰπεῖν ἐπὶ τῶν τοιούτων, ὡς ἐκ τοσῶνδέ τινων εἰδῶν σύγκειται τὸ ὅλον. ἐν δὲ τοῖς ἀνομοιομερέσιν, ἡ τῶν εἰδῶν διαφορὰ τὸν ἀριθμὸν ὁρίζει τοῖς μορίοις. τοιοῦτον δέ τι χρῆμα, καὶ ἡμῶν τὴν ψυχὴν ὁ Πλάτων εἶναί φησιν, ἐκ τριῶν μερῶν συγκειμένην. εἰκάζει δ' οὕτω, τὸ μὲν ἐπιθυμητικὸν θηρίῳ ποικίλῳ τε καὶ πολυκεφάλῳ, τὸ δὲ θυμοειδὲς λέοντι, τὸ δὲ λογιστικὸν ἀνθρώπῳ. αὕτη γὰρ ἡ εἰκὼν οἰκειοτέρα τῆς κατὰ τὸν Φαῖδρον, ἐν ᾗ τῶν εἰδῶν ἱππομόρφῳ μέν τινι δύο φησὶν ὑπάρχειν, ἡνίοχον δὲ τρίτον. ἀλλὰ καὶ ἐν τῷ τῆς πολιτείας ἐνάτῳ τῆς προτέρας εἰκόνος ἐμνημόνευσεν, ὡς σαφέστερον ἐνδεικνυμένης ὁποῖον ἕκαστόν ἐστι τῶν εἰδῶν τῆς ψυχῆς. ὁ μὲν οὖν Πλάτων, καὶ τοῖς τόποις τοῦ σώματος κεχωρίσθαι νομίζων αὐτὰ, καὶ ταῖς οὐσίαις πάμπολυ διαλλάττειν, εὐλόγως εἴδη τε καὶ μέρη προσαγορεύει. ὁ δ' Ἀριστοτέλης τε, καὶ ὁ Ποσειδώνιος, εἴδη μὲν ἢ μέρη ψυχῆς οὐκ ὀνομάζουσιν, δυνάμεις δ' εἶναί φασι μιᾶς οὐσίας ἐκ τῆς καρδίας ὁρμωμένης. ὁ δὲ Χρύσιππος, ὥσπερ εἰς μίαν οὐσίαν, οὕτω καὶ εἰς δύναμιν μίαν ἄγει, καὶ τὸν θυμὸν, καὶ τὴν ἐπιθυμίαν. ἀλλ' ὅτι μὲν οὐκ ὀλίγον ἁμαρτάνει τῆς ἀληθείας ὁ ἀνὴρ, οὕτως αὐταρκῶς ἡμῖν ἐπιδέδεικται. ὅτι δὲ οἱ περὶ τὸν Ἀριστοτέλην σφάλλονται, μιᾶς οὐσίας τὰς τρεῖς δυνάμεις εἶναι νομίζοντες, ἔν τε τοῖς ἔμπροσθεν ἱκανῶς ἐπιδέδεικται, καὶ οὐδὲν ἧττον ὁ μετὰ τοῦτον λόγος ἀποδείξει.

CAPVT II.

Platonem nunc tres esse animæ species statuere; nunc eam in tres partes distinguere.

QVare etiam bene habet non præterire ea, sed totum sermonem repetere, quem in quarto de Republica, de eo quòd tres animæ nostræ species existant, percensuit. At animum & hîc iis quæ dicuntur, adhibere conuenit, ab ipsis rursus nominibus auspicatos, ac non putare Platonem suorum ipsius dictorum oblitum fuisse; quandoquidem vbi tres animam nostram species habere dixisset, iterum in tres diuidi partes asseuerat. Etenim species & partes animæ rectè aliquis nominauerit, ratiocinatricem, irascibilem, & concupiscibilem, quemadmodum si etiam corporis species dixeris, venam, arteriam, neruum, os, cartilaginem, carnem, aliáque eiusmodi: postea de ipsis tanquam partibus disseras; siquidem & partes corporis nostri eiusmodi esse, verè dixerit aliquis, vt ex quibus totum absoluatur, compleatúrque, necnon & species corporis nihilominus in solis enim similaribus differre specie non inuenias, aut carnis partem, aut venæ, aut pinguedinis; neque in huiusmodi verum fateri possis, nempe totum ex tot quibusdam speciebus constare; in dissimilaribus numerum finit partibus specierum differentia. Talem autem quandam rem, animam quoque nostram Plato ex tribus partibus compositam esse pronunciat. Assimilat autem sic concupiscibilem belluæ variæ, & multorum capitum, irascibilem, leoni; ratiocinatricem, homini. Hæc enim similitudo familiarior est ea quam in Phædro habet; vbi duas sanè species equina quadam forma esse scribit, aurigam verò tertiam, quinetiam nono de Republica libro, prioris meminit comparationis, tanquam manifestiùs ostendentis quales singulæ animæ sint species. Itaque Plato etiam locis ipsas esse segregatas, & essentiis longè diuersas arbitratus meritò & species, & partes appellat. Verùm Aristoteles & Posidonius species sanè, aut animæ partes non nominant, sed facultates esse vnius substantiæ ex corde proficiscentis, affirmant. Chrysippus, tanquam ad vnam substantiam, ita & in facultatem vnam, tum iracundiam, tum concupiscentiam deducit. At quod non parum à veritate vir aberret, abundè adeò iam à nobis ostensum est. Quòd autem Aristotelis sectatores fallantur, qui vnius substantiæ tres esse facultates censeant, & superiùs satis declarauimus, & nihilominus nunc subsequens sermo demonstrabit.

Priùs autem quòd Plato ipse species animæ & partes nominat ratiocinatricem, irascibilem, & concupiscibilem, ex ipsis eiusdem verbis astruemus. In Timæo igitur de appetente anima, cuius etiam plantæ natura participes sunt differens, hoc pacto scribit: *Particeps est tamen id quod nunc dicimus, tertiæ animæ speciei, quam intra præcordia & vmbilicum collocari constat.* Rursus quum hoc in libro de anima ratiocinatrice disputat, ita ait; *At de principalissima animæ nostræ specie cogitare hîc oportet, siquidem per eam cuique genium Deus tradiderit; quam sanè in summo nostro corpore habitare dicimus, ad cælestem verò cognationem à terra nos attollere.* Vtramque simul in hoc rursus libro appetitricem & irascibilem hac oratione animæ speciem nuncupauit. Item quòd species animæ mortalis, grauésque & necessarias in se affectiones habens, ibidem simul habitet, pari modo rursus tres animæ nostræ partes, species animæ in eodem libro Timæo in hac enarratione appellat. Est enim quemadmodum diximus subinde, putà tres animæ species in nobis habitare. Sic etiam libro de Republica quarto, quum prædixisset irascibilem à concupiscibili esse diuersam, ac postea quum inquireret an etiam à rationali differat, inquit. *An igitur & iracundia à ratione variat, vel quadam species rationis, ita vt non tres, sed duæ existant in anima species, ratiocinatrix, & concupiscibilis?* Ita libro nono in hæc verba scriptum reliquit. *Sed pacatis duabus quidem speciebus, tertia autem commota, in qua prudentia gignitur.* Ac præterea ibidem. *Quemadmodum igitur dixi, cuiusque speciei voluptates inter se contendunt, ipsáque vita, non solùm vt honestius, & turpius, aut peius & melius, sed vt suauius & minus molestè degatur.* Quoquomodo vtique cognoscemus quis ipsorum verissime dicat? quid adhuc alia ascribere verba opus habemus, quum & hæc abundè viri sententiam possint significare? nempe quòd tres esse animarum species has velit, ratiocinatricem, concupiscibilem, & irascibilem? Porrò solas ipsas esse sine mutuo consortio tuetur; in stirpibus sanè appetentem; in diis ratiocinatricem. Irascibilem verò cur solam non liceat in vllo corpore esse, processu sermonis demonstrabitur, vbi apposuerimus ex Timæo verba, quibus vsum generationis ipsius docens, appetentis causa creatam esse, rationali animæ auxiliatricem ait, tanquam canem quendam contra multorum capitum & agrestem feram cupiditatem. Meritò igitur species animæ eas appellat prædictis orationibus, ac præterea aliis plerisque, quarum non necesse est meminisse, quum euidenter iam per hæc sententia viri sit cognita. At si etiam partes animæ singulas ipsas nominet, nihil mirum est. Primùm enim ipse nos docuit, quòd quæcunque fuerit species, hæc etiam pars nominari possit, non tamen quælibet pars statim & species erit. Secundò autem quòd ne dicendum quidem est vllum compositum similare, quum sibiipsi ex toto continuum sit, ex numero enim finitis constat partibus, nullius autem similaris numero comprehendi potest multitudo partium. Proinde quòd bona ratione Plato species & partes animæ has appellet, pluribus verbis non opus est.

A πρότερον δ' ὅτι Πλάτων αὐτὸς εἴδη τε καὶ μέρη ψυχῆς ὀνομάζει τό τε λογιστικόν, καὶ τὸ θυμικόν, καὶ τὸ ἐπιθυμητικόν, ἐξ αὐτῶν τῶν ῥήσεων αὐτοῦ πιστωσόμεθα. ἐν μὲν οὖν τῷ Τιμαίῳ περὶ τῆς ἐπιθυμητικῆς ψυχῆς, ἧς καὶ τὰ φυτὰ μετέχει φύσει διαλεγόμενος, ὧδέ πως γράφει. μετέχει γε μὴν τοῦτο, ὃ νῦν λέγομεν τοῦ τρίτου τῆς ψυχῆς εἴδους, ὃ μεταξὺ φρενῶν ὀμφαλοῦ τε ἵδρυται. αὖθις δ' ἐν τῷδε τῷ βιβλίῳ περὶ τῆς λογιστικῆς ψυχῆς διαλεγόμενος, ὧδέ πώς φησι. τὸ δὲ δὴ περὶ τοῦ κυριωτάτου παρ' ἡμῖν ψυχῆς εἴδους διανοεῖσθαι δεῖ τῇδε, ὡς ἄρα αὐτὸ δαίμονα ὁ θεὸς ἑκάστῳ δέδωκε, ὃ δή φαμεν οἰ- B κεῖν μὲν ἡμῶν ἐπ' ἄκρῳ τῷ σώματι. πρὸς δὲ τὴν ἐν οὐρανῷ συγγένειαν, ἀπὸ γῆς ἡμᾶς αἴρειν. συναμφότερα δ' αὖ πάλιν ἐν ταὐτῷ βιβλίῳ τὸ ἐπιθυμητικὸν, καὶ τὸ θυμοειδές, τῇδε τῇ ῥήσει, ψυχῆς εἶδος ὠνόμασεν· ἄλλο τι εἶδος ἐν αὐτῷ ψυχῆς προσῳκοδόμουν τὸ θνητόν, καὶ ἀναγκαῖα ἐν ἑαυτῷ παθήματα ἔχον, ὁμοῦ δ' αὖ πάλιν τὰ τρία μέρη τῆς ψυχῆς ἡμῶν, εἴδη προσαγορεύει τῆς ψυχῆς ἐν ταὐτῷ βιβλίῳ τῷ Τιμαίῳ κατὰ τήνδε τὴν διήγησιν. ἔστι γὰρ καθάπερ εἴπομεν πολλάκις ὅτι τρία τῆς ψυχῆς ἐν ἡμῖν εἴδη κατῴκισται, ὡσαύτως δ' κἀν τῇ πολιτείᾳ. κατὰ μὲν τὸ τέταρτον ὑπὲρ τοῦ θυμοειδοῦς προει- C ρηκώς, ὡς ἕτερον ἐστὶ τοῦ ἐπιθυμητικοῦ. κἄπειθ' ἑξῆς ζητῶν, εἰ καὶ τοῦ λογιστικοῦ διαφέρει, φησίν. ἆρ' οὖν ἕτερον ὂν καὶ τούτου, ἢ λογιστικοῦ τι εἶδος, ὥστε μὴ τρία, ἀλλὰ δύο εἴδη εἶναι ἐν τῇ ψυχῇ λογιστικόν τε, καὶ ἐπιθυμητικόν. οὕτω δὲ καὶ κατὰ τὸ ἔννατον ἔγραψεν, ἔν γε τῇδε τῇ ῥήσει. ἀλλ' ἡσυχάσας μὲν τὼ δύο εἴδη, τὸ τρίτον δὲ τι κινήσας ἐν ᾧ τὸ φρονεῖν ἐγγίγνεται. καὶ προσέτι τῇδε. ὅτι δὴ οὖν εἶπον ἀμφισβητοῦνται ἑκάστου εἴδους αἱ ἡδοναί, καὶ αὐτὸς ὁ βίος, μὴ ὅτι πρὸς τὸ κάλλιον καὶ αἴσχιον ζῆν, μηδὲ τὸ χεῖρον καὶ ἄμεινον, ἀλλὰ πρὸς αὐτὸ τὸ ἥδιον, καὶ ἀλυπότερον. πῶς αὖ ἤδη μὲν τις D αὐτῶν ἀληθέστατα λέγοι; τί αὖ ἔτι δεοίμεθα ἑτέρας παραγράφειν ῥήσεις, ἱκανὰ γὰρ καὶ αἵδε δηλῶσαι τὴν γνώμην τἀνδρός; ὡς εἴδη ψυχῶν εἶναι βούλεται τὰ τρία ταυτί, λογιστικόν, ἐπιθυμητικόν, καὶ θυμοειδές. ἀμέλει μόνας αὐτὰς εἶναί φησι χωρὶς ἀλλήλων. ἐν μὲν τοῖς φυτοῖς, τὴν ἐπιθυμητικήν, ἐν δὲ τοῖς θεοῖς, τὴν λογιστικήν. τὴν μέντοι θυμοειδῆ διὰ τι, μόνην οὐχ οἷόν τε κατ' οὐδὲν τῶν σωμάτων εἶναι, προϊὼν ὁ λόγος ἀποδείξει. παραθεμένων ἡμῶν τὴν ἐκ τοῦ Τιμαίου ῥῆσιν, ἔνθα τὴν χρείαν τῆς γενέσεως αὐτῆς διδάσκων, ἕνεκα τῆς ἐπιθυμητικῆς γεγονέναι φησὶ βοηθὸν τῇ λογικῇ ψυχῇ, κα- E θάπερ τινὰ κύνα κατὰ τοῦ πολυκεφάλου τε, καὶ ἀγρίου θρέμματος τῆς ἐπιθυμίας. εἰκότως οὖν εἴδη ψυχῆς αὐτὰ προσαγορεύει, κατά γε τὰς προγεγραμμένας ῥήσεις, καὶ προσέτι πολλὰς ἑτέρας, ὧν οὐκ ἀνάγκη μνημονεύειν ἐναργῶς ἤδη διὰ τούτων τῆς γνώμης τἀνδρὸς ἐγνωσμένης. εἰ δὲ καὶ μέρη ψυχῆς ἕκαστον αὐτῶν ὀνομάζει, θαυμαστὸν οὐδέν. πρῶτον μὲν γὰρ αὐτὸς ἡμᾶς ἐδίδαξεν, ὡς ὅτι περ ἂν εἶδος ᾖ, τοῦτο καὶ μέρος ὀνομάζειν ἐγχωρεῖ, μὴ μέντοι τό γε μέρος ἅπαν εὐθὺς, καὶ εἶδος εἶναι. δεύτερον δὲ, ὅτι μηδ' ἐγχωρεῖ λέγειν μηδὲν σύνθετον ὁμοιομερές, ἑαυτῷ γὰρ συνεχὲς ὅλον ὑπάρχειν. ἐξ ὡρισμένων F γὰρ τὸν ἀριθμὸν σύγκειται μορίων, οὐδενὸς γὰρ ὁμοιομεροῦς ἀριθμῷ περιλαβεῖν ἐγχωρεῖ τὸ πλῆθος τῶν μορίων. ὅτι μὲν οὖν εὐλόγως ὁ Πλάτων εἴδη τε, καὶ μέρη τῆς ψυχῆς ὀνομάζει ταῦτα, μακροτέρων οὐ δεόμεθα λόγων.

A

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἐκ τοῦ τῶν φυτῶν τε, καὶ τῆς καρδίας παραδείγματος, ἧπαρ εἶναι τῶν φλεβῶν ἀρχὴν ἀποφαίνεται.

ΟΤι δὲ τὸ μὲν ἐν τῇ κεφαλῇ καθίδρυται, τὸ δ' ἐν τῇ καρδίᾳ, τὸ δ' ἐν τῷ ἥπατι, τοῦτο ἐξ ἀρχῆς προὔκειτο, καὶ δέδεικται διὰ τῶν ἔμπροσθεν ὑπὲρ τῶν δύο μερῶν. ὑπόλοιπον δὲ ἔτι τὸ ἐπιθυμητικὸν ἰδίας ἀποδείξεως δεόμενον, ἣν ἐν τῷδε δέξιμεν, ἐκεῖνο πρότερον ἐν ἀρχῇ τοῦ λόγου προειπόντες, ὡς οὐκ ἐξ ὁμοίως ἐναργῶν, οὐδ' ἐξ αὐτῆς ἄντικρυς τοῦ ζητουμένου τῆς φύσεως ἡ ἀπόδειξις ἔσοιτο, καθάπερ ἐπὶ τῶν ἔμπροσθεν, ἀλλ' ἐκ τῶν τούτῳ συμβεβηκότων ἰδίᾳ. τῶν μὲν γὰρ νεύρων βρόχῳ διαλαμβανομένων, ἢ τεμνομένων, ἐφαίνετο τὰ μὲν ἐγκεφάλῳ συνεχῆ μόρια, διασώζοντα τὰς ἀρχαίας δυνάμεις, τὰ δ' ἐπέκεινα τοῦ βρόχου παραχρῆμα καὶ τὴν αἴσθησιν ἀπολλύντα, καὶ τὴν κίνησιν. οὕτω δὲ καὶ τῶν ἀρτηριῶν αἱ μὲν τῇ καρδίᾳ συνεχεῖς τὰς ἀρχαίας ἐνεργείας ἐργάζονται. αἱ δ' ὑπὸ τοῦ βρόχου διειργόμεναι, τελέως ἄσφυκτοι γιγνόμεναι. καὶ μέντοι καὶ τὰ παθήματα τῆς ψυχῆς, ὅσα κατὰ τοὺς θυμούς τε, καὶ τοὺς φόβους συμπίπτει, προφανῶς ἐξιστάντα τὴν καρδίαν ἐφαίνετο τῆς κατὰ φύσιν ἐνεργείας. ἐμνημονεύσαμεν δὲ καὶ ὅσα θλιβόμενος ὁ ἐγκέφαλος, ἢ τιτρωσκόμενος εἰς τὰς κοιλίας ἅπαν βλάπτει τὸ σῶμα, καὶ ὡς καὶ ταῦτ' ἐναργῶς ἐνδείκνυται, κινήσεώς τε καὶ αἰσθήσεως ἀρχὴν ὑπάρχειν αὐτόν. ἐπὶ δὲ τοῦ ἥπατος οὐδὲν τοιοῦτον ἔχομεν ἐπιδεικνύειν, οὔτ' εἰ γυμνώσαντες αὐτὸ θλίβοιμεν, οὔτ' εἰ βρόχῳ τὰς φλέβας διαλαμβάνοιμεν. οὔτε γὰρ ἐναργοῦς ἐστι κινήσεως ἡ ἀρχὴ, καθάπερ ἡ μὲν καρδία τῆς σφυγμικῆς. ὁ δ' ἐγκέφαλος τῆς αἰσθητικῆς τε καὶ προαιρετικῆς, οὔτ' ὀξείας βλάβης αἴτιον, ὡς ἐκείνων ἑκάτερον, ἀλλ' ἐν τῷ χρόνῳ βλάπτεται τὸ ζῶον εἰς ἀτροφίαν τε καὶ ἀχροιαν, ἥπατος ἀτονήσαντος. ὡσαύτως δὲ καὶ τὸ μέρος εἰς ὅπερ ἂν ἐμβάλλουσαν φλέβα βρόχῳ διαλάβῃς, ἢ καὶ παντάπασιν ἐκκόψῃς, ἀτροφώτερόν τε καὶ ἀχρούστερον ἐν πλείονι χρόνῳ φαίνεται γιγνόμενον, οὐ μὴν ἔν γε τῷ παραυτίκα βλαπτόμενον οὐδὲν ὅτι ἄξιον λόγου. τοιαύτης γὰρ δυνάμεως ἀρχὴ τὸ ἧπαρ, οἵα καὶ τοῖς φυτοῖς ὑπάρχει. καλείσθω γὰρ ἔν γε τῷ παρόντι δύναμις, ὕστερον ἐπιδειξόντων ἡμῶν ἀκριβέστερον, ὡς πολλῶν ἐστι δυνάμεων ἀρχὴ τὸ ἧπαρ, καὶ κάλλιον οὐσίαν ψυχῆς ὀνομάζειν οὐ δύναμιν, ἐν ἑκάστῳ τῶν τριῶν σπλάγχνων περιεχομένην. ἐν ἐγκεφάλῳ μὲν λογιστικὴν, ἐν καρδίᾳ δὲ θυμοειδῆ, κατὰ δὲ τὸ ἧπαρ ἐπιθυμητικὴν, ἢ φυτικὴν, ἢ γεννητικὴν, ἢ ὡς οἱ περὶ τὸν Ἀριστοτέλην, θρεπτικὴν, ἢ φυτικὴν, ἢ γεννητικὴν ἀφ' ἑνὸς ἑκάστου τοὔνομα θέμενοι, ἀπὸ μὲν τοῦ φύειν, φυτικὴν, ἀπὸ δὲ τοῦ τρέφειν, θρεπτικὴν, ἀπὸ δὲ τοῦ γεννᾷν, γεννητικήν. ὁ δὲ Πλάτων ἀπὸ τοῦ πλήθους τῶν ἐπιθυμιῶν, ἐπιθυμητικήν. οἱ δὲ Στωϊκοὶ οὐδὲ ψυχὴν ὅλως ὀνομάζουσι τὴν τὰ φυτὰ διοικοῦσαν, ἀλλὰ φύσιν. ὀνομαζέτω μὲν οὖν ἕκαστος, ὡς ἂν ἐθέλῃ. περὶ δὲ τῶν ἐναργῶς τοῖς πράγμασι διαφορῶν ἀποδείξει πιστούσθω, καθάπερ ἡμεῖς ἐπὶ μὲν ἐγκεφάλου, καὶ καρδίας ἔμπροσθεν ἐποιησάμεθα, ἐφ' ἥπατος δὲ κατὰ τὸν ἐνεστῶτα λόγον ὁρμώμεθα διελθεῖν. ἀρξόμεθα δ' ἀπὸ τῶν ἐναργεστέρων, ὥσπερ γυμνασθέντες, ἐν τούτοις ῥᾷον ἐξευρωμέν τι τῶν ἀμυδροτέρων, ἅμα τε προτάσεων εὐπορήσωμεν εἰς αὐτά. ἐναργέστερον δ' ἐστὶν ἀπὸ τῶν φλεβῶν ἄρξασθαι,

CAPVT III.

Iecur esse venarum principium, plantarum & cordis exemplo demonstratur.

QVod autem aliam in capite, aliam in corde, aliam in iecinore collocauit, id ab initio propositum erat, ostensúmque per superiora est de duabus partibus, reliquam adhuc concupiscibilem, quæ peculiari demonstratione indiget, hoc loco persequemur; illud prius initio sermonis præfati, quòd non ex similiter euidentibus, neque ex ipsa manifestò eius quod quæritur natura, demonstratio petetur, quemadmodum in prioribus, sed ex iis quæ propriè huic accidunt. Etenim nerui si fune intercipiantur, aut dissecentur, partes quidem cerebro continuæ principij sui retinere facultates apparent, quæ vltra funem habentur, statim & sensum perdunt, & motum. Ita sanè & arteriæ, quæ quidem cordi sunt continuæ, originis suæ functiones obeunt; quæ si foris intercipiuntur fune; prorsus non pulsant. Quinetiam affectus animæ qui ex iracundia & metu accidunt, palam cor ex naturali functione eripere videntur. Meminimus etiam quomodo contusum cerebrum aut vulneratum in ventriculis, totum corpus offendit. Item quomodo hæc quoque euidenter demonstrent & motus & sensus originem ipsum esse cerebrum. At in iecinore nihil huiusmodi possumus ostendere, neque si nudatum ipsum comprimamus, neque si fune venas intercipiamus; neque enim euidentis motus est initium, quemadmodum cor pulsatilis, cerebrum verò sensorij & arbitrarij, neque acutæ noxæ causa, vt vtrumque illud, sed temporis spatio animal offenditur, iecore in totius corporis tabem, & pallorem elanguescente. Similiter pars cuicunque insertam venam vinculo exceperis, vel etiam omninò excideris, macrior alimenti defectu, & decoloratior longiori spatio fieri videtur, non tamen repente noxam mentione dignam experitur. Eiusmodi enim facultatis initium iecur quale & stirpibus inest. Vocetur enim in præsentia facultas, quoniam ostendemus postea accuratiùs, quomodo multarum facultatum origo sit iecur; ac melius est substantiam animæ nominare, non facultatem, in singulis tribus visceribus comprehensam; in cerebro sanè ratiocinatricem, in corde irascibilem, in iecore appetentem, aut vegetatiuam, aut generatricem, aut Aristotelico more nutritiam, aut vegetatiuam, aut generantem, ab vnaquaque re nomine imposito, à vegetando vegetatiuam, à nutriendo nutritiam, à generando generatricem; Plato à multitudine cupiditatum, concupiscibilem. Stoici ne animam quidem prorsus nominant eam quæ stirpes dispensat, sed naturam. Appellet igitur vnusquisque quomodocunque volet; de rerum autem differentiis euidentibus, demonstratione fidem faciat, quemadmodum nos in cerebro quidem & corde priùs fecimus; de iecinore autem in præsenti libro tractare aggrediemur, sed ab euidentioribus incipiemus; nam in his exercitati, faciliùs inueniemus obscuriora, simulque propositiones ad ea nobis suppeditabuntur. Euidentiùs autem est à venis exordiri,

ac

ac quærere vtrum etiam harum sit initium iecur, sicuti arteriarum cor, neruorum cerebrum, vel quemadmodum nonnulli putant, non arteriis solis, sed etiam venis naturales facultates cor distribuit. Optimum igitur fuerit ad hoc considerare priùs quomodo stirpes generentur simul & dispensentur; verisimile enim solam illis insinuatam de qua quæritur facultatem, euidentiora indicia partis vnde proficiscitur præbuisse. Proiecto in terram semine qualicunque, si squalida fuerit ac sicca, nihil amplius ad stirpis generationem ipsum semen molietur, vtpote quum omnem ipsius insitum madorem ad se terra attraxerit. Quando autem mediocriter humida est, molle redditur semen, intumescitque iuxta ambiens ipsum natiuum cutis modo operculum, ac rumpitur quidem primum madore seminis in aërem conuerso, deinde protenditur iuxta rupturam germen quoddam tenue, & vtrobique molle; ac superior seminis portio ceu ad aërem, inferior in terram vergit, atque hæc perpetuò augescere videntur, ac semper ferri in quæ ab initio inclinabant, temporis processu si semen arboris cuiusdam magnæ fuerit, pars quæ in aërem fertur, caudex ipsius euadit, quæ in imum terræ declinat, radix, & vtraque portio variis scissuris diuaricatur, si multifidæ arboris semen extiterit. Vnum itaque principium generationis & incrementi omnibus stirpis partibus est locus ille, vnde sursum quidem caudex, initium verò radicis deorsum nascitur, ac apparet tanquam ex foco quodam, virtus quæ arborem dispensat, illinc procedere. Mouetur itaque contrario motu, deorsum sanè, & in imam terram, dum in multas primas radices crescere incipientes germen multifariam discindit; sursum verò ramos quosdam & caudices producit, illos rursus in alios findit, vsque dum hi in extremos & subtilissimos ramulos desinant; ac videtur superiorem partem totam, quæ est arbor, causa sui & fructus efformare, inferiorem vt alimenti sit copia. Quale enim animantibus os est, tale stirpibus extremum radicationis, planè apparere videtur, osculis pluribus ex terra alimentum à natura fabricatum elicientibus. Age iam similitudinem hanc ad animantia transferas, ac primùm quidem inspicito maximam arteriam, quæ caudicis modo ex corde procedens, altera parte minore diuaricatur ad caput emergens, altera maiore per spinam exporrecta. Contemplare autem deinceps omnes ipsius propagines per totum corpus excurrentes, quemadmodum priore libro expositum est; alteram verò arteriam ex ipso cordis sinu prouenientem, quæ in pulmones non secus ac radicis pars in terram pertinens diffunditur. Quemadmodum enim ex terra per radices totum alimentum attrahit arbor, ita ex pulmone cor aërem per dictas arterias haurit. Hæ duæ ex corde prodeuntes arteriæ, maximè suarum propaginum vtræque, & veluti in planta, quod extra terram eminet truncus est, omnium aliorum latissimus, quod in radices diffunditur, omnium & hoc latissimum inferiorum; medium autem amborum stirpis principium est. Pari modo arteria quæ veluti caudex apparet, maxima est omnium quæ in toto habentur animali; quæ in pulmones inseritur, omnium maxima est quæ inibi existunt,

καὶ ζητῆσαι πότερον καὶ τούτων ἐστὶν ἀρχὴ τὸ ἧπαρ, ὡς ἀρτηριῶν μὲν ἡ καρδία, τῶν νεύρων δὲ ὁ ἐγκέφαλος· ἢ καθάπερ ἔνιοι νομίζουσιν, οὐ ταῖς ἀρτηρίαις μόναις, ἀλλὰ καὶ ταῖς φλεψὶν ἐπιπέμπει τὰς φυσικὰς δυνάμεις ἡ καρδία. κάλλιστον οὖν εἰς τοῦτο περὶ τῆς κατὰ τὰ φυτὰ γενέσεώς τε ἅμα, καὶ διοικήσεως ἐπισκέψασθαι πρότερον. εἰκὸς γάρ που μόνην ἐκείνοις ὑπάρχουσαν τὴν ζητουμένην δύναμιν, ἐναργέστερα τεκμήρια τοῦ μέρους, ὅθεν ὁρμᾶται παρέχεσθαι. καταβληθέντος εἰς τὴν γῆν σπέρματος ὁτουοῦν, εἰ μὲν αὐχμώδης εἴη πλέον, οὐδὲν εἰς φυτοῦ γένεσιν αὐτὸ περιεργάσεται τὸ σπέρμα, πᾶσαν αὐτοῦ τὴν ἔμφυτον ἰκμάδα πρὸς ἑαυτὴν τῆς γῆς ἑλκυσάσης, μετρίως δὲ ὑπαρχούσης ὑγρᾶς, μαλακὸν γὰρ τὸ σπέρμα. διοιδίσκεται δὲ κατὰ τὸ περιέχον αὐτὸ σύμφυτον σκέπασμα τὸ, οἷον δέρμα, καὶ ῥήγνυται μὲν πρῶτον ἀερωθείσης τῆς κατὰ τὸ σπέρμα νοτίδος. εἶθ' ἑξῆς ἀποτείνεται κατὰ τὸ ῥαγὲν ἀποβλάστημά τι λεπτὸν, καὶ μαλακὸν εἰς ἄμφω τὰ μέρη, τό τε ἄνω τοῦ σπέρματος ὡς πρὸς τὸν ἀέρα, καὶ τὸ κατὰ βάθους τῆς γῆς, καὶ ταῦτα συνεχῶς φαίνεται τὴν αὔξησιν ποιούμενα, καὶ φερόμενα διὰ παντὸς εἰς ἅπερ ἀρχῆθεν ὥρμησε, καὶ τοῦ χρόνου προϊόντος εἰ τὸ σπέρμα δένδρου τινὸς εἴη μεγάλου σπέρμα, τὸ μὲν εἰς τὸν ἀέρα φερόμενον αὐτοῦ, πρέμνον γίγνεται, τὸ δὲ εἰς τὸ βάθος τῆς γῆς, ῥίζα, καὶ σχίζεταί γε πολλὰς σχίσεις ἑκάτερον, εἰ πολυσχιδοῦς εἴη δένδρου τὸ σπέρμα. μία μὲν οὖν ἀρχὴ τῆς γενέσεώς ἐστι, καὶ τῆς αὐξήσεως ἅπασι τοῦ φυτοῦ τοῖς μέρεσιν ὁ τόπος ἐκεῖνος, ὅθεν ἄνω μὲν τὸ πρέμνον, ἡ δὲ ἀρχὴ τῆς ῥιζώσεως κάτω γίγνεται, καὶ φαίνεται καθάπερ ἔκ τινος ἑστίας ἡ διοικοῦσα τὸ δένδρον δύναμις, ἐκεῖθεν ὁρμωμένη. κινεῖται μὲν οὖν τὰς ἐναντίας κινήσεις, εἰς μὲν τὸ κάτω, καὶ τὸ βάθος τῆς γῆς ἔν τε τῷ κατασχίζειν τὸ βλαστὸν πολυμερῶς εἰς πολλὰς τὰς πρώτας ῥίζας αὐξάνειν ἀρχομένας, εἰς δὲ τὸ ἄνω, κλάδους μέν τινας ἀποφύσεσι καὶ στελέχεσι. ἐκείνους δὲ αὖθις εἰς ἑτέρους σχίζουσιν μέχρι τῶν ἐσχάτων, καὶ λεπτοτάτων βλαστῶν, καὶ ἔοικε τὸ μὲν ἄνω μέρος ἅπαν, ὅπερ ἐστὶ τὸ δένδρον ἕνεκεν ἑαυτοῦ τε, καὶ τοῦ καρποῦ διαπλάττειν, τὸ κάτω δὲ ὑπὲρ τῆς κατὰ τὴν τροφὴν εὐπορίας. ὁποῖον γάρ τι τοῖς ζῴοις ἐστὶ τὸ στόμα, τοιοῦτον τοῖς φυτοῖς τὸ πέρας τῆς ῥιζώσεως, ἀτεχνῶς φαίνεται δοκεῖ, στοματίων πολλῶν ἑλκόντων ἐκ τῆς γῆς τροφὴν ὑπὸ τῆς φύσεως δεδημιουργημένην. ἄγε δή μοι τὴν εἰκόνα κἀπὶ τὰ ζῷα, καὶ πρῶτον μὲν ἐπίσκεψαι τὴν μεγίστην ἀρτηρίαν, ἥ τις ὥσπερ πρέμνον ἐκφύουσα τῆς καρδίας, διασχίζεται τῷ μὲν ἑτέρῳ μέρει τῷ μικροτέρῳ, πρὸς τὴν κεφαλὴν ἀναφερομένη, θατέρῳ δὲ τῷ μείζονι, κατὰ τῆς ῥάχεως ἐκτεταμένη. θεάσαι δὲ ἑξῆς ἅπαντ' αὐτῆς τὰ βλαστήματα πάντοσε τοῦ σώματος φερόμενα καθ' ὃν ἐν τῷ πρώτῳ γράμματι λέλεκται τρόπον. ἑτέραν δὲ ἀρτηρίαν ἐκ τῆς αὐτῆς κοιλίας τῆς καρδίας ἐκφερομένην τὴν εἰς τὸν πνεύμονα κατασχιζομένην ἀνάλογον τῷ καθήκοντι μέρει τοῦ ῥιζώσεως εἰς τὴν γῆν. ὥσπερ γὰρ ἐκ τῆς γῆς τὰ φυτὰ διὰ τῶν ῥιζῶν ἅπασαν ἐπισπᾶται τὴν τροφὴν, οὕτως ἐκ τοῦ πνεύμονος ἡ καρδία τὸν ἀέρα διὰ τῶν εἰρημένων ἀρτηριῶν. αὗται δύο μὲν τῆς καρδίας ἐκπεφύκασιν ἀρτηρίαι, μέγισται τῶν οἰκείων ἀποβλαστημάτων ἑκάτεραι, καὶ καθάπερ ἐν τῷ φυτῷ, τὸ μὲν ἐξέχον τῆς γῆς τὸ πρέμνον ἐστὶν, ἁπάντων εὐρύτατον τῶν ἄλλων, τὸ δὲ εἰς τὰς ῥίζας σχιζόμενον ἁπάντων, καὶ τοῦτ' εὐρύτατον τῶν κάτω. τὸ μέσον δὲ ἀμφοῖν ἡ ἀρχὴ τοῦ φυτοῦ, κατὰ τὸν αὐτὸν τρόπον. ἡ μὲν οὖν στέλεχος ἀρτηρία μεγίστη τῶν καθ' ὅλον ἐστὶ τὸ ζῷον, ἡ δὲ εἰς τὸν πνεύμονα τὴν ἔμφυσιν ἔχουσα τῶν ἐν ἐκείνῳ πασῶν,

αὕτη δὲ ἡ καρδία μέση τῶν ἀμφοτέρων ἐστί, καὶ ἀρχὴ τῶν διοικουσῶν αὐτὰ δυνάμεων. ἀνδρί τε περὶ φύσιν δεινῷ, καὶ χωρὶς τῶν εἰρημένων εὔδηλον, ὡς τὰ μείζω τῶν ἐλαττόνων ἀρχαί, καθάπερ γε καὶ ἡ πηγὴ τῶν ὀχετῶν εἰς οὓς διανέμεται· καίτοι τινὲς εἰς τοσοῦτον ἥκουσιν ἀλογίας, ὡς τῆς ἀρχῆς τὰ μετ᾽ αὐτὴν μείζω νομίζειν, ἐξαπατώμενοι πρὸς τῶν ποταμῶν, οἳ μικροὶ παντάπασι πρὸς ταῖς πηγαῖς ὄντες, αὐξάνονται προϊόντες, οὐκ ἐξ ἀνάγκης ἀεὶ γιγνομένου. τινὲς μὲν γὰρ αὐτῶν ἑτέρους ὑποδεχόμενοι ποταμούς, εἰκότως αὐξάνονται, τινὲς δ᾽ ὀχετῶν ἀποσχιζομένων σμικρύνονται. ποταμὸς δὲ οὐδεὶς ἐκ μιᾶς ὁρμώμενος πηγῆς, ἐλάττονα τὴν κεφαλὴν ἔχει τῶν ἐφεξῆς. εἰ δὲ ἐκ πολλῶν ἀθροίζοιτο πηγῶν, εὔλογον δήπου τὸ ὅλον ἑκάστης αὐτῶν γίνεσθαι μείζονα. καὶ χωρὶς δὲ τοῦ παραδείγματος, εἰ τὰ κατὰ τὸ σῶμα τῶν ζώων ἀγγεῖα τὰ μικρότερα τῶν μειζόνων ἀρχὰς θησόμεθα, μαχεῖται πρὸς ἑαυτὸν ὁ λόγος ἐν ἅπαντι μορίῳ τοῦ σώματος, ἀναγκαζόμενος ὁμολογεῖν ἀρχὴν εἶναι τῶν ἄλλων τριῶν ὀργάνων, ἀρτηρίας, καὶ νεύρου, καὶ φλεβός. ὥστ᾽ εἰ οὕτως ἔτυχε τὴν πτέρναν, ἢ τὸν δάκτυλον ἀρχὴν εἶναι τῆς μεγίστης ἀρτηρίας, καὶ τῆς κοίλης φλεβός, καὶ τοῦ νωτιαίου. ταυτὶ γὰρ ὥσπερ τινὰ πρέμνα, τὸ μὲν ἀρτηριῶν ἐστί, τὸ δὲ φλεβῶν, τὸ δὲ μυελῶν· ὥστ᾽ ἴσως ὁ τοῦτον τὸν λόγον εἰσηγούμενος, οὐδὲ τὰ βλαστήματα τῶν δένδρων, οὐδὲ τὰ πέρατα τῶν ῥιζῶν αἰσχυνεῖται λέγειν ἀρχὰς τοῦ φυτοῦ. καίτοι τά γε πέρατα τῶν ῥιζῶν, ἀρχαὶ τροφῆς τοῦ δένδρου δύναιντ᾽ ἂν λέγεσθαι παραπλησίως ταῖς εἰς τὴν γαστέρα καθηκούσαις φλεψί, καὶ ταῖς εἰς τὸν πνεύμονα κατασχιζομέναις ἀρτηρίαις. ἁπλῶς δ᾽ ἁπάντων τῶν φλεβῶν τὰ πέρατα λέγειν ἀρχάς, ἀτοπώτατον. οὔτε γὰρ τῆς τροφῆς οὐδὲν αὐτῶν ἀρχὴ πλὴν τῶν εἰρημένων, οὔτε τῆς διοικούσης δυνάμεως· οὕτως γὰρ ἅπαν ἔσται μόριον ἀρχή. εἰ δὲ τινὰ μὲν ἀρχὰς ἐροῦσι τῶν περάτων, τινὰ δ᾽ οὐκ ἀρχάς, ἀναπόδεικτον ὑπόθεσιν θήσονται. τί γὰρ μᾶλλον τάδε τῶνδε νομιστέον ἀρχάς, οἷον τὰ κατ᾽ ἐγκέφαλον τῶν κατὰ πνεύμονα, καὶ τούτων τὰ κατὰ τὸ ἧπαρ, ἢ τὸν σπλῆνα, κἀκείνων, τὰ κατ᾽ ἄλλο τι μόριον, ἢ σπλάγχνον. ἐγὼ τοῦτον τὸν λόγον οὐδ᾽ ὅτε μειράκιον ὢν ἤκουσα παρὰ τοῦ διδασκάλου Πέλοπος, ἐπιδεικνύναι πειρωμένου τὸν ἐγκέφαλον ἁπάντων τῶν ἀγγείων ἀρχήν, οὔτ᾽ ἐν τῷ παραχρῆμα προσηκάμην, οὔθ᾽ ὕστερον ἀνασκεπτόμενος ἐπῄνεσα. τὰ δ᾽ ἀπὸ τῆς κεφαλῆς καταφέρεσθαι λεγόμενα, τέτταρα ζεύγη φλεβῶν ἐμβεβλῆσθαί τέ μοι δοκεῖ τοῖς ἐπιγραφομένοις Ἱπποκράτους συγγράμμασι, καὶ διεσκευάσθαι φανερῶς. οὐδὲν γοῦν αὐτῶν δείκνυται, καίτοι τ᾽ ἄλλα τὰ περὶ φλεβῶν εἰρημένα πρὸς Ἱπποκράτους ἅπερ ἔγραψεν πάντα κατὰ τὴν περὶ τῆς Ἱπποκράτους ἀνατομῆς πραγματείαν ὡμολόγηται τοῖς ἀνατομικοῖς ἀνδράσι, καὶ δείκνυται, καὶ πρὸς ἡμῶν. τὰ τέτταρα δὲ ἐκεῖνα ζεύγη, πρὸς τῷ μηδ᾽ ὑφ᾽ ἑνὸς ἄλλου λέγεσθαι τῶν ἀνατομικῶν, οὐδὲ δείκνυται πρός τινος. ἀλλ᾽ ἔνιοι μὲν τῶν τιθεμένων αὐτὰ πιστεύειν Ἱπποκράτει φασί, κἂν οὗτοι μὴ δύνανται δεικνύειν, ὡς περὶ λόγῳ θεωρητοῦ πράγματος οὐκ αἰσθητοῦ διαλεγόμενοι. τινὲς δ᾽ ἐπαγγέλλονται μὲν δείξειν, ἔδειξαν δ᾽ οὐδέποτε. τὸ μὲν οὖν ἐν ἑτέρῳ τινὶ γράφεσθαι βιβλίῳ τῶν προφανῶς νόθων τὰ τέσσαρα ζεύγη τῶν φλεβῶν, οὐδὲν θαυμαστόν. εὑρίσκεται δὲ καὶ κατὰ τὴν τελευτὴν τοῦ περὶ φύσεως ἀνθρώπου, δευτέρου δὲ τοῦ περὶ διαίτης, ᾧ τὴν ἀνατομὴν τῶν βιβλίων ἐμβεβλήκασιν, οὐδένα λόγον ἔχουσαν τῇ διαίτῃ συνῆφθαι. πολὺ γὰρ ἦν πιθανώτερον, οὐ τούτῳ τῷ μέρει τοῦ γράμματος,

A ipsum verò cor medium ambarum est, & origo facultatum ea gubernantium, viróque naturæ perito, etiam sine prædictis constat maiora minorum esse principia, sicuti & fontem riuorum in quos dispensatur: quamuis nonnulli cò veniunt absurditatis, vt principio ea quæ post ipsum sunt, maiora existiment, decepti à fluminibus, quæ exigua planè quum prope fontes sint, augentur progressu; id quod non semper accidit necessariò. Quædam enim ipsorum, dum alia excipiunt flumina, meritò augentur, quædam fluuiis variè se diffundentibus imminuuntur; flumen autem nullum ex vno procedens fonte, minus caput obtinet iis quæ subsequuntur. B At si ex multis colligatur fontibus, ratio est nimirum totum vnoquoque ipsorum amplius euadere, ac sine exemplo, si corporis animalium vasa minora maiorum initia statuamus, pugnat secum oratio, quæ cogit fateri in omni corporis parte trium aliorum instrumentorum, arteriæ, nerui, & venæ esse principium. Quare exempli gratia, calx aut digitus initium est maximæ arteriæ, venæ cauæ, & spinalis medullæ. Hæc enim sunt ceu caudices quidam, alius arteriarum, alius venarum, alius neruorum. C Proinde forsitan qui hanc orationem introducit, neque germina arborum, neque extrema radicum initia stirpis dicere vereretur; etsi radicum extrema, initia alimenti arboris; dici possint: quemadmodum venæ in ventrem pertinentes, & arteriæ quæ in pulmones disperguntur; simpliciter autem omnia venarum extrema dicere principia absurdissimum est, quum nullum ipsorum præter comprehensa, sit neque alimenti, neque facultatis dispensantis initium, sic enim omnis pars erit initium. At si quædam extremorum principia dicunt, quædam verò non principia, D hypothesim statuunt nulla munitam demonstratione. Cur enim magis hæc illorum putanda sunt principia, veluti quæ in cerebro sunt, eorum quæ in pulmone, atque horum quæ in iecore aut liene, ac illorum quæ in alia quadam parte aut viscere habentur? Ego quum huncsermonem adolescentulus à præceptore Pelope audirem, qui cerebrum omnium vasorum initium ostendere conabatur, neque statim eius sententiæ accessi, neque postea repetens apud me probaui. Porrò quæ à capite deferri quatuor venarum paria dicuntur, interserta mihi videntur commentariis qui Hippocrati inscribuntur, E & manifestò adornata; nihil enim de his ostendi potest, etsi pleraque alia de venis ab Hippocrate tradita, quæ omnia in opere de anatome Hippocratis conscripsi, anatomicis viris in confesso sunt, & à nobis etiam ostenduntur. Quatuor autem illa paria præter quòd à nullo anatomicorum dicuntur, neque ostenduntur à quoquam, sed nonnulli eorum qui ipsa ponunt, credere se Hippocrati pronunciant, quamuis hi ostendere haud possint, ceu de ratione comprehensibili non sensibili disputantes, nonnulli ostensuros se F promittunt, ostenderunt autem nunquam. Quòd igitur in alio quodam libro ex iis qui spurij sunt, manifestò quatuor venarum paria scribantur, non est mirum. Inueniuntur etiam in fine libelli de natura humana: secundi autem eius qui est de victus ratione, cui opusculo anatomen inseruerunt, quæ nulla ratione cum victus ratione coniuncta est. Multò enim probabilius erat, non huic libri parti,

sed

ſed priori ipſam connectere. At enim qui hoc fecerit, putabat poſſe ita latere magis ſi fini aſcripſiſſet. Quòd autem neque priori parti hanc adaptandi rationem habebat, conſtat omnibus qui librum legerunt. Quærit enim in eo naturam hominis quæ ex elementis, non ex diſſectione apparet. Cæterùm quòd non ſit germana neque Hippocratis, neque Polybi, commemoratarum venarum anatome, etiam ante nos alij demonſtrarunt, & nos ſi Deus conceſſerit aliquando de genuinis Hippocratis commentariis tractare, pluribus oſtendemus quæ ſit Hippocratis ſententia de venarum principio, quam ex opere de alimento licet capere, item ex ſecundo de morbis vulgaribus, ſed hoc in poſterum differatur. Quippe quod deſij dicere, prius oſtendere decreui, quòd & in plantis initium tum generationis, tum diſpenſationis, maiora corpora minorum exiſtant, & in animantibus conſimiliter. Reuertor enim rurſus ad Pelopem, qui cerebrum omnium eſſe neruorum originem concedit. Fatetur igitur & ipſe neruos duos ex cerebro prodeuntes oculorum muſculis diſtribui, ex vno craſſóque proceſſu in exiguos numeroſóſque ramulos exeuntes. His adhuc magis craſſum ſubſequens par exoritur, ſed in pleraſque exiguas propagines, ſecatur, faciei & oris partibus diſpenſatum, quemadmodum & quod poſt ipſum. At ne tempus conteram, ſpinalis medulla propaginem de ſe mittere ipſi videtur, & eſſe tanquam caudex quidam numeroſæ ſobolis neruorum, inſtar ramorum ex ea procedentium. Hæc itaque vera ſunt, & iis quæ euidenter apparent, reſpondent. At quòd exigua magnorum ſint initia, pugnat, ſanè etiam cum iis quæ in neruis conſpiciuntur. Semper enim in his maiora minorum ſunt principia. At refragatur, vt dictum eſt, & iis quæ ſtirpes repræſentant, & præterea quæ arteriæ, & cor. Impudentia enim omninò eſt aliud viſcus quoddam arteriarum principium ſtatuere; quippe apparent arteriæ priuſquam ex animali excindantur, motum perdere manifeſtò, funiculo interceptæ, nondum tamen ſeparatæ foráſque eductæ. At ſolùm cor omnibus in animali partibus exemptum diutiſſimè naturalem retinet functionem, ceu initium motus tum ſibi, tum iis quæ ab ipſo proficiſcuntur. Arteriæ autem ab eo ſegregatæ aut funibus, aut ſectionibus, vnà cum affectu etiam motum perdunt. At ſi impudens eſt dicere arterias aliunde auſpicari, maximæ arteriarum partes minorum fient principia. Latiſſimæ igitur omnium animantis arteriarum exiſtunt, quæ ex corde proficiſcuntur, craſſiſſima autem & neruorum principia, quemadmodum in ſtirpibus craſſiſſimus ſanè caudex omnium ramorum, craſſiſſima verò ipſa radicatio omnium radicum. Nomino autem radicationem, inferiorem partem, quam paulò ante indicabam ſtirpis eſſe initium. At mihi videtur etiam Hippocrates inde ad animantia tranſferens nomen radicationem dixiſſe arteriarum ſanè cor, venarum autem iecur; quemadmodum enim à radicatione ſtirpium radices quidem infra, truncus autem ſurſum vergit: ita ex corde, tum quæ in pulmonem, tum quæ in totum animal diſpergitur; ex iecinore autem, & quæ in ventrem, & quæ in totum corpus diffunditur. Radicibus igitur ſimiles ſunt venæ quæ

A ἀλλὰ τῷ προτέρῳ συνάπτειν αὐτήν. ἀλλὰ γὰρ ὁ διασκευάζων, ᾤετο λήσεσθαι μᾶλλον, ἢ εἰ τῷ τέλει προσέγραψεν. ὅτι δ' οὐδὲ τῷ προτέρῳ μέρει προσαρμόττεσθαι λόγον εἶχεν, εὔδηλόν ἐστιν ἅπασι τοῖς ἀνεγνωκόσι τὸ σύγγραμμα. ζητεῖ γὰρ ἐν αὐτῷ φύσιν ἀνθρώπου, τὴν ὡς ἐκ στοιχείων, οὐ τὴν ἐξ ἀνατομῆς φαινομένην. ἀλλ' ὅτι μὲν οὐκ ἔστι γνήσιος, οὔθ' Ἱπποκράτους, οὔτε Πολύβου τῶν εἰρημένων φλεβῶν ἡ ἀνατομή, καὶ πρὸ ἡμῶν μὲν ἑτέροις ἀποδέδεικται, καὶ ἡμεῖς δ' αὖ (εἰ θεὸς δοίη ποτὲ) περὶ τῶν γνησίων Ἱπποκράτους συγγραμμάτων πραγματεύσασθαι, διὰ πλειόνων ἐπιδειξόμεθα ἥ τίς ἐστιν Ἱπποκράτους γνώμη περὶ φλεβῶν ἀρχῆς,
B ἣν ἔκ τε τοῦ περὶ τροφῆς ἔνεστι λαβεῖν, καὶ ἐκ τοῦ δευτέρου τῶν ἐπιδημιῶν, ἀλλὰ τοῦτο μὲν εἰσαῦθις ἀναβεβλήσθω. δεῖξαι γὰρ πρότερον ὃ λέγων ἀπέλιπον ἔγνωκα, ὅτι κἀν τοῖς φυτοῖς μὲν ἀρχὴ καὶ γενέσεως, καὶ διοικήσεως τὰ μείζω σώματα τῶν μικροτέρων ὑπάρχει, οὐχ ἥκιστα κἀν τοῖς ζώοις. ἐπάνειμι γὰρ αὖθις, ὡς τὸν Πέλοπα συγχωροῦντα τὸν ἐγκέφαλον ἁπάντων εἶναι τῶν νεύρων ἀρχήν. ὁμολογεῖ γοῦν καὶ αὐτὸς ἀπ' ἐγκεφάλου φυόμενα δύο νεῦρα διασπείρεσθαι τοῖς κατ' ὀφθαλμοὺς μυσίν, ἐκ μιᾶς καὶ παχείας ἐκφύσεως
C εἰς μικρά, καὶ πολλὰ σχιζόμενα, τούτων δ' ἔτι μᾶλλον ἡ ἐφεξῆς συζυγία παχίστη μέν ἐστιν ἐκφυομένη. τέμνεται δ' εἰς πάμπολλα μικρὰ τοῖς περὶ τὸ πρόσωπόν τε, καὶ τὸ στόμα διανεμομένη μορίοις, ὥσπερ γε καὶ ἡ μετ' αὐτήν. ἵνα δὲ μὴ τρίβω τὸν χρόνον ὁ νωτιαῖος ἐξ ἐγκεφάλου ἐκφυόμενος βλαστάνειν αὐτῷ δοκεῖ, καὶ εἶναι καθάπερ τι πρέμνον ἀριθμοῦ παμπόλλου νεύρων, οἷον κλάδων ἀποφυομένων αὐτοῦ. ταῦτα μὲν οὖν ἀληθῆ τ' ἐστί, καὶ τοῖς ἐναργῶς ὁρωμένοις ὁμολογούμενα, τὸ δὲ τὰ μικρὰ τῶν μεγάλων ἀρχὰς εἶναι. μάχεται μὲν καὶ τοῖς κατὰ τὰ νεῦρα φαινομένοις. ἀεὶ γὰρ ἐν τούτοις τὰ
D μείζω τῶν μικροτέρων ἀρχαί. μάχεται δὲ ὡς εἴρηται, καὶ τοῖς κατὰ τὰ φυτά, καὶ προσέτι τοῖς κατὰ τὰς ἀρτηρίας τε, καὶ τὴν καρδίαν. ἀναισχυντία πάντως γάρ ἐστιν ἄλλο τι σπλάγχνον ἀρτηριῶν ἀρχὴν ὑποθέσθαι. φαίνονται γοῦν αἱ μὲν ἀρτηρίαι, πρὶν ἐκτμηθῆναι τοῦ ζώου τὴν κίνησιν ἀπολλύουσαι σαφῶς, ἐπειδὰν βρόχῳ διαληφθῶσι, μήτε γε δὴ χωρισθεῖσαι, καὶ ἐκτὸς γενόμεναι. μόνη δ' ἡ καρδία πάντων τῶν ἐν τῷ ζώῳ μορίων ἐξαιρουμένη, μέχρι πλείστου διαφυλάττουσα τὴν κατὰ φύσιν ἐνέργειαν, ὡς ἀρχὴ κινήσεως ἑαυτῇ τε καὶ τοῖς ἀφ' ἑαυτῆς. αἱ δ' ἀρτηρίαι ἀποχωρισθεῖσαι
E αὐτῆς, ἢ βρόχοις, ἢ τομαῖς, ἅμα τῷ πάθει, καὶ τὴν κίνησιν ἀπολλύουσιν. ἀλλ' εἴπερ ἀναίσχυντόν ἐστι τὰς ἀρτηρίας ἑτέρωθεν ἄρχεσθαι φάναι, τὰ μέγιστα μόρια τῶν ἀρτηριῶν ἀρχαὶ τῶν μικροτέρων γενήσονται. εὐρύταται οὖν ἁπασῶν εἰσι τοῦ ζώου ἀρτηριῶν, αἱ τῆς καρδίας ἐκφυόμεναι, παχύταται δὲ καὶ τῶν νεύρων αἱ ἀρχαὶ καθάπερ ἐν τοῖς φυτοῖς. παχύτατον μὲν τὸ πρέμνον ἁπάντων τῶν κλάδων, παχίστη δ' ἡ ῥίζωσις τῶν ῥιζῶν. ὀνομάζω δὲ ῥίζωσιν, ὅπερ ὀλίγον ἔμπροσθεν ἐδείκνυον τὸ κάτωθεν μέρος ἀρχὴν εἶναι τοῦ φυτοῦ. καί μοι δοκεῖ καὶ ὁ Ἱπποκράτης ἐντεῦθεν ἐπὶ τὰ ζῶα μεταφέρων τοὔνομα,
F ῥίζωσιν εἰρηκέναι τῶν μὲν ἀρτηριῶν τὴν καρδίαν, τῶν δὲ φλεβῶν, τὸ ἧπαρ. ὡς γὰρ ἀπὸ τῆς ῥιζώσεως τῶν φυτῶν αἱ ῥίζαι μὲν κάτω, τὸ δὲ στέλεχος ἄνω φύεται, κατὰ τὸν αὐτὸν τρόπον, ἐκ μὲν τῆς καρδίας ἥτε εἰς τὸν πνεύμονα, καὶ ἡ εἰς ὅλον τὸ ζῶον. ἐκ δὲ τοῦ ἥπατος ἥτ' εἰς τὴν κατὰ τὴν γαστέρα, καὶ εἰς τὸ σύμπαν σῶμα. ῥίζαι μὲν οὖν ἐοίκασιν αἱ εἰς τὴν γαστέρα

καθήκουσαι φλέβες, ὡς καὶ τοῦτ' αὐτὸς Ἱπποκράτης ἔδειξε, φάμενος. ὡς γὰρ τοῖς δένδροις ἡ γῆ, οὕτω τοῖς ζώοις ἡ γαστήρ, τὸ δ' οἷον πρέμνον, ἡ κοίλη φλέψ ἐστιν, ἐκ μὲν τῶν κυρτῶν τοῦ ἥπατος ἐκπεφυκυῖα, φερομένη δ' ἐκ τοῦ ἥπατος εὐθεῖα πρὸς ἑκάτερα τοῦ ζώου τὰ μέρη τό τε ἄνω καὶ τὸ κάτω. εὐρύτατον μὲν οὖν αὐτῆς ἐστι τὸ κάτω τοῦ ἥπατος, ἧττον δ' εὐρὺ, τὸ διὰ τῶν φρενῶν ἀνατεταμένον. ἔλαττον δὲ ἀμφοτέρων τὸ τῇ καρδίᾳ ἐμφυόμενον. καίτοι εἴπερ εἴη ἡ καρδία τῆς κοίλης φλεβὸς, ὡς καὶ τῆς μεγάλης ἀρτηρίας ἀρχὴ, μέγιστον ἂν ἦν, οἶμαι, τὸ συνεχὲς αὐτῆς μέρος.

ad ventrem pertinent, ſicut & hoc Hippocrates ipſe indicauit hiſce verbis. *Vt enim arboribus terra, ſic animantibus venter eſt*, quoniam veluti truncus caua vena exiſtit, ex gibbis iecinoris partibus producta, verùm à iecore rectà ad vtraſque animantis partes, ſuperiorem & inferiorem excurrens. Proinde latiſſima ipſius eſt quæ infra iecur portio, minùs autem lata quæ per ſeptum tranſuerſum ſurſum tendit, harum autem vtraque minor quæ cordi inſeritur; quanquam ſi eſſet cor venæ cauæ ſicut & magnæ arteriæ initium, maxima eſſet, opinor, ei continua venæ portio.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἧπαρ μὴ παρασκευάζειν τῇ καρδίᾳ τὸ αἷμα, ἀλλὰ καὶ δύναμιν αἱματοποιητικὴν ἔχειν.

Εἰ δέ τις οἴεται τῆς μὲν δυνάμεως ταῖς φλεψὶ χορηγὸν τὴν καρδίαν, τῆς δ' ὕλης τὸ ἧπαρ. ἐντεῦθεν γὰρ ὁρμᾶσθαι τὸ αἷμα, καὶ διὰ τοῦτ' εὐρυτέραν εἶναι τὴν κάτω κοιλίαν τῆς ἄνω, διότι πλείω μόρια τὰ κάτω τοῦ ἥπατός ἐστιν, οἷς ἀναγκαῖόν ἐστιν ἅπασι χορηγεῖσθαι τροφὴν, οὗτος μοι δοκεῖ δι' αὐτῶν, ὧν ὑποτίθεται συγχωρεῖν ἃ μὴ βούλεται. τὸ γὰρ ἐξ ἥπατος ὁρμᾶσθαι τὸ αἷμα, τί ἄλλο ἐστὶν, ἢ τὴν γεννῶσαν αἷμα δύναμιν ἐν τούτῳ τῷ σπλάγχνῳ περιέχεσθαι. εἴπερ οὖν ἕνεκα μὲν τοῦ τρέφεσθαι τὸ ζῶον ἡ τοῦ αἵματός ἐστι γένεσις, ἐν ἥπατι δὲ γίνεται τὸ αἷμα, τῆς θρεπτικῆς δυνάμεως ἀρχὴ, τοῦτ' ἔσται τὸ σπλάγχνον οὐχ ἡ καρδία. τὸ γὰρ προνοούμενον ὕλης ἐπιτηδείου πρὸς τρέψιν ἅπαντι τῷ σώματι, τοῦτ' εὔλογον ἀρχὴν εἶναι τῆς θρεπτικῆς τε, καὶ φυτικῆς δυνάμεως· ὥσπερ οἶμαι κἀν τοῖς φυτοῖς ἐκεῖνο τὸ μέρος ὃ ῥίζωσιν ἐκαλοῦμεν. ἕλκει τε γὰρ ἐφ' ἑαυτὸ διὰ παμπόλλων ῥιζῶν ἐκ τῆς γῆς τὴν τροφὴν, ἐπιπέμπει τε προκατεργασάμενον ἅπαντι τῷ φυτῷ διὰ τοῦ στελέχους. εἰ γὰρ καὶ τῆς αὐτῆς δυνάμεως, ὥσπερ καὶ τῆς σφυγμικῆς ἀρχὴν θησόμεθα τὴν καρδίαν, ἐκ τοῦ περιττοῦ τὸ ἧπαρ, ἡ μηδὲν μάτην ἐργαζομένη φύσις ἐποίησεν. ἦν γὰρ δή που κατὰ τὴν καρδίαν αἱματοῦσθαι τὴν τροφὴν, ἀλλ' ὡς εἰς μέγα τὸ ἔργον, οἷον ὑπηρέτην τινὰ τὸ ἧπαρ ἡ φύσις τῇ καρδίᾳ παρεστήσατο προπαρασκευάσοντα τὴν ὕλην αὐτῇ, καθάπερ ἡ γαστὴρ ἐκείνῳ. πιθανὸς μὲν ὁ λόγος οὐ μὴν ἀληθής γε. φαίνεται γὰρ, οὐχ ὡς ὑπηρέτης ἡγουμένῳ προπαρασκευάζων ἐπιτήδειον ὕλην τὸ ἧπαρ, ἀλλ' ὡς αὐτὸς ὁ ἡγούμενος ἐξουσίαν ἔχων τοῦ διανέμειν αὐτήν. ἐναργῆ δὲ παραδείγματα καθ' αὐτὸ τοῦ ζώου τὸ σῶμα πάρεστι θεάσασθαι. πάντα γοῦν ὅσα προπαρασκευάζει τὰς ὕλας ἑτέροις, ἐκείνοις αὐτὰς ἀκεραίους φυλάττει, καὶ οὔτ' ἐκ πνεύμονος ἄλλη τις ὁδὸς ἑτέρωσε τέτμηται, πλὴν μιᾶς τῆς εἰς τὴν καρδίαν, οὔτ' ἐκ κοιλίας τε καὶ ἐντέρων ἑτέρωσε, πλὴν εἰς ἧπαρ, οὔτ' ἐκ τοῦ δικτυοειδοῦς πλέγματος ἑτέρωσε πλὴν εἰς ἐγκέφαλον, οὔτ' ἐκ τῶν τὸ σπέρμα προπαρασκευαζόντων ἀγγείων εἰς ἄλλο τι πλὴν τῶν ὄρχεων. οὕτω δὲ καὶ οἱ τὸ χολῶδες ὑγρὸν ἀθροίζοντες πόροι, πάντες εἰς ἓν ἀγγεῖον ἀποφέρονται τὴν συνημμένην δηλονότι ἥπατι κύστιν. ἐντεῦθέν τε εἰς τὴν νῆστιν ἐκπέμπουσιν καθάπερ οἱ νεφροὶ τὸ οὖρον, εἰς τὴν μίαν δηλονότι κύστιν. οὐκ οὖν οὐδὲ τὸ ἧπαρ εἴπερ τῇ καρδίᾳ τὸ αἷμα προπαρασκευάσον ὑπὸ τῆς φύσεως ἐγένετο, διανέμειν αὐτὸ τῇ παρασκευῇ ἡμίεργον ἐπιστεύθητο ἄν. οὔτε γὰρ ὑπηρέτου τὸ τοιοῦτον ἔργον, ἀλλ' ἡγεμόνος καὶ ἄρχοντος, οὔθ' ὕλης ἐλλιπῶς παρεσκευασμένης τὸ πάθος, ὑπηρέτου γάρ ἐστι τὸ παρασκευάζειν μόνον, ὕλης τ' ἐλλι-

CAPVT IV.

Iecur ſanguinem cordi non tanquam materiam præparare, ſed in ſe facultatem ſanguinis effectricem habere.

At ſi quis putet cor venis facultatem ſuppeditare, materiam verò iecur (inde enim ſanguis prouenit) ideóque latiorem eſſe inferiorem ventriculum ſuperiori, quòd plures partes inferiores iecoris exiſtant, quibus neceſſarium eſt omnibus alimentum ſuppeditare; hic mihi videtur per ea quæ ſtatuit, concedere quæ non vult; nam ex iecore ſanguinem irrumpere, quid aliud eſt, quàm facultatem in hoc viſcere contineri ſanguinis effectricem? Si igitur animantis nutriendi gratia, ſanguinis eſt generatio, in iecore autem ſanguis gignitur, nutricis facultatis initium hoc viſcus, non cor erit. Nempe quòd materiem idoneam alendo toti corpori proſpicit, hoc bona ratione initium eſt facultatis & nutricis & vegetatiuæ; quemadmodum opinor etiam in ſtirpibus illa pars quam radicationem appellamus. Trahit enim ad ſe per numeroſas radices ex terra alimentum, tranſmittitque elaboratum priùs toti ſtirpi per truncum. Si namque eiuſdem facultatis, quemadmodum & pulſatoriæ initium cor ſtatuerimus, ex ſuperfluo iecur natura (quæ nihil fruſtra operatur) fabricata eſt; quippe licebat in corde alimentum ſanguinis naturam induere, verùm ceu in magnum opus miniſtri cuiuſdam inſtar, iecur natura cordi adiunxit, qui alimentum priùs ipſi præpararet, quemadmodum ventriculus iecori. Probabilis quidem ſermo eſt, non tamen verus. Siquidem apparet iecur non tanquam miniſter domino materiam præparare, ſed veluti ipſe dominus poteſtatem habens ipſum diſtribuendi. Porrò euidentia exempla in ipſo animantis corpore licet conſpicari. Omnia igitur quæ materias aliis præparant, illis eaſdem integras tuentur, ac neque ex pulmone alia quædam via alibi ſecta eſt, præter vnam in cor pertinentem, neque ex ventriculo & inteſtinis aliò præterquam in iecur, neque ex plexu retiformi aliò quàm in cerebrum, neque ex vaſis ſemen præparantibus in aliud quoddam præterquam teſtes. Ita verò meatus omnes bilioſum humorem congregantes, in vnum vas deferuntur, nempe veſicam iecori proximam; inde in ieiunum inteſtinum illum mittunt, quemadmodum renes vrinam in vnam nimirum veſicam propellunt. Neque igitur iecur, ſi vt cordi ſanguinem præpararet, à natura creatum eſt, diſtribuere ipſum ſemielaboratum credetur, neque enim miniſtri tale opus. ſed ducis. & præfecti, neque materiæ non ſatis elaboratæ affectus, quippe miniſtri eſt ſolùm præparare; materiæ imperfectæ

fectæ eſt non diſtribui. Atqui neque vt miniſter iecur, ſed vt dominus; neque vt materiam imperfectam, ſed ſanguinem diſtribuere creditum eſt. Omnes enim quæ infra ſeptum tranſuerſum animantis ſunt partes à iecore, citra controuerſiam ſanguinem obtinent, etſi plures dimidia ipſarum parte exiſtant; clariùs autem ſi & ipſum ſeptum tranſuerſum & membranam cor integentem, vnà cum aliis membranis vicinis, tum quæ thoracem interſepiunt, tum quæ pulmonem ambiunt, alimentum haurire ex caua vena, priùs quàm ad cor perueniat, à diſſectione edocti fuerimus, ſciemus plures animalis partes ex iecore nutriri, & palam, & ſine controuerſia. Oſtendetur enim paulò poſt, & ſuperiorem cordis portionem totam ex iecore alimentum recipere. Sed indubitatum iam ſit, inferiorem cordis regionem ex illo nutriri, imò & ipſius thoracis inferiores omnes partes; atteſtatur huic ſermoni etiam inter alia vniuerſa, quæ in anatomis apparent, primum, & maximum, nempe, excrementorum ſanguinis expurgatio. Tanquam enim abſolutæ humoris generationi, & congruam ſpeciem obtinenti, recrementorum inſtrumenta purgantia, natura fabricata eſt, renes, lienem, veſicam bilis receptricem, neque licet quartum aliud alimenti excrementum ne cogitare quidem, vel materiæ qualiſcunque à calore mutatæ, verùm plurimum tria numero ſunt, id quod in aliis iam operibus oſtenſum eſt, rurſúſque oſtendetur in præſenti commentario, ſermonis proceſſu. Nunc autem dictum eſt, vt nihil veri relinquatur; verùm præſentia fidem ex illo non requirunt; quippe conſtat quòd renum & fellis veſicæ functio, eſt ſanguinem expurgare. In corde neque aliud quoddam purgans inſtrumentum natura fecit, neque alium machinata eſt humorem; ſimilis namque ſanguis eſt, & qui in dextro cordis ſinu, & qui in omnibus venis per totum animal continetur, quemadmodum & qui in arteriis vniuerſis habetur, ei reſpondet, qui in ſiniſtro ſinu exiſtit. Hic itaque plerumque tenuior eſt, & flauior, nonnunquam è contrario craſſior & nigrior; ſemper verò calidior ipſe eſt. At qui in dextro ſinu continetur ſanguis eandem ſpeciem habet quam omnis alius: & is qui in iecore habetur, tanquam nihil ſingulare ac eximium in dextro ſinu acquirat. Maxima autem fides, iecur nullum humorem in animalis partium nutritionem cordi præparare, ſed ipſum vniuerſam eius ſpeciem abſoluere, quòd vna ſit vena quæ ex iecore aut corde procedat; altera verò non item contra enaſcatur ex alia ipſorum parte, quæ elaboratum humorem in totum corpus deducat, etſi alia quidem arteria introducat, alia educat ſpiritum. Videtur enim natura non eiſdem vti vaſis, & ad ſemielaboratas materias, & omninò confectas, imò ne eiſdem quidem viis. Neque enim fieri poteſt, vt ſimul ſemicoctum alimentum ex iecore in cor diſpenſetur, ſimul iam elaboratum per eandem viam deferatur, verùm eſſet omnino alia quidem vena quæ ſemicoctum inueheret, alia quæ exactè elaboratum educeret; nunc autem inuehit quidem aliqua, nulla autem deducit præter eam quæ in pulmonem pergit, de qua vberiùs in libris de vſu partium conſiderabimus, cauſam indagantes cur ex corde, non ex caua vena natura in pulmonem inſeruit aliam venam, quæ viſcus enutriat.

A ποιοῦ ἐστι τὸ μὴ διανέμεσθαι. καὶ μὴν οὔθ' ὡς ὑπηρέτης τὸ ἧπαρ, ἀλλ' ὡς ἄρχων, οὔθ' ὡς ὕλην ἐλλιπῆ, τὸ αἷμα διανέμειν πεπίστευται. πάντα γὰρ ὅσα κάτω τοῦ διαφράγματός ἐστι τοῦ ζώου μόρια, παρ' ἥπατος ἀναμφισβητήτως ἔχει τὸ αἷμα, καίτοι πλείω τῶν ἡμίσεών ἐστι. μᾶλλον δ' ὅτι καὶ αὐτὸ τὸ διάφραγμα, καὶ ὁ περικάρδιος ὑμὴν ἅμα τοῖς ἄλλοις ὑμέσι τοῖς πλησίον, ὅσοι τε διαφράττουσι τὸν θώρακα, καὶ ὅσοι περιαλείφουσι τὸν πνεύμονα τὴν τροφὴν ἐκ τῆς κοίλης ἔχει, πρὶν ἐπὶ τὴν καρδίαν ἀφικέσθαι διδαχθῶμεν, ὑπὸ τῆς ἀνατομῆς εἰσόμεθα τὰ πλείω τῶν τοῦ ζώου μορίων ἐξ ἥπατος τρεφόμενα, προφανῶς τε καὶ ἀναμφισβητήτως. B ἐπιδειχθήσεται μὲν γὰρ ὀλίγον ὕστερον, ὅτι καὶ τὸ ἄνω τῆς καρδίας ἅπαν ἐξ ἥπατος ἔχει τὴν τροφήν. ἀλλὰ τό γ' ἀναμφισβήτητον ἤδη λαμβανέσθω τὸ τὰ κάτω τῆς καρδίας ἐξ ἐκείνου τρέφεσθαι. ἀλλὰ καὶ αὐτοῦ τοῦ θώρακος ὅλα τὰ κάτω μέρη. μαρτυρεῖ δὲ τῷ λόγῳ, καὶ τὰ ἄλλα σύμπαντα τὰ κατὰ τὰς ἀνατομὰς φαινόμενα, καὶ πρῶτόν γε, καὶ μέγιστον ἡ κάθαρσις τῶν περιττωμάτων τοῦ αἵματος. ὡς γὰρ συμπεπληρωμένῃ τῇ τοῦ χυμοῦ γενέσει, καὶ τὸ προσῆκον εἶδος ἐχούσῃ, παρεσκεύασεν ἡ φύσις ὄργανα καθαρτικὰ τῶν περιττωμάτων, νεφροὺς καὶ σπλῆνα, καὶ τὴν χοληδόχον κύστιν. C οὐδ' ἔστιν ἄλλο τέταρτον, οὐδ' ἐπινοῆσαι περίττωμα τροφῆς, ἢ ὕλης ἡστινοσοῦν ὑπὸ θερμοῦ μεταβαλλομένης, ἀλλὰ τὰ πλεῖστα τρία τὸν ἀριθμόν ἐστι. τουτὶ γὰρ δέδεικταί μοι δι' ἑτέρων ἤδη πραγματειῶν, αὖθίς τε δειχθήσεται κατὰ τὴν ἐνεστῶσαν ἐπὶ προήκοντι τῷ λόγῳ πραγματείαν. νυνὶ δ' εἴρηται μὲν ὡς μηδὲν τῶν ἀληθῶν παραλίποιτο, τῆς δ' ἐξ αὐτοῦ πίστεως οὐδὲν δεῖ τοῖς προοῦσιν. ὁμολογεῖται γὰρ ἥ τε τῶν νεφρῶν ἐνέργεια, καὶ ἡ τῆς χοληδόχου κύστεως ἐκκαθαίρειν τὸ αἷμα. κατὰ δὲ τὴν καρδίαν, οὔτ' ἄλλο τι καθαρτικὸν ὄργανον ἡ φύσις ἐποίησεν, οὔτ' ἄλλον ἐργάζεται χυμόν. ὅμοιον γὰρ τό τ' D ἐν τῇ δεξιᾷ κοιλίᾳ τῆς καρδίας αἷμα, καὶ τὸ κατὰ πάσας τὰς φλέβας ὅλῳ τῷ ζώῳ, καθάπερ γε καὶ τὸ κατὰ τὰς ἀρτηρίας ἁπάσας, ὅμοιόν ἐστι τῷ κατὰ τὴν ἀριστερὰν κοιλίαν. τουτὶ μὲν οὖν ὡς τὰ πολλὰ λεπτότερόν τ' ἐστὶ καὶ ξανθότερον. ἔσθ' ὅτε δὲ καὶ τοὐναντία, παχύτερόν τε καὶ μελάντερον· ἀεὶ μέντοι θερμότερον αὐτό ἐστι. τὸ δὲ κατὰ τὴν δεξιὰν κοιλίαν αἷμα, τὴν αὐτὴν ἰδέαν ἔχει τῷ τ' ἄλλῳ παντί, καὶ τῷ κατὰ τὸ ἧπαρ, ὡς ἂν οὐδὲν ἐξαίρετον ἐπικτώμενον ἐν τῇ δεξιᾷ κοιλίᾳ. μεγίστη δὲ πίστις, ὡς οὐ προπαρασκευάζει τῇ καρδίᾳ τὸ ἧπαρ οὐδένα χυμὸν εἰς τροφὴν τῶν τοῦ ζώου μορίων, ἀλλ' αὐτὸ συμπληροῖ E τὴν σύμπασαν ἰδέαν αὐτοῦ, τὸ μίαν εἶναι φλέβα τὴν ἐξ ἥπατος εἰς καρδίαν ἐκφυομένην. ἑτέραν δὲ μηκέτι ἀντεκφύεσθαι κατ' ἄλλο μέρος αὐτῶν, εἰς ὅλον ἅπαξ φέρουσαν τὸ σῶμα τὸν κατεργασθέντα χυμόν, καίτοι γ' ἄλλης μὲν εἰσαγούσης ἀρτηρίας, ἄλλης δ' ἐξαγούσης τὸ πνεῦμα. φαίνεται γὰρ ἡ φύσις οὐ τοῖς αὐτοῖς ἀγγείοις χρωμένη, πρός τε τὰς ἡμιεργάστους ὕλας, καὶ πρὸς τὰς τελέως κατειργασμένας, οὐδὲ ταῖς αὐταῖς ὁδοῖς. οὐδὲ γὰρ δυνατόν ἐστιν ἅμα τε τὸ ἡμίπεπτον ἐξ ἥπατος εἰς καρδίαν ἀναπέμπεσθαι τροφήν, ἅμα δὲ τὴν ἤδη κατειργασμένην διὰ τῆς αὐτῆς ὁδοῦ καταφέρεσθαι. ἀλλ' ἦν F ἂν πάντως ἑτέρα μὲν φλὲψ ἡ εἰσάγουσα τὸ ἡμίπεπτον, ἑτέρα δ' ἡ τὴν ἀκριβῶς κατειργασμένην ἐξάγουσα. νυνὶ δ' εἰσάγει μέν τις, ἐξάγει δ' οὐδεμία πλὴν τῆς εἰς πνεύμονα, περὶ ἧς αὖ ἐπὶ πλέον ἐν τοῖς περὶ χρείας μορίων ἐπισκεψόμεθα, τὴν αἰτίαν ἐρευνῶντες, ἧς ἕνεκεν ἐκ τῆς καρδίας οὐκ ἐκ τῆς κοίλης ἐξέφυσεν ἡ φύσις εἰς τὸν πνεύμονα τὴν θρέψουσαν τὸ σπλάγχνον φλέβα.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τὰς ἐκ τοῦ ἥπατος μηδὲ ἐκ τῆς καρδίας ἐκφύεσθαι φλέβας, ἐξ ἀνατομῶν τε καὶ τῶν παραδειγμάτων ἀποδείκνυται.

Δεῖται δὲ μάλιστα εἴπερ τις ἄλλος λόγος, καὶ ὁ νῦν ἡμῖν προκείμενος, αὐτοῦ τοῦ φαινομένου κατὰ τὰς ἀνατομάς. οὐ μόνον γὰρ οὐδεμία φαίνεται φλὲψ ἐκ καρδίας εἰς τὰ κάτω μόρια φερομένη, πλὴν ἢ τῆς ἐξ ἥπατος ἀναφερούσης τὸ αἷμα, ἀλλ' οὐδ' εἰς τὸ ἄνω καρδίας ἀφικνεῖται φλὲψ οὐδεμία. φαίνεται γὰρ ἡ κοίλη φλὲψ ἀπὸ τοῦ ἥπατος εὐθὺ τῶν σφαγῶν ἀναφερομένη, καὶ ταύτης ἀποβλάστημά τι τὸ εἰς τὴν καρδίαν ἐμφυόμενον, οὐκ ἐξ ἐκείνης αὐτή. γνώρισμα δ' ἐναργέστατόν ἐστι τὸ κατὰ μὲν ἀρτηρίαν τὴν μεγάλην τὸ θεωρούμενον, ἄν τινα βουλοίμην οὕτως ἐπὶ τὴν κοίλην ἔρχεσθαι φλέβα. μία γὰρ ἀρτηρία μεγίστη τῆς ἀριστερᾶς κοιλίας τῆς καρδίας ἐκφῦσα, σαφῆ σχίσιν εἰς ἀμφοτέρας ποιεῖται τὰς ἀρτηρίας, τήν τε ἄνω πρὸς τὴν κεφαλήν, τήν τ' ἐπὶ τὴν ῥάχιν ὁρωμένην καταφερομένην. οὕτως δ' οὖν ἐχρῆν καὶ τὴν ἐκ τῆς δεξιᾶς κοιλίας ἐκφυομένην φλέβα, σαφῆ τὴν νομὴν ἴσχειν εἰς ἄμφω τὰ μέρη. φαίνεται δ' οὐχ οὕτως, ἀλλ' ἀπὸ τῆς ἀναφερομένης ἐξ ἥπατος εἰς καρδίαν ἀποσχίζεται. πῶς οὖν ἔτι δυνατόν ἐστιν τὴν δεξιὰν κοιλίαν τῆς καρδίας ὑπολαβεῖν εἶναι φλεβῶν ἀρχήν, ὥσπερ τὴν ἀριστερὰν ἀρτηριῶν; ἐπὶ γὰρ ἀνομοίοις γνωρίσμασιν, ἀνόμοιον εἶναι χρὴ καὶ τὴν ἔνδειξιν. εἰ δέ τῳ δοκεῖ μικρὸν εἶναι τὸ τῆς ἐκφύσεως τῶν ἀγγείων γνώρισμα, καίτοι γ' οὐκ ὄντος μικροῦ. ἀλλ' ἐκεῖνό γ' οἶδ' ὅτι οὐ σμικρὸν εἶναι φήσει τὸ πολλὰ τῶν ζώων οὐκ ἔχειν τὴν δεξιὰν κοιλίαν τῆς καρδίας, καίτοι γ' οὐκ ἐνδέχεται τὴν κοίλην φλέβα τῆς κοιλίας ταύτης ἐκφύεσθαι νομίζειν, ὅταν ἐν παμπόλλοις γένεσι ζώων ἧπαρ μὲν ὑπάρχῃ, καὶ κοίλη φλέψ. ἡ κοιλία δ' ἡ δεξιὰ μηδ' ὅλως ᾖ, τίνα τοίνυν ἐστὶ, καὶ πόσα τὰ γένη τῶν ζώων ἐν οἷς φημι τὴν δεξιὰν οὐκ εἶναι τῆς καρδίας κοιλίαν, ἀριθμῷ μὲν οὐκ ἔχων διελθεῖν αὐτά, κοινὸν δ' ἐφ' ἅπασι κεφάλαιον εὗρον ἀνατεμών, πολλὰ ἀσύμβατα μὲν εἰς ἕτερα. πρόσεστι δὲ ἓν αὐτοῖς ἐξαίρετον, ὅπερ οὐχ ἅπασι τυγχάνει τοῖς ἐνύδροις, τὸ μηδ' ἀναπνεῖν ἐξ ἀέρος, μήτ' ἔχειν πνεύμονα. τουτὶ γὰρ ἄχρι τοῦ δεῦρο κατὰ πάντα γένη τῶν ζώων παρεφυλάξατο, συναπόλλυσθαί τε καὶ συγγεννᾶσθαι τῷ πνεύμονι τὴν δεξιὰν κοιλίαν τῆς καρδίας. ἐζήτησα δὲ χρόνῳ παμπόλλῳ, καὶ τὴν αἰτίαν αὐτῶν, καὶ γέγραπται τὰ φανένθ' ἡμῖν εὔλογα, κατὰ τὴν περὶ χρείας μορίων πραγματείαν. ἐμπίδας μὲν οὖν καὶ μυίας, καὶ σκώληκας, καὶ μελίττας, καὶ μύρμηκας, οὔτ' ἀνέτεμον, οὔτ' ἀνατέμνειν ἐπιχειρήσαιμι ἄν. ὅπου γὰρ κἀν τοῖς μεγάλοις ζώοις εὑρίσκω πολλὰ σφαλλομένους τοὺς ἀνατέμνοντας, εὔλογον δήπου κατὰ τὰ σμικρότερα μᾶλλον σφαλῆναι. τῶν γοῦν ἀνατμηθέντων ὑπ' ἐμοῦ μέχρι γε τοῦ δεῦρο, σχεδὸν οὐκ ἔστιν ὅτῳ μὴ καὶ καρδία, καὶ ἧπαρ ὑπάρχει, καὶ κοίλη φλέψ, καὶ ἀρτηρία ἡ μεγάλη. καὶ φαίνεται καθάπερ ἡ ἀρτηρία τῆς καρδίας, οὕτως ἡ φλὲψ τοῦ ἥπατος ἐκφυομένη διὰ παντός, κἂν μηδ' ὅλως ἔχῃ δεξιὰν ἡ καρδία κοιλίαν, καὶ διὰ τοῦτο φαίνεται σχιζομένη μετὰ τὸ διελθεῖν τὰς φρένας ὑποκάτω τῆς καρδίας, ὥσπερ ἐπὶ τῶν ἄλλων ὅταν ἐγγὺς ἥκῃ τῶν σφαγῶν. ἐν ἑτέροις δὲ ζώοις, οὐκ ὀλίγοις ἐστὶ μὲν δεξιὰ κοιλία, φαίνεται δ' οὐδὲν ἧττον ἡ κοίλη φλὲψ εἰς μεγάλα δύο σχιζομένη, πρὶν ἐπὶ τὴν καρδίαν ἀφικέσθαι, καὶ τοῦτο πᾶσι

CAPVT V.

Venas à iecore non à corde oriri, ex partium dissectionibus & exemplis probatur.

Requirit autem maximè si quis alius sermo, certè hic nobis propositus, id quod in dissectionibus apparet. Non solùm enim nulla vena apparet, quæ ex corde in inferiores partes deferatur, præterquam quæ ex iecore sanguinem sursum educit, imò neque in superiorem cordis regionem vena vlla peruenit, quoniam caua vena à iecore rectà ad iugulum emergit, atque huius ramus quidam est ille qui cordi inseritur & ex illo ipsa non oritur; at nota euidentissima est, quæ in grandi arteria conspicitur. Hanc quum viderit aliquis velim sic ad cauam venam pergeret, vna namque arteria maxima ex sinistro cordis sinu procedens, manifestò in vtrasque diuaricatur arterias, tum eam quam sursum ad caput, tum eam quam ad spinam deferri videmus. Ita igitur conueniebat & venam quæ ex dextro sinu enascitur, manifestò in vtrasque partes propagari. Verùm non ita apparet, sed ab ea quæ sursum tendit ex iecore in cor, distribuitur. Quomodo igitur adhuc dextrum cordis ventriculum venarum esse principium, quemadmodum sinisteriorem arteriarum opinari quis poterit? nam in dissimilibus notis dissimilem esse indicationem oportet. At si alicui videatur exigua esse processus vasorum nota, quamuis exigua non sit, certè illam, sat scio, non exiguam esse dicet, quòd multa animalium dextro cordis sinu careant; proindéque existimari non potest cauam venam ex hoc procedere ventriculo, quum in permultis animalium generibus iecur quidem existat, & caua vena; sinus autem dexter nequaquam. Quæ igitur sint, & quot animantium genera, in quibus dextrum non esse cordis sinum affirmem, quum numero ea persequi nequeam, commune in ipsis caput inueni, dissectis multis varij generis animalibus, inest autem ipsis eximium, quod non omnibus contingit aquatilibus, putà non respirare ex aëre, neque habere pulmonem, hoc enim hucusque in omnibus animantium generibus obseruaui, dextrum cordis sinum simul cum pulmone & perire & generari. Porrò disquisiui longo tempore etiam ipsorum causam, ac scripsi quæ mihi visa sunt consentanea in opere de vsu partium. Culices igitur, & muscas, & lumbricos, & apes, & formicas, neque dissecui neque dissecare aggrederer. Quum enim in grandibus animalibus multos dissectorum errores inueniam, consentaneum est scilicet in minoribus magis eos aberrasse. Sanè nullum fuit eorum quæ ego in hunc vsque diem dissecui, in quo non esset cor, iecur, caua vena, & magna arteria; ac apparet, quemadmodum arteria ex corde, sic vena ex iecinore perpetuò oriri, etsi neutiquam dextrum cor ventriculum habeat, eóque videtur in ramos scissa, vbi septum transuersum subter cor permeauerit, sicuti in aliis, quum propter iugulum venerit. in aliis animantibus non paucis est quidem dexter ventriculus, verùm nihilominus caua vena in magnos duos ramos diffindi apparet, priusquam ad cor peruenerit, atque hoc prope omnibus

omnibus volatilibus ineſt, omnibúſque ſerpentibus, atque pedeſtrium non paucis. Quare plurima animantia cauam venam manifeſtò ex iecore habent exorientem, quippe euidenter apparet vtriuſque propaginis duplo latum vas quod ex illo viſcere procedit, tanquam ſimul bifariam caua vena inibi diuaricata. Quod ſi latior quandoque altera propago altera in animali quodam appareat, ambæ tamen ſimul cauæ venæ palam ſunt æquales, tantùm non voce declarantes hanc venam veluti caudicem quendam eſſe; ipſas verò ab ea diſciſſas naſci tanquam ramos quoſdam, aut etiam ſurculos. At non ſolum caua vena ex gibbis iecoris partibus proceſſit, verùm etiam ex cauis altera vena, quam alij portas iecoris appellant, alij portis vicinam. Non enim totam venam portas eſſe, ſed quantum prima ipſius portio ex iecore emergit, quæ etiam omnium latiſſima eſt, nam ab ipſa vas in ambas partes diſpenſatur, tum in cauas iecoris partes omnes, tum in ventris partes & omentum nuncupatum. Venarum quæ plurimæ in his omnibus exiſtunt, nulla cordi eſt continua; quod quum aliquis veritatis ſtudioſus audiuiſſet, admirabatur, & ſermoni fidem non adhibebat, volebátque id quod dicitur, ſibi demonſtrari, ac poſtquam vidiſſet, damnabat vehementer eos qui cor venarum eſſe principium pronunciarunt. Quemadmodum ſi vnam quamlibet in toto animante venam ſegregatam adeò inuenerimus, vt neque ipſi coniungatur iecori, neque alicui venarum ab eo procedentium, non pronunciaremus venæ illius primordium eſſe iecur, ita quoniam nunc non vnam, neque duas ſolùm, ſed innumerabilem quandam multitudinem inueniamus nullam cum corde habere continuitatem, non opinor, dixerimus illarum venarum cor eſſe principium. Meritò igitur dicta eſt radicatio venarum eſſe iecur, arteriarum cor, arboris ea pars quæ regioni in qua ſemen proiectum fuerat reſpondet. In omnibus enim his radicatio totius eſt principium non primariæ generationis tantum, ſed etiam præſentis diſpenſationis. Quòd autem id ipſum quod in anatome apparet, cogit etiam contraria opinantes, inuitos verum fateri: hinc potiſſimum diſces. Nullus anatomicorum quum diſſectionem venarum ſcribere aggrederetur, aliud initium diſciplinæ idoneum potuit facere iecore prætermiſſo, verùm ſiue dubitare de principio ſe dixit, vt Herophilus, ſiue cognitionem ipſius habere, vt alij multi, & noſter Pelops, tamen diſciplinam ferè omnes de iecore inſtituerunt, ac maximè mirabile & incredibile quid Pelopi accidit, qui in vno opere venarum principium cerebrum aſtruxit, diſſectionémque ipſarum ſcribens, à iecore incepit; in ſecundo quidem commentario Hippocraticarum introductionum ad modum ſtrenuè certans, vt cerebrum quod non modò neruorum, ſed etiam venarum & arteriarum principium oſtendat: in tertio autem diſſectionis venarum, à iecore auſpicatus, quemadmodum & alij prope omnes anatomici conuenienter ſcribunt, nam ad diſciplinam hoc viſcus initium fieri putant ſermoni. Miror autem ipſos, ſi citra cauſam naturalem idoneum ipſum ad diſciplinam eſſe arbitrantur. Ego etenim noui & hoc vnum, inter ea quæ omnibus in confeſſo ſunt, nempe nihil eorum quæ facta ſunt, & quæ fiunt cauſæ eſſe expers.

μὲν ὑπάρχει σχεδὸν τοῖς πτηνοῖς, ἅπασί τε τοῖς ἕρπουσι, καὶ τῶν βαδιζόντων οὐκ ὀλίγοις, ὥστε τὰ πλεῖστα τῶν ζώων τὴν κοίλην φλέβα προφανῶς ἐξ ἥπατος ἔχει ἀρχομένην. ἐναργῶς γὰρ ὁρᾶται διπλάσιον εὐρὺ τὸ ἐξ ἐκείνου τοῦ σπλάγχνου φυόμενον ἀγγεῖον ἑκατέρων τῶν τμημάτων, ὡς ἅμα δίχα τῆς κοίλης ἐνταῦθα σχισθείσης. εἰ δὲ εὐρύτερόν ποτε θάτερον ἐπί τινος ζώου φαίνοιτο θατέρου τμήματος, ἀλλὰ συναμφότερά γε τῇ κοίλῃ φλεβὶ προφανῶς ἐστιν ἴσα, μονονοὺ μετὰ φωνῆς ἑρμηνεύοντα, τὴν μὲν οἷόν τι πρέμνον ὑπάρχειν, αὐτὰ δὲ ἀπ' ἐκείνης γεγενῆσθαι σχισθείσης οἷόν περ κλάδους τινὰς ἢ καὶ κλῶνας. οὐ μόνον δὲ ἡ κοίλη φλὲψ ἐκ τῶν κυρτῶν τοῦ ἥπατος ἐκπέφυκεν, ἀλλὰ καὶ ἐκ τῶν σιμῶν ἑτέρα φλέψ, ἣν οἱ μὲν ὀνομάζουσι πύλας ἥπατος, οἱ δὲ τὴν ἐπὶ πύλαις. οὐ γὰρ δὴ ὅλην γε τὴν φλέβα πύλας ὑπάρχειν, ἀλλ' ὅσον πρῶτον αὐτῆς ἐξίσχει τοῦ ἥπατος, ὅπερ καὶ πάντων εὐρύτατόν ἐστιν. ἀπ' αὐτοῦ γὰρ εἰς ἄμφω τὰ μέρη κατασχίζετο τὸ ἀγγεῖον, εἴς τε τὰ σιμὰ τοῦ ἥπατος ἅπαντα, καὶ εἰς τὰ κατὰ τὴν γαστέρα τὸ καλούμενον ἐπίπλοον. τῶν ἐν τούτοις ἅπασι φλεβῶν παμπόλλων οὐσῶν οὐδεμία συνεχής ἐστι τῇ καρδίᾳ, καί τις ἀκούσας τοῦτο τῶν ἀλήθειαν τιμώντων, ἀπεθαύμαζέ τε, καὶ ἠπίστει τῷ λόγῳ, καὶ δειχθῆναι οἱ τὸ λεγόμενον ἠξίου, καὶ ὡς εἶδε, μεγάλως κατεγίνωσκε τῶν ἀποφηναμένων ἀρχὴν εἶναι φλεβῶν τὴν καρδίαν. ὥσπερ γὰρ εἰ μίαν ἡντιναοῦν ἐν ὅλῳ τῷ ζώῳ φλέβα κεχωρισμένην εἰς τοσοῦτον εὑρίσκομεν, ὡς μήτ' αὐτῷ συνάπτειν τῷ ἥπατι, μήτε τινὶ τῶν ἀπ' αὐτοῦ φλεβῶν οὐκ ἂν ἀπεφηνάμεθα τῆς φλεβὸς ἐκείνης ἀρχὴν εἶναι τὸ ἧπαρ. οὕτως ἐπειδὴ νῦν οὐ μίαν, οὐδὲ δύο μόνας, ἀλλ' ἀναρίθμητόν τι πλῆθος εὑρίσκομεν, οὐδεμίαν ἐχούσας τῇ καρδίᾳ συνέχειαν, οὐκ ἂν οἶμαι φαίημεν ἐκείνων τῶν φλεβῶν ἀρχὴν εἶναι τὴν καρδίαν. εὐλόγως οὖν εἴρηται ῥίζωσις τῶν φλεβῶν εἶναι τὸ ἧπαρ, τῶν ἀρτηριῶν ἡ καρδία, τοῦ δένδρου ὁ καὶ χώρα τοῦ καταβληθέντος σπέρματος. ἐν ἅπασι γὰρ τούτοις ἡ ῥίζωσις ἀρχὴ τοῦ παντός ἐστιν, οὐ τῆς ἐξ ἀρχῆς γενέσεως μόνον, ἀλλὰ καὶ τῆς νῦν διοικήσεως. ἔτι δὲ τὸ φαινόμενον αὐτὸ διὰ τῆς ἀνατομῆς, βιάζεται καὶ τοὺς τἀναντία δοξάζοντας ἄκοντας ὁμολογεῖν τἀληθές, ἐκ τοῦδε ἂν μάλιστα μάθοις. οὐδεὶς τῶν ἀνατομικῶν ἀνδρῶν ἐπὶ τὸ γράφειν ἀφικόμενος, ἀνατομὴν φλεβῶν, ἑτέραν ἀρχὴν διδασκαλίας ἐπιτήδειον ἠδυνήθη ποιήσασθαι παρελὼν τὸ ἧπαρ. ἀλλ' εἴτ' ἀπορεῖν περὶ ἀρχῆς ἔφησεν, ὡς Ἡρόφιλος, εἴτ' εὐπορεῖν, ὡς ἄλλοι πολλοί, καὶ ὁ ἡμέτερος Πέλοψ, ὅμως τήν γε διδασκαλίαν ὀλίγου δεῖν ἅπαντες ἐφ' ἥπατος ἐποιήσαντο, καὶ τό γε θαυμασιώτατόν τε καὶ ἀπιστότατον ὁ Πέλοψ ἔπαθεν, ἐν μιᾷ πραγματείᾳ, τῶν τε φλεβῶν ἀρχὴν κατεσκεύασε τὸν ἐγκέφαλον, ἀνατομήν τε γράφων αὐτῶν ἀφ' ἥπατος ἤρξατο, κατὰ μὲν τὸ δεύτερον σύγγραμμα τῶν Ἱπποκρατείων εἰσαγωγῶν εὖ μάλα γενναίως ἀγωνισάμενος ὑπὲρ τοῦ δεῖξαι τὸν ἐγκέφαλον, οὐ νεύρων μόνον, ἀλλὰ καὶ φλεβῶν, καὶ ἀρτηριῶν ἀρχήν. ἐν δὲ τῷ τρίτῳ τῆς ἀνατομῆς τῶν φλεβῶν, ἀφ' ἥπατος ἀρξάμενος, ὥσπερ καὶ οἱ ἄλλοι σχεδὸν ἅπαντες ἀνατομικοὶ εἶναι γράφουσι. πρὸς γὰρ τὴν διδασκαλίαν ἐπιτήδειος τουτὶ τὸ σπλάγχνον ἀρχὴν γενέσθαι τῷ λόγῳ. θαυμάζω δὲ αὐτῶν, εἰ χωρὶς αἰτίας φυσικῆς ἐπιτήδειον εἶναι νομίζουσι πρὸς τὴν διδασκαλίαν αὐτό. ἐγὼ μὲν γὰρ οἶδα καὶ τοῦθ' ἕν τι τῶν ὡμολογημένων ἅπασιν, ὡς οὐδὲν τῶν γεγονότων τε καὶ γινομένων ἀναίτιόν ἐστιν.

εἰ μὲν οὖν ἀπορεῖν ὁμολογοῦσιν ὑπὲρ ἁπάντων τῶν ἀδήλων ὁμοίως τοῖς ἐμπειρικοῖς, οὐδ' ἂν ἐμοὶ πρὸς αὐτοὺς εἴη τις λόγος· οὔτε γὰρ ἀρχὴν αὐτῶν ζητήσουσιν, οὔθ' ὅμως ἀνατεμοῦσιν. εἰ δὲ λόγον ἔχειν φασὶν ἐξ οὗ τὰ διαφεύγοντα τὴν αἴσθησιν εὑρίσκουσιν, τί οὐκ αὐτοῦ τούτου πρώτου οὗ λέγουσιν ἐπεσκέψαντο τὴν αἰτίαν, ἐπιτήδειόν ἐστιν εἰς διδασκαλίαν φλεβῶν ἀνατομῆς ἀρχὴ τῷ λόγῳ γενέσθαι τὸ ἧπαρ ἀναιτίως, ὦ σοφώτατοι; ἢ ὅτι πάντως τῇ φύσει πλεονεκτεῖ, καὶ πρὸς τὴν τῆς διδασκαλίας ἀρχὴν ἐπιτηδειότερόν ἐστι, τίς ἡ πλεονεξία ζητῆσαι δίκαιον, οὐκ ἀργῶς οὐδὲ ῥαθύμως ὑπερβῆναι. τὴν δ' ἀρχὴν τῆς εὑρέσεως αὐτὸ τοῦτο οἶμαι παρέξειν, ὃ πρὸς ἁπάντων ὡμολόγηται τῶν ἀνατομικῶν ἐπιτήδειον εἶναι, φασκόντων αὐτὸ πρὸς τὴν τῆς διδασκαλίας ἀρχήν. εἰ γὰρ καὶ μηδενὸς ἄλλου τούτου αὐτοῦ τὸν λόγον ἡμῖν ἀποδοῦναι δυνήσονται τοῦ φάσκειν, ἐπιτήδειον εἰς ἀρχὴν διδασκαλίας ἐστίν, οὔθ' ὅτι τὴν χρόαν ἐρυθρόν ἐστιν, οὔθ' ὅτι διείληπται λοβοῖς, οὔθ' ὅτι καθ' ἑνὸς αὐτῶν ἐπιτέταται τὸ τῆς χολῆς ἀγγεῖον, οὔτε δι' ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλ' ὅτι πᾶσαι συνεχεῖς αἱ φλέβες ὑπάρχουσιν αὐτῷ, καὶ μὴν οὔτ' ἄλλου τινός ἐστι τοῦτ' αὐτὸ γνώρισμα πλὴν τῆς ἀρχῆς. οὐδὲ γὰρ οὐδὲ δι' ἄλλο τι νεύρων ἀνατομῆς ἀδύνατόν ἐστιν ἑτέραν ἀρχὴν ποιήσασθαι διδασκαλίας ἐγκέφαλον ὑπερβάντα, ἢ ὅτι ἀρχὴ τούτων ἐστί. τούτου γὰρ μὴ διδομένου οὐκ ἂν δύναιτό τις ἄλλην ἐξευρεῖν αἰτίαν, οὐδὲ διότι τῶν ἀρτηριῶν τὴν καρδίαν. ἡ γὰρ ὑπὸ τῆς φύσεως ἀρχὴ κατασταθεῖσα, καὶ τὴν διδασκαλίαν ἀφ' ἑαυτῆς ἀναγκάζει ποιήσασθαι. οὐδὲ γὰρ εἴ τις ἐθελήσειεν ὕδατος ἐξηγήσασθαι διανομὴν ἐπεισάκτου πόλει, τὴν ἀρχὴν τῆς διηγήσεως οὐκ ἂν ἄλλοθεν εὕροι ποιήσασθαι παρελθὼν τὴν πρώτην εἴσοδον, ἀλλ' ἀνάγκη πᾶσα τούτῳ προειπόντι τὸ χωρίον ἐκεῖνο τῆς πόλεως, οὗ εἴσω πρότερον ἔξωθεν ἀφικνεῖται τὸ ὕδωρ, ἀπ' ἐκείνου ποιήσασθαι τὴν ἑξῆς ἅπασαν διήγησιν. ὥστ' οὐ χρὴ ζητεῖν ἄλλην μὲν ἀρχὴν τῆς τοῦ πράγματος φύσεως, ἄλλην δὲ τῆς διδασκαλίας αὐτοῦ. κατὰ γὰρ τὴν τοῦ πράγματος φύσιν ἡ διδασκαλία γιγνομένη, τὴν αὐτὴν ἔχει τῷ διδασκομένῳ τὴν ἀρχήν, οὐδ' ἔστιν ὀρθῶς διηγήσασθαι βουλομένῳ, ἢ γένεσιν τῶν γεγονότων, ἢ διοίκησιν τῶν διοικουμένων ἑτέραν ἀρχὴν ἐπιτηδειοτέραν εὑρεῖν τῆς ἀληθοῦς. ἡ μὲν γὰρ τῆς οἰκίας γένεσις, ἀναγκάσει πρῶτον μνημονεῦσαι τῶν θεμελίων· ἡ δὲ τῆς νεώς, τῆς τρόπεως. οὕτω δὲ καὶ εἰ βουληθείης διηγήσασθαι πόλεως, ἢ ἔθνους, ἢ στρατοπέδου διοίκησιν, ἀναγκασθείη τῆς πρώτης ἀρχῆς ἐν ἑκάστῳ μνημονεῦσαι. θαυμάζειν οὖν ἄξιον ὅσοι διδάξαι μὲν ὀρθῶς ἑτέρωθεν ἀρξάμενον, ἀδύνατον εἶναί φασιν, ἀγνοεῖν δὲ τὴν ὄντως ἀρχὴν τῶν φλεβῶν. ἀλλήλοις γὰρ ἄμφω συνῆπται ταῦτα. καὶ οὐχ οἷόν ἐστι χωρὶς ἀλλήλων γενέσθαι διασπασθέντα, τὴν ὀρθὴν ἀρχὴν λέγω τῆς διδασκαλίας τῆς ὄντως ἀρχῆς τοῦ πράγματος. ἀλλ' εἴτ' ὀρθῶς διδάσκει τις, ἀπὸ τῆς κατὰ φύσιν ἀρχῆς ἄρχεται. εἴτε δὲ τὴν ὄντως ἀρχὴν οἶδέ τις, τὴν τῆς διδασκαλίας οὐκ ἀγνοεῖ.

Quòd ſi igitur dubitare ſe fatentur de omnibus occultis ſimiliter empiricis, neque mihi aduerſus eos diſputatio quædam erit, vt qui nec initium ipſorum inquirant, neque ſimiliter diſſecent. At ſi rationem ſe habere affirment, ex qua ea quæ ſenſum ſubterfugiunt, inueniant: cur non huius ipſius primùm quod dicunt, cauſam inſpexerunt; idoneúmne eſt ad diſciplinam, à iecore venarum diſſectionem in ſermone incepiſſe ſine cauſa; ô viri ſapientiſſimi? An quoniam omninò natura aliis excellit ad diſciplinæ initium accommodatius eſt? Quæ autem ſit illius eminentia, inquirere æquum eſt non ocioſè, neque ſegniter præterire. Porrò initium inuentionis id ipſum puto exhibiturum, quod ab omnibus confeſſum eſt anatomicis, qui affirmant ipſum ad diſciplinæ initium eſſe accommodum. Et ſi enim nullius alterius huius ſaltem rationem nobis poterunt reddere, cur dicant idoneum ad diſciplinæ initium exiſtere, neque quod colore rubrum eſt, neque quod libris comprehenſum, neque quod in vno ipſorum fellis vas exporrectum eſt, neque propter huiuſmodi aliud vllum; ſed quia omnes ei continuæ venæ exiſtunt. Atqui neque alterius cuiuſquam hæc ipſa nota eſt, præterquam initij; neque enim propter aliud quippiam neruorum diſſectionis alterum diſciplinæ initium facere licet cerebro prætermiſſo, quàm quia initium horum exiſtat. Hoc enim non conceſſo, nemo aliam poterit inuenire cauſam, neque propter quid arteriarum diſſectionis cor; nam initium à natura conſtitutum, etiam diſciplinam à ſeipſo cogit fieri; neque enim ſi quis aquæ diſtributionem quæ in ciuitatem introducitur, volet exponere, initium narrationis aliunde poterit facere primo ingreſſu prætermiſſo, ſed neceſſitas omnis cogit, hunc regionem illam vrbis præfatum, intra quam prius à foris aqua peruenit, ab illa ſubſequentem totam narrationem exordiri. Quare inquirendum non eſt aliud rei naturæ principium, aliud ipſius diſciplinæ; nam ſecundum rei naturam diſciplina inſtituta, idem habet cum eo quod docetur initium, neque licet rectè volenti exponere vel generationem factorum, vel diſtributionem eorum quæ diſpenſantur, aliud principium commodius quàm verùm adinuenire. Siquidem domus generatio primum cogit meminiſſe fundamentorum nauis, carinæ; ita etiam ſi vrbis, aut gentis, aut exercitus gubernationem cogites percenſere, neceſſe erit primi initij in vnoquoque meminiſſe. Mirari itaque ratio eſt eos, qui docere ſe quidem rectè aliunde ſumpto initio poſſe aſſeuerant; ignorare autem verùm venarum principium, & verùm rei initium. Sed ſiue rectè quis docet, à naturæ principio exordietur; ſiue verum principium nouit aliquis diſciplinæ, non ignorat.

A

CAPVT VI.

Cor neque generationis sanguinis, neque venarum esse principium, sed arteriarum; idque in fœtibus apparere aduersus Erasistratum.

SVfficiunt itaque & hæc ad venarum principij demonstrationem. Iam nihilominus & illa quæ dicentur à me, firma sunt indicia eius quòd cor neutiquam sit neque initium sanguinis totum corpus nutrientis opifex, neque instrumentorum ipsius. Ostendam autem vtrumque seorsim, ac priùs quòd non sit animanti sanguinis nutrientis initium. At cur iterum nutrientis adiectum est in oratione? quia ostendebam me non negare in corde generari alium quendam sanguinem, alium animantibus vsum exhibentem, sed quòd nunc est propositum, eum à quo omnia animantis membra nutriuntur, ex iecore, non ex corde proficisci, monstraturum polliceor, ab iis quæ ex anatome apparent, sermonem exorsus, quod maximè pugnat cum Erasistrateis, qui nunc nos dicunt paradoxa & noua astrúere. Porrò dictum est ab Erasistrato id quod apparet in opere de febribus, nempe quòd membranæ osculis vasorum adhærescant, quibus ad ministerium materiæ introducendæ, & rursus educendæ cor vtitur. Has membranas non esse quidam dicere ausi sunt, sed ab Erasistrato effictas, dogmatis constituendi gratia. Verumtamen eatenus omnes medici cognoscunt, vt rudis omninò esse videatur, qui non eas nouerit. Sunt autem in ostiolo cauæ venæ tres spiculorum sulcis structura simillimæ: vnde puto etiam trisulcas nonnulli Erasistrateorum ipsas nuncuparunt. At in arteria venosa (sic nomino eam quæ ex sinistro cordis sinu in pulmonem discinditur) simillimæ quidem forma, numero autem impares. Huic enim soli orificio duæ membranæ adhærent; aliorum orificiorum vtrique tres membranæ sunt vniuersæ sigmoides. Educit autem, (vt Erasistratus inquit, exponens id quod apparet) vtrumque ostium, sanguinem in pulmones alterum ipsorum, spiritum verò in totum animal alterum. Quò fit vt hæ membranæ (vt illi videtur) contraria cordi ministeria præstent vicissitudine opportuna alternantes; quæ enim vasis materias introducentibus adnatæ sunt, foris intrò tendentes, hoc est interiùs ab externis pergentes, attolluntur quidem à materiarum introitu, atque resupinatæ in cordis sinus, aperientes oras, exhibent facilem ingressum iis quæ in ipsum trahuntur. Non enim sua sponte materias ingredi inquit, tanquam in solium quoddam inanimatum, sed ipsum cor dilatatum, tanquam fabrorum folles, attrahere, & in dilatatione repleri. At eas quæ vasis materias educentibus incumbere dicebamus, contrario modo affici. Nam ab internis foràs tendentes, reclinatas quidem ab exeuntibus ora aperire, quo tempore cor materias distribuit, in reliquo autem toto claudere omninò oras, neque cor quidpiam quod egressum sit redire concedentes. Ita verò & illas quæ sunt in introducentibus, vbi cor contrahatur, ora claudere nihil attractorum ab eo rursus recurrere permittentes.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Τὴν καρδίαν μήτε τοῦ αἵματος γεννητικὴν ἀρχήν, μήτε φλεβῶν, ἀλλὰ τῶν ἀρτηριῶν· καὶ τοῦτο ἐκ τῶν ἐμβρύων πρὸς τὸν Ἐρασίστρατον φαίνεσθαι.

Ἤρκει μὲν οὖν καὶ ταῦτα πρὸς ἀπόδειξιν τῆς ἀρχῆς τῶν φλεβῶν, οὐδὲν μὴν ἧττόν ἐστι καὶ τὰ μέλλοντα λεχθήσεσθαι βέβαια γνωρίσματα τοῦ μηδαμῶς εἶναι τὴν καρδίαν, μήτε τοῦ τρέφοντος αἵματος ὅλον τὸ σῶμα γεννητικὴν ἀρχήν, μήτε τῶν ὀργάνων αὐτοῦ. δείξω δὲ ἑκάτερον ἰδίᾳ, καὶ πρότερον ὡς οὐκ ἔστι τῷ ζώῳ τοῦ θρέψοντος αἵματος ἀρχή. διὰ τί δὲ τοῦ θρέψοντος πρόσκειται κατὰ τὸν λόγον αὖθις; διότι ἐδείκνυον ὡς ἑτέρου τινὸς αἵματος, ἑτέραν χρείαν τοῖς ζώοις παρεχομένου, τῆς γενέσεως οὐκ ἀφαιρούμενον τὴν καρδίαν, ἀλλὰ τό γε νῦν εἶναι προκείμενον, ὡς ὑφ᾽ οὗ τρέφεται τὰ σύμπαντα μέλη τοῦ ζώου τοῦτ᾽ ἐξ ἥπατος, οὐκ ἐκ τῆς καρδίας ὁρμᾶται, δείξειν ἐπαγγέλλομαι τὴν ἐξ ἀνατομῆς φαινομένων ἀρχὴν τῷ λόγῳ ποιησάμενος, ὃ μάλιστα μάχεται τοῖς Ἐρασιστρατείοις, οἱ νῦν ἡμῖν ἐροῦσιν, ὡς παράδοξά τε καὶ καινὰ κατασκευάζομεν. εἴρηται δὲ τὸ φαινόμενον ὑπ᾽ Ἐρασιστράτου κατὰ τὴν τῶν πυρετῶν πραγματείαν, ὡς ὑμένες ἐπιπεφύκασι τοῖς στόμασι τῶν ἀγγείων, οἷς εἰς ὑπηρεσίαν ὑλῶν εἰσαγωγῆς τε, καὶ αὖθις ἐξαγωγῆς ἡ καρδία προσχρῆται, τούτους τοὺς ὑμένας ἐτόλμησάν τινες οὐκ εἶναι λέγειν, ἀλλ᾽ ὑπ᾽ Ἐρασιστράτου διεσκευάσθαι δόγματος ἕνεκεν κατασκευῆς. πλὴν εἰς τοσοῦτον ἥκουσι γνώσεως ἅπασι τοῖς ἰατροῖς, ὥστ᾽ ἀρχαῖος ὄντως εἶναι δόξειεν ἂν ὁ μὴ γινώσκων αὐτούς. εἰσὶ δ᾽ ἐπὶ μὲν τῷ στόματι τῆς κοίλης φλεβὸς τρεῖς ἀκίδων γλωχῖσιν ὁμοιότατοι τὴν σύνταξιν, ὅθεν οἶμαι καὶ τριγλώχινας ἔνιοι τῶν Ἐρασιστρατείων ἐκάλεσαν αὐτούς. ἐπὶ δὲ τῆς ἀρτηρίας τῆς φλεβώδους (οὕτω δὲ ὀνομάζω τὴν ἐκ τῆς ἀριστερᾶς κοιλίας τῆς καρδίας εἰς τὸν πνεύμονα κατασχιζομένην) ὁμοιότατοι μὲν τὸ εἶδος, ἀριθμῷ δ᾽ οὐκ ἴσοι. μόνῳ γὰρ τούτῳ τῷ στόματι δυοῖν ὑμένων ἐπίφυσίς ἐστι. τῶν δ᾽ ἄλλων στομάτων ἑκατέρῳ τρεῖς ὑμένες εἰσὶν ἅπαντες σιγμοειδεῖς. ἐξάγει δ᾽, ὡς Ἐρασίστρατός φησιν ἐξηγούμενος τὸ φαινόμενον, ἑκάτερον μὲν τῶν στομάτων, αἷμα μὲν εἰς τὸν πνεύμονα ἕτερον αὐτῶν, πνεῦμα δ᾽ εἰς ὅλον τὸ ζῷον ἕτερον. τῶν ὑμένων, ὡς ἐκείνῳ δοκεῖ, πρὸς ἐναντίας ὑπηρεσίας τῇ καρδίᾳ χρόνον, ἀμοιβαῖς ἐγκαίροις ὑπαλλαττομένας, τοὺς μὲν ἐπὶ τοῖς εἰσάγουσι τὰς ὕλας ἀγγείοις ἐπιπεφυκότας ἔξωθεν ἔσω φερομένους, ἀνατρέπεσθαι μὲν ὑπὸ τῆς εἰσόδου τῶν ὑλῶν. ἀναπίπτοντας δ᾽ εἰς τὰς κοιλότητας τῆς καρδίας ἀνοιγνύντας τὰ στόματα παρέχειν ἀκώλυτον τὴν φορὰν τοῖς εἰς τὴν αὐτὴν ἑλκομένοις. οὐ γὰρ δὴ αὐτομάτως γε τὰς ὕλας εἰσθεῖν φησιν, ὡς εἰς ἄψυχόν τινα δεξαμενήν, ἀλλ᾽ αὐτὴν τὴν καρδίαν διαστελλομένην, ὥσπερ τὰς τῶν χαλκέων φύσας ἐπισπᾶσθαι πληρουμένην τῇ διαστολῇ. ἐπὶ δὲ τοῖς ἐξάγουσιν ἀγγείοις τὰς ὕλας ἐλέγομεν ἐπικεῖσθαι, καὶ τοὐναντίον ἡγεῖσθαι πάθος πάσχειν. ἔσωθεν γὰρ ἔξω ῥέποντας, ἀνατρεπομένους μὲν ὑπὸ τῶν ἐξιόντων ἀνοιγνύναι τὰ στόματα, καθ᾽ ὃν αὖ ἡ καρδία χρόνον ἐχορήγει τὰς ὕλας. ἐν δὲ τῷ λοιπῷ παντὶ κλείειν ἀκριβῶς τὰ στόματα, μηδ᾽ ἐνίας τῶν ἐκπεμφθέντων ἐπανέρχεσθαι συγχωροῦντας. οὕτως δὲ καὶ τοὺς ἐπὶ τοῖς εἰσάγουσι, ὅταν ἡ καρδία συστέλληται κλείειν τὰ στόματα, μηδὲν τῶν ἑλχθέντων ὑπ᾽ αὐτῆς αὖθις ἔξω παλινδρομεῖν ἐπιτρέποντας.

εἴπερ οὖν ἔχει ταῦθ' οὕτως ἄνδρες Ἐρασιστράτειοι, τὰ μὲν ἄλλα τῶν ἀγγείων ἐάσωμεν ἤδη τῷ λόγῳ· τὸ δ' ἀμφισβητούμενον ἐπισκεψώμεθα, τὴν κοίλην φλέβα τὴν ἐξ ἥπατος εἰς καρδίαν εἰσάγουσαν τὸ αἷμα, ποτέρους ἔχει τοὺς ἐπιπεφυκότας ὑμένας. ἆρ' ἔσωθεν ἔξω ῥέποντας, ἢ τοὐναντίον ἔξωθεν ἔσω φερομένους, ἀλλ' ἴσως οὐδὲ τοῦτο μέγα πρὸς τὸ παρεσκευάσθαι μὲν ἐν ἥπατι τὸ αἷμα. φέρεσθαι δ' ἐντεῦθεν εἰς τὴν καρδίαν, ἀποληψόμενον ἐνταῦθα τὸ λοιπὸν τῆς οἰκείας ἰδέας εἰς ἀκριβῆ τελειότητα. καὶ γὰρ καὶ λόγον ἔχει, μηδὲν τῶν τελέων τε καὶ μεγάλων ἔργων ἀθρόως δύνασθαι γίνεσθαι, μηδὲ ὑφ' ἑνὸς ὀργάνου φυσικοῦ τὸν οἰκεῖον κόσμον ἅπαντα κτήσασθαι. δείξατε οὖν ἡμῖν ἕτερον ἀγγεῖον ἐξάγον ἐκ τῆς καρδίας πουτὶ τὸ κοσμηθὲν αἷμα, καὶ διανεμόμενον εἰς ἅπαντα τὰ σώματα, καθάπερ ἡ ἀρτηρία τὸ πνεῦμα. καὶ μὴν τὰ σύμπαντα τέτταρά ἐστι στόματα, δύο καθ' ἑκατέραν κοιλίαν, ἓν μὲν ἐκ τοῦ πνεύμονος εἰσάγον τὸ πνεῦμα, τὸ δ' ἕτερον ἐξάγον μὲν ἄμφω ταῦτα κατὰ τὴν ἀριστερὰν κοιλίαν. ὑπόλοιπα δὲ δύο κατὰ τὴν δεξιάν, εἰς μὲν τὸν πνεύμονα τὸ ἕτερον αἷμα φερόμενόν τε καὶ διανεμόμενον, εἰς δὲ τὴν δεξιὰν κοιλίαν ἐκ τοῦ ἥπατος εἰσάγον τὸ ἕτερον· περὶ οὗ σύμπας ὁ λόγος ἐστίν. πέμπτον δ' ἄλλο στόμα οὐκ ἔχει κατὰ τὴν καρδίαν, ᾧ τὸ ἐξ ἥπατος ἀφικόμενον εἰς αὐτὴν αἷμα πρὸς ὅλον ἀποπέμψει τὸ σῶμα. μὴ τοίνυν ἐπιπέμπεσθαι λέγετε τῷ παντὶ σώματι παρὰ τῆς καρδίας αἷμα, καὶ πνεῦμα μηδ' εἶναι τοῦτο τὸ σπλάγχνον ὡς ἀρτηριῶν, οὕτω καὶ φλεβῶν ἀρχήν. οὔτε γὰρ ἀγγεῖον ἕτερον ἔχετε δεικνύειν ἐκφυόμενον τῆς καρδίας, οὔτ' ἄλλου τινὸς πλὴν τῶν ὑμένων, οὓς οὐκ ἂν ἡ μηδὲν εἰκῇ ποιοῦσα φύσις ἐν τῷ κυριωτάτῳ σπλάγχνῳ κατέθετο, μὴ μέγιστόν τι μέλλοντας εἰς ὑπηρεσίαν παρέχειν αὐτῷ. καί μοι θαυμάζειν ἐπέρχεται μάλιστα πάντων Ἐρασιστράτου, καθ' ἓν βιβλίον τὸ πρῶτον περὶ πυρετῶν, ἅμα μὲν ἀρχὴν ἀποφηναμένου, καὶ ἀρτηριῶν, καὶ φλεβῶν εἶναι τὴν καρδίαν. ἅμα δὲ τοὺς ἔξωθεν ἔσω νεύοντας ὑμένας ἐπὶ τοῖς εἰσάγουσι τὰς ὕλας ἀγγείοις ἐπιπεφυκέναι φάσκοντος. οὐδὲ γὰρ οὐδὲ τοῦτο δυνατὸν εἰπεῖν, ὡς τοῦ μὲν αἵματος ἀρχὴ τὸ ἧπαρ ἐστί, τῆς διοικούσης δὲ τὰς φλέβας δυνάμεως ἡ καρδία. ὅπου γὰρ οὐδὲ ταῖς ἀρτηρίαις ἐκ καρδίας ἐμπέμπεσθαι διὰ τῶν χιτώνων ὁμολογεῖ τὴν δύναμιν, ἤπου γε ταῖς φλεψὶν ὁμολογήσει; εἴπερ οὖν ἀρχὴν ἐκεῖνο φαμὲν εἶναι τὸ μόριον, αὐτοῖς ἀφ' ἑαυτοῦ πεφυκόσιν ἤτοι τὴν δύναμιν, ἢ πάντως γε τὴν ὕλην χορηγήσει, τὴν καρδίαν οὐκ ἐνδέχεται φάναι τῶν φλεβῶν ἀρχήν. δύναμιν μὲν γὰρ αὐταῖς οὐ χορηγεῖ κατὰ τὸν Ἐρασίστρατον, ὅτι μηδὲ ταῖς ἀρτηρίαις. ἡ δ' ὕλη τοῦ αἵματος ἐξ ἥπατος ὁρμᾶται σαφῶς· οὐ μὴν ὅτι πᾶσαι φαίνονται εἰς τὴν καρδίαν, αἱ φλέβες ἀρχὴν αὐτῶν οἷόν τε τὴν καρδίαν αὐτὴν εἰπεῖν. οὐ φαίνονται γὰρ ὡς δέδεικται πρόσθεν. ἆρ' οὖν ὅτι κατὰ τὴν πρώτην διάπλασιν ἐκ καρδίας ἡ γένεσις αὐτῶν ἐστιν, διὰ τοῦτο τὴν ἀρχὴν ἕξουσι τὴν καρδίαν αἱ φλέβες. ἀλλ' οὔτε περὶ τῆς τοιαύτης ἀρχῆς ἡ ζήτησις ἦν, ὡς ἐν τῷ πρώτῳ γράμματι κατ' ἀρχὰς εὐθέως διώρισται, καὶ πρὸς τῷ μὴ ζητεῖν τὴν τῆς γενέσεως αὐτῶν ἀρχήν, οὐδ' ἀπόδειξίν τινα ἐπεχείρησεν Ἐρασίστρατος εἰπεῖν, ὡς ἐκ καρδίας ἡ φύσις ἐν τῷ διαπλάττεσθαι τὸ ἔμβρυον ἐξέφυσε τὸ φλεβῶδες γένος. οὐ μὴν οὐδ' ἐπὶ νεύρων ἐζήτησε τὴν τοιαύτην ἀρχήν, ὥσπερ οὐδ' ἐπ' ἀρτηριῶν, ἀλλὰ μόνης τῆς ἐπὶ τοῦ διαπεπλασμένου τελέως ζώου διοικήσεως ἀρχὰς ἀπεφήνατο. τῆς μὲν τῶν ἀρτηριῶν ἐνεργείας, τὴν καρδίαν, τῆς δὲ τῶν νεύρων, τὴν κεφαλήν.

A Si igitur hæc ita se habent, ô viri Erasistratei, alia vasa iam sermone dimittamus; id autem de quo ambigitur, inspiciamus, cauam scilicet venam, quæ ex iecore in cor sanguinem inuehit, quas habeat obductas membranas, an ab internis foràs tendentes, an contrà à foris intro vergentes, sed fortè neque hoc magni est momenti contra id quod dicitis sanguinem in iecore prius esse præparatum; inde autem in cor deferri recepturum inibi residuum peculiaris speciei vt exactè absoluatur. Quinetiam rationem habet, nullum perfectum magnumque opus B subitò posse fieri, neque ab vno instrumento naturali peculiarem ornatum omnia consequi. Ostendite igitur nobis aliud vas quod ex corde hunc exornatum sanguinem educat, & distribuat per omnia corpora, quemadmodum arteria spiritum. Atqui vniuersa quatuor sunt ora; duo in vtroque ventriculo; vnum ex pulmone spiritum introducens; alterum educens. Ambo hæc in sinistro ventriculo consistunt, reliqua duo in dextro. In pulmonem sanè alterum sanguinem vehit, distribuítque; in dextrum autem ventriculum à iecore alterum introducit, de quo totus sermo est. Quintum verò aliud C os non est in corde, quo sanguinem ex iecore ad ipsum peruenientem in totum corpus transmittat. Ne igitur dicatis sanguinem & spiritum ex corde toti corpori distribui, neque hoc esse viscus vt arteriarum, sic etiam venarum originem, neque enim vas alterum ostendere potestis ex corde procedens, neque alio quodam, præterquam ex membranis, quas nihil vnquam frustra faciens natura in principalissimo viscere haud constituit, nisi magnum ministerium ipsi fuissent præstituræ. Ac mihi mirari subit omnium maximè Erasistratum, qui libro primo D de febribus simul pronunciet cor esse & arteriarum & venarum principium, simul autem dictitet membranas à foris intrò spectantes, vasis materias introducentibus supercreuisse, neque enim hoc licet dicere quòd sanguinis quidem initium iecur sit, virtutis autem venas regentis cor. Nam vbi neque arteriis ex corde facultatem per tunicas emitti fatetur, an venis fatebitur? Quòd si initium illam esse partem dicimus, quæ à se procreatis aut virtutem aut omninò materiam suppeditabit cor non liceat venarum dicere principium, quoniam facultatem ipsis, E authore Erasistrato non subministrat, quia neque ipsis arteriis. At materia sanguinis ex iecore manifestò proficiscitur, nec etiam quoniam omnes in cor venæ pertinent, initium earum cor ipsum licet dicere; non enim pertinent, vt prius demonstratum est. Num igitur qui in prima conformatione ex corde generatio ipsarum est, ideo principium venæ cor habebunt. Sed neque de tali principio erat quæstio, vt in primo commentario per initia statim definitum est, ac Erasistratus præter id quòd generationis ipsarum initium non quærebamus, ne demonstrationem quidem vllam dicere aggressus est F ad probandum quod ex corde natura fœtum formando, venosum genus produxerit; sed nec in neruis tale quæsiuit principium, quemadmodum neque in arteriis; verùm solius in animante absolutè conformato gubernationis principium enunciauit, arteriarum sanè functionis cor, neruorum caput.

Itaque

Itaque neque venarum aliter diceret initium cor existere, ob quam rem obscura est viri sententia de venis, vt qui nihil de sanguinis generatione prodiderit, sed totam hanc functionem reliquerit inconsideratam, quum sit multò magis necessaria animantibus quàm ea quæ in ventriculo est. Viuere siquidem licet nobis etiam si neutiquam venter cibos conterat, quum offerre succos possimus, vt in multis gentibus lac. Mori autem necessarium est, si sanguinis pereat generatio, quæ neque an iecori, neque an venis, neque an cordi concredita sit, manifestò ausus est pronunciare, tantùm abest vt demonstrationem aliquam sermoni adiecerit. Verùm non modò hanc actionem quæ cibos secundum qualitatem alterat, percensere neglexit, sed etiam nutritionem similiter fieri, exponere aggressus, omnium magis quàm alterationis meminit. Quòd si verò huius meminisset, statim putò etiam hoc considerasset, quòd omnia quæ ab aliquo alterantur, in alterantium speciem mutentur. Quemadmodum enim ignis, qui lignum sibi ipsi assimilat, ex eodem simul generationem, & alimentum obtinet, simili videntur modo etiam stirpes & animalia alimentum sibi assimilare: id quod innotescit ex semicoctis recrementis, quæ similia semper corporibus quæ nutriuntur, quorum sunt excrementa, redduntur. Physicus itaque magis sermo est, & requirit auditores prius exercitatos in naturalium facultatum speculationibus, quas priuatim aliàs sumus persecuti. Dicetur & de iis hoc opere paulò posterius. Nam in præsentia absoluere cogito totum de Erasistrati sententia sermonem quo demonstratur, ex prima in vtero fœtuum conformatione, non ex corde venas habere originem. Omnes enim secundarum venæ quæ vtero conceptum annectunt, propagines sunt vnius venæ maximæ ex iecore profectæ. Hæc autem veluti truncus aliquis in ramis permultis vasorum ex ipso in secundas procedentium, longissimè integra, vnáque manens, magnum quod in ipso viscere est interuallum permeat; emergens autem iam foràs, alterum maximum spatium in duplicem fissa ramum pertransit; atque hoc definitum terminis, vno sanè quem nunc dicere desij, quum emergit primum extra cutem; altero quum supergreditur amnium, nam omnis per hoc transitus venam à iecore ad vmbilicum contractam comprehendit, in duos ramos diuaricatam. Tertia alia regio duas has accipit venas in secundis, non amplius duas permanentes. Finditur enim vtraque multifariam, in complures alias variè secundis dispersas Rursus ab illis aliæ quædam, deinde ab illis aliæ generantur, quemadmodum surculi à ramis, vsque dum in minima vasa veluti extremas venas stirpis desinant. Peculiarius autem erat vtique, neque venam à iecore profectam caudici in multos discisso ramos, assimilare, neque extremos fines germinibus, verùm has ipsis quidem radicum extremis quæ terræ inseruntur, maximam autem venam vniuerso radicationis initio. Apparent enim fines venarum, quasi in vtero radicatæ, alimentum ex ipso sanguinem videlicet, ad iecur tanquam totius stirpis principium sursum efferre. At si nolis iecur initium statuere, cordi quidem neutiquam poteris adhuc principium attribuere, cogeris autem omnia quæ in vterum inseruntur extrema, initium venarum pronunciare.

A οὐκοῦν οὐδὲ φλεβῶν ἑτέρως ἂν ἔλεγεν ἀρχὴν εἶναι τὴν καρδίαν, εἰκότως μὲν οὖν ἀσαφὴς ἡ γνώμη τ' ἀνδρός ἐστιν ἡ περὶ τῶν φλεβῶν, οὐδὲν εἰπόντος ὑπὲρ αἵματος γενέσεως, ἀλλ' ὅλην ταύτην παραλιπόντος ἄσκεπτον τὴν ἐνέργειαν, ἀναγκαιοτέραν οὖσαν μακρῷ τοῖς ζώοις τῆς κατὰ τὴν γαστέρα. ζῆν μὲν γὰρ ἔστι τ' ἐστὶν ἡμῖν, εἰ καὶ μηδ' ὅλως ἡ γαστὴρ τρίβει τὰ σιτία, δυναμένοις γε προσφέρεσθαι χυλούς, ὡς ἐν πολλοῖς ἔθνεσι γάλα. τεθνάναι δ' ἀναγκαῖον, εἰ ἡ τοῦ αἵματος ἀπόλοιτο γένεσις, ἣν οὔτε εἰ τὸ ἧπαρ, οὔθ' αἱ φλέβες, οὔθ' ἡ καρδία πεπίστευται, σαφῶς ἐτόλμησεν ἀποφήνασθαι· τοσοῦτον ἀποδεῖ προσθεῖναί τινα ἀπόδειξιν τῷ λόγῳ. B οὐ μόνον δὲ ταύτην τὴν ἐνέργειαν ἠλλοιοῦσαν τὰ σιτία κατὰ ποιότητα διελθεῖν ὠλιγώρησεν, ἀλλὰ καὶ τὴν θρέψιν ὁμοίως γιγνομένην ἐπιχειρήσας ἐξηγεῖσθαι, μᾶλλον πάντων ἢ ἀλλοιώσεως ἐμνημόνευσεν. εἰ δὲ ταύτης ἐμνημόνευσεν, εὐθὺς ἂν οἶμαι καὶ τοῦτο συνεπενόησεν, ὅτι πᾶσι τοῖς ὑπό τινος ἀλλοιουμένοις εἰς τὴν τῶν ἀλλοιούντων ἰδέαν ἡ μεταβολὴ γίγνεται. καθάπερ γὰρ τὸ πῦρ ὁμοιοῦσθαι ἑαυτῷ τὸ ξύλον ἐξ ἑαυτοῦ ἅμα γένεσίν τε ἅμα, καὶ τροφὴν ἴσχει· κατὰ τὸν αὐτὸν ὁρᾶται τρόπον, καὶ τὰ φυτά, καὶ τὰ ζῷα τὴν τροφὴν ἑαυτοῖς ὁμοιοῦντα. δηλοῦται δὲ τοῦτο καὶ ἐκ τῶν ἡμιπέπτων περιττωμάτων C ὁμοίων ἀεὶ γιγνομένων τοῖς τρεφομένοις σώμασιν, ὧν ἐστι περιττώματα. φυσικώτερος μὲν οὖν ὁ λόγος ἐστί, καὶ δεόμενος ἀκροατῶν προγεγυμνασμένων ἐν τοῖς περὶ τῶν φυσικῶν δυνάμεων λογισμοῖς, οὓς ἰδίᾳ διήλθομεν ἑτέρωθεν. λεχθήσεται δὲ καὶ νῦν ὀλίγον ὕστερον. ἐν δὲ τῷ παρόντι συντελέσαι βούλομαι τὸν ὑπὲρ τῆς Ἐρασιστράτου γνώμης ἅπαντα λόγον, ᾧ ἀποδέδεικται ὡς κατὰ τὴν πρώτην ἐν τῇ μήτρᾳ τῶν ἐμβρύων διάπλασιν, οὐκ ἐκ τῆς καρδίας αἱ φλέβες ἴσχουσι τὴν γένεσιν. ἅπασαι γὰρ αἱ κατὰ τὸ χορίον φλέβες, αἱ συνάπτουσαι τῇ μήτρᾳ τὸ κυούμενον, ἀποβλαστήματ' εἰσὶ μιᾶς μεγίστης φλεβὸς ἐξ D ἥπατος ὡρμημένης. αὕτη δ' ὥσπερ τι στέλεχος ἐπὶ πτόρθων παμπόλλων τῶν ἐξ αὐτῆς ἐκπεφυκότων ἀγγείων εἰς τὸ χορίον, ἄχρι πλείστου μὲν ἄσχιστος καὶ μία μένουσα, διεξέρχεται μέγα διάστημα τὸ κατ' αὐτὸ τὸ σπλάγχνον. ἀνίσχουσα δ' ἤδη πρὸς τοὐκτός, ἕτερον μέγιστον διάστημα διεξέρχεται δίχα σχισθεῖσα διπλοῖς, καὶ τοῦτο ὁριζόμενον ἑνὶ μὲν, ᾧ νῦν δὴ πέπαυμαι λέγων, ὅτε μὲν αὔξει πρῶτον ἔξω τοῦ δέρματος, ἑτέρῳ δ' ἐπειδὰν ὑπερκύψῃ τὸν ἀμνειόν. ἡ γὰρ διὰ τούτου διέξοδος ἅπασα, τὴν ἀπὸ τοῦ ἥπατος ἐπὶ τὸν ὀμφαλὸν συνηνεγμένην φλέβα περιέχει σχιζομένην εἰς δύο. τρίτη δ' ἄλλη χώρα τὰς δύο ταύτας ἐκ-E δέχεται φλέβας, ἡ κατὰ τὸ χορίον οὐκέτι μενούσας δύο. σχίζεται γὰρ ἑκατέρα πολυειδῶς εἰς παμπόλλας ἄλλας ἀλλαχόσε τοῦ χορίου διασπειρομένας, αὖθις δ' ἀπ' ἐκείνων ἕτεραί τινες. εἶτ' ἀπ' ἐκείνων ἄλλαι γίνονται, καθάπερ οἱ κλάδοι ἀπὸ τῶν πτόρθων ἄχρις ἂν εἰς μικρότατα τελευτήσωσιν ἀγγεῖα, τὰς οἷον ἐσχάτας φλέβας τὰς τοῦ φυτοῦ. οἰκειότερον δ' ἦν ἄρα, μήτε τὴν ἐκ τοῦ ἥπατος ὁρμηθεῖσαν φλέβα πρέμνῳ προσεικάζειν εἰς πολλοὺς κλάδους σχιζομένῳ, μήτε τὰς ἐσχάτας τελευτὰς βλαστήμασιν. ἀλλὰ ταύτας μὲν αὐτοῖς τοῖς πέρασι τῶν ῥιζῶν τοῖς εἰς τὴν γῆν ἐμπεφυκόσι. τὴν μεγίστην δὲ φλέβα, τῇ συμπάσῃ F τῆς ῥιζώσεως ἀρχῇ. φαίνονται γάρ πως εἰς τὴν μήτραν αἱ τελευταὶ τῶν φλεβῶν ἐρριζωμέναι τροφὴν ἐξ αὐτῆς αἷμα ἀναφέρειν ἐπὶ τὸ ἧπαρ, ὡς ἀρχὴν ἅπαντος τοῦ φυτοῦ. εἰ δ' οὐ βούλει τὸ ἧπαρ ἀρχὴν θέσθαι, τῇ καρδίᾳ μὲν οὐδαμῶς ἂν ἔχοις ἔτι προσνέμειν τὴν ἀρχήν. ἀναγκασθήσῃ δὲ πάντα τὰ εἰς τὴν μήτραν ἐμφυόμενα πέρατα τὴν ἀρχὴν ἀποφήνασθαι τῶν φλεβῶν.

ἀλλ' εἰ τοῦτο καὶ τὴν τῶν ἀρτηριῶν ἀρχὴν ἀναγκαῖον ἔσται σοι τὰ εἰς τὰς μήτρας καθήκοντα πέρατα θέσθαι τὴν καρδίαν ὑπερβάντι. δεῖξον οὖν ἡμῖν ἔτι καὶ τὴν τῶν νεύρων ἀρχὴν ἐκ τῶν αὐτῶν ὁρμωμένην. ἀλλ' ὅμως οὔτ' ἐστί τι νεῦρον ἐκφυόμενον τῆς μήτρας εἰς χορίον, οὔτ' ἐν τῷ χορίῳ φαινόμενον, οὔτε κατὰ τὸν ὀμφαλὸν, ἢ ἔξωθεν ἔσω χωροῦν, ἢ ἔσωθεν ἔξω περιερχόμενον. οὐδὲ γὰρ ἦν ὅλως χρεία τὴν τῶν νεύρων ἀρχὴν τοῦ γεννωμένου συναφθῆναι τῇ μήτρᾳ, καθάπερ τὴν τῶν ἀρτηριῶν τε καὶ φλεβῶν. αὗται μὲν γὰρ δέονται τῆς ἐκ τῆς κυούσης ὕλης, ἡ δ' ἀρχὴ τῶν νεύρων οὐ δεῖται. δέδεικται δὲ κἀν τοῖς ἔμπροσθεν ἤδη λόγοις, ὑπὲρ τοῦ τὰ μέγιστα τῶν ἀγγείων ἀρχὰς εἶναι τοῖς ἐλάττοσιν, ὥστε καὶ ἡ ἐκ τοῦ ἥπατος ἐκφυομένη φλὲψ, ἀρχὴ ταῖς κατὰ τὸ χορίον ἁπάσαις ἐστὶν, ὥσπερ γε καὶ ἡ ἐκ τῆς καρδίας ἀρτηρία. καὶ γὰρ καὶ αὕτη ταῖς κατὰ τὸ χορίον ἁπάσαις χορηγεῖ τῆς οἰκείας δυνάμεως, οὐκ ἐκεῖναι ταύτῃ. ἐκ γὰρ τοῦ σπέρματος ἡ ἀρχὴ τοῖς ἐμβρύοις ἐστὶ τῶν διοικουσῶν αὐτὰ δυνάμεων, οὐκ ἐκ τῆς μήτρας. ἀμέλει κἂν βρόχῳ διαλάβῃς, ἢ τοῖς σαυτοῦ δακτύλοις πιέσῃς τὰς κατὰ τὸν ὀμφαλὸν ἀρτηρίας, ἀσφύκτους ὄψει παραχρῆμα τὰς κατὰ τὸ χορίον ἁπάσας, οὗ τοὐναντίον ἐφαίνετ' ἂν, εἰ τὴν ἀρχὴν τῆς κινήσεως αὐταῖς ἡ μήτρα παρεῖχεν. ἔοικα δὲ διατρίβειν ἐπὶ πλέον ἐν πράγματι σαφεῖ τε ἅμα, καὶ τοῖς ἀνατομικοῖς σχεδὸν ἅπασιν ὡμολογημένῳ. καὶ γὰρ ὅπως διαιρεῖν χρὴ τῆς κυούσης τὸ ἐπιγάστριον, καὶ ὅπως γυμνὸν ἐργάζεσθαι τὸ ἔμβρυον, ἔτι τῇ μήτρᾳ προσεχόμενον, οὐχ ἡμέτερον εὕρημά ἐστιν, ἀλλὰ πολλοῖς τοῖς ἔμπροσθεν εἴρηται. τοῖς δ' αὐτοῖς τούτοις ὡμολόγηται, καὶ ὅτι τὸ κυούμενον ἐν ἑαυτῷ τὰς ἀρχὰς ἔχει τῶν διοικουσῶν αὐτὰ δυνάμεων, ὥστε τούτου μὲν ἀποχωρεῖν ἤδη προσήκει τοῦ ζητεῖν, εἴτε τὸ ἔμβρυον ἐν ἑαυτῷ τὴν ἀρχὴν ἔχει τῶν φλεβῶν, εἴθ' ἡ μήτρα τῆς κυούσης. ἐπισκέπτεσθαι δ' ἐξ ὅπου τῶν σπλάγχνων αὗται πεφύκασιν, ἑτοίμη δ' εὕρεσις ἐκ τῶν ἐν ταῖς ἀνατομαῖς φαινομένων. εἰς ὃ γὰρ ἅπασαι περαίνουσιν αἱ κατὰ τὸ χορίον, ἐκεῖθεν πεφύκασιν. ἀλλὰ μὴν ἐναργῶς τοῦτό γε φαίνεται πᾶσι τοῖς ὀφθαλμοὺς ἔχουσιν, εἰς μίαν ἅπασαι συνιοῦσαι φλέβα τὴν ἐκ τοῦ ἥπατος ἐκπεφυκυῖαν, ὥσπερ γε καὶ αἱ ἀρτηρίαι πᾶσαι πρὸς τὴν μεγάλην ἀρτηρίαν τὴν κατὰ ῥάχιν. ἀλλ' ἐνταῦθα μὲν ὥσπερ ἔξωθεν τοῦ ἐμβρύου διέξεισιν ἡ ἀρτηρία καθ' ὅλον τὸν ἀμνειὸν, οὕτω καὶ μέχρι τῆς κατὰ ῥάχιν ἀρτηρίας δύο διαμένουσαι παρέρχονται. συνέρχονται δ' εἰς φλέβα μίαν αἱ κατὰ τὸν ὀμφαλὸν ὁρμώμεναι δύο φλέβες. αὕτη μὲν οὖν ἡ φλὲψ εὐθὺ τοῦ ἥπατος ἀφικνεῖται· τὰς δύο ἀρτηρίας, οὔτ' ἐπὶ τὴν καρδίαν ἂν τὴν ἄντικρυς, οὔτ' ἐπὶ τὴν μεγάλην ἀρτηρίαν ἡ φορά. περιλαβοῦσαι γὰρ ἑκατέρωθεν τὴν κύστιν εἰς τὸ κάταντες ἔρχονται, μέχρι περ ἂν ἐντύχωσι ταῖς ἐπὶ τὰ σκέλη τοῦ κυουμένου φερομέναις ἀρτηρίαις. ἀλλ' ἐπεὶ τῆς κατὰ τὴν ὀσφὺν ἀφώρμηνται τῆς μεγάλης ἀρτηρίας, διὰ τοῦτ' ἔνιοι τῶν ἀνατομικῶν, ὡς ἐκείνην αὐτὰς ἔφασαν περαίνειν, εἰ μὲν ἀκριβολογεῖταί τις, οὐκ ἀληθεύοντες. εἰ δὲ ὡς εἴρηται νῦν ἀκούει τῶν λεγομένων, οὔτε ἀκριβοῦντες τοῦ φαινομένου τὴν διήγησιν, οὔτε μέγα τι σφαλλόμενοι. θαυμαστὸν οὖν εἶναί μοι δοκεῖ τῶν ἀνδρῶν ὅσοι τὰς μὲν ἀρτηρίας ἁπάσας τὰς κατὰ τὸ χορίον τε καὶ τὸν ὀμφαλὸν ἐκ τῆς καρδίας πεφυκέναι φασὶν, καίτοι οὔτ' ἐξ ἐκείνης ἐκφυομένας, οὔτ' ἐκ τῆς μεγάλης τῆς κατ' ὀσφὺν, ἀλλ' ἐκ τῶν ἀπ' ἐκείνης εἰς τὰ σκέλη πεφυκυιῶν ἑτέρων.

At si hoc fiat, etiam arteriarum originem necesse erit extremas illas quæ in vuluam pertinent, corde prætermisso statuere. Ostende igitur nobis præterea neruorum etiam principium ex his ipsis procedere. At neque est aliquis neruus ex vtero emanans in secundas, neque in secundis apparens, neque iuxta vmbilicum vel extrinsecus intrò procedens, vel ab internis foràs excurrens, neque enim erat omnino necesse, neruorum principium eius quod gignitur, vtero esse commissum, quemadmodum arteriarum venarúmque initium. Hæ siquidem materias ex ea quæ vterum fert requirunt, initium verò neruorum non requirunt. Ostensum est etiam in prioribus iam sermonibus, quomodo maxima vasa minorum sint principia. Proinde & vena ex iecore procedens, omnium quæ secundas perreptant, initium existit, sicuti & arteria quæ ex corde proficiscitur. Etenim hæc quoque omnibus quæ in secundis sunt propriam facultatem suppeditat, non ille huic, quippe ex semine infantibus prouenit initium facultatum eos regentium, non ex vtero. Porrò si fune interceperis, aut tuismet digitis vmbilici arterias compresseris, omnes quæ in secundis habentur, statim pulsu videbis destitutas; cuius contrarium appareret, si motus initium ipsis vterus exhiberet. Videor autem diutius immorari in re manifesta, simul & anatomicis propemodum omnibus confessa; etenim quomodo diuidendum sit fœminæ in vtero gerentis abdomen, & quomodo infans nudus reddatur, vtero adhuc affixus, non nostrum inuentum est, sed à multis vetustioribus expositum. Apud hos ipsos in confesso est etiam, quod conceptus facultatum quæ ipsum gubernent, in seipso habeat principia; quare digredi iam conuenit ab ea inquisitione, vtrum fœtus in se venarum habeat initium, an vulua grauidæ. Inspicere autem quo ex viscere hæ processerint, prompta autem est inuentio ex iis quæ in dissectionibus apparent; nam in quod omnes secundarum venæ terminantur, inde procedunt. Atqui manifestò hoc apparet omnibus qui oculos habent, vniuersæ in vnam coëunt venam ex iecore profectam, sicuti & arteriæ omnes ad magnam spinæ arteriam concurrunt; sed hîc sanè quemadmodum extra fœtum permeat arteria per totum amnium, ita etiam vsque ad spinæ arteriam duæ permanentes, procedunt. Venæ autem duæ per vmbilicum excurrentes, in vnam venam coëunt, quæ rectà ad iecur accedit; duæ autem arteriæ, neque ad cor ipsum manifestò, neque ad magnam arteriam deferuntur; nam vtrobique vesicam circumplexæ in decliue pergunt, vsque dum arteriis inciderint quæ ad crura fœtus feruntur. Sed quoniam ex magna lumborum arteria defluxerunt, ideò nonnulli anatomicorum ad illam, has terminari dixerunt. Qod si quis exactè consideret, vera non dicunt; sin autem, quis, vt dictum est, nunc intelligat ea quæ recensentur, neque exactè eius quod apparet, narrationem tractant, neque multùm adeò aberrant. Mirabile igitur mihi videtur de viris qui arterias quidem omnes, tum secundas, tum vmbilicum perreptantes, ex corde prouenisse dicunt, quum neque ex illo procedant, neque ex magna per lumbos excurrente, sed ex iis quæ ab illa in crura enascuntur.

At æquum erat arbitror iecur principium ponere omnium & vmbilicum secundas perreptantium venarum, sicuti & cor arteriarum statuimus. Quæ enim vasa ex iis quæ ab alio nata sunt prodierunt, idem cum illis initium obtinent. Multò magis ergo iecur venarum initium poni debet, quàm cor arteriarum, quantum ad ea pertinet quæ ex dissectione apparent; quippe quoniam euidentiora ei insunt principij indicia. Sed nec illud quoque te lateat, quod omninò pulsarent venæ, si ex corde ducerent originem.

CAPVT VII.

Aduersus Praxagoram & Philotimum de arteriarum pulsatione.

Disputatio autem non ampliùs mihi cum Erasistrato, aut Erasistrateis est, sed aduersus eos qui putant, non quia spiritu arteriæ implentur, ideo eleuari ipsas & pulsare, sed quia eleuantur, pulsántque, ideo repleri. Commune igitur hoc placitum multorum & insignium virorum est, sicuti etiam quòd facultatem ex corde tunicæ arteriarum dilatandi & contrahendi suscipiunt. In quo haud noui qua ratione desciuerint ab eis Praxagoras & Philotimus quum in aliis consentiant, arbitrantur tamen arterias planè ex seipsis pulsare; proindéque si quis carnem ex animali excisam palpitantem in terram deiiciat, euidenter arteriarum motum viderit. Nollem profectò eatenus aberrare tales viros ab eo quod apparet, vt non possint palpitationem à pulsu distinguere. Hoc quidem, siquid iudico, eos viros nouisse oportebat; non ignorasse autem & illud, quòd si solam excideris arteriam, non mouetur, quemadmodum neque si vinculo interceperis, adhuc cordi connexam. Atqui mirabile, quum quidem extra animal est, non solùm cordis, sed aliarum omnium partium ablato consortio, citra impedimentum ipsam pulsare; quando autem commissa est omnibus, pulsu destitui, fune interceptam. Sed neque extrinsecus, admirande Praxagora, semper palpitat ex corde excisa. Verùm quid in hoc ipsum coarguere contendam? Satis enim est ostendisse solas arterias & motu & pulsu omninò destitutas, quum ex animante fuerint exemptæ; à corde igitur ipsis motus est; atque id rectè etiam dixit Erasistratus, non rectè autem motus generationem exposuit. Etenim singulæ arteriæ non quasi vter qui inflatur, à corde spiritum exprimente replentur, verùm quòd ei commissæ sint, & ex illo processerint, eiusdem cum toto viscere facultatis euaserunt compotes. Quòd autem totum cordis corpus pulsat dilatatum contractúmque ex seipso, ferè iam hoc etiam ex dissectionibus cognosces, tunc vbi dextram ipsius partem explicueris. Cæterum cor nudatur thorace non dissecto, modò cartilago xiphoeides fuerit excisa, prope quam suspensum est cordis inuolucrum pericardium. Porrò tertia hæc thoracis capacitas est in medio pectore, à reliquis duabus diuersa. Si igitur & hoc feceris & rectum, vt dictum est, dextrum thoracem secueris, dextri cordis sinus pulsum euidenter contuebere. Non latebit te etiam vas ei insertum, quod est propago cauæ venæ, quemadmodum & arteria pulsans.

δίκαιον ἦν, οἶμαι, τὸ ἧπαρ ἀρχὴν τίθεσθαι τῶν κατὰ τὸν ὀμφαλόν τε, καὶ τὸ χορίον ἁπασῶν τῶν φλεβῶν, ὥσπερ καὶ τὴν καρδίαν ἐθέμεθα τῶν ἀρτηριῶν. ὅσα γὰρ ἀγγεῖα τῶν ἐξ ἑτέρου πεφυκότων ἐκπέφυκε, τὴν αὐτὴν ἀρχὴν ἐκείνοις ἔχει. πολὺ μᾶλλον οὖν τὸ ἧπαρ ἀρχὴν τῶν φλεβῶν ἐστὶ θετέον, ἢ τὴν καρδίαν τῶν ἀρτηριῶν, ὅσον ἐπὶ τοῖς ἐξ ἀνατομῆς φαινομένοις. ἐναργέστερα γὰρ αὐτῷ τὰ τῆς ἀρχῆς ὑπάρχει γνωρίσματα. μὴ τοίνυν μηδὲ ἐκεῖνό σε λανθανέτω, διότι πάντως ἂν ἔσφυζον αἱ φλέβες, εἴπερ ἐκ τῆς καρδίας ἐπεφύκεισαν.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Πρὸς τὸν Πραξαγόραν τε, καὶ τὸν Φιλότιμον περὶ τοῦ τῶν ἀρτηριῶν σφυγμοῦ.

Ὁ λόγος δ' οὐκ ἔτι μοι πρὸς Ἐρασίστρατον, ἢ τοὺς Ἐρασιστρατείους ἐστὶν, ἀλλὰ πρὸς τοὺς ἡγουμένους οὐ διότι πληροῦνται πνεύματος αἱ ἀρτηρίαι, διὰ τοῦτο διαστέλλεσθαί τε καὶ σφύζειν αὐτάς, ἀλλὰ διότι διαστέλλονταί τε καὶ σφύζουσι, διὰ τοῦτο πληροῦσθαι. κοινὸν μὲν οὖν τουτὶ τὸ δόγμα πολλῶν τ' ἐστὶ καὶ δοκίμων ἀνδρῶν, ὥσπερ γε καὶ ὅτι τὴν δύναμιν ἐκ τῆς καρδίας, οἱ χιτῶνες τῶν ἀρτηριῶν τοῦ διαστέλλεσθαι, καὶ συστέλλεσθαι λαμβάνουσιν. ἀπεχώρησαν δ' οὖν οὐκ οἶδ' ὅπως αὐτῶν ἐν τῷδε Πραξαγόρας τε, καὶ Φιλότιμος ὁμολογήσαντες τἄλλα, καὶ νομίζουσι τὸ πάμπαν ἐξ ἑαυτῶν σφύζειν τὰς ἀρτηρίας, ὥστε καὶ εἰ σάρκα τις ἐκτεμὼν ζώου, καταθείη παλλομένην ἐπὶ τῆς γῆς, ἐναργῶς ὁρᾶσθαι τὴν κίνησιν τῶν ἀρτηριῶν. οὔκουν ἐβουλόμην ἐς τοσόνδε διαμαρτεῖν τοῦ φαινομένου τηλικούτους ἄνδρας, ὡς μὴ δύνασθαι διορίσαι παλμὸν σφυγμοῦ. χρῆν δ' οἶμαι γιγνώσκεσθαι μὲν καὶ τοῦτο τοῖς ἀνδράσι, γιγνώσκεσθαι δὲ καὶ ὡς εἰ μόνην ἐκτέμοις ἀρτηρίαν, οὐ κινεῖται καθάπερ οὐδ' εἰ βρόχῳ διαλάβοις ἔτι συνημμένην τῇ καρδίᾳ, καίτοι θαυμαστὸν ἡνίκα μέν ἐστιν ἔξω τοῦ ζώου, μὴ μόνον τῆς καρδίας, ἀλλὰ καὶ τῆς τῶν ἄλλων ἁπάντων μορίων ἀφῃρημένης συμπνοίας, ἀκωλύτως σφύζειν αὐτήν. ἡνίκα δὲ συνῆπται πᾶσιν, ἄσφυκτον γίγνεσθαι βρόχῳ διαληφθεῖσαν. ἀλλ' οὐδὲ γὰρ ἔξω θαυμασιώτατε Πραξαγόρα πάλλεται διαπαντὸς ἐκτεμνομένη τοῦ ζώου, καίτοι τί περὶ τούτου φιλοτιμοῦμαι διελέγχειν αὐτόν. ἀρκεῖ γὰρ ἐπιδεῖξαι μόνας τὰς ἀρτηρίας ἀκινήτους τε καὶ ἀσφύκτους ἀκριβῶς γιγνομένας, ὅταν ἐκτμηθῶσι τοῦ ζώου, παρὰ τῆς καρδίας οὖν αὐταῖς τὸ κινεῖσθαι. καὶ τοῦτ' ὀρθῶς μὲν εἶπε καὶ ὁ Ἐρασίστρατος, οὐκ ὀρθῶς δ' ἐξηγήσατο τῆς κινήσεως τὴν γένεσιν. οὐ γὰρ ὡς ἀσκὸς ἐμφυσώμενος ὑπὸ τῆς καρδίας ἐκθλιβούσης, τὸ πνεῦμα πληροῦται τῶν ἀρτηριῶν ἑκάστη, τῷ συνῆφθαι δ' αὐτῇ καὶ ἐξ ἐκείνης πεφυκέναι τῆς αὐτῆς ὅλῳ τῷ σπλάγχνῳ κεκοινώνηκε δυνάμεως. ὅτι δ' ὅλον σφύζει τῆς καρδίας τὸ σῶμα, διαστελλόμενόν τε καὶ συστελλόμενον ἐξ ἑαυτοῦ, σχεδὸν ἤδη τοῦτο καὶ διὰ τῶν ἀνατομῶν γνωρίσεις, ἡνίκα τὸ δεξιὸν αὐτοῦ μέρος ἀναπτύξας. γυμνοῦται δ' ἡ καρδία χωρὶς τοῦ συντμηθῆναι τὸν θώρακα τοῦ ξιφοειδοῦς ἐκκοπέντος, ᾧ ἐγγὺς ἤρτηται τὸ περικάρδιον σκέπασμα. τρίτη δὲ αὕτη τοῦ θώρακός ἐστιν εὐρυχωρία κατὰ μέσα τὰ στέρνα, μηδετέρα οὖσα τῶν ὑπολοίπων δυοῖν. ἐὰν οὖν ἅμα τε τοῦτο ποιήσῃς, καὶ τέμῃς ὄρθιον ὡς εἴρηται, τὸν δεξιὸν θώρακα τῆς δεξιᾶς κοιλίας τῆς καρδίας ἐναργῶς ὄψει τὸν σφυγμόν. οὐ λήσεταί σε οὐδὲ τὸ καταφυόμενον εἰς αὐτὴν ἀγγεῖον, ὅπερ ἐστὶν ἀποβλάστημα τῆς κοίλης, ὁμοίως ταῖς ἀρτηρίαις σφύζον.

εἴτε δὲ τῷ δέχεσθαι δύναμιν ἐκ τῆς καρδίας ἄχρι τοῦ βράττεσθαι ἐπιῤῥέουσαν, εἴτε τοῦ αἵματος τῆς ἐπὶ τοὐναντία φορᾶς τῇ κατὰ τὸ δεξιὸν οὖς, εἴτε ἄλλῳ τινὶ τρόπῳ τὴν κίνησιν ταύτην ἡ κοίλη φλὲψ λαμβάνει, περιττὸν ἐν τῷ παρόντι σκοπεῖν. ἱκανὸν γὰρ εἰς τὰ προκείμενα, τὸ μηδ' ὅλως σφύζειν αὐτὴν ὥσπερ τὴν μεγάλην ἀρτηρίαν, ἅμα ταῖς ἄλλαις ἁπάσαις ταῖς κατὰ τὸ σῶμα. ὅτι μὲν οὖν οὔτε τῆς πρώτης γενέσεως τῶν φλεβῶν, οὔτε τῆς μετὰ ταῦτα διοικήσεώς ἐστιν ἀρχὴ ἡ καρδία, δέδεικται σαφῶς.

An verò facultatem ex corde recipiat, adeò vt eousque ebulliat, influentem, an eò quòd sanguis in contrariam partem in dextra auricula feratur, siue alio quodam modo motum hunc caua vena suscipiat, superfluum est in præsentia considerare. Abundè enim ad institutum est, quòd neutiquam sic ipsa pulsat, quemadmodum magna arteria simul cum aliis vniuersis corpus percurrentibus. Quòd igitur neque primæ venarum generationis, neque gubernationis post hæc initium cor sit, manifestò ostensum est.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Πρὸς τὰ τινῶν λήμματα τῶν τὴν μὲν καρδίαν τῶν φλεβῶν ἀρχὴν νομισάντων, ἧπαρ δὲ ἐκ τῆς ἑαυτοῦ οὐσίας τὴν τῆς ἐξαιματώσεως ἀρχὴν εἶναι.

CAPVT VIII.

In quorumdam obiectiones qui cor venarum principium esse existimarunt, & iecur ex propria substantia sanguinis procreandi principium esse.

Υπόλοιπον δ' ἐστὶν ὑφ' οὗ ἐδόξασάν τινες ἄτοπον μὲν ἱκανῶς, ὅμως δὲ ἀρέσαν ἐνίοις τῶν ἐνδόξων ἰατρῶν, ἐξηγήσασθαι μὲν πρότερον, ἐπιδεῖξαι δέ τι καθὸ, τί διημάρτηται. φασὶ γὰρ ὥσπερ ὁδοῦ τις ἀρχὴ λέγεται, κατὰ τὸν αὐτὸν ἐγχωρεῖν τρόπον εἶναί τινα καὶ φλεβῶν ἀρχήν, οὐδὲν κωλύον εἰ καὶ τελευτὴν ὀνομάζει τις αὐτήν. ἐν γὰρ τῷ πρός τι τὴν τοιαύτην ἀρχὴν εἶναι τὰς Ἀθήνας. ἀλλὰ κατὰ τοῦτόν γε τὸν τρόπον οὐχ ἡ καρδία μόνον, ἀλλὰ καὶ πᾶν ἄλλο μόριον ἀρχή τε ἅμα δύναται, καὶ τελευτὴ λέγεσθαι τῶν εἰς αὐτὸ καταφερομένων ἀγγείων. οὕτως οὖν καὶ ἡ καρδία τῆς κοίλης φλεβὸς οὐδὲν μᾶλλον ἀρχή, ἢ τελευτὴ νομίζοιτο· τῆς δ' ἐπὶ ταῖς πύλαις οὐδαμῶς ἂν ἀρχὴ ἢ τελευτὴ νομίζοιτο, μήτ' αὐτῆς ἐκείνης τῆς φλεβὸς εἰς τὴν καρδίαν περαιούσης, μήτε τῶν ἀπ' αὐτῆς ἀποσχιζομένων μηδεμιᾶς, ἐκείνου οὐδὲ τῶν καθ' ὅλον τὸ σῶμα φλεβῶν. ὥστε διαμαρτάνουσιν εἰ μηδὲν ὧν οἴδασι δέον ὁδῶν μνημονεύοντες. ἄχρηστος γὰρ ἡ τοιαύτη ζήτησις, τοῖς ὑποθεμένοις γε χρήσιμον ὑπάρχειν αὐτήν. τὸ μὲν δὴ ἧπαρ ἀρχή τε ἅμα καὶ τελευτὴ συμπασῶν ἔσται τῶν φλεβῶν, ἄλλο δ' οὐδέν, οὔτε σπλάγχνον, οὔτε μέρος, ὅτι μηδὲ συνεχεῖς εἰσιν αἱ καθ' ὅλον τὸ σῶμα φλέβες ἑτέρῳ τινὶ μορίῳ. πάλιν οὖν αὖθις ἐπὶ κεφαλαίων ἀναλάβωμεν τὸν λόγον. εἰ τὴν τῆς πρώτης γενέσεως ἀρχὴν τῶν φλεβῶν ζητεῖς, ἧπάρ ἐστιν, εἰ τῆς κατὰ τὴν ὕλην διοικήσεως ἧ τρέφεται τὸ σύμπαν σῶμα, καὶ δυνάμεως, οὐδ' οὕτως ἄλλο τι σπλάγχνον εὑρήσεις ἐπιτηδειότατον ἀρχὴν νομισθῆναι. φημὶ γὰρ καὶ τὰς φύσει παρελθὼν ἀρχὰς εἴτε τὴν, ὡς διδασκαλίας ἀρχήν, ἢ τὴν ὡς ὁδόν, ἢ ὁπωσοῦν ἄλλως ἐθέλοι σκοπεῖσθαι, πᾶσαν ἐπίνοιαν ἀρχῆς ἐπιτήδειόν ἐστι δέξασθαι τὸ ἧπαρ. εἰ γὰρ ὄντως τε καὶ φύσει τῶν φλεβῶν ἐστιν ἀρχή, θαυμαστὸν τοῦτο κατὰ πάντα τρόπον ἀρχὴν αὐτῶν εὑρίσκεσθαι. ἆρ' οὖν ἤδη καταπαύσωμεν ἐνταυθοῖ τὸν λόγον, ἢ προσθῶμεν αὐτῷ κεφάλαιον ἕν τι τῶν ἔμπροσθεν ἀναβληθέντων, ἡνίκ' ἐλέγομεν οὐκ ἄν τινα γεγυμνασμένον ἐν τοῖς περὶ τῶν φυσικῶν δυνάμεων λογισμοῖς, ἄλλο γενέσεως αἵματος ἀποφαίνεσθαι σπλάγχνον αἰτιώτερον ἥπατος. ἄμεινον ἴσως ἐστὶν ὑπὲρ τοῦ πάντ' εἰρῆσθαι προσθεῖναι, κἂν ὅτι μάλιστα τὸ προκείμενον ἐξ ἀρχῆς ἀποδεδειγμένον ὑπάρχῃ τελέως, ὅτι μὲν ἀλλοιοῦσθαι τὸ τρέφον εἰς τὴν τοῦ τρεφομένου μεταβαλλόμενον οὐσίαν, ἡμῖν τε δι' ἑτέρων ἀποδέδεικται. καὶ σχεδὸν ὑπὸ τῶν ἀρίστων ἰατρῶν τε, καὶ φιλοσόφων ἀποδέδεικται. ὅτι δ' εἴπερ ὁ ἐκ τῆς γαστρὸς εἰς ἧπαρ ἀναδιδόμενος χυμὸς αἷμα φαίνεται γιγνόμενος,

Reliquum est, id quod nonnulli opinati sunt, absurdum sanè admodum, verumtamen nonnullis nobilium medicorum gratum, interpretari priùs, deinde ostendere in quo aberrarint. Aiunt enim, sicut viæ quoddam initium dicitur, ita posse quoddam & venarum esse principium, quod tamen nihil prohibet, quin & finem ipsum quis nominet, quippe quod in ratione ad aliquid eiusmodi principium Athenas esse dicimus; sed hoc pacto non cor solùm, sed quælibet alia pars initium simul & finis dici potest vasorum in ipsam decurrentium. Sic igitur & cor cauæ venæ nihilomagis initium quàm finis putaretur; venæ autem ad portas sitæ nequaquam initium aut finis diceretur, dum neque illa ipsa vena in cor desinit, neque earum quæ ab ea propagantur vlla, quare neque earum quæ in vniuerso sunt corpore venarum. Quapropter errant qui viarum mentionem faciunt quarum conuenientem notitiam non habent; inutilis huiusmodi quæstio est iis qui vtilem ipsam esse ponunt. Iecur etenim principium simul & finis vniuersarum venarum erit; aliud autem nullum, neque viscus, neque pars, quoniam totius corporis venæ nulli alteri parti ne continuæ quidem existunt. Rursus igitur ex superioribus sermonem ad caput repetamus. Si primæ generationis exordium venarum requiris, iecur est; si materiæ dispensationis, qua vniuersum corpus nutritur, & facultatis, ne sic quidem aliud viscus reperias, quod aptius initium censeatur, duo etiam & naturalia prætergressus initia, si tanquam disciplinæ initium, vel tanquam viæ, vel quocunque alio modo considerare voles, omnem principij notionem recipere iecur est idoneum. Si enim verè & natura venarum est principium, nihil mirum omni modo, principium ipsarum inueniri. An igitur iam sermonem hîc finiemus, an apponemus ei caput vnum ex iis quæ superiùs distuleramus, quum diceremus nullum in naturalium facultatum speculationibus exercitatum, aliud generationis sanguinis viscus, causam magis quam iecur pronunciare. Satiùs forsan est, vt omnia dicta sint, hoc adiicere, licet quàm maximè res proposita ab initio absolutè sit demonstrata, nempe id quod nutrit, alterari in eius substantiam transiens, quod nutritur; id quod nos alibi, & propè præstantissimi tum medici, tum philosophi demonstrarunt. Porrò quòd si humor qui ex ventriculo in iecur distribuitur, sanguis fieri apparet, necessarium

necessarium sit mutationem ipsam à propria iecoris substantia effici, id non ita omnes consentiunt, verùm opinantur nonnulli ipsas venarum tunicas sanguinem efficere, licet si ipsas inanieris, nihil à membranosa nerueáve substantia differre videas. Quemadmodum igitur siquis à neruis, aut membranis, aut ossibus, aut cartilaginibus, aut pinguedine, aut summatim ab exangui corpore sanguinem gigni diceret, promptè eum damnaremus: eodem opinor modo, si etiam ad venarum tunicas ex sua ipsarum natura sanguinis generationem referas. Non enim rubrum illum humorem, sed album & viscosum reddere idoneæ sunt, vnde & generatio ipsis est; & incrementum, & nutritio. Demonstratum verò est de his priore de semine libro; & sanè si id quod mutatur, in similem speciem ei quod mutat, peruenit, iecoris ipsius carne nihil ad sanguinis generationem accommodatius reperias. Si enim sanguis fuerit incrassatus, exacta iecoris caro efficietur. At naturalium plurimi interpretes multa quum ignorent, tum alia nonnulla, tum ea quæ de naturalibus facultatibus opere demonstrauimus, negotium nobis facessunt. Nam ventriculus cibis circumdatur, peculiarem sibi humorem ex ipsis eliciens; donec fruitus & omninò repletus, superfluum totum ad ieiunum intestinum propellat. Inde rursus iecur ad se trahit ipsum, in ventriculo priori tempore elaboratum; non per Iouem ventre iecoris causa ipsum alterante, sed fieri nequit vt quum duo corpora in idem mutuò coëunt, non in se agant, patiantúrque; nam & hoc à nobis in illo commentario ostensum est, & quomodo fortius vincit, & alterum immutat. Sicut igitur ventris reliquum iecori fit idoneum, ita huius rursus ipsius superfluum iis quæ post iecur habentur omnibus; quum neque iecur ipsum illorum causa alimentum alteret, sed quo dixi modo, quum mutaret, alterarétque, id accommodatius interea redditur partibus post iecur sitis; siquidem vti ipsum per venas ex ventriculo, & intestinis alimentum attraxit, ita quæ post illud constituta sunt, per alias ad se venas alliciunt, deinde rursus alia: atque hoc fieri solet vsque dum in omnem animantis partem alimentum peruenerit; ac præparat vnumquodque semper, ac præcoquit ei quod sequitur secundum distributionis continuitatem. Sic igitur & iecur succum ex ventriculo distributum, sibi ipsi, hoc est carni, & ipsius substantiæ (quod à nonnulllis medicis parenchyma dicitur) assimilat. Singulæ enim instrumentariæ animantis partes quum ex aliis simplicioribus constent partibus, omninò peculiari quadam eiusmodi substantia constant, quali non aliud totius animantis corpus. Sanè ventriculi corpus proprium, quale non aliud omnium existit. Similiter & lienis, cerebri, renum, linguæ, oculorum, vesicæ, & vteri; arteriæ verò, nerui, & venæ instrumentis inseruntur communis vsus gratia; ita verò nonnullis ipsorum membranæ & ligamenta. Proprium autem cuiusque corporis sine his existit; quare etiam actionem eximiè diuersa ab aliis possident. Siquidem ex communi necesse est scilicet actionem communem quoque esse; non enim potest ex corporis loco, venæ, aut arteriæ, aut nerui actio immutari;

ἀναγκαῖον ὑπὸ τῆς οἰκείας οὐσίας τοῦ ἥπατος ἐγγίγνεσθαι τὴν ἀλλοίωσιν αὐτήν, τοῦτ' οὐκέτι σύμπαντες ὁμολογοῦσιν, ἀλλ' ἠξιώκασί τινες αὐτοὺς τῶν φλεβῶν τοὺς χιτῶνας ἐργάζεσθαι τὸ αἷμα, καίτοι γ' εἰ ἐκκενώσαις αὐτούς, οὐδὲν ὑμενώδους ἢ νευρώδους οὐσίας θεάσῃ διαφέροντας. ὥσπερ οὖν εἴ τις ὑπὸ νεύρων, ἢ ὑμένων, ἢ ὀστῶν, ἢ χόνδρων, ἢ πιμελῆς, ἢ ὅλως ἀναίμου σώματος ἔφασκε γίγνεσθαι τὸ αἷμα, κατεγνώκαμεν ἂν ἑτοίμως αὐτοῦ, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, εἰ καὶ τοῖς τῶν φλεβῶν χιτῶσι κατὰ τὴν ἑαυτῶν φύσιν ἀναφέροι γένεσιν αἵματος. οὐ γὰρ ἐρυθρὸν ἐκεῖνοί γε χυμόν, ἀλλὰ λευκὸν καὶ γλίσχρον ἐργάζεσθαι πεφύκασιν, ἐξ οὗ ἥτε γένεσις αὐτοῖς ἐστιν, ἥτ' αὔξησίς τε καὶ θρέψις. ἀποδέδεικται δὲ περὶ τούτων ἐν τῷ προτέρῳ περὶ σπέρματος γράμματι, καὶ μὲν εἴπερ εἰς ὁμοίαν ἰδέαν τῷ μεταβάλλοντι τὸ μεταβαλλόμενον ἀφικνεῖται, τῆς τοῦ ἥπατος αὐτοῦ σαρκὸς οὐδὲν ἂν εὕροις ἐπιτηδειότερον εἰς αἵματος γένεσιν. εἰ γὰρ παχυνθείη τὸ αἷμα, σὰρξ ἥπατος ἀκριβὴς ἀπεργασθήσεται. πολλὰ δ' ἀγνοήσαντες οἶμαι τῶν φυσικῶν οἱ πλεῖστοι, πράγμαθ' ἡμῖν παρέχουσιν, ὧν ἄλλα τέ τινά ἐστι, καὶ τὰ διὰ τῆς περὶ τῶν φυσικῶν δυνάμεων πραγματείας ἀποδεδειγμένα. περιστέλλεται γὰρ ἡ γαστὴρ τοῖς σιτίοις, ἕλκουσα τὸν οἰκεῖον ἑαυτῇ χυμὸν ἐξ αὐτῶν, ἔστ' ἂν ἀπολαύσασα, καὶ τελέως ἐμπλησθεῖσα διώσηται τὸ περιττὸν ἅπαν εἰς τὴν νῆστιν, ἐντεῦθεν δ' αὖθις ἕλκει τὸ ἧπαρ εἰς ἑαυτό, προκατειργασμένον αὐτὸν ἐν τῇ γαστρὶ κατὰ τὸν ἔμπροσθεν χρόνον, οὐ μὰ Δία τῆς γαστρὸς ἕνεκα τοῦ ἥπατος ἀλλοιούσης αὐτόν, ἀλλὰ ἀδύνατον εἰς ταὐτὸν ἀλλήλοις ἰόντα δύο σώματα μὴ δρᾶν, καὶ πάσχειν εἰς ἄλληλα. δέδεικται γὰρ δὴ καὶ τοῦθ' ἡμῖν ἐν ἐκείνῃ τῇ πραγματείᾳ, καὶ ὡς τὸ ἰσχυρότερον νικᾷ, καὶ μεταβάλλει θάτερον. ὥσπερ οὖν τὸ τῆς γαστρὸς λείψανον ἐπιτήδειον γίνεται τῷ ἥπατι, κατὰ τὸν αὐτὸν τρόπον, τοῖς μεθ' ἧπαρ ἅπασι τὸ τούτου πάλιν αὐτοῦ περιττόν. οὐδ' οὖν οὐδ' αὐτοῦ τοῦ ἥπατος ἐκείνων ἕνεκεν ἀλλοιώσαντος τὴν τροφήν, ἀλλὰ καθ' ὃν εἴρηκα τρόπον ἡνίκα μεταβάλλοντός τε, καὶ ἀλλοιοῦντος ἐπιτηδειότερα ἐν τῷδε γίγνεται τοῖς μεθ' ἧπαρ μορίοις. ὡς γὰρ αὐτὸ διὰ τῶν φλεβῶν εἵλκυσεν ἐκ γαστρός τε, καὶ τῶν ἐντέρων τὴν τροφήν, οὕτως ὅσα μετ' ἐκεῖνο τέτακται, δι' ἄλλων ἕλκει φλεβῶν εἰς ἑαυτά. κἄπειτ' αὖθις ἕτερα, καὶ τοῦτο ὑπάρχει γιγνόμενον ἄχρι περ ἂν εἰς ἅπαν ἀφίκηται τοῦ ζώου μόριον ἡ τροφή, παρασκευάζει δ' ἕκαστον ἀεὶ καὶ προπέττει τὸ μεθ' αὐτὸ κατὰ τὸ συνεχὲς τῆς διαδόσεως. οὕτως οὖν καὶ τὸ ἧπαρ προσομοιοῖ τὸν ἐκ τῆς κοιλίας ἀναδοθέντα χυλὸν ἑαυτῷ, τουτέστι τῇ σαρκί τε καὶ τῇ οὐσίᾳ τῇ ἑαυτοῦ, τῷ καλουμένῳ πρὸς ἐνίων ἰατρῶν παρεγχύματι. ἕκαστον γὰρ τῶν ὀργανικῶν τοῦ ζώου μορίων σύνθετον ὑπάρχον ἐξ ἑτέρων ἁπλουστέρων μορίων, πάντως ἴδιόν τι τοιοῦτον ὑπάρχει κατὰ τὴν οὐσίαν, οἷον οὐκ ἄλλο καθ' ὅλου τοῦ ζώου τὸ σῶμα. τὸ γοῦν τῆς γαστρὸς σῶμα τὸ ἴδιον, οἷον οὐκ ἄλλο τῶν πάντων ἐστίν. ὡσαύτως δὲ καὶ τὸ τοῦ σπληνός, ἐγκεφάλου τε καὶ νεφρῶν, καὶ γλώττης, καὶ ὀφθαλμῶν, καὶ κύστεων, καὶ μητρῶν. ἀρτηρίαι μὲν οὖν καὶ νεῦρα, καὶ φλέβες ἐμφύονται τοῖς ὀργάνοις ἕνεκα χρείας κοινῆς, ὡσαύτως δ' ἐνίοις αὐτῶν ὑμένες τε καὶ σύνδεσμοι. τὸ δ' ἴδιον ἑκάστου σώματος χωρὶς τούτων ἐστί, διὸ καὶ τὴν ἐνέργειαν ἐξαίρετον ἥτ' ἄλλα κέκτηται. κατὰ μὲν γὰρ τὸ κοινὸν ἀνάγκη δή που, καὶ τὴν ἐνέργειαν εἶναι κοινήν. οὐ γὰρ οἷόν τε παρὰ τοὺς τόπους τοῦ σώματος ὑπαλλάττεσθαι φλεβός, ἢ ἀρτηρίας, ἢ νεύρου τὴν ἐνέργειαν,

ἀλλ' αἵ τε κατὰ τὴν πτέρναν, αἵ τε κατὰ τὸν ἐγκέφαλον ἀρτηρίαι ἐννοήσοις, εὐθὺς αὐτῆς συνεπινοήσεις τὴν κοινὴν ἁπασῶν ἀρτηριῶν ἐνέργειαν. ὡσαύτως δὲ καὶ νεύρῳ, καὶ φλεβί, καὶ ὀστῷ, καὶ χόνδρῳ, καὶ ὑμένι, καὶ συνδέσμῳ, καὶ πιμελῇ. κατὰ δὲ τὸ ἴδιον εἶδος ἑκάστης οὐσίας ἰδίαν ἀναγκαῖον εἶναι τὴν ἐνέργειαν, οἷον γάρ ἐστι τὸ τοῦ πνεύμονος σῶμα, κατὰ τὴν οὐσίαν οὐκ ἂν εὕροις ἕτερον, οὐδ' οἷον ἐγκεφάλου οὐδὲν ἄλλο τοιοῦτον, ὥσπερ οὐδὲ ὁποῖον ἡ καρδία σῶμα κατὰ τὴν οὐσίαν ἐστίν, οὐδὲν ἀκριβῶς ἄλλο τοιοῦτον ὑπάρχει. καὶ νεφροὶ δὲ καὶ σπλὴν ἑκάτερον αὐτῶν οἷον οὐκ ἄλλο, καὶ διὰ τοῦτο ἡ ἐνέργεια καθ' ἕκαστον ἴδιος ἐπὶ τῇ τῆς οὐσίας ἰδίᾳ, καὶ ἡ τοῖσδε σὰρξ ἰδιότητα πολλὴν ἔχει παρὰ τὰς ἄλλας σάρκας. ἐν ὀφθαλμῷ δὲ τί δεῖ καὶ λέγειν, ὡς ἴδιον ἐξαίρετον, καὶ οὐδ' ἐγγὺς οὐδενὶ τῶν ἄλλων ἐοικός ἐστι τὸ κρυσταλλοειδές; ὅτε καὶ τὸ τῆς ἐνεργείας τῆς κατ' αὐτὸ μηδενὶ προσέοικεν. οὐδὲν οὖν θαυμαστόν ἐστιν, οὐδὲ τὸ τοῦ ἥπατος ἴδιον σῶμα κατὰ τὴν αὐτοῦ φύσιν κεκτῆσθαι τὴν ἐνέργειαν. ἐρυθρότατον μὲν γάρ ἐστιν, ὥστε τὸ αἷμα καὶ τῷ πεπῆχθαι μόνον αὐτοῦ διαφέρειν· θρόμβου μὲν γὰρ ἡ πῆξις ὑπὸ τοῦ περιέχοντος γίγνεται. σβεννύουσα μὲν ἐξ αὐτοῦ τὴν θερμότητα, μελαίνουσα δὲ διὰ τὴν ψύξιν, οὐχ οὕτως καὶ κατὰ τὸ ἧπαρ, ἀλλ' ὑπό γε τῆς ἐμφύτου θερμασίας, κοσμούσης αὐτὸ μᾶλλον ἢ φθειρούσης. ἀλλοιοῦται μὲν γὰρ ἑκατέρως τὸ αἷμα, κἂν θρόμβος γίνηται, κἂν ἥπατος σάρξ. ἀλλ' ὁ μὲν εἰς θρόμβον ἀλλοίωσις, ὁδὸς ἐπὶ φθοράν ἐστιν, ἡ δ' εἰς τὴν ἥπατος οὐσίαν, ἐνέργεια φύσεως. οὐδ' ἐστὶν οὐδὲν ὁμοιότερον εὑρεῖν αἵματι τῆς ἥπατος ἰδέας. εἴρηται μὲν οὐ καλῶς οὐδ' ὑπὸ τῶν εἰπόντων τῇ πρώτῃ καὶ νεοπαγεῖ σαρκὶ, παραπλήσιον γίνεσθαι στάξαν εἰς ὕδωρ χλιαρὸν αἷμα. πολὺ δὲ δὴ μᾶλλον ἡ συμμετρία τῆς ἐμφύτου θερμασίας ἀκριβῆ περιτίθησιν αὐτῷ τὸν κόσμον. εἴπερ οὖν ἕκαστον μόριον ἐξ ὁμοιοτάτου κατὰ τὴν οὐσίαν ἑαυτῷ τρέφεται χυμοῦ, καὶ τοῦτον παρασκευάζειν ἑαυτῷ πέφυκεν, ἀλλοιοῦν τε καὶ μεταβάλλειν, ἡ τοῦ αἵματος γένεσις, ἔργον τῆς ἥπατος σαρκός. αὕτη δ' ἐστὶν ὡς ἐδείχθη τὸ ἴδιον ἑαυτοῦ σῶμα, διὸ τῶν ἄλλων ἀποκριθὲν, ἕν τι τῶν σπλάγχνων ἐστὶ μονογενές. μετέχει μὲν οὖν καὶ ἡ καρδία τοῦ τοιούτου χρώματος, ἀλλ' οὐκ εἰς ὅσον ἧπαρ, ὑγρότερον γάρ ἐστι τὸ σπλάγχνον τοῦτο τῆς καρδίας, καὶ διὰ τοῦτ' ἐρυθρότερόν τε καὶ μαλακώτερον, ἡ δὲ ξηροτέρα τε καὶ θερμοτέρα τοῦ ἥπατος ὑπάρχει. οὕτως γὰρ ἤμελλεν ἅμα τε σκληροτέρα γενήσεσθαι καὶ κινήσεσθαι διττὴν κίνησιν, ὁμοίως ταῖς ἀρτηρίαις, ἵν' ἐκ μὲν τῆς τοιαύτης κινήσεως ἡ συμμετρία φυλάττηται τῆς ἐμφύτου θερμασίας, ὡς ἐν τῷ περὶ χρείας σφυγμῶν ἐπεδείξαμεν. ἡ σκληρότης δὲ τὸ δυσπαθὲς αὐτῇ παρέχει, συνεχέσι τε κινήσεσι, καὶ σφόδρα ἰσχυραῖς ἐνίοτε παρεσκευασμέναις ὑπὸ τῆς φύσεως· ὅθεν οὐδὲ τὸ ἴδιον αὐτῆς αἷμα τοιοῦτόν ἐστιν, οἷόνπερ τὸ τοῦ ἥπατος, ἀλλ' ὅσῳ θερμότερον τὸ σπλάγχνον τοῦ σπλάγχνου, τοσούτῳ ξανθότερον, ὅπερ ἴδιον αἵματος ξηροτέρου, καθάπερ τοῦ ὑγροτέρου τὸ ἐρυθρόν. εἴρηται δὲ καὶ ὑπὸ Πλάτωνος μὲν ἐν Τιμαίῳ περὶ τῆς τῶνδε τῶν χρωμάτων γενέσεως. ἀτὰρ οὖν καὶ ἡμεῖς αὖθις ἐξηγησάμεθά τε καὶ ἀπεδείξαμεν, ὡς ἀληθῶς εἴρηται πάντα, γεγραφ[illegible] ὑπὲρ αὐτῶν ἰδίᾳ καθ' ἕτερον λόγον. ἀλλὰ νῦν γε τὸ προκείμενον ἡμῖν περαίνωμεν. αἵματος ὑγροῦ μὲν τὴν κρᾶσιν, ἐρυθροῦ δὲ τὴν χρόαν, ἡ πρώτη μὲν ἐν ἥπατι γένεσις. ὀχετοὶ δὲ παράγοντές τε καὶ διανέμοντες αὐτὸ παντὶ τῷ σώματι φλέβες. αἵματος δὲ ξανθοῦ καὶ λεπτοῦ, καὶ λεπτομεροῦς, καὶ πνευματώδους, ἡ μὲν πρώτη γένεσις ἐν τῇ τῆς καρδίας ἀριστερᾷ κοιλίᾳ,

verùm siue in calce, siue in cerebro arteriam consideraueris, statim ipsius communem omnium arteriarum functionem simul perpendes. Simili ratione nerui, venæ, ossis, cartilaginis, membranæ, ligamenti, & pinguedinis. At secundum propriam vniuscuiusque substantiæ speciem propriam necesse functionem esse. Quale enim pulmonis corpus substantia est, non reperies aliud; neque quale cerebri, vllum eiusmodi aliud; quemadmodum neque quale cordis corpus substantia existit, nullum exactè aliud tale reperias. Item renes & lien, vtrumque ipsum, quale non aliud. Atque ideo actio cuiusque propria est, propter substantiæ proprietatem. Iam caro in his multam proprietatem præter alias carnes obtinet. In oculo autem quid etiam dicendum est quod peculiare corpus eximiùmque crystallinus humor sit, nulli aliorum vel propemodum simile, quoniam & actionis ipsius proprium nulli respondet. Nihil itaque mirum est iecoris proprium corpus secundum ipsius naturam actionem acquisiuisse, vt quod maximè rubrum sit veluti sanguis, & solùm eo quod coagulatum sit ab eo differens; grumi siquidem coagulatio ab ambiente fit extinguente eo quidem ipsius calorem, denigrante autem propter refrigerationem. At non ita etiam in hepate accidit, sed ab insito calore, qui exornet id eò magis, quàm corrumpat. Alteratur enim vtroque modo sanguis, & si grumus euaserit, & si iecoris caro. Verùm in grumum alteratio, via ad corruptionem est: in iecoris autem substantiam, actio naturæ; neque est quicquam sanguini similius inuenire, quàm iecoris speciem. Dictum sanè non rectè est ab iis qui asseuerant sanguinem tepidum in aquam distillatum, primæ & recens compactæ carni similem effici. Sed multò magis natiui caloris commoderatio, exactum ornamentum ei circundat. Si igitur singulæ partes ex succo simillimo sibi substantia nutriuntur, atque hunc præparare sibi natura possunt, & alterare & mutare, sanguinis generatio opus iecoris ipsius carnis existit. Hæc autem est, vt ostendi, corpus ipsius peculiare, quocirca ab aliis segregatum aliquod viscus sui generis est. Itaque compos est etiam cor huiusmodi coloris, sed non quantum iecur; quippe hoc viscus corde humidius est, eóque rubrum magis & mollius; cor autem siccius calidiúsque iecore existit. Ita enim futurum est simul durius, & duplici motu arteriis similiter agitabitur, vt ex huiusmodi motu natiui caloris symmetria conseruetur, vt in opere de pulsuum vsu ostendimus. At durities ipsius, ne facilè afficiatur, efficit motibus & continuis & valentissimis nonnunquam à natura præparatis; vnde neque proprius ipsius sanguis talis est qualis iecoris, sed quantò calidius viscus viscere est, tantò flauior ille; quod proprium sanguinis siccioris existit; sicuti & humidioris, rubrum. Porrò dictum est, & à Platone in Timæo de colorum horum generatione. Seorsim & nos exponemus rursus demonstrabimúsque omnia verè esse dicta, scribentes de ipsis particulatim in alio commentario. Sed nunc quod nobis erat institutum, finiemus; sanguinis humidi temperamento, rubri autem colore, prima sanè in iecore est generatio; riui autem venæ id toti corpori traducunt, distribuúntque. At sanguinis flaui, tenuis, subtilis, spirituosi, prima sanè in sinistro cordis sinu est origo,

verùm

verùm talem arteriæ dispensant, in totúmque corpus deducunt; id quod vberiùs in commentariis de naturalibus facultatibus ostensum est. Quare simul quòd in superioribus sermonibus de cordis sanguine iterum dicere distuleram, in præsentia exposui; simúlque quòd errauerint, qui cor venarum principium esse pronunciarunt, indicatum est. Si enim sanguinis cuiusdam, statim nimirum & venarum censuerunt; tanquam non etiam arteriæ sanguinem subtilissimum, calidissimúmque haberent. Vt igitur arteriarum, sic & spirituosi feruidíque sanguinis initium & fons, animantibus cor inest; & ideo irascibilis anima indidem habitare ostenditur. Hac ratione itaque & Plato cor sanguinis, qui per omnia membra vehementer rapitur, fontem appellabat. Non idem enim est, aut fontem sanguinis simpliciter dicere, aut apponere, qui validè circumfertur. Nam ex iecore proficiscens sanguis non validè circumfertur, quoniam neque spirituosus est, neque omninò venæ eum continentes pulsant. At qui ex sinistro cordis sinu prouenit, calidior hoc, & spirituosus admodum est, vt cuius vasa pulsent. Vocatur autem à vetustissimis medicis philosophisque hoc vasorum genus alteri similiter, vena, ab aliis verò arteria, id quod pulsat; quod pulsus expers est, vena. Porrò quod veteres sic nominabant, multi iam qui ante me fuerunt ostendere, nec non ego alio in loco indicaui. Nunc tantillum, quantum ad præsentia conducit, meminero, arteriæ quæ cubitum, & præsertim sinistrum excurrit, quum motus ex generatione est citatus, simul & magnus, validúsque robustam in corde facultatem irascibilem innuit, calorem verò in eo vigentem & feruidum, quem nominare furiosum iracundúmque consuetudo est. Itaque Hippocrates appellans venam arteriam hanc, ita scribit in secundo Epidemiorum libro. *Cui vena in cubito pulsat, is furiosus & iracundus erit; cui autem lentè, torpidus.* Quòd & pulsare verbum, & ab eo deductum nomen pulsus, in vehementi adeò arteriarum motu vt priusquam manus admoueatur, fit homini sensibilis, à veteribus dicebatur, atque per alios demonstratum est; ac nunc quoque maximè apparet ex oppositione facta est ad verbum quietè moueri, & nomen torpidum, nimirum contrarium furioso, vel etiam iracundo; quod videlicet iracundum non est. Quare obiter & præter institutum in expositione nominis venæ, non exiguum quidpiam à nobis confectum est qui ostenderimus Hippocratem ante Platonem irascibilis facultatis initium in corde statuisse, sed huius quoque paulò post meminero. Ad Platonis verba reuertor, quibus arterias nominans venas dicit; cor autem, & venarum & sanguinis qui per omnia membra validè defertur, fontem. Quandoquidem enim pulsans vas, nondum quemadmodum nunc arteriæ, nomen sortitum erat, solas autem pulmonis quæ à recentioribus asperæ nominatæ sunt, ita nuncupabantur, bona ratione Plato ad distinctionem qualiúmnam principium cor esse vellet, adiecit etiam fontem sanguinis, qui rapidè per omnia membra circumfertur. Ad quid autem hîc in animali sanguis conducat, postea dicetur. Qui verò ex iecore prouenit, in alimentum omnibus corporis partibus præparatus est; vnde puto etiam Plato de illo disserens inquit. *Vbi*

A διανέμουσι δὲ καὶ παράγουσιν εἰς ὅλον τὸ ζῶον αἱ ἀρτηρίαι τὸ τοιοῦτον αἷμα. δέδεικται δὲ καὶ περὶ τούτων ἐπὶ πλέον ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν. ὥσθ' ἅμα μὲν ὅπερ ἀνεβαλόμην ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρεῖν, αὖθις ὑπὲρ τοῦ κατὰ τὴν καρδίαν αἵματος, τὰ νῦν εἴρηται, ἅμα δὲ ὡς ἐσφάλησαν, οἱ καὶ τὴν καρδίαν ἀρχὴν εἰπόντες εἶναι τῶν φλεβῶν, ἐπιδέδεικται. εἴπερ γὰρ αἵματός τινος εὐθὺς δήπου καὶ φλεβῶν ἐνόμισαν, ὥσπερ μὴ καὶ τῶν ἀρτηριῶν ἐχουσῶν αἷμα λεπτομερέστατον καὶ θερμότατον. ὡς οὖν ἀρτηριῶν οὕτως καὶ τοῦ πνευματώδους τε, καὶ τοῦ ζέοντος αἵματος, ἀρχή τε καὶ πηγὴ τοῖς ζώοις B ἐστὶν ἡ καρδία, καὶ διὰ τοῦτο καὶ τὸ θυμοειδὲς ἐνδείκνυται τῆς ψυχῆς ἐν αὐτῇ κατῳκῆσθαι. ταῦτ' ἄρα καὶ ὁ Πλάτων τὴν καρδίαν ἔλεγε πηγὴν τοῦ περιφερομένου κατὰ πάντα μέλη σφοδρῶς αἵματος. οὐ ταὐτὸν γάρ ἐστιν, ἢ πηγὴν αἵματος ἁπλῶς εἰπεῖν, ἢ προσθεῖναι τοῦ περιφερομένου σφοδρῶς. τὸ μὲν γὰρ ἐξ ἥπατος ὁρμώμενον, οὐ περιφέρεται σφοδρῶς, ὅτι μήτε πνευματῶδές ἐστι, μήθ' ὅλως σφύζουσιν αἱ περιέχουσαι φλέβες αὐτό. τὸ δ' ἐκ τῆς ἀριστερᾶς κοιλίας τῆς καρδίας ὁρμώμενον, θερμότερόν τε τοῦδε, καὶ πνευματῶδες ἱκανῶς ἐστιν, ὡς ἂν σφυζόντων αὐτοῦ τῶν ἀγγείων. καλεῖται δ' ὑπὸ μὲν τῶν παλαιοτάτων C ἰατρῶν καὶ φιλοσόφων, καὶ τουτὶ τὸ γένος τῶν ἀγγείων ὡσαύτως θατέρῳ φλέψ, ὑπὸ δὲ τῶν ἄλλων, ἀρτηρία μὲν τὸ σφύζον, τὸ δὲ ἄσφυκτον φλέψ. ὅτι δ' οὕτως ὠνόμαζον οἱ παλαιοί, δέδεικται μὲν ἤδη πολλοῖς τῶν ἔμπροσθεν, ἐπιδέδεικται δὲ καὶ πρὸς ἡμῶν ἑτέρωθεν. νυνὶ δὲ τοσοῦτον μόνον ὅσον εἰς τὰ παρόντα χρήσιμον ὑπομνήσω τῆς κατὰ τὸν ἀγκῶνα, καὶ μάλιστα τὸν ἀριστερὸν ἀρτηρίας, ὅταν ἡ κίνησις ἐκ γενετῆς ὑπάρχῃ ταχεῖά τε ἅμα καὶ μεγάλη, καὶ εὔτονος, ἰσχυρὰν μὲν ἐνδείκνυται τὴν ἐν τῇ καρδίᾳ θυμοειδῆ δύναμιν, ἀκμαῖον δὲ καὶ ζέον τὸ κατ' αὐτὴν θερμόν, ὅπερ ὀνομάζειν μανιῶδές τε, καὶ ὀξύθυμον ἔθος. ὁ D τοίνυν Ἱπποκράτης ὀνομάζων φλέβα τὴν ἀρτηρίαν ταύτην, ὧδέ πως γράφει κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν. ᾧ δ' ἂν ἡ φλὲψ ἡ ἐν ἀγκῶνι σφύζῃ, μανικὸς καὶ ὀξύθυμος, ᾧ δ' ἂν ἀτρεμέως, τυφώδης. ὅτι δὲ καὶ τὸ σφύζειν ὄνομα, καὶ ὁ σφυγμὸς ἐπὶ τῆς σφοδρᾶς εἰς τοσοῦτον τῶν ἀρτηριῶν κινήσεως, ὡς καὶ πρὶν ἐπιλαβεῖν τὴν ἁφὴν αἰσθητὴν εἶναι τῷ ἀνθρώπῳ τὴν κίνησιν ὑπὸ τῶν παλαιῶν ἐλέγετο, καὶ δι' ἄλλων μὲν ἀποδέδεικται, καὶ νῦν δ' οὐχ ἥκιστα φαίνεται διὰ τῆς πρὸς τὸ ἀτρεμὲς ἀντιθέσεως, καὶ τὸ τυφῶδες δὲ δηλονότι τὸ ἐναντίον τῷ μανικῷ, ἢ καὶ ὀξυθύμῳ, καὶ ἀόργητον. ὥσθ' οἷον ὁδοῦ τι πάρεργον E ἡμῖν οὐ σμικρὸν ἤνυσται κατὰ τὴν ἐξήγησιν τοῦ τῆς φλεβὸς ὀνόματος ἐπιδείξασιν Ἱπποκράτην πρότερον Πλάτωνος ἐν καρδίᾳ τιθέμενον ἀρχὴν τῆς θυμοειδοῦς δυνάμεως. ἀλλὰ τούτου μὲν καὶ μετ' ὀλίγον ἐπιμνησθήσομαι. πρὸς δὲ τὴν τοῦ Πλάτωνος λέξιν ἐπάνειμι, καθ' ἣν τὰς ἀρτηρίας ὀνομάζων φλέβας ἔλεγε, τὴν δὲ καρδίαν ἅμα τῶν φλεβῶν, καὶ πηγὴν τοῦ περιφερομένου κατὰ πάντα τὰ μέλη σφοδρῶς αἵματος. ἐπεὶ γὰρ οὐδέπω τὸ σφύζον ἀγγεῖον, ὥσπερ νῦν ἀρτηρίαι προσηγόρευνται, μόνας δὲ τὰς κατὰ τὸν πνεύμονα, τὰς ὑπὸ τῶν νεωτέρων τραχείας ὀνομασθείσας οὕτως ἐκάλουν, εὐλόγως ὁ Πλάτων F εἰς διορισμὸν ὁποίων ἄν τινων βούληται φλεβῶν εἶναι τὴν καρδίαν ἀρχήν, προσέθηκε καὶ πηγὴν τοῦ περιφερομένου κατὰ πάντα τὰ μέλη σφοδρῶς αἵματος. εἰ ὅτι μὲν οὖν ἐστι τοῦτο τὸ αἷμα τῷ ζώῳ χρηστόν, αὖθις εἰρήσεται, τὸ δὲ ἐξ ἥπατος ὁρμώμενον εἰς τροφὴν παρεσκεύασται τοῖς τοῦ σώματος ἅπασι μέρεσιν· ὅθεν οἶμαι καὶ ὁ Πλάτων ὑπὲρ ἐκείνου διαλεγόμενος ἔφη. εἰς

φάτνην ἐν ἅπαντι τούτῳ τῷ τόπῳ τῆς τοῦ σώματος τροφῆς τετεχνημένου. καὶ μέντοι καὶ ἐκ τοῦ λέγειν, τουτὶ μὲν τὸ καθ' ἧπαρ εἶδος τῆς ψυχῆς, σιτίων τε καὶ ποτῶν ἐπιθυμητικὸν ὑπάρχειν, οὐ μὴν ἐπί γε τῆς καρδίας οὐδὲν ἔτι προσθεῖναι τοιοῦτον, δῆλός ἐστιν ἐκ μὲν τῆς γαστρὸς, εἰς ἧπαρ βουλόμενος ἀναφέρεσθαι τὴν τροφὴν, ἐκεῖθεν δὲ ἐπὶ τὴν καρδίαν ἰέναι τι μέρος εἰς τὴν τοῦ κατ' ἐκείνην αἵματος γένεσιν. ἀλλ' ὅτι μὲν οὐκ ἐκ τῶν κατὰ τὴν γαστέρα χωρίων τῆς τροφῆς ἀνάδοσις εἰς τὴν καρδίαν εὐθέως, ἀλλ' εἰς ἧπαρ γίγνεται, πρότερον αὐτάρκως ἀποδέδεικται μὲν ἐν τοῖς περὶ τῶν φυσικῶν δυνάμεων, οὐδὲν ἔτι δέομαι νῦν ἐπεξέρχεσθαι, προσθεῖναι δ' ἄμεινον τῷ λόγῳ τοσόνδε. θερμὸν μὲν ἱκανῶς, ἀναγκαῖον εἶναι τὸ θυμοειδὲς σπλάγχνον. οὐκ ἐξ ἀνάγκης δὲ θερμὸν ἱκανῶς τὸ ἐπιθυμητικὸν, ἀλλ' ἐν φυτοῖς μὲν καὶ πάμπολυ τοῦ θυμοειδοῦς ἀπολειπόμενον, ἐν ζώοις δ' οὐ τοσοῦτον μὲν, ὅμως δ' οὐκ ὀλίγον. οὔτε γὰρ ἂν οὕτως θερμὸν εἰργάζετο χυμὸν, εἰ μὴ καὶ αὐτὸ τοιοῦτον ὑπῆρχεν, οὔτ' ἀσφύκτους ἂν εἶχε τὰς φλέβας, εἰ ζεούσης θερμασίας ἦν ἀρχή. ταῦτ' ἄρα καὶ Ἱπποκράτης ἐνδεικνύμενος ἔγραφε. ῥίζωσις φλεβῶν ἧπαρ, ῥίζωσις ἀρτηριῶν καρδίη, ἐκ τουτέων ἀποπλανᾶται εἰς πάνθ' αἷμα, καὶ πνεῦμα, καὶ θερμασίη διὰ τούτων φοιτᾷ. αἷμα μὲν ἐξ ἥπατος ἀποπλανᾶσθαι λέγων, πνεῦμα δ' ἐκ καρδίας, θερμασίαν δ' ἐξ ἀμφοῖν, ὅθεν οὐδὲ διενήνοχεν ἢ φλεβῶν ἀρχὴν εἰπεῖν τὸ ἧπαρ, ἢ αἵματος, ἢ τῆς ἐπιθυμητικῆς ψυχῆς, ἀλλ' οἰκειότερόν πως ἰατρῷ μὲν ἐπὶ τοῖς σωματικοῖς ὀργάνοις, φιλοσόφῳ δ' ἐπὶ ταῖς ψυχικαῖς δυνάμεσι ποιεῖσθαι τὴν διδασκαλίαν. ἕπεται δὲ ἐπιδειχθέντι θατέρῳ θάτερον, καὶ τοίνυν φαίνονται γεγραφότες οὕτως ὑπὲρ αὐτῶν Ἱπποκράτης καὶ Πλάτων. ὁ μὲν ὑπὲρ τῶν σωματικῶν ὀργάνων τὸν πλείω λόγον ποιησάμενος, ὁ δ' ὑπὲρ τῶν ψυχικῶν δυνάμεων. διὰ τοῦτ' οὖν ὁ μὲν Ἱπποκράτης ἔφη. ῥίζωσις φλεβῶν ἧπαρ, ἀνατομήν τε γράφει φλεβῶν τήνδε. ἡπατῖτις ἐν ὀσφύϊ μέχρι τοῦ μεγάλου σπονδύλου κάτωθεν, καὶ σπονδύλοισι προσδιδοῖ· ἐντεῦθεν μετέωρος δι' ἥπατος, καὶ διὰ φρενῶν εἰς καρδίαν. καὶ ἡ μὲν ἰθεῖα ἐς κληῗδας, ἐντεῦθεν δ' αἱ μὲν εἰς τράχηλον, αἱ δ' ἐπ' ὠμοπλάτην, αἱ δ' ἀποκαμφθεῖσαι κάτω περὶ παρὰ σπονδύλου, καὶ πλευρὰς ἀποκλίνουσιν, ἐξ ἀριστερῶν μὲν μία ἐγγὺς κληῗδων, ἐκ δεξιῶν δὲ ἐπί τι ταύτης χωρίον. ἄλλη δὲ σμικρὸν κατώτερον ἀποκαμφθεῖσα, ὁκόθεν μὲν ἐκείνη ἀπέλιπε, προσέδωκε τῇσι πλευρῇσιν. ἔστ' ἂν δὲ τὴν ἐπ' αὐτῆς καρδίας προστύχῃ ἀποκαμπτομένη εἰς τὰ ἀριστερά, ἀποκαμφθεῖσα δὲ κάτω ἐπὶ σπονδύλους καταβαίνει, ἔστ' ἂν ἀφίκηται ὅθεν ἤρξατο μετεωρίζεσθαι ἀποδιδοῦσα τῇσι πλευρῇσι τὴν ἐπίλοιπον ἁπάσαις, καὶ ἔνθεν ἀποφυάδας, παρ' ἑκάστην διδοῦσα, μία δ' οὖσα. ἀπὸ μὲν τῆς καρδίας ἐπί τι χωρίον, ἐν τοῖσιν ἀριστεροῖσιν μᾶλλον ἐοῦσα, ἔπειτα ὑποκάτω τῆς ἀρτηρίας ἔστ' ἂν καταναλωθῇ καὶ ἔλθῃ ὅθεν ἡ ἡπατῖτις ἐμετεωρίσθη, πρότερον γε πρὶν ἐνταῦθα ἐλθεῖν παρὰ τὰς ἐσχάτας δύο πλευρὰς ἐδιχώθη, καὶ ἡ μὲν ἔνθεν, ἡ δὲ ἔνθεν τῶν σπονδύλων ἐλθοῦσα κατηναλώθη. ἡ δ' εὐθεῖα ἀπὸ τῆς καρδίας πρὸς κληῗδας τείνουσα, ἄνωθεν τῆς ἀρτηρίας ἐστὶ, καὶ ἀπὸ ταύτης ὥσπερ καὶ παρ' ὀσφὺν κάτωθεν τῆς καρδίας, καὶ ἀπὸ ταύτης ἀΐσσει εἰς τὸ ἧπαρ. ἡ μὲν ἐπὶ πύλας καὶ λοβὸν, ἡ δ' ἐς τὸ ἄλλο ἑξῆς ἀφωρμήκει σμικρὸν κάτωθεν φρενῶν. φρένες δὲ προσπεφύκασι τῷ ἥπατι, ἃς οὐ ῥηΐδιον χωρίσαι. δισσαὶ δ' ἀπὸ κληῗδων αἱ μὲν ἔνθεν, αἱ δ' ἔνθεν ὑπὸ στῆθος ἐς ἦτρον. ὅπη δ' ἐντεῦθεν, οὔπω οἶδα. φρένες δὲ κατὰ τὸν σπόνδυλον τὸν κάτω πλευρέων, ᾗ νεφροὶ ἐξ ἀρτηρίας ταύτῃ ἀμφιβεβηκώς.

quoddam quasi præsepe ad totius corporis alimoniam fabricati. Iam ex eo quod dicit, hanc sanè in iecore animæ speciem, quæ esculenta, poculentáque concupiscit, existere, nec de corde quicquam eiusmodi adhuc apponat, innuit ex ventriculo in iecur referri velle alimentum; illinc ad cor ire quandam eius portionem, ad sanguinis in eo generationem. Verùm quòd non ex ventris regionibus alimentum in cor statim, sed in iecur prius distribuitur, quum abundè in libris de naturalibus facultatibus demonstratum sit; nihil præterea opus habeo impræsentiarum repetere, satius autem est sermoni tantillum adiicere. Calidum sanè affatim necessariò esse viscus irascibile, non autem necessariò calidum vehementer appetens; sed in stirpibus quidem permultum irascibili inferius, in animalibus non tantùm quidem, sed tamen non parum; neque etiam adeò calidum efficeret humorem, nisi id simul eiusmodi fuerit; neque pulsus expertes haberet venas, si feruentis esset caloris initium. Hæc vtique & Hippocrates indicans conscripsit. *Venarum iecur radicatio, arteriarum cor; ex his dispergitur in omnia sanguis, spiritus, calor per hæc transit*; sanguinem sanè ex iecore proficisci dicens, spiritum ex corde, calorem ex vtrisque; vnde nihil differt venarum principium dicas iecur, aut sanguinis, aut appetentis animæ; sed familiarius medico de corporeis instrumentis, philosopho de animæ facultatibus disciplinam instituere. Alterum autem alterius demonstrati comes est. Itaque videntur in hunc modum de ipsis Hippocrates & Plato scripsisse, ille de corporis instrumentis longiore sermone facto, hic verò de animæ facultatibus. Quapropter Hippocrates inquit. *Radicatio venarum iecur est*, dissectionémque venarum hanc describit. *Iecoraria in lumbis vsque ad maiorem vertebram ab inferiori parte etiam vertebris communicatur, inde sublimis per iecur & septum transuersum ad cor, atque rectà ad clauiculas pergit; inde aliæ in ceruicem; aliæ ad scapulas; aliæ reflexæ inferius circa notham vertebram & costam declinant; ex sinistris vna prope clauiculas; ex dextris ad aliquam huius regionem. Alia paulò inferiùs deflexa, vnde illa desiit, annectitur costis; vbi autem quæ ad ipsum cor pertinet occurrerit, in sinistram deflectit; vbi deflexerit, inferius ad vertebras descendit, vnde inceperat attolli, costis reliquam omnibus impertiens; inde propagines singulis, vna quum sit, exhibens. A corde quidem in locum aliquem pergit, in sinistris magis inhærens, deinde subter arteriam, donec insumpta fuerit, eátque vnde iecoraria eleuata est; priusquam illuc veniat, iuxta extremas duas costas scinditur atque altera soboles hinc, altera illinc ad vertebras tendens insumitur. Quæ autem rectà à corde ad clauiculas tendit, supra arteriam habetur, & ab hac, sicuti quæ iuxta lumbos est, subter cor exporrigitur, hinc in iecur emergit, partim ad portas & lobum, partim in aliam eius partem, à paulò inferiore phrenum parte. Phrenes autem iecori coherent, quas haud facilè est separare. Duæ à clauiculis, hæc illinc, illa hinc sub pectus ad pectinem pertingit, quò verò inde pergat, nondum noui. Phrenes ad vertebram quæ subter costas est, habentur, vel quà renes ex arteria prodeunt, isthac comprehenduntur.*

Arteriæ

Arteriæ autem ex his procedunt, hinc & illinc robur assumentes. Hac autem recurrens à corde iecoraria desinit, verùm à iecoraria per ipsas phrenas grandes duæ venæ, partim hinc, partim illinc, feruntur sublimes, multifariamque per phrenas diuisæ ipsas amplectuntur circumeúntque. At supra phrenes hæ magis conspicuæ sunt. Hoc pacto sanè Hippocrates dissectionem venarum ex iecore procedentium conscripsit, indicans illinc esse ipsum initium. Exposuimus autem ipsius verba, tum alibi, tum in secundo de Hippocratis anatome. At Plato non de venis, sed de facultate ipsa dispensante, quæ à iecore ducit originem, in Timæo disserens, hoc modo disputationem persequitur. *At eam animæ partem quæ cibum potúmque & reliqua omninò quibus corpus indiget, concupiscit, media regione inter septum transuersum & vmbilici terminum collocarunt, quoddam quasi præsepe ad totius corporis alimoniam fabricati, ac ibidem illam animæ vim, ceu feram agrestem, illigarunt, quam sanè corpus suum alere necessarium est, si mortale genus aliquandiu permansurum est.* Et paulò progressus. *Quod*, inquit, *Deus perpendens, hanc ipsius iecoris speciem constituit.* In hoc sanè viscere tanquam dispartiti disputationem, hic de instrumentis, ille de virtute ipsa gubernante disseruit. De corde autem similiter ambo tractarunt. Plato sanè in Timæo in eum modum scribens. *Cor, & venarum & sanguinis qui per omnes partes vehementer circumfertur, fontem, in domicilium munitum constituerunt, vt quum iracundiæ vehementia ferueret, ratione hortante si quid iniquè in eis fiat, extrinsecus, vel etiam ab internis cupiditatibus, statim per omnes angustos meatus, quicquid sensus est particeps in corpore, iussa minasque sentiens, fiat propitium, & obsequatur vndequaque, præstantissimumque in ipsis omnibus, principatum gerere sinat.* Plato igitur vtrumque sermonem in idem sic miscuit, tum qui de irascibili anima est, tum qui de corde, & vasis ab eo procedentibus. Hippocrates autem rursus ipse ab huiusmodi dicto abstinet, præsertim in superiori oratione, qua ex pulsu venæ cubiti conijciebat de animi moribus. Iam verò dum curat prauum corporis colorem & gracilitatem in habitu refrigerato, quippe iracundiam dicit studiosè excitandam, tum coloris recipiendi gratia, tum effusionis humorum. Interpretari itaque hæc Plato videtur, vbi inquit. *In corde quum iracundiæ vehementia efferbuerit.* At post eum philosophi hanc quoque iracundiæ finitionem statuerunt, dicentes *ipsam caloris in corde feruorem esse.* Quinetiam quum de febris generatione Hippocrates disserit. *Augescit enim*, inquiens, *pedes refrigerans, incensa à thorace, in caput emittit veluti flammam, natiui caloris initium cor nouit.* Verùm institutum non est in hoc opere, omnia horum virorum verba colligere, neque interpretari, quum in aliis commentariis priuatim ea sim expositurus; sed quod ab initio dixi, considerare, indicaréque dogmata tantùm, in omnibúsne inter se consentiant, an non: tempestiuum iam est hîc etiam librum præsentem finire, quum iecur, & venarum, & sanguinis, & concupiscibilis animæ principium esse demonstrauerim.

ἀρτηρίαι δὲ ἐκ τούτου ἐκπεφύκασιν ἔνθεν καὶ ἔνθεν ἀρτηρίην τόνον ἔχουσαι. αὕτη δὲ παλινδρομήσασα ἀπὸ καρδίης ἡ ἡπατῖτις ἔληξεν. ἀπὸ δὲ τῆς ἡπατίτιδος διὰ τῶν φρενῶν αἱ μέγισται δύο ἡ μὲν ἔνθεν, ἡ δὲ ἔνθεν φέρονται μετέωροι, πολυσχιδεῖς τε διὰ τῶν φρενῶν εἰσιν, ἀμφὶ ταύτας αἷς καὶ πεφύκασιν, ἄνω δὲ φρενῶν αὗται μᾶλλον ἐκφανέες. οὕτως μὲν ὁ Ἱπποκράτης ἔγραψεν τὴν ἀνατομὴν τὴν ἐξ ἥπατος ἐκφυομένων φλεβῶν, ἐνδεικνύμενος ἐντεῦθεν εἶναι τὴν ἀρχὴν αὐτήν. ἐξηγησάμεθα δὲ τὴν ῥῆσιν ἑτέρωθί τε κἀν τῷ δευτέρῳ τῆς Ἱπποκράτους ἀνατομῆς. ὁ δὲ Πλάτων οὐ κατὰ τὰς φλέβας, ἀλλὰ κατὰ τὴν διοικοῦσαν αὐτὰς δύναμιν ὑφ᾽ ἥπατος ὁρμωμένην, ἐν Τιμαίῳ διαλεγόμενος ὧδέ πως ποιεῖται τὴν τοῦ λόγου διέξοδον. τὸ δὲ δὴ σίτων τε καὶ ποτῶν ἐπιθυμητικὸν τῆς ψυχῆς, καὶ ὅσων ἔνδειαν διὰ τὴν τοῦ σώματος ἴσχει φύσιν, τοῦτο εἰς τὸ μεταξὺ τῶν τε φρενῶν, καὶ τοῦ εἰς τὸν ὀμφαλὸν ὅρου κατῴκισαν, οἷον φάτνην ἐν ἅπαντι τούτῳ τῷ τόπῳ τῇ τοῦ σώματος τροφῇ κεκτημένοι, καὶ κατέδησαν δὴ τὸ τοιοῦτον ἐνταῦθα, ὡς θρέμμα ἄγριον. τρέφειν δὲ δὴ συνημμένον ἀναγκαῖον εἴπερ τι μέλλει τὸ θνητὸν ἔσεσθαι γένος. καὶ μικρὸν προελθών, τοῦτο δή φησιν. ὁ θεὸς ἐπιβουλεύσας αὐτοῦ τὴν ἥπατος ἰδέαν συνέστησεν. ἐπὶ μὲν δὴ τοῦδε τοῦ σπλάγχνου καθάπερ νειμάμενοι τοὺς λόγους, ὁ μὲν ὑπὲρ τῶν ὀργάνων, ὁ δὲ ὑπὲρ τῆς διοικούσης αὐτὰ δυνάμεως διελέχθη. ἐπὶ δὲ τῆς καρδίας ἑκατέρως ἀμφότεροι μετεχειρίσαντο, Πλάτων μὲν ἐν Τιμαίῳ γράφων ὧδε. τὴν δὲ δὴ καρδίαν ἅμα τῶν φλεβῶν, καὶ πηγὴν τοῦ περιφερομένου κατὰ πάντα τὰ μέρη σφοδρῶς αἵματος εἰς τὴν δορυφορικὴν οἴκησιν κατέστησαν, ἵν᾽ ὅτε ζέσειε τὸ τοῦ θυμοῦ μένος τοῦ λόγου παραγγείλαντος, εἴ τις ἄδικος περὶ αὐτὰ γίγνηται πρᾶξις ἔξωθεν, ἢ καί τις ἀπὸ τῶν ἔνδοθεν ἐπιθυμιῶν, ὀξέως διὰ πάντων τῶν στενωπῶν, πᾶν ὅσον αἰσθητικὸν ἐν τῷ σώματι τῶν παρακελεύσεων, καὶ ἀπειλῶν αἰσθανόμενον γίγνοιτο τὸ ἐπήκοον, καὶ ἕποιτο πάντῃ, καὶ τὸ βέλτιστον οὕτως ἐν αὐτοῖς πᾶσιν ἡγεμονεῖν ἐῷ. Πλάτων μὲν οὖν οὕτως ἀμφοτέρους τοὺς λόγους ἔμιξεν εἰς ταὐτὸ τούς τε περὶ θυμοειδοῦς ψυχῆς, καὶ τοὺς περὶ τῆς καρδίας, καὶ τῶν ἀπ᾽ αὐτῆς πεφυκότων ἀγγείων. Ἱπποκράτης δ᾽ αὖ πάλιν ὁ δ᾽ αὐτὸς ἀπέχεται τοῦ περὶ τῆς τοιαύτης εἰπεῖν τι, μάλιστα μὲν ἐν ᾗ μικρὸν πρόσθεν ἔγραψα ῥήσει, καθ᾽ ἣν ἐκ τοῦ σφυγμοῦ τῆς κατ᾽ ἀγκῶνα φλεβὸς ἐτεκμαίρετο περὶ τῶν τῆς ψυχῆς ἠθῶν, ἤδη δὲ κἀν τῷ θεραπεύειν ἀχροίας τε καὶ ἰσχνότητας ἐν κατεψυγμέναις ἕξεσι σώματος. ἐπιτήδευσιν γάρ φησιν ὀξυθυμίου ἐμποιεῖν, καὶ χροιῆς ἀναλήψιος ἕνεκα καὶ ἐκχυμώσιος. ἐξηγεῖσθαι γοῦν σοι δοκεῖ ταῦτα Πλάτων ἐν οἷς φησιν, ἐπὶ τῆς καρδίας, ἵν᾽ ὅτε ζέσειε τὸ τοῦ θυμοῦ μένος. οἱ δὲ μετ᾽ αὐτὸν φιλόσοφοι, καὶ ὁρισμὸν τοῦτον ἐποιήσαντο τοῦ θυμοῦ, ζέσιν εἶναι φάσκοντες αὐτὸν τοῦ κατὰ τὴν καρδίαν θερμοῦ. καὶ μὲν δὴ καὶ ὁπότε περὶ γενέσεως πυρετοῦ διαλεγόμενος ὁ Ἱπποκράτης φησίν. αὔξεται μὲν γὰρ ψύχων τοὺς πόδας ἐξαπτόμενος ἀπὸ τοῦ θώρακος, καὶ εἰς τὴν κεφαλὴν ἀναπέμπων οἷα φλόγα, τῆς ἐμφύτου θερμασίας ἀρχὴν οἶδε τὴν καρδίαν. ἀλλὰ γὰρ οὐ πρόκειταί μοι κατὰ τήνδε τὴν πραγματείαν, οὔτε ἀθροίζειν ἁπάσας τῶν ἀνδρῶν τὰς ῥήσεις, οὔτ᾽ ἐξηγεῖσθαι, μέλλοντί γε δι᾽ ἑτέρων ὑπομνημάτων ἰδίᾳ ποιεῖσθαι τὰς ἐξηγήσεις. ὅπερ δὲ ἐναρχόμενος εἶπον ἐπισκέψασθαί τε, καὶ κρῖναι τὰ δόγματα μόνον, εἴτε κατὰ πάντα ἀλλήλοις ὁμολογοῦσιν, εἴτε καὶ μή. καταπαύειν ἤδη καιρὸς ἐν τῷδε, καὶ τόνδε τὸν λόγον, ἀρχῆς τοῦ ἥπατος ἀποδεδειγμένου, καὶ φλεβῶν, καὶ αἵματος, καὶ τῆς ἐπιθυμητικῆς ψυχῆς.

ἐπεὶ δ' οὐ μόνον Ἱπποκράτης, καὶ Πλάτων οὕτως ἐδόξαζον, ἀλλὰ καὶ τῶν ποιητῶν, οἷς ὡς μάρτυσι χρῆται Χρύσιππος, οὐχ οἱ φαυλότατοι ἔγνωκασ ἔτι, καὶ τοῦτο προσθεῖναι τῷ λόγῳ διὰ τὴν θαυμαστὴν αὐτοῦ σοφίαν, ὃς ἀποχωρῶν ἑκάστοτε τῶν ἐπιστημονικῶν ἀποδείξεων, ποιηταῖς καὶ μυθολογήμασι, καὶ γυναιξὶν εἰς πίστιν δογμάτων χρῆται, οὐ μὴν οὐδὲ αὐτὸ τοῦτ' αἰσθανόμενος, ὡς ἀντιμαρτυροῦσιν αὐτῷ, καὶ τἀναντία τίθενται σύμπαντες αὐτοί, καθάπερ ἔμπροσθεν ἔδειξα, τὸν μὲν θυμὸν ἐν τῇ καρδίᾳ, τὸν λογισμὸν δ' ἐγκεφάλῳ περιέχεσθαι πεπιστευκότες. ὅτι δὲ καὶ τὸ ἐπιθυμητικὸν ἐν ἥπατι κατοικίζουσιν, ἐνῆν μέν μοι καὶ τοῦτο διὰ πλειόνων πιστώσασθαι μαρτύρων. ὅπως δὲ μὴ δόξαιμι σπουδάζειν ἃ φεύγειν παραινῶ, καὶ τρίβειν τὸν χρόνον ἀχρήστοις πράγμασιν, Ὁμήρου μνημονεύσω, τὸν Τιτυὸν εἰς ᾅδου κολαζόμενον εἰσάγοντος, ἐφ' οἷς ἀκολασταίνειν ἐπεχείρησεν εἰς τὴν Λητώ.

> Καὶ Τιτυὸν εἶδον, γαίης ἐρικυδέος υἱὸν
> Κείμενον ἐν δαπέδῳ, ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα,
> Γῦπε δέ μιν ἑκάτερθε παρημένω ἧπαρ ἔκειρον
> Δέρτρον ἔσω δύνοντες, ὁ δ' οὐκ ἀπαμύνετο χερσί.
> Λητὼ γὰρ εἵλκυσε Διὸς κυδρὴν παράκοιτιν,
> Πυθώδ' ἐρχομένην διὰ καλλιχόρου Πανοπῆος.

οὐ τὴν καρδίαν ἢ τὸν ἐγκέφαλον, ἢ τι τῶν ἄλλων μορίων ἐσθιόμενον ἐποίησε τοῦ Τιτυοῦ, δι' ἐρωτικὴν ἐπιθυμίαν ἐξυβρίζειν ἐπιχειρήσαντος, ἀλλὰ τὸ ἧπαρ μόνον εἰς τὸ τῆς ὕβρεως αἴτιον σπλάγχνον κολάζεσθαι φάμενος αὐτόν, ὥσπερ ἦν εὔλογον. οὕτω γοῦν εἰώθασι καὶ νῦν ποιεῖν οἱ τοὺς ἁμαρτάνοντας οἰκέτας καταδικάζοντες, τῶν μὲν ἀποδιδρασκόντων τὰ σκέλη καίοντές τε, καὶ κατασχάζοντες, καὶ παίοντες, τῶν δὲ κλεπτόντων, τὰς χεῖρας, ὥσπερ γε καὶ τῶν γαστριμάργων, τὴν γαστέρα, καὶ τῶν φλυαρούντων τὴν γλῶτταν, ἁπλῶς δ' εἰπεῖν ἐκεῖνα κολάζοντες τὰ μόρια, δι' ὧν ἐνεργοῦσι τὰς μοχθηρὰς ἐνεργείας. εἰ δ' ἄλλην τινὰ αἰτίαν ἔχει τις εἰπεῖν τῶν ἐπαινούντων τὰ Χρυσίππου, δι' ἣν οὕτως Ὅμηρος ἐποίησε κολαζόμενον τὸν Τιτυόν, ἡδέως ἂν ἀκούσαιμι. μὴ λεγόντων μέντοι μηδ' εὑρισκόντων, εὔλογον οἶμαι παρ' Ἱπποκράτους, καὶ Πλάτωνος ἐπαινεῖν Ὅμηρον οὕτω δοξάζοντα, καὶ μάρτυρα τίθεσθαι καὶ αὐτόν, ὧν ἡμεῖς δι' ἀποδείξεως ἐπιστωσάμεθα.

A Quoniam verò non solùm Hippocrates & Plato sic opinati sunt, sed etiam poëtarum, quorum ceu testimoniis vtitur Chrysippus, non pessimi censuerunt, hoc præterea adiicere sermoni oportet, propter admirabilem ipsius sapientiam, qui recedens subinde à scientificis demonstrationibus, poëtis, fabulis, & mulieribus ad fidem dogmatum faciendam vtitur, non tamen hoc ipsum percipiens, quòd contra seipsum testantur, & contraria omnes ipsi ponunt, quemadmodum priùs iudicaui, iracundiam in corde, rationem in cerebro contineri credentes. Quòd autem & concupiscibilem in iecore collocant, licebit mihi & hoc B pluribus approbare testibus. Ne autem videar affectare, quod fugere adhortor, & tempus rebus inutilibus conterere, Homeri mentionem faciam, qui Tityum apud inferos pœnam subeuntem introducit, eò quòd Latonam sollicitauerat impudicè.

> *Et Tityum vidi claræ telluris alumnum,*
> *Porrigitur cui tota nouem per iugera corpus.*
> *Hinc atque hinc geminus rostro vrget vultur adunco*
> *Immortale iecur tondens; iacet ille supinus.*
> *Nec depellendi manibus datur vlla potestas.*
> *Latonæ namque ausus erat tentare cubile*
> *Quum Pytho Panopei peteret per amœna vireta.*

Non cor aut cerebrum, aut aliquam aliam particulam Tityj propter amatoriam cupiditatem C contumeliam inferre ausi, sed iecur tantum arrodi finxit, contumeliæ causa, viscere ipsum puniri inquiens, quemadmodum erat consentaneum. Sic itaque & nunc factitare solent, qui famulos peccantes puniunt: eorum sanè qui fugitiui sunt crura vrentes, scarificantes, & ferientes: eorum qui furantur, manus, quemadmodum & gulosorum ventrem, & garrientium linguam: summatim illas punientes partes, quibus prauas obeunt actiones. At si aliam quandam causam dicere quis eorum qui Chrysippi scripta laudant, possit, cur ita Homerus Tityum puniri effinxerit, libenter audiuero. Quod si non dicunt neque inueniunt, æquum puto præ Hippocrate & Platone Homerum laudare, sic opinantem, & testem etiam ipsum citare eorum quæ nos per demonstrationem cognouimus.

GAL.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΚΑΘ' ΙΠΠΟΚΡΑΤΗΝ ΚΑΙ ΠΛΑΤΩΝΑ ΔΟΓΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

GALENI DE HIPPOCRATIS ET PLATONIS PLACITIS LIBER SEPTIMUS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΕΒΔΟΜΩι.

Ἐγκέφαλον τῶν νεύρων τε καὶ πάσης τῆς αἰσθήσεώς τε καὶ κινήσεως ἀρχὴν εἶναι, καὶ πῶς ἡ δύναμις εἰς τὰ τῆς αἰσθήσεώς τε καὶ κινήσεως ὄργανα ἀπ' ἐγκεφάλου ἐπιῤῥέῃ, καὶ αὐτὰ τὰ ὄργανα ἀλλοιῶνται.

ARGVMENTVM LIBRI SEPTIMI.

Cerebrum neruorum et omnis tum sensus, tum motus originem esse, et quomodo ad sentiendi & mouendi organa facultas à cerebro deferatur, & organa ipsa alterentur.

CAPVT PRIMVM.

Quæ causa prolixitatis superiorum librorum, & quid hic agendum.

A NON ego prolixi operis author sum, sed ij qui falsis rationibus, quas de animæ principatu in argumentis proponunt, non paucos libros repleuerũt, quos nisi quis coarguat, sicuti ego per initia statueram, neutiquam videretur verum validè demonstrasse. Sin autem reprehendat, omnes deinceps aggressus, vt nullum prætermiserit, in prolixitatem non necessariam totum opus produceretur. Quoniam igitur primorum iam commentariorum disputationes nonnulli commendare non dubitarent tanquam veras, quas Chrysippus & alij quidam de animæ principatu proposuerunt; visum mihi est, familiaribus, quibus potissimùm gratificans hæc conscripsi, solutiones ipsarum apponere. Necessarium B enim quum sit, aut prolixum esse in hoc opere, aut videri non demonstrasse perfectè quòd animal à tribus principiis gubernetur, malui eligere prolixitatem. Quinetiam finis ipse rei ostendet rectè nos elegisse, omnes quæstionum illarum sermones reprehendere. Neque enim Stoïcus adhuc philosophus, neque Peripateticus, neque medicus aliquis similiter audax vt priùs dixi erit, verùm nonnulli etiam manifestò ad veri partes transierunt. Medici quidem ex cerebro concedentes sensus motúsque facultatem, omnibus in animante membris influere; philosophi autem ratiocinatricem animam inibi consistere. Reueriti enim sunt palàm ex anatome reprehensi alteram

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τίς αἰτία τοῦ τῆς πραγματείας μήκους· καὶ τί ἐν τῷδε τῷ βιβλίῳ λεκτέον.

OYK ἐγὼ τοῦ μήκους τῆς πραγματείας αἴτιος, ὡς καὶ πρόσθεν εἶπον, ἀλλ' οἱ ψευδῶν λόγων ὧν ἠρώτησαν περὶ ἡγεμονικῆς ψυχῆς οὐκ ὀλίγας πληρώσαντες βίβλους, ἃς εἰ μὴ ἀνελέγκτους τις εἰάσειν, ὥσπερ ἐγνώκειν ἐγὼ τό τε κατ' ἀρχὰς, οὐκ ἂν ἐδόκει βεβαίως ἀποδεδεῖχθαι τἀληθές. εἰ δὲ ἐξήλεγχε πάντας ἑξῆς ἐπιὼν, ὡς μηδένα παραλιπεῖν, εἰς μῆκος οὐκ ἀναγκαῖον ἐκτείνεσθαι συνέβαινε τὴν ὅλην πραγματείαν. ἐπεὶ τοίνυν τῶν προτέρων ἤδη ὑπομνημάτων οὐκ ὤκνουν τινὲς ἐπαινεῖν, ὡς ἀληθεῖς, οὓς Χρύσιππός τε καὶ ἄλλοι τινὲς περὶ ἡγεμονικῆς ψυχῆς ἠρώτησαν λόγους, ἔδοξε τοῖς ἑταίροις οἷς μάλιστα χαριζόμενος, ἔγραφον ταῦτα, προσθεῖναι τὰς λύσεις αὐτῶν. ἀναγκαῖον γὰρ ὂν ἢ μηκῦναι κατὰ τὴν πραγματείαν, ἢ μὴ δοκεῖν ἀποδεδειχέναι τελέως ὑπὸ τριῶν ἀρχῶν διοικούμενον τὸ ζῶον, αἱρετώτερον ἔδοξεν εἰς μῆκος ἐκτεῖναι. καὶ μέντοι καὶ τὸ τέλος αὐτὸ τοῦ γιγνομένου δείκνυσιν ὀρθῶς ἡμᾶς ἑλομένους ἅπαντας ἐλέγξαι τοὺς ἠρωτημένους λόγους. οὔτε Στωϊκὸς ἔτι φιλόσοφος, οὔτε Περιπατητικὸς, οὔτε ἰατρός τις ὁμοίως θρασὺς, ὡς πρόσθεν εἴρηται ἔσται, ἀλλ' ἔνιοί γε καὶ φανερῶς ἐπὶ τὸν ἀληθῆ μετέστησαν λόγον. ἰατροὶ μὲν ἐξ ἐγκεφάλου συγχωροῦντες ἐπιῤῥεῖν αἰσθήσεώς τε, καὶ κινήσεως δύναμιν ἅπασι τοῖς κατὰ τὸ ζῶον μέλεσι, φιλόσοφοι δὲ τὸ λογιζόμενον τῆς ψυχῆς ἐνταῦθ' ὑπάρχειν. ᾐδέσθησαν γὰρ ἐναργῶς ὑπὸ τῆς ἀνατομῆς ἐλεγχθέντες θα-

τέρου τῶν λημμάτων προηγουμένως, ᾧ χρώμενοι ψευδῶς συνελογίζοντο προστιθέντες αὐτῷ τὸ πρὸς ἁπάντων ὁμολογούμενον, καθ' ὅ φασιν ἔνθα τῶν νεύρων ἡ ἀρχή, ἐνταῦθ' εἶναι τὸ ἡγεμονικόν, ὅπερ καὶ ἀληθές ἐστιν, ἀλλ' ἥγε προσληφθεῖσα δεομένη μὲν ἐξ ἀνατομῆς εὑρεθῆναι, κατεψευσμένη δ' ὑπ' ἐκείνων, οἰομένων ἐκ τῆς καρδίας ὁρμᾶσθαι τὰ νεῦρα, ψευδὲς εἰκότως εἰργάζετο τοῦ παντὸς λόγου τὸ συμπέρασμα, καί τινές γε τὴν οὐκ ἀλήθειαν, ἀλλ' ἅπερ ἐξ ἀρχῆς ἔθεντο στεργόντων, ἐπιχειρήσαντες ἀνατρέπειν πᾶσιν ὁμολογούμενον ἔμπροσθεν λῆμμα, καταγέλαστοι τελέως ἐφάνησαν. ἐδείχθη γὰρ ἀπ' αὐτῆς τοῦ ζητουμένου πράγματος τῆς οἰκείας, φύσεως ἢ οὐσίας, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, τὴν πίστιν ἔχειν ἡγεμονικόν, ἁπάντων νοούντων καὶ λεγόντων τὸ κατάρχον αἰσθήσεώς τε, καὶ τῆς καθ' ὁρμὴν κινήσεως. ἐδείχθη δὲ καὶ ὡς αὐτὸς ὁ λόγος ἀρχαῖς μὲν ἐστὶν μόνον οὐκ ἐνδόξοις, οὐ μήν, ἀλλ' ἐπιστημονικοῖς τοῖς λήμμασι κεχρημένος, ὅπερ ἴδιόν ἐστιν ἀποδεικτικῆς μεθόδου, οὐ μόνον δὲ τοὺς περὶ ψυχῆς ἡγεμονικοῦ λόγους ἠρωτημένους ὑπ' αὐτῶν ἐλέγχοντες ἐμηκύναμεν, ἀλλὰ καὶ τὰ περὶ τῶν παθῶν τῆς ψυχῆς ὑπὸ Χρυσίππου γεγραμμένα. τοῦτο μὲν ἐν τοῖς λογικοῖς ὑπομνήμασι τρισί, τοῦτο δ' ἐν τῷ θεραπευτικῷ, μετὰ τοῦ καὶ δεικνύειν αὐτὸν ἑαυτῷ διαφερόμενον τὸν Χρύσιππον. ἐπεμνήσθημεν δὲ καὶ τῶν Ποσειδωνίου συγγραμμάτων, ἐν οἷς ἐπαινεῖ τὸν παλαιὸν λόγον, ἐλέγχων τὰ Χρυσίππῳ κακῶς εἰρημένα, περί τε τῶν παθῶν τῆς ψυχῆς, καὶ τῶν ἀρετῶν τῆς διαφορᾶς. ὥσπερ γὰρ ἀναιρεῖται τὰ πάθη τῆς ψυχῆς, εἰ μόνον εἴη τὸ λογιστικὸν τῆς ψυχῆς αὐτῆς, μηδενὸς μήτ' ἐπιθυμητικοῦ, μήτε τοῦ θυμοειδοῦς ὄντος, οὕτω καὶ τῶν ἀρετῶν πλὴν φρονήσεως αἱ λοιπαὶ πᾶσαι· καίτοι κἀνταῦθ' εἴ τις ἐπεξέρχοιτο τῷ λόγῳ, τάς τε περὶ τῆς ψυχῆς διαφορὰς τῶν ἀρετῶν, ἐν τέτταρσι βιβλίοις ὑπὸ Χρυσίππου γεγραμμένα βασανίζων, ὅσα τε καθ' ἓν ἄλλο διῆλθεν, ᾧ δείκνυσι ποίας εἶναι τὰς ἀρετὰς ἐλέγχων τὸν Ἀρίστωνος λόγον, οὐχ ἑνὸς ἢ δυοῖν, ἀλλὰ τριῶν ἢ τεττάρων δεηθείη βιβλίων. ἔστι μὲν γὰρ κἀνταῦθα λόγος εἷς βραχὺς ἐπιστημονικὸς ἐλέγχων τὸν Χρύσιππον, οὔτε τἀληθῆ πρεσβεύοντα, καὶ μηκύνοντα περιττῶς, ἀλλ' οἱ μήτε παιδευθέντες ἐν ἀποδεικτικῇ μεθόδῳ, μήθ' ὅλως γνόντες ὁποία τίς ἐστι, μόνῳ δὲ τῷ μεγέθει καὶ πλήθει τῶν ὑπὸ Χρυσίππου γραφέντων βιβλίων προσέχοντες τὸν νοῦν, ἀληθῆ νομίζουσι πάνθ' ὑπάρχειν αὐτά. καὶ γὰρ καὶ ὄντως ἐστὶ τὰ πλεῖστα αὐτῶν ἀληθῆ, καὶ μάλιστά γε τὰ κατ' ἐκεῖνο τὸ βιβλίον, ἐν ᾧ δείκνυσι ποίας εἶναι τὰς ἀρετάς. ἀλλ' ὅτι τῷ μίαν ὑποθεμένῳ δύναμιν ὑπάρχειν ἐν τῇ ψυχῇ τὴν λογικήν τε, καὶ κριτικὴν ὀνομαζομένην. ἀνελόντι δὲ τὴν ἐπιθυμητικήν τε, καὶ θυμοειδῆ καθάπερ ὁ Χρύσιππος ἀνεῖλε, μάχεται τὰ κατὰ τοῦτο τὸ βιβλίον εἰρημένα ταυτί, μέμψαιτ' ἄν τις αὐτῷ, τὸ μέντοι καταβάλλεσθαι τὴν Ἀρίστωνος αἵρεσιν, ἀληθῶς ὑπὸ τῶν γεγραμμένων οὐκ ἄν τις μέμψαιτο. νομίζει γὰρ ὁ ἀνὴρ ἐκεῖνος, μίαν οὖσαν τὴν ἀρετὴν ὀνόμασι πλείοσιν ὀνομάζεσθαι κατὰ τὴν πρός τι σχέσιν. ὁ τοίνυν Χρύσιππος δείκνυσιν οὐκ ἐν τῇ πρός τι σχέσει γινόμενον τὸ πλῆθος τῶν ἀρετῶν τε καὶ κακιῶν, ἀλλ' ἐν ταῖς οἰκείαις οὐσίαις ὑπαλλαττομέναις κατὰ τὰς ποιότητας, ὡς ὁ τῶν παλαιῶν ἐβούλετο λόγος, ὅπερ καὶ αὐτὸ βραχὺ παρατρέψας ὁ Χρύσιππος, ἑτέραις λέξεσι διῆλθε ποίας εἶναι τὰς ἀρετάς. τοῖς τ' ἐπιχειρήμασιν οὐ πρέπουσι τῷ τὸ λογικὸν εἶναι μόνον τῆς ψυχῆς τεθειμένῳ, τὸ παθητικὸν δ' ἀνῃρηκότι. πῶς οὖν ἐγὼ τοῦ μήκους τῶν λόγων αἴτιος, ἐὰν ἀναγκασθῶ νῦν ἐπιδεικνύειν ἀλλοτρίας αἱρέσεως ἐπιχειρήμασι χρώμενον τὸν Χρύσιππον,

A sumptionum propositarum, quâ vtentes falsò collegerunt, apponentes ei quod apud omnes in confesso est, secundum quod dicunt, vbi neruorum principium, ibi esse animæ principatum; quod & verum est, sed assumptio cũ ex anatome inueniri deberet, emẽtita autem ab illis sit qui ex corde neruos proficisci putant, falsam meritò totius disputationis conclusionem effecit; & nonnulli qui non veritatem, sed quod ab initio statuerunt amant aggressi sumptionem quæ omnibus priùs in cõfesso erat, peruertere, ridiculos planè se præbuerunt; nã ab ipsa rei de qua est quæstio, peculiari natura vel B substantia, vel quomodocunque appellare voles, demonstrata est fidem habere, dum omnes & sentiant & dicant animæ principatum præesse & sensui & motui arbitrario. Indicatũ etiam est quomodo idem sermo initiis quidem probabilibus solùm non satis habet, imò & scientificis sumptionibus vsus, quòd proprium est methodi demonstratoriȩ. Verùm nõ modò disputationes de principatu animæ institutas ab ipsis, coarguendo, longiores facti sumus, sed & ea quæ de affectibus animi Chrysippus prodidit, partim in logicis commẽtariis tribus, partim in medicatorio, simul ostendendo Chrysippum ipsum sibi dissentire. Item commemini quæ C Posidonius conscripserit, quibus antiquum sermonem laudat, reprehendens, quæ Chrysippus perperam de animæ affectibus, & facultatum differentia, memoriæ mandauit. Quemadmodum enim affectus ab anima tolluntur, si sola esset vis ratiocinatrix ipsius animæ, quum nulla neque concupiscibilis, neque irascibilis existeret: sic & virtutes præter prudentiam reliquæ omnes. Verùm si hîc quoque sermone persequatur aliquis, tum animæ virtutum differentias, ea quæ quatuor libris à Chrysippo explicata sunt disquirens, tum quæ vno alio enarrauit ille vbi quales esse virtutes ostendit, Aristonis D sermonem reprehendens, non vno aut duobus, sed tribus aut quatuor libris indigeret. Est etenim & hîc oratio vna breuis, scientifica, Chrysippum coarguens, qui neque vera profitetur, & supra modum prolixus est. Verùm qui neque in methodo demonstratiua eruditi sunt, neque omninò cognoscunt qualis sit, soli verò magnitudini & copiæ librorum Chrysippi animum aduertunt, vera censent omnia existere. Siquidem plurima ipsorum omninò vera sunt, & præsertim in illo libro in quo ostendit quales esse virtutes. At quia ei qui statuit vnam esse in anima facultatem, rationalem, E & iudiciariam nominatam, tollitque concupiscibilem & irascibilem, quemadmodum Chrysippus autumabat, repugnant hæc quæ hoc in libro comprehensa sunt accusauerit quis ipsum meritò. Quòd autem Aristonis secta verè à præscriptis subuertatur, nulla eum accusatione dignum aliquis existimauerit. Putat enim vir ille virtutem, vna quum sit, pluribus nominibus appellari, ratione qua ad aliquid refertur. Igitur Chrysippus multitudinem virtutum & vitiorum non in respectu ad aliud sitam esse ostendit, sed in propriis substantiis, secundum qualitates variantibus, vt veterum F sententia volebat; id quòd & paucis ferè mutatis Chrysippus, aliisque dictionibus quales esse virtutes percensuit: argumentis nimirum non congruis ei qui vim tantum rationalem animæ statuerit, & eam quæ affectibus obnoxia est, patheticen sustulerit. Quomodo igitur ego prolixitatis disputationum author sum, si cogar nunc ostendere alterius sectæ argumentis Chrysippum vtentem,

Aristonis

Ariſtonis opinionem meritò euertere? Nam qui neque nouerunt qualis res ſit methodus demonſtratiua, neque exercitati ſunt in ea, neque veritatem in precio habent, hi iuſtiùs prolixitatis diſputationum cauſam ſuſtinent. Hi enim ſunt qui ad omnem ſemper demonſtrationem ratiocinantur, & tergiuerſationes indecentes moliuntur, vt tota ratio imperfecta eſſe videatur. Quandoquidem & nunc quum libri iampridem conſcripti ſint, anniſque multis à viris optimis, tum Peripateticis, tum Stoicis examinati, repentè aliquis Peripateticorum apparuerit, qui membranas à corde proficiſcentes in cerebrum & meningas ſurſum tendentes dictitet, à quibus animalis facultas diſpenſatur. Atque hæc dicere aggreditur homo, qui neutiquam anatomen attigerit. At quia à nobis indicatum eſt etiam ſuperiùs, cerebrum neruis facultates tranſmittere, quaſi fons quidam ſit ipſum, non ex corde, quemadmodum nonnulli, per eos quos dixerunt neruos, aſſumens; vt autem alij, per arterias carotidas: coacti ſumus nos iterum oſtendere, neque membranas omninò ex corde ad caput efferri, & ſi nonnullæ circa ceruicem membranæ ſunt, ex corde tamen eas non eſſe dicant, dum præciduntur exciduntúrque animali illæſo. Nam membranæ tegumenta ſunt, in quacunque parte fuerint, nullam aliam actionem ac vſum habentes, qualem arteriæ, nerui, & venæ. Qnemadmodum igitur in his prolixitas diſputationum in me referenda non eſt, ſed in eos qui neque in methodo demonſtratiua exercitati ſunt, neque veritatem amant: ita & in virtutum multitudine ratio quidem ſcientifica, breuiſſima & vna; quæ autem ex inſcitia & contentione, permultæ. Quæ verò oratio ſcientifica eſt? nimirum quæ ab ipſa rerum natura proficiſcitur, vt in opere de demonſtrationibus oſtenſum eſt. Conuenit enim auſpicari à virtutis notione; inde autem ad eſſentiæ inuentionem deuenire, inſpiciendo num vna animæ virtutis, an plures ſint eſſentiæ ſecundum ſignificatum communiſſimum, vt in libris de demonſtratione tractatum eſt, vbi nos eſſentiæ nomen accipimus, quod eſt veluti ſubſtantia, vt inquiunt, optima abſolutiſſimáque cuiuſque naturæ perfectio. Verùm ſi huiuſmodi quædam res eſt virtus, vna in ſingulis erit rebus. Si enim præſtantiſſimum vnum, & perfectio vna eſt, in rationali quidem animæ parte; ſcientiam eſſe virtutem neceſſe eſt: & ſi vna hæc eſt ſola in animis noſtris ratiocinandi facultas, non oportet multas quærere virtutes: quòd ſi iracundiam, concedamus neceſſarium erit & illius fieri virtutem. Ita verò ſi & tertia alia præter hæc ſit concupiſcibilis, deinceps ſanè hæ tres erunt, porrò alia ex mutua earum inter ſe habitudine quarta efficitur. Itaque diſputatio nequaquam prolixa eſt, quemadmodum neque alia vlla ſcientifica: verùm prolixè dicere nos cogunt, qui prolixè garriunt ſicuti ſanè, & nunc neceſſarium eſt, ſi non omninò longa, certè mediocria de animæ virtutibus diſſerere. Nam ſi, vt prius oſtenſum eſt, alia facultas ratiocinatrix, alia concupiſcibilis exiſtit, alia iraſcibilis, vna quædam in ſingulis ipſis virtus erit. Vocato igitur ſi libet eam quæ in ratiocinatrice eſt, ſapientiam, aut prudentiam, aut ſcientiam, vel quodcunque aliud tibi videbitur; eam quæ in iraſcibili rurſus habetur, virilitatem, vel quodcunque aliud volueris.

εἰκότως καταβάλλειν τὴν Ἀρίστωνος δόξαν. οἱ γὰρ μήτε γνόντες ὁποῖόν τι πρᾶγμά ἐστι μέθοδος ἀποδεικτική, μήτ' ἀσκηθέντες ἐν αὐτῇ, μήτε ἀλήθειαν τιμῶντες, οὗτοι δικαιότεροι τοῦ μήκους τῶν λόγων ἔχειν τὴν αἰτίαν. οὗτοι γάρ εἰσι, καὶ οἱ πρὸς ἅπασαν ἀπόδειξιν ἀεὶ λογιζόμενοι καὶ στροφὰς ἀσχήμονας στρεφόμενοι, χάριν τοῦ δοκεῖν ἀτελῆ τὸν ὅλον ὑπάρχειν λόγον, ὅπου καὶ νῦν ἐκ πολλοῦ γεγραμμένων τῶν περὶ τούτου βιβλίων, ἔτεσί τε πολλοῖς βεβασανισμένων ὑπὸ τῶν ἀρίστων ἀνδρῶν, ἔκ τε τοῦ Περιπάτου καὶ τῆς Στοᾶς, ἐξαίφνης τις ἀνεφάνη τῶν Περιπατητικῶν ὑμένας εἶναι λέγων, τοὺς ἀπὸ τῆς καρδίας εἰς ἐγκέφαλόν τε καὶ μήνιγγας ἀναφερομένους, ἐφ' ὧν ἡ ψυχικὴ δύναμις ἀνακομίζεται, καὶ ταῦτ' ἐπιχειρεῖ λέγειν, ἄνθρωπος οὐδ' ὅλως ἀνατομῆς ἁψάμενος. ἐπεὶ δὲ πρὸς ἡμῶν ἐδέδεικτο καὶ διὰ τῶν ἔμπροσθεν, ὡς τοῖς νεύροις ἐγκέφαλος ἐπιπέμπει δυνάμεις, οἷον πηγή τις ὑπάρχων αὐτός, οὐκ ἐκ καρδίας λαμβάνων, ὡς μὲν ἔνιοι δι' αὐτῶν ὧν ἔφασαν νεύρων, ὡς δ' ἄλλοι διὰ τῶν καρωτίδων ἀρτηριῶν. ἠναγκάσθημεν οὖν αὖθις ἡμεῖς ἐπιδεικνύναι, μήθ' ὑμένας ἀναφερομένους ὅλως ἐκ καρδίας εἰς κεφαλήν. εἰ δέ καί τινες τῶν κατὰ τὸν τράχηλον ὑμένων ἐκ καρδίας μὴ εἶναι φάσκοιεν διατέμνοντές τε πάντας αὐτούς, ἐκκόπτοντές τε μηδὲν τοῦ ζῴου βλαπτομένου. σκεπάσματα γάρ εἰσιν οἱ ὑμένες, ἔνθα περ ἂν ὑπάρχωσι μορίων, μηδεμίαν ἐνέργειαν ἢ χρείαν ἑτέραν ἔχοντες, ὁποίαν ἀρτηρίαι, καὶ νεῦρα, καὶ φλέβες. ὥσπερ οὖν ἐν τούτοις, οὐκ ἐγὼ τοῦ μήκους τῶν λόγων αἴτιος, ἀλλ' ὅσοι μήτ' ἠσκήθησαν ἐν ἀποδεικτικῇ μεθόδῳ, μήτ' ἀληθείας ἐρῶσιν. οὕτω κἀπὶ τοῦ πλήθους τῶν ἀρετῶν, ὁ μὲν ἐπιστημονικὸς λόγος ἐλάχιστος, οἱ δ' ἐξ ἀμαθίας τε καὶ φιλονεικίας ὁρμώμενοι πολλοί. τίς οὖν ὁ ἐπιστημονικὸς λόγος; ὁ ἀπ' αὐτῆς δηλονότι τῆς τοῦ πράγματος οὐσίας ὁρμώμενος, ὡς ἐν τῇ περὶ τῆς ἀποδείξεως ἐδείχθη πραγματείᾳ. χρὴ γὰρ ἄρξασθαι μὲν ἀπὸ τῆς κατὰ τὴν ἀρετὴν ἐννοίας, μεταβῆναι δ' ἐντεῦθεν ἐπὶ τὴν τῆς οὐσίας εὕρεσιν ἐπισκοπούμενον, εἴτε μία τῆς κατὰ ψυχὴν ἀρετῆς, εἴτε πλείους εἰσὶν αἱ οὐσίαι κατὰ τὸ κοινότατον τῶν σημαινομένων, ὡς ἐν τοῖς περὶ τῆς ἀποδείξεως εἴρηται βιβλίοις, ἀκουόντων ἡμῶν τοῦ τῆς οὐσίας ὀνόματος, ὅπερ ἐστὶν οἷον ὕπαρξις ὥς φασιν, ἡ βελτίστη τελειότης τῆς ἑκάστου φύσεως, ἀλλ' εἴπερ τι τοιοῦτον πρᾶγμά ἐστιν, ἡ ἀρετὴ μία καθ' ἕκαστον ὑπάρξει τῶν ὄντων. εἴπερ γὰρ τὸ βέλτιστον ἕν, καὶ ἡ τελειότης ἐστὶ μία, κατὰ μὲν τὸ λογιστικὸν μέρος τῆς ψυχῆς, ἐπιστήμην ἀναγκαῖον εἶναι τὴν ἀρετήν, καὶ εἴπερ ἓν τοῦτό ἐστι μόνον ἐν ταῖς ψυχαῖς ἡμῶν τὸ λογιζόμενον, οὐ χρὴ ζητεῖν ἀρετὰς πολλάς. εἰ δὲ καὶ τὸν θυμόν, ἀναγκαῖον ἔσται κἀκείνου γενέσθαι τὴν ἀρετήν. οὕτω δὲ εἰ καὶ τρίτον ἄλλο πρὸς τούτοις εἴη τὸ ἐπιθυμητικόν, ἑξῆς μὲν αὗται τρεῖς, ἄλλη δ' ἐκ τῆς πρὸς ἀλλήλας αὐτῶν σχέσεως γίγνεται τετάρτη. ἆρα μή τι μακρὸς ὁ λόγος οὐδαμῶς, ὥσπερ οὐδ' ἄλλος οὐδεὶς τῶν ἐπιστημονικῶν. ἀλλὰ μακρὰ λέγειν ἡμᾶς ἀναγκάζουσιν οἱ ληροῦντες μακρά, καθάπερ ἀμέλει καὶ νῦν ἀναγκαῖόν ἐστιν εἰ καὶ μὴ τελέως μακρά, μέτρια γοῦν ἔτι διελθεῖν ὑπὲρ τῶν τῆς ψυχῆς ἀρετῶν. εἰ γὰρ ὡς ἔμπροσθεν δέδεικται, ἕτερον μέν ἐστι τὸ λογιζόμενον, ἕτερον δὲ τὸ ἐπιθυμοῦν, ἄλλο δὲ τὸ θυμούμενον, ἔσται τις ἀρετὴ καθ' ἕκαστον αὐτῶν μία. κάλει τοίνυν εἰ βούλει τὴν μὲν ἐν τῷ λογιζομένῳ σοφίαν, ἢ φρόνησιν, ἢ ἐπιστήμην, ἢ ὅτι περ ἂν ἄλλο σοι δόξῃ. τὴν δ' ἐν τῷ θυμουμένῳ πάλιν ἀνδρείαν, ἢ ἔτι περ ἂν ἄλλο βουληθῇς,

οὐ γὰρ μοι μέλει τῶν ὀνομάτων, ἀλλ᾽ ὅτι μίαν αὐτὴν ἀναγκαῖον εἶναι. καλεῖ δ᾽ εἴπερ ἐθέλεις, καὶ τὴν ἐν τῷ λοιπῷ τῷ ἐπιθυμητικῷ γιγνομένην ἀρετὴν, σωφροσύνην. αὖθις ἡμῖν ἐπισκεπτομένων περὶ τῆς καὶ αὐτὴν Ἀριστοτέλει τε, καὶ Πλάτωνι γεγενημένης διαφωνίας, οὐ μεγάλης ὑπαρχούσης. ἐπεὶ δ᾽ ἕκαστον μόριον τῆς ὅλης ψυχῆς τὸ κατὰ τὴν ἀξίαν ἑαυτοῦ κάλλος ἔχει, τὴν ψυχὴν ὅλην εἰκότως ἂν εἴποις δικαίαν. ἐν μὲν οὖν τοῖς ἀλόγοις μέρεσιν αὐτῆς, ἕξεις τέ τινές εἰσι, καὶ δυνάμεις μόνον αἱ ἀρεταί, κατὰ δὲ τὸ λογικὸν οὐχ ἕξις μόνον ἢ δύναμίς ἐστιν, ἀλλὰ καὶ ἐπιστήμη ἡ ἀρετή. μόνῳ γὰρ τούτῳ τῷ μέρει τῆς ψυχῆς ἐπιστήμης μέτεστι. τὰ δὲ ἄλλα δυνάμεις μέν τινας, καὶ ἕξεις βελτίους τε, καὶ χείρους κτᾶσθαι δύναται, μεταλαβεῖν δ᾽ ἐπιστήμης ἀμήχανον αὐτοῖς, ἄχρι περ ἂν μηδὲ λόγου. τὸ μὲν οὖν ἀληθὲς οὕτω βραχύ.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τῇ τοῦ Ἀρίστωνος περὶ ἀρετῆς δόξῃ, Χρύσιππόν ποτε μοχθηρῶς ἀντιλέξαι.

Μεταβῶμεν δ᾽ ἑξῆς ἐπὶ τὸ διημαρτημένον. ἔστι γὰρ οὐδ᾽ αὐτὸ μακρὸν ἀνδρὶ κατὰ φύσιν ἔχοντι. νομίσας γοῦν ὁ Ἀρίστων μίαν εἶναι τῆς ψυχῆς δύναμιν, ᾗ λογιζόμεθα, καὶ τὴν ἀρετὴν τῆς ψυχῆς ἔθετο μίαν, ἐπιστήμην ἀγαθῶν καὶ κακῶν. ὅταν μὲν οὖν αἱρεῖσθαί τε δέῃ τἀγαθὰ, καὶ φεύγειν τὰ κακὰ, τὴν ἐπιστήμην τήνδε, καλεῖ σωφροσύνην. ὅταν δὲ πράττειν μὲν τἀγαθὰ, μὴ πράττειν δὲ τὰ κακὰ, φρόνησιν. ἀνδρείαν δ᾽ ὅταν τὰ μὲν θαρρῇ, τὰ δὲ φεύγῃ. ὅταν δὲ τὸ κατ᾽ ἀξίαν ἑκάστῳ νέμει, δικαιοσύνην, ἑνὶ δὲ λόγῳ γινώσκουσα μὲν ἡ ψυχὴ, χωρὶς τοῦ πράττειν τἀγαθά τε καὶ κακὰ, σοφία τ᾽ ἐστὶ καὶ ἐπιστήμη. πρὸς δὲ τὰς πράξεις ἀφικνουμένη τὰς κατὰ τὸν βίον, ὀνόματα πλείω λαμβάνει, τὰ προειρημένα, φρόνησίς τε, καὶ σωφροσύνη, καὶ δικαιοσύνη, καὶ ἀνδρεία καλουμένη. τοιαύτη μὲν τις ἡ Ἀρίστωνος δόξα περὶ τῶν τῆς ψυχῆς ἀρετῶν. ὅγε μὴν Χρύσιππος οὐκ οἶδ᾽ ὅπως ἀντιλέγειν ἐπιχειρεῖ τῷ ἀνδρὶ, τὴν κοινὴν πρὸς ἑαυτὸν ὑπόθεσιν ἀκριβῶς διαφυλάττοντι. καλῶς γὰρ ἅπαντα γιγνωσκόντων τε, καὶ πραττόντων ἡμῶν, ὁ βίος διοικοῖτο κατ᾽ ἐπιστήμην, κακῶς δὲ καὶ ψευδῶς γιγνωσκόντων τε, καὶ πραττόντων κατ᾽ ἄγνοιαν, ὡς αὐτὸς ὁ Χρύσιππος βούλεται· καὶ διὰ ταῦτα μία μὲν ἀρετὴ γίγνοιτ᾽ ἂν ἡ ἐπιστήμη, μία δ᾽ ὡσαύτως, καὶ ἡ κακία προσαγορευομένη, καὶ ἥδε, ποτὲ μὲν ἄγνοια, ποτὲ δ᾽ ἀνεπιστημοσύνη. ἐὰν οὖν τις τὸν θάνατον, ἢ τὴν πενίαν, ἢ τὴν νόσον, ὡς κακὰ δεδιὼς ᾖ, δέον θαρρεῖν, ὡς ἐπὶ ἀδιαφόροις, ἐνδείᾳ μὲν ἐπιστήμης αὐτὸν τίθενται ἀγνοεῖν τἀληθὲς, ὡς ἂν Ἀρίστων τε καὶ Χρύσιππος εἴποι. κακίαν δ᾽ ἔχει ψυχῆς, ἣν ὀνομάζουσι δειλίαν, εἰς ἐναντίαν ἀρετὴν αὐτοί φασιν εἶναι τὴν ἀνδρείαν ἐπιστήμην οὖσαν, ὧν χρὴ θαρρεῖν, ἢ μὴ θαρρεῖν, τουτέστιν ἀγαθῶν τε καὶ κακῶν τῶν ὄντως δηλονότι τοιούτων, οὐ κατὰ ψευδῆ δόξαν ὑπειλημμένων, οἷά περ ἐστὶν ὑγίεια, καὶ πλοῦτος, καὶ νόσος, καὶ πενία. τούτων γὰρ οὐδὲν οὔτ᾽ ἀγαθὸν, οὔτε κακὸν εἶναί φασιν, ἀλλ᾽ ἀδιάφορα πάντα. καὶ τοίνυν εἰ τὸ μὲν ἡδὺ νομίσας τις ἀγαθὸν, τὸ δ᾽ ἀνιαρὸν κακὸν, ἀκολουθῶν τῇ δόξῃ τῇδε, τοῦ μὲν τὴν αἵρεσιν ποιοῖτο, τοῦδε τὴν φυγὴν, ἀμαθὴς ἐστιν οὐσίας ἀγαθοῦ, καὶ διὰ ταῦτ᾽ ἀκόλαστος. ἐν ἁπάσαις γὰρ πράξεσιν αἱρουμένων ἡμῶν τὸ φαινόμενον ἀγαθὸν, φευγόντων δὲ τὸ φαινόμενον κακὸν,

Non enim mihi nomina curæ sunt; sed quòd vnam ipsam esse necessarium sit, nuncupato si libet virtutem in reliqua concupiscibili nascentem, temperantiam: sed nos quomodo Aristoteles & Plato in ea dissenserint, (quæ sanè discordia haud ita magna est) alias disquiremus. At quoniam singulæ partes totius animæ secundum suam ipsarum dignitatem pulchritudinem obtinent, totam animam meritò dixeris iustam. Proinde virtutes ipsæ in partibus ipsius irrationalibus habitus quidam sunt & facultates tantummodo; in rationali aut non habitus solùm aut facultas est, sed etiam scientia, aut virtus. Sola enim hæc animæ pars scientiæ compos est, aliæ autem, facultates sanè quasdam & meliores facultates tum habitus peioresve comparare possunt: scientiæ autem fieri participes nequaquam quatenus neque etiam rationis. Verùm igitur ipsum adeò exiguum est.

CAPVT II.

Aristonis de virtute sententiam Chrysippum prauè aliquando confutasse.

Sed post reprehensionem ad erratum deinceps transeamus. Erit enim hoc non prolixum viro qui secundum naturam sit affectus. Arbitratus igitur Ariston vnam esse animæ facultatem qua ratiocinamur, etiam virtutem animæ vnam ponebat, scientiam bonorum & malorum. Quum igitur deligere oportet bona, & vitare mala; hanc scientiam vocat temperantiam; quum autem agere bona, nõ agere mala oportet, prudentiam; virilitatem autem quum alia audaciter aggreditur quis, alia fugit. Quum autem secundum dignitatem vnicuique distribuit, iustitiam; summatim cognoscens quidem anima, non autem agens bona & mala, sapientia est, & scientia. At vbi ad actiones vitæ peruenit, nomina plura sumit prædicta, prudentia, temperantia, & iustitia, virilitásque. Huiusmodi sanè Aristonis opinio est de animæ virtutibus. At Chrysippus haud noui quomodo contradicere conatur viro, qui communem ad ipsum hypothesim exactè tuetur. Pulchrè enim omnia quum scimus facimúsque nos, vita gubernatur secundum scientiam. At si malè & falsò tum cognoscamus, tum agamus, secundum ignorantiam, vt ipse Chrysippus vult; & propterea vna virtus fiet scientia, vnum etiam similiter vitium nuncupatum; atque hæc nonnunquam ignorantia, nonnunquam inscitia. Si igitur quis mortem, aut paupertatem, aut morbum, tanquam mala veritus sit, quum oporteret audenti esse animo, tanquam ea indifferentia sint, ad defectum quidem scientiæ id referunt: ignorat enim veritatem, vt Ariston & Chrysippus dicerent, animi autem vitio obnoxius est, quod vocant timiditatem, his contrariam virtutem ipsi affirmant virilitatem, quæ scientia est eorum quibus oportet confidere, aut non confidere, hoc est bonorum & malorum quæ reuera huiusmodi sunt, non falsa opinione existimata, qualia sunt sanitas, diuitiæ, morbus, paupertas; horum enim nullum, neque bonum, neque malum esse pronunciant, sed indifferentia omnia, vnde si suaue ratus quis bonum, molestum autem malum, sequens opinionem hanc, hoc deligat, illud fugiat, hoc ad ignorationem substantiæ boni spectat, & inde etiam intemperans redditur. Quum enim in omnibus functionibus, quod videtur bonum deligamus, & quod videtur malum vitemus, habeamus-

habeamúsque natura impetus hos ad horum vtrumque, philosophia quæ verè bonum malúmque docet, à peccatis immunes reddit. At Chrysippus haud scio quomodo, idiotarum instar, in oratione differentiæ vocum, non ipsis quæ insunt rebus animum attendit, diuersum quippiam putans significari in singulis his dictionibus, deligendum, faciendum, bonum, & cui confidendum, quod tamen diuersum non est, sed in omnibus idem, quod ex dictione, bonum, significatur; id enim solùm est, quod aliquis eligat, aut faciat, aut cui fidat, quemadmodum malum quod neque eligat, neque faciat, neque cui fidat. Vt enim qui dicit nos habere oculos, non aliud quid habere nos dicit, quàm luminaria, aut lumina, quemadmodum neque ab his digressus nominibus, habere nos dicat partem visiuam, aut partem visoriam, aut instrumentum visorium: ita qui dicit habere nos scientiam bonorum, malorúmque, non diuersum quid dicit ab eo qui pronunciat scientiam eligibilium, & non eligibilium, aut faciendorum, & non faciendorum, aut quibus fidendum, & non fidendum: quippe his dictionibus bonum malúmque explicat etiam authore Chrysippo; siquidem bonum ipsum solùm est eligendum, faciendum, & ei fidendum. Quare bonorum scientia; quæ in diuersis materiis aut actionibus administratur, nomina plurima sumit, quorum vnumquodque ratione ad aliquid in materia aut actione subsistit. Quemadmodum igitur de partibus animæ nostræ disputationem Plato vna breui & scientifica ratione complexus est in quarto de Republica libro, sic etiam de virtutibus ipsius deinceps breuiter docuit. At in Lachete ascripsit. *Si quis scientias esse virtutes existimet, non multæ erunt vtique, sed & vna, bonorum videlicet malorúmque cognitio.* Neque igitur Plato, neque ego prolixitatis author sum, quemadmodum neque Ariston, sed qui longos producit sermones ex sumptionibus vel dialecticis solùm non tamen scientificis, vel neque eiusmodi, sed vel rhetoricis, vel sophisticis exordientes. Ostendi autem hoc in secundo huius operis commentario, indicans sumptionum differentiam, quod non est propositæ speculationis. Sic igitur & in libris de virtutum differentia Chrysippus recedere à scientificis, & demonstratiuis sumptionibus & in reliquis tribus generibus vagari deprehenditur, vt in eo quòd virtutes sint quales, scientificas magis attingit, quæ omninò Aristonis opinionem euertunt; non tamen propriæ hypothesi conueniunt.

A ἐχόντων δὲ φύσει τὰς ὁρμὰς ταύτας ἐφ᾽ ἑκάτερον, ἡ φιλοσοφία διδάσκουσα τὸ κατ᾽ ἀλήθειαν ἀγαθόν τε καὶ κακὸν, ἀναμαρτήτους ἐργάζεται. Χρύσιππος δὲ, οὐκ οἶδ᾽ ὅπως ὥσπερ οἱ ἰδιῶται λόγων τῇ διαφορᾷ τῶν φωνῶν, οὐ τοῖς τυγχάνουσιν αὐτοῖς πράγμασι προσέχει τὸν νοῦν, ἕτερόν τι νομίζων δηλοῦσθαι καθ᾽ ἑκάστην τῶνδε τῶν φωνῶν αἱρετέον, ποιητέον, θαῤῥητέον. ἀγαθόν ἐστι δ᾽ οὐχ ἕτερον, ἀλλ᾽ ἐν ἁπάσαις ταὐτὸν, ὅπερ ἐκ τῆς ἀγαθὸν δηλοῦται. τοῦτο γάρ ἐστι μόνον, ὅπερ ἂν ἕλοιτό τις, ἢ πράξειεν, ἢ θαῤῥήσειεν, ὥσπερ γε καὶ τὸ κακὸν, ὃ μήτε ἂν ἕλοιτο, μήτε πράξειε, μήτε θαῤῥήσειεν. ὡς B οὖν ὁ λέγων ἔχειν ἡμᾶς ὀφθαλμοὺς, οὐχ ἕτερόν τι λέγει τοῦ φάσκοντος ἔχειν ἡμᾶς ὦπας, ἢ ὄμματα, καθάπερ οὐδ᾽ εἰ τούτων ἀποχωρήσας τῶν ὀνομάτων, ἡμᾶς ἔχειν φαίη μόριον ὀπτικὸν, ἢ μόριον ὁρατικὸν, ἢ ὄργανον ὁρατικόν. οὕτως ὁ λέγων ἔχειν ἡμᾶς ἐπιστήμην ἀγαθῶν τε καὶ κακῶν, οὐχ ἕτερόν τι λέγει φάσκοντος ἐπιστήμην αἱρετέων, καὶ οὐχ αἱρετέων, ἢ ποιητέων, καὶ οὐ ποιητέων, ἢ θαῤῥαλέων, καὶ οὐ θαῤῥαλέων ἔχειν ἡμᾶς. ἁπάσαις γὰρ ταύταις ταῖς λέξεσιν, ἀγαθὸν καὶ κακὸν λέγει, καὶ κατ᾽ αὐτὸν τὸν Χρύσιππον. εἴ γε δὴ τὸ ἀγαθὸν αὐτὸ μόνον, ἐστὶν αἱρετέον, καὶ ποιητέον, καὶ θαῤῥητέον, C ὥστε τὴν τῶν ἀγαθῶν ἐπιστήμην ἐν διαφόροις ὕλαις, ἢ πράξεσιν ἐργαζομένην ὀνόματα πλείω λαμβάνειν, ἕκαστον ἐν τῷ πρός τι κατὰ τὴν ὕλην, ἢ τὴν πρᾶξιν ὑφιστάμενον. ὥσπερ οὖν τὸν περὶ τῆς ψυχῆς ἡμῶν μερῶν λόγον ὁ Πλάτων ἑνὶ λόγῳ βραχεῖ περιέλαβεν ἐπιστημονικῷ, κατὰ τὸ τέταρτον τῆς πολιτείας, οὕτω καὶ περὶ τῶν ἀρετῶν αὐτῆς ἐφεξῆς ἐδίδαξε διὰ βραχέων. ἐν δέ γε τῷ Λάχητι προέγραψεν, εἴ τις ἐπιστήμας εἶναι νομίζει τὰς ἀρετὰς, οὐ πολλαὶ γίνοιτ᾽ ἂν, ἀλλὰ καὶ μία γνῶσις ἀγαθῶν τε καὶ κακῶν. οὐκ οὖν οὔτε Γλάτων, οὔτ᾽ ἐγὼ πολυλογίας αἴτιος, καθάπερ οὐδ᾽ Ἀρί- D στων, ἀλλ᾽ ὁ μακροὺς μὲν ἀποτείνων λόγους ἐκ λημμάτων ἀρχομένους ἤτοι διαλεκτικῶν μόνον, οὐ μὴν ἐπιστημονικῶν, ἢ οὐδὲ τοιούτων, ἀλλ᾽ ἤτοι ῥητορικῶν, ἢ σοφιστικῶν. ἐπιδέδεικται δέ μοι τοῦτο κατὰ τὸ δεύτερον ὑπόμνημα τῆσδε τῆς πραγματείας, δεικνύντι τὴν διαφορὰν τῶν λημμάτων, ὅπερ οὐ τοῦ προκειμένου ἐστὶ σκέμματος. οὕτως οὖν κἀν τοῖς περὶ τῆς τῶν ἀρετῶν διαφορᾶς ὁ Χρύσιππος ἀποχωρῶν τῶν ἐπιστημονικῶν, καὶ ἀποδεικτικῶν λημμάτων ἐν τοῖς ὑπολοίποις ἀλᾶται τρισὶ γένεσιν, ὡς ἔν γε τῷ ποιὰς εἶναι τὰς ἀρετὰς, ἐπιστημονικῶν μᾶλλον ἅπτεται, καταβαλλόντων μὲν ὄν- E τως τὸν Ἀρίστωνος λόγον, οὐ μὴν τῇ γε οἰκείᾳ πρέπον τῶν ὑποθέσεων.

CAPVT III.

Ex cerebro neruos oriri, ab eóque spiritum animalem sensus & motus instrumentum produci.

Itaque illorum causa qui ob longitudinem præsentis operis indignantur, alibi separatim de virtutum differentia rursus sermonem instituere decreui. Impræsentiarum vero propter studiosos, qui me reliqua præsentibus adiicere compellunt, ad ea quæ iam dictis proxima sunt, deueniam. Siquidem ostensum est quomodo nati animalis dispensatio à tribus obeatur principiis; vno in capite collocato, cuius opera per se quidem imaginatio, memoria, intellectio, cogitatióque; in relatione autem ad aliud,

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἀπ᾽ ἐγκεφάλου νεῦρα ἐκφύεσθαι, καὶ ἀπ᾽ αὐτοῦ τὸ ζωτικὸν πνεῦμα, αἰσθήσεώς τε καὶ κινήσεως ὄργανον ἀποφύεσθαι.

Διὰ τοὺς ἀγανακτοῦντας οὖν ἐπὶ τῷ μήκει τῆς ἐνεστώσης πραγματείας, ἑτέρωθι μὲν ἰδίᾳ περὶ τῆς τῶν ἀρετῶν διαφορᾶς αὖθις ἔγνωκα ποιήσασθαι τὸν λόγον, ἐν δὲ τῷ παρόντι F διὰ τοὺς φιλομαθεῖς ἐπείγοντάς με τὰ λείποντα προσθεῖναι τοῖς ἐνεστῶσιν, ἐπὶ τὰ συνεχῆ τοῖς εἰρημένοις ἀφίξομαι. δέδεικται μὲν γὰρ ὡς ἡ τοῦ γεννωμένου ζώου διοίκησις ὑπὸ τριῶν ἀρχῶν γίνεται, μιᾶς μὲν τῆς ἐν τῇ κεφαλῇ κατῳκισμένης, ἧς ἔργα καθ᾽ ἑαυτὴν μὲν, ἥτε φαντασία, καὶ ἡ μνήμη, καὶ νόησις, καὶ διανόησις· ἐν δὲ τῷ πρός τι τῆς τ᾽ αἰσθήσεως ἡγεῖσθαι,

A τοῖς τ' αἰσθανομένοις τοῦ ζώου μέρεσι, καὶ τῆς κινήσεως τοῖς κινουμένοις καθ' ὁρμήν, ἑτέρας δὲ τῆς ἐν τῇ καρδίᾳ καθιδρυμένης, ἧς ἔργα καθ' ἑαυτὴν μὲν ὁ τόνος ἐστὶ τῆς ψυχῆς. καὶ τὸ μόνιμον ἐν οἷς ἂν ὁ λογισμὸς κελεύσῃ, καὶ τὸ ἀήττητον· κατὰ πάθος δὲ οἷον ζέσις τῆς ἐμφύτου θερμασίας ποθούσης τιμωρήσασθαι τῆς ψυχῆς τηνικαῦτα τὸν ἀδικεῖν δόξαντα, καὶ καλεῖται τὸ τοιοῦτον θυμός. ἐν δὲ τῷ πρὸς τὰ θερμασίας ἀρχὴ τῆς κατὰ μέρος εἶναι μορίοις ἀρτηρίαις τε κινήσεως σφυγμικῆς, τῆς δὲ ὑπολοίπου δυνάμεως ἐν ἥπατι καθιδρυμένης, ἔργα τὰ περὶ τὴν θρέψιν ἅπαντα κατὰ τὸ ζῶον, ὧν μέγιστον μέρος ἡμῖν τε, καὶ πᾶσι τοῖς ἐναίμοις ζώοις ἐστὶν ἡ τοῦ αἵματος B γένεσις. τῆς δὲ αὐτῆς ταύτης δυνάμεως, καὶ ἡ τῶν ἡδέων ἐστὶν ἀπόλαυσις, ἐν ᾗ σφοδρότερον τοῦ δέοντος κινουμένη, τήν τ' ἀκρασίαν, καὶ τὴν ἀκολασίαν ἐργάζεται. ἡ μὲν οὖν ἀπόδειξις ἡ δεικνῦσα τὴν τῶν νεύρων ἀρχὴν εἶναι, κατὰ τὴν κεφαλὴν εὐθὺς ἔχει, καὶ τὸ μέρος αὐτῆς συνενδεικνύμενον. ὄντων γὰρ τοῦ λόγου δυοῖν λημμάτων, ἑνὸς μὲν κατὰ τὴν τοῦ προβλήματος ἔννοιαν, ἢ οὐσίαν, ἢ φύσιν, ἢ ὅπως ἂν ἐθέλῃς ὀνομάζειν. ἑτέρου δὲ φαινομένου διὰ τῆς ἀνατομῆς, τούτῳ τῷ φαινομένῳ μετ' ἀκριβείας γιγνωσκομένῳ συνδιαγιγνώσκεται τῆς κεφαλῆς τὸ μέρος, ὅθεν ἡ ἀρχὴ τῶν νεύρων ἐστίν, C οὐχ αἱ μήνιγγες, ἀλλ' ἐγκέφαλος. ἕκαστον γὰρ τῶν ἀποφυομένων νεύρων, τριπλοῦν τὴν οὐσίαν ἐστί, τὸ μέσον μὲν τοῦ αὐτοῦ, καὶ διὰ βάθους, ὅπερ ἀνάλογόν ἐστι τῇ τῶν δένδρων ἐντεριώνῃ, τὴν ἀρχὴν τῆς γενέσεως ἔχον ἐξ ἐγκεφάλου, περιεχόμενον δὲ ἐν κύκλῳ προτέρᾳ μὲν τῇ τῆς λεπτῆς μήνιγγος ἀποφύσει, δευτέρᾳ δὲ τῇ τῆς παχείας. Ἐρασίστρατος δ' ἄχρι πολλοῦ τὴν ἔξωθεν μοῖραν ὁρῶν μόνην τοῦ νεύρου τὴν ἀπὸ τῆς παχείας μήνιγγος ὁρμωμένην, ἀπ' ἐκείνης ᾤετο πεφυκέναι σύμπαν τὸ νεῦρον, καὶ μεστά γε τὰ πλεῖστα τούτου τῶν D συγγραμμάτων ἐστὶν ἀπὸ τῆς περιεχούσης τὸν ἐγκέφαλον μήνιγγος πεφυκέναι φάσκοντος τὰ νεῦρα. ἀλλ' ὀψὲ πρεσβύτης ὢν ἤδη, καὶ σχολὴν ἄγων μόνοις τοῖς τῆς τέχνης θεωρήμασιν, ἀκριβεστέρας ἐποιεῖτο τὰς ἀνατομάς, ἔγνω καὶ τὴν οἷον ἐντεριώνην τῶν νεύρων ἀπ' ἐγκεφάλου πεφυκυῖαν· ἔχει δὲ ἡ ῥῆσις αὐτοῦ, τόνδε τὸν τρόπον. ἐθεωροῦμεν δὲ καὶ τὴν φύσιν τοῦ ἐγκεφάλου, καὶ ἦν ὁ μὲν ἐγκέφαλος διμερής, καθάπερ καὶ τῶν λοιπῶν ζώων, καὶ κοιλίαν παρὰ τῷ μήκει τῷ εἴδει κειμένην, συντέτρηντο δὲ αὗται εἰς μίαν κατὰ τὴν συναφὴν τῶν μερῶν. ἐκ δὲ ταύτης ἔφερεν εἰς τὴν ἐπεγκρανίδα καλουμένην, καὶ E ἐκεῖ ἑτέρα ἦν μικρὰ κοιλία, διεπέφρακτο δὲ ταῖς μήνιγξιν ἕκαστον τῶν μερῶν. ἥ τε γὰρ ἐπεγκρανὶς διεπέφρακτο αὐτὴ καθ' ἑαυτήν, καὶ ὁ ἐγκέφαλος παραπλήσιος ὢν νήστει καὶ πολύπλοκος, πολὺ δὲ ἔτι μᾶλλον τούτου ἡ ἐπεγκρανὶς πολλοῖς ἑλιγμοῖς καὶ ποικίλοις κατεσκεύαστο, ὥστε μαθεῖν τούτων τὸν θεωροῦντα, ὅτι ὥσπερ ἐπὶ τῶν λοιπῶν ζώων, ἐλάφου τε καὶ λαγωοῦ, καὶ εἴ τι ἄλλο κατὰ τὸ τρέχειν πολύ τι τῶν λοιπῶν ζώων ὑπεραίρει τοῖς πρὸς ταῦτα χρησίμοις, εὖ κατεσκευασμένοις μυσί τε καὶ νεύροις, οὕτω καὶ ἀνθρώπῳ, ἐπεὶ τῶν λοιπῶν ζώων πολὺ τῷ διανοεῖσθαι περίεστι, πολὺ τοῦτ' ἐστὶ πολύπλοκον. ἦσαν δὲ καὶ F ἀποφύσεις τῶν νεύρων πᾶσαι αἱ ἀπὸ τοῦ ἐγκεφάλου, καὶ καθ' ὅλον εἰπεῖν, ἀρχὴ φαίνεται εἶναι τῶν κατὰ τὸ σῶμα ὁ ἐγκέφαλος. ἥ τε γὰρ ἀπὸ τῶν ῥινῶν γιγνομένη αἴσθησις συντέτρητο ἐπὶ τοῦτον, καὶ αἱ ἀπὸ τῶν ὤτων. ἐφέροντο δὲ καὶ ἐπὶ τὴν γλῶτταν, καὶ ἐπὶ τοὺς ὀφθαλμοὺς ἀποφύσεις ἀπὸ τοῦ ἐγκεφάλου. ἐνταῦθα ὁ Ἐρασίστρατος ὁμολογεῖ καὶ πρότερον ἀγνοούμενον ἑαυτῷ,

ſenſum partibus animalis ſenſilibus impartiri, motúmque his quæ mouentur, arbitrarium; altero autem in corde conſiſtente, cuius opera per ſe robur eſt animi, & firmitas in iis quæcunque ratio iuſſerit & inuictus animus; ſecundum affectum autem veluti feruor natiui caloris, anima tunc eum qui iniuriam inferre viſus eſt, punire deſiderante; ac vocatur huiuſmodi iracundia, in relatione ad aliud caloris initium, particularis in partibus arteriiſque motus pulſatilis. Reliquæ autem virtutis in iecore collocatæ opera ſunt nutritioni dicata omnia in animante, quorum maxima pars tum nobis tum omnibus ſanguineis animantibus ineſt, ſanguinis generatio. Eiuſdem autem huius virtutis etiam ſuauium fruitio eſt, qua vehementiùs quàm par eſt mota, intemperantiam libidinémque efficit. Itaque demonſtratio neruorum principium eſſe in capite indicans, ſtatim habet & partem ipſius ſimul indicatam; nam quum duæ ſint rationis ſumptiones; vna, ſecundum eius quod proponitur notionem, vel ſubſtantiam, vel naturam, vel quomodocunque voles nominare: altera quæ ex anatome apparet; euidenti hac exactè cognita, ſimul cognoſcitur capitis pars, vnde neruorum eſt principium, non membranas eſſe, quæ meninges dicuntur, ſed cerebrum. Vnuſquiſque enim enaſcentium neruorum triplici præditus eſt ſubſtantia, nam ipſorum pars media, & profundior, quæ proportione reſpondet arborum medullæ, initium generationis ex cerebro obtinet. Comprehenditur autem circulatim primo tenuis membranæ proceſſu, ſecundo craſſioris. Ac Eraſiſtratus tamdiu exteriorem nerui partem ſolam videns, quæ à craſſiore membrana proficiſcitur, ab illa totum neruum procedere autumabat. Ac plurimi huius libri pleni ſunt, quibus dicat neruos à membrana cerebrum ambiente proficiſci. At quum ſenex eſſet iam, & vacaret ſolis artis ſpeculationibus, exactiores moliebatur diſſectiones. Nouerat etiam veluti medullam neruorum à cerebro profectam. Habent autem eius verba hunc in modum. *Speculabamur autem & naturam cerebri; ac erat ſanè cerebrum bipartitum, quemadmodum & reliquorum animalium; & ventriculum iuxta longitudinem ſitum habebat, hi verò perforati erant in vnum iuxta partium commiſſuram.* Ex *hoc autem tendebat ad cerebellum appellatum, illícque alter erat minor ventriculus, obſepta autem membranis vnaquæque pars; nam cerebellum interſeptum eſt ipſum per ſe, & cerebrum quod ſimile eſt inteſtino ieiuno, & vehementer implicitum. Multò adhuc magis hoc, cerebellum, pleriſque amfractibus & diuerſis conſtructum eſt; vt hinc liceat condiſcere ſpectatorem, quòd ſicuti in reliquis animalibus, ceruo, lepore, & ſi quod aliud in currendo multùm reliqua animantia ſuperat, vtilibus ad hæc benè conſtructis, tum muſculis, tum neruis, ſic etiam homini, quoniam reliquis animantibus multùm intelligendo præcellit, vehementer hoc eſt implicitum. Erant autem & proceſſus neruorum omnes à cerebro; ac vt ſummatim dicam, cerebrum initium eſſe apparet eorum qui in corpore ſunt nerui; nam ſenſus qui à naribus prouenit, ad hoc foramen pertingit; Item ab auribus venientes. Ferebantur etiam ad linguam & ad oculos proceſſus à cerebro.* Hic Eraſiſtratus fatetur quod priùs ipſi erat incognitum, manifeſtò

manifestò tunc vidisse neruos singulos ex cerebro procedentes. Exactè etiam de quatuor ipsius ventriculis scripsit, quos ne ipse quidem anno priore viderat. At si in viuentibus etiam animantibus experimentum fecisset, quod nos non semel neque bis, sed admodum frequenter fecimus, firmam habuisset duræ & crassæ membranæ cognitionem, quòd cerebri contegendi gratia procreata sit mollis autem & tenuis, etiam huius ipsius gratia; præterea vt omnia cerebri vasa, arteriæ nimirum & venæ colligarentur. Porrò quænam spectanda in dissectionibus ad huiusmodi dogmatum inuentionem putem, vberiùs in administrationibus anatomicis explicatur. Meminero etiam nunc ipsorum quantum ad præsentia potissimum conducat. Exciso capitis osse viuente adhuc animali, & crassiore membrana denudata, si vtrobique medio rectitudinis, qua cerebro hæc plexu duplici incumbit, per hamulos ipsam eleuatam, aut solam incideris, aut totam excideris, neque insensile, neque immobile animal euadit; quemadmodum neque si obtegengentem ipsius partem, totum posterius cerebrum, aut totum incideris, aut excindas; non tamen etsi cerebrum ab ipsis quomodocunque excindas, sic quoque animans motus aut sensus expers redditur, priusquam ad aliquem ventriculum ipsius sectio perueniat. Maximè igitur posterior ventriculus animal offendit, deinde medius; vterque autem prior minorem læsionem perficit, ac magis sanè in animalibus ætate prouectioribus, minùs autem in iunioribus. Contusiones quoque illud idem quod sectiones ad ventriculos vsque peruenientes, efficiunt, quas non de industria nostra, sed etiam nobis admodum cauentibus, videmus nonnunquam fieri in iis qui perforantur, quum ossa capitis fracta fuerint. Ex his igitur apparentibus forsitan aliquis suspicetur spiritum in ventriculis cerebri contentum, duorum alterum, siquidem anima est incorporea, primum ipsius, vt ita dicam, domicilium existere; sin autem corpus, hunc ipsum spiritum animam esse. Verùm quum coniunctis ventriculis paulò post rursum sentiat, moueatúrque animal, non ampliùs licet dicere prædicta, hunc esse spiritum. Præstat igitur existimare in ipso corpore cerebri animam habitare, cuiuscunque tandem sit substantiæ, (nondum enim de hoc venit consideratio) primùm autem ipsius organum, tum ad vniuersos animantis sensus, tum etiam ad arbitrarios hunc esse spiritum. Quare & euacuatus, vsque dum rursus recolligatur, vita non priuat animal, sed sensus motúsque reddit expers. Atqui si is esset animæ substantia, simul cum eo vbi euacuatur, animal protinus periret. Meritò igitur generatur hic spiritus in cerebri ventriculo, ac ideò illuc desinit arteriarum venarúmque copia non exigua, ex qua plexus choroïdes, vt vocant, efformati sunt, instrumentum verò, vt dixi, est primum ipsum animæ. Præterea magis speraueris spiritum hunc fieri, vasis ipsum expirantibus, & præsertim arteriis in cerebri ventriculos, plexum retiformem ex arteriis in caput venientibus fieri conspicatus, quando primum supergressæ caluariam intrò conduntur iuxta cerebri basim. Ibi enim non exiguam regionem natura veluti thalamum

σαφῶς ἑωρακέναι ἡνίκα δὴ τῶν νεύρων ἕκαστον ἐξ ἐγκεφάλου φυόμενον. ἀκριβῶς δὲ καὶ περὶ τῶν τεττάρων αὐτοῦ κοιλιῶν ἔγραψεν, ἃς οὐδ' αὐτὸς ἔτει τῷ πρότερον ἴδεν. εἰ δὲ κἀπὶ τῶν ζώντων ζώων ἐπεποίητο τὴν πεῖραν, ἣν ἡμεῖς οὐχ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ πάνυ πολλάκις ἐποιησάμεθα, βεβαίως ἂν ἔγνω τὴν μὲν σκληρὰν καὶ παχεῖαν μήνιγγα σκέπης ἕνεκεν γεγενημένην ἐγκεφάλου, τὴν δὲ μαλακὴν καὶ λεπτὴν, καὶ τούτου μὲν αὐτοῦ χάριν, ἔτι δὲ μᾶλλον ὑπὲρ τοῦ συνδεῖν ἅπαντα τὰ κατὰ τὸν ἐγκέφαλον ἀγγεῖα τὰς ἀρτηρίας, καὶ τὰς φλέβας. τίνα δέ ἐστιν ἃ χρῆναί φημι τεθεᾶσθαι κατὰ τὰς ἀνατομὰς εἰς τὴν τῶν τοιούτων δογμάτων εὕρεσιν, ἐπὶ πλέον μὲν ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσι λέγεται, μνημονευτέον δὲ καὶ νῦν αὐτῶν τοσούτου μέρους, ὅσον εἰς τὰ παρόντα μάλιστ' ἐστὶ χρήσιμον, ἐκκοπέντος τοῦ τῆς κεφαλῆς ὀστοῦ, ζῶντος ἔτι τοῦ ζώου, καὶ γυμνῆς τῆς παχείας μήνιγγος γενομένης, ἐὰν ἑκατέρωθεν τῆς μέσης εὐθείας καθ' ἣν ἐγκαταβαίνει τῷ ἐγκεφάλῳ διπλουμένη, δι' ἀγκίστρων ἀνατείνας αὐτὴν, ἢ τέμῃς μόνην, ἢ ἐκτέμῃς ὅλην, οὔτ' ἀναίσθητον, οὔτ' ἀκίνητον γίγνεται τὸ ζῶον, ὥσπερ οὐδ' εἰ τὸ σκέπον αὐτῆς μέρος ὅλον τὸν ὄπισθεν ἐγκέφαλον, ἢ τέμῃς μόνον, ἢ ἐκτέμῃς. οὐ μὴν οὐδ' εἰ τὸν ἐγκέφαλον αὐτὸν ὁπωσοῦν ἐκτέμνοις, οὐδ' οὕτως τὸ ζῶον ἀκίνητον, ἢ ἀναίσθητον γίγνεται, πρὶν ἐπί τινα τῶν κοιλιῶν αὐτοῦ τὴν τομὴν ἐξικέσθαι. μάλιστα μὲν οὖν ἡ ὀπίσω βλάπτει τὸ ζῶον, ἐφεξῆς δὲ ἡ μέση. τῶν προσθίων δ' ἑκατέρα βραχυτέραν ἐργάζεται τὴν βλάβην, καὶ μᾶλλον μὲν ἐπὶ τῶν πρεσβυτέρων ζώων, ἧττον δ' ἐπὶ τῶν νέων. τὰ δ' αὐτὰ ταῖς εἰς τὰς κοιλίας τομαῖς αἱ κατ' αὐτῶν ἐργάζονται θλίψεις, ἃς οὐδ' ἐπιτηδευόντων, ἀλλὰ καὶ πάνυ φυλαττομένων ὁρῶμεν ἐνίοτε γιγνομένας ἐπὶ τῶν ἀνατιτρωμένων ἀνθρώπων, ὅταν τὰ τῆς κεφαλῆς ὀστᾶ καταγῶσιν. ἐκ τούτων οὖν τῶν φαινομένων ἴσως ἄν τις ὑπονοήσῃ τὸ κατὰ τὰς κοιλίας τοῦ ἐγκεφάλου πνεῦμα δυοῖν θάτερον, εἰ μὲν ἀσώματός ἐστιν ἡ ψυχὴ, τὸ πρῶτον αὐτῆς ὑπάρχειν, ὡς ἂν εἴποι τις οἰκητήριον. εἰ δὲ σῶμα, τοῦτ' αὐτὸ τὸ πνεῦμα τὴν ψυχὴν εἶναι. ἀλλ' ὅταν γε συναχθεισῶν τῶν κοιλιῶν, ὀλίγον ὕστερον αὖθις αἰσθάνηται, καὶ κινῆται τὸ ζῶον οὐκ ἔθ' οἷόν τε φάναι τῶν εἰρημένων ὑπάρχειν τουτὶ τὸ πνεῦμα. βέλτιον οὖν ὑπολαβεῖν ἐν αὐτῷ μὲν τῷ σώματι τοῦ ἐγκεφάλου τὴν ψυχὴν οἰκεῖν, ἥτις ποτ' ἂν ᾖ κατὰ τὴν οὐσίαν. οὔπω γὰρ περὶ τούτου σκέψις ἥκει, τὸ πρῶτον δ' αὐτῆς ὄργανον εἴς τε τὰς αἰσθήσεις ἁπάσας τοῦ ζώου, καὶ προσέτι τὰς καθ' ὁρμὴν κινήσεις τοῦτ' εἶναι τὸ πνεῦμα, διὸ καὶ κενωθὲν ἄχρις ἂν αὖθις ἀθροισθῇ, τὴν μὲν ζωὴν οὐκ ἀφαιρεῖσθαι τὸ ζῶον, ἀναίσθητον δὲ καὶ ἀκίνητον ἐργάζεσθαι. καίτοι γε εἴπερ ἦν αὐτὸ ἡ τῆς ψυχῆς οὐσία, συνδιεφθείρετ' ἂν αὐτῷ κενουμένῳ παραχρῆμα τὸ ζῶον. εὔλογον οὖν γεννᾶσθαι μὲν τουτὶ τὸ πνεῦμα κατὰ τὰς κοιλίας τοῦ ἐγκεφάλου, καὶ διὰ τοῦτο ἐκεῖσε τελευτᾶν ἀρτηριῶν τε, καὶ φλεβῶν οὐκ ὀλίγον πλῆθος, ἐξ οὗ τὰ καλούμενα χοροειδῆ πλέγματα γέγονεν, ὄργανον δ', ὡς ἔφην, εἶναι τὸ πρῶτον αὐτὸ τῆς ψυχῆς. ἔτι δ' ἂν μᾶλλον ἐλπίσαις γίγνεσθαι τὸ πνεῦμα τοῦτο τῶν ἀγγείων ἀναπνεόντων αὐτὸ, καὶ μάλιστα τῶν ἀρτηριῶν εἰς τὰς κοιλίας τοῦ ἐγκεφάλου, τὸ δικτυοειδὲς ἰδὼν πλέγμα γιγνόμενον ἐκ τῶν ἐρχομένων εἰς τὴν κεφαλὴν ἀρτηριῶν, ὅταν πρῶτον ὑπερβᾶσαι τὸ κρανίον ἐντὸς αὐτοῦ φέρωνται κατὰ τὴν καλουμένην ἐγκεφάλου βάσιν. ἐνταῦθα γὰρ οὐκ ὀλίγην χώραν ἡ φύσις οἷον θαλάμην

τινὰ τῷ δικτυοειδεῖ τῷδε προσκατεσκεύασε πλέγματι περιεχόμενον ὑπὸ τῆς παχείας μήνιγγος, εἰς ἣν χώραν ἀπὸ τῶν καρωτίδων ὀνομαζομένων ἀρτηριῶν, οὐ σμικρά τις ἀφικνουμένη μοῖρα, καθ' ἑκάτερον μέρος ἓν ἀγγεῖον, εἶτα κατασχιζόμεναι πολυειδῶς οὐχ ἁπλοῦν ἐργάζονται τὸ δίκτυον, ἀλλ' ἐπ' ἀλλήλοις κείμενα πολλά, μετὰ τοῦ συνῆφθαί τε καὶ συμπεφυκέναι πάντα. καὶ πάλιν γε κατὰ τοῦ πλέγματος τοῦδε τηλικούτου ζεύγους ἀρτηριῶν ἐκφυομένου ἡλίκον ἐξ ἀρχῆς ἦν τὸ παρὰ τῶν καρωτίδων ἧκον, εἰς τὸν ἐγκέφαλον ἀναφέρεται, τά τ' ἄλλα μέρη διαπλέκον αὐτοῦ παμπόλλαις ἀπονεμήσεσι, καὶ τὰ κατὰ τὰς κοιλίας ἐργαζόμενα πλέγματα. τὸ μὲν οὖν κατὰ τὰς ἀρτηρίας πνεῦμα, ζωτικόν ἐστί τε καὶ προσαγορεύεται, τὸ δὲ κατὰ τὸν ἐγκέφαλον, ψυχικόν, οὐχ ὡς οὐσία ψυχῆς ὑπάρχον, ἀλλ' ὡς ὄργανον πρῶτον αὐτῆς οἰκούσης κατὰ τὸν ἐγκέφαλον, ὁποία τις ἂν ᾖ τὴν οὐσίαν. ὥσπερ δὲ τὸ ζωτικὸν πνεῦμα κατὰ τὰς ἀρτηρίας τε, καὶ τὴν καρδίαν γεννᾶται, τὴν ὕλην ἔχον τῆς γενέσεως ἔκ τε τῆς εἰσπνοῆς, καὶ τῆς τῶν χυμῶν ἀναθυμιάσεως, οὕτω τὸ ψυχικὸν ἐκ τοῦ ζωτικοῦ κατεργασθέντος ἐπὶ πλέον, ἔχει τὴν γένεσιν. ἐχρῆν γὰρ δήπου μᾶλλον ἁπάντων αὐτὸ μεταβολῆς ἀκριβοῦς τυχεῖν. εἴπερ οὖν τό τε σπέρμα καὶ τὸ γάλα, καίτοι γ' ἀπολειπόμενα τῇ δυνάμει τοῦ ψυχικοῦ πνεύματος ὅμως ἡ φύσις ἀκριβῶς κατεργάζεσθαι δεομένη, πολυχρόνιον αὐτοῖς ἐμηχανήσατο τὴν ἐν τοῖς πεπτικοῖς ὀργάνοις διατριβήν, καὶ διὰ τοῦτο τῷ μὲν σπέρματι, τὴν περὶ τῶν ὄρχεων ἕλικα προκατεσκεύασε, τῷ δὲ γάλακτι, τὸ μῆκος τῶν εἰς τοὺς τιτθοὺς ἰόντων ἀγγείων, εἰκότως καὶ κατὰ τὸν ἐγκέφαλον ἐκ τοῦ ζωτικοῦ πνεύματος ἐργαζομένη τὸ ψυχικόν, οἷον λαβύρινθόν τινα ποικίλον ἐδημιούργησε πλησίον ἐγκεφάλου τὸ δικτυοειδὲς πλέγμα. τοῦτό τε οὖν αὐτὸ τῆς κατασκευῆς τῶν μορίων ἐνδειξαμένης, ἐδιδάχθημεν ὅτι τε τὸ ψυχικὸν πνεῦμα, μήτ' οὐσία ψυχῆς ἐστι, μήτε οἶκος αὐτῆς, ἀλλ' ὄργανον πρῶτον ἐκ τοῦ κενωθέντος αὐτοῦ κατὰ τὰς τρώσεις, αὐτίκα μὲν οἷον περ νεκρὸν γίγνεσθαι τὸ ζῶον, ἀθροισθέντος δὲ αὖθις ἀναβιώσκεσθαι, καὶ πάνθ' ἁπλῶς ὅσα περ εἴρηταί τε καὶ μέλλει λεχθήσεται, τὰ μὲν ἐκ τῆς τῶν μορίων κατασκευῆς, τὰ δὲ ἐκ τῶν ἑπομένων συμπτωμάτων, ἐπὶ ταῖς τομαῖς ἢ θλίψεσιν ἔχει τὴν εὕρεσιν. αὐτίκα γέ τοι τῶν κατὰ τὸν ἐγκέφαλον πόρων, οἱ μὲν διὰ τῆς καλουμένης χώνης εἰς ὑπερῴαν καθήκουσιν, οἱ δ' εἰς τὴν ἀρχὴν τῆς ῥινὸς τελευτῶσιν, οἱ δ' ἐν τοῖς ὀπτικοῖς φαίνονται νεύροις. καί τις ἄλλος εἰς γῆς ἐμβάλλει τῇ πρώτῃ γενέσει τοῦ νωτιαίου, καθ' ὃ μέρος μάλιστα τῆς παχείας μήνιγγος τρωθείσης, ὁ πόρος ὅλος γίγνεται γυμνὸς ἅμα τῷ πέρατι τῆς ὄπισθεν ἐγκεφάλου κοιλίας, ὅ περ οὐχ ἥκιστα τὸν Ἐρασίστρατον ἠπάτησεν, ὡς οἰηθῆναι διὰ τὴν τῆς μήνιγγος τρῶσιν, ἀκίνητον αὐτίκα γίγνεσθαι τὸ ζῶον. ἑώρα γὰρ ἐπὶ τῶν κατὰ τὸν πρῶτον σπόνδυλον τιτρωσκομένων βοῶν, ἅμα τῷ διαιρεθῆναι τὴν μήνιγγα ἀκίνητον αὐτίκα τὸ ζῶον γινόμενον, ἀλλ' οὐ τῷ πάθει τῆς μήνιγγος, ἀλλὰ τῷ γυμνοῦσθαι τὴν ὀπίσω κοιλίαν γίγνεται τοῦτο. δῆλον δ' ἐστὶν ἐκ τοῦ κατὰ πάντα τἆλλα μέρη, τὴν μήνιγγα μηδὲν τοιοῦτον τιτρωσκομένην ἐργάζεσθαι. περὶ μὲν οὖν τῆς ὅλης φύσεως ἐγκεφάλου, δι' ἑτέρων λέγεται πραγματειῶν, τὰ μὲν ἐξ ἀνατομῆς φαινόμενα, κατὰ τὴν τῶν ἀνατομικῶν ἐγχειρήσεων, ἡ δὲ χρεία τῆς κατασκευῆς ἑκάστου τῶν μελῶν ἐν τῇ περὶ χρείας μορίων εἴρηται. οὐκ ὀλίγα δὲ κἀν τοῖς περὶ τῆς Ἱπποκράτους ἀνατομῆς ὑπομνήμασιν. ἐν δὲ τῷ παρόντι τὰ χρήσιμα μόνα πρὸς τὰ προκείμενα διέρχομαι, τῶν γάρ τοι νεύρων ἐκπεφυκότων, ἐγκεφάλου τε καὶ τῶν περικειμένων αὐτῷ μηνίγγων,

quendam retiformi huic plexui præparauit, qui a craſſiore membrana continetur, in quam regionem ab arteriis carotidibus appellatis haud parua quædam portio peruenit, vtrobique ſingula vaſa, deinde multifariam propagatæ, non ſimplex efficiunt rete, ſed multa ſibi inuicem ſuperpoſita, eaque commiſſa, connatáque omnia. Ac rurſus in plexum hunc tanto pari arteriarum enaſcente, quantum ab initio erat, id quod à carotidibus venit, in cerebrum effertur, tum alias partes multis ipſius ramis implicans, tum illas quæ ventriculorum plexus efficiunt. Itaque arteriarum ſpiritus vitalis eſt, & appellatur; animalis autem in cerebro, non tanquam animæ ſubſtantia ſit, ſed ſicut organum primarium ipſius in cerebro habitantis, qualiſcunque ſit ſubſtantiæ. Quemadmodum autem vitalis ſpiritus in arteriis & corde generatur, materiam generationis habens ex inſpiratione, & humorum vapore; ita animalis ex vitali magis elaborato habet originem. Conueniebat enim nimirum omnium maximè hunc accuratam mutationem conſequi. Si igitur & ſemen & lac, quamuis virtute ab animali ſpiritu abſint, tamen natura exactè ea elaborare deſiderans, fecit vt ea diutiùs in concoquendi inſtrumentis immorarentur, ac propterea ſemini circumuolutionem, anfractúmque ante teſticulos præparauit, lacti verò longitudinem vaſorum ad mammas tendentium; meritò etiam id cerebro ex vitali ſpiritu animalem efficienti, veluti labyrinthum quendam varium, plexum retiformem prope cerebrum fabricata eſt. Atque hoc ipſum ſtructura partium indicante docti ſumus, quòd animalis ſpiritus, neque ſubſtantiæ animæ ſit, neque domicilium ipſius, ſed inſtrumentum primarium, inde videlicet quòd ipſo per vulnera euacuato, ſtatim veluti mortuum animal redditur: collecto autem reuiuiſcit; ac omnia ſummatim quæ dicta ſunt, dicentúrque, partim ex partium ſtructura, partim ex ſymptomatis ſuperuenientibus ob ſectiones aut compreſſiones, inuentionem obtinent. Statim ſiquidem cerebri meatuum alij per infundibulum in palatum deſcendunt; alij in narium initium deſinunt; alij in opticis neruis apparent. Et aliquis alius inſerit ſe primæ ſpinalis medullæ origini, qua parte potiſſimum craſſiore membrana vulnerata, totus meatus nudus redditur vnà cum extremo poſterioris cerebri ſinu; quod maximè Eraſiſtrato impoſuit, qui putauerit per cerebri membranæ vulnus ſtatim immobile reddi animal: videbat enim in bobus circa primam vertebram vulneratis ſimul atque membrana cerebri diuiſa fuerit, immobile protinus animal fieri. Verùm non membranæ affectu, ſed quia poſterior ventriculus nudatur, id accidit. Conſtat autem inde quòd in omnibus aliis partibus membrana vulnerata nihil huiuſmodi efficiat. Itaque de tota cerebri natura in aliis operibus tractatur; quæ ex diſſectione apparent in adminiſtrationibus anatomicis; vſus ſtructuræ cuiuſque membri in opere de vſu partium expoſitus. Non pauca etiam in commentariis de Hippocratis anatome tractantur. In præſentiarum ea ſolùm quæ ad præſens inſtitutum vtilia ſunt, perſequor; etenim quum nerui ex cerebro, & membranis id ambientibus ortum habent per partem eam

quæ

quæ ex cerebro prodit, & ſenſus omnibus membris, & motus ſuppeditatur. Quæ autem vtriuſque membranæ propago eſt, eundem neruis vſum præbet, quem cerebro illæ exhibebant. Quare ſi ambo exemeris, nihil læditur pars in quam neruus pertinet; quemadmodum neque ſi ipſi cerebro exteriores membranas abſtuleris, nihil enim ne ob has animal in præſenti quidem offenditur; quòd ſi proceſſu temporis poſtea ex affinitate conſenſúque periculum ſequitur, nihil hoc facit ad id quod quæritur.

A διὰ μὲν τῆς κατὰ τὸ ἐγκέφαλον ἀποφύσεως, ἥ τ' αἴσθησις ἅπασι τοῖς μέλεσι, καὶ ἡ κίνησις χορηγεῖται. ὃ δὴ ἑκατέρας τῶν μηνίγγων ἐστὶν ἀποβλάστημα, τὴν αὐτὴν χρείαν παρέχει τοῖς νεύροις, ἥν περ ἐγκεφάλῳ πρόσθεν ἐκεῖναι, ὥστε κἂν ἄμφω περιέλῃς, οὐδὲν βλάπτεται τὸ μόριον εἰς ὃ τὸ νεῦρον ἀφικνεῖται, καθάπερ οὐδ' εἰ τὸ ἐγκέφαλον αὐτὸν ἀφέλοιο τὰς ἔξωθεν μήνιγγας. οὐδὲν γὰρ οὐδ' ἐπὶ ταύταις βλάπτεται τὸ ζῷον ἔν γε τῷ παραυτίκα χρόνῳ· δὴ ὕστερον εἰ κατὰ συμπάθειαν ἕπεται κίνδυνος, οὐδὲν τούτων ἐστὶ πρὸς τὸ ζητούμενον.

CAPVT IV. B

Quibus neruis ſpiritus, quibus facultas ad ſenſum & motum efficiendum ad partes influat.

VTrum igitur quemadmodum in ventriculis cerebri ſpiritu inanito, totum animal ſenſus expers euaſit, & propterea dicimus eum eſſe vtilem, tum ad partium ſenſus, tum ad motus, ita exiſtimandum eſt etiam in ſingulis neruis ſpiritum eſſe aliquem; ac vtrum hic quaſi inteſtinus & connatus ipſis ſit, qui ab eo qui à principio venit tanquam nuncio quodam pulſatus excitatur, an connatus quidem ſit ipſis nullus, ſed C ex cerebro influit eo tempore, quo mouere partem volumus, ego ſanè non poſſum promptè pronunciare. Proponantur autem vulgari ratione conſideranda, & hæc ambo modò commemorata, & præterea tertium, ſecundum qualitatem continuorum alteratio; quod obſcurè mihi videntur ſignificare, qui ſecundum facultatem influere quædam ſine ſubſtantia affirmant. Nam quæ per alterationem in continua corpora qualitatum diſtributiones fiunt, facultatis influxus ab ipſis dicuntur; quemadmodum quum in ambiente aëre ex ſolari ſplendore profecta quædam qualitas, in omnem ipſius partem diſtributio D peruenit, ipſa ſolis ſubſtantia in loco ſuo permanente. Oſtenſum enim hoc nobis eſt in opere de demonſtratione. Neque itaque promptè ſic pronunciari, vtrum ſic facultas ex cerebro partibus per neruos influit, an ſpiritus ſubſtantia vſque ad ſenſibiles mobiléſque partes proficiſcente, aut aliquo vſque neruis incidente, vt vehementer ipſos alteret, deinde ſic alteratione vſque ad membra mobilia diſtributâ. Huiuſmodi etiam quippiam in ſenſu viſorio fieri, in libris de demonſtratione indicatum eſt. Quod enim in illis neruis ſplendidus fertur ſpiritus foramina manifeſta habentibus, tum in ſuperiori initio, tum E qua in oculos inſeruntur, in grandium animalium diſſectionibus eſt conſpicere. Inferiorem itaque partem, & iuxta oculos ſitam plurimi diſſectores cognouerunt. Superius autem initium horum neruorum prope omnibus ipſis ignoratum eſt, quod ſit qua priores ventriculi in obliquum diſtorquentur. Quum enim vterque ipſorum arctum prolixúmque inferiorem finem habeat, ibi narium meatuum radix habetur. Superius autem extremum quod ad medium pertingit ventriculum dilatatum, conuerſum quodammodo inde F in obliquum porrigitur, paulatim ad infernam regionem & baſim tendens; non tamen ad illam perueniunt, ſed paulò poſt in anguſtum redacti deſinunt cornu inſtar non admodum citò, ſed paulatim auerſi. Itaque ad hoc ventriculorum extremum emergit opticorum neruorum principium,

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Διὰ τίνων νεύρων τὸ πνεῦμα, καὶ διὰ τίνων ἡ δύναμις πρὸς τὴν αἴσθησίν τε, καὶ τὴν κίνησιν εἰς τὰ μόρια ἐπιρρεῖ.

ΠΟτερον οὖν, ὥσπερ ἐπὶ τῶν κοιλιῶν τοῦ ἐγκεφάλου κενωθέντος τοῦ πνεύματος, ὅλον τὸ ζῷον ἀναίσθητον ἐγίνετο, καὶ διὰ τοῦτ' ἔφαμεν αὐτὸ χρήσιμον ὑπάρχειν εἰς τὰς τῶν μορίων αἰσθήσεις τε καὶ κινήσεις. οὕτως ἡγητέον ἐστὶ, καὶ καθ' ἕκαστον νεῦρον εἶναί τι πνεῦμα, καὶ πότερον ἐγχώριόν γέ τι καὶ σύμφυτον αὐτοῖς εἶναι, τοῦτο τὸ πληττόμενον ὑπὸ τοῦ παρὰ τῆς ἀρχῆς ἥκοντος ὥσπερ ἀγγέλου τινὸς, ἢ σύμφυτον μὲν ἐστιν αὐτοῖς. οὐδὲν ἐπιρρεῖ δ' ἐξ ἐγκεφάλου κατ' ἐκεῖνον τὸν καιρὸν ἐν ᾧ κινῆσαι προαιρούμεθα τὸ μέρος. ἐγὼ μὲν οὐκ ἔχω προχείρως ἀποφήνασθαι· προκείσθω δ' ἐν κοινῷ σκοπεῖσθαι, καὶ ταῦτα μὲν ἄμφω τὰ νῦν εἰρημένα, καὶ πρὸς τοῖς δὲ τρίτον, ἡ κατὰ ποιότητα τῶν συνεχῶν ἀλλοίωσις, ὅπερ αἰνίττεσθαί μοι δοκοῦσιν οἱ κατὰ δύναμιν ἐπιρρεῖν τινα χωρὶς οὐσίας φάσκοντες. αἱ γὰρ κατ' ἀλλοίωσιν εἰς τὰ συνεχῆ σώματα διαδόσεις τῶν ποιοτήτων, ἐπιρροαὶ δυνάμεως ὑπ' αὐτῶν λέγονται, καθάπερ ὅταν ἐπὶ τοῦ περιέχοντος ἀέρος ἐκ τῆς ἡλιακῆς αὐγῆς ὁρμηθεῖσά τις ποιότης, εἰς ἅπαν αὐτοῦ μέρος ἀφικνεῖται διαδόσει, αὐτῆς τῆς οὐσίας τοῦ ἡλίου μενούσης κατὰ χώραν. ἐπιδέδεικται γὰρ ἡμῖν τοῦτο κατὰ τὴν περὶ τῆς ἀποδείξεως πραγματείαν. οὔκουν οὐδ' ἔτι προχείρως ἀποφήνασθαι πότερον οὕτως ἐξ ἐγκεφάλου δύναμις ἐπιρρεῖ τοῖς μέλεσι διὰ νεύρων, ἢ τῆς τοῦ πνεύματος οὐσίας παραγινομένης ἄχρι τῶν αἰσθανομένων, καὶ κινουμένων μορίων, ἢ μέχρι τινὸς ἐμπιπτούσης τοῖς νεύροις, ὡς ἀλλοιῶσαι σφοδρῶς αὐτὰ, κἄπειθ' οὕτως τῆς ἀλλοιώσεως ἄχρι τῶν κινουμένων μελῶν διαδιδομένης. τοιοῦτον γοῦν τι καὶ κατὰ τὴν ὀπτικὴν αἴσθησιν, ἐν τοῖς περὶ τῆς ἀποδείξεως ἐδείχθη γιγνόμενον. ὅτι γὰρ ἐπ' ἐκείνων τῶν νεύρων αὐγοειδὲς φέρεται πνεῦμα, τρήματα ἐχόντων σαφῆ, κατά τε τὴν ἄνωθεν ἀρχὴν, καὶ τὴν εἰς τοὺς ὀφθαλμοὺς ἔμφυσιν, ἐν ταῖς τῶν μεγάλων ζῴων ἀνατομαῖς ἐστι θεάσασθαι. τὸ μὲν οὖν κάτωθεν, καὶ πρὸς τοῖς ὀφθαλμοῖς, οἱ πλεῖστοι τῶν ἀνατομικῶν ἐγνώκασιν, ἡ δ' ἄνωθεν ἀρχὴ τῶνδε τῶν νεύρων, σχεδὸν ἅπασιν αὐτοῖς ἠγνόηται κατὰ τὴν εἰς τὸ πλάγιον ἐπιστροφὴν, οὖσαν τῶν προσθίων κοιλιῶν. ἑκατέρας γὰρ αὐτῶν στενὴν, καὶ παραμήκη τὴν κάτω τελευτὴν ἐχούσης, ἔνθα τῶν τῆς ῥινὸς πόρων ἐστὶν ἡ ῥίζα. τὸ δὲ ἄνω πέρας ὃ πρὸς τὴν μέσην ἀνήκει κοιλίαν εὐρυνόμενον, ἐπιστροφή τις ἐντεῦθεν εἰς τὸ πλάγιον γίγνεται ῥέπουσα βραχὺ, πρὸς τὸ κάτω καὶ τὴν βάσιν. οὐ μὴν ἐξικνοῦνταί γ' ἐπ' ἐκείνην, ἀλλὰ κατ' ὀλίγον στενωθεῖσαι παύονται κέρατος δίκην, οὐκ ἀκριβῶς εὐθέος, ἀλλ' ἀτρέμα πως ἀποστρεφομένου. πρὸς τοῦτο οὖν τὸ πέρας τῶν κοιλιῶν ἀνήκει τῶν ὀπτικῶν νεύρων ἡ ἀρχή,

τρῆμα δυσθεώρητον ἔχουσα. θεάσῃ δὲ αὐτὸ τριῶν τούτων στοχασάμενος, ἑνὸς μὲν τοῦ μέγα τὸ ζῷον εἶναι, δευτέρου δὲ τοῦ παραχρῆμα μετὰ τὸν θάνατον ἀνατέμνεσθαι, καὶ τρίτου, τοῦ τὸν πέριξ ἀέρα φωτεινὸν εἶναι. ἐὰν γὰρ ἐπὶ τούτοις οὕτω παρεσκευασμένοις γυμνώσῃς, ἐπιτηδείως τὸ πέρας τῆς κοιλίας ἀφελών, ἅπαντα τὰ κατ' αὐτῆς ἐπικείμενα σώματα χωρὶς τοῦ διασπάσαι τε, καὶ θλάσαι τὴν ἔκφυσιν τοῦ νεύρου, θεάσῃ τὸ κατὰ τὴν ἀρχὴν αὐτοῦ τρῆμα. ὅτι μὲν οὖν φέρεταί τι πνεῦμα διὰ τῶν πόρων τούτων ἐπὶ τοὺς ὀφθαλμούς, ἥ τε κατασκευή σε διδάσκει, καὶ προσέτι τὸ, κλεισθέντος μὲν αὐτῶν ἑνός, εὐρύνεσθαι θατέρου τὴν κόρην. ἀνοιχθέντος δὲ παραχρῆμα πάλιν εἰς τὸ κατὰ φύσιν ἐπανέρχεσθαι μέγεθος· ὅτι τε γὰρ ὑπό τινος οὐσίας διατεινομένου τοῦ ῥαγοειδοῦς χιτῶνος ἐν τῷ πληροῦσθαι τὴν ἔνδον αὐτοῦ χώραν, ἀναγκαῖόν ἐστιν εὐρύνεσθαι τῷ κατὰ τὴν κόρην τρήματι, καὶ ἄλλως ἀμήχανον, ὅτι τε τὸ τάχος τῆς κενώσεώς τε καὶ πληρώσεως, οὐχ ὑγροῦ τινος ἐπιρρέοντός τε, ἀλλὰ μόνης ἐστὶ πνευματικῆς ἔργον οὐσίας, οὐ χαλεπὸν συνιδεῖν. ἐπεὶ δ' ἐς ταὐτὸ ἀμφότεροι οἱ πόροι παραγίγνονται, καὶ γὰρ καὶ τοῦτ' ἐναργῶς φαίνεται διὰ τῆς ἀνατομῆς, εἰκός ἐστι τὴν κοινὴν χώραν ἐξ ἀμφοτέρων τῶν πόρων τὸ πνεῦμα δεχομένην ἐν τῷ μῦσαι τὸν ἕτερον ὀφθαλμόν, ἐπιπέμπειν τῷ λοιπῷ σύμπαν αὐτό. μέγιστον δὲ μαρτύριον τοῦ λεγομένου, καὶ τὸ τῶν ὑποκεχυμένων, οἷς μὲν εὐρύνηται τὸ τρῆμα κλεισθέντος θατέρου τῶν ὀφθαλμῶν, ἔτι σώζεσθαι τὴν ὀπτικὴν δύναμιν. οἷς δ' αὖ μὴ γίγνηται τοῦτο, τελέως ἀπολωλέναι. καὶ διὰ τοῦτο κἂν καλῶς καταχθῇ τὸ ὑπόχυμα, μὴ βλέπειν αὐτούς, ἄλλοις δέ τισι συνέβη μὴ βλέπειν ὑποχύματος χωρίς, ἐφ' ὧν εἰ κλεισθείη θατέρου τὸ βλέφαρον, ἡ κόρη τὸν ἴσον ὁρᾶται κύκλον ἔχουσα τῷ πρόσθεν, ὡς ἂν μηκέτι πνευματικῆς οὐσίας ἀφικνουμένης εἰς τὸν ὀφθαλμόν, ὑφ' ἧς διατείνεται πληρούμενος ἔνδοθεν ὁ ῥαγοειδὴς χιτών. εἰκότως οὖν ἐπὶ τούτων ἐμπεφράχθαι τοὺς πόρους τῶν ὀπτικῶν νεύρων, ὑπὸ πολλῶν εὐδοκίμων ἰατρῶν εἴρηται, καὶ οἶδά γέ τινα τῶν οὕτω παθόντων διηγούμενον ἡμῖν, ὡς πρὶν μὲν παθεῖν ἐπὶ τοῖς ὕπνοις, ἀνοιχθέντων τῶν βλεφάρων, ἑώρα φῶς πολὺ περὶ τῶν ὀφθαλμῶν, ὅπερ ἀμέλει κἀμοί, καὶ πολλοῖς ἄλλοις ὑπάρχει. κατὰ βραχὺ δ' ἔφη μειωθῆναι τό τε φῶς αὐτοῦ μέχρι τοῦ μηδ' ὅλως ἔτι φαίνεσθαι, καὶ τὴν ὀπτικὴν αἴσθησιν ἀμαυρουμένην ὁμοίως εἰς ἀπώλειαν ἀφικέσθαι παντελῶς, λέουσι δὲ καὶ παρδάλεσι, καὶ τῶν ἄλλων ζῴων οἷς αὐγοειδής ἐστιν ἰσχυρῶς ὁ ὀφθαλμός, ἔνεστί σοι θεάσασθαι νύκτωρ, ὅταν ἐπιστρέψωσι τὴν κόρην ἐπὶ τὴν ῥῖνα, κύκλον αὐγῆς ἐπ' αὐτῆς φαινόμενον, ὡς ἀναλογίσασθαι τοσοῦτον ἀπὸ τῆς κόρης ἐν τῷ μεταξὺ τὸν ὀπτικὸν ηὐξῆσθαι κῶνον, ἡλίκος ἂν ᾖ κατὰ τὴν ἀναλογίαν τοῦ διαστήματος ὁ κύκλος αὐτῆς. τοῖς μὲν γὰρ μείζονα τοῦτον ἔχουσι φύσει, καὶ ὁ τῆς αὐγῆς κύκλος μείζων φαίνεται, τοῖς δ' ἐλάττονα τοσοῦτον ἀνάλογον ἐλάττων, ὅσον κἀκεῖνος. πότερον οὖν ὥσπερ ἐπὶ τοὺς ὀφθαλμοὺς ἀφικνεῖταί τι πνεῦμα διὰ τῶν ὀπτικῶν νεύρων, οὕτω καὶ κατὰ τἄλλα ἔχει σύμπαντα· καὶ τίς ὁδός ἐστι καθ' ἕκαστον αὐτῶν ἀόρατος ὑπὸ σμικρότητος, ἢ τοῦτο ἀδύνατον ἐπὶ τῶν ἐν τοῖς νεύροις λεπτοτάτων ὑπάρχειν ἰνῶν. δεήσει γὰρ ἡμᾶς ἐπινοῆσαι τῷ πόρῳ περικείμενον ἐν κύκλῳ τι τοῦ νεύρου σῶμα, λεπτότερον καὶ τῶν ἀραχνίων, ὥστ' αὐτό τε διασπασθήσεται τάχιστα, καὶ ὁ πόρος ἐμφραχθήσεται μόνον οὐ καθ' ἑκάστην ῥοπήν. διὰ ταῦτα μὲν ἡγοῦμαι, μὴ πᾶσι τοῖς νεύροις ὑπάρχειν πόρους.

foramen vix viſibile obtinens. Spectabis autem ipſum, hæc tria conſiderans; vnum, vt magnum ſit animal; ſecundum, vt ſtatim poſt mortem incidatur; & terium, vt ambiens aër ſit lucidus. Si enim his ſic præparatis nudaueris, commodè extremo ventriculo ablato, omnia quæ ei incumbunt corpora, ſic vt non diuellas comprimáſque nerui proceſſum, videbis iuxta initium ipſius foramen. Quòd igitur ſpiritus aliquis per meatus hos ad oculos defertur, & ſtructura te docet, & præterea quòd vno ipſorum clauſo, alterius pupilla dilatatur; aperto autem, ſtatim rurſus in naturalem magnitudinem reuertitur. Nam quòd cum tunica acini ſpeciem referens, à ſubſtantia quadam diſtenditur, dum repletur interior ipſius regio, neceſſarium eſt pupillæ foramen dilatari, & alioquin fieri nequit. Item quòd inanitionis repletioníſque celeritas non humoris cuiuſdam influentis, ſed ſolius ſpiritalis opus eſt ſubſtantiæ, haud difficile eſt contueri. Quoniam verò in idem vtrique meatus perueniunt (etenim & hoc euidenter apparet in diſſectionibus) veriſimile eſt communem regionem, ex vtriſque meatibus ſpiritum recipientem, dum alter oculus clauditur totum ipſum alteri tranſmittere. Porrò maximum huius rei teſtimonium eſt & quòd ſuffuſorum, quibus ſanè ſi foramen dilatetur, clauſo altero oculo facultas adhuc viſoria ſeruetur incolumis; quibus autem ſi hoc non eueniat, omninò perierit, ac propterea etſi probè ſuffuſio curata fuerit, ipſi non vident. Aliis verò quibuſdam accidit, vt non videant, vel citra ſuffuſionem, in quibus ſi alterius palpebra clauſa fuerit, pupilla æqualem priori circulum habere videtur, tanquam non amplius ſpiritali ſubſtantia in oculum perueniente; vnde diſtenditur repleta intrinſecus tunica rhagoides dicta. Meritò igitur in his opticorum neruorum meatus obſtructi eſſe, à multis præclaris medicis dicuntur; ac noui quendam ita affectum recenſuiſſe nobis, quòd priuſquam pateretur, per ſomnum apertis palpebris lumen copioſum ante oculos videbat, quod denique & mihi, & multis aliis ineſt. Paulatim autem dicebat decreuiſſe lumen ipſius, vſque dum nihil omnino appareret amplius, & viſorium ſenſum obſcurari similiter, ita vt in totum interiret. Porrò leonibus & pardalis aliiſque animalibus, quibus ſplendidus admodum eſt oculus, licet tibi noctu ſpectare, quum pupillam ad nares conuerterint, circulum ſplendoris in ipſa apparentem, vt colligas tantum à pupilla interim viſorium conum increuiſſe, quatenus fuerit iuxta interualli proportionem ipſius circulus. Etenim qui hunc natura maiorem habent, in iis etiam ſplendoris circulus maior apparet; iis qui minorem, tantò ad portionem minor, quantò etiam ille. Vtrum igitur quemadmodum ad oculos ſpiritus aliquis per neruos opticos peruenit, ita etiam in aliis omnibus habet; ac quædam via eſt in ſingulis inuiſibilis propter paruitatem; an hoc eſſe non poteſt in fibris neruorum tenuiſſimis. Oportebit enim nos conſiderare corpus aliquod nerui etiam araneis tenuius meatui orbiculatim circundatum. Quapropter ipſum diuelletur celerrimè, & meatus obſtruetur, quacunque ferè occaſione; ideò ſanè arbitror non omnibus neruis ineſſe meatus.

Forſan

Forsan igitur dicet aliquis, si omninò vnus neruus membris inferioribus facultates à principio potest proferre sinus expers, poterunt & omnes. Cur igitur & meatus iuxta spinalis medullæ processum ita sensilis est, vt in visoriis neruis, an quòd continuitate virtutum distributio redditur imbecillis, & præsertim quum vel maius, vel durius sit quod recipit, aut vehementiorem alterationem desiderat. Si autem tenuior substantia aliquatenus incidat cum violentia & ictu, augebitur alteratio. Dictum enim est quòd hoc sanè, quod à plerisque vocatur distributio facultatis, alterationis sit communicatio; qualis etiam in aëre à solari splendore accidit; sic vtique consentaneum est etiam spiritum qui in oculos proficiscitur, primo illapsu vniri cum ambiente, & simul ipsum in suam ipsius naturam alterare, non tamen plurimùm extendi.

ἴσως οὖν ἐρεῖ τις, εἴπερ ὅλως ἓν νεῦρον οἷόν τ' ἐστὶ διακομίζειν τοῖς κάτω μέλεσι τὰς ἀπὸ τῆς ἀρχῆς δυνάμεις, ἀκοίλιον ὑπάρχον, ἐκχωρήσει καὶ πάντα. τί δήποτ' οὖν ὅτε κατὰ τὴν ἔκφυσιν τοῦ νωτιαίου πόρος αἰσθητός ἐστιν οὕτως, ὡς ἐν τοῖς ὀπτικοῖς νεύροις, ἢ ὅτι τῷ μὲν συνεχεῖ ἡ μετάδοσις ἀσθενὴς γίγνεται τῶν δυνάμεων, καὶ μάλιστα ὅταν ἤτοι μεῖζον, ἢ σκληρότερον ᾖ τὸ δεχόμενον, ἢ σφοδροτέρας ἀλλοιώσεως δεόμενον. εἰ δέ γε λεπτομεροῦς οὐσίας ἄχρι τινὸς ἔμπτωσις γίγνοιτο μετὰ βίας τε καὶ πληγῆς, αὐξηθήσεται τὰ τῆς ἀλλοιώσεως. ἐλέχθη γὰρ ὅτι τοῦτο δὴ τὸ καλούμενον ὑπὸ τῶν πολλῶν διάδοσις δυνάμεως, ἀλλοιώσεώς ἐστι μετάδοσις, οἷα καὶ κατὰ τὸν ἀέρα γίγνεται πρὸς τῆς ἡλιακῆς αὐγῆς. οὕτως γοῦν εἰκός ἐστι, καὶ τὸ παραγιγνόμενον εἰς ὀφθαλμοὺς πνεῦμα, κατὰ μὲν τὴν πρώτην ἔμπτωσιν ἑνοῦσθαί τε τῷ περιέχοντι, καὶ συναλλοιοῦν αὐτὸ πρὸς τὴν ἰδιότητα τῆς ἑαυτοῦ φύσεως, οὐ μὴν ἐπὶ πλεῖστόν γ' ἐκτείνεσθαι.

CAPVT V.

Quomodo fiat visio, quidque inter se differant sensus & motus nerui, & ipsa sentiendi media & instrumenta.

PRæsertim autem credet hoc aliquis fieri, doctus quomodo consentaneum sit nos videre. Porrò initium etiam huius sermonis tale est. Corpus videns è duobus alterum efficit, aut mittens de se aliquid ad nos, cum illo etiam propriam indicat dignotionem; aut si ipsum nihil mittit, expectat aliquam à nobis ad se venire facultatem sentientem. Vtrum igitur ipsorum sit verius, hoc potissimùm modo iudicabitur. Per pupillæ foramen videmus; quod si expectasset portionem aliquam, aut facultatem, aut imaginem, aut qualitatem corporum extrinsecus subiectorum ad se proficisci, non eius quod videtur, magnitudinem cognouissemus, montis verbi gratia, maximi. Tanta enim imago ab eo oculis nostris incidisset, quanta ipsa est; quod omninò ratione caret; simul & eodem temporis momento ad singulos videntes, etiam si mille fuerint, peruenirent quum visorius etiam spiritus nequeat fluore suo tantum extendi, vt toti corpori quod videtur, circumfundatur. Hoc enim simile est Stoicorum guttæ toti mari temperatæ. Relinquitur itaque adhuc ambientem aërem tale nobis instrumentum fieri, quo tempore videmus, quale in corpore neruus perpetuò existit. Eiusmodi enim quippiam accidere videtur ambienti nos aëri à spiritu, quum excidit, cuiusmodi etiam à solis splendore. Ille siquidem supernum ipsius extremum attingens, in totam se facultatem communicat, & visus per neruos visorios apparens, sustantiam habet spiritalem. At incidens ambienti, & primo incursu alterationem efficiens, tradit ei, quàm longissimè, quod illi continuum est, scilicet ambiens corpus, vt in momento temporis alterationem in totum ipsum transmittat. Euidenter enim huiusmodi apparet in solis virtute; nam posito quodam solido corpore, in medio subsequentis aëris statim videmus splendorem perire, ceu qui dum immutatur lucidus euadat, non autem, quòd permutatus ita permaneat. Firmum enim lumen in se diu teneret, etiam si id quod illuminat, fuerit ablatum.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὅπως ὁρῶμεν, καὶ τί ἀλλήλων διαφέρῃ τὰ αἰσθητικά τε καὶ κινητικὰ νεῦρα, καὶ αὐτὰ μὲν τὰ τῆς αἰσθήσεως μέσα τε καὶ ὄργανα.

ΜΑλιστα δ' ἂν πεισθείη τις τοῦτο γίνεσθαι, μαθὼν ὅπως εὔλογόν ἐστιν ὁρᾶν ἡμᾶς. ἀρχὴ δὲ καὶ τοῦδε τοῦ λόγου τοιάδε. τὸ βλεπόμενον σῶμα δυοῖν θάτερον, ἢ πέμπον τι πρὸς ἡμᾶς ἀφ' ἑαυτοῦ, σὺν ἐκείνῳ καὶ τὴν ἰδίαν ἐνδείκνυται διάγνωσιν, ἢ εἴπερ αὐτὸ μηδὲν πέμπει, περιμένει τινὰ παρ' ἡμῶν ἀφικέσθαι δύναμιν αἰσθητικὴν ἑαυτῷ. πότερον οὖν αὐτῶν ἐστὶν ἀληθέστερον, ὧδ' ἂν μάλιστα κριθείη. διὰ τοῦ κατὰ τὴν κόρην τρήματος ὁρῶμεν, ὅπερ εἰ περιέμενε πρὸς ἑαυτὸ παραγενέσθαι τινὰ μοῖραν, ἢ δύναμιν, ἢ εἴδωλον, ἢ ποιότητα τῶν ἐκτὸς ὑποκειμένων σωμάτων, οὐκ ἂν τοῦ βλεπομένου τὸ μέγεθος ἐγνώκαμεν, οἷον ὄρους εἰ τύχοι μεγίστου. τηλικοῦτον γὰρ εἴδωλον ἐνέπιπτεν ἀπ' αὐτοῦ τοῖς ὀφθαλμοῖς ἡμῶν, ἡλίκον ἐστὶν αὐτό, ὅπερ παντάπασιν ἄλογον, ἅμα τῷ καὶ κατὰ μίαν ῥοπὴν καιροῦ πρὸς ἕκαστον τῶν ὁρώντων. εἰ καὶ μυρίοι τύχοιεν ὄντες, ἀφικνεῖσθαι τῷ τε ὀπτικῷ, οὐχ οἷόν τε τοσαύτην ῥύσιν ἐκτεινομένῳ λαμβάνειν, ὡς περικεῖσθαι παντὶ τῷ βλεπομένῳ σώματι. τοῦτο γὰρ ὅμοιόν ἐστι τῷ τῶν Στωϊκῶν σταλαγμῷ, κεραννυμένῳ τῇ πάσῃ θαλάττῃ. λείπεται οὖν ἔτι τὸν πέριξ ἀέρα τοιοῦτον ὄργανον ἡμῖν γίγνεσθαι καθ' ὃν ὁρῶμεν χρόνον, ὁποῖον ἐν τῷ σώματι τὸ νεῦρον ὑπάρχει διὰ παντός. τοιοῦτον γάρ τι πάσχειν ἔοικεν ὁ περιέχων ἡμᾶς ἀὴρ ὑπὸ τῆς τοῦ πνεύματος ἐκπτώσεως, ὁποῖόν τι καὶ πρὸς τῆς ἡλιακῆς αὐγῆς. ἐκείνη τε γὰρ ψαύουσα τοῦ ἄνω πέρατος αὐτοῦ, δίδωσιν εἰς ὅλον τὴν δύναμιν, ἥ τε διὰ τῶν ὀπτικῶν νεύρων ὄψις φαινομένη, τὴν μὲν οὐσίαν ἔχει πνευματικήν. ἐμπίπτουσα δὲ τῷ περιέχοντι, καὶ τῇ πρώτῃ προσβολῇ τὴν ἀλλοίωσιν ἐργαζομένη, διαδίδωσιν ἄχρι πλείστου συνεχεῖ αὐτῷ, δηλονότι τοῦ πέριξ σώματος ὑπάρχοντος, ὡς ἐν ἀκαρεῖ χρόνῳ τὴν ἀλλοίωσιν εἰς ὅλον αὐτὸ διαπέμπειν. ἐναργῶς γὰρ τοιοῦτον φαίνεται κἀπὶ τῆς κατὰ τὸν ἥλιον ὑπαρχούσης δυνάμεως. θέντες γοῦν τι στερεὸν σῶμα μεταξύ, τὸν ἐφεξῆς ἀέρα βλέπομεν εὐθέως ἀπολλύντα τὴν αὐγήν, ὡς ἐν τῷ μεταβάλλειν φωτοειδῆ γιγνόμενον, οὐκ ἐν τῷ μεταβεβληκέναι διαμένοντα. μόνιμον γὰρ ἂν ἦν τὸ φῶς ἐν ἑαυτῷ, μέχρι πολλοῦ κἂν ἤρθη τὸ φωτίζον.

οὕτω δὲ καὶ νεύρου τμηθέντος ὅσον ἂν ἡ τομὴ χωρίσῃ τῆς πρὸς τὸν ἐγκέφαλον συνεχείας, ἀναίσθητον εὐθέως γίγνεται. φαίνεται γοῦν ὅμοιόν τι πάθος ἀμφοτέροις συμβαῖνον, τῷ τε νεύρῳ καὶ τῷ πέριξ ἀέρι, κατὰ μὲν τὴν ἑαυτῶν φύσιν ἔχουσιν ἤδη τινὰ ὁμοιότητα, πρὸς τε τὸ μεταβάλλον, ὁμοιουμένοις ἀκριβῶς ὡσαύτως τῇ συνεχείᾳ, καὶ τοῦ πάσχειν ἀεὶ δεομένοις, ὥσπερ ὁ πέριξ ἡμῶν ἀὴρ ὁπότε φωτίζεται, σαφῶς γοῦν ἡ μὲν κατ' αὐτὸν θερμασία μέχρι πολλοῦ διαμένει, σαφῶς κἂν χωρισθῇ τὸ θερμαῖνον. ὡσαύτως δὲ καὶ ἡ ψύξις οὐκέτι παρόντος τοῦ ψύχοντος, ἡ δ' αὐγὴ παραχρῆμα τῷ φωτίζοντι συναπέρχεται. φαίνεται δὲ καὶ κατὰ τὰς ἀρτηρίας ἡ αὐτὴ φύσις, ὁμοίως γοῦν τοῖς νεύροις, καὶ αὗται διατμηθεῖσαί τε καὶ βρόχῳ διαληφθεῖσαι, ἄσφυκτοι γίνονται στερηθεῖσαι, οὐχ ὡς Ἐρασίστρατος οἴεται τοῦ παρὰ τῆς καρδίας ἐπιπεμπομένου πνεύματος. δέδεικται γὰρ ἐν ἄλλοις ὑφ' ἡμῶν ἀδύνατον τοῦτο, δειχθήσεταί τε καὶ νῦν ἐν τοῖς ἐφεξῆς, ὡς μηδὲν τῷ λόγῳ λείπειν, ἀλλὰ τῷ τοὺς χιτῶνας αὐτῶν συνεχεῖς ὑπάρχειν τῷ τῆς καρδίας σώματι, παρ' ἐκείνου τὴν δύναμιν ἐπιρρέουσαν ἴσχειν ἀεί. κοινὸν μὲν οὖν ἁπασῶν ἐστι τῶν αἰσθητικῶν δυνάμεων, ἀπ' ἐγκεφάλου τὴν ἀρχὴν ἐχουσῶν φέρεσθαι διὰ τῶν νεύρων ἄχρι τῶν οἰκείων ὀργάνων. ὁμοειδὲς δὲ καὶ κατὰ τὴν οὐσίαν τὸ νεῦρον ὑπάρχειν τῷ ἐγκεφάλῳ, πλὴν ὅσον ἐπιλήθη δυσπαθείας ἕνεκεν εὐθὺς ἐν αὐτῷ τούτῳ, τοσοῦτον ἀπεχώρησε τῆς ἐγκεφάλου φύσεως. ὅσον δὲ ἐσκληρώθη πιληθὲν, εὐθὺς δὲ καὶ διὰ τοῦτ' αὐτὸ δεῖται τῆς ἐκείνου διηνεκοῦς ἐπικουρίας, ὡς εἴ γε τοιοῦτον ἔμεινεν οἷος ἐστὶν ὁ ἐγκέφαλος, οὐκ ἂν ἐδεῖτο τῆς ἐξ αὐτοῦ βοηθείας. αἱ γὰρ τῶν οὐσιῶν ἰδιότητες, οἰκείας ἑαυταῖς ἔχουσι καὶ τὰς τῶν δυνάμεων ἰδιότητας. εἰς ὅσον οὖν ἕκαστον τῶν αἰσθητικῶν ἰδίως ὀνομαζομένων νεύρων ἀποκεχώρηκε τῆς ἐγκεφάλου φύσεως, εἰς τοσοῦτον καὶ τῆς δυνάμεως αὐτοῦ. καλεῖται δ' ἰδίως αἰσθητικὰ νεῦρα τὰ τοῖς αἰσθητικοῖς ὀργάνοις ἐπιπεμπόμενα, μαλακώτερα τῶν ἄλλων ὑπάρχοντα τῶν κινούντων τὰ μόρια, προμηθῶς καὶ τοῦτο τῆς φύσεως ἐργασαμένης. ἐπεὶ γὰρ ἡ μὲν αἴσθησις οὐκ ἄνευ τοῦ διατεθῆναί πως τὸ νεῦρον, ἡ δὲ κίνησις ἐν τῷ δρᾶν μόνῳ τὴν ἐνέργειαν ἔχει, κατὰ λόγον ἁπαλώτερον μὲν τὸ αἰσθητικὸν, σκληρότερον δὲ τὸ κινητὸν νεῦρον ἐγένετο. μέτεστι δὲ καὶ τοῖς κινητικοῖς ἅπασιν αἰσθήσεως ἁπτικῆς, ἐπειδὴ παχυμερές ἐστι τὸ ταύτης αἰσθητόν. ἔμπαλιν δὲ τούτῳ τὸ τῆς ὄψεως νεῦρον, οὐ τῷ τετρῆσθαι μόνον αἰσθητῷ τρήματι, τὴν ὑπεροχὴν ἐνδείκνυται τῆς δυνάμεως, ἀλλὰ καὶ τῇ μαλακότητι, καὶ τῷ μεγέθει, καὶ τῷ δύεσθαι πάλιν ἐν ὀφθαλμοῖς γινόμενον ἐξομοιοῦσθαί τε κατὰ πάντα ἐγκεφάλῳ. καὶ αὐτὸ δὲ τὸ νεῦρον ὅλον ἐστὶν ἐγκεφάλου τε καὶ ὀφθαλμοῦ μεταξὺ, τὸ μὲν ἔνδον ἑαυτοῦ μαλακώτερον ἔχει, τὸ δ' ἔξω σκληρότερον, ἀμφοτέρων στοχασαμένου τοῦ δημιουργοῦ, τῆς τε κατὰ τὴν ὁδοιπορίαν ἀσφαλείας, καὶ τοῦ διασώζειν εἰς ὅσον οἷόν τε τὴν ἐγκεφάλου φύσιν. εἰκότως οὖν ἁπάντων νεύρων, οὐ μόνον τῶν ἐξ ἐγκεφάλου πεφυκότων, ἀλλὰ καὶ τῶν ἐκ τοῦ νωτιαίου μέγιστον ἀπειργάσθη τὸ τῆς ὄψεως. ἐξαίρετα γὰρ ἐχρῆν αὐτῷ παρὰ τἄλλα ὑπάρχειν πολλὰ, τετρῆσθαί τε διὰ τοῦ βάθους, καὶ μαλακὰ μὲν εἶναι κατὰ ταῦτα, σκληρὰ δὲ τὰ πέριξ, ἀφικνεῖσθαί τε δι' αὐτοῦ πολλὴν ἐξ ἐγκεφάλου πνευματικὴν οὐσίαν εἰς τὰς χώρας τῶν ὀφθαλμῶν. τὸ τοίνυν τρῆμα πάντως ἐχρῆν ὑπό τινος οὐσίας περιέχεσθαι στεγνῆς, ἥτις ἄνευ τοῦ παχυνθῆναι τὸ νεῦρον οὐκ ἂν ἐγένετο. τό τε πάχος αὐτοῦ διττὴν ἔχει ἰδέαν, μαλακοῦ μὲν ἔνδον, ἔξωθεν δὲ σκληροῦ γινομένου. ὅτι δὲ καὶ τὸν ὀφθαλμὸν οὐκ ὀλίγης ἐχρῆν οὐσίας ἐγκεφάλου μετειληφέναι, πεισθείης ἂν σαφῶς ἀνατεμὼν αὐτόν. εὑρήσεις γὰρ ὑπὸ

A Ita verò & neruo secto, quantum sectio à continuitate cerebri separauerit, tantùm is insensibilis statim redditur. Apparet itaque similis aliquis affectus vtrisque accidere, & neruo, & ambienti aëri, secundum suam naturam similitudinem quandam habentibus, dum exactè ad id quod transmutat assimilantur quatenus continui sunt, atque etiam vt semper afficiantur indigent, quemadmodum ambiens nos aër quum illuminatur, manifestò ipsius calor diu permanet, etiam si id quod calefacit, separatum sit; similiter & refrigeratio, dum non ampliùs est quod refrigerat. Splendor autem statim cum eo quod illuminat, B discedit. Apparet etiam in arteriis eadem natura, vti in neruis; & hæ dissectæ, interceptæque funiculo, non pulsant, destitutæ, non vt Erasistratus putat, eo qui à corde mittitur spiritu. Nam ostendimus hoc alibi fieri non posse, ostendetúrque etiam nunc in subsequentibus, ne quicquam sermoni desit. Verùm quia tunicæ ipsarum continuæ cordis corpori sunt, ab illo influentem facultatem semper obtinent. Commune igitur omnium est sensus facultatum quæ à cerebro originem ducunt, per neruos vsque ad propria instrumenta deferri. Item quòd neruus substan- C tia cerebro respondet, nisi quòd quantum ne esset ad patiendum facilior statim condensatus est, tantùm à cerebri natura hoc ipso recessit. Quò verò condensatus obduruit, eò statim etiam propter idipsum, continenter illius præsidium requirit; nam si talis maneret, quale est cerebrum, non desideraret ab illo auxilium. Etenim substantiarum proprietates sibi similes habent & facultatum proprietates. Quantum igitur singuli nerui sensorij propriè dicti à cerebri natura recesserunt, tantum etiam ab ipsius facultate. Vocantur autem propriè sensorij nerui qui instrumentis sensoriis immittuntur molliores aliis qui partes mouent. Prouidè D etiam hoc natura quum fecerit. Quoniam sensus non est absque hoc quòd quoquo modo afficiantur nerui, motus autem in faciendo solo actionem obtinet, meritò sensorius mollior, durior autem motorius neruus factus est. Iam motorij omnes sensus tactus participes sunt, quoniam huius sensibile crassiorum est partium. E contrario visorius neruus, non solùm quoniam sensibili foramine peruius est, excellentiam facultatis indicat, sed etiam mollitie & magnitudine, & quòd immergatur rursus in oculis, cerebróque per omnia respondeat. Idem verò neruus totus inter cerebrum & o- E culum medius consistit; interiorem ipsius partem molliorem habet; externam duriorem; opifex vtrumque commentus est, tum vt inter ambulandũ tutus esset, tum vt cerebri naturam quatenus licet conseruaret. Meritò igitur neruorum omnium, nõ solùm ex cerebro procedentium, sed etiam eorum qui ex spinali medulla exoriũtur, qui ad visum spectat maximus effectus est; quippe eximia conueniebãt ipsi præter alios adesse, tum vt foraminibus per imum pateat, tum vt mollis sit inibi, durus autem extrinsecus, & per ipsum multa ex cerebro spiritalis substantia in oculorum regiones perueniat. F Itaque foramen omninò substantia quadam solida contineri oportebat, quæ nisi crassesceret neruus, non vtique foret. Crassities ipsius duplicem habet formam, qui mollis intus, extrinsecus durus generatus est. Quòd verò & oculum nõ exiguæ cerebri substantiæ participem esse cõueniebat, credideris manifestò, vbi ipsũ dissecueris. Inuenies enim sub tunicis

tunicis intus humores orbiculares duplices, alium ita mollem, cuiusmodi est vitrum mediocriter solutum; alium ita durum, cuiusmodi est glacies modicè concreta. Nominatur autem à medicis mollior vitreus, durior Crystallinus, à vitri & crystalli similitudine, quibus non solùm substantia, sed etiam coloribus respondent. Siquidem exactè purus est, pellucidus, & splendidus. Prius igitur meatum ex cerebro in vtrumque ipsorum descendentem vitreus excipit, post ipsum Crystallinus, similis paulatim orbi dilatato. Quapropter meatus ipse vnà cum neruo ambiente exteriorem permeans tunicam, in oculo ambo hæc patitur; qua primum in regionem ipsius excidit, illic sanè spiritus humoribus miscetur, vt substantia ipsorum tota fiat sensibilis. Porrò amplectitur rursus soluta dilatatáque nerui substantia vitreum humorem ingrediens, iuxta extremum ipsius maximum Crystallini circulum. Quapropter tibi figura videbitur nerui dilatati, similis reti euasisse, ob idque etiam corpus hoc tunicam appellant retiformem; quòd si toto eo adempto coneris omnem simul partem coaceruare, cerebrum tibi apparebit; ac si ostenderis alicui non speculato vnde collectum sit, dicet partem esse cerebri corpus quod ostenditur, ac fidem non adhibebit, in oculis ipsum contineri. Tantam sanè excellentiam structuræ oculus præter alia sensuum instrumenta assecutus est; ac mirabile nihil, quantò ipsius primùm sensibile exactius est & subtilius quàm alia, tantò etiam magis quàm illa cerebri naturæ esse particeps. Neque enim ipsam amplius cerebri substantiam in vllo alio instrumento inuenias, neque in ventriculis, vt in ipso spiritus animalis copiam permultam. Meritò autem, vt dixi, sic constructus est, instrumento vsurus aëre circumfluo. Fit autem tale instrumentum ad propriam sensilium dignotionem, cuiusmodi cerebro neruus est. Quocirca quam habet rationem cerebrum cum neruo, talem oculus habet cum aëre. At proprium visus sensile, quod & primum ipsius sensile nominaui, colorum genus est. Illud enim primùm & per se, & solus inter alios sentit; quemadmodum gustus sapores. At coloratum corpus simul cum eo cognoscit, quemadmodum gustus, quod sapores obtinet. Verùm gustus perinde atque alij sensus ad animantis corpus sensile proficisci expectat. Visus per medium aërem ad coloratum extenditur, vnde ipse solus, vnà cum colore eius quod videtur cognoscit & magnitudinem ipsius, & figuram, quum ne hoc quidem alius sensus possit percipere, nisi per accidens nonnunquam tactus. Itaque disputatio in quinto de demonstratione eatenus producta est. At visu præter alia licet & situm & interuallum pariter corporis colorati dignoscere, quum nullum aliorum sentire queat. Porrò qui aggrediuntur & olfactu & auditu situm corporis quod vaporem emittit, aut ferientis aërem dignoscere, quomodo errent, non est huius loci dicere. Quippe fusissimè de omnibus quæ ex duobus sensibus apparent, in quinto de demonstratione expositum est, quemadmodum diximus; in quo opere exercitatus aliquis promptiùs assequetur ea quæ nunc dicuntur. Nam in

A τοῖς χιτῶσιν ἔνδον ὑγρὰ σφαιροειδῆ διττά, τὸ μὲν οὕτω μαλακόν, οἷόνπερ ἐστὶν ὕαλος ἡ μετρίως λυθεῖσα· τὸ δ' οὕτω σκληρόν, οἷος ὁ μετρίως παγεὶς κρύσταλλος. ὀνομάζεται δ' ὑπὸ τῶν ἰατρῶν ὑαλοειδὲς μὲν τὸ μαλακώτερον, κρυσταλλοειδὲς δὲ τὸ σκληρότερον, ἀπὸ τῆς πρὸς ὕαλόν τε καὶ κρύσταλλον ὁμοιότητος, οἷς οὐ μόνον ταῖς συστάσεσιν, ἀλλὰ καὶ ταῖς χροιαῖς ἔοικεν. ἀκριβῶς γάρ ἐστι καθαρά, καὶ διαυγῆ, καὶ λαμπρά. πρότερον μὲν οὖν ἐκδέχεται τὸν ἐξ ἐγκεφάλου καθήκοντα πόρον εἰς ἑκάτερον αὐτῶν τὸ ὑαλοειδές, ἐφεξῆς δ' αὐτῷ τὸ κρυσταλλοειδὲς ἐοικὸς ἀτρέμα πεπλατυσμένῃ σφαίρᾳ. B καὶ τοίνυν ὁ πόρος αὐτὸς ἅμα τῷ περιέχοντι νεύρῳ διεξελθὼν τὸν ἔξωθεν χιτῶνα κατὰ τὸν ὀφθαλμὸν ἄμφω ταῦτα πάσχει, κατὰ τὴν πρώτην ἔκπτωσιν ἰὼν εἰς τὴν χώραν αὐτοῦ ποιεῖται, ἐκεῖ μὲν τὸ πνεῦμα κεραννύον τοῖς ὑγροῖς ἕνεκα τοῦ γίνεσθαι τὴν οὐσίαν αὐτῶν ὅλην αἰσθητικήν. περιλαμβάνει δ' αὖθις λυθεῖσά τε καὶ πλατυνθεῖσα ἡ κατὰ τὸ νεῦρον οὐσία, τὸ ὑαλοειδὲς ὑγρὸν ἐμφυομένη κατὰ τὸ πέρας ἑαυτῆς τῷ μεγίστῳ κύκλῳ τοῦ κρυσταλλοειδοῦς, ὥστε σοι τὸ σχῆμα δόξει τοῦ πλατυνθέντος νεύρου παραπλήσιον ἀμφιβλήστρῳ γεγονέναι, διὸ καὶ προσηγορεύκασιν ἀμφιβληστροειδῆ χιτῶνα τουτὶ τὸ σῶμα. καὶ C εἰ περιελὼν ὅλον αὐτὸ πειραθείης ὁμοῦ πᾶν ἀθροῖσαι, μέρος ἐγκέφαλός σοι φανεῖται, καὶ εἰ δείξαις γέ τινι μὴ τεθεαμένῳ πόθεν ἠθροίσθη, φήσει μέρος ὑπάρχειν ἐγκεφάλου τὸ δεικνύμενον σῶμα, καὶ ἀπιστήσει κατὰ τοὺς ὀφθαλμοὺς αὐτὸ περιέχεσθαι. τοσαύτῃ μὲν ὑπεροχῇ τῆς κατασκευῆς ὀφθαλμὸς κέχρηται παρὰ τἆλλα τῶν αἰσθήσεων ὄργανα. καὶ θαυμαστὸν οὐδὲν εἰς ὅσον αὐτοῦ τὸ πρῶτον αἰσθητὸν ἀκριβέστερόν τ' ἐστὶ καὶ λεπτομερέστερον, ἢ τοῖς ἄλλοις, εἰς τοσοῦτον καὶ τῆς ἐγκεφάλου φύσεως αὐτὸ ἐπὶ πλέον ἐκείνων μετειληφέναι. οὔτε γὰρ εὑρήσεις αὐτὴν ἔτι τὴν κατὰ τὸν ἐγκέφαλον οὐσίαν, ἐν οὐδενὶ τῶν ἄλλων ὀρ- D γάνων, οὔτε κατὰ τὰς κοιλίας, ὡς ἐν αὐτῷ πνεύματος ψυχικοῦ τοσοῦτον πλῆθος. εἰκότως δ', ὡς ἔφην, οὕτω κατεσκευάσθη, δεόμενος ὀργάνῳ χρῆσθαι τῷ πέριξ ἀέρι. καὶ γίνεται δὲ τοιοῦτον ὄργανον αὐτῷ πρὸς τὴν τῶν αἰσθητῶν οἰκείαν διάγνωσιν, οἷον ἐγκεφάλῳ τὸ νεῦρον, ὥσθ' ὃν ἔχει λόγον ἐγκέφαλος πρὸς τὸ νεῦρον, τοιοῦτον ὀφθαλμὸς ἔχει πρὸς τὸν ἀέρα. τὸ δ' οἰκεῖον αἰσθητὸν ὄψεως, ὅπερ καὶ πρῶτον αὐτῆς αἰσθητὸν ὠνόμασα, τὸ τῶν χρωμάτων ἐστὶ γένος. ἐκείνου μὲν γὰρ πρώτου τε καὶ καθ' αὑτὴν, καὶ μόνη τῶν ἄλλων αἰσθάνεται, καθάπερ ἡ γεῦσις τῶν χυμῶν. συνδιαγινώσκει δ' αὐτῷ τὸ κεχρωσμένον σῶμα κα- E θάπερ ἡ γεῦσις τὸ τοὺς χυμοὺς ἔχον. ἀλλ' ἡ μὲν γεῦσις ὁμοίως ταῖς ἄλλαις αἰσθήσεσιν ἐπὶ τὸ τοῦ ζώου σῶμα περιμένει παραγενέσθαι τὸ αἰσθητόν. ἡ δ' ὄψις ἐκτείνεται διὰ μέσου τοῦ ἀέρος ἐπὶ τὸ κεχρωσμένον, ὅθεν αὐτῇ μόνῃ συνδιαγινώσκειν ὑπάρχει τῇ χροιᾷ τοῦ βλεπομένου, τό τε μέγεθος αὐτοῦ καὶ τὸ σχῆμα, μηδὲ τούτου δυναμένης αἰσθάνεσθαι αἰσθήσεως ἄλλης, ὅτι μὴ κατὰ συμβεβηκὸς, ἐνίοτε τῆς ἁφῆς. ἐξείργασται γοῦν περὶ τούτων ὁ λόγος ἐν τῷ πέμπτῳ περὶ ἀποδείξεως. τῇ δ' οὖν ὄψει πρὸς τοῖς ἄλλοις ὑπάρχει, καὶ θέσιν καὶ διάστημα συνδιαγινώσκειν τοῦ κεχρωσμένου σώματος, οὐδενὸς τῶν ἄλλων αἰσθέσθαι δυναμένου. ὅσοι δ' ἐπιχει- F ροῦσι καὶ ὀσφρήσει, καὶ ἀκοῇ τὴν θέσιν τοῦ ἀτμὸν ἀποπέμποντος σώματος, ἢ τοῦ πλήξαντος τὸν ἀέρα μεταδιδόναι τῆς διαγνώσεως, ὅπως ἁμαρτάνουσιν οὐ νῦν καιρὸς ἐρεῖν. εἴρηται γὰρ ἐπὶ πλεῖστον ὑπὲρ ἁπάντων τῶν κατὰ τὰς δύο αἰσθήσεις φαινομένων ἐν τῷ πέμπτῳ περὶ τῆς ἀποδείξεως, ὥσπερ γ' ἔφαμεν. ἐν ᾗ πραγματείᾳ γυμνασάμενός τις, ἑτοιμότερον ἀκολουθήσει τοῖς νῦν λεγομένοις. ἐπι-

δέδεικται γὰρ ἐν ἐκείνοις ἅπαντα μαρτυροῦντα τῷ τὸ βλεπόμενον σῶμα καθ' ὃν ἂν ὑπάρχῃ τόπον ὁρᾶσθαι. φαίνεται δὲ τοῦτ' ἐναργῶς, καὶ δι' αὐτῆς τῆς αἰσθήσεως· ὅθεν οὐδ' οἱ γεωμετρικοὶ μετ' ἀποδείξεως, ἀλλ' αὐτόθεν ὡς ἐναργὲς αὐτὸ τιθέασι, καίτοι τοῦ γε κατ' εὐθείας ὁρᾶν ἡμᾶς γραμμὰς, ἢ τοῦ τὴν ὄψιν, ἐπειδὰν ἀκριβῶς τινι λείῳ καὶ στίλβοντι προσπέσῃ, κατὰ τὴν ἴσην ἀνακλᾶσθαι γωνίαν ᾗ προσέπεσεν, ἀποδείξεις φέρονταί τινες. εἴπερ οὖν ἡ ὄψις μόνη τῶν ἄλλων αἰσθήσεων αἰσθάνεται τοῦ κινοῦντος αὐτὴν αἰσθητοῦ διὰ μέσου τοῦ ἀέρος, οὐχ ὡς βακτηρίας τινὸς, ἀλλ' ὡς ὁμοειδοῦς τε καὶ συμφυοῦς ἑαυτῇ μορίου, καὶ μόνῃ τοῦτ' ἐξαίρετον αὐτῇ δέδοται, μετὰ τοῦ καὶ δι' ἀνακλάσεως ὁρᾶν, εἰκότως ἐδεήθη πνεύματος ἄνωθεν ἐπιρρέοντος αὐγοειδοῦς, ὃ προσπῖπτον τῷ πέριξ ἀέρι, καὶ οἷον ἐπιπλῆττον αὐτὸν ἑαυτῷ συνεξομοιώσει. δεόντως οὖν ἐροῦμεν, αὐγοειδὲς μὲν εἶναι τὸ τῆς ὄψεως ὄργανον, ἀεροειδὲς δὲ τὸ τῆς ἀκοῆς, ἀτμοειδὲς δὲ τὸ τῆς ὀδμῆς, καὶ τὸ μὲν τῆς γεύσεως ὑγρὸν, τὸ δὲ τῆς ἁφῆς, γεῶδες. οὐδὲ γὰρ οἷόν τ' ἦν ἑτέρως ἔχειν αὐτὰ τῆς ἐκ τῶν ὁμοίων ἀλλοιώσεως χρήζοντα, καὶ τοῦτ' ἄρ' ἦν ὃ βούλεται δηλοῦν ὁ Ἐμπεδοκλῆς ἐν οἷς φησι.

> Γαίῃ μὲν γὰρ γαῖαν ἐπώπαμεν, ὕδατι δ' ὕδωρ,
> Αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον.

αἰσθανόμεθα γὰρ ὄντως, τῷ μὲν γὰρ γεωδεστέρῳ τῶν αἰσθητηρίων, ὅπερ ἐστὶν ἡ ἁφὴ, τῆς γεώδους φύσεως ἐν τοῖς αἰσθητοῖς, τῷ δ' αὐγοειδεστάτῳ τῆς ὄψεως, τῆς αὐγοειδοῦς, καθάπερ γε καὶ τῷ κατὰ τὴν ἀκοὴν ἀεροειδεῖ γιγνομένῳ, τῶν ἰδίων ἀέρος παθημάτων ἡ διάγνωσις ἀποτελεῖται. καὶ μὲν δὴ καὶ τῷ κατὰ τὴν γεῦσιν ὑγρῷ, καὶ σπογγοειδεῖ τὴν φύσιν ὄντι, τῶν χυμῶν ἡμῖν αἴσθησις γίγνεται. λοιπὸν δ' ἐστὶ τὸ τῆς ὀσφρήσεως ὄργανον, οὐκ ἐν τοῖς κατὰ τὴν ῥῖνα πόροις, ὡς οἱ πολλοὶ νομίζουσιν, ἀλλ' ἐν τοῖς πέρασι τῶν ἐμπροσθίων ἐγκεφάλου κοιλιῶν, εἰς ἅπερ ἀνήκουσιν οἱ κατὰ τὴν ῥῖνα πόροι. κατὰ τοῦτο γάρ τοι τὸ μόριον, ἀτμοειδεστάτας εἶναι συμβέβηκε τὰς κοιλίας αὐτοῦ. γέγραπται δὲ τῷ βουλομένῳ, καὶ περὶ τοῦδε βιβλίον ἓν ἡμέτερον, ᾧ καὶ τὸ ἐπίγραμμά ἐστι περὶ τοῦ τῆς ὀσφρήσεως ὀργάνου.

illis ostensa sunt omnia quæ testentur corpus visibile quocunque sit loco, videri; id quod euidenter etiam apparet ex ipso sensu, vnde neque geometrici cum demonstratione, sed per se tanquam euidens ipsum ponunt, quanquam eius quòd secundum rectas nos videmus lineas, aut quòd visus vbi exactè læui cuipiam & lucenti inciderit, secundum æqualem reflectatur angulum cui occurrerit, demonstrationes nonnullæ feruntur. Si igitur visus solus ex aliis sensibus percipit sensile quod ipsum mouet per medium aërem, non ceu per baculum quendam, sed partem consimilem specie & cognatam ipsi ac soli hoc ipsi eximium datum est, simul quòd per reflexum videt, meritò opus habuit spiritu desuper influente pellucido, qui ambienti aëri incidens, & veluti conuerberans ipsum sibi assimilabit. Necessariò igitur dicetur, visus instrumentum esse pellucidum splendidúmque: auditus aëreum; olfactus vaporosum; gustus liquidum; tactus terrestre. Neque enim aliter liceret habere ea, vt quæ alterationem ex similibus requirant. Atque hoc vtique erat quod Empedocles his versibus voluit significare.

> *Terram equidem terrâ, sed aquam spectamus aquâ, ignem,*
> *Conspicuum ignem, sed aëra cernimus aëre clarum.*

Percipimus enim sic, sensorio enim magis terrestri, qui est tactus, terrestrem in sensibilibus naturam, lucidissimo visus, lucidam, quemadmodum & aërio auditus sensorio, propriorum aëris affectuum dignotio absoluitur. Quinetiam humido gustatus sensorio, & natura spongioso, humores à nobis percipiuntur. Reliquum est olfactus instrumentum, non in narium meatibus, vt multi arbitrantur, sed in priorum cerebri ventriculorum extremis, in quæ narium meatus emergunt. Si quidem in hac parte vaporosissimos ipsius meatus esse contigit. Porrò scriptus est, si quis cupiat, etiam de hoc liber vnus à nobis, cui titulum indidi De olfactus instrumento.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Τὰ τοῦ Πλάτωνος περὶ τῶν τῆς αἰσθήσεως ὀργάνων μαρτύρια, καὶ δι' ἀλλοιώσεως γίνεσθαι τὴν αἴσθησιν.

Πέμπτον γὰρ δὴ τοῦτ' ἐστὶν αἰσθητήριον, οὐκ ὄντων πέντε στοιχείων, ἐπειδὴ τὸ τῶν ὀσμῶν γένος, ἐν τῷ μεταξὺ τὴν φύσιν ἐστὶν ἀέρος καὶ ὕδατος, ὡς καὶ Πλάτων εἶπεν ἐν Τιμαίῳ μετὰ τήνδε τὴν ῥῆσιν. μεταβάλλοντος γὰρ ὕδατος εἰς ἀέρα, ἀέρος τε εἰς ὕδωρ ἐν τῷ μεταξὺ γεγόνασιν ὀδμαὶ σύμπασαι. λέγει δὲ καὶ περὶ τοῦ τῆς ὄψεως ὀργάνου, ὅτι πυρός ἐστι τοῦ καθαρωτάτου γένους, ὅπερ αὐτὸς αὐγήν τε καὶ φῶς ὀνομάζει, διαφέρειν ἄνθρακός τε καὶ φλογός φησι γοῦν. μετὰ δὲ ταῦτα δεῖ νοεῖν, ὅτι πυρός τε γένη πολλὰ γέγονεν, οἷον, φλὸξ τό τ' ἀπὸ τῆς φλογὸς ἀπιὸν, ὃ καίει μὲν, οὐ φῶς δὲ τοῖς ὄμμασι παρέχει, τό τε φλογὸς ἀποσβεσθείσης, ἐν τοῖς διαπύροις καταλειπόμενον αὐτοῦ. τούτων οὖν τῶν τριῶν γενῶν τὸ μὴ καῖον μὲν, ὡς αὐτὸς ἔφη, φῶς δὲ τοῖς ὄμμασι παρέχον, ἐν τῷ τῆς ὄψεως ὀργάνῳ πλεῖστόν ἐστιν, ὃ καὶ τοῦτο πάλιν αὐτὸς ἐδήλωσεν ἐν ταὐτῷ βιβλίῳ τῷ Τιμαίῳ κατὰ τήνδε τὴν ῥῆσιν. τῶν δ' ὀργάνων πρῶτον μὲν φωσφόρα συνετεκτήναντο ὄμματα, τοιᾷδε ἐνδήσαντες αἰτίᾳ· τοῦ πυρὸς ὅσον τὸ μὲν καίειν οὐκ ἔσχε, τὸ δὲ

CAPVT VI.

Testimonia Platonis de sensuum organis, & sensum fieri per alterationem.

QVintum enim hoc est sensorium instrumentum, quum non sint quinque elementa, quoniam odorum genus natura medium est inter aërem & aquam; quemadmodum & Plato dixit in Timæo, post hæc verba. *Mutata enim aqua in aërem, vel aëre in aquam, in medio istorum odores fiunt vniuersi.* Dicit & de visus instrumento, quod ignis sit purissimi. Quem ipse splendorem & lumen nominat, à carbone & flamma variantem. Verba eius hæc sunt. *Post hæc sciendum est multa esse ignis genera, flammam videlicet, & quod à flamma procedit, quod minimè vrit quidem, lumen autem oculis nullum adfert: quodque extincta flamma, intra illa quæ accensa fuerant, remanet.* Ex his itaque tribus generibus, quod non vrit quidem, vt ipse dicit, lumen autem oculis exhibet, in visus instrumento plurimum est. Quinetiam hoc rursus in eodem libro Timæo indicauit, ad hunc modum. *Sed ex instrumentis faciei primùm luciferos exporrexerunt oculorum orbes, hac causa ipsos illigantes, ex igne qui non vrit quidem, sed illumi-*

illuminando suauiter, cuiusque diei corpus fieri machinati sunt. Intimum siquidem nostri corporis ignem, huius ignis germanum syncerúmque per oculos leuiter emanare voluerunt, toto nimirum corpore oculi, sed media in primis eius parte condensata vt ignis huiusmodi qui purior est transeat, crassior verò cohibeatur. Quale igitur sit visus instrumentum in hisce indicauit: quomodo autem videamus, deinceps prædictis coniungens sequentia, ait. *Quum itaque diurnum lumen visus fluori radióque se obijcit, tunc simile cum simili compactum vnum efficitur corpus cognatum & affine, è directo oculorum situm, videlicet tam intimi quàm externi luminis fit concursus. Totum igitur hoc propter similitudinem simili affectui obnoxium, quum quid aliud tangit, vel ipsum ab alio tangitur, motum huiusmodi ad corpus omne, pérque id ad animam vsque diffundens, sensum efficit, qui visus vocatur.* Hæc sanè Platonis verba splendidum visus instrumentum esse dicunt, sensúmque fieri per ipsum splendoris affectum, quemadmodum & aëris affectum per auditum. Nam simile cum simili in affectuum communionem peruenit. At quoniam tota huiusmodi dictio duo significat, qualem & Empedocles fecit, inquiens.

Terram equidem terra, sed aquam spectamus aqua ipsa.

Vnum sanè, quoniam per instrumentum hoc; alterum, quia per virtutem talem; quod sanè per instrumentum, verùm esse concedendum est; quod ceu per virtutem, non item. Etenim primum sensorium quodcunque fuerit, commune omnium est partium sensuum, sicut & hoc Plato quum in aliis quibusdam, tum in Theæteto docet, illa libri parte vbi inquit. *Graue enim esset ô puer, si multi in nobis sensus, quemadmodum ligneis equis insiderent, nec omnia hæc in vnam, siue ideam, siue animam, siue quocunque modo vocare libet, tenderent, quâ per ista tanquam instrumenta quæcunque sensibus subiacent, sentiamus.* Hæc copiosius deinceps Plato astruens, ita scribit. *Dic igitur ea per quæ sentis, calida & sicca, lenia atque dulcia, nónne corporis partes singula ponis, an alterius cuiuspiam? Nullius alterius. An etiam voles fateri, quæ per aliam facultatem sentis, per alia eadem non posse sentire? veluti quæ per auditum, eadem per visum; vel quæ per visum, eadem per auditum? Quidni hoc velim? Si quid ergo de vtrisque cogitas, non vtique per aliud instrumentum, neque etiam per aliud de ambobus id sentis. Non certè. De voce & colore primum quidem id cogitas, quòd vtraque sunt. Vtique. Item quòd alterutrum ab alterutro diuersum est, & sibimet idem. Et hoc sanè. Quid igitur? & quòd ambo duo sunt, alterutrum verò vnum? Id quoque. Igitur siue dissimilia, siue similia inter se sint, potes inspicere ac iudicare? Fortè. Hæc itaque omnia, per quod potissimum de ipsis existimas, non per auditum, non per visum, commune de illis quicquam accipi potest. Præterea & hoc indicium eius est, de quo dicimus. Si enim de vtroque licet considerare, salsáne sint, an non, vtique posses dicere, quò considerares, id neque visum, neque auditum apparere, sed aliud quippiam. Cur non, si lingua vis id efficiat? Probè dicis. Illa verò potentia, per quod tibi ostendit quod singulis est commune, quodque super singula quo esse, & non esse nominas, & quæ modo de ipsis percunctamur, omnibus certa assignabis instrumenta, per quæ id quod sentit, in nobis singula sentiat.*

παρέχειν φῶς ἡμέρειον, οἰκεῖον ἑκάστης ἡμέρας σῶμα ἐμηχανήσαντο γίγνεσθαι. τὸ γὰρ ἐντὸς ἡμῶν ἀδελφὸν ὂν τούτου πῦρ εἰλικρινὲς, ἐποίησαν διὰ τῶν ὀμμάτων ῥεῖν, λεῖον καὶ πυκνὸν, ὅλον μὲν μάλιστα δὲ τὸ μέσον ξυμπιλήσαντες τῶν ὀμμάτων· ὥστε τὸ μὲν ἄλλο ὅσον παχύτερον, στέγειν πᾶν, τὸ τοιοῦτον δὲ μόνον αὐτὸ καθαρὸν διηθεῖν. ὁποῖον μὲν οὖν τι τὸ τῆς ὄψεώς ἐστιν ὄργανον, ἐν τούτοις ἐδήλωσεν. ὅπως δὲ ὁρῶμεν, ἐν τοῖς ἐφεξῆς, συνάπτων γοῦν τοῖς προειρημένοις φησίν. ὅταν μὲν οὖν μεθημερινὸν ᾖ φῶς περὶ τὸ τῆς ὄψεως ῥεῦμα, τότ' ἐκπῖπτον ὅμοιον πρὸς ὅμοιον ξυμπαγὲς γενόμενον, ἓν σῶμα οἰκειωθὲν ξυνέστη κατὰ τὴν τῶν ὀμμάτων εὐθυωρίαν, ὅπῃπερ ἂν ἀντερείδῃ τὸ προσπῖπτον ἔνδοθεν, πρὸς ὃ τὸ ἔξω συνέπεσεν. ὁμοιοπαθὲς δὴ δι' ὁμοιότητα πᾶν γενόμενον, ὅτου τε ἂν αὐτό ποτε ἐφάπτηται, καὶ ὃ ἂν ἄλλο ἐκείνου, τούτων τὰς κινήσεις διαδιδὸν εἰς ἅπαν τὸ σῶμα, μέχρι τῆς ψυχῆς αἴσθησιν παρέσχετο ταύτην, ᾗ δὴ ὁρᾶν φαμέν. αὗται μὲν αἱ τοῦ Πλάτωνος ῥήσεις, αὐγοειδὲς τὸ τῆς ὄψεως ὄργανον εἶναι λέγοντος, αἴσθησίν τε γίγνεσθαι δι' αὐτοῦ τῶν κατὰ τὴν αὐγὴν παθημάτων, ὥσπερ τῶν κατὰ τὸν ἀέρα διὰ τῆς ἀκοῆς. τῷ γὰρ ὁμοίῳ τὸ ὅμοιον εἰς τὴν τῶν παθημάτων ἀφικνεῖται κοινωνίαν. δύο δὲ σημαινούσης ἁπάσης τῆς τοιαύτης λέξεως, οἵαν καὶ ὁ Ἐμπεδοκλῆς ἐποιήσατο λέγων,

Γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ.

ἓν μὲν, ὅτι δι' ὀργάνου τοιοῦδε, δεύτερον δὲ, ὅτι διὰ δυνάμεως τοιᾶσδε. τὸ μὲν ὡς δι' ὀργάνου, συγχωρητέον ἀληθὲς εἶναι, τὸ δ' ὡς διὰ δυνάμεως οὐκέτι. τὸ γάρ τοι πρῶτον αἰσθητικὸν ὅτι περ ἂν ᾖ, κοινὸν ἁπασῶν ἐστι τῶν κατὰ μέρος αἰσθήσεων, ὡς καὶ τοῦτο Πλάτων ἐν ἄλλοις τέ τισι, καὶ μέντοι καὶ Θεαιτήτῳ διδάσκει κατ' ἐκεῖνο τὸ μέρος τοῦ συγγράμματος ἔνθα φησί. δεινὸν γάρ που ὦ παῖ. εἰ πολλαί τινες ἐν ἡμῖν ὥσπερ ἐν δουρείοις ἵπποις αἰσθήσεις ἐγκάθηνται, ἀλλὰ μὴ εἰς μίαν τινὰ ἰδέαν εἴτε ψυχὴν, εἴθ' ὅτι δεῖ καλεῖν πάντα ταῦτα συντείνει, ᾗ διὰ τούτων οἷον ὀργάνων αἰσθανόμεθα ὅσα αἰσθητά. καὶ κατασκευάζων γε διὰ πλειόνων ἑξῆς ὁ Πλάτων τὸν λόγον, ὧδέ φησι. θερμὰ καὶ σκληρὰ, καὶ κοῦφα, καὶ γλυκέα, δι' ὧν αἰσθάνῃ. ἆρ' αὐτοῦ σώματος ἕκαστα τίθης, ἢ ἄλλου τινός; οὐδενὸς ἄλλου. ἦ καὶ ἐθελήσεις ὁμολογεῖν ἃ δι' ἑτέρας δυνάμεως αἰσθάνῃ, ἀδύνατον εἶναι δι' ἄλλης ταῦτ' αἰσθέσθαι, οἷον ἃ δι' ἀκοῆς, δι' ὄψεως, ἢ ἃ δι' ὄψεως, δι' ἀκοῆς. πῶς γὰρ οὐκ ἐθελήσω; εἴ τι ἄρα περὶ ἀμφοτέρων διανοῇ, οὐκ ἂν διά γε τοῦ ἑτέρου ὀργάνου, οὐδ' αὖ διὰ τοῦ ἑτέρου περὶ ἀμφοτέρων αἰσθάνοιο ἄν; οὐ γὰρ οὖν περὶ δὴ φωνῆς, καὶ τῆς χρόας, πρῶτον μὲν αὐτὸ τοῦτο περὶ ἀμφοτέρων διανοῇ, ὅτι ἀμφοτέρω ἐστόν. ἔγωγε. οὐκοῦν καὶ ὅτι ἑκάτερον μὲν ἑκατέρου ἕτερον, ἑαυτῷ δὲ ταὐτόν; τί μοι; καὶ ὅτι ἀμφοτέρω δύο, ἑκάτερον δὲ ἕν; καὶ τοῦτο. οὐκοῦν καὶ εἴτε ἀνομοίω, εἴτε ὁμοίω ἀλλήλοιν, δυνατὸς εἶ ἐπισκέψασθαι; ἴσως. ταῦτα δὴ πάντα διά τινος περὶ αὐτοῖν διανοῇ. οὔτε γὰρ δι' ἀκοῆς, οὔτε δι' ὄψεως, οἷόν τε τὸ κοινὸν λαμβάνειν περὶ αὐτῶν, ἔτι δὲ καὶ τόδε τεκμήριον περὶ οὗ λέγομεν. εἰ γὰρ δυνατὸν εἴη ἀμφοτέρω σκέψασθαι, ἆρ' ἐστὸν ἁλμυρὼ ἢ οὔ, οἶσθ' ὅτι ἕξεις εἰπεῖν ᾧ ἐπισκέψῃ, καὶ τοῦτο οὔτε ὄψις, οὔτε ἀκοὴ φαίνεται, ἀλλά τι ἄλλο. τί δ' οὐ μέλλει ἥ γε διὰ τῆς γλώττης δύναμις; καλῶς λέγεις. ἡ δὲ δὴ διά τινος δύναμις, τό τ' ἐφ' ἅπασι κοινὸν, καὶ τὸ ἐπὶ τούτοις δηλοῖ σοι, ᾧ τὸ ἔστιν ὀνομάζεις, καὶ τὸ οὐκ ἔστι, καὶ ἃ νῦν δὴ ἠρωτῶμεν περὶ αὐτῶν πᾶσι ποῖα ἀποδώσεις ὄργανα, δι' ὧν αἰσθάνεται, ἡμῶν τὸ αἰσθανόμενον ἕκαστα.

ἔν τε οὖν τούτοις ὁ Πλάτων, ὥσπερ οὖν κἀν τοῖς ἐφεξῆς, ἐν ἄλλοις τέ τισι διαλόγοις ἐδίδαξεν ἡμᾶς ὑπὲρ τῆς κοινῆς δυνάμεως, ἥτις ἐξ ἐγκεφάλου διὰ τῶν νεύρων, εἰς ἕκαστον τῶν αἰσθητηρίων ἀφικνουμένη, τῶν ἐν αὐτοῖς ἀλλοιώσεων αἰσθάνεται, ὡς εἴγε δυνατὸν ἦν τοῖς ἰδίοις παθήμασιν αὐτῆς ἄλλο τι συναλλοιωθῆναι παρὰ τὸ φωτοειδὲς ὄργανον, ἢ τοῖς τῶν ἀτμῶν ἕτερόν τι τοῦ ἀτμοειδοῦς, ἢ τοῖς τοῦ ἀέρος ἄλλο τι παρὰ τὸ ἀεροειδές, ἢ τοῖς τῶν ὑγρῶν ἕτερόν τι παρὰ τὸ γευστόν τε καὶ πλῆρες χυμῶν, οὐκ ἂν ἐγεγόνει τὰ τῶν αἰσθητηρίων ὄργανα. νυνὶ δ᾽ οὐχ οὕτως ἔχει. τὰ μὲν γὰρ ἐν τοῖς ἀντιβαίνουσι σώμασιν, ὅσαπερ ἦν ἴδια τῆς οἰκείας διαφορᾶς, ἅπαντι μορίῳ νεύρων μεταλαβόντι, δυνατὸν αἰσθάνεσθαι, διότι μηδὲ παθεῖν ἅπαν ὑπὸ τῆς τοῦ γηΐνου σώματος προσβολῆς ἐπιτήδειόν ἐστιν. ἦν δ᾽ αὐτῶν πρώτη μὲν ἡ κατ᾽ ὀξύτητα, καὶ ἀμβλύτητα· δευτέρα δ᾽ ἡ κατὰ θερμότητα, καὶ ψυχρότητα. κατὰ συμβεβηκὸς δ᾽ αἱ λοιπαὶ, μέγεθός τε καὶ σχῆμα, καὶ κίνησις, καὶ ἀριθμός, αἳ καὶ μετὰ συλλογισμοῦ, καὶ μνήμης, οὐ μόνον τῆς αἰσθήσεως ἐδείχθησαν γινόμεναι, κατά γε τὴν ἁφὴν, καὶ τὴν ὄψιν ἐν τῇ περὶ τῆς ἀποδείξεως πραγματείᾳ, καθ᾽ ἣν πρώτην ἀξιῶ γεγυμνάσθαι τὸν ἀκριβῶς ἕπεσθαι τοῖς νῦν λεγομένοις ἐφιέμενον· ὥσπερ δὲ τὰ τῆς ἁπτικῆς αἰσθήσεως αἰσθητὰ δι᾽ ἀντιβάσεως, οὕτω τὰ τῆς γευστικῆς δι᾽ ὑγρότητός τε, καὶ χυμῶν εἰς γνῶσιν ἥκει, καὶ ἢν ξηρανθεῖσά ποτε τύχῃ σφοδρῶς ἡ γλῶττα, διαφθείρεται τῶν χυμῶν ἡ διάγνωσις, μὴ δυναμένου τοῦ παθόντος αὐτοῦ διακρῖναι, τί μὲν ὀξὺ, τί δὲ πικρόν ἐστιν, ἢ δριμὺ, τί δὲ αὐστηρὸν, ἢ στρυφνὸν, ἢ ὅλως στῦφον, ὥσπερ οὐδὲ, τί μὲν γλυκὺ, τί δ᾽ ἁλμυρόν. ἐμφράξεως δὲ γινομένης τῶν πόρων τῆς ῥινὸς, ἡ ἐκ τῶν ὀσμῶν αἴσθησις ἀπόλλυται, καθάπερ γε καὶ ἡ τῶν φωνῶν ἐὰν ἐμφραχθῇ τὰ ὦτα, μὴ διϊκνουμένης εἰς ἑκάτερον τῶν ὀργάνων τῆς οἰκείας ἀλλοιώσεως, εἰς μὲν τὸ ἀτμοειδὲς, ἐκ τῶν ὀσμῶν (ἀτμὸς γὰρ ἡ τούτων οὐσία) εἰς δὲ τὸ ἀεροειδὲς, ἐκ τῶν φωνῶν, ἐπειδὴ καὶ τούτων ἀήρ ἐστιν ἡ οὐσία. ταῖς τοιαύταις ἐμφράξεσιν, ἀνάλογόν ἐστι καὶ τὸ τῶν ὀφθαλμῶν πάθημα, καλεῖται δὲ ὑπόχυσις, ἐμφράττεται δὲ ἐν αὐτῷ τῆς ἡλιοειδοῦς αὐγῆς ὁ κατὰ τὸν ῥαγοειδῆ χιτῶνα πόρος, ὡς μηκέτι συνάπτεσθαι τὸ τῆς ὄψεως ἴδιον ὄργανον, τῷ περιέχοντι τὸν ὅλον ὀφθαλμὸν ἔξωθεν ἀέρι. τοῦτ᾽ οὖν αὐτὸ καὶ κατ᾽ ἐκείνην τὴν ῥῆσιν ὁ Πλάτων ἐδήλωσεν ἔνθα φησί. σωματοειδὲς δὴ καὶ ὁρατὸν αὐτὸ τέλεον γινόμενον εἶναι, χωρισθὲν δὲ πυρὸς, οὐδὲν ἄν ποτε ὁρατὸν γένοιτο, οὐδὲ ἁπτὸν ἄνευ τινὸς στερεοῦ. στερεὸν δὲ οὐκ ἄνευ γῆς, ὅθεν ἐκ πυρὸς καὶ γῆς, τὸ τοῦ παντὸς σῶμα ἀρχόμενον συνιστᾶν ὁ θεὸς ἐποίει. ἐκ πυρὸς γὰρ καὶ γῆς πεποιῆσθαί φησι τὸ σῶμα τοῦ παντὸς, ἵν᾽ ὁρατόν τε καὶ ἁπτὸν ᾖ. διὰ τοῦτ᾽ οὖν καὶ τὰ κατὰ τῶν ζώων σώματα, τὸ μὲν ἁπτικὸν ὄργανον γεῶδές ἐστι, τὸ δ᾽ ὀπτικὸν πυροειδὲς, ἅπερ ἀλλοιοῦσθαι μὲν ἠδύνατο, καὶ χωρὶς αἰσθήσεως εἰ μὴ μετεῖχεν νεύρων, αἰσθάνεται τῆς ἀλλοιώσεως μετουσίᾳ τούτων. οὔκουν ἀλλοίωσίς ἐστιν ἡ αἴσθησις, ὥς ἔνιοί φασιν, ἀλλὰ διάγνωσις ἀλλοιώσεως, οὐ μὴν οὐδ᾽ ἀρκεῖ λείαν, ἢ τραχεῖαν ἐν τῷ σώματι γενέσθαι κίνησιν εἰς ἡδονῆς, ἢ πόνου γένεσιν, ἀλλὰ χρὴ προσελθεῖν αἴσθησιν ἑκατέρᾳ τῶν τοιούτων κινήσεων. εἰ δὲ καὶ τὴν διάθεσιν αὐτὴν ἐθέλοις καλεῖν ὀδύνην ἢ πόνον, οὔ μοι διαφέρει. μόνον γὰρ ἀξιῶ σε μεμνῆσθαι τοῦ διαφέρειν ἀλλήλων τήν τε διάθεσιν ἣν ἴσχει τὰ σώματα τῆς φύσεως ἐξιστάμενα, καὶ τὴν αἴσθησιν αὐτῆς, ἐπεί τινές γε καθάπερ

A Itaque in his Plato, quemadmodum in subsequentibus, alijsque nonnullis dialogis, de communi nos facultate edocuit, quæ ex cerebro per neruos in singula sensoria perueniens, alterationes quæ in ipsis sunt sentit. Nam si possibile esset proprijs ipsius affectionibus diuersum quippiam simul alterare præter instrumentum lucem repræsentans, aut affectibus vaporum, diuersum quiddam à vaporifero, aut affectibus aëris, aliud quiddam præter quod aëris imaginem refert, aut humorum, diuersum aliquod ab eo quod gustat, plenúmque saporibus est, non facta essent sensoriorum instrumenta.
B At nunc non sic habet; etenim in corporibus occurrentibus, quæcunque propria erant suæ differentiæ, omni parti neruorum participi licet sentire, eò quòd ne pati quidem totum à terrestris corporis occursu idoneum est. Erat autem ipsorum primus, secundum acutiem & hebetudinem; secundus, caliditatis & frigiditatis; ex accidenti verò reliqui, magnitudo, figura, motus, & numerus; qui etiam cum ratiocinatione & memoria, non solùm sensu fieri demonstrati sunt, tum tactus, tum visus, in opere de demonstratione, in quo primùm exer-
C citatum esse desidero eum qui exactè assequi ea quæ nunc dicuntur, cupiat; quemadmodum & tactilis sensus sensilia per renixum, ita gustatorij sensus sensilia per humiditatem & humores in cognitionem veniunt. Et si inarefacta vehementer nonnunquam lingua fuerit, humorum dignotio corrumpitur, dum id quod affectum est, nequeat discernere quid acidum, quid amarum, aut acre, quid austerum, aut acerbum, aut in totum astringens; quemadmodum neque quid dulce, quid salsum existat. At narium meatibus obstructis, sensus odorum aboletur; quemadmodum & vocum, si aures obstru-
D ctæ sint, propria alteratione in vtrumque instrumentum non perueniente, nempe in vaporificum ex odoribus, (vapor enim horum substantia est) in aëreum verò ex vocibus, quoniam & horum aër est substantia. Eiusmodi obstructionibus respondet & oculorum affectus, vocatur autem suffusio, in qua obstruitur solaris luminis meatus, qui in tunica rhagoïde habetur, vt proprium visus instrumentum non amplius cum aëre qui totum extrinsecus oculum ambit, coniungatur. Hoc idem in illa oratione Plato significauit, vbi inquit. *Corporeum autem, visilem, ipsum absolu-*
E *tum euasisse, separatum autem ab igne nihil vnquam videri potest, neque sine solido quicquam tangi. Solidum verò absque terra nihil; ideo in operis huius exordio Deus ignem primo, terrámque creauit. Ex igne enim & terra mundi corpus factum inquit, vt spectari contrectarique posit.* Igitur etiam animantium corpora, tactus organum terrestre est; visus, igneum, quæ alterari etiam potuissent sine sensu nisi neruos haberent, alterationem autem percipit neruorum perturbatio. Non igitur sensus est alteratio, vt nonnulli inquiunt, verùm alterationis dignotio. Haud tamen sufficit leuem aut asperum in corpore fieri
F motum ad voluptatis aut laboris generationẽ, sed vtriq. id genus motui sensum accidere conuenit. At si etiam dispositionẽ ipsam voles nominare dolorem, aut laborẽ, nihil interest. Id enim solùm meminisse te velim, dispositionem in qua corpora naturæ modũ excedentia habentur, & sensum ipsius, tnicè differre, quoniam nonnulli, quemadmodũ

Hippocrates aliquando sensum solum laborem vocat, vbi scribit. *Qui aliqua parte corporis laborantes plerumque laborem non sentiunt, his mens ægrotat.* Nam læsos quacunque parte tam vehementer, vt nisi desiperent, dolerent, nominauit laborantes. Quum itaque dicit, dolor fit & propter calorem & frigiditatem, item propter plus, & propter minus; & in perfrigeratis quidem corporis partibus, propter calorem sanè; in excalefactis autem, propter frigus; ac iis quibus natura corrumpitur, dolores oboriuntur; ne putes ipsum alterationem quandam exiguam indicare, sed vehementis alterationis sensum; qui inquam sensus non potest fieri, nisi corpus affectum in statum præter naturam transeat. At exigua corporum immutatio sensum quidem efficit, qui efficientis facultatem discernat, quum sensibile scilicet id quod alteratur, existat; dolorem verò nondum exhibet. Patiuntur autem singula promptè exiguas mutationes ex finitimis genere.

A Ἱπποκράτει κέκληται ποθ' ἡ αἴσθησις μόνη, πόνος, ἔνθα φησίν. ὁκόσοι πονέοντές τι τοῦ σώματος, τὰ πολλὰ τῶν πόνων οὐκ αἰσθάνονται, τούτοισιν ἡ γνώμη νοσεῖ. τοὺς γὰρ βεβλαμμένους ὁποιονοῦν μέρος οὕτως σφοδρῶς, ὡς εἰ μὴ παρεφρόνουν ἀλγεῖν, ὠνόμασε πονοῦντας. ὅταν οὖν φησι ὀδύνη γίγνεται, καὶ διὰ τὸ θερμὸν, καὶ διὰ τὸ ψυχρὸν, καὶ διὰ τὸ πλέον, καὶ διὰ τὸ ἔλαττον, καὶ ἐν μὲν τοῖσιν ἐψυγμένοισι τοῦ σώματος, διὰ τὸ θερμὸν μὲν, ἐν δὲ τοῖσι τεθερμασμένοισι, διὰ τὸ ψυχρὸν, καὶ τοῖσι τὴν φύσιν διαφθειρομένοισιν ὀδύναι γίγνονται, μὴ νομίσῃς αὐτὸν ἀλλοίωσίν τινα βραχεῖαν φάναι, ἀλλὰ σφοδρᾶς B ἀλλοιώσεως αἴσθησιν, ἥτις αἴσθησις οὐ δύναται γενέσθαι χωρὶς τῆς τοῦ πάσχοντος σώματος εἰς τὸ παρὰ φύσιν ἐξαλλαγῆς. ἡ δέ γε βραχεῖα μεταβολὴ τῶν σωμάτων, αἴσθησιν μὲν ἐργάζεται διαγνωστικὴν τῆς τοῦ ποιήσαντος δυνάμεως, ὅταν γ' αἰσθητικὸν ὑπάρχῃ δηλονότι τὸ ἀλλοιούμενον, ὀδύνην δ' οὐδέπω παρέχει. πάσχει δ' ἑτοίμως τὰς βραχείας μεταβολὰς ἀπὸ τῶν ὁμογενῶν ἓν ἕκαστον.

CAPVT VII.

Quæ de visione problemata Aristoteli perspecta sint, & quæ ab ipso & Stoicis malè explicentur.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

C Τίνα περὶ τῆς ὄψεως προβλήματα νενόηκεν ὁ Ἀριστοτέλης, καὶ τίνα αὐτός τε, καὶ οἱ Στωϊκοὶ σοφίζονται.

IAm verò, visus instrumentum quoniam coloribus discernendis idoneum ipsum esse conueniebat, splendidum creatum est, quòd sola huiusmodi corpora à coloribus alterari soleant; quemadmodum indicat etiam aër ambiens, qui quum maximè purus est, tunc à coloribus alteratur. Itaque videre licet, quum in aëre eiusmodi aliquis sub arbore decumbat, arboris colorem ipsam ambientem, & parietis colorem subinde aër splendidus vbi contigisset, suscepit, in D aliúdque corpus transtulit, præsertim vbi color sit cœruleus aut flauus, aut quocunque alio modo floridus. Quinetiam vt à solis splendore solo tactu totus aër statim ei assimilatur, ita à colore protinus mutatur. Hæc igitur etiam rectissimè ab Aristotele dicta sunt, tum de subita eorum quæ sic alterantur, mutatione, vt periclitetur esse temporis expers; & circa hanc etiam, quia aër splendidus à coloribus alterari consueuit, vsque ad visus idstrumentum alterationem transmittens; non tamen quomodo situm, aut magnitudinem, aut interuallum cuiusque sensi- E bilis cognoscamus. Aristoteles exposuit. Verùm ratiocinantes de placito, multi quoque ipsius sectatores deliri redduntur, mentientes, quum neque odorum, neque vocum loci demonstrentur vnde veniant, vt in opere de demonstratione ostensum est. Insuper quòd per specula, aliáque lucida corpora interim nos ipsi spectamur, interim alij quidem ex obliquo, aut retro, quemadmodum aliis omnibus, excepto Platone, sic etiam Aristoteli repugnat, quum solus color per repercussum ab iis quæ videntur ad nostrum visum perueniat, forma autem aut magnitudo F non item. Etenim formam quum efficiat figurarum circa partes varietas, neque cogitare licet ipsas speculis occurrere, neque si occurrant, sine flexu ad nos repercussum peruenire. Probabiliores namque sunt quantum ad hoc pertinet, Epicuri imagines; magnitudinem verò minus adhuc possibile est pupillam ingredi;

Αὐτίκα γέ τοι τὸ τῆς ὄψεως ὄργανον, ἐπεὶ χρωμάτων ἐχρῆν αὐτὸ διαγνωστικὸν ὑπάρχειν, αὐγοειδὲς ἐγένετο, μόνων τῶν τοιούτων σωμάτων ἀλλοιοῦσθαι πεφυκότων ὑπὸ χρωμάτων, ὡς δηλοῖ καὶ ὁ περιέχων ἀὴρ, ἡνίκα μάλιστα καθαρὸς ὑπάρχῃ τηνικαῦθ' ὑπὸ χρωμάτων ἀλλοιούμενος. ἰδεῖν γοῦν ἐστιν, ὅταν ἐν ἀέρι τοιούτῳ τις ὑπὸ δένδρῳ κατακείμενος ᾖ, τὸ τοῦ δένδρου χρῶμα περιερχόμενον αὐτῷ, καὶ τὸ τοῦ τείχους δὲ χρῶμα πολλάκις ἀὴρ λαμπρὸς ψαύσας, ἐδέξατό τε καὶ διεκόμισεν ἐφ' ἕτερον σῶμα, καὶ μάλιστ' ὅταν ᾖ τὸ χρῶμα κυανοῦν, ἢ ξανθὸν, ἢ ὁπωσοῦν ἑτέρως εὐανθές. καὶ μὲν δὴ καὶ ὥσπερ ὑπὸ τῆς ἡλιακῆς αὐγῆς αὐτῷ τῷ ψαῦσαι μόνον, ὁ πᾶς ἀὴρ ἀθρόως ὁμοιοῦται, κατὰ τὸν αὐτὸν τρόπον ὑπὸ τοῦ χρώματος αὐτίκα μεταβάλλεται. ταυτὶ μὲν οὖν ὀρθότατα, καὶ πρὸς Ἀριστοτέλους εἴρηται, περί τε τῆς παραχρῆμα μεταβολῆς τῶν οὕτως ἀλλοιουμένων, ὡς κινδυνεύειν ἄχρονον εἶναι, καὶ ἐπὶ ταύτῃ, καὶ διότι πέφυκεν ὑπὸ χρωμάτων ὁ λαμπρὸς ἀὴρ ἀλλοιούμενος, ἄχρι τοῦ τῆς ὄψεως ὀργάνου διαπέμπων τὴν ἀλλοίωσιν, οὐ μὴν ὅπως γε τὴν θέσιν, ἢ τὸ μέγεθος, ἢ τὸ διάστημα γνωρίζομεν ἑκάστου τῶν αἰσθητῶν εἶπεν ὁ Ἀριστοτέλης, ἀλλὰ καὶ συλλογιζόμενοι περὶ τὸ δόγμα, πολλοὶ τῶν ἀπ' αὐτοῦ κατάφοροι γίγνονται ψευδόμενοι, μήτ' ὀσμῶν, μήτε φωνῶν συνενδεικνυμένων τὸν τόπον ὅθεν ἥκουσιν, ὡς ἐν τῷ πρώτῳ δέδεικται περὶ ἀποδείξεως. καὶ μὲν δὴ καὶ τὸ διὰ τῶν κατόπτρων, ὅσα τε ἄλλα στιλπνὰ σώματα, ποτὲ μὲν ἡμᾶς αὐτοὺς θεᾶσθαι, ποτὲ δὲ ἄλλους τινὰς ἐκ πλαγίων, ἢ ὄπισθεν ὥσπερ τοῖς ἄλλοις ἅπασιν, πλὴν Πλάτωνος, οὕτω καὶ Ἀριστοτέλει μάχεται, μόνου τοῦ χρώματος δυναμένου κατ' ἀνάκλασιν ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὴν ἡμετέραν ὄψιν ἀφικέσθαι, μορφῆς δ' ἢ μεγέθους, οὐκέτι. μορφὴν μὲν γὰρ τῆς ποικιλίας τῶν περὶ τὰ μόρια σχημάτων ἐργαζομένης, οὔτ' ἐπινοῆσαι δυνατὸν ἀπ' αὐτῶν τινα γενέσθαι προσβολὴν τοῖς κατόπτροις, οὔτ' εἰ καὶ γένοιτο χωρὶς τοῦ κλασθῆναι τὴν ἀνάκλασιν ἐφ' ἡμᾶς ἀφικέσθαι. πιθανώτερα γὰρ ὅσον ἐπὶ τῷδε τὰ κατ' Ἐπίκουρον εἴδωλα, τὸ δὲ μέγεθος ἔτ' ἀδυνατώτερον ἐγκαταβαίνειν τῇ κόρῃ,

καίτοι τοῦτό γε τὰς ἁπάντων τῶν ἄλλων καταβάλλον δόξας, ὥσπερ τι μικρὸν παρέρχονται. περὶ μὲν τοῦ διαστήματός τε, καὶ τῆς θέσεως ἐπιχειροῦντες σοφίζεσθαι, τὴν δὲ τοῦ μεγέθους διάγνωσιν ὅπως γίγνεται, παρερχόμενοι, καί περ διαῤῥήδην αὐτῶν ἀνατρέπουσαν τὰς δόξας. ἀδύνατον γὰρ αἰσθέσθαι τοῦ μεγέθους τῶν ὁρατῶν, ἄνευ τοῦ θεωρεῖσθαι τὸ βλεπόμενον, ἐν ᾧ περ ἂν ὑπάρχῃ τόπῳ, καίτοι περὶ τῆς ἀνακλάσεως τῆς ἀπὸ τῶν αἰσθητῶν ἐφ᾽ ἡμᾶς ὁ Ἀριστοτέλης ἥκειν λέγει, τῷ λόγῳ δοκεῖ μοι κατανενοηκέναι τὴν ἀτοπίαν οὐδαμόθι τολμῶν αὐτῇ χρῆσθαι, παρελκόμενος δ᾽ ὡς ἀπίθανον ἀεί. καὶ γὰρ ὅπως ἡ ἶρις γίγνεται, καὶ ὅπως ἅλως, ἤτοι περὶ τὸν ἥλιον ἢ τὴν σελήνην, οἵ τ᾽ ἀνθήλιοι, καὶ οἱ παρήλιοι καλούμενοι, τά τε διὰ τῶν κατόπτρων ὁρώμενα διερχόμενος, εἰς ἀνάκλασιν ὄψεως ἀναφέρει πάντα, μηδενὶ διαφέρειν λέγων, ἢ τὴν ὄψιν ἀνακλᾶσθαι νομίζειν, ἢ τὰς ἀπὸ τῶν ὁρωμένων ἀλλοιώσεις τοῦ περιέχοντος ἡμᾶς ἀέρος ὁμοιότατον, κατά γε τοῦτο σοφιζόμενος Ἀσκληπιάδῃ τῷ τῆς ὁλκῆς ἀντὶ τοῦ τῆς φορᾶς ὀνόματι χρωμένῳ. τὸ γὰρ ἀπίθανον τῆς φορᾶς ὑποπτευόμενος, ἐπετόλμησε τῇ μεταθέσει τῆς προσηγορίας. οὕτως οὖν καὶ ὁ Ἀριστοτέλης ἐπειδὴ σαφῶς ἠπίστατο τὰς κατὰ μέρος ἀπιθάνους ἐρεῖν τὰς ὀπτικὰς αἰτίας, εἰ φυλάττοι τὴν ἑαυτοῦ δόξαν, ἐπὶ τὴν ἀλλοτρίαν ἀφίκετο, μηδὲν διαφέρειν λέγων ὁποτέρως ἂν ἑρμηνευθῇ· καίτοι δικαιότατ᾽ εἴποι πρὸς αὐτὸν ἄν τις, εἰ μηδὲν διαφέρει λέγειν οὕτως, ἢ ἐκείνως, τί καταλιπὼν τὴν ἀληθῆ τε, καὶ σὴν δόξαν, ἀλλοτρίᾳ χρῇ ψευδεῖ; εἰς γὰρ τοὐναντίον σοι περιτραπήσεται τὸ σόφισμα, μηδεμίαν αἰτίαν εἰπόντι τῆς ἀλόγου τῶν δογμάτων μεταλλαγῆς, ὥστε ὑποπτευθήσῃ μᾶλλον ἢ πιστευθήσῃ. καὶ μὴν εἰ διότι πιθανώτερόν σοι τὸ λέγειν ἐστὶν, διὰ τοῦτο φαίης προσκεχρῆσθαι δόγμασιν ἀλλοτρίοις, ἐρωτηθήσεται πάλιν αὐτοῦ τοῦ πιθανοῦ τὴν αἰτίαν. εἰ γὰρ ἡ ψευδὴς δόξα τὰς κατὰ μέρος ἁπάσας αἰτίας πιθανωτέρας ἔχει τῆς ἀληθοῦς, ἀπιστηθήσεται πάντ᾽ αὐτοῦ τὰ τῶν προβλημάτων βιβλία. τὸ μὲν οὖν διὰ μέσου τοῦ ἀέρος ὁρᾶν ἡμᾶς, ἐναργές ἐστι καὶ πᾶσιν ὁμολογούμενον. ἡ ζήτησις δὲ ἐπὶ τῷδε γίγνεται, πότερον ὡς δι᾽ ὁδοῦ τινος μέσης ἀπὸ τῶν ὁρωμένων ἀφικνεῖταί τι πρὸς ἡμᾶς, ἢ τοιοῦτον ὄργανον ὁ ἀὴρ ἐστὶν ἡμῖν εἰς τὴν τῶν ὁρατῶν διάγνωσιν, οἷόν περ τὸ νεῦρον εἰς τὴν τῶν ἁπτῶν. οἴονται μὲν οὖν οἱ πλεῖστοι, καὶ διὰ τοῦ νεύρου τὴν ἀπὸ τῶν προσπιπτόντων ἀλλοίωσιν ἀναδιδομένην, ἐπὶ τὸ τῆς ψυχῆς ἡγεμονικὸν εἰς διάγνωσιν ἄγειν ἡμᾶς αὐτῶν. οὐκ ἐννοοῦντες, ὡς οὐκ ἂν ἡ τῆς ὀδύνης αἴσθησις ἐγίγνετο κατὰ τὸ τεμνόμενον, ἢ θλώμενον, ἢ καιόμενον μόριον, εἰ μὴ καὶ τῆς αἰσθήσεως ἡ δύναμις ἦν ἐν αὐτοῖς. ἔχει δ᾽ ἐναντίως, ἢ δοξάζουσιν ἐκεῖνοι τὸ ἀληθές. αὐτό τε γὰρ τὸ νεῦρον ἐγκεφάλου μέρος ἐστὶν, οἷόν περ ἀκρέμων, ἢ βλάστημα δένδρου, τό τε μέρος εἰς ὃ ἐμφύεται τὴν δύναμιν αὐτοῦ δεχόμενον, εἰς ὅλον ἑαυτοῦ διαγνωστικὸν γίγνεται τῶν ψαυόντων αὐτοῦ. παραπλήσιον οὖν τι κἀπὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος γίγνεται. πεφωτισμένος γὰρ ὑφ᾽ ἡλίου, τοιοῦτόν ἐστιν ἤδη τὸ τῆς ὄψεως ὄργανον, οἷόν περ τὸ παραγιγνόμενον ἐξ ἐγκεφάλου πνεῦμα. πρὶν φωτισθῆναι δὲ κατὰ τὴν ὑπὸ τοῦ πνεύματος εἰς αὐτὸν ἐκ τῆς βολῆς ἀναποτελουμένην ἀλλοίωσιν, ὁμοιοπαθὲς ὄργανον οὐ γίγνεται. μὴ τοίνυν ὡς διὰ βακτηρίας τοῦ περὶ ἀέρος ὁρᾶν ἡμᾶς οἱ Στωϊκοὶ λεγέτωσαν. ἡ γὰρ τοιαύτη διάγνωσις ἀντιβαινόντων ἐστὶ σωμάτων κατὰ συλλογισμὸν, ἔτι δὲ μᾶλλον οὐ πληκτικὴ αἰσθητικὴ ἡ τοῦ ὄμματος αἴσθησις ἡμῖν ἐστιν, οὔτε

A hoc tamen omnium aliorum opiniones deiiciens, tanquam aliquid paruum prætergrediuntur; de interuallo sanè & situ conantur argumentari; magnitudo autem quomodo dignosci debeat, prætereunt, etsi manifestè eorum opiniones peruertat. Nemo siquidem potest magnitudinem rerum visibilium sentire, nisi id quod videtur, contempletur, in quocunque existat loco, & si de reflexione quam à sensibilibus ad nos Aristoteles venire dicit, ratione videtur mihi considerasse absurditatem, nusquam ea vti ausus; verùm ceu improbabilem rem semper declinat. Quippe quomodo iris fiat, & qua ratione areæ B vel circa solem vel lunam creentur tum quæ præcedunt, tum quæ contra solem occurrunt, quæ Anthelij, & quæ Prothelij dicuntur. item quæ per specula videntur, enumerans, ad reflexionem visus omnia refert, nihil differre inquiens, vel si visum reflecti putes, vel alterationes aëris nos ambientis, ab iis quæ videntur: similiter omninò hac in re ac Asclepiades cauillatus, qui attractionis nomine vice lationis vtitur, nam improbabilitatem lationis subueritus, translatione nominis fiduciam sibi asciuit. Sic igitur & Aristoteles quum manifestò sciuisset, fore vt particulatim C improbabiles diceret visorias causas, si suam ipsius opinionem tueretur, ad alienam peruenit, nihil interesse pronuncians quomodocunque interpreteris, & si optimo iure ad ipsum possis dicere, si nihil refert, hoc, vel illo pacto dicere; cur relicta vera, tuáque opinione, aliena vteris falsa? Nam contra te sophisma dirigetur, quum nullam causam habeas, cur citra rationem dogmata transmutaueris, vt suspicionem potius quàm fidem astruxeris. Atqui si, quòd probabilius tibi dicere sit, ideo dicas alienis te vti dogmatis, interrogabitur rursus ipsius probabilitatis causa. Si enim falsa opinio vniuersas particulares causas probabiliores quàm vera obtinet, omnibus tuis problematum libris fides derogabitur. Quapropter per medium aërem videre nos euidens est, & omnibus in confesso. At quæstio ob hoc oboritur, vtrum ceu per viam quandam mediam ab his quæ videntur, aliquid ad nos peruenit; an huiusmodi instrumentum aër est nobis ad visibilium dignotionem, cuiusmodi neruus dignoscendis tactilibus. Putant igitur plerique etiam per neruum alterationem ab iis quæ accidunt distributam ad animæ facultatem principem; nos ad dignotionem ipsorum ducere, non con- E siderantes quòd doloris sensus parti quæ diuiditur, vel contunditur, vel vritur, haud inesset, nisi etiam sensus facultas in ipsis consisteret. Habet se autem veritas secus quàm illi opinantur; nam neruus ipse cerebri pars est, veluti surculus aut germen arboris; & pars in quam inseritur, virtutem ipsius in sese excipiens totam, discernit ea quæ ipsam contingunt. Persimile quid etiam in aëre nos ambiente accidit; nam illuminatus à sole, tale iam est nobis visus instrumentum, qualis ex cerebro proficiscens spiritus. At priùs quàm illumina- F tus fuerit, ex alteratione quæ à spiritu in ipsum emissione absoluitur, simile affectu instrumentum non efficitur. Ne igitur per ambientem aërem tanquam per baculum videre nos Stoïci dictitent. Nam eiusmodi dignotio corporum est resistentium, atque magis etiam per ratiocinationem; oculorum verò sensus non densum corpus, aut duritiem,

duritiem, vel mollitiem ſentit, ſed colorem, magnitudinem, & ſitum, ex quibus nullum baculus poteſt dignoſcere. Multò igitur melius, vt in erratis Epicurus Stoïcorum pronunciauit. Illi ſiquidẽ nullum viſibile vſque ad vim viſoriam tradiderunt, Epicurus autem, eóque multò præſtantius Ariſtoteles, non imaginem corpoream, ſed qualitatem per aëris ambientis alterationem à viſibilibus ad vſque viſum traducit. Etenim veritus eſt omninò ambientem aërem ſentiendi facultatis capacem efficere, quum tamen carnem manifeſtò ſenſus participem fieri conſpiciat, ex facultate quæ ab initio in ipſam perueniebat. Quid autem negotij eſt ſolis ſplendorem ſentiendi vim habere ſtatuere, qualis maximè ſpiritus in oculis manifeſtò conſpicitur, qui ex cerebro deſcendit, quum lucidus ſit? At ſi de animæ ſubſtantia pronunciare oportet, alterutrum neceſſario dicetur, aut hanc eſſe veluti lucidum & æthereum corpus affirmandum; in quam ſententiam vel inuiti ex conſecutione Stoïci & Ariſtoteles perueniunt; aut ipſam incorpoream eſſe ſubſtantiam, primúmque ipſius vehiculum hoc corpus, quo ceu medio cum reliquis corporibus communionem ſuſcipit. Hoc itaque ipſum per totum cerebrum exporrectum eſſe dicemus; communione verò ipſius ſpiritum qui in viſu ipſorum habetur, lucidum euadere.

A τῆς σκληρότητος, ἢ μαλακότητος, ἀλλὰ χρόας, καὶ μεγέθους, καὶ θέσεως, ὧν οὐδὲν ἡ βακτηρία διαγνῶναι δύναται. πολὺ τοίνυν ἄμεινον, ὁ ἐν ἐσφαλμένοις Ἐπίκουρος ἀπεφήνατο τῶν Στωϊκῶν. ἐκεῖνοι μὲν γὰρ τῶν ὁρατῶν, οὐδὲν ἄγουσιν ἄχρι τῆς ὀπτικῆς δυνάμεως. ὁ δ' Ἐπίκουρος, καὶ πολύ γε τούτου κρείττων Ἀριστοτέλης, οὐκ εἴδωλον σωματικὸν, ἀλλὰ ποιότητα δι' ἀλλοιώσεως τοῦ πέριξ ἀέρος ἀπὸ τῶν ὁρατῶν ἄγων ἄχρι τῆς ὄψεως. εὐλαβήθη γὰρ ὅλως αἰσθητικὸν ποιῆσαι τὸν πέριξ ἀέρα, καίτοι τήν τε σάρκα σαφῶς ὁρῶν αἰσθητικὴν γιγνομένην, ἐκ τῆς ἀφικνουμένης εἰς αὐτὴν ἀπὸ τῆς ἀρχῆς δυνάμεως. τί δὲ B χαλεπὸν ἐστι τὴν ἡλιακὴν αὐγὴν αἰσθητικὴν ὑποθέσθαι, οἷον μάλιστα τὸ κατὰ τοὺς ὀφθαλμοὺς πνεῦμα τὸ παραγενόμενον ἐξ ἐγκεφάλου προδήλως ὁρᾶται, καὶ γὰρ φωτοειδές ἐστιν; εἰ δὲ καὶ περὶ ψυχῆς οὐσίας ἀποφήνασθαι χρὴ δυοῖν θάτερον, ἀναγκαῖον εἰπεῖν, ἤτοι τοῦτ' εἶναι τὸ οἷον αὐγοειδές τε καὶ αἰθερῶδες σῶμα. λεκτέον αὐτὴν, εἰς ὃ κἂν μὴ βούλωνται κατ' ἀκολουθίαν ἀφικνοῦνται Στωϊκοί τε καὶ Ἀριστοτέλης, ἢ αὐτὴν μὲν ἀσώματον ὑπάρχειν οὐσίαν, ὄχημα δέ τε τὸ πρῶτον αὐτῆς εἶναι τουτὶ τὸ σῶμα, δι' οὗ μέσου τὴν πρὸς τἆλλα σώματα κοινωνίαν λαμβάνει. τοῦτο μὲν οὖν αὐτὸ δι' ὅλου λεκτέον ἡμῖν ἐκτετάσθαι C τοῦ ἐγκεφάλου, τῇ δέ γε πρὸς αὐτὸ κοινωνίᾳ τὸ κατὰ τὰς ὄψεις αὐτῶν πνεῦμα φωτοειδὲς γίγνεσθαι.

CAPVT VIII.

Epilogus libri, cerebrum tum neruorum, tum ſenſus & motus originem eſſe concludit.

IAm verò de Ariſtotelis & Stoïcorum opinione dicere paululum differam, ſenſum verò ſenſilium corporum ex alteratione & dignotione fieri, ea quæ dixi, declarant. Alteratur itaque ſenſus inſtrumentum; dignotio autem ipſius alterationis fit ex vna facultate omnium ſenſoriorum communi, quæ à principio influit. Porrò principium ipſorum ſiue communem ſenſum, ſiue princeps ſenſorium nuncupare voles, nihil intererit, atque hoc prior diſputatio indicauit eſſe cerebrum à quo omnes partes ſenſum & motum obtinent, deſcendentibus aliis neruis in ſenſuum inſtrumenta, vt ſenſilia dignoſcantur; aliis mouentibus ea quæ moueri deſiderant, veluti oculos, linguam, & aures. Quinetiam hæ plurimis animantibus mouentur, muſculis qui in capite ſunt, eos comprehendentibus, per quos omnis motus arbitrarius animalibus adminiſtratur. Quæ omnia teſtimonia ſunt, conuenienter dici cerebrum eſſe principium partim totius animantium ſenſus, partim motus arbitrarij. At ſi non propter hæc, cuiuſnam alterius cauſa factum eſt? aut cur membranas meningas dictas exterius ei natura circumdedit, ſi in illis quidem animæ origo eſt, fruſtra autem cerebrum creatum eſt? Item cur ſinguli ipſius ventriculi vulnerati periculum acutiſſimum inferunt; cur rurſus ab eo omnes nerui prodierunt, & ſpinalis medulla, quæ quòd cerebri ſubſtantiæ ſoboles ſit, & propago, euidenter in diſſectionibus apparet, vt ne coci quidem ignorent? Qualem verò facultatem obtineat, facilè diſces, ſi priùs ad diſſectionem digrediens, neruos ab eo prodeuntes, numero ſexaginta conſpicias. Condiſces autem vniuſcuiuſque vſum, ſtructurâ

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ἐπίλογος τῶν ἐν τῷδε, ἐγκέφαλον τὴν τῶν νεύρων τε καὶ τῆς αἰσθήσεως, καὶ τῆς κινήσεως ἀρχὴν εἶναι περαίνει.

Περὶ μὲν οὖν τῆς Ἀριστοτέλους τε καὶ τῶν Στωϊκῶν δόξης, ὀλίγον ἀναβάλλομαι, ὅτι δὲ τὴν αἴσθησιν τῶν αἰσθητῶν γίγνεσθαι δι' ἀλλοιώσεώς τε καὶ διαγνώσεως, ἐξ ὧν D εἶπον δῆλον. ἀλλοιοῦται μὲν οὖν τὸ τῆς αἰσθήσεως ὄργανον, ἡ διάγνωσις δ' αὐτοῦ τῆς ἀλλοιώσεως γίγνεται ἐκ μιᾶς δυνάμεως κοινῆς πάντων τῶν αἰσθητηρίων ἐκ τῆς ἀρχῆς ἐπιρρεούσης. τὴν δὲ ἀρχὴν αὐτῶν, εἴτε κοινὴν αἴσθησιν, εἴτε πρῶτον αἰσθητικὸν ἐθέλοις ὀνομάζειν, οὐ διοίσει. καὶ ταύτην ἔδειξεν ὁ πρόσθεν λόγος ἐγκέφαλον οὖσαν, ἀφ' οὗ πάντα τὰ μόρια αἴσθησίν τε καὶ κίνησιν ἔχει, καθηκόντων ἑτέρων μὲν νεύρων εἰς τὰ τῶν αἰσθήσεων ὄργανα, διαγνώσεως ἕνεκα τῶν αἰσθητῶν, ἑτέρων δὲ τῶν κινούντων αὐτὰ, τά γε κινεῖσθαι δεόμενα, καθάπερ ὀφθαλμούς τε, καὶ γλῶτταν, καὶ ὦτα. καὶ γὰρ οὖν καὶ E ταῦτα τοῖς πλείστοις τῶν ζώων κινεῖται, μυῶν τῶν ἐν τῇ κεφαλῇ περιλαμβανόντων αὐτὰ, δι' ὧν αἱ καθ' ὁρμὴν ἅπασαι κινήσεις τοῖς ζώοις εἰσὶν, ἐξ ὧν ἁπάντων μαρτυρεῖται προσηκόντως εἰρῆσθαι τὸν ἐγκέφαλον ἀρχὴν εἶναι, τοῦτο μὲν αἰσθήσεως ἁπάσης τοῖς ζώοις, τοῦτο δὲ τῆς καθ' ὁρμὴν κινήσεως. εἰ δέ γε μὴ διὰ ταῦτα τινὸς ἕνεκα ἄλλου γέγονεν, ἢ διότι τὰς μήνιγγας ἔξωθεν αὐτῷ περιέτεινεν ἡ φύσις, εἴπερ ἐν ἐκείναις μὲν ἐστὶν ἡ τῆς ψυχῆς ἀρχὴ, μάτην ἐγκέφαλος ἐγένετο. διὰ τί δ' ἑκάστη τῶν κοιλιῶν αὐτοῦ τιτρωσκομένη, κίνδυνον ὀξύτατον ἐπιφέρει, διὰ τί δ' ἀπ' αὐτοῦ πάντα πέφυκε τὰ νεῦρα, καὶ F ὁ νωτιαῖος μυελὸς, ὃς ὅτι μὲν ἀποβλάστημα τῆς κατὰ τὸν ἐγκέφαλον οὐσίας ἐστὶν, ἐναργῶς φαίνεται διὰ τῶν ἀνατομῶν, ὡς μηδὲ τοὺς μαγείρους ἀγνοεῖν. ὁποίαν δέ τινα τὴν δύναμιν ἔχει, μάθοις ῥᾳδίως, εἰ πρότερον μὲν ἐπὶ τὴν ἀνατομὴν ἀφικόμενος, ἴδοις ἀπ' αὐτοῦ νεῦρα φυόμενα τὸν ἀριθμὸν ἑξήκοντά που. καταμάθοις δ' ἑκάστου τὴν χρείαν, ἐνδεξαμένης

τῆς κατασκευῆς αὐτῶν ἅμα τοῖς γιγνομένοις πάθεσιν ἐπὶ ταῖς τομαῖς. ἡ μέν γε κατασκευὴ παραπλησία τῆς ἀπ' ἐγκεφάλου φυομένοις, τῆς μὲν ἔσω ἐντεριώνης ἑκάστου τῶν νεύρων, ἀπ' αὐτοῦ τοῦ νωτιαίου βλαστανούσης, ἐν κύκλῳ δ' αὐτὴν τῶν μηνίγγων περιλαμβανουσῶν. ἔχει γὰρ δὴ καὶ ὁ νωτιαῖος ὁμοίως ἐγκεφάλῳ τὰς μήνιγγας ἕνεκα τῆς αὐτῆς χρείας, ἃς εἰ καὶ περιέλοις ἑκάστου τῶν ἀποφυομένων νεύρων, οὐδὲν βλάπτεται τὸ μέλος, εἰς ὃ τὸ νεῦρον ἐμφύεται, μαρτυροῦντος καὶ τοῦδε τοῦ φαινομένου, σκεπάσματα μὲν εἶναι τὰς μήνιγγας ἐγκεφάλου τε καὶ νωτιαίου. τὴν δὲ τῆς αἰσθήσεώς τε καὶ κινήσεως δύναμιν, ἐν τοῖς ὑπ' αὐτῶν περιεχομένοις ὑπάρχειν. ὅταν μὲν οὖν διατέμῃς τὴν ἐντεριώνην τοῦ νεύρου, παραχρῆμα τὸ μέλος εἰς ὃ τὸ νεῦρον ἀφικνεῖται φαίνεται, παντάπασιν ἀναίσθητόν τε καὶ ἀκίνητον. ὅτι δὲ καὶ ὁ νωτιαῖος αὐτὸς ἀπ' ἐγκεφάλου τὴν ἀρχὴν ἔχει τῶν δυνάμεων, εὔδηλον ἐκ τοῦ διατμηθέντος αὐτοῦ καθ' ὁποιονοῦν μέρος, ὅσον μὲν ἀνωτέρω τῆς τομῆς ἐστιν, ὑγιὲς διαφυλάττεσθαι, τοῦ κατωτέρω δὲ τὴν αἴσθησιν ἀπόλλυσθαι παραχρῆμα, καὶ τὴν κίνησιν ἁπάντων τῶν ἀπ' αὐτοῦ λαμβανόντων τὰ νεῦρα μυῶν, ἀναισθήτων τε καὶ ἀκινήτων γιγνομένων. Ἐρασίστρατος μὲν οὖν, εἰ καὶ μὴ πρόσθεν, ἀλλ' ἐπὶ γήρως γε τὴν ἀληθῆ τῶν νεύρων ἀρχὴν κατενόησεν. Ἀριστοτέλης δὲ μέχρι παντὸς ἀγνοήσας, εἰκότως ἀπορεῖ χρείαν εἰπεῖν ἐγκεφάλου. τίνα δ' ἐστὶν ἃ λέγει, καὶ ὅπως ἐξελέγχεται, μαθεῖν ἔνεστί σοι τὸ περὶ χρείας μορίων ὄγδοον ὑπόμνημα τῆς ἡμετέρας πραγματείας ἀναγνόντι, καθάπερ γε καὶ ὅτι τούτων ἁπάντων τῶν δογμάτων ὧν διῆλθον Ἱπποκράτους ἐστὶν ἡγεμὼν, ἐν ἄλλοις τέ τισι, κἀν τοῖς περὶ Ἱπποκράτους ἀνατομῆς ὑπομνήμασι δέδεικται, διὸ καὶ νῦν οὐ γέγραφα τὰς ῥήσεις ὥσπερ τὰς Πλάτωνος, ὅπως μὴ δὶς ὑπὲρ τῶν αὐτῶν λέγοιμι. τῶν Πλάτωνος δὲ κατ' ἄλλην οὐδεμίαν μεμνημονευκὼς πραγματείαν, εἰκότως ἐν τῇδε παρεθέμην.

A ipsorum vnà cum affectibus, qui ob sectione accidunt, indicante. Siquidem structura pers similis est iis quæ à cerebro nascuntur, dum veluti interior par cuiusque nerui, ab ipsa spinali procedit, membranæ autem orbiculatim ipsam comprehendunt. Habet enim & spinalis medulla similiter cerebro membranas eiusdem vsus gratia; quas si etiam ademeris, singulorum procedentium neruorum nulla pars offenditur, in quam neruus insinuatur, attestante & hoc euidentia, quòd scilicet membranæ tegumina sint & cerebri, & spinalis medullæ; sensus autem & motus vis, in iis quæ ab ipsis comprehen- B duntur, existat. Quum igitur nerui partem medullarem dissecueris, statim membrum in quod neruus peruenit, sensus, motúsque omninò expers apparet. Quod autem & spinalis medulla ipsa à cerebro facultatum habeat originem, liquet ex eo, quòd dissecta ipsa quacunque in parte, quæ regio supra sectionem habetur, sana conseruatur; quæ inferiùs est, sensum statim amittit & motum, dum omnes musculi qui ab ipsa neruos mutuantur, insensiles immobilésque fiunt. Erasistratus igitur & si non antea, certè in senectute verum neruorum principium considerauit. At Aristoteles perpetuò ignorans, meritò vsum cerebri nescit C explicare. Porrò quæ sint illius dicta, & quomodo coarguantur, discere tibi licet perlecto octauo operis nostri de vsu partium commentario; quemadmodum etiam quòd horum omnium dogmatum quæ precensui Hippocrates princeps existit, tum in aliis quibusdam, tum in commentariis de dissectione Hippocratis ostensum est. Quare etiam nunc verba ipsius, quemadmodum Platonis non ascripsi, ne bis de eisdem dicam. Platonis autem, quoniam in alio nullo opere mentionem feci, meritò in præsentiarum apposui.

GAL.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΚΑΘ' ΙΠΠΟΚΡΑΤΗΝ ΚΑΙ ΠΛΑΤΩΝΑ ΔΟΓΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

GALENI DE HIPPOCRATIS ET PLATONIS PLACITIS LIBER OCTAVVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΟΓΔΟΩι.

Ἱπποκράτους καὶ Πλάτωνος περὶ τῶν δ'. στοιχείων δόγμα ἐξηγεῖται· περὶ πρώτης τῆς ἐξ αὐτῶν σωμάτων, καὶ δευτέρας ἐκ τῶν τεττάρων χυμῶν συστάσεως· περὶ τῶν τῆς ὑγιείας τε καὶ νόσου αἰτίων· περὶ τοῦ ἐμφύτου θερμοῦ· καὶ περὶ τῆς ἀναπνοῆς.

ARGVMENTVM LIBRI OCTAVI.

Explicatur Hippocratis & Platonis ſententia de quatuor elementis; de prima corporum ex ipſis, & de ſecunda ex quatuor humoribus conſtitutione; de ſanitatis & morbi cauſis; de calido innato, ac de reſpiratione.

CAPVT PRIMVM.

Breuis repetitio eorum quæ in ſeptem prioribus libris explicata ſunt.

DE Hippocratis & Platonis placitis tractare inſtituens, primum ſanè docui, maximè neceſſarium eſſe tum medicinæ, tum philoſophiæ, ſiue plures ſint facultates quæ hominem gubernant, ſiue vna, firmiter adinuenire. Deinde ad quæſtionem ipſarum conuerſus, lege demonſtratiua notionem omnibus confeſſam animæ partem principem eſſe diximus, id quod præeſt ſenſui motuíque voluntario, nam ad præſens inſtitutum ne quicquam refert motum & voluntate vel ex appetitione dicere. Conſtat autem quòd alij motus ſunt dum extendimus contrahimúſque crura, imus & currimus, ſtamus & ſedemus, aliáque id genus agimus. Alij motus ſunt, qui in corde & arteriis non noſtro arbitrio perficiuntur; ſicuti & tertium motuum genus, quod in alimenti diſpenſatione verſatur. Verùm à motibus arbitrariis exorſi, in quibus etiam propriè dictus animæ principatus eſt, vnam rationem oſtendimus ſolam ab eius quod quæritur ſubſtantia, ſcientificè interrogari, quæ propoſitiones habet in hunc modum. Vbi neruorum principium, ibi etiam animæ principatus. Hæc ſanè rationis principaliſſima propoſitio, omnibus & medicis & philoſophis

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἀνακεφαλαίωσις τῶν διὰ τῶν ἑπτὰ προτέρων βιβλίων ἀποδεδειγμένων.

ΠΕΡΙ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐπισκέψασθαι προθέμενοι, πρῶτον μὲν ἐδιδάξαμεν ἀναγκαιότατον ὑπάρχειν ἰατρικῇ τε καὶ φιλοσοφίᾳ, εἴτε πλείους εἰσὶ δυνάμεις αἱ διοικοῦσαι τὸν ἄνθρωπον, εἴτε μία, βεβαίως ἐξευρεῖν. ἐφεξῆς δ' ἐπὶ τὴν ζήτησιν αὐτῶν τραπόμενοι κατὰ τὸν ἀποδεικτικὸν νόμον, ἔννοιαν ὁμολογουμένην ἔφαμεν εἶναι τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ, τὸ κατάρχον αἰσθήσεώς τε καὶ κινήσεως τῆς κατὰ προαίρεσιν, οὐδὲν ὡς πρὸς τὰ παρόντα διαφέροντος, ἢ κατὰ προαίρεσιν, ἢ καθ' ὁρμὴν εἰπεῖν. εὔδηλον δὲ ὅτι ἕτεραι μέν εἰσιν αἱ κινήσεις ἐκτεινόντων τε καὶ συστελλόντων τὰ κῶλα, βαδιζόντων τε καὶ τρεχόντων, ἑστώτων τε καὶ καθημένων, ὅσα τἆλλα τοιαῦτα πραττόντων. ἕτεραι δ' αἱ κατὰ τὴν καρδίαν τε καὶ τὰς ἀρτηρίας, οὐ κατὰ τὴν ἡμετέραν προαίρεσιν ἀποτελούμεναι, καθάπερ καὶ τρίτον ἄλλο γένος κινήσεων, αἱ περὶ τὴν τῆς τροφῆς οἰκονομίαν. ἀλλ' ἀπό γε τῶν προαιρετικῶν ἀρξάμενοι, καθ' ἃς καὶ τὸ καλούμενον ἰδίως ἡγεμονικόν ἐστι τῆς ψυχῆς, ἕνα λόγον ἐδείκνυμεν ἐρωτᾶσθαι μόνον ἐπιστημονικῶς, ἀπ' αὐτοῦ τοῦ ζητουμένου τῆς οὐσίας ἔχοντα τὰς προτάσεις ὄντα τοιοῦτον, ὅπου τῶν νεύρων ἡ ἀρχή, ἐνταῦθα καὶ τὸ τῆς ψυχῆς ἡγεμονικόν. αὕτη μὲν ἡ τοῦ λόγου κυριωτάτη πρότασις ὡμολογημένη πᾶσιν ἰατροῖς τε καὶ φιλοσόφοις, ἡ δ' ἑτ

πρόληψις αὐτῆς. ἀληθὴς μὲν ἡ ἀρχὴ τῶν νεύρων ἐν τῷ ἐγκεφάλῳ. ψευδὴς δὲ ἡ ἀρχὴ τῶν νεύρων ἐν τῇ καρδίᾳ. γράφειν μὲν ταύτην τὴν πρότασιν, ἢ καὶ λέγειν τοῖς ἀπείροις ἀνατομῆς, δυναμένου τινὸς, οὐ μὴν δεῖξαί γε δυναμένου. πάντα γὰρ ἐν τοῖς ζώοις τὰ μόρια νεύρων μετέχει. τὰ μὲν ἄντικρυς ἐξ ἐγκεφάλου παραγιγνομένων εἰς αὐτά, τὰ δὲ διὰ μέσου τοῦ νωτιαίου. πρῶτοι οὖν μακρολογίας αἴτιοι κατέστησαν οἱ καταψευσάμενοι τῶν φαινομένων, οὐχ Ἱπποκράτης, ἢ Ἐρασίστρατος, ἢ Εὔδημος, ἢ Ἡρόφιλος, ἢ Μαρῖνος, οἱ μετὰ τοὺς παλαιοὺς ἐν τῷ μεταξὺ χρόνῳ τὴν ἀνατομικὴν θεωρίαν ἠμελημένην ἀνακτησάμενοι, ὡς εἴ γε τὸ φαινόμενον ἐκ τῆς ἀνατομῆς εἶπον, οὐκ ἂν ἐμακρολογοῦμεν δι' ἀποδείξεως μιᾶς εὑρημένου τοῦ ζητουμένου. μακροτέρων οὖν λόγων ἐδεήθημεν εὐθὺς ἐν τῷ πρώτῳ βιβλίῳ, διὰ τοὺς ἃ μηδ' ὅλως ἴσαν, ὡς ἀκριβῶς ἰδόντας, ἐπιχειρήσαντας γράφειν, ἠναγκάσθημεν τε καὶ νεύρων, καὶ ἀρτηριῶν ἀνατομὴν ἐπὶ κεφαλαίων ἐν αὐτῷ διελθεῖν. ἐν δὲ τῷ δευτέρῳ βιβλίῳ τῶν ἠρωτημένων λόγων περὶ ψυχῆς ἡγεμονικοῦ, τοὺς πιθανωτάτους ἀπεδείξαμεν, οὐ κατὰ τὴν ἀποδεικτικὴν μέθοδον ὑπ' αὐτῶν συντεθέντας, ἀλλὰ τοὺς μὲν ἐγγὺς αὐτῶν, οὓς διαλεκτικοὺς ἔθος ἐστὶν Ἀριστοτέλει καλεῖν. ἐνίους δὲ πορρώτερον, οὓς διαιροῦμεν, εἴς τε τοὺς ῥητορικούς τε, καὶ τοὺς σοφιστικούς. ἔπραξα δὲ τοῦτο καὶ τοῦ ὑποκειμένου μὲν ἕνεκεν αὐτοῦ, καὶ διὰ τοὺς ἑταίρους δὲ βουλομένους ἐκ παραλλήλου τῶν λόγων ἔχειν τὰς διαφοράς, ἐφ' ἑνὸς προβλήματος ἐσομένης τῆς γυμνασίας ταύτης εἰς πολλὰ χρησίμης. ἐπεὶ δὲ καὶ τοιοῦτόν τινα λόγον ὁ Χρύσιππος ἔγραψεν, ἔνθα τὰ πάθη τῆς ψυχῆς, ἐνταῦθα καὶ τὸ ἡγεμονικόν. τὰ δὲ πάθη τῆς ψυχῆς ἐν καρδίᾳ, ἐν ταύτῃ ἄρα καὶ τὸ ἡγεμονικόν. ἐδείκνυον αὐτὸ τὸ ζητούμενον αὐτόν, ἐν τῷ κυριωτάτῳ λήμματι λαμβάνοντα. Πλάτωνος γὰρ εἰρηκότος, ἐν μὲν τῇ κεφαλῇ τὸ λογιστικὸν ὑπάρχειν, ἐν δὲ τῇ καρδίᾳ τὸ θυμοειδές. ἐν ἥπατι δὲ τὸ ἐπιθυμητικόν, ἐχρῆν αὐτὸν ἐλέγξαι πρότερον ὅσα κατασκευάζων ἑαυτοῦ τὸ δόγμα διῆλθεν ὁ Πλάτων, οὐχ ἁπλῶς ἀποφηνάμενος, ἀξιοπιστοτέραν ἡγεῖσθαι τὴν ἰδίαν ἀπόφασιν τῶν ὑπὸ Πλάτωνος εἰρημένων λόγων. ἐδείκνυον δὲ καὶ ὡς οὐδ' ἐπεχείρησέ που τῶν ἑαυτοῦ συγγραμμάτων ὁ Χρύσιππος ἀντειπεῖν τοῖς τοῦ Πλάτωνος λόγοις. ἅπαντες μὲν οὖν ὅσοι μηδέ πω φιλοσοφίας ἦσαν ἡμμένοι γεωμέτραι, καὶ ἀριθμητικοί, καὶ λογιστικοί, καὶ ἀστρονόμοι, καὶ ἀρχιτέκτονες, ἔτι τε μουσικοί, καὶ γνωμονικοί, καὶ ῥητορικοί, καὶ γραμματικοί, καὶ ὅλως εἴ τις ἐν τέχνῃ λογικῇ γεγύμναστο, πίστιν βεβαίαν ἔσχον, ἐξεληλέγχθαι μὲν τοὺς τῶν ἄλλων λόγους, ὅσους ἐγεγράφεσαν ὑπὲρ ἡγεμονικοῦ ψυχῆς, ἀληθεῖς δ' εἶναι τοὺς Ἱπποκράτους, καὶ Πλάτωνος. ἐπεὶ δὲ τὰ τοῦ Χρυσίππου βιβλία, περὶ παθῶν γεγραμμένα, καὶ οἱ ἀπ' ἐκείνου, ὡς ἐν ἐκείνοις ἀπέδειξεν ὁ ἀνὴρ ἐν τῷ λογιστικῷ τῆς ψυχῆς εἶναι τὰ πάθη, τοὺς θυμούς, καὶ τοὺς φόβους, καὶ τὰς λύπας, ὅσα τἆλλα τοιαῦτα, δι' ἐκείνους ἠναγκάσθην ἐπιδεικνύναι, μὴ μόνον ψευδῶς εἰρηκότα πολλὰ κατὰ τὰ περὶ τῶν παθῶν βιβλία τὸν Χρύσιππον, ἀλλὰ καὶ μαχόμενα αὐτῷ. καὶ κατὰ τοῦτο προσέθηκα τοῖς πρώτοις δύο βιβλίοις ἕτερα τρία, δείξας εὐθέως ἐν αὐτοῖς, ὅτι καὶ Ποσειδώνιος ὁ ἐπιστημονικώτατος τῶν Στωϊκῶν διὰ τὸ γεγυμνάσθαι κατὰ γεωμετρίαν, ἀπέστη τε τοῦ Χρυσίππου, καὶ δείκνυσιν ἐν τῇ περὶ παθῶν πραγματείᾳ, διοικουμένους ἡμᾶς ὑπὸ τριῶν δυνάμεων, ἐπιθυμητικῆς τε, καὶ θυμοειδοῦς, καὶ λογιστικῆς.

confessa est. Hæc autem veluti assumptio illius vera sanè est. Principium neruorum in cerebro: falsa autem. Initium neruorum in corde est; quum scribere sanè hanc propositionem, aut etiam dicere anatomes imperitis aliquis possit, non tamen ostendere. Omnes siquidem in animantibus partes, neruorum compotes sunt; hæ manifestò ex cerebro in ipsas descendentium; illæ per mediam spinæ medullam. Primi igitur prolixitatis authores extiterunt, qui contra euidentia, falsa attulere, non Hippocrates, aut Erasistratus, aut Eudemus, aut Herophilus, aut Marinus, qui post veteres anatomicam speculationem interea temporis neglectam recuperarunt. Nam si quod ex anatome apparet, dixissent, non vtique prolixi essemus, eo quod quæritur, per demonstrationem vnam inuento. Longioribus itaque verbis statim in primo libro opus habuimus; nam propter eos, qui, quæ neutiquam sciebant, tanquam exactè scientes, scribere aggressi sunt, coacti sumus & neruorum & arteriarum dissectionem summatim in eo percensere. At in secundo libro, ex rationibus quæ de animæ principatu interrogatæ fuerant, probabilissimas ostendimus, non secundum rationem demonstratiuam ab ipsis compositas, sed alias quidem illis propinquas quas dialecticas Aristoteles vocare consueuit; alias autem longiùs ab his recedentes, quas diuidimus in rhetoricas & sophisticas. Feci autem hoc, tum rei ipsius subiectæ gratia, tum propter familiares, qui ex mutua collatione rationum habere differentias cupiunt, quum hæc exercitatio in vna quadam proposita quæstione ad multa vtilis, futura sit. Quoniam verò & huiusmodi orationem Chrysippus scripsit. Vbi animi affectus, ibi etiam principatus: affectus autem animi in corde: ibi igitur & principatus, ostendebam id quod in quæstionem vertitur, ipsum in principalissima sumptione assumi. Nam, quum Plato dixisset in capite facultatem rationalem existere, in corde irascibilem, in iecore concupiscibilem, conueniebat ipsum priùs reprehendere, quæ Plato suum ipsius dogma astruens, percensuit, non simpliciter eloquutum suam ipsius enunciationem fide digniorem censere iis quæ à Platone prolata sunt. Porrò ostendi etiam quòd ne aggressus quidem sit Chrysippus in suis commentariis Platonis verbis refragari. Itaque omnes qui nondum philosophiam attigerunt, geometræ, arithmetici, calculatores, astronomi, architectones, præterea musici, gnomici, rhetorici, grammatici, summatim si quis in arte logica exercitatus sit, firmam fidem habuerint aliorum sanè rationes de animæ principatu conscriptas, fuisse reiectas; Hippocratis autem & Platonis esse veras. At quia Chrysippi libri de affectibus extant in quibus eius sectatores affirmant, quod in illis ostendit vir, in rationali animæ parte esse affectus, iracundiam, metum, dolorem, aliósque eius generis; coactus sum ostendere non solum falsa multa in libris de affectibus Chrysippum dixisse, sed etiam sibi repugnantia, ac in hoc apposui duobus prioribus libris alios tres, indicans statim in his, quod & Posidonius Stoïcorum scientissimus, quoniam in geometria se exercuerit, à Chrysippóque desciuit, & in opere de affectibus ostendit, à tribus corpus nostrum facultatibus, concupiscibili, irascibili, & ratiocinatrice gubernari.

Cuius

Cuius opinionis & Cleanthem esse Posidonius indicat. Quinetiam sermonem de virtutibus principiis istis rectè absolui pronunciat, atque idipsum magno opere seorsim ei conscripto monstrat: quare non ego disputationis prolixæ author sum, verùm qui temerè Chrysippi scripta laudant, tum de animæ principatu, tum de affectibus; quæ omnia statueram ego irreprehensa præterire. Deos autem omnes testes inuoco, quòd rationum impudentium refutationes afferre pudebat, præstare existimans, vt vulgus ipsas ignoret, ne offendatur conspiciens viros philosophos, ea quæ nunquam viderunt, tanquam videntes scribere; minùs enim pudet etiam ipsum vulgus, vbi in mendacio deprehenditur. Pudor autem est, illos viros qui in philosophia consenuerint, ignorare, vnam solam hanc rationem de animæ principatu, lege demonstratiua esse interrogatam, in qua vera quidem assumptio est; nempe cerebrum neruorum esse originem; falsa autem, cor. Quare non solùm in quinque libris non erat necessarium sermonem de animæ principatu tradere, imò ne per vnum quidem totum, ad eos qui didicerunt qualis res sit demonstratio scientifica; quæ sanè, vt ego arbitror, philosophis magis conuenit, quàm geometris, arithmeticis, logicis, astronomis, & architectonibus, non tamen exercitatis ipsis, quemadmodum illis. Propterea igitur Euclides in theoremate primo in libro apparentium paucis versibus ostendit terram mundi esse mediam, & signi centríque rationem habere illius collatione; quod qui didicerunt, conclusioni demonstrationis sic fidem adhibent, quemadmodum etiam bis duo esse quatuor. Porrò nonnulli philosophi talia de magnitudine & terræ situ nugantur, vt sint quos deinde totius sui instituti pudeat. Quum enim qui semper hortantur nihil vel facere, vel dicere præposterè, tales in ipso opere apparent; dictorum verò superiùs artificum, nullus quidem seipsum sapientem, quemadmodum illi, existimat: demonstrationibus autem conuenienter vtuntur, nusquam repugnantes, neque dissentientes inuicem, neque de incognitis impudenter pronunciantes, quomodo aliquem haud pudebit de toto philosophiæ studio? Sic itaque vera ratio breuis est vt ego tibi ostendam paucis syllabis absoluitur, quæ talis est. Vbi neruorum initium, ibi animæ principatus. Initium verò neruorum in cerebro, ibi ergo principatus. Vna quidem hæc oratio nouem & triginta syllabis constat, quod est duobus versibus hexametris cum dimidio; altera verò quinque in totum versibus. Vbi affectus animæ euidentiùs corporis partes mouent, inibi pars animæ patibilis est. Atqui cor apparet magnam motus immutationem obtinere in iracundia & metu; inibi igitur patibilis animæ pars existit. At si has duas orationes composueris, non plures hexametris octo, compositus ex ipsis numerus erit. Qui igitur authores sunt, quòd quinque de his libri scripti sint, quæ octo versibus heroïcis demonstrationem habebant scientificam, haud nos nimirum, sed ij qui linearibus vti demonstrationibus philosophi nolunt quorum dixi me pudere. Nonnulli verò authores sunt, cur sextus liber in ipsis de tertio principio conscriptus sit, quòd sanè longiorem disputationem requirit,

A τῆς δ' αὐτῆς δόξης ὁ Ποσειδώνιος ἐδείξεν εἶναι, καὶ τὸν Κλεάνθην. καὶ μέντοι καὶ τὸν περὶ τῶν ἀρετῶν λόγον ἐπὶ ταύταις ταῖς ἀρχαῖς ὀρθῶς φησι περαίνεσθαι, καὶ δείκνυσιν αὐτὸ τοῦτο διὰ μεγάλης πραγματείας ἰδίᾳ γεγραμμένης αὐτῷ· ὥστ' οὐκ ἐγὼ τοῦ μήκους τῶν λόγων αἴτιος, ἀλλ' οἱ προπετῶς ἐπαινοῦντες τὰ γεγραμμένα Χρυσίππῳ, περί τε τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ, καὶ περὶ παθῶν, ἃ πάντ' ἐγνώκειν ἐγὼ παρελθεῖν ἐάσας ἀνέλεγκτα. θεοὺς δ' ἅπαντας ἐπικαλοῦμαι μάρτυρας, ὡς τοὺς ἀναισχύντους τῶν λόγων ἐλέγχους αὐτὸς αἰδοῦμαι, βέλτιον εἶναι νομίζων ἀγνοεῖσθαι τοῖς πολλοῖς αὐτούς, ὅπως μὴ B βλάπτοιντο θεώμενοι φιλοσόφους ἄνδρας, ἃ μηδέ ποτ' ἴδον, ὡς ἰδόντας, γράφοντας. ἧττον γὰρ αἰδοῦνται, καὶ αὐτοὶ φωραθῶσι ψευδόμενοι. αἰδεῖσθαι δ' ἐστὶ καὶ οἱ μὴ γινώσκουσιν, ἐν φιλοσοφίᾳ γεγηρακότες ἄνδρες, ὡς εἷς μόνος οὗτος ἠρώτηται λόγος ἀποδεικτικῷ νόμῳ περὶ ψυχῆς ἡγεμονικοῦ, καθ' ὃ ἡ μὲν ἀληθὴς πρόσληψίς ἐστιν, ἐγκέφαλον εἶναι τὴν νεύρων ἀρχήν, ἡ ψευδὴς δὲ τὴν καρδίαν. ὥστε οὐ μόνον ἐν πέντε βιβλίοις οὐκ ἦν ἀνάγκη γράψαι τὸν περὶ ψυχῆς ἡγεμονικοῦ λόγον, ἀλλ' οὐδὲ δι' ἑνὸς ὅλου, πρός γε τοὺς μεμαθηκότας ὁποῖόν τι πρᾶγμά ἐστιν ἀπόδειξις ἐπιστημονική. C προσήκουσα μέν, ὡς ἐγώ φημι, φιλοσόφοις μᾶλλον, ἢ γεωμέτραις, ἀριθμητικοῖς τε καὶ λογιστικοῖς, ἀστρονόμοις τε καὶ ἀρχιτέκτοσιν, οὐ μὴν ἠσκημένοις γ' αὐτοῖς ὥσπερ ἐκείνοις. διὰ τοῦτ' οὖν Εὐκλείδης μὲν ἑνὶ θεωρήματι τῷ πρώτῳ κατὰ τὸ τῶν φαινομένων βιβλίον ἐπέδειξε δι' ὀλιγίστων ἐπῶν τὴν γῆν μέσην εἶναι τοῦ κόσμου, καὶ σημείου, καὶ κέντρου λόγον ἔχειν πρὸς αὐτόν, ἣν οἱ μαθόντες οὕτω πιστεύουσι τῷ συμπεράσματι τῆς ἀποδείξεως, ὡς καὶ τὸ τὰ δὶς δύο, τέτταρα εἶναι. τῶν φιλοσόφων δ' ἔνιοι τοιαῦτα ληροῦσι περὶ μεγέθους τε καὶ θέσεως γῆς, ὡς αἰδεῖσθαί τινα περὶ τοῦ παντὸς ἐπιτηδεύματος. ὅπου γὰρ οἱ μὲν ἀεὶ παρακελευόμενοι, μηδὲν D μήτε πράττειν, μήτε λέγειν προπετῶς, ἔργῳ φαίνονται τοιοῦτοι. τῶν δ' εἰρημένων ἄνωθεν ἀντιτεχνιτῶν, οὐδεὶς μὲν ἑαυτὸν νομίζει σοφὸν ὡς ἐκεῖνοι. ταῖς δ' ἀποδείξεσι προσηκόντως χρῶνται, μηδαμόθεν μαχόμενοι, μηδὲ διαφωνοῦντες ἀλλήλοις, μηδὲ ἀναισχύντως ἀποφαινόμενοι περὶ ὧν οὐκ ἴσασι, πῶς οὖν ἄν τις αἰδεσθείη περὶ παντὸς τοῦ τῆς φιλοσοφίας ἐπιτηδεύματος; οὕτως γοῦν ὁ ἀληθὴς λόγος ἐστὶ βραχύς, ὡς ἐγὼ δείξω σοι, δι' ὀλίγων συλλαβῶν περαινόμενον αὐτὸν ὄντα τοιοῦτον. ἔνθα τῶν νεύρων ἡ ἀρχή, ἐν- E ταῦθα τὸ ἡγεμονικόν. ἡ δ' ἀρχὴ τῶν νεύρων ἐν ἐγκεφάλῳ ἐστίν, ἐνταῦθα ἄρα τὸ ἡγεμονικόν. εἷς μὲν οὗτος λόγος ἐννέα, καὶ τριάκοντα συλλαβῶν, ὅπερ ἐστὶ δυοῖν καὶ ἡμίσεως ἐπῶν ἑξαμέτρων. ἕτερος δ' ἐστὶν πέντε τῶν πάντων ἐπῶν. ἔνθα τὰ πάθη τῆς ψυχῆς ἐπιφανέστερον κινεῖ τὰ μόρια τοῦ σώματος, ἐνταῦθα παθητικὸν τὸ τῆς ψυχῆς ἐστιν. ἀλλὰ μὴν ἡ καρδία φαίνεται μεγάλην ἐξαλλαγὴν ἴσχουσα τῆς κινήσεως ἐν θυμοῖς, καὶ φόβοις, ἐν ταύτῃ ἄρα παθητικὸν τὸ τῆς ψυχῆς ἐστιν. εἰ δὲ συνθείης ὧδε τούτους τοὺς δύο λόγους, οὐ πλείονες τῶν ἑξαμέτρων ὀκτὼ τὸ συγκείμενον ἐξ αὐτῶν πλῆ- F θος ἔσται. τίνες οὖν αἴτιοι τοῦ πέντε βιβλία γράψαι περὶ τούτων, ἃ διὰ ὀκτὼ στίχων ἡρωϊκῶν, ἐπιστημονικὴν ἀπόδειξιν εἶχεν, οὐχ ἡμεῖς δήπουθεν, ἀλλ' οἱ μὴ βουλόμενοι γραμμικαῖς χρῆσθαι ἀποδείξεσι φιλόσοφοι, περὶ ὧν ἔφην αἰδεῖσθαι. τίνες δὲ αἴτιοι τοῦ καὶ τὸ ἕκτον βιβλίον ἐν αὐτοῖς γράψαι περὶ τῆς τρίτης ἀρχῆς, μακροτέρου μὲν λόγου δεομένης,

οὐ μὴν ὥσθ' ὅλον ἓν πληρωθῆναι βιβλίον, οἱ μὴ γεγυμνασμένοι γραμμικῶν ἀποδείξεων ἀκούειν, ἐπεί τοι καὶ τούτου τοῦ σκέμματος ἐν ὀλίγοις κεφαλαίοις ἐστὶν ἡ ἀπόδειξις. ἐδείχθη γὰρ ἔν τε τοῖς φυτοῖς τὰ παχύτατα μέρη τῆς ἀρχῆς αὐτῶν ἐκφυόμενα, καὶ τῶν προδεδειγμένων δυοῖν ἀρχῶν τῆς τῶν νεύρων, καὶ τῶν ἀρτηριῶν. τὰ μὲν οὖν στελέχη πρὸς ταῖς ἀρχαῖς εἶναι, τὰ δὲ ἀνάλογον κλάδοις, ἐν τῷ προϊέναι τὰ στελέχη γινόμενα. τοῦτο μὲν ἓν λῆμμα, δι' ἐναργῶν ἀποδείξεων ἐδείχθη. δεύτερον δὲ ἐπ' αὐτῷ τῆς φυτικῆς ἐν ἡμῖν δυνάμεως, ἣν κοινὴν ἔχομεν πρὸς τὰ φυτά, τὰς φλέβας ὑπάρχειν ὄργανα. καθηκουσῶν μὲν εἰς δὲ τὴν γαστέρα, καὶ τὰ ἔντερα λεπτῶν φλεβῶν, ὥσπερ εἰς τὴν γῆν αἱ ῥίζαι τῶν δένδρων, ἁπασῶν μὲν ἀπὸ μιᾶς φλεβὸς πεφυκυιῶν, τῆς ἐπὶ πύλαις ἥπατος. αὖθις δὲ ἐκ τοῦ ἥπατος ἐκφυομένης μεγίστης φλεβός, ἣν κοίλην ὀνομάζουσιν, ἧς ὥσπερ κλάδοις τινὲς σχίζονται φλέβες ἄλλαι πάντῃ τοῦ σώματος φερόμεναι. ἐξ ὧν ἐφαίνετο ἡ τῶν φλεβῶν ἀρχὴ τὸ ἧπαρ ὑπάρχειν, ᾧ πάλιν εἵπετο, καὶ τῆς κοινῆς πρὸς τὰ φυτὰ δυνάμεως ἀρχὴν εἶναι τοῦτο τὸ σπλάγχνον, ἥν τινα δύναμιν ὁ Πλάτων ἐπιθυμητικὴν ὀνομάζει. αὕτη μὲν ἀπόδειξις μία, τοῦ τὸ ἧπαρ ἀρχὴν εἶναι τῆς ἐπιθυμητικῆς δυνάμεως, καὶ τῶν φλεβῶν. ἑτέρα δ' ἐκ τοῦ μηδὲν ἄλλο μόριον εὑρίσκεσθαι κατὰ τὸ ζῷον ᾧ συμφυεῖς εἰσιν αἱ φλέβες ἅπασαι, λαμβανομένη. τὴν γὰρ ἐκ τῶν κυρτῶν τοῦ ἥπατος ἐκφυομένην φλέβα τὴν κοίλην, ἔνιοί φασι τῆς δεξιᾶς ἐν τῇ καρδίᾳ κοιλίας ἐκπεφυκέναι. εἴπερ οὖν ἀπ' ἐκείνης ἀνάλογον κλάδοις αἱ κατὰ τὸ σῶμα πᾶν ἀποσχίζονται φλέβες, εἴη ἂν ἁπασῶν αὐτῶν ἀρχὴ καρδία. ἀλλ' αἵ γ' ἐκ τῶν σιμῶν τοῦ ἥπατος ἀνάλογον ῥίζαις εἰς τὴν γαστέρα, τήν τε νῆστιν καὶ τὸ λεπτὸν ἔντερον, καὶ τὸ τυφλόν, καὶ τὸ κῶλον, εἴς τε τὸ ἀπευθυσμένον ὀνομαζόμενον, καὶ τὸν σπλῆνα, καὶ τὸ ἐπίπλοον ἥκουσαι φλέβες, οὐκ ἀπὸ ταύτης πεφύκασιν, ἀλλ' ἔστιν ἑτέρα φλὲψ ἁπασῶν τούτων ἀρχὴ κατὰ τὰς πύλας τοῦ ἥπατος τεταγμένη. πῶς οὖν ἔτι ἀρχὴ τῶν φλεβῶν ἡ δεξιὰ τῆς καρδίας ἔσται κοιλία, μήτε τῶν εἰρημένων φλεβῶν, μήτε πρὸς αὐταῖς τῶν ἐν τοῖς σιμοῖς τοῦ ἥπατος συναπτομένων τῇ καρδίᾳ. ἧπαρ δὲ καὶ ταύταις ἁπάσαις συνῆπται ταῖς φλεψί, καὶ ταῖς καθ' ὅλον τὸ σῶμα, διὰ τῆς ἐκ τῶν κυρτῶν αὐτοῦ μερῶν ἐκπεφυκυίας, ἣν οἱ μὲν πλεῖστοι τῶν ἰατρῶν κοίλην ὀνομάζουσι, διὰ τὸ μέγεθος. Ἱπποκράτης δὲ καὶ ὅσοι τὰ τούτου πρεσβεύουσιν, ἡπατῖτιν ἀπὸ τοῦ σπλάγχνου προσονομάζουσιν, ὅθεν ἐκπέφυκεν αὐτή. τοιγαροῦν ἤδη σοι δευτέρα περὶ ἥπατος ἀπόδειξις, ὡς ἁπασῶν ἐστι φλεβῶν ἀρχή. διὰ τοῦτο δὲ καὶ τῆς θρεπτικῆς δυνάμεως, ἄλλη δ' ἐκ περιουσίας τρίτη, τοιάδε τις. ἐὰν τὴν δεξιὰν τῆς καρδίας κοιλίαν ἀρχὴν ὑποθώμεθα τῆς κοίλης φλεβός, ἐναντίως ἔσται τῷ φαινομένῳ, καὶ ἐν ταῖς τῶν ἰχθύων ἀνατομαῖς εὑρισκομένῳ. οὐδενὸς οὖν αὐτῶν ἡ καρδία δεξιὰν ἔχει κοιλίαν, ὅτι μηδὲ πνεύμων ἐστὶ τοῖς ζώοις ἐκείνοις. διὰ τί δὲ γίνεταί τε καὶ συναπόλλυται πνεύμονι τῆς καρδίας ἡ δεξιὰ κοιλία, δέδεικταί μοι κατὰ τὴν περὶ χρείας μορίων πραγματείαν. ἐκ περιουσίας μέν, ὡς ἔφην, οὐ σμικρὰ τῷ δόγματι πίστις ἐστί, καὶ ἐκ τοῦ νῦν εἰρημένου λόγου. προσέρχεται δὲ καὶ ἄλλη τις ὁμοία τῇδε, τὴν εὐθύτητα τῆς κοίλης ἡμῶν ἐπισκεπτομένων. ὁρᾶται γὰρ ἀπὸ τῶν κυρτῶν τοῦ ἥπατος ἄχρι τῶν σφαγῶν, ἅπαν μὲν αὐτῆς τὸ δεξιὸν μέρος εὐθείᾳ μιᾷ ἄκλαστον φυλάττων αὐτήν. ἐκ δὲ τῶν ἀριστερῶν ἀπόφυσις εἰς τὴν δεξιὰν κοιλίαν τῆς καρδίας γιγνομένη.

non tamen vt vnus totus impleatur liber; neutiquam exercitati lineas demonſtrationes audire, quoniam,& hæc conſideratio paucis capitibus demonſtratur. Quippe oſtenſum eſt in ſtirpibus craſſiſſimas partes ex principio ipſarum procedere, & quum duo primordia neruorum arteriarúmque priùs ſint indicata, hæc veluti caudices ratione principiorum eſſe; illa reſpondere proportione ramis, caudicum progreſſu genitis. Hæc ſanè vna ſumptio manifeſtis demonſtrationibus indicata eſt;ſecunda præter hanc, vegetantis in nobis facultatis, quam communem cum ſtirpibus habemus, venas eſſe inſtrumenta, dum exiles venæ in ventrem & inteſtina, quemadmodum in terram arborum radices deſcendunt, omnes quidem ab vna vena iuxta portas iecoris ſita procedunt. Rúrſus ex iecore maxima vena prodit, quam cauam nuncupant, cuius veluti rami quidam ſcinduntur venæ aliæ, per totum corpus diſcurrentes. Ex quibus concludebatur venarum principium eſſe iecur. Quod rurſus ſequebatur etiam communis cum ſtirpibus facultatis principium eſſe hoc viſcus, quam ſanè facultatem Plato appetentem nominat. Hæc demonſtratio vna eſt eius, quòd iecur origo ſit facultatis concupiſcibilis, & venarum; altera ſumitur ex eo, quòd nulla alia pars in animante reperiatur, cui omnes venæ ſint connatæ. Quippe ex gibba iecinoris parte procedentem venam cauam nonnulli ex dextro cordis ſinu prodiiſſe affirmant. Si igitur ab illa ſimiliter ramis totius corporis venæ propagantur, eſſet vtique omnium ipſarum principium cor. Verùm quæ ex caua iecoris regione proficiſcuntur, radicum modo in ventrem, ieiunum inteſtinum, tenuè, cæcum, colum, rectum dictum, lienem & omentum veniunt, non ab hac oriuntur, ſed eſt altera vena omnium harum origo iuxta portas iecinoris ſita. Quomodo igitur adhuc venarum principium dextri cordis ſinus erit, quum neque commemoratæ venæ, neque præter ipſas in caua iecoris parte ſitæ cordi committantur; iecur autem his omnibus venis commiſſum ſit, & illis quæ in totum corpus excurrunt, per illam quæ ex gibba ipſius parte procedit, quam plerique medicorum propter magnitudinem, cauam nominant. Hippocrates autem, & qui huius ſcripta profitentur, iecorariam à viſcere nuncupant, vnde ipſa prodiit. Quapropter ſecunda iam de iecore demonſtratio habeatur, nempe quòd vniuerſarum venarum ſit principium, eóque etiam facultatis nutritiæ. Alia porrò ex abundanti tertia huiuſmodi eſto. Si dextrum cordis ſinum cauæ venæ principium ſtatuamus, aduerſabitur ei quod apparet, & quod in piſcium diſſectionibus inuenitur. Quippe nullius ipſorum cor dextrum habet ventriculum, quoniam neque pulmo illis animantibus ineſt. Cur autem generetur, ſimúlque pereat cum pulmone cordis dexter ſinus, oſtenſum à me eſt in opere de vſu partium. Ex abundanti, vt dixi, non parua dogmati fides eſt etiam ex ſermone qui nunc expoſitus eſt. Porrò accedit alia adhuc quæpiam huic ſimilis, dum rectitudinem cauæ venæ nos inſpicimus. Nam tota ipſius dextra pars, à gibba iecoris regione vſque ad iugulum linea vna recta inflexilem eam ſeruare videtur; ex ſiniſtris autem proceſſum in dextrum cordis ſinum fieri;

quam

quam venam aliqui putant truncum seu caudicem, vt ita dicam, esse totius corporis venarum. Quod si verum esset, omnino scinderetur & ipsa post exortum, magnæ arteriæ similiter, quam sine controuersia omnium in toto animante arteriarum principium videre licet, qua primùm ex corde oritur, duplici propagine discindi, vt partium ipsius altera sursum, altera deorsum in corpore educatur. Quare etiam si caua vena ex corde prodiisset, omnino hæc quoque similiter arteriæ bifariam scissa, altera parte ad iugulum emergeret, altera ad iecur deferretur. Quod quum non appareat, clarum est neque ex corde ipsam originem ducere. Hæ quatuor demonstrationes sunt in sexto propositi operis libro abundè satis explicatæ, iis qui norunt quid tandem sit demonstratio. Dicta sunt & alia quædam in libro ad fidem dogmatis approbandam, quæ tamen scientificam demonstrationem non habent, quemadmodum primæ duæ rationes. Quinetiam controuersia quædam ad aliorum opiniones declarata est. Quare quantum ad me attinet, paucissimis iam id quod institui, demonstratum est. Ac prolixitatis verborum non in nos qui reprehendamus, quas vitiosas illi prodiderunt rationes, sed in ipsarum authores culpa reiicienda est. Quum itaque tres libri logici de affectibus à Chrysippo sint traditi, contradicere quum possem, & ea quibus ab ipso dissentirem protrahere, id facere non sustinui; sicuti nec quæ de virtutum differentia quatuor in libris prodidit, super quibus eum & Posidonius criminatur. Verùm de his quoque vbi indicassem iis qui scientificas demonstrationes possunt audire, cum otio rursus ostensurus hoc agere distuli, quæ sibi etiam ipse, & veritati eorum quæ euidenter apparent, refragatus, conscripsit. Illud itaque opus per se elaboratum est.

ἣν τινα φλέβα νομίζουσιν ἔνιοι τὸ πρέμνον, ὡς ἂν εἴποι τις, εἶναι τῶν καθ' ὅλον τὸ σῶμα φλεβῶν. εἰ δέ περ ἦν ἀληθὲς τοῦτο, πάντως ἂν ἐσχίζετο καὶ αὐτὴ μετὰ τὴν ἔκφυσιν, ὡσαύτως τῇ μεγάλῃ ἀρτηρίᾳ, ἣν ὁμολογουμένως ἁπασῶν τῶν καθ' ὅλον τὸ ζῷον ἀρτηριῶν ἀρχὴν ἔστιν ἰδεῖν ἔστι κατὰ τὸ πρῶτον ἐκφῦναι τῆς καρδίας δίχα σχιζομένην. ὅπως τῶν μερῶν αὐτῆς, τὸ μὲν ἕτερον ἄνω, τὸ δὲ ἕτερον ἐνεχθείη κάτω τοῦ σώματος, ὥστε καὶ εἰ ἡ κοίλη φλὲψ τῆς καρδίας ἐφύετο, πάντως ἂν καὶ αὐτὴ παραπλησίως τῇ ἀρτηρίᾳ δίχα σχισθεῖσα, τῷ μὲν ἑτέρῳ μέρει, πρὸς τὰς σφαγὰς ἀνηνέχθη, τῷ δὲ ἑτέρῳ κατηνέχθη πρὸς τὸ ἧπαρ. οὐ μὴ φαινομένου δῆλόν ἐστιν οὐδὲ ἐκ τῆς καρδίας αὐτὴν ἄρχεσθαι. αὗται τέτταρες ἀποδείξεις εἰσὶν εἰρημέναι κατὰ τὸ τῆς προκειμένης πραγματείας ἕκτον γράμμα τοῖς εἰδόσι τί ποτ' ἐστὶν ἀπόδειξις αὐτάρκως. εἴρηται δὲ καὶ ἄλλα τινὰ κατὰ τὸ βιβλίον εἰς πίστιν τοῦ δόγματος, οὐ μὴν ἐπιστημονικήν γε τὴν ἀπόδειξιν ἔχοντα, καθάπερ οἱ πρῶτοι δύο λόγοι. καὶ μέντοι καὶ ἀντιλογία τις εἴρηται πρὸς τοὺς ἑτέρως δοξάζοντας. ὥστε ὅσον ἐπ' ἐμοί, διὰ βραχυτάτων ἂν ἤδη τὸ προκείμενον ἀποδέδεικται, καὶ χρὴ τοῦ μήκους τῶν λόγων, οὐχ ἡμῖν ἐλέγχουσιν οὓς ἡμαρτημένους ἔγραψαν ἐκεῖνοι λόγους, ἀλλὰ τοῖς συνθεῖσιν αὐτοὺς μέμφεσθαι. τριῶν οὖν βιβλίων λογικῶν περὶ παθῶν γεγραμμένων Χρυσίππῳ, δυνάμενος ἀντειπεῖν, ἃ πρὸς αὐτὸν διηνέχθην διελέγχων, μηκύνειν, οὐχ ὑπέμεινα τοῦτο πρᾶξαι. καθάπερ οὐδ' ὅσα περὶ τῆς τῶν ἀρετῶν διαφορᾶς ἔγραψεν ἐν τέτταρσι βιβλίοις, ὑπὲρ ὧν αὐτὸν καὶ ὁ Ποσειδώνιος μέμφεται. ἀλλὰ καὶ περὶ τούτων ἐνδειξάμενος τοῖς ἀκούειν δυναμένοις ἐπιστημονικῶν ἀποδείξεων, ἀνεβαλόμην ἐπὶ σχολῆς αὖθις ἐπιδείξειν, ὅσα καὶ πρὸς αὐτὸν ἐναντιολογούμενος ἔγραψε, καὶ πρὸς τὴν τῶν ἐναργῶς φαινομένων ἀλήθειαν. ἐκείνη μὲν οὖν ἡ πραγματεία καθ' ἑαυτὴν γέγραπται.

CAPVT II.

Quid elementum; ac Hippocratem & Platonem de quatuor elementis, & de sanitatis ac morborum causis consensisse.

NVnc verò quum plerique amicorum reliqua Hippocratis & Platonis dogmata iam habere desiderent, illuc me conuertam, à naturalibus elementis exorsus. Nominatur itaque elementum, quodcunque minima sit pars illius rei, cuius fuerit elementum. Nam ex appellatione ad aliquid vox elementum, capitur; quemadmodum & partis; nam & elementum, alicuius elementum est, & pars, alicuius pars est. Sicut igitur linguæ nostræ, qua vtimur differentes inuicem, quatuor & viginti sunt elementa, eodem modo omnium generabilium corruptibiliúmque corporum minimæ partis terra est, & aër, & aqua, & ignis. Minimum autem dicitur, quod non ampliùs sectionem sustinet; etenim secundum magnitudinem sectio, eiusmodi minimum nullum obtinet. Sola autem speciei diuisio quandóque consistit, veluti in voce, quum aliqua composita talis existat.

Iram cane Dea Pelidæ Achillis.

Tota quidem hæc est; partes autem, iram, & cane, & Dea, & Pelidæ, & Achillis. Singula hæc rursus in syllabas secantur, & syllabæ iterum

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τί ἐστι στοιχεῖον· καὶ τὸν Ἱπποκράτην τε καὶ τὸν Πλάτωνα περὶ τῶν τεσσάρων στοιχείων, καὶ περὶ τῆς ὑγιείας τε καὶ νόσων αἰτίων ὁμολογεῖσθαι.

ΝΥν δὲ ποθοῦσιν ἔχειν ἤδη πολλοῖς τῶν φίλων τὰ κατάλοιπα τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων, ἐνταῦθα τρέψομαι, ἀρχὴν ἀπὸ τῶν φυσικῶν στοιχείων ποιησάμενος. ὀνομάζεται μὲν οὖν στοιχεῖον ὅπερ ἂν ἐλάχιστον ᾖ μέρος ἐκείνου τοῦ πράγματος οὗπερ ἂν ᾖ στοιχεῖον· ἐκ γὰρ τοῦ τῆς πρός τι κατηγορίας ἐστὶν ἡ στοιχεῖον φωνή, καθάπερ καὶ τοῦ μέρους. τό, τε γὰρ στοιχεῖον, τινός ἐστι στοιχεῖον, τό, τε μέρος, τινός ἐστι μέρος. ὥσπερ οὖν τῆς φωνῆς ἡμῶν ᾗ χρώμεθα διαλεγόμενοι πρὸς ἀλλήλους, τέτταρα καὶ εἴκοσί ἐστι στοιχεῖα, κατὰ τὸν αὐτὸν τρόπον ἁπάντων τῶν γεννητῶν, καὶ φθαρτῶν σωμάτων ἐλάχιστα μόρια, γῆ καὶ ἀήρ ἐστιν, ὕδωρ τε καὶ πῦρ. ἐλαχίστου δὲ λεγομένου, τοῦ μηκέτι τομὴν ἐγχωροῦντος. ἡ μὲν γὰρ κατὰ τὸ μέγεθος τομή, τοιοῦτον οὐδὲν ἐλάχιστον ἔχει. μόνη δὲ ἡ κατ' εἶδος ἵσταταί ποτε καθάπερ ἐπὶ τῆς φωνῆς. οὔσης γάρ τινος συνθέτου τοιᾶσδε.

Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος.

Ὅλη μὲν ἐστιν αὕτη, μέρη δὲ, τὸ, μῆνιν. καὶ τὸ, ἄειδε, καὶ τὸ, θεά, καὶ τὸ, Πηληϊάδεω, καὶ τὸ, Ἀχιλῆος. ἕκαστον δὲ τούτων πάλιν εἰς τὰς συλλαβὰς τέμνεται, καὶ τῶν συλλαβῶν αὖθις

ἑκάστη διαίρεσιν εἰς τὰ στοιχεῖα λαμβάνει. τῆς γοῦν πρώτης συλλαβῆς τῆς, μη, συγκειμένης ἐκ δυοῖν στοιχείων, οὐδέτερον αὐτῶν εἰς ἄλλας ἑαυτοῦ φωνὰς ἐλάττους δύναται τμηθῆναι, καὶ διὰ τοῦτο τὴν, μη, φωνὴν ἐλαχίστην τε καὶ ἄτμητον εἶναί φαμεν. ὡς καὶ τὸν Δίωνα καλεῖν ἔθος ἐστὶ τοῖς φιλοσόφοις ἄτομον οὐσίαν. οὕτως δὲ καὶ λόγον βραχύτατον εἴρηκεν ὁ Πλάτων, τὸν συγκείμενον ἐξ ὀνόματος καὶ ῥήματος, ὡς λόγον δηλονότι καλῶν βραχύτατον αὐτόν. ἕκαστον γὰρ τῶν κατ᾽ εἶδος λεγομένων τε καὶ νοουμένων, ὅταν μηκέτι χωρῇ τομὴν εἰς εἴδη πλείω, τοῖς τοιούτοις ὀνόμασι προσαγορεύομεν, βραχύτατον, ἄτμητον, στοιχεῖον. περὶ μὲν οὖν τοῦ στοιχείου ὀνόματος, ὅλον ἔχεις γεγραμμένον βιβλίον ἐν τῇ τῶν ἰατρικῶν ὀνομάτων πραγματείᾳ. περὶ δὲ τῆς κατὰ μέγεθος τομῆς τῶν σωμάτων, ἐπιδέδεικται τοῖς γεωμετρικοῖς ἀνδράσιν, ὡς οὐδέ ποτε στῆναι δυναμένης, ἀλλ᾽ ἀεὶ τοῦ τεμνομένου μικρότερον ἑαυτοῦ τὸ μέγεθος ἔχοντος, ἀπολειπομένης δὲ μόνης τῆς κατ᾽ εἶδος τομῆς, ὡμολόγηται πάλιν αὖθις, περὶ τῆς καθ᾽ ἕκαστον γένος τῶν ὄντων, ἄτομον εἶδος εἶναί τι τοιοῦτον ὁποῖόν ἐστιν ἐν τοῖς φυσικοῖς σώμασι στοιχεῖον, ἡ γῆ καὶ τὸ ὕδωρ, ὅ, τε ἀὴρ καὶ τὸ πῦρ. ἀποδείξεις δὲ τούτων οὐ δέομαι γράφειν ἐνταῦθα, φθάσαντος γραφῆναι ὑπομνήματος ἑτέρωθι περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων, ὃ σαφέστερον μὲν ἂν ἐγέγραπτο καθάπερ καὶ ἄλλα πολλὰ, μὴ πρὸς μόνον ἀποβλέποντα τὸν λαμβάνοντά μου τὸ βιβλίον, ἀλλ᾽ ὡς καὶ τῶν ἀμαθεστέρων ἐκείνου μελλόντων ὁμιλήσειν αὐτῷ. πολλῶν δ᾽ ἔχειν φθασάντων, οὐκ ἔτ᾽ ἔδοξέ μοι γράφειν ἄλλο, τὸ εἰ καὶ ὀλίγους τινὰς ἐν αὐτῷ λόγους μακροτέρας ἐξεργασίας δεομένους, ὧν οὐχ ἥκιστα καὶ οὗτος αὐτὸς ὁ νῦν εἰρημένος ὑπὲρ τῆς κατὰ τὸ στοιχεῖον ἐννοίας ἐπὶ πλεῖστον μὲν ἐξειργασμένος, ὡς ἔφην ἐν ἑνὶ βιβλίῳ· διὰ κεφαλαίων δὲ νῦν εἴρηται μὲν ὅσα που μᾶλλον ἂν εἴρητο κἂν τῷ περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων, εἴπερ αὐτῶν συλλαβῶν τὸ στοιχεῖον ἐδεῖτο. γεγραμμένου δὲ τῷ Ἱπποκράτῃ βιβλίου περὶ φύσεως ἀνθρώπου, προστεθέντος δ᾽ αὐτῷ, καὶ τοῦ περὶ διαίτης μικροῦ βιβλιδίου, καί τινος παρεντεθείσης ἀνατομῆς φλεβῶν, ἣν ὁ διασκευάσας δοκεῖ μοι προσθεῖναι τῷ περὶ φύσεως ἀνθρώπου, καὶ τῷ περὶ διαίτης, ἐξήγησίς ἐστι τὸ ἡμέτερον γράμμα τὸ περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων τοῦ γεγραμμένου περὶ φύσεως ἀνθρώπου. τὴν δὲ ἐξήγησιν οὐχ οὕτως ἔχει γεγονυῖαν, ὡς εἰώθασιν οἱ τὰς ἐξηγήσεις γράφοντες ποιεῖσθαι καθ᾽ ἑκάστην λέξιν, ἀλλὰ τῶν συνεχόντων τὸ δόγμα μόνων, ἅμα ταῖς οἰκείαις ἀποδείξεσιν, ἃς εἴπερ ἐθέλεις μανθάνειν, ἐπ᾽ ἐκεῖνο μετάβηθι τὸ βιβλίον. ἐγὼ δ᾽ οὐκ εἴωθα πολλάκις τὰ αὐτὰ γράφειν ἐν διαφόροις ὑπομνήμασιν, ἀλλ᾽ ἐνταῦθα τὰς μόνου τοῦ Πλάτωνος παραγράψω ῥήσεις, ἐν αἷς ἠκολούθησε τῷ Ἱπποκράτει, τὰ σώματα ἡμῶν ἐκ γῆς, καὶ πυρὸς, ἀέρος τε, καὶ ὕδατος συγκεῖσθαι λέγων. εἰρημένου δ᾽ αὐτοῦ τούτου, καὶ κατὰ τἄλλα βιβλία, νῦν ἡμῖν ἀρκέσει τὴν ἐκ τοῦ Τιμαίου παραγράψαι ῥῆσιν ἔχουσαν ὧδε. τεττάρων γὰρ ὄντων γενῶν, ἐξ ὧν συμπέπηγε τὸ σῶμα, γῆς, πυρὸς, ὕδατός τε, καὶ ἀέρος. τούτων ἡ παρὰ φύσιν πλεονεξία, καὶ ἔνδεια, καὶ τῆς χώρας μετάστασις ἐξ οἰκείας ἐπ᾽ ἀλλοτρίαν γιγνομένη, πυρός τ᾽ αὖ καὶ τῶν ἑτέρων, ἐπειδή γε πλείω ἑνὸς ὄντα τυγχάνει, τὸ μὴ προσῆκον ἕκαστον ἑαυτῷ προσλαμβάνει, καὶ πάνθ᾽ ὅσα τοιαῦτα, στάσεις, καὶ νόσους παρέχει. ἐν ταύτῃ τῇ ῥήσει σαφῶς ἐδήλωσεν ὁ Πλάτων, οὐ μόνον ἐκ

singulæ diuisionem in elementa recipiunt. Itaq; primæ syllabæ, μη, compositæ ex duobus elementis, neutrum ipsorum in alias sui voces minores diuidi potest. Ideo vocem, μη, minimam & indiuisibilem esse dicimus, vt etiam Dionem vocare mos est philosophis substātiam indiuiduam, sic orationem breuissimam Plato dixit, compositam ex nomine & verbo, orationem videlicet, quatenus est oratio, breuissimam appellans. Singula enim quæ secundum speciem & dicuntur, & intelliguntur, quum non amplius sectionem in plures species concedunt, eiusmodi nominibus appellamus, minimum, insectile, elementum: de cuius nomine totum habes librum in medicinalium nominum opere conscriptum At de sectione corporum secundum magnitudinem geometræ viri ostenderunt, ceu illa nunquam consistere possit, verùm semper id quod secatur, minorem quàm priùs, magnitudinem habeat. Quum autem sola secundum speciem sectio tandem desinat, in confesso rursus de ea est, in vnoquoque rerum genere indiuiduam quandam speciem haberi talem, quale est in naturalibus corporibus elementum terra, aqua, aër, & ignis. Horum verò demonstrationes non opus habeo huc ascribere, quum aliàs commentarium de elementis ex Hippocratis sententia ediderim, quem clariùs manifestiúsque sanè quemadmodum & alios complures scripsissem nisi illius tantum qui illum à me erat accepturus, non imperitorum quoque in quorum manus erat venturus rationem habuissem. Quum autem multi eum iam habeant, non amplius visum mihi est scribere alium, eò quòd paucæ quædam in eo disputationes sint, quę longiùs tractari desiderent, ex quibus maximè & hæc ipsa nunc comprehensa de elementi notione, plurimum quidem vno in libro elaborata, vt dixi; in pręsentia autem summatim exposita sunt ea, quæ magis vtique declarata fuissent in libro de elementis secundum Hippocratem, si ipsis syllabis elementum opus habuisset. Porrò quum liber de natura hominis ab Hippocrate sit conscriptus, adiectus autem ei exiguus libellus de victus ratione, & quędam venarum dissectio interposita, quam author videtur mihi adiecisse opusculo de natura hominis, & de victus ratione; noster de elementis secundum Hippocratem liber expositio est eius qui de natura humana proditus est. At expositionem non ita habet descriptam, vt consueuerunt qui interpretationes persequuntur, in singulis dictionibus factitare, sed de eorum duntaxat quæ dogma complectuntur, vnà cum propriis demonstrationibus; quas si voles discere, ad illum librum te conferas. Ego autem non consueui subinde eadem diuersis in commentariis scribere; sed hîc solius Platonis verba subiiciam, in quibus secutus est Hippocratem, corpora nostra inquiens ex terra, igne, aëre, & aqua constare. Quod ipsum quum in aliis quoque libris tradiderit, in præsentia sufficiet verba ex Timæo exponere, quæ in eum modum habent. *Nam quum quatuor illa sint, ex quibus compactum est corpus, terra, ignis, aqua, aër; horum præter naturam excessus, defectúsque, & ex loco proprio in alienum translatio, tum ignis, tum aliorum, quandoquidem plura vno sunt, singula id quod sibi conueniens non est, assumunt, ac omnia eiusmodi seditiones & morbos exhibent.* In hac oratione Plato palam indicauit, non solùm ex terra,

terra, aqua, aëre, & igne corpora nostra esse procreata, verùm etiam quia propter hæc mensura quidem inuicem temperata secundum naturam habemus, quod idem est ac si dicas, sani sumus. Si autem aliquod deficiat, aut redundet, aut in alium locum transgrediatur, ægrotamus. Quod igitur excessus defectúsque bonam temperiem corrumpit, in qua primorum corporum sanitas consistit, omnibus conspicuum est; item quòd translatio, si consideremus quomodo simul atque thoracis, & asperæ arteriæ instrumentis, sanguis, aut alius quidam humor coincidit, inculpata ipsorum sanitas aboletur. Ad hæc in ventre, intestinis, venis, & carnibus, aërea substantia coaceruata; sed ipse Plato per ea quæ prædictæ orationi continua sunt, docebit te id, hunc in modum scribens. *Quando enim præter naturam vnumquodque fit, aut transfertur, calescunt vtique quæ ante frigebant, arida madent, grauescunt leuia, & cætera omnia similiter permutantur. Solummodo verò dicimus idem aliquid sibimet secundùm idem, atque similiter, & debita proportione seruata, accedens vel decedens, permittet se idem sibiipsi sospes integrumque manere. Sed si peccauerit aliquid, præter hæc accedens, vel recedens, alterationes perquam varias & morbos interitúsque innumerabiles inducet.* Quòd igitur ex terra, igne, aëre, & aqua corpora nostra constant, item quòd ob horũ defectũ, aut redundantiam, aut trãsmutationẽ morbi oboriuntur, manifestò indicauit.

CAPVT III.

Cur Plato quatuor prima corpora non appellauerit elementa.

VIdebitur autem in eo quòd elementa ipsa non vocat, ab Hippocrate dissentire. Atqui neque ille nominauit ea elementa, sed solùm, quod his coëuntibus, contemperatísque, naturalia creantur corpora, atque quòd vltra hæc procedere Hippocrates quidem nullam sanè necessitatem esse dicit, practicam, non theoreticam artem persequens. Plato autem tanquam philosophiam theoreticam laudatissimam esse censeat, non contentus fuit solis, quæ apparent in elementis, facultatibus, sed etiam causam generationis ipsorum inquirit; speculationem medico inutilem. Cur enim humectet aqua, vrat ignis, aut cur fluat quidem aqua, sursum autem ignis feratur; item cur stabilissima grauissimáque elementorum sit terra, ad morborum curationes nihil conducitur. Solùm enim sufficit sanitatem seruaturo, curaturò que morbos, scire, propter bonam temperiem calidi, frigidi, sicci, & humidi, sanitatem animantibus consistere; ob intemperies autem horum morbos oboriri. Porrò inquirere, an ignis ex partibus figuræ pyramidalis compositus sit, siue alia quædam causa existat, propter quam secet, & proxima corpora diuidat, theoreticæ philosophiæ opus est, quam Plato persequens, ignis sanè partes pyramidis speciem referre scribit, terræ cubicam. Figuram autem octonorum sessuum, aëris peculiarem esse censet; quemadmodum eam quę viginti bases obtinet, aquę. Num igitur rectè, an secus de his Plato opinatus sit, non ad disputationem nobis nũc propositam pertinet. Cur enim non nominet elementa terram, aquam, aërem, & ignem, rationem nos quærebamus, vt expositũ est, nõ an falsò singulas quas dixit figuras ipsis tribue-

A γῆς καὶ ὕδατος, καὶ ἀέρος, καὶ πυρὸς γεγονέναι τὰ σώματ' ἡμῶν, ἀλλὰ καὶ διότι διὰ ταῦτα μέτρῳ μὲν ἀλλήλοις κεκραμένα κατὰ φύσιν ἔχομεν, ὅπερ ταὐτόν ἐστι τῷ ὑγιαίνομεν. ἐλλείποντος δέ τινος, ἢ πλεονάσαντος, ἢ μεταστάντος εἰς ἀλλοτρίαν χώραν, νοσοῦμεν. ὅτι μὲν οὖν ἥ τε πλεονεξία, καὶ ἡ ἔνδεια διαφθείρει τὴν εὐκρασίαν, ἐν ᾗ τῶν πρώτων σωμάτων ἡ ὑγίεια, πρόδηλον δ' ὅτι καὶ ἡ μετάστασις, ἐὰν ἐννοήσωμεν, ὡς τοῖς κατὰ τὸν θώρακα, καὶ τῆς τραχείας ἀρτηρίας ὀργάνοις, αἵματος, ἤ τινος ἄλλου χυμοῦ παρεμπεσόντος συγχωρεῖ διαφθείρεσθαι τὴν ἄμεμπτον ὑγίειαν αὐτῶν, ἔν τε τοῖς κατὰ γαστέρα, καὶ ἔντερα, καὶ φλέβας, καὶ σάρκας, ἀερώδους οὐσίας
B ἀθροισθείσης. ἀλλὰ καὶ αὐτὸς ὁ Πλάτων διὰ τῆς συνεχοῦς τῇ προειρημένῃ ῥήσει, διδάξει σε τοῦτο λέγων ὡδί. παρὰ φύσιν γὰρ ἑκάστου γιγνομένου, καὶ μεθισταμένου, θερμαίνεται μὲν ὅσα ἂν πρότερον ψύχηται, ξηρὰ δ' ὄντα, εἰς ὕστερον γίγνεται ὑγρότερον. καὶ κοῦφα δὴ καὶ βαρέα, καὶ πάσας πάντη μεταβολὰς δέχεται. μόνως γὰρ δή φαμεν κατὰ ταὐτὸν ταὐτὸ, καὶ ὡσαύτως ἀνάλογον προσγιγνόμενον καὶ ἀπογιγνόμενον, ἐάσει ταὐτὸν ὂν αὐτῷ σῶον καὶ ὑγιὲς μένειν. ὃ δ' ἂν πλημμελήσει τι, τούτων ἐκτὸς ἀπιὸν, ἢ προσιὸν, ἀλλοιότητας παμποικίλας, καὶ νόσους, φθοράς τε ἀπείρους παρέξεται. ὅτι μὲν οὖν ἐκ γῆς καὶ πυρὸς, ἀέρος τε
C καὶ ὕδατος, ἡ τοῦ σώματος ἡμῶν ἐστι σύστασις, ὅτι τε διὰ τὴν τούτων ἔνδειαν, ἢ πλεονεξίαν, ἢ μετάστασιν αἱ νόσοι γίγνονται, σαφῶς ἐδήλωσε.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Διὰ τί ὁ Πλάτων τὰ τέσσαρα πρῶτα σώματα οὐ καλήσειε στοιχεῖα.

ΔΟξει δ' ἐν τῷ μὴ καλεῖν αὐτὰ στοιχεῖα διαφέρεσθαι πρὸς Ἱπποκράτην. καίτοι γε οὐδ' ἐκεῖνος ὠνόμασεν
D αὐτὰ στοιχεῖα. μόνον δ' ὅτι τούτων συνιόντων καὶ κεραννυμένων, τὰ φυσικὰ γίγνεται σώματα, καὶ τούτων προσωτέρω χωρεῖν, ὁ μὲν Ἱπποκράτης οὐδεμίαν ἀνάγκην εἶναι φησὶ, πρακτικὴν, οὐ θεωρητικὴν μετερχόμενος τέχνην. ὁ δὲ Πλάτων ὡς ἂν τὴν θεωρητικὴν φιλοσοφίαν ἡγούμενος εἶναι τιμιωτάτην, οὐκ ἠρκέσθη μόναις ταῖς φαινομέναις ἐν τοῖς στοιχείοις δυνάμεσιν, ἀλλὰ καὶ τὴν αἰτίαν ἐπιζητεῖ τῆς γενέσεως αὐτῶν, ἄχρηστον ἰατρῷ σκέμμα. διὰ τί γὰρ ὑγραίνει μὲν τὸ ὕδωρ, καίει δὲ τὸ πῦρ, ἢ διὰ τί ῥεῖ μὲν τὸ ὕδωρ, ἄνω δὲ φέρεται τὸ πῦρ. ἑδραιοτάτη δὲ καὶ βαρυτάτη τῶν στοιχείων ἐστὶν ἡ γῆ. πρὸς τὰς τῶν
E νόσων ἰάσεις, οὐδὲν συντελεῖ. μόνον γὰρ ἀρκεῖ τῷ φυλάξοντι μὲν τὴν ὑγίειαν, ἰασομένῳ δὲ τὰς νόσους, ἐπίστασθαι, διά τε τὴν εὐκρασίαν τοῦ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ τὴν ὑγίειαν ὑπάρχειν τοῖς ζώοις. ἐπὶ δὲ ταῖς τούτων δυσκρασίαις, τὰς νόσους γίγνεσθαι. τὸ δ' ἐκζητεῖν, εἴτ' ἐκ πυραμοειδῶν τῷ σχήματι μορίων σύγκειται τὸ πῦρ, εἴτ' ἄλλη τίς ἐστιν αἰτία, δι' ἣν τέμνει τε καὶ διαιρεῖ τὰ πλησιάζοντα σώματα, τῆς θεωρητικῆς φιλοσοφίας ἔργον ἐστὶν, ἣν μεταχειριζόμενος ὁ Πλάτων, τὰ μὲν τοῦ πυρὸς μόρια, πυραμοειδῆ φησιν εἶναι, τὰ δὲ τῆς γῆς, κυβοειδῆ. τὸ δὲ καλού-
F μενον ὀκτάεδρον σχῆμα, τοῦ ἀέρος ἴδιον εἶναι νομίζει, καθάπερ καὶ τὸ εἰκοσάεδρον, ὕδατος. εἰ μὲν οὖν ὀρθῶς, ἢ οὐκ ὀρθῶς ἐδόξαζε περὶ τούτων ὁ Πλάτων, οὐκ ἔστι τοῦ νῦν ἡμῖν προκειμένου λόγου. διὰ τί γὰρ οὐκ ὀνομάζει στοιχεῖα γῆν καὶ ὕδωρ, ἀέρα τε καὶ πῦρ, ἐζητοῦμεν λόγον ἡμεῖς δοῦναι, ὡς εἴρηται, οὐκ εἰ ψευδῶς ἕκαστον ὧν εἶπε σχημάτων αὐτοῖς ἀπονέ-

μει. διαιρεῖ δὲ τῷ λόγῳ πάλιν αὐτὰ ταῦτα κατ' ἐπίνοιαν, εἴς τε τὴν ὕλην καὶ τὸ σχῆμα. κἄπειδὴ τὸ σχῆμα σύνθετόν ἐστι, τὸ μὲν τῆς πυραμίδος, ἐκ τεσσάρων ἰσοπλεύρων τριγώνων. τὸ δὲ ἑξάεδρον, τοῦ κύβου τετραγώνων ἕξ, τὸ δὲ ὀκτάεδρον, ὀκτὼ τριγώνων ἰσοπλεύρων, ὥσπερ γε καὶ τὸ εἰκοσάεδρον, εἴκοσι τριγώνων. πάλιν ἐπισκοπεῖται τῶν τὰ στερεὰ σχήματα περιοριζόντων ἐπιπέδων τὴν τάξιν, καί φησι, τὸ μὲν ἰσόπλευρον τρίγωνον, ἐκ τριγώνων ὀρθογωνίων δυοῖν γίνεσθαι. τὸ δὲ τετράγωνον, ἐκ τεττάρων. ἐπεὶ δὲ μηκέτι ἀνωτέρω προελθεῖν εἶχεν, ὡς ἐν ἐλαχίστοις ἵσταται τούτοις, καὶ διὰ τοῦτ' αὐτὰ προσαγορεύει στοιχεῖα, τὸ μὲν ἕτερον, ἰσοπλεύρου τριγώνου, τὸ δ' ἕτερον, τετραγώνου. παραγράψω δέ σοι καὶ τὰς ῥήσεις αὐτοῦ. προτέραν μὲν τὴν ἐπὶ τῆς πυραμίδος εἰρημένων ἔχουσαν ὧδε κατὰ λέξιν. ἀρξεῖ δὴ τότε πρῶτον μὲν εἶδος, καὶ σμικρότατον συνιστάμενον. στοιχεῖον δ' αὐτοῦ τὸ τὴν ὑποτείνουσαν τῆς ἐλάττονος πλευρᾶς, διπλασίαν ἔχον μήκει. δευτέραν δὲ ἐπὶ τῆδε, τὴν ἐπὶ τοῦ εἰκοσαέδρου, καὶ αὐτὴν οὕτως ἔχουσαν αὐτοῖς ὀνόμασι. τὸ δὲ τρίτον ἐκ δὶς ἑξήκοντα τῶν στοιχείων συμπαγέντων, στερεῶν δὲ γωνιῶν δώδεκα, ὑπὸ πέντε ἐπιπέδων τριγώνων ἰσοπλεύρων, περιεχομένης ἑκάστης εἴκοσι βάσεις, ἔχον τριγώνους ἰσοπλεύρους, γέγονε. νῦν μὲν οὖν τὰ συστατικὰ τρίγωνα τῶν ὁριζόντων ἐπιπέδων τὰ στερεὰ σχήματα, κέκληται στοιχεῖα. προσελθὼν δὲ καὶ αὐτὰ τὰ περιοριζόμενα σώματα πρὸς τῶν εἰρημένων ἐπιπέδων ὀνομάζει στοιχεῖα, γράφων οὕτως. ἔστω δὴ κατὰ τὸν ὀρθὸν λόγον καὶ κατὰ τὸν εἰκότα, τὸ μὲν τῆς πυραμίδος γεγονὸς στερεὸν εἶδος, πυρὸς στοιχεῖόν τε καὶ σπέρμα, τὸ αἰσθητὸν τουτὶ πῦρ ἄθροον ἄθροισμα νομίζειν μικρῶν εἶναι σωμάτων, τὸ σχῆμα πάντων ἐχόντων πυραμίδος ἐκείνων οὖν ἕκαστον στοιχεῖον εἶναί φησι τοῦ πυρός, ὡς εἰ καὶ τοῦ τῶν πυρῶν σωροῦ στοιχεῖον ἔλεγεν εἶναί τις ἕκαστον τῶν πυρῶν. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τὰ μὲν τῆς φωνῆς στοιχεῖα γεννᾶν πρώτας μὲν τὰς συλλαβάς, εἶτ' ἐξ αὐτῶν γεννᾶσθαι τό, τ' ὄνομα, καὶ τὸ ῥῆμα, καὶ τὴν πρόθεσιν, ἄρθρον τε καὶ σύνδεσμον, ἃ πάλιν ὁ Χρύσιππος ὀνομάζει τοῦ λόγου στοιχεῖα. ταυτὶ μὲν οὖν σοι, καίτοι γε οὐκ οὔσης ἀνάγκης, διῆλθον, ὅπως μή τις ἐριστικὸς ἐπηρεάζῃ μου τῷ λόγῳ, διαφέρεσθαι φάσκων ἐν τῷ περὶ τῶν στοιχείων δόγματι τὸν Πλάτωνα τῷ Ἱπποκράτει. τὴν ἀρχὴν μὲν γὰρ οὐδ' ὠνόμασεν Ἱπποκράτης στοιχεῖα τὴν γῆν, καὶ τὸ ὕδωρ, καὶ τὸν ἀέρα, καὶ τὸ πῦρ, ἀλλ' ἐξ αὐτῶν ἡμᾶς ἔφη συνεστάναι, μηκέτι ζητῶν διὰ τίνα αἰτίαν ἕκαστον αὐτῶν ἔχει δύναμιν ἰδίαν, ἣν ἐναργῶς ὁρῶμεν ἐν αὐτοῖς ὑπάρχουσαν. ὁ Πλάτων δὲ καὶ τοῦτ' ἐζήτησε πρὸς τῷ συγχωρεῖν ἐκ τῶν τεττάρων ἅπαντα τὰ γεννητά, καὶ φθαρτὰ σώματα συμπεπηγέναι.

rit. Cæterùm sermonis processu eadem hæc rursus diuidit secundum considerationem & rationem in materiam & figuram; ac quoniam figura composita est, pyramidis sanè ex quatuor æquilateribus triangulis: cubi sex bases siue sessus obtinens, quadrangulis sex; octo bases continens figura, octo triangulis æquilateribus; quemadmodum & viginti bases habens, viginti triangulis. Iterum inspicit ordinem planorum solidas figuras circunscribentium, ac ait æquilaterem triangulum ex triangulis rectangulis duobus procreari, quadrangulum ex quatuor. Quoniam verò non vlterius procedere poterat, tanquam in minimis his consistit, atque propter hoc ipsum elementa nuncupat, alterum æquilateris trianguli, alterum quadranguli. Sed ascribam tibi etiam verba ipsius, primùm quidem quæ de pyramide in hunc modum ad verbum dicta sunt. *Erit vtique prima species & minima constituta; elementum verò ipsius quod latus substratum breuiori latere duplò maius habet.* Secunda ad hæc quæ in figura viginti basibus composita habetur, ipsamque iisdem nominibus sic se habentem. *Tertia ex elementis bis sexaginta copulatis, & angulis solidis duodecim, quorum quilibet quinque planis triangulis æquilateribus continetur, habens viginti bases triangulas æquilateres, nascitur. Nunc igitur trianguli qui constituunt planos circunscribentes solidas figuras, elementa vocata sunt.* Progressus etiam ipse, quæ circunscribuntur corpora à prædictis planis angulis, elementa nominat, his verbis. *Igitur esto secundum rectam probabilémque rationem, pyramidis species solida ignis elementum, & semen; sensibilisque hic ignis cumulata paruorum corporum coaceruatio censeatur; quæ figuram pyramidis omnia habent.* Illa igitur singula ignis elementum esse affirmant, quemadmodum si etiam tritici aceruì elementum vnumquodque triticum aliquis esse diceret. Eademque ratione & vocis elementa generare primas syllabas, deinde ex ipsis gigni nomen, verbum, præpositionem, articulum, & coniunctionem. Quæ rursus Chrysippus appellat orationis elementa. Hæc itaque tibi, etsi non fuerit necessitas, retuli, ne aliquis contentiosus sermoni nostro insultet, dissentire pronuncians in dogmate de elementis Platonem ab Hippocrate, quum ne appellauerit quidem Hippocrates elementa terram, aquam, aërem, & ignem: verùm ex ipsis nos constare aiebat, non amplius inquirens propter quam causam singula ipsorum propriam habeant virtutem, quam euidenter in ipsis esse conspicimus. Plato autem & hoc disquisiuit, præterquam quod omnia corpora, quæ corruptioni & generationi subiecta sunt, ex quatuor illis conflata esse admittat.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὅπως ἐκ τῶν τεσσάρων στοιχείων συνίσταται τὰ σώματα, καὶ περὶ τῶν ἐξ Ἱπποκράτους τε καὶ Πλάτωνος ὑγιείας τε, καὶ νόσων αἰτιῶν.

CAPVT IV.

Quomodo ex quatuor elementis corpora constituantur, ac de causis morborum & sanitatis ex Hippocrate & Platone.

ΚΑὶ μὴν ὅτι γε κατὰ τὸν τρόπον ὃν ἐκ τῶν στοιχείων τὰ σώματα ἡμῶν συνίσταται, κατὰ τὸν αὐτὸν ἀμφότεροι λέγουσι, οὐ δήπου τῆς γῆς ὕδατι φυραθείσης, εἶτ' ἐν ἡλίῳ θερμανθείσης γεννᾶσθαι τὰ ζῷα φάσκοντες, ἀλλὰ διὰ πλειόνων τῶν μεταξὺ μεταβολῶν. ἐκ μὲν γὰρ τῶν τεττάρων στοιχείων, ἥ τε τῶν φυτῶν ἐστι γένεσις, οἵ τ' ἐξ

QVinetiam quomodo ex elementis corpora nostra constituuntur, ita ambo affirmant, non scilicet terra aqua conspersa, deinde in sole calefacta, animalia procreari pronunciantes, sed mediis pluribus mutationibus. Etenim ex quatuor elemẽtis & stirpiũ generatio est, & fructus ex ipsis,

ipsis & semina. Alimentum verò hæc omnia, ouibus, suibus, capris, bobus, aliisque animantibus, quæ herbas, aut arborum fructus, aut surculos aut radices comedunt, hominibus eadem hæc animantia alimenta sunt; atque hinc ipsis generantur sanguis, pituita, & bilis vtraque. Plurimus quidem sanguis, quare etiam solus in venis apparet; modicum verò ex aliis singulis. Atque hic est ipse sanguis generationis nostræ ceu materia, ex quatuor humoribus constans, ex dominio verò sic nuncupatus; nam ex eo procreamur in vtero concepti, & primam hinc conformationem accipimus, deinde partibus efformatis, articulationem, incrementum, & absolutionem, in lucem editi recipimus, ac primùm lacte nutrimur, originem ex sanguine habentes; deinde perfectis ac solidis ipsis alimentis, vnde rursus sanguis, pituita, bilis flaua & atra proueniunt. Intersit autem nihil ad præsentem disputationem, flauam an pallidam bilem nomines. Verùm hæc omnia Hippocrates omnium primus, quorum memoria ad nos peruenit, tum medicorum, tum philosophorum, accuratè definiuit, eóque morbos primorum corporum ex intemperie fieri dicebat. Quæ autem appellem prima corpora, priùs indicabo; ne quicquam in oratione sit obscurum. Etenim ipse Hippocrates non appellauit corpus primum aut secundum quemadmodum Aristoteles: Plato autem secundam quandam corporum consistentiam esse dicebat; prima verò ne ipse quidem nominauit, sed ex eo quòd secundam quandam dixerit, certum est ante eam posuisse eum alteram, quam nomine similarium Aristoteles ita nuncupauit, vt qui plenius de animantium partibus & earum generatione pertractauerit. Quantò enim quis exactiùs subtiliúsque naturam rerum quancunque elaborat, tantò pluribus nominibus vtatur necesse est. Quæ igitur in vna descriptione corpora comprehenduntur, subinde quidem similaria vocantur, eò quòd omnes ipsæ partes & inuicem, & toti sint similes; subinde verò simplices & primariæ, vtpote ex quibus compositæ & instrumentariæ dictæ constent, digiti, carpus totus, cubitus totus, brachiúmque totum. Item quæ respondent ipsis proportione, crurum partes, digiti, pes, tibia, femur; item oculus, lingua, cor, pulmo, omniáque viscera, & venter, & intestina ex instrumentariis partibus sunt, ex quibus rursus totum corpus componitur. Prima itaque generatio nostri est ex sanguine qui ex alimento, quod intra corpus assumitur, fit, est & semen. Sanguinem verò nomino qui ex dominio sic appellatur, qui etiam in venis contineri videtur. Ex his primariæ partes generantur cartilago, os, neruus, membrana, ligamentum, aliáq; eiusmodi. Deinde ex his oculus, lingua, caput, viscera, artus, atque ex his rursus totum corpus. Eóque Hippocrates in libello de natura humana, vnionem ex elementis omnium naturalium corporum communem esse protulit, ex qua ad animantium vnionem digressus est, atque horum non omnium, sed sanguineorum, inter quæ & homo existit. Scribit itaque de eo hunc in modum. *Corpus humanum in se continet sanguinem, pituitam, flauam bilem, & nigram; atque hæc est ipsius corporis natura, & propter ea dolet, & sanum est.*

αὐτῶν καρποί, καὶ τὰ σπέρματα. τροφὴ δὲ ταῦτα πάντα προβάτοις τε καὶ ὑσίν, αἰξί τε, καὶ βουσί, καὶ τοῖς ἄλλοις ζώοις ὁπόσα πόας, ἢ καρποὺς δένδρων, ἢ ἀκρέμονας, ἢ ῥίζας ἐσθίει. τοῖς δ' ἀνθρώποις, αὐτά τε ταῦτα τροφαὶ τὰ ζῶα, καὶ γίνεται δ' ἐν αὐτοῖς ἐκ τούτων αἷμα, καὶ φλέγμα, καὶ χολαὶ διτταί. πλεῖστον μὲν αἷμα, διὸ καὶ φαίνεται μόνον ἐν ταῖς φλεψίν. ἐλάχιστον δὲ τῶν ἄλλων ἑκάστου. καὶ τοῦτό ἐστιν αὐτὸ τὸ αἷμα τῆς γενέσεως ἡμῶν, ὡς ὕλη, τὸ συγκείμενον μὲν ἐκ τῶν τεσσάρων χυμῶν, κατ' ἐπικράτειαν δ' ὠνομασμένον οὕτως. γινόμεθα γὰρ ἐξ αὐτοῦ κατὰ τὰς μήτρας κυούμενοι, καὶ τήν τε πρώτην διάπλασιν ἐκ τούτου λαμβάνομεν. ἐφεξῆς δὲ ταύτῃ τὴν διαπλασθέντων μορίων, τήν τε διάρθρωσιν καὶ τὴν αὔξησιν, καὶ τὴν τελείωσιν ἀποκυηθέντες, καὶ πρῶτα μὲν τῷ γάλακτι τρεφόμεθα, τὴν γένεσιν ἐξ αἵματος ἔχοντες. μετὰ δὲ ταῦτα ταῖς αὐταῖς τελείοις τροφαῖς, ἐξ ὧν πάλιν αἷμα καὶ φλέγμα, καὶ χολὴ ξανθή, καὶ μέλαινα γίνονται. διαφερέτω δὲ μηδέν, εἰς τὰ παρόντα, ξανθὴν ἢ ὠχρὰν ὀνομάζειν χολήν. ἀλλὰ ταῦτά γε πάντα Ἱπποκράτης ἁπάντων πρῶτος, ὧν ἴσμεν ἰατρῶν τε καὶ φιλοσόφων ἀκριβῶς ὡρίσατο, καὶ διὰ τοῦτο τὰ νοσήματα, τῶν πρώτων σωμάτων κατὰ δυσκρασίαν ἔφη γίνεσθαι. τίνα δ' ὀνομάζω πρῶτα σώματα δηλώσω πρότερον, ὅπως μηδὲν ἀσαφὲς ᾖ κατὰ τὸν λόγον. αὐτὸς μὲν γὰρ Ἱπποκράτης οὐκ ὠνόμασε σῶμα πρῶτον, ἢ δεύτερον ὥσπερ Ἀριστοτέλης. ὁ δὲ Πλάτων δευτέραν μέν τινα σύστασιν εἶπεν εἶναι σωμάτων. πρώτην δ' οὐδ' αὐτὸς ὠνόμασεν, ἀλλ' ἐκ τοῦ δευτέραν τινὰ φάναι, δῆλός ἐστι πρὸ αὐτῆς ἑτέραν τιθέμενος, ἣν ὀνόματι τῷ τῶν ὁμοιομερῶν Ἀριστοτέλης οὕτως ὠνόμασεν, ὡς ἂν ἐπὶ πλέον πονεῖ τε τῶν ἐν τοῖς ζώοις μορίων, καὶ περὶ τῆς γενέσεως αὐτῶν διῆλθεν. ὅσον γὰρ ἄν τις ἀκριβέστερόν τε καὶ λεπτομερέστερον ἡντιναοῦν φύσιν πραγμάτων ἐξεργάζηται, τοσούτῳ πλειόνων ὀνομάτων αὐτῷ γίγνεται χρεία. τὰ τοίνυν ἐν μιᾷ περιγραφῇ σώματα, πολλάκις μὲν ὁμοιομερῆ καλεῖται τῷ πάντ' αὐτὰ τὰ μόρια, καὶ ἀλλήλοις ὑπάρχειν ὅμοια, καὶ τῷ παντί, πολλάκις δ' ἁπλᾶ, καὶ πρῶτα. καὶ γὰρ συντίθεται ἐξ αὐτῶν τὰ συνθετά τε καὶ ὀργανικὰ προσαγορευόμενα, δάκτυλοι καὶ καρπὸς ὅλος, καὶ πῆχυς ὅλος, καὶ βραχίων ὅλος. ἀνάλογον δ' αὖθις τὰ κατὰ τὰ σκέλη μόρια, δάκτυλοι καὶ πούς, καὶ κνήμη, καὶ μηρός, καὶ μὴν καὶ ὀφθαλμός, καὶ γλῶττα, καὶ καρδία, καὶ πνεύμων, ἅπαντά τε τὰ σπλάγχνα, καὶ ἡ γαστήρ, καὶ τὰ ἔντερα, τῶν ὀργανικῶν μορίων ἐστίν, ἐξ ὧν πάλιν ὅλον τὸ σῶμα συντίθεται. πρώτη μὲν οὖν ἐστι γένεσις ἡμῶν, ἐκ τοῦ αἵματος τοῦ γινομένου ἐκ τῆς λαμβανομένης τροφῆς εἴσω τοῦ σώματος, ἔστι δὲ καὶ σπέρμα. αἷμα δ' ὀνομάζω τὸ κατ' ἐπικράτειαν οὕτω καλούμενον, ὃ καὶ περιεχόμενον ὁρᾶται κατὰ τὰς φλέβας. ἐκ τούτων δὲ τὰ πρῶτα μόρια γίνεται, χόνδρος καὶ ὀστοῦν, καὶ νεῦρον, καὶ ὑμήν, καὶ σύνδεσμος, καὶ ὅσα τἆλλα τοιαῦτα. κἄπειτ' ἐκ τούτων ὀφθαλμός, καὶ γλῶττα, καὶ κεφαλή, καὶ τὰ σπλάγχνα, καὶ τὰ κῶλα, καὶ πάλιν ἐκ τούτων ὅλων τὸ σῶμα, καὶ διὰ τοῦτ' Ἱπποκράτης ἐν τῷ περὶ φύσιος ἀνθρώπου, τὴν ἐκ τῶν στοιχείων ἕνωσιν ἁπάντων τῶν φυσικῶν σωμάτων κοινὴν εἰπὼν ὑπάρχειν, ἐξ ἧς ἐπὶ τὴν τῶν ζώων μετέβη, καὶ τούτων οὐχ ἁπάντων, ἀλλὰ τῶν ἐναίμων, ἐν οἷς ἐστι καὶ ὁ ἄνθρωπος, ἐφ' ὃν ἑξῆς ὁ λόγος ἔσπευδεν αὐτῷ. καὶ τοίνυν φησὶ ὧδέ πως ὑπὲρ αὐτοῦ. τὸ δὲ σῶμα τοῦ ἀνθρώπου ἔχει ἐν ἑωυτῷ αἷμα, καὶ φλέγμα, καὶ χολὴν ξανθήν τε, καὶ μέλαιναν, καὶ ταῦτά ἐστιν αὐτῷ φύσις τοῦ σώματος, καὶ διὰ ταῦτ' ἀλγεῖ, καὶ ὑγιαίνει.

ὑγιαίνει μὲν οὖν μάλιστα, ὅταν μετρίως ἔχῃ ταῦτα τῆς πρὸς ἄλληλα δυνάμεως, καὶ τοῦ πλήθεος, καὶ μάλιστα μὲν μεμιγμένα ᾖ. ἀλγεῖ δ' ὅταν τι τούτων ἔλαττον, ἢ πλέον χωρισθῇ ἐν σώματι, καὶ μὴ κεκρημένον ᾖ τοῖσι πᾶσιν. ἀνάγκη γὰρ ὅταν τι τούτων χωρισθῇ, καὶ ἐφ' ἑωυτοῦ στῇ, οὐ μόνον τὸ χωρισθὲν ἐπίνοσον γίνεσθαι, ἀλλὰ καὶ ἔνθα ἂν στῇ, καὶ ἐπιχυθῇ, ὑπερεμπιπλάμενον, ὀδύνην τε καὶ πόνον παρέχειν. καὶ γὰρ ὅταν τι τούτων ἔξω τοῦ σώματος ἐκρυῇ πλέον τοῦ ἐπιπολάζοντος, ὀδύνην παρέχει, ἢ καὶ νόσον. ἤν τ' αὖθις ἔσω ποιήσηται τὴν κίνησιν, καὶ τὴν μετάστασιν, καὶ τὴν ἀπόκρισιν ἀπὸ τῶν ἄλλων, πολλή γ' αὐτῷ ἀνάγκη διπλῆν τὴν ὀδύνην παρέχειν κατὰ τὰ εἰρημένα, ἔνθα τε ἐξέστη, καὶ ὅθεν ὑπερέβαλεν. αὕτη μὲν ἡ τοῦ Ἱπποκράτους ῥῆσις, ἥν μοι δοκεῖ βουλόμενος ἀκολουθεῖν ὁ Πλάτων εἰπεῖν ἔνια τὰ μικρὸν ἀνωτέρω γεγραμμένα, περί τε τῶν τεσσάρων στοιχείων τῆς γενέσεως ἡμῶν, καὶ περὶ τοῦ καθόλου τρόπου τῶν νοσημάτων. ἀρχὴ δὲ τῆς ῥήσεώς ἐστιν ἥδε. τεττάρων γὰρ ὄντων τῶν γενῶν, ἐξ ὧν συμπέπηγε τὸ σῶμα, γῆς, πυρός, ὕδατός τε καὶ ἀέρος, ἀκριβέστερον φαίνεται, καὶ μέντοι, καὶ χρησιμώτερον ἰατρῷ περὶ αὐτῶν ὁ Ἱπποκράτης γεγραφώς. ἐκ μὲν γὰρ τῶν τεσσάρων στοιχείων φησὶ γεγονέναι τὸ σῶμα, καλῶν τοὔπιπαν ἀπὸ τῶν δραστικῶν ποιοτήτων αὐτά, τὸ μὲν ξηρόν, τὸ δ' ὑγρόν, καὶ τὸ μὲν θερμόν, τὸ δὲ ψυχρόν. οὐ μὴν κατ' ἐκεῖνα τὸν περὶ τῶν νοσημάτων λόγον ἐποιήσατο. δυνάμει μὲν γάρ ἐστιν ἐν τοῖς σώμασιν, ἐνεργείᾳ δὲ οὐκ ἔστιν. ἀλλὰ τὰ ἐξ αὐτῶν γεγονότα, διὰ μέσων τῶν τροφῶν αἷμα καὶ φλέγμα, καὶ ἡ ξανθὴ καὶ μέλαινα χολή. πυρὶ μὲν ἀνάλογον ἡ ξανθὴ χολή, ἡ δὲ μέλαινα τῇ γῇ. τὸ δὲ φλέγμα, τῷ ὕδατι, καὶ διὰ τοῦτο θερμὴ μὲν καὶ ξηρά, τὴν δύναμίν ἐστιν, ἡ ξανθὴ χολή, καθάπερ τὸ πῦρ. ψυχρὰ δὲ ἡ μέλαινα, καὶ ξηρὰ παραπλησίως τῇ γῇ, τὸ δὲ φλέγμα ψυχρόν, καὶ ὑγρόν, ὥσπερ τὸ ὕδωρ. μόνον δὲ τὸ ἀεροειδὲς στοιχεῖον ἐν τοῖς τῶν ζῴων σώμασιν ὁρᾶται πλησίον τῆς ἑαυτοῦ φύσεως, ἔν τε ταῖς ἀναπνοαῖς, καὶ κατὰ τοὺς σφυγμούς, ἤδη δὲ κἀν τοῖς παλμώδεσι πάθεσιν ἐμφυσήμασί τε καὶ οἰδήμασίν ἐστιν, ἔν τε ταῖς καλουμέναις πνευματώσεσιν. ἡ δ' ἐξ ἁπάντων τῶν τεττάρων στοιχείων σύμμετρος κρᾶσις, ἐγέννησε τὸ ἀκριβὲς αἷμα, καὶ βέλτιόν ἐστιν ἐπὶ τῶν χυμῶν λέγειν ἅπερ ὁ Πλάτων ἐπὶ τῶν στοιχείων ἔγραψεν. ἀλλ' ὁ Ἱπποκράτης προειπὼν τὸ δὲ σῶμα τοῦ ἀνθρώπου ἔχει ἐν ἑαυτῷ αἷμα, καὶ φλέγμα, καὶ χολὴν ξανθήν τε καὶ μέλαιναν, ἐφεξῆς φησι, καὶ διὰ ταῦτα ἀλγεῖ, καὶ ὑγιαίνει. τὸ μὲν ἀλγεῖ, κατ' ἐξοχὴν μεγάλου νοσήματος, ἐπὶ πάντων τῶν παρὰ φύσιν τάσσεται, τὸ δὲ ὑγιαίνει, κατὰ τὴν πρὸς τὰ παρὰ φύσιν ἀντίθεσιν πάντα, κἄπειτα πάλιν ἐφεξῆς ὅπως μὲν ὑγιαίνει διδάσκων φησίν. ὑγιαίνει μὲν οὖν μάλιστα ὅταν μετρίως ἔχῃ ταῦτα πρὸς ἄλληλα, δυνάμεως, καὶ τοῦ πλήθεος, καὶ μάλιστα μεμιγμένα ᾖ. τίνα ταῦτα; οὐ τὰ στοιχεῖα δήπουθεν, ἀλλὰ καὶ τὰ προσεχῶς γεννητικὰ τῶν τοῦ σώματος μορίων, αἷμα καὶ φλέγμα, καὶ δύο χολαί. ἀλγεῖ δέ φησιν ὅταν τι τούτων ἔλαττον ἢ πλέον ᾖ, ἢ χωρισθῇ ἐν τῷ σώματι καὶ μὴ κεκρημένον ᾖ τοῖσι πᾶσιν, ὅπερ ὁ Πλάτων παραφράζων ἔφη. καὶ τῆς χώρας μετάστασιν ἐξ οἰκείας ἐπ' ἀλλοτρίαν γιγνομένην. ἀλλ' ἐνταῦθα μέν, ὡς ἔφην, ἁμαρτάνει, προσθείς, πυρός τε καὶ τῶν ἑτέρων, ἐπεὶ καὶ γένη πλέονα ἑνὸς ὄντα τυγχάνει. ταῦτα γὰρ οὐκ ἔστι τὰ μεθιστάμενα, καὶ χώραν ἀμείβοντα κατὰ τὰ τῶν ζῴων σώματα, φλέγμα δὲ καὶ χολαί, καὶ αὐτὸ τὸ αἷμα. καὶ γὰρ καὶ τοῦτο πολλάκις εἰς ἀλλοτρίαν ἀφικόμενον ἕδραν, αἴτιον ὀλεθρίων νοσημάτων γίγνεται. ἄχρι μὲν οὖν

Sanum itaque potissimum est, quum hæc moderatè habuerint inter se facultate & copia, & maximè fuerint temperata. Dolet autem, quum aliquid horum minùs aut ampliùs separatum fuerit in corpore, & non sit omnibus contemperatum. Necesse enim, quum aliquid horum recesserit, & per se constiterit, non solùm locum ex quo recessit, morbidum euadere, sed eum etiam vbi constiterit, retineatúrque, nimis repletum, dolorem laborémque exhibere. Etenim quum aliquid horum extra corpus effluxerit plus quàm sit id quod superabundat dolorem exhibet; si rursus intrò agatur, transferatur, excernatúrque ab alijs, necesse omnino est vt duplicem in prædictis dolorem conciliet, & vnde excessit, & vbi exuperat. Hæc sanè Hippocratis oratio est, quam mihi videtur Plato imitatus, dicere illa quæ paulò superiùs de quatuor elementis, nostri generatione, & de generali morborum modo, comprehensa sunt. Initium orationis hoc est. *Quum enim quatuor sint genera ex quibus corpus compactum est, terra, ignis, aqua, & aër. Exactiùs videtur atque etiam vtilius medico Hippocrates de his scripsisse.* Etenim ex quatuor elementis corpus creatum esse dictitat, vocans omnino ea ab efficientibus qualitatibus aliud siccum; aliud humidum; aliud calidum; aliud frigidum. Non tamen secundum illa sermonem de morbis habuit. Potestate etenim sunt in corporibus; actu verò non sunt, verùm ex ipsis procreata alimentorum interuentu, sanguis, pituita, flaua, nigráque bilis. Igni sanè respondet flaua bilis; atra terræ; pituita aquæ. Ideóque calida & sicca facultate est flaua bilis, quemadmodum ignis, frigida autem atra & sicca, terræ consimiliter: pituita verò frigida & humida, quemadmodum aqua. At solùm aëreum instrumentum in animantium corporibus propinquum suæ ipsius naturæ videtur, & in respirationibus, & pulsibus: iam verò & in tremulis palpitantium modo affectibus, inflationibúsque, & laxis tumoribus, item in flatibus appellatis. At moderata ex omnibus quatuor elementis temperies, exactum sanguinem produxit, satiúsque est in humoribus dicere, quæ Plato in elementis conscripsit. Verùm Hippocrates præfatus, corpus hominis in se continet sanguinem, pituitam, bilem, flauam, & nigram; deinde ait, *& propter hæc dolet, & sanum est.* Dolet sanè, per excellentiam magni morbi, omnibus præter naturam ponitur; sanum est, per oppositionem eorum quæ præter naturam omnia existunt. Postea rursus quomodo sanum est edocens, inquit, *Sanum igitur est maximè, quum moderatè hæc inuicem facultate & copia habuerint, & præsertim si mixta sint.* Quæ hæc? non elementa nimirum, sed etiam quæ partes corporis continenter generant; sanguis, pituita, & vtraque bilis. Dolet autem, ait, quum aliquid horum parciùs aut copiosius fuerit, aut in corpore separatum est, & non omnibus contemperatum Quod Plato circumloquens dixit, *Et ex loco proprio in alienum translatio.* Verùm hîc, vt monui, aberrat, qui apposuerit ignis & aliorum; quoniam & genere plura vno existunt. Quippe hæc non transferuntur, locúmque in animantium corporibus mutant, sed pituita, bilis vtraque, ipséque sanguis; nam & hic subinde in alienam perueniens sedem, lethalium morborum causa efficitur. Quatenus igitur

igitur ampliora, aut minora singula quæ nos componunt, efficiantur, morbi constituuntur, communis ratio est tum in humoribus, tum in elementis: in eo autem quod secundum seipsum in vno corporis loco constiterit, non item similiter in vtrisque oratio vera est. Etenim humores manifestò videntur quacunque in corporis parte existant, morbos efficientes; erysipelata & herpetas, flaua bilis; cancros autem atra bilis, œdemata verò, pituita; porrò sanguis quum in pulmone & spatio inter thoracem & pulmonem ex propriis instrumentis effusus constiterit, putrescens, tempore procedente tabem efficit. Item in ventre & magnis vulneribus in grumum coalescens, extrema affert pericula. Terram verò nullibi per se videre est solam in corpore coaceruatam, quemadmodum neque ignem etiam per se solum, neque aquam elementum, sed quasdam sanies, inuicem permixtis, tum aquoso elemento, tum igneo, quæ non modò non pura synceráque, sed etiam crassitiem fæculentam assumpserint. Ita verò & flatulentus spiritus in animantibus generatur, aërea substantia humidum madorem assumente. Rectè igitur Hippocrates in humoribus scripsit, separatos ab aliis, & in vna quacunque parte subsistentes morborum fieri authores. Non rectè autem Plato in elementis idem dixit.

CAPVT V.

De secunda constitutione corporis humani ex quatuor humoribus, quódque humorum naturam diligentius quàm Plato pertractarit Hippocrates.

SAnè quomodo ex elementis similariũ & primorum corporum sanitas morbúsq; generetur, abundè & hęc sunt. Digrediamur autem ad subsequentem orationem in Timæo conscriptã, quam ante exposuimus quæ hoc pacto habet. *Ex secundis quoque compositionibus secundum naturam constitutis, secunda morborum consideratio id volenti cuique datur. Quum enim medulla ex illis, & os, & caro, & nerui constiterint, præterea sanguis alio quidem modo, sed ex eisdem creatus sit, cæteri sanè euentus plurimi, quemadmodum superiora contingunt, maximi verò morbi ac grauissimi hoc pacto coincidunt.* His rursus Plato rectè quidem dixit secundam omnium elementorum esse constitutionem medullæ, ossis, carnis, & nerui (hæc enim ex humoribus qui primam habēt generationem, procreantur) haud rectè autem cum ipsis enumerauit sanguinem, quum primam non secundam constitutionem habeat. Itaq; videtur mihi & ipse ad notionem dissimilitudinis sanguinis ab his, perueniens, nõ simpliciter dicere. Qũ enim medulla ex illis, & os, & caro & nerui cõstiterint, prȩterea sanguis adijcere sermoni videtur, alio quidem modo, sed ex eisdem creatus est. Nã fatetur in his non ex eadẽ consistẽtia quatuor elementorũ cum osse, medulla, carne, & neruo, sanguinem prouenisse, vt qui prior ipsis existat, cõmunem aliis humoribus generationẽ obtinens, ex quibus prima corpora cõstituũtur, medulla, caro, neruus, os, aliáque multa. Liber enim totus à me de similariũ corporũ differentia cõscriptus est At si quis Platonem interrogauerit, quisnã sit alius corporis generãdi modus, quẽ obscurè indicat, mirarer si aliũ quẽpiã prȩter eum qui ab Hippocrate traditus est, posset dicere.

τοῦ πλέον, ἢ ἔλαττον ἕκαστον τῶν συντιθέντων ἡμᾶς γιγνόμενον, αἱ νόσοι καθίστανται, κοινὸς ὁ λόγος ἐστὶν ἐπί τε τῶν χυμῶν, καὶ τῶν στοιχείων. ἐπὶ δὲ τοῦ καθ' ἑαυτό που στάντος ἔν τινι τόπῳ τοῦ σώματος, οὐκ ἔθ' ὁμοίως ἐπ' ἀμφοῖν ὁ λόγος ἀληθής. οἱ μὲν γὰρ χυμοὶ σαφῶς ὁρῶνται καθ' ὅ τι περ ἂν ἐν τῷ σώματι μορίῳ στῶσι, νόσους ἐργαζόμενοι. τὰ ἐρυσιπέλατα, καὶ τοὺς ἕρπητας, ἡ ξανθὴ χολή· τοὺς καρκίνους δὲ ἡ μέλαινα· τὰ δ' οἰδήματα τὸ φλέγμα· τὸ δ' αἷμα, κατά τε τὸν πνεύμονα, καὶ μεταξὺ θώρακός τε καὶ πνεύμονος, ὅταν ἐκχυθὲν τῶν οἰκείων ὀργάνων στῇ σηπόμενον, ἐν τῷ χρόνῳ φθορὰς ἐργάζεται, καὶ κατὰ γαστέρα, καὶ κατὰ τὰ μεγάλα τῶν τραυμάτων θρομβούμενον, ἐσχάτοις κινδύνοις ἐπιφέρει. γῆν δ' οὐδαμοῦ καθ' ἑαυτὴν ἰδεῖν ἐστι μόνην ἐν τῷ σώματι ἀθροισθεῖσαν, ὥσπερ οὐδὲ πῦρ αὖ καθ' ἑαυτὸ μόνον, οὐδ' ὕδωρ στοιχεῖον, ἀλλ' ἰχῶράς τινας, ἐπιμιχθέντων ἀλλήλοις, τοῦ θ' ὑδατώδους στοιχείου, καὶ τοῦ πυρώδους, οὐ μόνον οὐκ εἰλικρινῶν, ἀλλὰ καὶ πάχους ἰλυώδους προσλαβόντων. οὕτω δὲ καὶ τὸ φυσῶδες πνεῦμα γεννᾶται κατὰ τὰ ζῶα, προσλαβούσης γε τῆς ἀερώδους οὐσίας ὑγρὰν ἰκμάδα. καλῶς μὲν οὖν Ἱπποκράτης ἐπὶ τῶν χυμῶν ἔγραψεν, τοὺς χωριζομένους τε τῶν ἄλλων, καὶ καθ' ἓν ὁποιονοῦν ἱσταμένους μόριον αἰτίους γίγνεσθαι νοσημάτων. οὐκ ὀρθῶς δὲ ὁ Πλάτων ἐπὶ τῶν στοιχείων εἶπεν αὐτό.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ δευτέρας τοῦ ἀνθρωπίνου σώματος ἐκ τῶν τεττάρων χυμῶν συστάσεως, καὶ τὴν τῶν χυμῶν οὐσίαν ἀκριβέστερον Ἱπποκράτει τοῦ Πλάτωνος διέρχεσθαι.

ΠΕρὶ μὲν δὴ τῆς ἐκ στοιχείων γενέσεως, ὑγιείας τε καὶ νόσου τῶν ὁμοιομερῶν, καὶ πρώτων σωμάτων ἱκανὰ καὶ ταῦτα. μεταβῶμεν δ' ἐπὶ τὴν ἑξῆς ῥῆσιν ἐν τῷ Τιμαίῳ γεγραμμένην, ἣν φθάνομεν ἐξηγεῖσθαι κατὰ λέξιν οὕτως ἔχουσαν. δευτέρων δὴ συστάσεων αὖ κατὰ φύσιν συνεστηκυιῶν, δευτέρα κατανόησις νοσημάτων τῷ βουλομένῳ συννοῆσαι γίνεται. μυελοῦ γὰρ ἐξ ἐκείνων, ὀστοῦ τε, καὶ σαρκὸς, καὶ νεύρου συμπαγέντος, ἔτι τε αἵματος, ἄλλον μὲν τρόπον, ἐκ δὲ τῶν αὐτῶν γεγονότος, τῶν μὲν ἄλλων τὰ πλεῖστα ἧπερ τὰ πρόσθεν, τὰ δὲ μέγιστα τῶν νοσημάτων τῇδε χαλεπὰ συμπέπτωκε. τούτοις πάλιν ὁ Πλάτων ὀρθῶς μὲν ἔφη δευτέραν ἁπάντων στοιχείων εἶναι σύστασιν, μυελοῦ καὶ ὀστοῦ, καὶ σαρκὸς, καὶ νεύρου. ταῦτα γὰρ ἐκ τῶν χυμῶν γίνεται, τὴν πρώτην ἐχόντων γένεσιν. οὐκ ὀρθῶς δὲ αὐτοῖς συγκατέλεξε τὸ αἷμα πρώτην ἔχον, οὐ δευτέραν σύστασιν. εἰς ἔννοιαν οὖν μοι δοκεῖ, καὶ αὐτὸς ἀφικόμενος τῆς ἀνομοιότητος τοῦ αἵματος πρὸς ταῦτα, μὴ ἁπλῶς εἰπεῖν. μυελοῦ γὰρ ἐξ ἐκείνων ὀστοῦ τε, καὶ σαρκὸς, καὶ νεύρου συμπαγέντος, ἔτι τε αἵματος, ἀλλὰ προσθεῖναι τῷ λόγῳ καὶ τὸ, ἄλλον μὲν τρόπον, ἐκ δὲ τῶν αὐτῶν γεγονότος. ὁμολογεῖ γὰρ ἐν τούτοις οὐ κατὰ τὴν αὐτὴν σύστασιν ἐκ τῶν τεττάρων στοιχείων, ὀστῷ καὶ μυελῷ καὶ σαρκὶ, καὶ νεύρῳ γεγονέναι τὸ αἷμα. πρότερον γὰρ αὐτῶν ἐστι κοινὴν τοῖς ἄλλοις χυμοῖς ἔχον τὴν γένεσιν, ἐξ ὧν συνίσταται τὰ πρῶτα σώματα, μυελὸς, καὶ σὰρξ, καὶ νεῦρον, καὶ ὀστοῦν, ἕτερά τε πολλά. βιβλίον γὰρ ὅλον ἐμοὶ γέγραπται περὶ τῆς τῶν ὁμοιομερῶν σωμάτων διαφορᾶς. εἰ δέ τις ἐρωτήσει τὸν Πλάτωνα, τίς ἕτερος τρόπος ἐστὶ τῆς τοῦ σώματος γενέσεως, ὃν αἰνίττει, θαυμάζοιμ' ἂν εἰ ἄλλον τινὰ παρὰ τὸν ὑφ' Ἱπποκράτους εἰρημένον ἔχει εἰπεῖν.

ἐπὶ πλεῖστον γὰρ ὁ ἀνὴρ οὗτος ἐξείργασται. τά τε περὶ γενέσεως τῶν χυμῶν, καὶ διαφορᾶς, καὶ δυνάμεως, ὅστις τε καθ' ἥν τινα χώραν, ἢ ὥραν, ἢ ἡλικίαν, ἢ σώματος ἕξιν ἐπικρατεῖ. οὐ μὴν ἀναγκαῖον ἦν Πλάτωνι ταῦθ' ὁμοίως Ἱπποκράτει διέρχεσθαι πάντα, καθάπερ οὐδ' Ἱπποκράτει ζητεῖν, διά τι λευκὸς μὲν ὁ τοῦ φλέγματος χυμός. ἐρυθρὸς δ' ὁ τοῦ αἵματος, ἢ ξανθὸς ὁ τῆς πικρᾶς χολῆς, ἢ μέλας ὁ τῆς ὀξείας. ἀφορμὰς μὲν γὰρ αὐτὸς ἔδωκε τῆς τούτων εὑρέσεως, ὥσπερ ὅταν ἐκ τῶν τῆς γλώττης χρωμάτων διαγινώσκῃ τὰς ἐν τῷ σώματι διαθέσεις, μελαίνας λέγων αὐτὰς ἀπὸ ἐγκαύσεως λιγνυώδους γίγνεσθαι. καθάπερ γὰρ ἐκτὸς ἡ λιγνὺς κατά τε τοὺς λύχνους, καὶ τὰς δᾷδας, καὶ ἄλλα πολλὰ τῶν λιπαρῶν γίνεσθαι πέφυκεν, οὕτω καὶ κατὰ τὰ σώματα τῶν ζώων πολλάκις ὑπεροπτηθέντων τῶν χυμῶν, καὶ μάλιστα τῶν λιπαρῶν, γίνεταί τι παραπλήσιον λιγνύϊ. τὸ μὲν δὴ λευκὸν φαίνεσθαι τὸ φλέγμα, διότι κατὰ τὴν γένεσιν αὐτοῦ μικραὶ πολλαὶ πομφόλυγες ἐναπολαμβάνονται, λέγειν Ἱπποκράτης οὐκ ἐτόλμησεν, ὡς μείζονος ἤδη φυσιολογίας, ἢ κατὰ τέχνην ἰατρικήν, ἀλλ' ὅ, τε Πλάτων, καὶ τοῦτ' εἶπεν. καὶ περὶ τῆς τοῦ αἵματος χρόας ἐν ταὐτῷ βιβλίῳ διῆλθεν, ἃ νῦν ἐμοὶ γράφειν οὐκ ἀναγκαῖον. ἄμεινον γὰρ ὡς ἀξιοῦσιν ἔνιοι τῶν φίλων, ἐξηγήσεις ἑτέρωθι ποιήσασθαί με τῶν ἰατρικῶν ἐν τῷ Τιμαίῳ γεγραμμένων. εἰς μὲν γὰρ τἄλλα πολλοῖς ὑπομνήματα γέγραπται, καί τισί γ' αὐτῶν μακρότερον τοῦ προσήκοντος· εἰς ταῦτα δ' ὀλίγοι τε καὶ οὐδ' οὗτοι καλῶς ἔγραψαν. ἀρκεῖ τοιγαροῦν, ἔν γε τῷ παρόντι, τό γε τοσοῦτον εἰπεῖν, ὡς τοὺς τέτταρας χυμοὺς ὁ Πλάτων αἰτιᾶται τῶν πλείστων νοσημάτων ὡσαύτως Ἱπποκράτει, καὶ καθ' ἕκαστόν γε αὐτῶν ἔγραψεν ἐπὶ τῇ τελευτῇ τοῦ βιβλίου. παραθήσομαι δέ σοι τὰς ἀρχὰς τῶν ῥήσεων ἀναμνήσεως ἕνεκα. περὶ μὲν οὖν τῆς ἐν ταῖς χολαῖς διαφορᾶς, ἀρκέσει παραγράψαι ταῦτα. ὅσον μὲν οὖν ἂν παλαιότατον ὂν τῆς σαρκὸς τακῇ, δύσπεπτον γιγνόμενον, μελαίνει μὲν ὑπὸ πολλῆς συγκαύσεως, διὰ δὲ τὸ πάντῃ διαβεβρῶσθαι πικρὸν ὄν, πάντῃ χαλεπὸν προσπίπτει τοῦ σώματος ὅσον ἂν μήπω διεφθαρμένον ᾖ. καί ποτε μὲν ἀντὶ τῆς πικρότητος, ὀξύτατον ἔσχε τὸ μέλαν χρῶμα, ἀπολεπτυνθέντος μᾶλλον τοῦ πικροῦ. ποτὲ δ' ἡ πικρότης αὖ βαφεῖσα αἵματι, χρῶμα ἔσχεν ἐρυθρότερον. τοῦ δὲ μέλανος τούτῳ συγκεραννυμένου, χλοῶδες. ἔτι δὲ συμμίγνυται ξανθὸν χρῶμα μετὰ τῆς πικρότητος, ὅταν νέα συντακῇ σὰρξ ὑπὸ τοῦ περὶ τὴν φλόγα πυρός, καὶ τὸ μὲν κοινὸν ὄνομα πᾶσι τούτοις, ἥν τινες ἰατρῶν που χολὴν ἐπωνόμασαν, ἢ καί τις ὢν δυνατὸς εἰς πολλὰ μὲν καὶ ἀνόμοια βλέπειν. ὁρᾶν δὲ ἐν αὐτοῖς ἓν γένος ἐνὸν ἄξιον ἐπωνυμίας πᾶσι. τὰ δ' ἄλλα ὅσα χολῆς εἴδη λέγεται παρὰ τὴν χρόαν, λόγον ἔσχεν αὐτῶν ἕκαστον ἴδιον. ταῦτα μὲν οὖν τῷ Πλάτωνι γέγραπται περὶ τῆς τῶν χολῶν διαφορᾶς πάσας αὐτὰς γίγνεσθαι βουλομένῳ, καθάπερ ὁ Ἱπποκράτης εἶπε διὰ θερμασίας ὑπερβολήν. περὶ δὲ τῶν νοσημάτων ὅσα διὰ χολὴν γίγνεται, τὸν λόγον ποιούμενος ὁ Πλάτων, ὧδέ πως ἄρχεται. ὅσα δὲ φλεγμαίνειν λέγεται, τοῦ σώματος ἀπὸ τοῦ καίεσθαί τε καὶ φλέγεσθαι διὰ χολὴν γέγονε πάντα. καὶ μὴν καὶ περὶ φλέγματος ὧδέ πως ἤρξατο. φλέγμα δ' ὀξὺ καὶ ἁλμυρόν, πηγὴ πάντων νοσημάτων ὅσα γίγνεται καταρροϊκά. καὶ περὶ μελαίνης χολῆς ἄλλα τέ τινα λέγει, καὶ ταῦτα. ἰχὼρ δή, ὁ μὲν αἵματος ὀρρός, πρᾶος, ὁ δὲ μελαίνης χολῆς ὀξὺς καὶ ἄγριος. οὐ μόνος δὲ Πλάτων, ἀλλὰ καὶ Ἀριστοτέλης, καὶ Θεόφραστος, οἵ τε ἄλλοι μαθηταὶ Πλάτωνός τε καὶ Ἀριστοτέλους, οἱ τὸν περὶ τῶν χυμῶν λόγον ἐζήλωσαν Ἱπποκράτους, ὥσπερ γε καὶ τῶν παλαιῶν ἰατρῶν,

A Plenissimè enim vir hic elaborauit ea quæ de humorum generatione, & differentia, & facultate disputantur. Item qui in qualibet regione, aut anni tempore, aut ætate, aut corporis habitu excellit. Non tamen necessarium erat Platoni, hæc similiter ac Hippocrates pertractare omnia; quemadmodum neque Hippocrati quærere cur albus quidem pituitæ humor; ruber autem, sanguinis, aut flauus, amaræ bilis; aut niger acidæ. Etenim occasiones horum inuentionis ipse præstitit, sicuti quum ex linguę coloribus corporis dispositiones cognoscit, nigras dicens ipsas ex adustione fuliginosa fieri. Quemadmodum enim extrinsecus B fuligo in lucernis, facibus, aliisq. plerisq; pinguibus generari solet, ita etiam in animantiū corporibus frequēter humoribus supra modum adustis, & prę sertim pinguibus, simile quippiam fuligini gignitur. Quod sanè pituita alba appareat, eò quòd in generatione ipsius exiguæ multæ bullæ excitantur, Hippocrates dicere ausus non est, ceu maioris iam naturæ contemplationis sit, quàm ad artem medicam pertineat. Verùm Plato & hoc exposuit, & de sanguinis colore in eodem libro percensuit, quę nunc mihi scribere non est necessarium. Prę stat enim, vt nonnulli amicorum cen- C sent, interpretationes medicinalium, quæ in Timæo cōprehensa sunt, alio in loco aggredi. Quippe in alia multi commentarios scripserunt, ac nōnulli ipsorum prolixiùs quàm par est, in hæc autē pauci, neq; hi rectè scripserunt. Abundè igitur in præsentia est, tantùm dicere, quòd Plato humoribus plurimos morbos, similiter ac Hippocrates, tanquam authoribus tribuit, ac de singulis ipsis ad calcem libri conscripsit. Initia verborum tibi apponam, quo in memoriam reuoces. Itaq. de vtriusque bilis differētia hęc ascripsisse sufficiet. *Portio itaque carnis vetustissima vbi colliquescit, ad conco-* D *ctionem contumax, nigrescit præ multa adustione. Quæ verò vndequaq; erosa est, penitúsque exesa, quum amara existat, omnibus corporis partibus nondum corruptis, molesta grauisque incidit, & tunc quidem loco amaritudinis, maximè acidum nigrum colorem obtinet, eò quòd amarum fuit, magis extenuato. Tunc verò amaritudo rursus sanguine tincta, colorem habet rubrum magis; nigro autem huic contemperato viridem. Præterea flauus color cum amaritudine miscetur, quando noua caro ab igne, qui circa flammam est, colliquescit, & nomen quidem omnibus his commune, quam nonnulli medicorum bilem nuncuparunt, vel etiam aliquis qui multa & dissimilia poßit dispicere, ac genus* E *vnum in ipsis videre, quod omnibus cognomento dignum sit. Quæ verò aliæ bilis species dicuntur, preter colorem, rationem singulis ipsarum propriam obtinent.* Hæc igitur à Platone scripta sunt de vtriusque bilis differentia, qui omnes easdem generari velit, quemadmodum Hippocrates dixit, ex caloris excessu. At de morbis qui ex bile fiunt, Plato sermonem instituens, hoc pacto orditur. *Quæ autem inflammari dicuntur in corpore, propter vstionem incendiúmque bilis omnia fiunt.* Quinetiam de pituita hoc modo incipit. *Pituita acida atque salsa, fons omnium morborum est,* F *qui destillatione creantur.* Ac de atra bile, tum alia quædam, tum hæc tradit. *Sanies quidem, sanguinis serum mitis est; atræ verò bilis, acida & fera.* Verùm non solus Plato, sed etiam Aristoteles & Theophrastus, aliiq. Platonis, & Aristotelis discipuli, qui sermonem Hippocratis de humoribus imitati sunt; quemadmodum & veterum medicorum

rum probatissimi, Diocles, Plistonicus, Mnesitheus, Praxagoras, Philotimus, Herophilus. Erasistratus autem cum Cois contendere notus est, vt alibi ostendimus, non veri studiosus; eóque veritus pronunciare calidum, aut frigidum, aut humidum, aut siccum, aliquem humorem. At Hippocrates in libro de natura humana, præter alia, etiam ordinem disciplinæ meliùs Platone effecit. Quòd enim quatuor humores secundum naturam sint, demonstrauit, id quod Plato facere ne aggressus quidem est. Item quod in anni temporibus, alius in alio redundat. Apponam autem tibi etiam de hoc pauca ipsius verba. *Affirmo quæcunque hominem esse dixerim, hæc semper eadem esse me ostensurum, & secundum legem, & secundum naturam; dico autem esse sanguinem, pituitam, bilem flauam, & nigram. Horum primum secundum legem nomina distingui pronuncio, & nulli ipsorum idem nomen. Deinde secundum naturam species separari, & neque pituitam vllam similem esse sanguini, neque sanguinem bili, neque bilem pituitæ. Quomodo enim similia hæc essent inuicem, quæ nec colore ad visum, nec substantia ad tactum similia esse videntur; neque enim calida similiter sunt, neque frigida, neque sicca, neque humida. Quare necesse est, quoniam tantùm inter se differunt, specie & facultate non vnum ipsa esse. Siquidem non ignis & aqua idem sunt. Cognosces autem quod non vnum omnia hæc sint, sed singula vim habeant & naturam propriam, hac ratione. Si enim alicui homini dederis medicamentum quod pituitam educit, euomet tibi pituitam; & si exhibeas medicamentum quod bilem purgat, euomet tibi bilem. Pari modo & atram bilem purgat, si dederis medicamentum quod atram bilem elicit. Ac si vulneraueris rursus corporis partem aliquam, vt vulnus fiat, profluet inde sanguis. Atque hæc omnia fient quouis die ac nocte, hyeme & vere, vsque dum possit spiritum ad se attrahere, & rursus emittere, donec aliquo horum connatorum destituatur. Connata autem sunt hæc prædicta, quomodo enim non connata sint? Primùm siquidem homo hæc omnia semper, quoad vita fruitur, in se continet. Deinde facta sunt ex homine, omnia hæc possidente. Post nutrita sunt in homine, omnia hæc obtinente, quæ ego & dico, & demonstro.* His Hippocrates quatuor humores secundum naturam in nobis esse demonstrauit, & non, sicut nonnulli putant, solùm sanguinem. Item ex abundanti rursus corripit in subsequentibus eos qui vnum aliquod horum hominem esse tuentur, vt etiam superiùs comprehensis coarguit eos qui vnum elementum generationi & corruptioni subiacentium esse dictitabant; de quorum demonstratione, vt dixi, tractatum à me in illo libro est, qui de elementis secundum Hippocratem inscriptus est. Atque hunc totum sermonem Plato omisit: Hippocrates autem, vt prædixi, in iis quæ superiùs comprehensam orationem sequuntur, percensuit. Sufficiet autem mihi solùm ipsius initium ascribere, quod hunc in modum habet. *Qui hominem vnum esse ducunt, videntur mihi ita sentire, quod ex iis qui assumptis medicamentis in purgationibus perierint, alios bilem vomere, alios pituitam, conspicati, putauerint vnumquodque id esse hominem, quod eum qui purgaretur morientem reiicere viderent. Item qui sanguinem esse hominẽ pronunciarunt, eiusdem sunt sententiæ; nam conspicientes in homini-*

οἱ δοκιμώτατοι, Διοκλῆς, Πλειστόνικος, Μνησίθεος, Πραξαγόρας, Φιλότιμος, Ἡρόφιλος. Ἐρασίστρατος δὲ δῆλός ἐστι πρὸς τοὺς ἀπὸ Κῶ φιλοτιμούμενος, ὡς ἐν ἑτέροις ἐδείξαμεν, οὐκ ἀλήθειαν τιμῶν, καὶ διὰ τοῦτο δεδιὼς φθέγξασθαι θερμὸν, ἢ ψυχρὸν, ἢ ὑγρὸν, ἢ ξηρὸν τινὰ τῶν χυμῶν. ὁ δ' Ἱπποκράτης ἔν γε τῷ περὶ φύσεως ἀνθρώπου βιβλίῳ, τά τ' ἄλλα καὶ τὴν τάξιν τῆς διδασκαλίας ἄμεινον ἐποιήσατο Πλάτωνος. ὅτι τε γὰρ οἱ τέσσαρες χυμοὶ κατὰ φύσιν εἰσὶν, ἀπέδειξεν, οὐδ' ἐπιχειρήσαντος τοῦτο πρᾶξαι τοῦ Πλάτωνος, ὅτι τε κατὰ τὰς ὥρας τοῦ ἔτους ἄλλος ἐν ἄλλῃ πλεονάζει. παραθήσομαι δέ σοι, καὶ περὶ τούτου ὀλίγα τῶν ῥήσεων αὐτοῦ. εἶπον δὲ, ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι ἀποφανεῖν αἰεὶ ταῦτα ἐόντα, καὶ κατὰ νόμον, καὶ κατὰ φύσιν, φημὶ δ' εἶναι αἷμα καὶ φλέγμα, καὶ χολὴν ξανθήν τε καὶ μέλαιναν. τουτέων πρῶτον μὲν κατὰ τὸν νόμον τὰ ὀνόματα διῃρῆσθαί φημι, καὶ οὐδενὶ αὐτέων τωὐτὸ ὄνομα, ἔπειτα κατὰ φύσιν τὰς ἰδέας κεχωρίσθαι, καὶ οὔτε τὸ φλέγμα οὐδὲν ἐοικέναι τῷ αἵματι, οὔτε τὸ αἷμα τῇ χολῇ, οὔτε τὴν χολὴν τῷ φλέγματι. πῶς γὰρ ἂν ἐοικότα εἴη ταῦτ' ἀλλήλοισιν, ὧν οὔτε τὰ χρώματα ὅμοια φαίνεται προσορώμενα, οὔτε τῇ χειρὶ ψαυούσῃ ὅμοια δοκέει εἶναι. οὔτε γὰρ θερμὰ ὁμοίως ἐστὶν, οὔτε ψυχρὰ, οὔτε ξηρὰ, οὔτε ὑγρά. ἀνάγκη τοίνυν, ὅτι τοσοῦτον διήλλακται ἀλλήλων, τὴν ἰδέαν τε καὶ τὴν δύναμιν, μὴ ἓν αὐτὰ εἶναι, εἴπερ μὴ πῦρ τε καὶ ὕδωρ ταὐτόν ἐστι, γνοίης δ' ἂν τοῖσδε. ὅτι οὐχ ἓν ταῦτα πάντα ἐστὶν, ἀλλ' ἕκαστον αὐτέων ἔχει δύναμίν τε καὶ φύσιν τὴν ἑωυτοῦ. εἰ γάρ τινι διδοίης ἀνθρώπου φάρμακον, ὅ,τι φλέγμα ἄγει, ἐμέεταί σοι φλέγμα, καὶ ἢν διδοῖς φάρμακον ὅ,τι χολὴν ἄγει, ἐμέεταί σοι χολήν. κατὰ ταὐτὰ δὲ καὶ χολὴ μέλαινα καθαίρεται, ἢν διδῷς φάρμακον ὅ,τι χολὴν μέλαιναν ἄγει, καὶ ἢν τρώσῃς αὖ σοῦ τοῦ σώματος μέρος τι, ὥστε ἕλκος γενέσθαι, ῥυήσεται αὐτῷ αἷμα, καὶ ταῦτα ποιήσει πάντα πᾶσαν ἡμέραν, καὶ νύκτα, καὶ χειμῶνος, καὶ ἦρος, μέχρις ἂν δυνατὸς ᾖ τὸ πνεῦμα ἕλκειν εἰς ἑωυτὸν, καὶ πάλιν μεθιέναι, καὶ δυνατὸς ἔσται, ἔστ' ἂν τινος τούτων στερηθῇ τῶν συγγεγονότων. συγγέγονε δὲ ταῦτα τὰ εἰρημένα. πῶς γὰρ οὐ συγγέγονε; πρῶτον μὲν φανερῶς ἐστιν ἄνθρωπος ἔχων ἐν ἑωυτῷ πάντα ταῦτα ἀεὶ ἕως ἂν ζῇ, ἔπειτα δὲ γέγονεν ἐξ ἀνθρώπου πάντα ταῦτα ἔχοντος, ἔπειτα τέθραπται ἐν ἀνθρώπῳ πάντα ταῦτα ἔχοντι, ἅ ἐγώ τε φημι, καὶ ἀποδείκνυμι. διὰ τούτων ὁ Ἱπποκράτης ἀπέδειξε τοὺς τέτταρας χυμοὺς κατὰ φύσιν ἐν ἡμῖν εἶναι, καὶ οὐχ ὥσπερ ἔνιοι νομίζουσι τὸ αἷμα μόνον, ἐκ περιουσίας τε πάλιν ἐλέγχων διὰ τῶν ἑξῆς τοὺς ἓν ὁτιοῦν τούτων εἰπόντας εἶναι τὸν ἄνθρωπον, ὡς καὶ διὰ τῶν ἔμπροσθεν ἤλεγξε τοὺς ἓν εἰπόντας εἶναι τὸ στοιχεῖον τῶν ἐν γενέσει καὶ φθορᾷ σωμάτων, ὑπὲρ ὧν τῆς ἀποδείξεως, ὡς ἔφην, γέγραπταί μοι κατ' ἐκεῖνο τὸ βιβλίον, ὃ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐπιγέγραπται. καὶ τοῦτον οὖν τὸν λόγον ὁ Πλάτων ἅπαντα παρέλιπεν, ὁ δ' Ἱπποκράτης, ὡς ἔφην, διῆλθε διὰ τῆς ἐφεξῆς τῇ προγεγραμμένῃ ῥήσει. μόνην δ' ἀρκέσει μοι τὴν ἀρχὴν αὐτῆς παραγράψαι, κατὰ λέξιν οὕτως ἔχουσαν. οἱ δὲ λέγοντες ὡς ἕν ἐστιν ὁ ἄνθρωπος, δοκέουσί μοι ταύτῃ τῇ γνώμῃ χρῆσθαι. ὁρῶντες τοὺς πίνοντας ἀνθρώπους τὰ φάρμακα ἀπολλυμένους ἐν τῇσι καθάρσεσι, τοὺς μὲν χολὴν ἐμέοντας, τοὺς δέ τινας φλέγμα, τοῦθ' ἕκαστον αὐτῶν ἐνόμισαν εἶναι τὸν ἄνθρωπον, ὅτι καθαιρόμενον εἶδον ἀποθανόντα. καὶ οἱ τὸ αἷμα φάντες εἶναι τὸν ἄνθρωπον, τῇ αὐτῇ γνώμῃ χρῶνται, ὁρῶντες ἀποσφαζομένους τοὺς ἀνθρώ-

ποις, καὶ τὸ αἷμα καταῤῥέον ἐκ τοῦ σώματος, τοῦτο νομίζουσιν εἶναι τὴν ψυχὴν τῶν ἀνθρώπων, καὶ μαρτυρίοισι τούτοισι χρέωνται ἐν τοῖσι λόγοισι. Ταῦτα προειπὼν ὁ Ἱπποκράτης, ἐφεξῆς ἐλέγχει τὴν δόξαν τῶν οὕτως ὑπολαμβανόντων, ἅπερ εἴ τις μέλλει πάντα ἀναγιγνώσκειν ἐκ τοῦ περὶ φύσιος ἀνθρώπου βιβλίου, πάρεστιν αὐτῷ. τὸ γὰρ σύγγραμμα παρὰ πᾶσιν ἀνθρώποις ἐστί.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Ὅτι κατὰ τὰς ὥρας τοῦ ἔτους, καὶ κατὰ τὰς ἡλικίας, ἄλλος ἐν ἄλλῃ πλεονάζει χυμός, καὶ τἄλλα νοσήματα κατὰ τὸν Ἱπποκράτην· καὶ ὅτι ὁ Πλάτων οὐχ ἕπεται αὐτῷ.

Ἐγὼ δὲ μήκους φειδόμενος, ἐπὶ τὰ συνεχῆ τοῦ λόγου τρέψομαι. μετὰ γὰρ τὸ κατασκευάσαι τοὺς τέτταρας χυμοὺς ἡμῖν εἶναι κατὰ φύσιν, ὑπερβάλλοντας δὲ ποσότητι καὶ ἀλλοιωμένους κατὰ ποιότητα, νόσων αἰτίους γίγνεσθαι, μετὰ ταῦτα δείκνυσιν ἐν μὲν τῷ χειμῶνι πλεονάζον τὸ φλέγμα, τοῦ δὲ ἦρος, τὸ αἷμα, καὶ τοῦ θέρους τὴν ξανθὴν χολήν, καὶ τοῦ φθινοπώρου τὴν μέλαιναν. ἄμεινον δὲ ἐστὶν αὐτὴν τὴν ῥῆσιν ὅλην αὐτοῦ παραγράψαι κατὰ λέξιν οὕτως ἔχουσαν. Αὔξεται δὲ ἐν τῷ ἀνθρώπῳ τὸ φλέγμα τοῦ χειμῶνος, τοῦτο γὰρ τῷ χειμῶνι κατὰ φύσιν μάλιστα τῶν ἐν τῷ σώματι ἐνεόντων, ψυχρότατόν ἐστι. τεκμήρια δὲ τούτων, ὅτι τὸ φλέγμα ψυχρότατον, εἰ θέλεις ψαῦσαι φλέγματος, καὶ χολῆς, καὶ αἵματος, τὸ φλέγμα εὑρήσεις ψυχρότατον ἐόν, καίτοι γλισχρότατόν ἐστι, καὶ βίᾳ μάλιστα ἄγεται μετά γε χολὴν μέλαιναν. ὅσα δὲ βίῃ ἔρχεται θερμότερα γίνεται ἀναγκαζόμενα ὑπὸ τῆς βίης. ἀλλ' ὅμως καὶ πρὸς ταῦτα πάντα ψυχρότατον ἐὸν τὸ φλέγμα, φαίνεται ὑπὸ τῆς φύσεως τῆς ἑαυτοῦ. ὅτι δὲ ὁ χειμὼν πληροῖ φλέγματος τὸ σῶμα, γνοίης ἂν τοῖσδε, οἱ ἄνθρωποι πτύουσι, καὶ ἀπομύσσονται φλεγματωδέστατον τοῦ χειμῶνος, καὶ τὰ οἰδήματα λευκὰ γίγνονται μάλιστα κατὰ ταύτην τὴν ὥραν, καὶ τἄλλα νοσήματα φλεγματώδεα. τοῦ δὲ ἦρος ἔτι μὲν ἰσχυρόν τὸ φλέγμα ἐστὶν ἐν τῷ σώματι, καὶ τὸ αἷμα αὔξεται. τά τε γὰρ ψύχεα ἐξανίει, καὶ τὰ ὕδατα ἐπιγίγνεται, τὸ δὲ αἷμα αὔξεται ὑπό τε τῶν ὄμβρων, καὶ ὑπὸ τῶν θερμημεριῶν. κατὰ φύσιν γὰρ αὐτέῳ ταῦτ' ἐστὶ μάλιστα τοῦ ἐνιαυτοῦ, ὑγρόν τε γάρ ἐστι καὶ θερμόν. γνοίης δ' ἂν τοῖσδε, οἱ ἄνθρωποι τοῦ ἦρος, καὶ τοῦ θέρεος μάλιστα ὑπὸ τῶν δυσεντεριῶν ἁλίσκονται, καὶ ἐκ τῶν ῥινῶν τὰ αἵματα ῥέει αὐτοῖσι, καὶ θερμότατοί εἰσι, καὶ ἐρυθροί. τοῦ δὲ θέρεος τό, τε αἷμα ἰσχύει ἔτι, καὶ ἡ χολὴ αἴρεται ἐν τῷ σώματι, καὶ παρατείνει εἰς τὸ φθινόπωρον. ἐν δὲ τῷ φθινοπώρῳ, τὸ μὲν αἷμα ὀλίγον γίγνεται. ἐναντίον γὰρ αὐτοῦ τῇ φύσει τὸ φθινόπωρόν ἐστιν. ἡ δὲ χολή, τὸ θέρος κατέχει τὸ σῶμα, καὶ τὸ φθινόπωρον. γνοίης δ' ἂν τοῖσδε, οἱ ἄνθρωποι αὐτόματοι ταύτην τὴν ὥρην χολὴν ἐμέουσι, καὶ ἐν τῇσι φαρμακοποσίῃσι χολωδέστατα καθαίρονται. δῆλον δὲ καὶ τοῖσι πυρετοῖσι, καὶ τοῖσι χρώμασι τῶν ἀνθρώπων. τὸ δὲ φλέγμα τοῦ θέρεος ἀσθενέστατόν ἐστιν αὐτὸ ἑωυτοῦ. ἐναντίη γὰρ αὐτοῦ τῇ φύσει ἡ ὥρη ἐστί, ξηρή τε οὖσα καὶ θερμή. τὸ δὲ αἷμα τοῦ φθινοπώρου ἐλάχιστόν ἐστιν ἐν τῷ ἀνθρώπῳ, ξηρόν τε γάρ ἐστι τὸ φθινόπωρον, καὶ ψύχειν ἄρχεται ἤδη τὸν ἄνθρωπον. ἡ δὲ μέλαινα χολὴ τοῦ φθινοπώρου πλείστη τε καὶ ἰσχυροτάτη ἐστίν. ὅταν δὲ ὁ χειμὼν καταλαμβάνει, ἥ τε χολὴ ψυχομένη ὀλίγη γίγνεται, καὶ τὸ φλέγμα αὔξεται πάλιν, ἀπό τε τῶν ὑετῶν τοῦ πλήθεος, καὶ ὑπὸ τῶν νυκτῶν τοῦ μήκεος. ἔχει μὲν οὖν ταῦτα πάντα ἀεὶ τὸ σῶμα τοῦ ἀνθρώπου. ὑπὸ δὲ τῆς ὥρης περιϊσταμένης, ποτὲ μὲν πλείω γίγνεται αὐτὰ ἑωυτῶν, ποτὲ δ' ἐλάσσω ἕκαστα κατὰ μέρος τε καὶ κατὰ φύσιν.

A *bus qui iugulantur sanguinem ex corpore effluere, hunc animam esse censent, ac testimoniis his vtuntur inter disputandum.* Hæc præfatus Hippocrates, deinde opinionem ita existimantium reprehendit, quæ siquis omnia volet legere, in libro de natura hominis ei licebit. Nam commentarius in omnium hominum manibus versatur.

CAPVT VI.

B *Quòd alij humores, & alij morbi aliis tempestatibus & ætatibus vigeant ex Hippocratis sententia; quòdque ab eo Plato defecerit.*

Ego verò prolixitati parcens, ad ea quæ disputationi propria sunt, me conuertam. Nam quum astruxisset quatuor humores nobis esse secundum naturam, excedentes autem quantitate, & alteratos qualitate, morborum fieri authores, postea ostendit hyeme pituitam redundare; vere sanguinem; æstate flauam bilem; autumno nigram. Satius autem est, totam iqsius seriem snbiungere, quæ ita ad verbum habet. *Augescit in homine pituita per hye-*C *mem; hæc enim hyeme secundum naturam præsertim eorum quæ in corpore sunt, frigidissima est. Indicia horum sunt, nempe pituitæ frigidissimæ, quòd si pituitam, bilem, & sanguinem voles attingere, pituitam reperies frigidissimam, etsi viscosissima sit, & vi potissimum post atram bilem agatur. Quæ autem vi eunt, calidiora redduntur à vi coacta. Attamen etiam ad hæc omnia, frigidissima ex sua natura esse pituita apparet. Porrò quòd hyems pituita corpus replet, hinc cognoueris; homines spuunt reiiciúntque per nares pituitosissima hyeme. Item alba ædemata potissimum* D *in hoc anni tempore proueniunt, aliique morbi pituitosi. Vere autem adhuc valida quidem pituita in corpore existit, & sanguis augetur; nam frigora remittunt, & aquæ superueniunt; sanguis autem augescit à pluuiis, & diebus calidis; nam secundum naturam ipsi hæc anni pars est potissimum: quippe humida est & calida, id quod sic cognosces. Vere homines & æstate potissimum à dysenteriis corripiuntur, ex naribus sanguis profluit; calidissimi ipsi sunt, & rubicundi; æstate sanguis inualescit adhuc, & bilis in corpore attollitur, producitúrque in autumnum. At in eo* E *sanguis quidem paucus generatur. Contrarius enim ipsius naturæ autumnus est; bilis autem æstate & autumno corpus occupat; id quod hinc discere licet. Homines sua sponte hoc anni tempore bilem vomunt, & in medicamentorum purgationibus biliosissima purgantur. Constat autem & febribus, & hominum coloribus. Pituita verò æstate imbecillima est, ipsa sui ratione. Contrarium enim ipsius naturæ anni tempus est siccum & calidum. Sanguis porrò per autumnum paucissimus est in homine, quoniam siccus est autumnus, & refrigerare iam hominem incipit. At atra bilis in autumno plurima valentissimáque est.* F *Quum verò hyems inuadit, bilis refrigerata pauca gignitur, & pituita rursus augescit, tum à pluuiarum copia, tum à noctium prolixitate. Hæc igitur omnia semper corpus humanum occupant. At ab anni tempore consistente, interdum plura ipsa quàm priùs gignuntur, interdum pauciora singula particulatim, & secundum naturam.*

A *Sic enim annus particeps est omnium, & calidorum, & frigidorum, & siccorum, & humidorum, quia nullum ex his vllo tempore manserit, sine omnibus quæ hoc in mundo sunt. At si vnum aliquod deficiat, omnia vanescent. Etenim ab eadem necessitate omnia constituta sunt; & nutriuntur à sese inuicem. Si autem etiam aliquid ex homine deficiat horum connatorum, homo non poterit viuere. Porrò in anno tunc quidem hyems inualescit maximè, tunc autem ver, tunc æstas, tunc autumnus. Ita etiam in homine tunc sanè pituita inualescit, tunc autem sanguis, tunc bilis; primùm quidem flaua, deinde nigra dicta.* B *Testimonium huius manifestissimum est si voles eidem homini idem medicamentum quater in anno exhibere, euomet quidem hyeme pituitosiora, vere humidiora, æstate biliosissima, autumno nigerrima.* Hæc de tempestatum differentia locutus Hippocrates, docuit in ipsis facultate etiam de ætatibus & regionibus; semper enim in omnibus quibus sermonem quemcunque recenset, iubet inspicere anni tempus, regionem, ætatem; & quod in vno horum intelligis, id vult te etiam ad reliqua duo iuxta similitudinem transferre; eandem siquidem rationem in ætatibus habet puer, quàm in quatuor temporibus ver habet; C eandem iuuenis quàm æstas; eandem senex, quàm autumnus; eandem decrepitus quàm hyems. Similiter etiam ex regionibus temperata veri respondet: calida æstati; inæqualis calore & frigiditate, sed redundans tamen frigiditate & siccitate, autumno; humida & frigida, hyemi. Hæc itaque quum docuisset, & præterea quod contraria contrariorum sunt remedia, artis methodi elementa tradidit; postea vbi ea quæ in aphorismis sunt pertractasset, de exuperantibus in vnoquoque anni tempore & ætate morbis, veluti syllabas his elementis adiunxit. D Ascribam tibi etiam orationem ipsius, quæ ad verbum sic habet. *Morbi omnes quidem omnibus temporibus anni accidunt, sed nonnulli magis certis quibusdam & oriuntur & exacerbantur. Vere quidem melancholiæ, maniæ, epilepsiæ, sanguinis profluuia, anginæ, grauedines, raucedines, tusses, lepræ, impetigines, vitiligines, pustulæ vulcerosæ plurimæ, phymata, articulorum dolores. Æstate nonnulli ex his, febres continuæ & ardentes, tertianæ, & quartanæ, vomitiones, alui profluuia, lippitudines, aurium dolores, oris vlcera, genitalium putredines, & sudationes.* E *Autumno magna pars æstiuorum, atque etiam febres quartanæ & erraticæ, lienes, aqua subter cutem, tabes, stillicidia vrinæ, leuitates intestinorum, & tormina, anginæ, asthmata, ilei cruciatus, insania, & melancholia. Hyeme pleuritides, peripneumoniæ, grauedines, lethargi, raucedines, tusses, dolores pectorum, laterum, lumborum, dolores capitis, vertigines, apoplexi.* Hæc de anni temporibus Hippocrates persecutus, deinceps de ætatibus ita scribit. *Per ætates hæc accidunt paruis, & recens natis puerulis, vlcera oris, vomitus, tusses, vigiliæ, pauores, inflammationes vmbilici, aurium humiditates.* F *Paulò ætate progredientibus quum dentire incipiunt, gingiuarum prurigines, febres, conuulsiones, alui fluores, maximè quum caninos edunt, & ijs potissimùm pueris qui corpulentissimi sunt, & aluos habent astrictas. Adultioribus iam tonsillæ, vertebræ in occipitio sitæ luxatio in partem interiorem,*

A ὥσπερ γὰρ ὁ ἐνιαυτὸς μετέχει μὲν πᾶσι πάντων, καὶ τῶν θερμῶν, καὶ τῶν ψυχρῶν, καὶ τῶν ξηρῶν, καὶ τῶν ὑγρῶν; οὐ γὰρ ἂν μείνειε τουτέων οὐδὲν οὐδένα χρόνον, ἄνευ πάντων τῶν ἐνεόντων ἐν τῷδε τῷ κόσμῳ, ἀλλ' εἰ ἕν τί γε ἐκλείποι, πάντα ἂν ἀφανισθείη. ἀπὸ γὰρ τῆς αὐτῆς ἀνάγκης πάντα συνέστηκέ τε καὶ τρέφεται ὑπ' ἀλλήλων. οὕτω δὲ καὶ εἴ τι ἐκ τοῦ ἀνθρώπου ἐκλείποι τουτέων τῶν συγγεγονότων, οὐκ ἂν δύναιτο ζῆν ὁ ἄνθρωπος. ἰσχύει δ' ἐν τῷ ἐνιαυτῷ, ποτὲ μὲν ὁ χειμὼν μάλιστα, ποτὲ δὲ τὸ ἔαρ, ποτὲ δὲ τὸ θέρος, ποτὲ δὲ τὸ φθινόπωρον. οὕτω δὲ καὶ ἐν τῷ ἀνθρώπῳ, ποτὲ μὲν τὸ φλέγμα ἰσχύει, ποτὲ δὲ τὸ αἷμα, ποτὲ δ' ἡ χολή. πρῶτον μὲν ἡ ξανθὴ, ἔπειτα δὲ B ἡ μέλαινα καλεομένη. μαρτύριον δὲ σαφέστατον εἰ θέλοις τῷ αὐτῷ ἀνθρώπῳ δοῦναι, τὸ αὐτὸ φάρμακον τετράκις τοῦ ἐνιαυτοῦ, ἐμεῖται τοῦ μὲν χειμῶνος φλεγματωδέστερα, τοῦ δ' ἦρος ὑγρότερα, τοῦ δὲ θέρεος χολωδέστατα, τοῦ δὲ φθινοπώρου μελάντατα. ταῦτα περὶ τῶν κατὰ τὰς ὥρας διαφορῶν εἰπὼν ὁ Ἱπποκράτης, ἐδίδαξεν ἐν αὐτοῖς δυνάμει περὶ τῶν ἡλικιῶν, καὶ χωρῶν. ἀεὶ γὰρ ἐν ἅπασιν οἷς ἂν ὑφηγεῖται, καθ' ὁντιναοῦν λόγον ἐπιβλέπειν κελεύει, καὶ ὥραν, καὶ χώραν, καὶ ἡλικίαν. καὶ ὅτι δὲ ἐφ' ἑνὸς τούτων ἀκούεις, μεταφέρειν ἀξιοῖ σε τοῦτο, καὶ ἐπὶ τὰ λοιπὰ δύο καθ' ὁμοιότητα. τὸν αὐτὸν γὰρ λόγον ἐν ἡλικίαις ὁ παῖς ἔχει τῇ τοῦ ἦρος C ἐν ὥραις, ὡσαύτως δ' ὁ μὲν νεανίσκος, τῇ τοῦ θέρους. ὁ δὲ παρακμάζων, τῇ τοῦ φθινοπώρου, καὶ τελευταῖος ὁ γέρων τῇ τοῦ χειμῶνος. ὁμοίως δὲ καὶ τῶν χωρῶν, ἡ μὲν εὔκρατος, τῇ τοῦ ἦρος, ἡ δὲ θερμὴ, τῇ τοῦ θέρους. ἡ δ' ἀνωμάλως ἔχουσα κατὰ θερμότητα, καὶ ψυχρότητα. πλεονεκτοῦσα δ' ὅμως ψυχρότητι, καὶ ξηρότητι τῇ τοῦ φθινοπώρου, ἡ δ' ὑγρὰ καὶ ψυχρὰ τῇ τοῦ χειμῶνος. ταῦτά τε οὖν διδάξας, καὶ πρὸς τούτοις, ὅτι τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰάματα, τῆς κατὰ τὴν τέχνην μεθόδου τὰ στοιχεῖα παρέδωκεν, οἷς ἐφεξῆς τὰ κατὰ τοὺς ἀφορισμοὺς διηγῶν περὶ τῶν πλεοναζόντων καθ' ἑκάστην ὥραν τε καὶ ἡλικίαν νοσημάτων, τὰς D οἷον συλλαβὰς ἐπὶ τοῖς στοιχείοις ὑφηγήσατο. παραγράψω δέ σοι καὶ τὰς ῥήσεις αὐτοῦ κατὰ λέξιν ἐχούσας ὧδε. Νοσήματα δὲ πάντα μὲν ἐν πάσῃσιν ὥρῃσιν γίγνεται, μᾶλλον δ' ἔνια κατ' ἐνίας αὐτῶν καὶ γίγνεται, καὶ παροξύνεται. τοῦ μὲν ἦρος, τὰ μελαγχολικὰ, καὶ τὰ μανικὰ, καὶ τὰ ἐπιληπτικὰ, καὶ αἵματος ῥύσιες, καὶ κυνάγχαι, καὶ κόρυζαι, καὶ βράγχοι, καὶ βῆχες, καὶ λέπραι, καὶ λειχῆνες, καὶ ἀλφοὶ, καὶ ἐξανθήσιες ἑλκώδεες πλεῖσται, καὶ φύματα, καὶ ἀρθριτικά. τοῦ δὲ θέρεος, ἔνιά τε τουτέων, καὶ πυρετοὶ συνεχέες καὶ καῦσοι, καὶ τριταῖοι πυρετοὶ, καὶ τεταρταῖοι, ἔμετοί τε καὶ διάρροιαι, καὶ ὀφθαλμίαι, καὶ ὤτων πόνοι, καὶ στομάτων E ἑλκώσιες καὶ σηπεδόνες αἰδοίων, καὶ ἵδρωα. τοῦ δὲ φθινοπώρου, καὶ τῶν θερινῶν τὰ πολλὰ, καὶ πυρετοὶ τεταρταῖοι, καὶ πλάνητες, καὶ σπλῆνες, ὕδρωπες, φθίσιες, καὶ στραγγουρίαι, καὶ λειεντερίαι, καὶ δυσεντερίαι, καὶ κυνάγχαι, καὶ ἄσθματα, καὶ εἰλεοὶ, καὶ ἐπιληψίαι, καὶ τὰ μανικὰ, καὶ τὰ μελαγχολικά. τοῦ δὲ χειμῶνος, πλευρίτιδες, περιπνευμονίαι, κόρυζαι, λήθαργοι, βράγχοι, βῆχες, πόνοι στηθέων, πλευρέων, ὀσφύος, κεφαλαλγίαι, ἴλιγγοι, ἀποπληξίαι. ταῦτα περὶ τῶν ὡρῶν εἰπὼν ὁ Ἱπποκράτης, ἐφεξῆς περὶ τῶν ἡλικιῶν ὧδε γράφει. ἐν δὲ τῇσιν ἡλικίῃσι συμβαίνει τοῖσι μὲν μικροῖσι, καὶ νεογνοῖσι παιδίοισιν, ἄφθαι, ἔμετοι, βῆχες, ἀγρυπνίαι, φόβοι, ὀμφαλοῦ φλεγμοναὶ, ὤτων ὑγρότη- F τες, πρὸς δὲ τὸ ὀδοντοφυεῖν προσάγουσιν, οὔλων ὀδαξισμοὶ, πυρετοὶ, σπασμοὶ, διάρροιαι, καὶ μάλιστα ὅταν ἀνάγωσι τοὺς κυνόδοντας, καὶ τοῖσι παχυτάτοισι τῶν παιδίων καὶ τοῖσι κοιλίας σκληρὰς ἔχουσι. πρεσβυτέροισι δὲ γενομένοισι, παρίσθμια, σπονδύλου τοῦ κατὰ ἰνίον εἴσω ὤσιες,

ἄσθματα, λιθιάσιες, ἕλμινθες στρογγύλαι, ἀσκαρίδες, ἀκροχορδόνες, σατυριασμοί, χοιράδες, στραγγουρίαι, καὶ τἄλλα φύματα. τοῖσι δ' ἔτι πρεσβυτέροισι, καὶ πρὸς τὴν ἥβην προσάγουσι, τουτέων τε πολλά, καὶ πυρετοὶ χρόνιοι μᾶλλον, καὶ ἐκ ῥινῶν αἵματος ῥύσιες. τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται, τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δὲ ἐν ἑπτὰ μησί, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ πρὸς τὴν ἥβην προσάγουσιν. ὅσα δ' ἂν διαμείνῃ τοῖσι παιδίοισι, καὶ μὴ ἀπολυθῇ περὶ τὸ ἡβάσκειν, ἢ τοῖσι θήλεσι περὶ τὰς τῶν καταμηνίων ῥήξιας, χρονίζειν εἴωθε. τοῖσι δὲ νεηνίσκοισιν, αἵματος πτύσιες, φθίσιες, πυρετοὶ ὀξέες, ἐπιληψίαι, καὶ τἄλλα νοσήματα, μάλιστα δὲ τὰ εἰρημένα. τοῖσι δ' ὑπὲρ τὴν ἡλικίαν ταύτην, πλευρίτιδες, περιπνευμονίαι, λήθαργοι, φρενίτιδες, καῦσοι, διάρροιαι, χολέραι, δυσεντερίαι, αἱμορροΐδες. τοῖσι δὲ πρεσβυτέροισι, δύσπνοιαι, κατάρροι βηχώδεες, στραγγουρίαι, δυσουρίαι, ἄρθρων πόνοι, νεφρίτιδες, ἴλιγγοι, ἀποπληξίαι, καχεξίαι, ξυσμοὶ τοῦ σώματος, ἀγρυπνίαι, κοιλίης καὶ ὀφθαλμῶν, καὶ ῥινῶν ὑγρότητες, ἀμβλυωπίαι, γλαυκώσιες, βαρυηκοΐαι. ταύτην τὴν τάξιν τῆς διδασκαλίας ἐχρῆν πεποιῆσθαι τὸν Πλάτωνα μᾶλλον, εἴπερ γε φιλοσόφῳ προσήκει τὸ τάξει καὶ μεθόδῳ χρῆσθαι, καὶ διδασκαλίᾳ, καὶ μᾶλλον ἢ τοῖς ἰατροῖς. ἀλλ' ἴσως οὐκ ἠδύνατο περὶ τῶν τοιούτων ἀκριβῶς διηγεῖν ἐμπειρίας δεομένων, αὐτὸς οὐκ ὢν τρίβων τῶν ἔργων τῆς ἰατρικῆς· καὶ κατὰ τοῦτο ἐπαινεῖν αὐτὸν προσήκει, περὶ ὧν ἀκριβῶς οὐκ ἠπίστατο μηδ' ἐπιχειρήσαντα λέγειν. ἀλλ' ἐκεῖνά γε δυνατὸν ἦν αὐτῷ παρ' αὐτῆς τῆς τῶν πραγμάτων φύσεως μεμαθηκέναι τὰ λελεγμένα κατὰ τοὺς ἀφορισμοὺς ἐν τῇδε τῇ ῥήσει. κατὰ δὲ τὰς ὥρας, τοῦ μὲν ἦρος καὶ ἄκρου τοῦ θέρεος, οἱ παῖδες καὶ οἱ τούτων ἐχόμενοι τῇσιν ἡλικίῃσιν ἄριστά τε διάγουσι, καὶ ὑγιαίνουσι μάλιστα. τοῦ δὲ θέρεος, καὶ τοῦ φθινοπώρου, μέχρι μέν τινος, οἱ γέροντες. τὸ δὲ λοιπόν, καὶ τοῦ χειμῶνος οἱ μέσοι τῇσιν ἡλικίῃσιν. ταῦτα μὲν οὖν περὶ τῶν εἰρημένων ἡλικιῶν ἐφ' ἑαυτοῦ καὶ τῶν ὁμοδιαίτων ἐξετάσαι τις δύναται, προήκων ἤδη κατὰ τὴν ἡλικίαν, ὡς εἰκὸς ἦν Πλάτωνα προήκειν ὅτε ἔγραφε τὸν Τίμαιον. ἀμελῶς οὖν ἔσχε περί τε τὴν αὐτῶν τούτων ἐξέτασιν. ἔτι τε μᾶλλον ὧν ἔγραψεν ὁ Ἱπποκράτης περὶ τῶν πλεοναζόντων νοσημάτων ἐν ἑκάστῃ τῶν ἡλικιῶν τε καὶ ὡρῶν, ὡς εἴγε προσέσχηκε τὸν νοῦν αὐτοῖς, οὐκ ἂν ἐγεγράφει ταῦτα. τὸ μὲν οὖν ἐκ πυρὸς ὑπερβολῆς μάλιστα νοσῆσαν σῶμα, συνεχῆ καύματα καὶ πυρετοὺς ἀπεργάζεται. τὸ δὲ ἐξ ἀέρος, ἀμφημερινούς, τριταίους δὲ ἐξ ὕδατος, διὰ τὸ νωθέστερον ἀέρος καὶ πυρὸς αὐτὸ εἶναι. τὸ δὲ γῆς τέταρτον ὂν νωθέστατον τούτων ἐν τετραπλασίαις περιόδοις χρόνου καθαιρόμενον, τεταρταίοις πυρετοῖς ποιῆσαν, ἀπαλλάττεται μόλις. ἐν τούτῳ τῷ λόγῳ πρῶτον μὲν ἡμάρτηκε κατὰ τὰ κοινὰ στοιχεῖα ἁπάντων σωμάτων, οὐ κατὰ τῶν ἐναίμων ζώων ποιησάμενος τὴν αἰτιολογίαν τῶν περιοδικῶν πυρετῶν. ἄμεινον γὰρ ἦν ἃ καὶ δεῖξαι δυνάμεθα κατὰ τὸ σῶμα πλεονάζοντα, ταῦτ' ἰᾶσθαι. δεύτερον δ' ὅτι τῆς ἀμφημερινῶν καὶ τριταίων πυρετῶν, οὐδ' ἐγγὺς ἧκε τῆς ἀληθοῦς αἰτίας. φαίνεται γὰρ ἐναργῶς ἐπὶ μὲν τῶν ἀμφημερινῶν φλεγματώδης πλεονάζων χυμός, ὑγρὸς καὶ ψυχρὸς ὤν. ἐπὶ δὲ τῶν τριταίων, ὁ τῆς ξανθῆς χολῆς. πάλιν αὖ καὶ οὗτος ἄκρως θερμός, καὶ ξηρὸς ὤν. ἐπὶ τούτου μὲν ἐχρῆν εἰρῆσθαι πλεονάζειν τὸ τοῦ πυρὸς στοιχεῖον, ἐπ' ἀμφημερινοῦ δὲ τὸ τοῦ ὕδατος, ὥσπερ ἐν τοῖς τεταρταίοις, χυμὸν μὲν τὴν μέλαιναν χολήν, στοιχεῖον δὲ τὴν γῆν. ὅστις δ' ἑκάστου τῶν εἰρημένων ἀκριβῶς ἐκμαθεῖν βούλεται τὴν φύσιν, ἔν τε τοῖς περὶ κρίσεων ὑπομνήμασι, κἀν τοῖς περὶ τῆς διαφορᾶς τῶν πυρετῶν, ἐξειργασμένον τὸν λόγον ἔχει.

asthmata, calculi, lumbrici teretes, ascarides, verrucæ, satyriasis, strumæ, vrinæ stillicidia, aliáque tubercula. Prouectioribus adhuc & iam puberibus magna horum pars accidit, atque etiam febres diuturnæ potius, & sanguinis è naribus profusiones. Plurimi verò affectus puerorum iudicantur aut intra quadragesimum diem, aut intra septimum mensem, aut intra septimum annum, aut quum ad pubertatem itur. Qui autem perdurarint, nec solui potuerint pubescenti, aut fœminæ quum menstrua erumpunt, eis consenescere assolent. Adolescentibus sanguinis excreationes, tabes, febres acutæ, comitiales, & reliqui morbi, sed præcipuè quos enumeraui. Qui hanc ætatem excesserunt, pleuritides, peripneumoniæ, lethargi, phrenitides, ardores, alui fluores, choleræ, difficultates intestinorum, hæmorrhoïdes. Maioribus natu difficultates spirandi, destillationes cum tussi, stillicidia vrinæ, difficultates vrinæ, articulorum dolores, nephritides, vertigines, apoplexiæ, cachexiæ, aspredines totius corporis, vigiliæ, alui, oculorum, & narium humiditates, lippitudines oculorum, glaucomata, aurium grauitates. Hunc ordinem disciplinæ Platonem fecisse oportebat potius. Siquidem philosopho conuenit & methodo & disciplina etiam magis quàm medicis vti; sed fortè non potuit de eiusmodi, quæ experientiam requirunt, exactè tractare, vt qui non versatus sit in medicinæ operibus: atque hoc nomine laudare ipsum oportet, quod ne aggressus quidem sit dicere de iis quæ exactè non pernouerat, verùm illa poterat ab ipsa rerum natura didicisse, quæ in aphorismis in hunc modum dicta sunt. *Per tempora anni pueri, & qui ætate his proximi sunt, vere, atque prima æstate optimè degunt; senes æstate & autumno aliquandiu, reliquo autumni tempore & hyeme qui media sunt ætate, melius valent.* Proinde hæc de commemoratis ætatibus in seipso, & coætaneis & conuictoribus aliquis potest exquirere ætate iam prouectior, vt consentaneum erat Platonem prouectiorem esse, quum Timæum conscriberet. Itaque de his ipsis disquisitionem neglexit, magísque adhuc eorum quæ Hippocrates conscripsit de morbis quibus singulę & ætates, & anni tempora abundant. *Itaque corpus ignis excessu potissimùm laborans, continuos æstus & febres efficit; quod aëris excessu, quotidianas; aquæ, tertianas, eóque aqua segnior sit quàm ignis & aër; terræ autem elementum quartum quum sit horum tardissimum, quadruplici temporis circuitu purgatum, quartanas febres molitum, vix discedit.* In hac oratione primum quidem errauit quod in communia omnium corporum, non in sanguineorum animantium elementa, febrium circuitu redeuntium causam retulit. Satius enim erat quæ etiam ostendere possumus in corpore redundare, his mederi; deinde quoniam ad veram quotidianarum tertianarúmque febrium causam ne propè quidem accessit. Apparet enim euidenter in quotidianis pituitosus superare humor, qui humidus est & frigidus; in tertianis flauæ bilis, & hic rursus calidus & siccus. Quare in hac dicendum erat ignis elementum superare, in quotidiana aquæ, quemadmodum in quartanis humorem quidem atram bilem, elementum verò terram. Porrò qui singulorum quę dicta sunt naturam exactè volet condiscere, in commentariis, tum de crisibus, tum de febrium differentiis, elaboratam disputationem habet.

Ego

Ego autem non consueui frequenter de eisdem eadem scribere, verùm semel, vel etiam bis nonnunquam demonstrationem interpretatus, in aliis libris conclusione demonstrationis vtor; quemadmodum etiam de eo quòd tria sint principia facultatum corpus nostrum regentium, quum semel in primis huius operis libris demonstrassem, in aliis omnibus ex parato sumo, solùm in memoriam reducens nonnullis quòd id monstratum est; atque in præsentia abundè est tantùm repetere de iis quæ illic ostensa sunt, nempe febres acutissimas ardentissimásque ex flaua bile generari, & ex genere ardentium febrium tertianam quoque existere. Porrò explicata in illis causa est, cur non sit continua, quemadmodum ardens, sed intermittens fiat. Hæc igitur Plato non accuratè nouit ex Hippocratis arte, etsi conaretur virum sequi, ac de pituita præterea alba, quòd enim ampullæ assumptæ quæ sigillatim propter paruitatem videri non possunt, vt inquit, iunctæ autem simul, & in molem excitatæ, visibilem generant huiusmodi humorem, rationi consentaneum simul est, & probabile. Quòd autem ex colliquata molli carne pituita nonnunquam fiat, absurdissimum, nisi quis Prodicus nomen immutans, amaram bilem, pituitam nuncupet, eò quòd sentiat appellationem ei inditam esse à verbo πεφλέχθαι, quod est incensum esse. Verùm Plato ipse huiusmodi bilem humorem calidissimum, esse pernouit, in quibus ait: *Quæ autem corporis partes incendi dicuntur, à bilis æstu & flamma omnes infestantur.* Et post hæc deinceps. *Quæ quum respirat extrinsecus, omnigenas tuberculorum species feruens emittit; intus autem cohibita, igneos morbos plurimos procreat.* Constat itaque Platonem consueta amaræ bilis appellatione vti, quæ in totum flaua colore est, pallida autem nonnunquam efficitur, vbi copiosam humiditatem serosam assumpserit. Quinetiam ex eo ipso quod apposuerit, inflammari ob bilem, certum est non in appellatione errasse ipsum, sicuti Prodicum, sed in naturæ humoris cognitione. Dicit autem de eo in hunc modum. *Rursus mollis recentisque carnis portio quædam cum aëre colliquescit; hæc autem vbi ventum conceperit, & circumprehensa ab humiditate, & ampullæ ex hoc affectu constitutæ sigillatim propter paruitatem inuisibiles, vniuersæ autem in molem coëuntes, visibilem colorem habeant, ob spumæ generationem aspectu album, hanc omnem carnis mollis colliquationem cum spiritu implicatam, albam esse pituitam dicimus.* Ac non multò post rursus sic de eadem scribit. *Alba verò pituita propter ampullarum spiritum difficilis intus inclusa, ad exteriorem cutem respirans, mitior quidem, sed corpus albis vitiliginibus inficit, & harum vicinos morbos procreat.* In hac sanè oratione probè de affectibus pronunciauit, qui à pituita oriuntur. Quum autem scriberet priùs omnem teneræ carnis colliquationem cum spiritu iunctam, albam esse pituitam dicimus, non rectè. Quippe ostensum est quomodo pituita ex alimento natura frigidiore, minùs quàm par est ab insito calore elaborato, generetur. Caro verò colliquata similem facit colore colliquationem pallidæ bilis in albedinem magis vergens, vt is color sit qui subpallidus, fuluus appellatur;

A ἐγὼ δ' οὐκ εἴωθα πολλάκις ὑπὲρ τῶν αὐτῶν τὰ αὐτὰ γράφειν, ἀλλ' ἅπαξ ἢ καὶ δίς, ἐνίοτε τὴν ἀπόδειξιν εἰπὼν ἐν τοῖς ἄλλοις βιβλίοις τῷ συμπεράσματι τῆς ἀποδείξεως χρῶμαι. καθάπερ καὶ περὶ τοῦ τρεῖς εἶναι τὰς ἀρχὰς τῶν διοικουσῶν ἡμᾶς δυνάμεων, ἅπαξ ἀποδείξας ἐν τοῖς πρώτοις βιβλίοις τῆσδε τῆς πραγματείας, ἐν ταῖς ἄλλαις ἁπάσαις ἐξ ἑτοίμου λαμβάνω, μόνον ἀναμιμνήσκων ἐνίοις ὡς ἀποδέδεικται. καὶ νῦν γοῦν ἀρκεῖ τό γε τοσοῦτον ἀναμνῆσαι περὶ τῶν ἐν ἐκείνοις δεδειγμένων, ὡς τοὺς ὀξυτάτους τε καὶ καυσωδεστάτους πυρετοὺς, ἡ ξανθὴ χολὴ γεννᾷ, καὶ ὡς τοῦ γένους B τῶν καυσωδῶν πυρετῶν ἐστι, καὶ ὁ τριταῖος. εἴρηται δ' ἐν ἐκείνοις ἡ αἰτία, δι' ἣν οὐκ ἔστι συνεχὴς ὥσπερ ὁ καῦσος, ἀλλὰ διαλείπων γίγνεται. τοῦτο οὖν ὁ Πλάτων οὐκ ἀκριβῶς ἔγνω τῆς Ἱπποκράτους τέχνης, καίτοι πειρώμενος ἕπεσθαι τἀνδρί, καὶ προσέτι γε περὶ τοῦ λευκοῦ φλέγματος. τὸ μὲν γὰρ πομφολύγων ἐναπολαμβανομένων, ἀοράτων μὲν διὰ σμικρότητα, καθάπερ αὐτὸς ἔφη, συναπασῶν δὲ τὸν ὄγκον παρεχομένων, ὁρατὸν γίνεσθαι τὸν τοιοῦτον χυμόν, εὔλογόν τε ἅμα καὶ πιθανόν. τὸ δ' ἐκ συντήξεως ἁπαλῆς σαρκὸς γίνεσθαί ποτε φλέγμα, τῶν ἀτοπωτάτων ἐστί, πλὴν C εἴ τις Πρόδικος ὑπαλλάττων τοὔνομα τὸν πικρόχολον χυμὸν ὀνομάζει φλέγμα, διὰ τὸ νομίζειν ἀπὸ τοῦ πεφλέχθαι τὴν προσηγορίαν αὐτοῦ γεγονέναι. ἀλλ' ὅ γε Πλάτων αὐτὸς οἶδε θερμότατον ὄντα τὸν τῆς τοιαύτης χολῆς χυμὸν ἐν οἷς φησιν. ὅσα δὲ φλεγμαίνειν λέγεται τοῦ σώματος ἀπὸ τοῦ κάεσθαί τε, καὶ φλέγεσθαι διὰ χολὴν γέγονε πάντα, καὶ τούτων ἐφεξῆς. λαμβάνουσα μὲν ἀναπνοὴν ἔξω παντοίας, ἀναπέμπει ζέουσα φύματα, καθειργνυμένη δὲ ἐντός, πυρίκαυτα νοσήματα πολλὰ ἐμποιεῖ. δῆλος οὖν ἐστι τῇ συνήθει προσηγορίᾳ κατὰ τοῦ πικροχόλου χυμοῦ χρώμενος, ὥσπερ D τοὐπίπαν ἐστὶν ξανθὸς τὴν χρόαν. καὶ ὠχρὸς δ' ἐνίοτε γίγνεται πολλὴν ὀῤῥώδη προσλαβὼν ὑγρότητα. καὶ μέντοι κἀξ αὐτοῦ τοῦ προσθεῖναι τὸ φλέγεσθαι διὰ τὴν χολήν, δῆλός ἐστιν οὐκ ἐν τῇ προσηγορίᾳ σφαλλόμενος ὥσπερ ὁ Πρόδικος, ἀλλ' ἐν τῇ γνώσει τῆς φύσεως τοῦ χυμοῦ. λέγει δὲ περὶ αὐτοῦ τόνδε τὸν τρόπον. τὸ δ' αὖ μετ' ἀέρος τηκόμενον ἐκ νέας, καὶ ἁπαλῆς σαρκός· τούτου δ' ἀνεμωθέντος καὶ ξυμπεριληφθέντος ἀπὸ ὑγρότητος, καὶ πομφολύγων ξυστασῶν ἐκ τοῦ πάθους τούτου, καθ' ἑκάστην μὲν ἀοράτων διὰ σμικρότητα, ξυναπασῶν δὲ τὸν ὄγκον παρεχομένων ὁρατὸν χρῶμα E ἐχουσῶν, διὰ τὴν τοῦ ἀφροῦ γένεσιν ἰδεῖν λευκόν. ταύτην πᾶσαν τηκεδόνα ἁπαλῆς σαρκὸς μετὰ πνεύματος συμπλακεῖσαν, λευκὸν εἶναι φλέγμα φαμέν. καὶ μετ' οὐ πολλὰ δὲ πάλιν, οὕτως ὑπὲρ αὐτοῦ γράφει. τὸ δὲ λευκὸν φλέγμα διὰ τὸ τῶν πομφολύγων πνεῦμα χαλεπὸν ἀποληφθέν, ἔξω δὲ τοῦ σώματος ἀναπνοὰς ἴσχον ἠπιώτερον μέν, καταποικίλλει δὲ τὸ σῶμα λεύκας ἀλφούς τε, καὶ τὰ τούτων ξυγγενῆ νοσήματα ἀποτίκτει. ἐν ταύτῃ μὲν τῇ ῥήσει, καλῶς ἀπεφήνατο περὶ τῶν γινομένων ἀπὸ τοῦ φλέγματος παθῶν, ἡνίκα δ' ἔλεγεν ἔμπροσθεν τὴν πᾶσαν τηκεδόνα ἁπαλῆς σαρ- F κὸς μετὰ πνεύματος συμπλακεῖσαν, λευκὸν εἶναι φλέγμα φαμέν, οὐκ ὀρθῶς. δέδεικται γὰρ ἥ τε τοῦ φλέγματος γένεσις ἐκ τροφῆς φύσει ψυχροτέρας ἐνδεῶς ὑπὸ τῆς ἐμφύτου θερμασίας κατεργασθείσης ἀποτελουμένη. τηκομένη δὲ σάρξ, ὅμοιόν τι ποιεῖ τὸ σύντηγμα τῇ χρόᾳ τῆς ὠχρᾶς χολῆς, ἐπὶ τὸ λευκότερον ῥέπον, ὡς εἶναι τὸ καλούμενον ὕπωχρον πυῤῥόν.

ἔστι δὲ καὶ παχύτερον τὸ σύντηγμα τοῦτο τῆς ὠχρᾶς χολῆς, καὶ δυσωδέστερον, καί τινα γλισχρότητα πολλάκις ἔχον ἐν ἑαυτῷ, καὶ λιπαρότητα. Ταῦτα μὲν ἱκανὰ περὶ χυμῶν ἔγνωσται πρός γε τὸ παρὸν εἰ μέλλοιμεν, ὡς τινες τῶν φίλων ἀξιοῦσιν ἐξηγεῖσθαι τὰ κατὰ τὸν Τίμαιον ἰατρικῶς εἰρημένα.

A est autem crassior hæc colliquatio quàm sit pallida bilis & peius olet, nonnullámque viscositatem subinde,& pinguedinem in se continet. Hæc sanè abundè ad præsens institutum de humoribus cognita sunt, si interpretaturi sumus, vt nonnulli amicorum cēsent, ea quæ in Timæo medicè dicta sunt.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Τίς ἡ τοῦ Ἱπποκράτους τε, καὶ τίς ἡ τοῦ Πλάτωνος δόξα περὶ τῆς ἐμφύτου θερμασίας.

ΚΑὶ τὰ λοιπὰ δὲ τῶν κατὰ τὸ βιβλίον λόγων διὰ κεφαλαίων ῥηθήσεται, συντομίας ἕνεκεν, ἐν οἷς τε ὁμολογοῦσιν οἱ ἄνδρες ἀλλήλοις, ἐν οἷς τε διαφέρονται, διὰ μακροτέρων τε κατὰ τὴν ἐσομένην ἡμῖν ἐξήγησιν αὖθις εἰρήσεται. λέγοντος οὖν Ἱπποκράτους ἀεὶ τὸ σύμφυτον θερμὸν αἰτιώτατον εἶναι πάντων τῶν φυσικῶν ἔργων, ὁ Πλάτων οὐ θερμὸν, ἀλλὰ πῦρ ὀνομάζει. ἴδωμεν δὴ ὅπως ὑπ' αὐτοῦ διοικεῖσθαι λέγει τὰ τῶν ζώων σώματα. πᾶν ζῶον πάντως περὶ τὸ αἷμα, καὶ τὰς φλέβας αὑτοῦ θερμότητα ἔχει, οἷον ἐν ἑαυτῷ πηγήν τινα ἐνοῦσαν πυρός. πλὴν μὲν οὖν πάντα καλῶς εἶπεν. οὐ γὰρ ἐκ παρατρίψεως τοῦ κατὰ τὰς ἀρτηρίας πνεύματος ἡ θερμασία γίνεται κατὰ τὰ τῶν ζώων σώματα, καθάπερ ἐκτὸς ἐπὶ λίθων τε καὶ ξύλων, ἀλλ' ἔμπαλιν ὑπὸ τῆς συμφύτου θερμασίας αἱ κινήσεις αὐτῶν γίνονται. ὅταν οὖν ψυχθῇ τὸ σῶμα διὰ κρύος, ἢ φάρμακον, ἢ οὐδενὸς τῶν ἄλλων ἀλλοιουμένου τῶν κατ' αὐτό, παύονται μὲν αὐτίκα αἱ τῶν ἀρτηριῶν κινήσεις· εἶτα κατὰ τὰ νεῦρα καὶ μῦς. οὐ μὴν πυρός γε πηγὴν, ἀλλὰ μᾶλλον ἐμφύτου θερμοῦ βέλτιον ἦν εἰρῆσθαι κατὰ τὰ σώματα ἡμῶν, ὡς Ἱπποκράτης ὀνομάζει διὰ παντός. εἰ γὰρ ὑπὸ πυρὸς ἡ πέψις γίνεται τῶν σιτίων, ἥ τ' ἀνάδοσις, ἥ θ' αἱμάτωσις, ἥ τε θρέψις, ἄμεινον ἂν ἐπὶ τῶν πυρεττόντων ὀξέως ἐφαίνετο ταῦτα ἐπιτελούμενα. τὸ δὴ ἔμφυτον θερμὸν, εὔκρατον εἶναι κατὰ μὲν οὐσίαν ἐν αἵματι, καὶ φλέγματι τὴν ὕπαρξιν ἔχον μάλιστα, κατὰ δὲ ποιότητα μικτὸν ὂν εὐκράτως ἐκ θερμότητός τε καὶ ψυχρότητος. ἀσφαλέστερον οὖν ὁ Ἱπποκράτης ἔφη, τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. πλείστης οὖν δεῖται τροφῆς, εἰ δὲ μὴ τὸ σῶμα ἀναλίσκεται. γέρουσι δὴ ὀλίγον τὸ θερμὸν, διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δέονται, ὑπὸ πολλῶν μὲν γὰρ ἀποσβέννυνται· διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖσι γέρουσιν οὐχ ὁμοίως ὀξέες, ψυχρὸν γὰρ τὸ σῶμα. κατὰ τοῦτον οὖν τὸν λόγον κἀν τῷ περὶ φύσεως ἀνθρώπου, τῇ πρώτῃ τῶν ἡλικιῶν τὸν ἄνθρωπον ἔφη θερμότατον ὑπάρχειν αὐτοῦ, καθάπερ ψυχρότατον ἐν τῇ τοῦ γήρως ἐσχάτῃ. οὐχ ἁπλῶς θερμότατον, ὥσπερ ἐν τοῖς καύσοις πυρετοῖς, ἀλλὰ τῷ ἐμφύτῳ θερμῷ θερμότατον εἴπομεν εἶναι τὸ γεγενημένον ἄρτι παιδίον τῇ οὐσίᾳ. διὰ τοῦτο οὖν ἐν ἀφορισμοῖς, πρῶτον μὲν ἔφη. τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν, ἀλλὰ τοῦτον μὲν ἤδη προὔγραψα τὸν ἀφορισμόν. ἄλλα δὴ ὁμολογοῦντα αὐτῷ, γράφει κατὰ λέξιν οὕτως. αἱ κοιλίαι χειμῶνος καὶ ἦρος, θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι. ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσι, καὶ τὰ προσάρματα πλείω δοτέον, καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πολύ, τροφῆς οὖν πλείονος δεῖται, σημεῖον δὲ αἱ ἡλικίαι, καὶ οἱ ἀθληταί. τὸ ἔμφυτον θερμὸν ἔφη πλεῖστον εἶναι χειμῶνος, οὗ τὸ ἐπίκτητον ἐπὶ τοῦ θέρους πλεονάζει. μηκύνειν δὴ οὐ χρὴ περὶ τῆς γνώμης αὐτοῦ, κατὰ τόνδε τὸν λόγον,

CAPVT VII.

Quæ Hippocratis, quæ Platonis sententia fuerit de calore natiuo.

B AC reliquæ sanè libri rationes summatim compendij gratia explicabuntur, in quibus inter se viri consentiunt, & in quibus dissentiunt, vberiúsque in futura expositione iterum dicetur. Quum itaque Hippocrates dicat semper insitum calorem omnium naturæ operum esse quammaximè causam, Plato non calorem, sed ignem nominet, videamus autem quomodo animantium corpora ab eo gubernari pronunciet. Omne animal in sanguine & venis calorem suum prorsus obtinet, ceu in seipso fontem quendam ignis; itaque omnia probè dixit. Non enim ex attritu arteria-C rum, spiritus calor in animantium corporibus generatur, sicuti foris in lapidibus & lignis, sed contrà ab innato calore motus ipsorum fiunt. Quum igitur corpus perfrigeratum est algore, aut medicamento, aut nullo aliorum quæ in ipso sunt alterato, cessant quidem protinus arteriarum motus, item in neruis & musculis. Non igitur ignis fontem, sed potiùs insiti caloris, præstiterat dixisse in corporibus nostris, quemadmodum Hippocrates semper nominat. Si enim ab igne ciborum fit concoctio, distributio, sanguificatio, & nutritio; meliùs vtique in febricitantibus acutè, D hæc perfici viderentur. Sed insitus calor temperatus est, substantia quidem in sangine, & pituita consistens potissimum; qualitate autem mixtus temperatè ex caliditate & frigiditate. Tutius igitur Hippocrates dixit. *Qui crescunt, plurimum innati caloris obtinent; itaque plurimo cibo indigent; alioqui corpus absumitur. Senibus verò parum caloris inest, & ob eam rem paucis egent fomitibus, quippe quia multis oppressi extinguuntur. Hinc etiam febres non æquè acutæ senibus accidunt, corpus enim eorum frigidum* E *est.* Hac igitur ratione etiam in libro de natura hominis, prima ætate hominem calidissimum esse se ipso retulit, sicuti frigidissimum in extrema senecta, non simpliciter calidissimum, quemadmodum in ardentibus febribus, sed insito calore calidissimum esse diximus substantiâ puerum nuper natum. Propterea igitur in aphorismis primum quidem scripsit. Qui crescunt, plurimum habent caloris innati. Sed iam priùs citaui aphorismum. Alia verò quæ ipsi consentiunt, ad verbum sic tradit. *Ventres hyeme & vere natura calidissimi sunt, & somni longissimi.* F *Itaque per ea tempora cibi liberalius dari debent. Caloris enim natiui copia magna inest, vt cibus proinde plenior requiratur, argumento ætates sunt, & athletæ.* Insitum calorem hyeme esse copiosissimum tradidit, cuius ascititius æstate abundant. Verùm in sententia hoc sermone explicanda immorari diutius non oportet, quum

quum aphorismos commentariis septem exposuerim; alium verò librum aduersus Quinti discipulum Lycum conscripserim, qui quum non intelligeret cuiusmodi insitum calorem vellet, aphorismis nuper citatis contradixit. In præsentia igitur sufficiet Platonis verba apponere, quæ in Timæo de alimenti distributione disputans conscripsit. Orditur ea hoc pacto. *Hinc verò aquæductum hoc modo deduxerunt, quem facilius perspiciemus, si hoc inter nos primum conueniat, nempe quòd quæcunque ex minutioribus componuntur, ea maiora continent; quæ verò ex grandioribus, minutiora non possunt. Ignis autem præ cæteris omnibus minutissimis constat particulis; ideóque aquam, aërem, terram, & quæ ex his componuntur omnia, penetrat, vsque adeò vt nihil ipsum valeat cohibere. Idem quoque de nostro ventre cogitandum est; quippe cibos & potus ingestos retinet; spiritum verò & ignem, quum ij consistentia tenuissimi sint, cohibere non potest. His igitur vsus est Deus ad irrigationem ex ventre in venas perficiendam, quare reticulum ex aëre & igne instar gibbosæ lagenæ contexuit.* Ideò aëre & igne vti naturam ad cibi concoctionem, sanguificationem & distributionem rectè dictum est. Rete autem ex ipsis factum esse, & non per tota temperamentum, minus laudo, sicuti nec quòd ignem nominet ipse, quum liceat, vt Hippocrates ait, insitum calorem, sed videtur ita appellare, vt nos admoneat, propter ignis mixtionem cum aliis elementis calorem corporis foràs ex alto efferri. Videtur autem nonnunquam etiam ignis nomen ad calidi appellationem transferre, veluti & in hac oratione. *Calorem sanè secundum naturam putandum est in regionem suam extra ad id quod sibi connatum est, emanare.* His consentiunt hæc quoque. *Et ob hanc rationem per totum omnium animalium corpus, alimenti liquores ita fluxiles euaserunt, recenter autem incisi, & à cognatis suis accepti, partim fructibus, partim germinibus, quæ Deus alimoniam corporis nostri produxit. Colores quidem propter commistionem omnigenos obtinent, sed rubens color plurimus in his præualet, cuius natura ex ignis portione & abstersione in humido facta prouenit. Propterea eius quod in totum corpus permanet, color, talis aspectus est, qualem diximus, quod etiam sanguinem appellamus.* Rubrum colorem generari dicit in sanguine, propter ignis abstersionem, quod est veluti depositio suæ qualitatis facultatísque. Quare ex ignei elementi & humiditatis suscipientis id, temperamento, generari sanguinem affirmat. Quum autem humiditas non exacta aquæ sit, sed terrestre etiam aliquid obtineat, vt crassities eius innuit, ex omnibus sanguis procreatus est, assumens necessariò substantiæ aëreæ quoque nonnihil, vt alibi ostensum est. Apparet autem & in his Plato Hippocratem sequi, nam insitum calorem authorem esse pronunciat ciborum in ventriculo concoctionis, & inde in iecur venásque distributionis, præterea vt sanguis fiat, & in totum corpus feratur, concoquatúrque.

τοὺς μὲν ἀφορισμοὺς ἐξηγησαμένου δι' ὑπομνημάτων ἑπτά, βιβλίον δ' ἄλλο γεγραφότος πρὸς τὸν Κοΐντου μαθητὴν Λύκον, ὃς οὐ νοήσας ὁποῖόν τι τὸ ἔμφυτον θερμὸν ὁ Ἱπποκράτης βούλεται, ἀντεῖπε πρὸς τοὺς εἰρημένους ἀρτίως ἀφορισμούς. νῦν οὖν ἀρκέσει τὰς τοῦ Πλάτωνος παραγράψαι ῥήσεις, ἃς ἐν τῷ περὶ τροφῆς ἀναδόσεως λόγῳ κατὰ τὸν Τίμαιον ἔγραψεν, ἄρχεται δ' αὐτῶν ὧδε. τὸ ἐντεῦθεν ἤδη τὴν ὑδραγωγίαν κατεσκευάσατο τρόπῳ τινὶ τοιῷδε, ὃν κατοψόμεθα ῥᾷον προδιομολογησάμενοι τὸ τοιόνδε· ὅτι πάντα ὅσα ἐξ ἐλαττόνων συνίσταται στέγει τὰ μείζω, τὰ δ' ἐκ μειζόνων τὰ σμικρότερα οὐ δύναται. πῦρ δὲ πάντων μερῶν μικρομερέστατον, ὅθεν δι' ὕδατος, καὶ γῆς ἀέρος τε, καὶ ὅσα ἐκ τούτων συνίσταται διαχωρεῖν, καὶ στέγειν οὐδὲν αὐτὸ δύναται. ταὐτὸν δὴ καὶ περὶ τῆς παρ' ἡμῖν κοιλίας διανοητέον, ὅτι σιτία μὲν καὶ ποτὰ ὅσα ἂν εἰς αὐτὴν ἐμπέσῃ, στέγει. πνεῦμα δὲ καὶ πῦρ σμικρομερέστατα ὄντα, τῆς αὐτῆς συστάσεως οὐ δύναται. τούτοις οὖν κατεχρήσατο θεὸς εἰς τὴν ἐκ τῆς κοιλίας ἐπὶ τὰς φλέβας ὑδρείαν, πλέγμα ἐξ ἀέρος, καὶ πυρὸς ὂν οἷοι οἱ κυρτοὶ ξυνυφηνάμενος. τὸ μὲν οὖν ἀέρι, καὶ πυρὶ χρῆσθαι τὴν φύσιν πρὸς πέψιν τροφῆς, αἱμάτωσίν τε καὶ ἀνάδοσιν ὀρθῶς εἴρηται. τὸ δ' ἐξ αὐτῶν πλέγμα γεγονέναι, καὶ μὴ δι' ὅλων κρᾶσιν, οὐκέτ' ἐπαινῶ. καθάπερ οὐδὲ τὸ πῦρ ὀνομάζειν αὐτόν, ἐξὸν ὡς Ἱπποκράτης, ἔμφυτον θερμόν. ἀλλ' ἔοικεν οὕτω καλεῖν, ἀναμιμνήσκειν ἡμᾶς βουλόμενος, ὅτι διὰ τὴν τοῦ πυρὸς μίξιν σὺν τοῖς ἄλλοις στοιχείοις, ἡ πρὸς τὰ ἐκτὸς ἐκ τοῦ βάθους φορὰ γίγνεται τῆς κατὰ τὸ σῶμα θερμασίας. φαίνεται γοῦν ποτε καὶ μεταλαμβάνων αὐτὸς εἰς τὴν τοῦ θερμοῦ προσηγορίαν, τὸ τοῦ πυρὸς ὄνομα. καθάπερ καὶ κατὰ τήνδε τὴν ῥῆσιν. τὸ θερμὸν δὴ κατὰ φύσιν εἰς τὴν ἑαυτοῦ χώραν ἔξω, πρὸς τὸ συγγενὲς ὁμολογητέον ἰέναι. τούτοις δ' ὁμολογεῖ, καὶ τάδε. καὶ διὰ ταῦτα δὴ καθ' ὅλον τὸ σῶμα, ἅπασι τοῖς ζώοις τὰ τῆς τροφῆς νάματα οὕτως ἐπίρρυτα γεγονέναι. νεότμητα δὲ καὶ ἀπὸ συγγενῶν ὄντα, τὰ μὲν καρπῶν, τὰ δὲ χλόης, ἃ ὁ θεὸς ἐπ' αὐτὸ τοῦτο ἡμῖν ἐφύτευσεν εἶναι τροφήν, παντοδαπὰ μὲν χρώματα ἴσχει διὰ τὴν σύμμιξιν. ἡ δ' ἐρυθρὰ πλείστη περὶ αὐτὰ χρόα διαθεῖ, τῆς τοῦ πυρὸς τομῆς τε καὶ ἐξομόρξεως ἐν ὑγρῷ δεδημιουργημένης φύσεως, ὅθεν τοῦ κατὰ τὸ σῶμα ῥέοντος τὸ χρῶμα ἔσχεν οἵαν ὄψιν διεληλύθαμεν, ὃ καὶ καλοῦμεν αἷμα. τὴν ἐρυθρὰν χρόαν γεννᾶσθαί φησιν ἐν τῷ αἵματι διὰ τὴν τοῦ πυρὸς ἐξόμορξιν, ὅπερ ἐστὶν οἷον ἐναπόθεσις τῆς αὐτοῦ ποιότητός τε καὶ δυνάμεως, ὥστ' ἐκ κράσεως τοῦ τε πυρώδους στοιχείου, καὶ τῆς δεξαμένης ὑγρότητος, αὐτὸ γεννᾶσθαί φημι τὸ αἷμα. τῆς δ' ὑγρότητος οὐκ ἀκριβοῦς ὕδατος ὄντος, ἀλλά τι καὶ γεῶδες ἐχούσης, ὡς δηλοῖ τὸ πάχος αὐτοῦ, ἐξ ἁπάντων ἐγεννήθη τὸ αἷμα, προσλαμβάνον ἐξ ἀνάγκης τι καὶ τῆς ἀερώδους οὐσίας, ὡς ἐν ἑτέροις δέδεικται. φαίνεται τοιγαροῦν κἀν τούτοις ὁ Πλάτων ἑπόμενος τῷ Ἱπποκράτει. τὸ γὰρ ἔμφυτον θερμὸν αἴτιον εἶναί φησι, τῆς τε κατὰ τὴν γαστέρα πέψεως τῶν σιτίων, καὶ τῆς ἐντεῦθεν εἰς ἧπάρ τε, καὶ φλέβας ἀναδόσεως, καὶ προσέτι τῆς αἱματώσεως, καὶ τῆς εἰς ὅλον τὸ σῶμα φορᾶς τε καὶ πέψεως.

A

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὅτι τὴν ὁλκὴν οὐκ ἔγνω ὁ Πλάτων, καὶ διὰ τοῦτο τὴν περὶ τῆς αἰτίας τῆς ἀναπνοῆς ψευδῆ κατέλιπε δόξαν.

ΕΝ μέντοι τῇ περὶ ἀναπνοῆς δόξῃ διηνέχθη πρὸς ἑαυτὸν οὐ σμικρά. πρῶτον μὲν τῆς διαπνοῆς μᾶλλον αἰτίαν εἰπεῖν, οὐκ ἀναπνοῆς, εἶτ' οὐδὲ ταύτης ἀμέμπτως, ἀναιρεῖ γὰρ ὁλκὴν, ᾗ πρὸς πολλὰ τῶν φυσικῶν ἔργων ὁ Ἱπποκράτης χρῆται, διὰ τοῦτ' ἠναγκάσθη τῶν ἐνεργειῶν ἐνίας οὐκ ἄνευ τῆς ὁλκῆς γιγνομένας εἰς περίωσιν ἀναφέρειν. ὁποῖον μὲν οὖν τι τὸ ὁλκῆς ἐστιν, ἔνεστί σοι μαθεῖν, αὐλίσκου τὸ μὲν ἕτερον στόμιον εἰς ὕδωρ καθέντι, τὸ δὲ ἕτερον περιλαβόντι τοῖς χείλεσιν. ἕλκοντι γὰρ καὶ μυζῶντι διὰ τῶν χειλέων τὸν ἐκ τοῦ αὐλίσκου ἀέρα, συνακολουθήσει τὸ ὕδωρ· οὕτως δὲ καὶ τὰ παιδία τῇ περιθέσει τῶν χειλέων, ἔκ τε τῶν τιτθῶν ἕλκει τὸ γάλα, κἀκ τῶν βομβυλιῶν τὸ περιεχόμενον ἐν αὐτοῖς ὑγρόν. ἀλλὰ καὶ αἱ τῶν χαλκέων φῦσαι διαστελλόμεναι τὸν ἔξωθεν ἀέρα, διὰ τῶν προσκειμένων αὐταῖς αὐλίσκων ἕλκουσιν ἐκπληρώσοντα τὴν διαστολήν. ὁμοίως δὲ καὶ τοῖς ζώοις ὁ θώραξ διαστελλόμενος, ἕλκει διὰ τῆς τραχείας ἀρτηρίας ἀναγκαίως εἰς τὸ στόμα τὸν ἔξωθεν ἀέρα, μικρὸν δ' ὕστερον ἐκθλίβει συστελλόμενος ἐν ταῖς ἐκπνοαῖς. τουτὶ μὲν τὸ ἔργον ἐν τῷ δευτέρῳ περὶ μυῶν κινήσεως ἐδείχθη προαιρετικόν. τὸ δὲ ἕτερον ὃ καλεῖται σφυγμὸς, ὑπό τε τῆς καρδίας, καὶ τῶν ἀρτηριῶν, γίγνεται τῇ μὲν διαστολῇ, διὰ τῶν εἰς τὸ δέρμα καθηκόντων στομάτων ἑλκουσῶν τῶν ἀρτηριῶν εἰς τὸ σῶμα τὸν ἔξωθεν ἀέρα, τριῶν ἕνεκα χρειῶν, ἐμψύξεως, ῥιπίσεως, γενέσεως πνεύματος ψυχικοῦ. τῇ συστολῇ δ' ἐκθλιβουσῶν ὅσον αἰθαλῶδες, ἢ καπνῶδες ἐγεννήθη κατ' αὐτὰς τῶν χυμῶν· ἀποδέδεικται δὲ περὶ μὲν ἀναπνοῆς, ἐν τῷ περὶ χρείας ἀναπνοῆς ὑπομνήματι, περὶ δὲ σφυγμῶν, ἐν τῷ περὶ χρείας σφυγμῶν. ὅτι δ' ὁ θώραξ διαστελλόμενος ἕλκει τὸν ἔξωθεν ἀέρα, κατὰ τὰ περὶ θώρακος, καὶ πνεύμονος κινήσεως ὑπομνήματα δέδεικται. τίνες δ' εἰσὶν οἱ διαστέλλοντες αὐτὸν μύες ἢ τίνες οἱ συστέλλοντες, ἐν τοῖς περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων ἐδείχθη. τὰ δ' ἕκαστον τούτων τῶν μυῶν νεῦρα κινοῦντα, πάντ' ἐκ τοῦ νωτιαίου πέφυκεν, οὐ κατ' ἐμὲ μόνον, ἀλλὰ καὶ κατὰ πάντας τοὺς ἀνατομικούς, αὐτὸς δ' ὁ νωτιαῖος ἐξ ἐγκεφάλου, ὥστ' ἐκείνου διὰ μέσου τοῦ νωτιαίου τὰ νεῦρα τὴν καθ' ὁρμὴν κίνησιν ἐπιφέρει τοῖς τοῦ θώρακος μυσὶν, ὑφ' ὧν διαστελλόμενος, ἕλκει τὸν ἔξωθεν ἀέρα διὰ τοῦ λάρυγγός τε, καὶ τῆς τραχείας ἀρτηρίας εἰς τὸν πνεύμονα, συστελλόμενος δ' ἐκθλίβει διὰ τῶν αὐτῶν. ἥμαρτεν οὖν ὁ Πλάτων, μὴ βουληθεὶς ἀκολουθῆσαι τῷ Ἱπποκράτει λέγοντι κατὰ τὸ περὶ φύσεως ἀνθρώπου βιβλίον. καὶ ταῦτα ποιήσει σοι πάντα πᾶσαν ἡμέραν καὶ νύκτα, καὶ χειμῶνα, καὶ θέρος; μέχρις ἂν δυνατὸς ᾖ τὸ πνεῦμα ἕλκειν εἰς ἑωυτὸν, καὶ πάλιν μεθιέναι. ἕλκει μὲν οὖν ἐς ἑωυτὸν ὁ ἄνθρωπος τὸν ἔξωθεν ἀέρα διὰ τοῦ στόματος εἰς τὸν πνεύμονα, διὰ δὲ τοῦ δέρματος, εἰς τὰς ἀρτηρίας, ἀντεκπέμπει δὲ δι' ὧν ἔλαβεν αὖθις. ἡ μὲν οὖν ἑτέρα τῶν ἐνεργειῶν, ἀναπνοὴ καλεῖται. διαπνοὴ δ' ἡ διὰ τοῦ δέρματος. ἃς ἀμφοτέρας εἰς ἓν συναγαγὼν ὁ Πλάτων, οὔτε συνημμένας ἀλλήλαις, οὔθ' ὑπὸ μιᾶς δυνάμεως γιγνομένας ὡς ἐπιδέδεικται, δι' ὧν εἶπον ἀρτίως ὑπομνημάτων τὸν περὶ τῆς ἀναπνοῆς λόγον ἐν Τιμαίῳ συνέθηκεν ἔχοντα κατὰ λέξιν ὧδε. πάλιν δὲ τὸ τῆς ἀναπνοῆς ἴδωμεν πάθος αἷς χρώμενον αἰτίαις, τοιοῦτον γέγονεν οἷόνπερ νῦν ἐστιν. ὧδ' οὖν ἐπειδὴ κενὸν οὐδέν ἐστιν

CAPVT VIII.

Quòd attractionem non nouerit Plato, ac ideo de causa respirationis falsam protulerit sententiam.

SEd in opinione de respiratione, ipse ab eo non mediocriter dissentit. Primùm sanè quòd perspirationis potiùs causam dicat, quàm respirationis, deinde neque huius inculpatè, tollit enim attractionem, quâ ad multa naturæ opera Hippocrates vtitur, eóque coactus est actionum nonnullas, quæ non citra attractionem fiunt, ad circuitum referre. Qualis igitur attractio sit, licet tibi condiscere, fistulæ altero orificio in aquam demisso, altero labris comprehenso. Trahentem namque & sugentem labris aërem ex fistula, aqua subsequetur. Ita etiam infantes labris impositis ex papillis lac extrahunt, & vasculis angusti oris, bombyliis dictis, liquorem in ipsis comprehensum; imò etiam fabrorum folles quum attolluntur, exteriorem aërem per fistulas ipsis annexas trahunt, eleuationem explêturum. Similiter & animantibus thorax eleuatus per asperam arteriam necessariò externum aërem in os attrahit paulò post contractus in expirationibus extundit. Hoc sanè opus in secundo de musculorum motu, ostensum est arbitrarium; alterum verò, quod vocatur pulsus, à corde & arteriis fit, dilatatione quidem per arteriarum ora in cutem pertinentia, quæ externum aërem in corpus trahunt, triplicis vsus gratia, refrigerij, euentilationis, & spiritus animalis generationis; contractione verò, arteriæ extrudunt quicquid fuliginosum fumosúmve ex humoribus in ipsis procreatum est. Verùm de respiratione in commentario de vsu respirationis demonstratum est, de pulsibus autem in commentario de vsu pulsuum. Quòd autem thorax eleuatus externum aërem trahat, in commentariis de thoracis & pulmonis motu agitatum est. Qui rursus ipsos attollant musculi, aut qui contrahant, in libris de respirationis causis ostendi. Cæterùm nerui singulos hos musculos mouentes, omnes ex spinali medulla processerunt, non me authore solùm, sed etiam omnibus anatomicis. Ipsa verò spinalis medulla ex cerebro oritur; quare illius per mediam spinalem medullam nerui, arbitrarium motum thoracis musculis communicant, à quibus eleuatus externum aërem per fauces & asperam arteriam in pulmonem attrahit; contractus autem per eadem exprimit. Itaque Plato peccauit, qui Hippocratem sequi noluerit in libro de natura hominis ita scribentem. *Atque hæc fient tibi omnia, omni die & nocte, hyeme & æstate quousque spiritum in te ipso possis attrahere, & rursus emittere.* Trahit itaque in se externum aërem homo per os in pulmonem, per cutim in arterias. Remittit autem rursus per quas vias accepit; quapropter altera actionum respiratio vocatur; perspiratio altera, quæ per cutem fit. Quas vtrasque quum in vnum Plato congregasset, neque commissas inuicem, neque ab vna facultate factas, vt ostensum est, commentariis quos nuper citaui sermonem de respiratione in Timæo composuit, qui ad verbum ita habet. *Sed videamus iterum quibus causis respiratio hunc in modum, quem nunc cernimus, fuerit instituta: cuius quidem rei talis erit consideratio,*

cum

cum vacuum nusquam sit, quo quicquam eorum quæ perferuntur, ingredi queat; spiritus autem è nobis extra effertur, mox autem omnibus constat non in vacuum quidem hunc spiritum euolare, sed proximum sibi è sua sede depellere, depulsum rursus illum proximum sibi semper extrudere, ac secundum necessitatem huiusmodi, quicquid in sedem illam repercutitur atque impellitur, vnde exclusus est spiritus, ingressum illuc, replensque ipsam, spiritum comitatur, idque totum simul reuolutione quadam quasi circumacta rota, quia nusquam sit vacuum efficitur. Quamobrem quum pectus pulmonésque spiritum efflauerint, mox aëre corpori circumfuso, intrò per rariores carnes subeunte circumactóque locus repletur. Rursus autem auersus aër, & per corpus foràs emanans, respirationem intrò retrahit per oris nariúmque transitum. Rotæ circumuolutione non simplicem intelligere conuenit, sed ex contrariis compositam motibus quando sanè ad cutem natiuus calor eruperit, externo aëre in corpus per os impulso adactóque; quando autem rursus per os foràs eruperit, aëre nobis circumfluo per cutem in corpus impulso, vt actio quidem sit per naturam nostram expiratio & perspiratio, affectus autem inspiratio, non solùm quæ per os fit, sed etiam quæ per cutem, neque in altera ipsarum Plato vtitur arbitrio nostro, & si manifestò in nobis sit citiùs, tardiùs, minùs, magis & frequentiùs inspirare & expirare. Præterea sermo Platonis coarguitur, & quòd post arteriarum contractionem oportebat statim inspirationem fieri, post expirationem, protinus arteriarum eleuationem. Verùm hoc ita accidere non videtur. At si velimus longiori tempore respirationem cohibere, statim arteriæ cum corde mouentur. Quin etiam eleuantur inspirantibus nonnunquam; contrahuntur expirantibus, & in vnius respirationis tempore septies aut octies aut etiam decies cor cum arteriis apparet eleuari, contrahique. Verùm & circumuolutionis ratio absurda est, nam ab expiratione aërem intrò rursus per cutem compulsum ferri, non necessarium est. Quippe quum expiratio contractionem respiratoriorum instrumentorum sequatur, illam contractionem subsequens aër nobis circumfusus, locum præbet ei quod expiratur. Porrò quòd & alia quæ tractionem è medio tollens Plato dixerit, absurdè sit aggressus, in expositione ipsorum dicetur.

εἰς ὃ τῶν φερομένων δύναιτ' ἂν εἰσελθεῖν τι, τὸ δὲ πνεῦμα φέρεται παρ' ἡμῶν ἔξω, τὸ μετὰ τοῦτο ἤδη παντὶ δῆλον, ὡς οὐκ εἰς κενὸν, ἀλλὰ τὸ πλησίον ἐκ τῆς ἕδρας ὠθεῖ. τὸ δὲ ὠθούμενον ἐξελαύνει τὸ πλησίον ἀεὶ, καὶ κατὰ ταύτην τὴν ἀνάγκην πᾶν περιελαυνόμενον εἰς τὴν ἕδραν, ὅθεν ἐξῆλθε τὸ πνεῦμα, εἰσιὸν ἐκεῖσε καὶ ἀναπληροῦν αὐτὴν συνέπεται τῷ πνεύματι, καὶ τοῦτο ἅμα πᾶν οἷον τροχοῦ περιαγομένου γίγνεται, διὰ τὸ κενὸν μηδὲν εἶναι. διὸ δὴ τὸ τῶν στηθῶν καὶ τοῦ πνεύμονος ἔξω μεθιὸν τὸ πνεῦμα, πάλιν ὑπὸ τοῦ περὶ τὸ σῶμα ἀέρος εἴσω διὰ μανῶν τῶν σαρκῶν δυομένου, καὶ περιελαυνόμενον γίγνεται πλῆρες. αὖθις δ' ἀποτρεπόμενος ὁ ἀὴρ, καὶ διὰ τοῦ σώματος ἔξω ἰὼν, ἔσω τὴν ἀναπνοὴν περιωθεῖ, κατὰ τὴν τοῦ στόματος, καὶ τὴν τῶν μυκτήρων δίοδον. τὴν τοῦ τροχοῦ περιαγωγὴν οὐχ ἁπλῶς δεῖ νοεῖν, ἀλλ' ἐξ ἐναντίων κινήσεων συγκειμένην, ὅταν μὲν ἐπὶ τὸ δέρμα τὸ ἔμφυτον ὁρμήσῃ θερμὸν, ὠθουμένου τε καὶ περιελαυνομένου τοῦ ἐκτὸς ἀέρος εἰς τὸ σῶμα διὰ τοῦ στόματος. ὅταν δ' αὖ πάλιν ὁρμήσῃ διὰ τοῦ στόματος ἔξω φέρεσθαι, περιωθουμένου τοῦ περιέχοντος ἡμᾶς ἀέρος εἰς τὸ σῶμα διὰ τοῦ δέρματος, ὡς ἐνέργειαν μὲν εἶναι διὰ τῆς φύσεως ἡμῶν τὴν ἐκπνοὴν, καὶ διαπνοὴν, πάθος δὲ τὴν εἰσπνοὴν, οὐ μόνον τὴν διὰ τοῦ στόματος, ἀλλὰ καὶ τὴν διὰ τοῦ δέρματος. ἐν οὐδετέρᾳ δ' αὐτῶν ὁ Πλάτων προσχρῆται τῇ προαιρέσει, καίτοι φανερῶς ἐν ἡμῖν ὄντος, καὶ τοῦ θᾶττον, καὶ βραδύτερον, ἔλαττόν τε, καὶ πλέον, καὶ πυκνότερον εἰσπνεῦσαί τε καὶ ἐκπνεῦσαι. ἔτι γ' οὖν ὁ λόγος τοῦ Πλάτωνος ἐλέγχεται, καὶ ὅτι μετὰ τὴν συστολὴν τῶν ἀρτηριῶν ἐχρῆν εὐθέως εἰσπνοὴν γίγνεσθαι, μετὰ δὲ τὴν ἐκπνοὴν, εὐθέως διαστολὴν τῶν ἀρτηριῶν. φαίνεται δ' οὐχ οὕτω συμβαῖνον, ἀλλ' ἐὰν θελήσωμεν ἐπισχεῖν πλέονι χρόνῳ τὴν ἀναπνοὴν, εὐθέως αἱ ἀρτηρίαι μετὰ τῆς καρδίας κινοῦνται. καὶ μέντοι καὶ διαστέλλονται μὲν εἰσπνεόντων ἐνίοτε, συστέλλονται δ' ἐκπνεόντων, καὶ κατὰ μιᾶς ἀναπνοῆς χρόνον ἑπτάκις, ἢ ὀκτάκις, ἢ καὶ δεκάκις ἡ καρδία μετὰ τῶν ἀρτηριῶν φαίνεται διαστελλομένη τε καὶ συστελλομένη. ἀλλὰ καὶ αὐτὸς ὁ τῆς περιώσεως λόγος ἄτοπος, ὑπὸ γὰρ τῆς ἐκπνοῆς περιελαυνόμενον τὸν ἀέρα φέρεσθαι πάλιν ἔσω διὰ τοῦ δέρματος, οὐκ ἀναγκαῖον. ἑπομένης γὰρ τῆς ἐκπνοῆς τῇ συστολῇ τῶν ἀναπνευστικῶν, ἐκείνῃ τῇ συστολῇ ἀκόλουθον ὁ περικεχυμένος ἡμῖν ἀὴρ, χώραν παρέχει τῷ ἐκπνεομένῳ. ὅτι δὲ καὶ τἄλλα ὅσα τὴν ὁλκὴν ἀναιρῶν εἶπεν ὁ Πλάτων ἀτόπως ἐπικεχείρηται, κατὰ τὴν ἐξήγησιν αὐτῶν εἰρήσεται.

CAPVT IX.

De cibi & potus receptaculo.

NVnc enim abundè est ostendisse solùm in quibus consentiat dissentiátque cum Hippocrate. Apponamus igitur ei & reliqua; nam in sermone de vsu respirationis, Plato videtur Hippocratem imitari, qui inspirationem vult natiui caloris refrigerandi gratia fieri, expirationem verò vt fuliginosa recrementa effundantur, perspiréntque. In qua autem oratione hæc docet, etiam percensuit quomodo potus in pulmonem feratur. Verba ipsius hæc sunt. *Quum verò cognoscerent cordis saltu in malorum expectatione & iracundiæ æstu, quòd eiusmodi omnis dispositio irascentium per ignem futura sit, subsidium ipsi molientes pulmonis spe-*

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ ὑποδοχῆς τοῦ πόματός τε καὶ τοῦ ἐδέσματος.

Νυνὶ γὰρ ἀρκεῖ μόνον δεδηλῶσθαι, περὶ ὧν ὁμολογεῖται καὶ διαφέρεται τῷ Ἱπποκράτει. προσθῶμεν οὖν αὐτῷ καὶ τἄλλα. φαίνεται γὰρ ἐν τῷ περὶ χρείας ἀναπνοῆς λόγῳ συνακολουθῶν ὁ Πλάτων τῷ Ἱπποκράτει, βουλομένῳ τὴν μὲν εἰσπνοὴν ἐμψύξεως ἕνεκα γίγνεσθαι τῆς ἐμφύτου θερμασίας, τὴν δὲ ἐκπνοὴν ἀποχύσεως καὶ διαπνοῆς τῶν λιγνυωδῶν περιττωμάτων. ἐν ᾗ δὲ ταῦτα λέγει ῥήσει, καὶ περὶ τοῦ φέρεσθαι τὸ ποτὸν εἰς τὸν πνεύμονα διῆλθεν ἐχούσῃ κατὰ λέξιν οὕτως. τῇ δὲ δὴ πηδήσει τῆς καρδίας ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ, καὶ τῇ τοῦ θυμοῦ ἐγέρσει προγιγνώσκοντες, ὅτι διὰ πυρὸς ἡ τοιαύτη πᾶσα ἔμελλε διοίκησις γενέσθαι τῶν θυμουμένων, ἐπικουρίαν αὐτῇ μηχανώμενοι τὴν

τοῦ πνεύμονος ἰδέαν ἐνεφύτευσαν, πρῶτον μὲν μαλακὸν καὶ ἄναιμον, εἶτα σήραγγας ἐντὸς ἔχουσαν οἷον σπόγγου κατατετρημένας, ἵνα τὸ πνεῦμα καὶ πόμα δεχομένη ψύχουσα, ἀναπνοὴν καὶ ῥᾳστώνην ἐν τῷ καύματι παρέχοι. εἰ μὲν οὖν ἡγεῖται Πλάτων ἅπαν τὸ πόμα καταπίνειν ἡμᾶς εἰς τὸν πνεύμονα, δίκαιός ἐστι καταγινώσκεσθαι περιφανέστατον πρᾶγμα μὴ γινώσκων. εἰ δὲ μέρος τι τοῦ πόματος ἡγεῖτο διὰ τῆς τραχείας ἀρτηρίας παρωθούμενον, εἰς τὸν πνεύμονα καταφέρεσθαι, τῶν ἐνδεχομένων τι λέγει, παραπλησίως τε ἄλλων δογματικῶν, περὶ ὧν διαφέρονται πρὸς ἀλλήλους ἰατροί τε καὶ φιλόσοφοι. οὐ ταὐτὸν δ' ἐστὶν ἢ ψεῦδός τι λέγειν, ἢ καταγέλαστον, ἐπεί τοι καὶ αὐτὸν Ἐρασίστρατον ἐδείξαμεν ἔν τε τῷ περὶ χρείας ἀναπνοῆς, καὶ σφυγμῶν χρείας τε ἅμα καὶ γενέσεως, ἔτι δὲ καταπόσεώς τε καὶ πέψεως ἐσφαλμένον, ἀλλ' οὐ κατεγελάσαμεν αὐτοῦ, διότι μὴ πᾶν τὸ ψεῦδος, εὐθύς ἐστι καὶ καταγέλαστον. ἐπεί τοι δὲ καὶ περὶ φλεγμονῆς γενέσεως, καὶ πυρετοῦ διαγνώσεως ἔν τε τοῖς περὶ φλεβοτομίας λόγοις, καὶ ἄλλοις τισὶ θεραπευτικοῖς λογισμοῖς ἐδείχθη ἐσφαλμένος. καὶ μέντοι καὶ τῶν ἀπ' αὐτοῦ τις ἀντιστρέψας τὸν λόγον, ἡμᾶς φησι περὶ τούτων οὐκ Ἐρασίστρατον ἐσφάλθαι, οὐ μὴν οὔτε ἡμεῖς ἐκείνου καταγελάσομεν, οὔτ' ἐκεῖνος ἡμῶν: ἀδήλων γὰρ ὄντων τῶν δογμάτων, καὶ τῇ διὰ τοῦ λόγου πίστει τοῖς μὲν πιθανῶν, τοῖς δ' ἀπιθάνων φαινομένων, ὥσπερ τὸ τοῖς δόξασιν ἀληθὲς εἶναι συναγορεύειν ἀνεμέσητόν ἐστιν, οὕτω καὶ τὸ συγχωρεῖν ἑτέροις ἀντιλέγειν αὐτοῖς. τὸ δὲ σκώπτειν καὶ καταγελᾶν ὡς ἠλίθιον, ὃ δογματικῶς ἀμφισβητεῖται προπετές, οἷόν ἐστι καὶ τὸ παραρρεῖν τι τοῦ πόματος εἰς τὸν πνεύμονα, διά τε τοῦ λάρυγγος, καὶ τῆς τραχείας ἀρτηρίας, οὐκ ἀθρόον, οὐδὲ διὰ μέσης τῆς εὐρυχωρίας τοῦ ὀργάνου φερόμενον, ἀλλὰ περὶ τὸν χιτῶνα αὐτὸν δροσοειδὲς καταρρέον. τοῦτο μὲν οὖν εἴτ' ἀληθές, εἴτε ψεῦδός ἐστιν, ὀλίγον ὕστερον ἐπισκεψόμεθα. τὸν δὲ καταγέλαστον ὄντως λόγον, ὡς οὐκ εἰς τὴν γαστέρα φέροιτο διὰ τοῦ στομάχου τὸ ποτὸν, ἀλλ' εἰς τὸν πνεύμονα διὰ τῆς ἀρτηρίας ἅπαν, οὐδαμόθι Πλάτων εἶπεν. ἐν γοῦν αὐτῷ τούτῳ τῷ βιβλίῳ καθ' ὃ τὴν προειρημένην περὶ τοῦ πόματος ῥῆσιν ἔγραψεν, εἰς τὴν κοιλίαν ἔφη τὸ πινόμενον ὥσπερ τὰ σιτία φέρεσθαι, καὶ οὐχ ἅπαξ τοῦτ' εἶπεν, ἀλλὰ πάνυ πολλάκις, ὡς ἔνεστί σοι μαθεῖν ἐκ τῶν ῥήσεων αὐτοῦ, πρώτης μὲν τῆσδε, μετὰ τέτταρας πρώτους στίχους τῆς προειρημένης ὑπ' αὐτοῦ ῥήσεως γεγραμμένης. τὸ δὲ δὴ σιτίων τε καὶ ποτῶν ἐπιθυμητικὸν τῆς ψυχῆς, καὶ ὅσων ἔνδειαν διὰ τὴν τοῦ σώματος ἴσχει φύσιν, τοῦτο εἰς τὸ μεταξὺ τῶν φρενῶν, καὶ τοῦ πρὸς τὸν ὀμφαλὸν ὅρου κατῴκισαν. οὐκ ἐν τῇ καρδίᾳ καὶ τῷ πνεύμονί φησι τὸ τῶν σιτίων καὶ ποτῶν ἐπιθυμητικὸν, ἀλλὰ κατωτέρω τοῦ διαφράγματος εἶναι. φρένας γὰρ οὐχ οὗτος μόνος, ἀλλὰ καὶ οἱ ἄλλοι παλαιοὶ τὸ διάφραγμα προσηγόρευον. κατωτέρω δὲ τῶν φρενῶν τούτων, ἥ τε γαστὴρ κεῖται καὶ τὰ ἔντερα, καὶ τὸ ἧπαρ αὐτὸ περὶ οὗ νῦν ποιεῖται τὸν λόγον. καὶ μέντοι καὶ μετ' ὀλίγα πάλιν φησί. τὴν ἐσομένην ἡμῖν ποτῶν, καὶ ἐδεσμάτων ἀκολασίαν εἴδεσαν οἱ ξυντιθέντες ἡμῶν τὸ γένος, καὶ ὅτι τοῦ μετρίου καὶ ἀναγκαίου διὰ μαργότητα πολλῷ χρησοίμεθα πλέονι. ἵν' οὖν μὴ φθορὰ διὰ νόσους ὀξείας γίγνοιτο, καὶ ἀτελὲς εὐθὺς τὸ γένος τὸ θνητὸν τελευτῴη, ταῦτα προορώμενοι, τὴν γενησομένην πόματος ἐδέσματός τε, τὴν ὀνομαζομένην κάτω κοιλίαν ὑποδοχὴν ἔθεσαν. καὶ κατωτέρω δὲ πάλιν ἐν ταὐτῷ συγγράμματι τάδε γράφει. ταὐτὸν δὴ καὶ περὶ τῆς παρ' ἡμῖν κοιλίας διανοητέον, ὅτι σιτία μὲν καὶ ποτὰ ὅταν εἰς αὐτὴν ἐμπέσῃ, στέγει.

ciem construxerunt; primum quidem mollem & exanguem, deinde autem fistulas intus spongiæ modo perforatas habentem, vt spiritum potúmque excipiens, refrigerium respiratione & refocillationem in æstu exhibeat. Si igitur Plato autumat omnem nos potum in pulmonem haurire, iure damnatur manifestissimæ rei inscius. Si autem partem aliquam potus per asperam arteriam adactam in pulmonem deferri censet; dicit aliquid eorum quæ fieri possunt, similitérque aliorum dogmatum, de quibus inter se & medici & philosophi dissentiunt. Non idem autem est mendacium aliquod dicere, aut ridiculum, quoniam & ipsum Erasistratum ostendimus, tum in libro de vsu respirationis, tum de pulsuum vsu simul & generatione, præterea deglutitionis concoctionísque, errasse, sed non ipsum derisimus, quoniam non quodlibet mendacium statim est etiam ridiculum. Item nec quia de inflammationis generatione, & febris dignotione in libris de missione sanguinis per venas, aliísque nonnullis curatoriis disputationibus aberrasse ostensus est. Quinetiam ipsius sectatorum aliquis sermonem inuertens. Nos, inquit, in his non Erasistratum falsum esse, non tamen neque nos illum derisimus, neque ille nos. Nam quum dogmata obscura sunt, & fide quæ rationibus fit, aliis probabilia, aliis improbabilia videntur, vt opinantibus verum esse assentiri, culpa vacat, ita etiam concedere aliis vt ipsis contradicant. At conuitiari & deridere tanquam stultum, de quo dogmaticè ambigitur, temerarium; cuiusmodi est, & nonnihil potus in pulmonem confluere, & per laryngem, & per asperam arteriam non confertim, neque per mediam spatij laxitatem instrumenti delatum, sed circa tunicam roris modo defluens. Hoc igitur verúmne sit an falsum, paulò post considerabimus. At ridiculum reuerà sermonem, quòd non in ventrem per stomachum potus tendat, sed in pulmonem per arteriam totus, nusquam Plato dixit; nam in ipso hoc libro, quo commemoratam de potu orationem scripsit potum quemadmodum cibos in ventrem deferri pronunciauit, ídque non semel, sed admodum frequenter, vt licet ex verbis ipsius tibi condiscere; primis quidem his post quatuor primos versus comprehensæ ab eo sententiæ conscriptis. *Eam animæ facultatem, quæ cibum & potum concupiscit, & reliqua, quibus propter corporis naturam indiget, medias inter phrenas & vmbilici terminum regione collocarunt.* Non in corde & pulmone cibi potúsque appetitoria, sed infra septum transuersum esse tuetur. Phrenas enim non hic solus, sed etiam alij veteres septum transuersum appellarunt. Cæterùm infra has phrenas & venter situs est, & intestina, & iecur ipsum, de quo nunc est mentio. Quinetiam paulò post rursus inquit. *Cognoscebant profecto generis nostri fabricatores, nos ad cibum potúmque fore intemperatos, ac propter ingluuiem plusquam modus & necessitas postularet, ex his sumpturos. Igitur ne interitus propter morbos acutos oboriretur, & imperfectum mox genus desineret, hæc præuidentes, inferiorem ventrem appellatum fabricati sunt, qui potum cibúmque suscipiat.* Rursus autem paulò inferiùs eodem in libro hæc scribit. *Idem porrò de nostro ventre considerandum est quod cibos & potus ingestos potest retinere;*

spiritum

ſpiritum autem & ignem quæ conſiſtentiâ eius longè ſunt tenuiora non poteſt. Rurſus igitur & hîc maniſeſtè dixit cibum potúmque in ventriculum noſtrum venire, ac humoris qui in ipſo ex horum mixtione factus eſt, in venas diſtributionem, irrigationem nominauit, propter humiditem; poſt ſuperiùs comprehenſa in eum modum ſcribens. *His itaque vſus eſt Deus, ad irrigationem ex ventriculo in venas.* Ac deinde iterum non multò poſt commemorata hoc pacto inquit. *Quando enim intrò & foràs reſpiratione meante, ignis interior coniunctus ſequitur diuiſus ſemper per ventrem ingreſſus cibum potúmque capit, liquefacit ſanè, & minutim diuidens, tanquam ex fonte quodam educit ad riuos videlicet venarum, quæcunque exhauſit, atque per corpus quaſi conuallem venarum quædam fluenta facit.* Porrò ſubſequentibus tueri videtur eandem opinionem, tum in ſermonibus de reſpiratione & concoctione vniuerſis; quare à ſtolida opinione receſſit; ac oportet eos potiùs qui putarunt ipſum tam eſſe imperitum rudémque vt exiſtimauerit potum omnem in pulmones deferri, criminari quòd mentiantur. Porrò ſi quis an potus aliquid in pulmonem ſecundum interiorem tunicam laryngis, & aſperæ arteriæ feratur, ipſe in ſe volet experiri, poteſt, accepta dum ſtat, copioſa aqua in os, deinde decumbens ſupinus, aperiénſque modicè laryngis orificium. Penes nos enim eſt id tum aperire, tum claudere, ſiquidem quum aliquid ex ore in ipſum præterfluit, ſtatim ſentietur, quod ſanè & ſtrangulat, & excruciat amplius affectum. Quin & ipſam tuſſim irritantem tolerando aliquis poteſt cohibere, vt ſtatim exiguum quod ſtrangulat, ceſſet; nonnunquam, & tuſſicula oborta id quod angit, diſcuſſit, ne vna quidem ſpuitione facta; quo etiam conſtat, cumulatam potionem multam, tantámque, vt ſpiritus vias intercipiat, animal ad tuſſim irritare. At modicam adeò, vt circa interiorem tunicam laryngis & aſperæ arteriæ roris modo effundatur, neque irritare, neque omninò ſenſum ſui, quum per arteriam defertur, præbere. Verùm ſi etiam animal quodcunque volueris, ſitire facias, vt coloratam aquam bibere ſuſtineat, ac dederis vel cæruleo colore infectam, vel minio, deinde ſtatim iugulatum diſſecueris, pulmonem coloratum offendes. Liquet igitur manifeſtò aliquid ex potu in ipſum deferri.

A πνεῦμα δὲ καὶ πῦρ μικρομερέστερα ὄντα τῆς αὐτῆς συστάσεως, οὐ δύναται. πάλιν οὖν κἀνταῦθα σαφῶς εἶπεν εἰς τὴν κοιλίαν ἡμῶν ἀφικνεῖσθαι τά τε σιτία, καὶ τὰ πόματα, καὶ τοῦ γ' ἐν αὐτῇ κατὰ τὴν τούτων μίξιν γινομένου χυμοῦ τὴν εἰς τὰς φλέβας ἀνάδοσιν, ὑδρείαν ὠνόμασε διὰ τὴν ὑγρότητα, λέγων ἐφεξῆς τοῖς προγεγραμμένοις οὕτως. τούτοις οὖν κατεχρήσατο ὁ θεὸς εἰς τὴν ἐκ τῆς κοιλίας ἐπὶ τὰς φλέβας ὑδρείαν. κἀν τοῖς ἑξῆς δὲ πάλιν οὐ μετὰ πολλὰ τῶν εἰρημένων, ὧδέ πως φησι. ὅταν γὰρ εἴσω καὶ ἔξω τῆς ἀναπνοῆς ἰούσης τὸ πῦρ ἐντὸς συνημμένον ἕπηται, διαιωρούμενον δ' ἀεὶ διὰ τῆς κοιλίας εἰσελθὸν τὰ σιτία καὶ ποτὰ λάβῃ, τήκει δὴ καὶ κατὰ τὰ σμικρὰ B διαιροῦν διὰ τῶν ἐξόδων, ᾗ πορεύεται διάγον οἷον ἐκ κρήνης ἐπ' ὀχετοὺς ἐπὶ τὰς φλέβας ἀντλοῦν ταῦτα ῥεῖν, ἢ ὥσπερ αὐλῶνος, διὰ τοῦ σώματος τὰ τῶν φλεβῶν ποιεῖ ῥεύματα, καὶ διὰ τῶν ἑξῆς δὲ φυλάττειν φαίνεται τὴν αὐτὴν γνώμην, ἔν τε τοῖς περὶ τῆς ἀναπνοῆς καὶ πέψεως λόγοις ἅπασιν, ὥστε τῆς μὲν ἠλιθίου δόξης ἀπήλλακται, καὶ χρὴ τοὺς οἰηθέντας αὐτὸν οὕτως ἀνόητον ὑπάρχειν, ὡς ὑπολαβεῖν εἰς πνεύμονα φέρεσθαι τὸ ποτὸν ἅπαν, αὖθις ἐγκαλεῖσθαι μᾶλλον ἐφ' οἷς καταψεύδονται. περὶ δὲ τοῦ φέρεσθαί τι τοῦ πόματος εἰς τὸν πνεύμονα περὶ τὸν ἔνδοθεν χιτῶνα τοῦ τε λάρυγγος, καὶ τῆς τραχείας ἀρτηρίας, βουλόμενός τις αὐτὸς ἐφ' ἑαυτοῦ πειραθῆναι, C δύναται λαβὼν μὲν ἑστὼς τοῦ ὕδατος εἰς τὸ στόμα δαψιλές, εἶτα κατακλιθεὶς ὕπτιος, ὑπανοίγων τε βραχὺ τὸ στόμιον τοῦ λάρυγγος, ἐφ' ἡμῖν γάρ ἐστιν ἀνοιγνύναι τε καὶ κλείειν αὐτό. παραρρέοντος γάρ τινος εἰς αὐτὸν ἐκ τοῦ στόματος, αἰσθήσεται βραχέος, ὃ δὴ καὶ γαργαλίζει καὶ παροξύνει πλέον γινόμενον, ἀλλὰ καὶ αὐτὴν τὴν ἐρεθιζομένην βῆχα καρτερήσας, τίς δύναται κατασχεῖν, ὡς αὐτίκα παύσασθαι βραχέος τοῦ γαργαλίζοντος ὄντος. ἐνίοτε δὲ καὶ βηχίον μικρὸν γινόμενον, ἐσκέδασε τὸ γαργαλίζον, οὐδεμιᾶς ἀναπτύσεως γινομένης, ᾧ καὶ δῆλόν ἐστι τὸ ἀθρόον πόμα, καὶ πολύ, καὶ τοσοῦτον, ὡς καταλαμβάνειν τὰς ὁδοὺς τοῦ πνεύματος ἐρεθίζειν τὸ ζῶον εἰς D βῆχα. τὸ δ' οὕτως ὀλίγον, ὡς περὶ τὸν ἔνδον χιτῶνα τοῦ λάρυγγός τε, καὶ τῆς τραχείας ἀρτηρίας ἐκχεῖσθαι δροσοειδῶς, οὔτε ἐρεθίζον, οὔθ' ὅλως αἴσθησιν ἐργαζόμενον ἑαυτοῦ καταφερομένου διὰ τῆς ἀρτηρίας, ἀλλ' εἰ καὶ ζῶον ὅτι ἂν ἐθελήσαις διψῆσαι ποιήσεις, ὡς κεχρωσμένον ὕδωρ ὑπομεῖναι πιεῖν εἰ δοίης, εἴτε κυανῷ χρώματι χρώσας, εἴτε μίλτῳ, εἶτ' εὐθέως σφάξας ἀνατέμοις, εὑρήσεις κεχρωσμένον τὸν πνεύμονα, δῆλον οὖν ἐστιν ὅτι φέρεταί τι τοῦ πόματος εἰς αὐτόν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΚΑΘ' ΙΠΠΟΚΡΑΤΗΝ ΚΑΙ ΠΛΑΤΩΝΑ ΔΟΓΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

GALENI DE HIPPOCRATIS ET PLATONIS PLACITIS LIBER NONVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΕΝΝΑΤΩι.

Τὸν τοῦ διακρίνειν τὰς ὁμοιότητάς τε, καὶ τὰς ἀνομοιότητας λόγον διδάσκει, καὶ τοῦ τὴν ἀλήθειαν καθόλου ἐξευρίσκειν, προκειμένων τῶν παραδειγμάτων ἐξ Ἱπποκράτους καὶ Πλάτωνος.

ARGVMENTVM LIBRI NONI.

Docet rationem similitudinis, & dissimilitudinis distinguendæ, & veritatis in vniuersum indagandæ, propositis exemplis ex Hippocrate & Platone.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ μεθόδου τοῦ τήν ἀλήθειάν τε, καὶ τὸ ψεῦδος διακρίνειν ἐκ τῶν ὁμοίων, καὶ τῶν ἀνομοίων παραβαλλομένων.

ΕΠΕΙΔΗ περὶ πάντων ὧν ἀμφότεροι λέγουσιν, ὁ Ἱπποκράτης, καὶ ὁ Πλάτων ἐπισκέψασθαι προὔκειτο, λέλεκται δ' ἤδη περὶ τῶν μεγίστην δύναμιν ἐχόντων εἰς ἰατρικήν τε καὶ φιλοσοφίαν, καιρὸς ἂν εἴη τρέπεσθαι πρὸς τἄλλα. Φαίνεται δ' ἐν αὐτοῖς οὐ σμικρὰν δύναμιν ἔχειν ἐπίστασθαι διακρίνειν ἀπ' ἀλλήλων τὰ ὁμοιότατα. οὐ μόνον γὰρ ὅπου κοινωνοῦσιν ἐπίστασθαι χρήσιμον, ἀλλὰ πολλῷ μᾶλλον ἐν οἷς διαφέρονται. τὴν ἀρχὴν οὖν ἀπὸ τούτων ποιησόμεθα, δεικνύντες ὅτι τε καθόλου περὶ αὐτῶν ὡσαύτως ἀπεφήναντο, διά τε τῶν ἐν εἴδει παραδειγμάτων, ὁ μὲν τῆς ἰατρικῆς τέχνης, ὁ δὲ τῆς φιλοσοφίας ἐγύμνασαν ἡμᾶς. καὶ τρίτον, ὅτι δι' αὐτῶν ὧν ἐγύμνασαν ἐδίδαξαν ὁδὸν, ἣν προϊόντες ἐπὶ τὸ προκείμενον ἀφιξόμεθα. καθόλου μὲν οὖν ὁ Ἱπποκράτης ἀπεφήνατο, περὶ ὧν πλάνας καὶ διαπορείας, καὶ τοῖς ἀγαθοῖς ἰατροῖς παρέχει, ὁ δὲ Πλάτων, ὧδε. δεῖ ἄρα πρῶτον τὸν μέλλοντα ἀπατήσειν μὲν ἄλλον, αὐτὸν δὲ μὴ ἀπατηθήσεσθαι, τὴν ὁμοιότητα τῶν ὄντων καὶ ἀνομοιότητα ἀκριβῶς εἰδέναι. ὅπως δ' ἄν τω περιγένοιτο, τοῦτο ὁ Πλάτων σε διδάξει λέγων. ἆρ' οὖν οἷός τε ἔστιν ἀλήθειαν ἀγνοῶν τις ἑκάστου τοῦ ἀγνοουμένου ὁμοιότητα σμικράν τε, καὶ μεγάλην ἐν τοῖς ἄλλοις διαγινώσκειν; ἀδύνατον. ὅπως δὲ τὴν ἀλήθειαν ἑκάστου τῶν ζητουμένων,

CAPVT PRIMVM.

De methodo quâ & verum, & falsum dignoscitur, ex similium & dissimilium comparatione.

QVONIAM de omnibus quæ vtrique, Hippocrates & Plato tradunt, considerare erat institutum, tractatúmque à me iam est de iis quæ plurimum possunt tum ad medicinam tum ad philosophiam, tempestiuum fuerit vt ad alia me conuertam. Porrò videtur in ipsis non parum valere, similitudinem rerum inuicem posse discernere. Non solùm enim quomodo inter se conueniant, scire conducit, sed multò magis in quibus dissentiant. Itaque initium ab his sumemus, ostendentes tum quod vniuersim illi de ipsis similiter pronunciarunt, tum quod ex [illegible] specialibus, hic artis medicæ, ille philosop[illegible] cuit. Ac tertium, quod per ea [illegible] quæ proposuerunt nobis, loco exercitij, viam o[illegible] re, qua procedentes ad institutum per[illegible] G[illegible]eratim itaque Hippocrates prot[illegible] it ea [illegible] di errandique occasionem ve[illegible] medicis præbet. Plato autem hunc in modum. *Conuenit igitur primùm, vt is qui decepturu[illegible] est, ipse a[illegible] non decipiatur, similitudinem rerum [illegible] dis[illegible] di[illegible] exactè cognoscat.* Quomodo autem aliqui[illegible] quatur id Plato te docebit inquiens. *Nunquid igitur singulorū veritatis inscius poterit eius quod ignoratur, [illegible] dinē in vniuersis paruam aut magnā dijudicare? Nullus potest.* Quomodo autem vniuscuiusque quod inquiritur veritatem,

veritatem inuenias, priùs me audito, & manifestò & compendiosè disserentem; ea verò quæ audis, memoriæ reconde, ita ad illorum orationes perpendendas te conferas. Ego te veritatem eorum quæ inquiris, inuenturum affirmo, si primùm initium viæ quæ ad ea ducit, cognoueris; à qua aberrans, in permagnam verborum captionem, errorémque decides. Cæterùm per eadem iudicij instrumenta quibus principium inuenisti, etiam id quod initium sequitur reperies, deinde similiter tertium, & vnumquodque postea. Quomodo igitur initium licet inuenire? quandoquidem & Plato laudatâ parœmiâ, quâ dicimus. Principium dimidium totius, ipse apposuit maximum. Principium, inquiens, totius operis maximum, quemadmodum & alij nonnulli, non solùm dimidium totius principium esse dixerunt, sed etiam amplius quàm medium, alij verò & totum potentiâ. Ostendemus igitur iam, quomodo initium inuentionis eorum quæ disquiruntur, inuenias iis in memoriam reuocatis, quæ prolixè tum in opere de demonstrationibus, tum in aliis quibusdam comprehensa sunt. Si igitur nullum nobis inest naturale iudicij instrumentum, neque artificiosum, nihil poterimus inuenire. At quum naturalia habeamus, inuenerimus etiam aliquod artificiosum; igitur habemus omnes homines quædam naturalia iudicij instrumenta communia, neque enim licet naturalia dicere ea quæ non sunt omnibus communia; nam oportet nimirum naturalia, præter quòd omnibus sunt communia, etiam naturam habere communem. Ego sanè pronuncio nos omnes naturalia iudicij instrumenta habere, idque in memoriam reuocans, non docens, neque demonstrans, neque tanquam ipse dixerim, adduco. Quæ autem sunt hæc? Oculi secundum naturam habentes, qui visibilia conspiciunt; aures naturali modo habentes, quæ audibilia percipiant; lingua humorum gustatrix, nares odorum, & tota cutis tactuum. Ad hæc intellectus, vel notio, vel quomodocunque voles appellare, quo consequentiam repugnantiámque internoscimus, ac alia quæ his incidunt, in quibus est & diuisio, & compositio, similitudo & dissimilitudo á quibus præsens disputatio exorsa est. Itaque Hippocrates de ipsis hoc pacto scripsit. *Similiáne an dissimilia sint, ab initio à maximis facillimísque, quæ ab omnibus vbique cognoscuntur discimus, quæ & videre & audire est, quæ etiam visu, naso, lingua, & intellectu licet sentire, quæ & quibus cognita omnibus licet scire.* Hanc orationem interpretatus primo commentariorum in opere de re medica, nihil etiam nunc opus habeo persequi, sed abundè erit capita ipsius solùm explicasse, quoniam ad exactam similium dissimiliúmque dignotionem peruenire conuenit, principio inuentionis ipsorum à naturalibus naturæ iudiciis desumpto, qui sensus sunt & intellectus. Licet autem tibi appellare, vt à me subinde dictum est variis in locis, & intellectum, & mentem, & rationem, vel vtcunque velis, modò notionem serues, vt vult Hippocrates. Vt enim sensibilium iudex est sensus, ita intelligibilium alia quædam facultas, quam vt appellare aliquis volet, ei concedimus, ne nobis accessorium ipso opere fiat maius. Vtimur enim nominibus, & summatim vsitata inter nos linguæ proprietate, qua animi opiniones significentur, quas ex rerum naturæ contemplatione conquisiuimus. Ridiculum igitur est hac relicta, de nominibus contendere. Quomodo autem Hippocrates inquit rerum naturam inueniri,

εὑρίσκοι τις, ἄκουσον ἐμοῦ πρότερον διηγησαμένου σαφῶς τε, καὶ διὰ συντόμων, ἃ δ᾽ ἂν ἀκούσῃς τῇ μνήμῃ παραθέμενος, ἐπὶ τὰς ἐκείνων ἧκε ῥήσεις. ἐγὼ δέ σοί φημι τὴν τῶν ζητουμένων ἀλήθειαν εὑρεθήσεσθαι, πρῶτον μὲν γνόντι τὴν ἀρχὴν τῆς ἐπ᾽ αὐτὰ ὁδοῦ, ταύτης γὰρ ἁμαρτὼν, εἰς πολλὴν ἄλην τε καὶ πλάνην ἀφίξῃ λόγων. διὰ τῶν αὐτῶν δὲ κριτηρίων, δι᾽ ὧν τὴν ἀρχὴν εὗρες, εὑρήσεις καὶ τὸ μετὰ τὴν ἀρχὴν δεύτερον, εἶθ᾽ ὁμοίως τὸ τρίτον, καὶ ἕκαστον τῶν ἐφεξῆς. πῶς οὖν ἔστι τὴν ἀρχὴν εὑρίσκειν, ἐπειδὴ καὶ ὁ Πλάτων ἐπαινέσας τὴν παροιμίαν ἐν ᾗ λέγομεν, ἀρχὴ δέ τοι ἥμισυ παντὸς, αὐτὸς προσέθηκε τὸ μέγιστον, εἰπὼν ἀρχὴν παντὸς ἔργου μέγιστον εἶναι· ὥσπερ καὶ ἄλλοι τινὲς, οἱ μὲν οὐ μόνον τὸ ἥμισυ τοῦ παντὸς εἶναι τὴν ἀρχὴν ἔφασαν, ἀλλὰ καὶ πλέον ἢ τὸ ἥμισυ, τινὲς δὲ καὶ τὸ πᾶν δυνάμει. δείξομεν οὖν ἤδη πῶς ἄν τις εὑρίσκοι τὴν ἀρχὴν τῆς τῶν ζητουμένων εὑρέσεως, ἀναμνήσαντες ἃ διὰ μακρῶν ἔν τε τῇ περὶ τῆς ἀποδείξεως πραγματείᾳ λέλεκται, καὶ κατ᾽ ἄλλας τινάς. εἰ μὲν γὰρ οὐδὲν ἡμῖν ἐστι φυσικὸν κριτήριον, οὐδὲ τεχνικὸν οὐδὲν εὑρεῖν δυνησόμεθα. φυσικὰ δ᾽ ἔχοντες, εὕροιμεν ἄν τι καὶ τεχνικόν. ἆρ᾽ οὖν ἔχομέν τινα φυσικὰ κριτήρια κοινὰ πάντες ἄνθρωποι, οὐδὲ γὰρ ἐνδέχεται φυσικὰ λέγειν αὐτὰ τὰ μὴ κοινὰ πάντων ὄντα. χρὴ γὰρ δή που τὰ φυσικὰ πρὸς τῷ πάντων εἶναι κοινὰ, καὶ τὴν φυσικὴν ἔχειν κοινήν. ἐγὼ μὲν ἔχειν φημὶ πάντας ἡμᾶς φυσικὰ κριτήρια, καὶ τοῦτ᾽ ἀναμιμνήσκων οὐ διδάσκων, οὐδ᾽ ἀποδεικνὺς, οὐδ᾽ ὡς αὐτὸς εἰρηκὼς λέγω. τίνα δέ ἐστι ταῦτα; τοὺς κατὰ φύσιν ἔχοντας τῶν ὀφθαλμῶν, ὁρῶντας τὰ ὁρατὰ, καὶ κατὰ φύσιν ἔχοντας τῶν ὤτων ἀκούοντας τὰ ἀκουστὰ, καὶ γλῶτταν γευομένην χυμῶν, καὶ ῥῖνας, ὀσμῶν, καὶ σύμπαν τὸ δέρμα τῶν ἁπτῶν. ἐπὶ δὲ τούτοις, τὴν γνώμην, ἢ ἔννοιαν, ἢ ὅτι ποτ᾽ ἂν ἐθέλῃ τις ὀνομάζειν, ᾧ διαγινώσκομεν ἀκόλουθόν τε καὶ μαχόμενον, καὶ ἄλλα ἃ καταπέπλωκε τούτοις, ἐν οἷς ἐστι καὶ διαίρεσις καὶ σύνθεσις, ὁμοιότης τε καὶ ἀνομοιότης, ἀφ᾽ ὧν ὁ παρὼν ὡρμήθη λόγος. ὁ μὲν οὖν Ἱπποκράτης οὕτως ἔγραψε περὶ αὐτῶν. ἢ ὅμοια, ἢ ἀνόμοια ἐξ ἀρχῆς ἀπὸ τῶν μεγίστων καὶ ῥηΐστων, ἀπὸ τῶν πάντως πάντη γινωσκομένων, ἃ καὶ ἰδεῖν καὶ ἀκοῦσαί ἐστιν, ἃ καὶ τῇ ὄψει, καὶ τῇ ῥινὶ, καὶ τῇ γλώσσῃ, καὶ τῇ γνώμῃ ἐστὶν αἰσθέσθαι, οἷς γινώσκομεν ἅπασιν ἔστι γνῶναι. ταύτην τὴν ῥῆσιν ἐξηγησάμενος τελέως ἐν τῷ πρώτῳ τῶν εἰς τὸ κατ᾽ ἰητρεῖον ὑπομνημάτων, οὐδὲν ἔτι δέομαι διέρχεσθαι νῦν, ἀλλ᾽ ἀρκέσει τὰ κεφάλαια μόνον αὐτῆς εἰπεῖν, ὅτι πρὸς τὴν τῶν ὁμοίων τε καὶ ἀνομοίων ἀκριβῆ διάγνωσιν ἀφικνεῖσθαι χρὴ, τὴν ἀρχὴν τῆς εὑρέσεως αὐτῶν ποιούμενον, ἀπὸ τῶν φυσικῶν κριτηρίων, ἅπερ ἐστὶν αἴσθησίς τε καὶ γνώμη. καλεῖν δ᾽ ἔξεστί σοι ὡς πολλάκις εἴρηταί μοι πολλαχόθι, καὶ διάνοιαν, καὶ νοῦν, καὶ λογισμὸν, ἢ ὅπως ἄν τις ἐθέλοι, φυλάττων τὴν ἔννοιαν ὡς Ἱπποκράτης βούλεται. ὡς γὰρ τῶν αἰσθητῶν αἴσθησίς ἐστι τὸ κριτήριον, οὕτω τῶν νοητῶν ἑτέρα τις δύναμις, ἣν ὅπως ἄν τις ὀνομάζειν βούληται, συγχωροῦμεν αὐτῷ, μή πως ἡμῖν τὸ πάρεργον τοῦ ἔργου μεῖζον γίνηται. χρώμεθα γὰρ ὀνόμασι, καὶ ὅλως τῇ πρὸς ἀλλήλους διαλέκτῳ χάριν τοῦ δηλῶσαι τὰς κατὰ τὴν ψυχὴν δόξας, ἃς ἐκ τοῦ σκέπτεσθαι τὴν τῶν πραγμάτων φύσιν ἐκτησάμεθα. γελοῖον οὖν ἐστι καταλιπόντας τοῦτο, περὶ τῶν ὀνομάτων ἁμιλλᾶσθαι. πῶς δέ φησιν ὁ Ἱπποκράτης τὴν τῶν πραγμάτων εὑρίσκεσθαι φύσιν,

ἐὰν ἀπὸ τῶν μεγίστων καὶ ῥᾴστων ἀρξώμεθα; μεγίστων μὲν κατὰ τὴν χρείαν, ῥᾴστων δὲ κατὰ τὴν ἡμετέραν γνῶσιν. ἡ γάρ τοι φύσις ἄμφω ταῦθ' ἡμῖν ἔδωκεν, αὐτά τε τὰ κριτήρια, καὶ τὸ πιστεύειν αὐτοῖς ἀδιδάκτως. αὐτὰ μὲν οὖν τὰ κριτήρια τά τε ὄργανα τῶν αἰσθήσεών ἐστι, καὶ αἱ χρώμεναι τοῖς ὀργάνοις δυνάμεις. ἡ δὲ πίστις αὐτῶν, ἀδίδακτός τε, καὶ φύσει οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ζώοις ὑπάρχουσα. καὶ γὰρ ὁρῶντα τὸ προσιόντα, καὶ ἀκούοντα ψόφου τινὸς ἢ φωνῆς, ὑποφεύγει μὲν αὐτίκα, μείζονος ὀφθέντος ζώου, μένει δὲ κατὰ χώραν, ἐὰν ἐλάττονός τε καὶ ἀσθενεστέρου τοῦ προσιόντος αἰσθάνηται. εἰ μὲν οὖν ἀπιστεῖ τις τοῖς δι' αἰσθήσεως, ἢ νοήσεως ἐναργῶς φαινομένοις, οὐδ' ἐπιχειρεῖν χρὴ συστάσει τέχνης οὐδεμιᾶς. εἰ δὲ φαίνεται τὰ τῶν τεχνῶν ἔργα τῷ βίῳ τῶν ἀνθρώπων χρήσιμα πάντως, που τοῖς φυσικοῖς κριτηρίοις οἱ πιστεύοντες ἄνθρωποι, τὴν κρίσιν αὐτῶν ἐποιήσαντο. καὶ ἡμεῖς εὐτυχέστεροι κατὰ τοσοῦτον ἐκείνων ἐσμὲν, ὅτι τὰ χρήσιμα πολλῷ χρόνῳ μετὰ καμάτων τε καὶ φροντίδων εὑρεθέντα τοῖς πρὸ ἡμῶν, αὐτοὶ μανθάνομεν ὀλίγῳ χρόνῳ. ἐὰν οὖν τῷ λοιπῷ τοῦ βίου μὴ κατὰ τὸ πάρεργον ἀσκῶμεν τὰς τέχνας, ἀλλὰ περὶ τὴν τῶν ὁμοίων τε, καὶ ἀνομοίων διάγνωσιν ἀεὶ φροντίζωμεν, οὐδὲν κωλύει τῶν ἔμπροσθεν ἡμᾶς γενέσθαι βελτίους. πῶς οὖν γυμνασόμεθα, καὶ ἀσκήσομεν ἡμᾶς αὐτούς; ἀπὸ τῶν γνωσθῆναι ῥᾴστων ἀρξάμενοι καθάπερ ὁ Ἱπποκράτης εἶπε. ταῦτα γάρ ἐστι τὰ μεγάλην ἔχοντα τήν τε εἰς ὅλον τὸν βίον χρείαν, καὶ τὴν πρὸς ἄλληλα διαφοράν.

si à maximis & facillimis inceperimus? Maximis quidem vsu, facillimis autem nostra cognitione. Etenim natura ambo nobis hæc dedit, & ipsa iudicij instrumenta & quòd ipsis à nullo docti præceptore credimus. Eadem igitur quibus iudicamus, & instrumenta sensuum sunt, & facultates instrumentis vtentes. At fides ipsorum citra disciplinam, & naturâ, non hominibus tantum, sed aliis etiam animantibus inest. Etenim dum conspiciunt accedentem, audiúntque strepitum aliquem, aut vocem, subterfugiunt quidem protinus maiore viso animali, manent autem in loco si minus imbecilliúsque accedere sentiant. Quare si fidem aliquis derogat iis quæ sensu aut intellectu manifestò apparent, eum ne aggredi quidem vllius constitutionem artis oportet. At si apparent artium opera vitæ hominum conducibilia, omninò ferè naturalibus iudiciis fidem accommodantes homines de ipsis iudicarunt, ac nos illis tantò feliciores sumus, quòd vtilia longo tempore cum laboribus, & curis inuenta antiquis, ipsi pauco tempore condiscimus. Si igitur reliquo vitæ spatio non perfunctoriè artes exerceamus, sed similium dissimiliúmque dignotioni semper solicitè insistamus, nihil prohibet nos prioribus euadere præstantiores. Quomodo igitur exercebimus nosipsos? Si à cognitu facillimis, quemadmodum Hippocrates præcipit, fuerimus auspicati. Hæc enim sunt, quæ magnum ad totam vitam habent vsum, & ad differentiam inter se.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἕνεκα νοήσεως ἐναργεστέρας τῆς προειρημένης μεθόδου, ἐρεῖ τὸ παράδειγμα τοῦ Ἱπποκράτους περὶ τοῦ προσώπου τοῦ νοσοῦντος, καὶ τοῦ Πλάτωνος περὶ τοῦ ἐν τῇ πόλει τε, καὶ τῇ ψυχῇ δικαίου.

Ἐρῶ δὲ καὶ παράδειγμά σοι παρ' ἑκατέρου τῶν ἀνδρῶν ἕνεκα νοήσεως ἐναργεστέρας. ὁ μὲν οὖν Ἱπποκράτης, οὕτως φησὶν ἐν προγνωστικῷ. σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖσιν τῶν ὑγιαινόντων, μάλιστα δὲ εἰ αὐτὸ ἑαυτῷ, οὕτως γὰρ ἂν εἴη ἄριστον, τὸ δὲ ἐναντιώτατον τοῦ ὁμοίου, δεινότατον. εἴη δ' ἂν τὸ τοιοῦτον ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, καὶ τὰ ἄλλα τὰ ἐφεξῆς εἰρημένα. φαίνεται γὰρ ἐν τούτοις τὴν ἀρχὴν τῆς διαγνώσεως τῶν προγνωστικῶν χωρίων, ἀπὸ τῶν ἐναντιωτάτων τοῖς κατὰ φύσιν ἔχουσι πεποιημένος, ἅπερ καὶ μέγιστά ἐστι, καὶ πᾶσι γνωσθήσεται ῥᾷστα. ταῦτα δέ τις προμαθὼν, δυνήσεται κατὰ βραχὺ μεταβαίνων ἐπὶ τὰ πλησίον ἀλλήλοις ἀφικέσθαι ποτέ, καθάπερ ἐπεδείξαμεν ἐν τῷ προγνωστικῷ πεποιηκότα τὸν Ἱπποκράτην. ἀλλὰ καὶ ὁ Πλάτων, οὕτως ἔγραψε περὶ αὐτῶν, ἡνίκα πεποίηκεν ἐν πολιτείᾳ παρακαλούμενον Σωκράτην ὑπὸ Γλαύκωνός τε καὶ Ἀδειμάντου, διελθεῖν αὐτοῖς πάντα τὸν περὶ δικαιοσύνης λόγον. ἐπεὶ γὰρ ἠπίστατο δεησόμενον αὐτὸν εἰς τὸ δεῖξαι τὸ προτεθὲν, ὡς οὐκ ἔστι μία τῆς ὅλης ἡμῶν ψυχῆς ἡ οὐσία, διὰ τοῦτο πρότερον ἐπὶ πόλεως ἀξιοῖ ποιήσασθαι τὸν λόγον. ἔχει δ' ἡ λέξις ὧδε. εἶπον οὖν ὅπερ μοι ἔδοξεν, ὅτι τὸ ζήτημα ᾧ ἐπιχειροῦμεν, οὐ φαῦλον, ἀλλ' ὀξὺ βλέποντος, ὡς ἐμοὶ φαίνεται. ἐπεὶ μὲν οὖν ἡμεῖς οὐ δεινοὶ, δοκῶ μοι, ἦν δ' ἐγὼ τοιαύτην ποιήσασθαι ζήτησιν αὐτοῦ, οἵαν περ ἂν εἰ προσέταξέ τις γράμματα σμικρὰ πόρρωθεν ἀναγνῶναι, μὴ πάνυ ὀξὺ βλέπουσιν, ἔπειτά τις ἐνόησεν ὅτι τὰ αὐτὰ

CAPVT II.

Ad faciliorem prædictæ methodi intelligentiam profert exemplum Hippocratis de facie ægrotantium, ac Platonis de iustitia quæ in ciuitate, & in anima reperitur.

APponam autem tibi exemplum ex vtroque viro, quo cognoscatur res euidentiùs. Itaque Hippocrates hoc pacto in præsagiis scriptum reliquit. *Considerandum est ita in morbis acutis, primum an ægrotantis facies sanis similis sit, præsertim verò si ipsa sibi, sic enim optimè sperandum est, si autem contraria simili permultum, pessimè. Erit autem huiusmodi, nares acutæ, oculi concaui, aliáque deinceps comprehensa.* Videtur enim in his initium dignotionis præsagientium locorum ab his fecisse, quæ maximè naturaliter habentibus sunt contraria, quæ etiam maximè sunt, & omnibus cognitu facilia. Porrò hæc vbi quis prædidicerit, aliquando poterit transiens paulatim ad vicina inter se peruenire, quemadmodum Hippocratem in præsagiorum libro factitasse ostendimus; imò etiam Plato de ipsis disputauit, quum in libro de Republica introduxit Socratem à Glaucone & Adamanto interpellari, vt ipsis totum de iustitia sermonem distingueret. Quoniam enim sciuerat rogaturum ipsum, quò propositum ostenderet, nempe non vnam esse totius animæ nostræ substantiam, ideò priùs de ciuitate verba facere mauult, quæ hoc pacto habent. *Dixi igitur, vt mea erat opinio, quæstionem hanc quam aggredimur, non esse contemnendam, sed hominis acutè cernentis opus, vt mihi videtur. Quoniam igitur nos non periti sumus, perindè inuestigandam esse iustitiam, ac si quis non acutè cernentibus, literas paruas, procúlque positas, legendas mandasset, deinde animaduertisset aliquis easdem literas*

literas esse alibi in maiori quoque loco maiores, atque inde operæpretium censuisset, vt eas primo legentes, ita demum minores, an eædem sint, considerarent. Ita prorsus Adamantus inquit. *Sed quid tu simile in hac de iustitia inquisitione, vides ô Socrates? Dicam inquam. Dicimúsne iustitiam hominis vnius esse: & dicimúsne etiam totius ciuitatis? Planè, inquit ille. Atque ciuitas nónne maior vno viro? maior, inquit. Fortasse autem iustitia amplior in maiori inest, faciliórque cognitu. Quare si vultis, primùm in ciuitatibus inquiramus, qualisnam sit. Deinde sic in singulis considerabimus, maioris ipsius similitudinem in minoris idea contemplantes.* Itaque Plato quum priùs nos in ciuitate exercuisset, indicassétque aliam populi partem dominari, aliam propugnare, tertiam aliam opificem esse in ea, digressus ad animam, etiam in ea ostendit aliam partem esse, quæ dominetur quum bene habet; alteram quæ ipsi ministret, quemadmodum in vrbibus ministrat militaris; reliquam verò tertiam, quam alendi corporis gratia opifices nostri apposuerunt: etsi discernendo similitudines inter se imperiti vnam esse sentiant, non tres commemoratas animæ partes. Quomodo igitur in discretione ipsarum exerceri conueniat, Plato docuit, & in ciuitate per totum ferè opus de Republica, & in anima sanè principalissimam mentis partem in quarto libro, quæ verò eam sequitur, in aliis. Opportunum itaque iam est ea quæ in Phædro complexus est, audire. *An deceptio in his quæ multùm, an quæ parum differunt, accidit? In his quæ parum. Atqui si paulatim transieris, inscius magis, ac imprudens ad contrarium venies, quàm si multum transilieris. Quidni? Oportet igitur eum, quicunque decepturus alium est, ipse minimè decipiendus similitudinem & dissimilitudinem rerum exquisitè dignoscat. Necessarium est. Nunquid igitur vniuscuiusque veritatis inscius poterit eius quod ignorat, similitudinem in vniuersis paruam aut magnam dijudicare? Nequaquam. Ergo illos qui præter rerum naturam opinantur, falsique sunt, constat propter similitudines aliquas sic esse affectos. Sic accidit. Non igitur poterit quisquam, si rem quamcunque ignorauerit, artificiosè aliquem sensimque à vero in contrarium per similitudines aliquas sigillatim traducere, aut errorem hunc in seipso vitare? Nunquam. Igitur quicunque veritatem ignorat, & opinionibus ducitur, dicendi quoque facultatem, vt videtur, inertem exhibet & ridiculam.* Cæterùm vt Hippocrates dixit, alia esse cognitu facillima, aliqua non esse, initium à facillimis faciendum est, quæ etiam omnibus hominibus propter euidentiam in confesso sunt. Ita etiam Plato sensit, id quod ex ipsius verbis condiscas. *An non constat cuique, quòd in aliis dum loquimur, idem sentimus omnes, in aliis verò non idem? Quamuis quod ais, intelligere videor; planiùs tamen vt dicas cupio. Quando quis ferri nomen aut argenti pronunciat, id omnes protinus intelligimus? Prorsus. Quid cum iusti vel boni nomen? Nónne alius aliò fertur, atque cùm aliis, atque nobiscum ipsi ambigimus? Magnopere. In aliis ergo consentimus, in aliis dissentimus. Sic est. Vbinam faciliùs falli possumus, & in quibus horum rhetorica plus valet? Nimirum in quibus ambigimus. Oportet igitur eum qui rhetoricam sit assecuturus, primùm hæc via adinuenisse, & quendam characterem vtriusque speciei percepisse, & vbi necesse est multitudinem falli, & vbi non.*

γράμματα ἐστί που καὶ ἄλλοθι μείζω τε καὶ ἐν μείζονι, ἕρμαιον ἂν ἐφάνη, οἶμαι, ἐκεῖνα πρῶτον ἀναγνόντας οὕτως ἐπισκοπεῖν τὰ ἐλάττω, εἰ τὰ αὐτὰ ὄντα τυγχάνει. πάνυ μὲν οὖν ἔφη ὁ Ἀδείμαντος. ἀλλὰ τί τοιοῦτον, ὦ Σώκρατες, ἐν τῇ περὶ δικαίου ζητήσει καθορᾷς; ἐγώ σοι ἔφην ἐρῶ, δικαιοσύνη φαμὲν ἐστὶν ἑνὸς ἀνδρός, ἔστι δέ που πάλιν τῆς ὅλης πόλεως; πάνυ γε ἦ δ᾽ ὅς. οὐκοῦν μείζων πόλις ἑνὸς ἀνδρός; μείζων ἔφη. ἴσως τοίνυν πλείων ἂν δικαιοσύνη ἐν τῷ μείζονι ἂν εἴη, καὶ ἔστι καταμαθεῖν. εἰ οὖν βούλεσθε, πρῶτον ἐν ταῖς πόλεσι ζητήσωμεν ποῖόν τί ἐστιν, ἔπειτα οὕτως ἐπισκεψώμεθα, καὶ ἐν ἑνὶ ἑκάστῳ τὴν τοῦ μείζονος ὁμοιότητα, ἐν τῇ τοῦ ἐλάττονος ἰδέᾳ ἐπισκοποῦντες. προγυμνώσας οὖν ἡμᾶς ἐπὶ πόλεως ὁ Πλάτων, καὶ δείξας ὅτι ἄλλο μέν τι τὸ ἄρχον, ἄλλο δέ τι τὸ προπολεμοῦν, καὶ τρίτον ἄλλο τὸ δημιουργικὸν ἔθνος ἐν αὐτῇ, μεταβὰς ἐπὶ τὴν ψυχὴν, καὶ κατ᾽ αὐτὴν ἐπιδείκνυσιν ἓν μέν τι μέρος εἶναι τὸ ἄρχον ὅταν εὖ ἔχῃ, ἕτερον δὲ τὸ ὑπηρετοῦν αὐτῇ, καθάπερ ἐν ταῖς πόλεσιν ὑπηρετεῖ τὸ στρατιωτικόν. τρίτον δὲ τὸ λοιπὸν ὃ τῆς τροφῆς τὸ σῶμα χάριν οἱ δημιουργοῦντες ἡμᾶς προσέθεσαν, κἂν οἱ ἀγύμναστοι τοῦ διακρίνειν, ἀπ᾽ ἀλλήλων τὰς ὁμοιότητας, ἓν εἶναι νομίζουσιν, οὐ τρία τὰ εἰρημένα μόρια τῆς ψυχῆς. ὅπως οὖν χρὴ γυμνάζεσθαι περὶ τὴν διάκρισιν αὐτῶν, ἐδίδαξεν ὁ Πλάτων ἐπί τε τῆς πόλεως διὰ πάσης σχεδὸν τῆς πολιτείας, ἐπί τε τῆς ψυχῆς τὸ μὲν κυριώτατον τῆς διανοίας, ἐν τῷ τετάρτῳ βιβλίῳ, τὸ δὲ ἑπόμενον αὐτῇ κατὰ τὰ ἄλλα. καιρὸς οὖν ἤδη καὶ τῶν εἰρημένων αὐτῷ κατὰ τὸν Φαῖδρον ἀκοῦσαι. ἡ ἀπάτη πότερον ἐν πολὺ διαφέρουσι γίγνεται μᾶλλον, ἢ ὀλίγον; ἐν τοῖς ὀλίγον. ἀλλὰ μὴν κατὰ σμικρὸν καταβαίνων μᾶλλον λήσεις, ἐλθὼν ἐπὶ τὸ ἐναντίον ἢ κατὰ μέγα. πῶς δ᾽ οὔ; δεῖ ἄρα τὸν μέλλοντα ἀπατήσειν μὲν ἄλλον, αὐτὸν δὲ μὴ ἀπατηθήσεσθαι τὴν ὁμοιότητα τῶν ὄντων, καὶ ἀνομοιότητα ἀκριβῶς διειδέναι. ἀνάγκη μὲν οὖν. ἦ οὖν οἷός τ᾽ ἔσται ἀλήθειαν ἀγνοῶν ἑκάστου, τὴν τοῦ ἀγνοουμένου ὁμοιότητα μικράν τε καὶ μεγάλην ἐν τοῖς ἄλλοις διαγιγνώσκειν; ἀδύνατον. οὐκοῦν τοῖς παρὰ τὰ ὄντα δοξάζουσι καὶ ἀπατωμένοις δῆλον, ὡς τὸ πάθος τοῦτο δι᾽ ὁμοιοτήτων τινῶν εἰσερρύη; γίγνεται οὖν οὕτω. ἔστιν οὖν ὅπως τεχνικὸς ἔσται, μεταβιβάζειν κατὰ σμικρὸν διὰ τῶν ὁμοιοτήτων ἀπὸ τοῦ ὄντος ἑκάστοτε ἐπὶ τοὐναντίον ἀπάγων, ἢ αὐτὸς τοῦτο διαφεύγειν ὁ μὴ ἐγνωρικὼς, ὃ ἐστιν ἕκαστον τῶν ὄντων; οὐ μή ποτε. λόγων ἄρα τέχνην ὦ ἑταῖρε ὁ τὴν ἀλήθειαν μὴ εἰδώς, δόξας δὲ τεθηρευκώς, γελοίαν τινὰ ὡς ἔοικε, καὶ ἄτεχνον παρέξεται. ὅτι δ᾽ ὡς Ἱπποκράτης ἔλεγε, τινὰ μὲν ἐστὶ ῥᾶστα γνωσθῆναι, τινὰ δ᾽ οὐκ ἔστι, τὴν ἀρχὴν ἀπὸ τῶν ῥᾴστων ποιητέον, ἃ καὶ πᾶσιν ἀνθρώποις ὡμολόγηται διὰ τὴν ἐνάργειαν, οὕτω καὶ ὁ Πλάτων ἐγίγνωσκεν. μάθοις δ᾽ ἂν ἐκ τῆσδε τῆς ῥήσεως αὐτοῦ. ἆρ᾽ οὖν οὐ παντὶ δῆλον τό γε τοιόνδε, ὡς περὶ μὲν ἔνια τῶν τοιούτων ὁμονοητικῶς ἔχομεν, περὶ δ᾽ ἔνια στασιαστικῶς; δοκῶ μὲν ὃ λέγεις μανθάνειν, ἔτι δ᾽ εἰπὲ σαφέστερον. ὅταν τις ὄνομα εἴπῃ σιδήρου ἢ ἀργύρου, ἆρ᾽ οὐ τὸ αὐτὸ πάντες διενοήθημεν; καὶ μάλα. τί δ᾽ ὅταν δικαίου ἢ ἀγαθοῦ, οὐκ ἄλλος ἄλλῃ φέρεται, καὶ ἀμφισβητοῦσιν ἀλλήλοις τε καὶ ἡμῖν αὐτοῖς; πάνυ μὲν οὖν. ἐν μὲν ἄρα τοῖς συμφωνοῦμεν, ἐν δὲ τοῖς, οὔ. οὕτω. ποτέρωθεν οὖν εὐαπατητότεροί ἐσμεν, καὶ ἡ ῥητορικὴ ἐν ποτέροις μεῖζον δύναται εἶναι; δηλονότι ἐν οἷς πλανώμεθα. οὐκοῦν τὸν μέλλοντα τέχνην ῥητορικὴν μετιέναι, πρῶτον μὲν δὴ ταῦτα ὁδῷ ᾑρῆσθαι, καὶ εἰληφέναι τινὰ χαρακτῆρα ἑκατέρου τοῦ εἴδους, ἐν ᾧ τε ἀνάγκη τὸ πλῆθος πλανᾶσθαι, καὶ ἐν ᾧ μή.

καλὸν γοῦν ὦ Σώκρατες εἶδος εἴη ἂν κατανενοηκὼς ὁ τοῦτο λαβών, ἔπειτά γε οἶμαι πρὸς ἑκάστῳ γιγνόμενον μὴ λανθάνειν, ἀλλ᾽ ὀξέως αἰσθάνεσθαι, περὶ οὗ ἂν μέλλῃ ἐρεῖν, ποτέρου ὂν τοῦ γένους τυγχάνει; τί μήν; τί οὖν τὸν ἔρωτα; πότερον φῶμεν εἶναι τῶν ἀμφισβητησίμων, ἢ τῶν μή; ἀμφισβητησίμων δήπου. ἢ οἴει ἄν σοι συγχωρῆσαι εἰπεῖν ἃ δὴ εἶπες περὶ αὐτοῦ, ὡς βλάβη τέ ἐστι τῷ ἐρωμένῳ καὶ ἐρῶντι, καὶ αὖθις ὡς μέγιστον τῶν ἀγαθῶν τυγχάνει. ἄριστα λέγεις. αὕτη μὲν ἡ ῥῆσις, ἐν τῷ Φαίδρῳ γέγραπται, διδάσκοντος αὐτοῦ μηδεμίαν ἀμφισβήτησιν ἔχειν, τὰ τοῖς φυσικοῖς κριτηρίοις ἐναργῶς ὑποπίπτοντα, ἐν οἷς δή τοι μηδ᾽ ὅλως ὑποπίπτει τοῖς κριτηρίοις τούτοις, ἢ ἀμυδρῶς ὑποπίπτει, τὴν ἀμφισβήτησιν γίγνεσθαι, καὶ χρὴ γεγυμνάσθαι κατὰ ταῦτα διακρίνοντα τὰς τῶν πραγμάτων ὁμοιότητας. ἔνια γὰρ οὕτως ἔχει πρὸς ἄλληλα κατὰ τὰς τῶν ἐν αὐτοῖς ὁμοιότητας, ἢ τὴν παραλλαγήν, ὡς κατά τι μὲν ὑπάρχειν ὅμοια, κατά τι δ᾽ ἀνόμοια. καὶ χρὴ τῶν τοιούτων διαγνωστικὸν τὸν τεχνίτην εἶναι, ὡς ἀκριβῶς τε ἅμα καὶ ταχέως δύνασθαι γνωρίζειν, εἰ ὅμοιά ἐστιν ἀλλήλοις ἢ ἀνόμοια. ὅπερ οὖν ἀεὶ καὶ λέγοντός μου, καὶ γράφοντος ἀκούεις, ἀκούσῃ πάντως καὶ νῦν. ἡ καθόλου μέθοδος χωρὶς τοῦ γυμνασθῆναι κατὰ πολλὰ τῶν ἐν μέρει, τεχνίτην ἀγαθὸν οὐχ οἷά τέ ἐστιν ἐργάσασθαι, καὶ τοῦτ᾽ ἐπὶ πασῶν ἔνεστί σοι θεάσασθαι τῶν τοιούτων, ἐπ᾽ ἐνίων γε μὴν οὕτως ἰσχυρὰν δύναμιν ἔχων, ὡς τὴν μὲν καθόλου μέθοδον ἐνιαυτῷ μόνῳ δύνασθαι τελεώτατα μαθεῖν. τὴν δ᾽ ἄσκησιν εἰ μὴ δι᾽ ὅλου τοῦ βίου γένοιτο, κολούειν εἰς τὰ τῆς τέχνης ἔργα. καὶ φαίνεταί γε σαφῶς οὖσα τοιαύτη τέχνη, λογιστική τε καὶ ῥητορική, καὶ ἡ διὰ τῶν ὀργάνων ἐνεργοῦσα μουσική. τοσαύτης μὲν οὖν ἀσκήσεως ἀποδεικτικὴ μέθοδος οὐ δεῖται, χρήζει γοῦν οὐκ ὀλίγης καὶ αὕτη. γυμνάζεσθαι γοῦν χρὴ γυμνασίαν καθ᾽ ἑκάστην ἄσκησιν τέχνης ἐν ὕλαις ὧν τὰς χρησίμους τῷ βίῳ πράξεις δεόμεθα. κἂν γὰρ ὅτι μάλιστα τὴν φύσιν ἀρίστην τις ἔχων εἰς ὁποιοῦν ἔργον ἀμελήσῃ τῆς ἀσκήσεως, οὐδενὸς τῶν ἀπολειπομένων μὲν τῇ φύσει, πλεονεκτούντων δὲ τῇ κατὰ τὴν ἄσκησιν ἐπιμελείᾳ, βελτίων ἐστί. νόησον γοῦν τινα τῇ τε τῶν σκελῶν κατασκευῇ, καὶ τῇ τοῦ παντὸς σώματος ῥώμῃ κάλλιστα διακείμενον, ἠμεληκότα δὲ τῆς φύσεως εἰς τοσοῦτον, ὡς πρὸς τῷ μηδέποτε δραμεῖν, ἔτι κἂν τῷ περιπατεῖν ἀεὶ βλακεύοντα διατελεῖν, ὡς ἀδύνατόν ἐστι τοῦτον ὀλυμπιονίκην γενέσθαι, χωρὶς τοῦ τὴν ἔμπροσθεν ἀργίαν ἀποθέμενον, εἰς ἔθος ἑαυτὸν μεταστῆναι γυμνασίων τῶν κατὰ φύσιν, οὐδὲ τούτων τῶν τυχόντων, ἀλλὰ μάλιστα οἷά ἐστιν οἰκεῖα σκέλεσιν. ὡς ἐάν γέ τις παραλαβὼν τὸν οὕτως πεφυκότα, μεταβαίνειν μὲν ἐπὶ λεπτοῦ σχοινίου διδάξῃ, πρὸς ξύλον δὲ ὄρθιον ἀναρριχᾶσθαι, καθάπερ οἱ θαυματοποιοὶ διδάσκουσι τοὺς μαθητάς, οὐ μόνον οὐκ ἂν ἕλοιντο νίκην ὀλυμπιονίκην, ἀλλ᾽ οὐδὲ τῶν ἐπιτυχόντων ἀνθρώπων ὠκύτερος ἄν ποτε ὀφθείη. τοῦτ᾽ οὖν Ἱπποκράτει τε καὶ Πλάτωνι γέγραπται, παραδείγματα γράψασιν εἴς τε τὰς τέχνας, καὶ πάσας τὰς κατὰ τὸν βίον πράξεις χρήσιμα. παραθήσομαι δὲ ὀλίγα χάριν τοῦ συνοφθῆναι τὴν ἰδέαν αὐτῶν, οὐ μὴν καὶ ἀρκεσθῆναί γε τούτοις ἀξιῶ τοὺς βουλομένους γενέσθαι τεχνίτας κατὰ τὰς τέχνας, ἃς ἂν αὐτοὶ τυγχάνωσιν ἀσκοῦντες, ἀλλὰ γυμνάζεσθαι διὰ παντός, ὥσπερ οἱ ῥητορικοὶ γυμνάζονται καθ᾽ ἑκάστην ἡμέραν, ὑποθέσεις εὑρίσκοντες ἐπιτηδείους εἰς τὴν προκειμένην ἄσκησιν.

Praeclaram quandam ô Socrates agnosceret speciem, qui cogitatione id caperet. Deinde arbitror oportere nihil eum subterfugere, quum ad singula venerit, sed acute persentire id de quo dicturus sit, vtrius sit generis. Cur non? Quid porrò amorem? vtrum ex iis de quibus ambigitur, an ex iis de quibus non ambigitur, esse dicimus? Ex iis de quibus ambigitur nimirum. An putas eum tibi illa de se dicere concessurum, quae supra dicebas, quòd videlicet amato simul atque amanti perniciosum est, ac rursùs quod omnium maximum est bonorum. Optimè dicis. Hæc verba in Phædro scripta sunt, vbi docet ipse ne vnam quidem dubitationem habere, quæ naturalibus iudicij instrumentis manifestò subiiciuntur; in quibus verò neutiquam his instrumentis subiiciuntur, aut obscurè subiiciuntur, ambiguitatem fieri; ac conuenit esse exercitatum eum qui in his rerum similitudines discernat. Nonnulla enim secundum similitudines vel immutationem eorum quæ ipsis insunt, ita sibi inuicem respondent, vt in aliquo sint similia, in aliquo dissimilia; oportétque talia internoscentem esse artificem, vt accuratè simul & celeriter queat deprehendere an inter se similia sint, an dissimilia. Quod igitur semper & dicentem me & scribentem audis, id in præsentia etiam omninò auditurus es. Generalis methodus citra multorum particularium exercitationem bonum efficere artificem non potest: id quòd in omnibus eiusmodi licet conspicias, in nonnullis tamen adeò validam obtinet vim, vt vniuersalem methodum vno anno solo absolutissimè queas discere. Exercitationem verò, nisi per totam vitam fiat, ad artis opera parum proficere; atque apparet manifestò esse talis ars ratiocinatrix & rhetorica, item quæ per instrumenta operatur musica. Tanta igitur exercitatione demonstratiua methodus non indiget, etsi ipsa quoque haud exiguam requirat. Itaque laborandum est in vnaquaque artis exercitatione circa materias, quarum actiones vitæ vtiles expetimus. Quamuis enim naturam aliquis vel multò præstantissimam ad quodcunque opus habeat, exercitationem verò negligat, nullo eorum qui natura destituuntur, exercitationis autem cura ac sedulitate vincunt, præstantior est. Considera igitur quendam, crurum structura, & totius corporis robore optimè dispositum, sed qui naturam adeò neglexerit, vt præter quòd nunquam currat, etiam inter ambulandum semper vacillet, nullo modo hic in Olypicis victor euadere poterit, nisi priore segnitie deposita, ad naturalium exercitationum consuetudinem seipsum transferat, neque harum quarumlibet, sed maximè qualis est cruribus propria. Nam si quis hoc pacto natum accipiens per funiculum tenuem ambulare doceat, ad lignum autem rectum ascendere, quemadmodum rerum mirabilium gestores illi discipulos docent; non modò non Olympiorum victoriam retulerit, sed ne vulgaribus quidem hominibus velocior vnquam videbitur. Hoc itaque Platoni & Hippocrati proditum est, qui exempla artibus & omnibus vitæ actionibus vtilia conscripserunt. Apponam autem pauca, vt species ipsorum inspiciatur; non tamen sufficere hæc existimo iis qui artifices volunt fieri illarum artium quascunque ipsi colant; verùm vt exercitentur perpetuò, quemadmodum rhetorici, qui argumenta quotidie proposito instituto idonea inueniunt.

CAP.

A

CAPVT III.

Exercitatio eiusdem methodi ex Platonis loco de mulierum natura.

SVmatur iam à Platone primum, quod in quinto de Republica docuit, vbi de natura mulierum incipit, eadem ipsis cum viris studia tractare præcipiens; deinde ipse sermonem aggreditur, aitque non concessurum fore aliquem, eandem esse naturam & maris & fœminæ corporis; ac ostendit in quo eandem dixerit; tota B verò ipsius oratio sic habet. *Vtrum inter canes gregis custodes fœminas ipsas censemus vnà eadem custodire debere, & vnà venari, ac cætera omnia communiter facere? An fœminas quidem intus quasi domestica asseruare opera, vt quæ nequeant alia obire propter ipsum catulorum partum, & nutrimentum, masculos autem labores subire, omnémque armenti curam gerere? Communiter his*, inquit, *omnia tribuimus, nisi quòd fœminis vt imbecillioribus, maribus vt robustioribus vtimur. Fieríne potest, vt animali aliquo ad eadem vtaris, nisi eadem ratione nutrieris erudierisque? Non profectò. Si ergo fœminis ad eadem vtemur ac viris, in eisdem erudire* C *decet. Certè. Musica autem & gymnastica illis concessa est. Sanè. Mulieribus igitur artes hæ similiter & res bellicæ tribuendæ sunt, ad eadémque his vti decet,* In his generatim Plato præfatus quòd omnia eadem muliebri generi distribuenda sunt, postea etiam de exercitiis quæ nudi obimus, & de equitatu, quæque bellorum causa docentur exercentúrque, censet etiam mulieres aggredi. Porrò de ipsis sermonem occipiens, hæc ait. *Vis ergo vt nos aliorum causa nobis ipsis aduersemur, dubitando num sine defensione quæ sunt rationis alterius, oppugnentur? Nihil prohibet.* D *Dicam igitur sub eorum persona hunc in modum, Nihil opus est, ô Socrates atque Glauco, vt alij vobis repugnent; nam inter vos statim à principio condendæ ciuitatis constitit, oportere secundum naturam vnumquemque vnum quippiam quod suum esset, peragere. Constitit, quidni? Estne igitur vbi non longè mulier ipsa natura à viro differt? Cur non differat? Ergo nónne opus vtrique aliud pro natura vtriusque est tribuendum? Proculdubio. Quomodo igitur aberratis nunc, vobisque ipsi contradicitis, quandoquidem affirmatis viros & mulieres oportere eadem operari, cum ta-* E *men naturâ valde inter se discrepent? Habebisne ô vir mirifice quid ad hæc respondeas:* Quum is quædam de facultate contradictoria dixisset, deinceps subiungit verba contradictionis, hunc in modum. *Adducimur sanè inuiti contradictionem attingere. Qua ratione? quòd natura eadem, opera eadem tractare non debeat, fortiter admodum & contentiosè, si verba inspicias, contendimus. Considerauimus autem nullo pacto quæ species alterius eiusdémve naturæ sit, & quorsum respicientes tunc descripserimus, quando diuersæ naturæ studia diuersa, eidem verò eadem attribuebamus. Certè ne-* F *quaquam id cogitauimus. Cæterùm licet nobis, vt videtur, à nobisipsis exquirere, nunquid eadem natura caluorum sit & comatorum, an contraria potius; ac postquam concesserimus esse contrariam, si calui coria incidant, calceósque conficiant, haudquaquam sinere comatos homines eadem facere; sin autem comati, caluos nequaquam permittere.*

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Ἄσκησις τῆς αὐτῆς μεθόδου ἐκ τοῦ Πλάτωνος περὶ τῆς τῶν γυναικῶν φύσεως.

Εἰλήφθω δὴ παρὰ Πλάτωνος μὲν πρῶτον, ὃ κατὰ τὸ πέμπτον τῆς πολιτείας ἐδίδαξεν, ἔνθα περὶ τῆς τῶν γυναικῶν φύσεως ἄρχεται τῶν αὐτῶν ἐπιτηδευμάτων τοῖς ἀνδράσιν ἀξιῶν μετέχειν αὐτάς, ὡς ἂν καὶ τὴν αὐτὴν ἐχούσας φύσιν, εἶτ' αὐτὸς ἀντιλαμβάνεται τοῦ λόγου. φησὶ δ' οὐκ ἂν ἴσως συγχωρῆσαί τινα τὴν αὐτὴν εἶναι φύσιν ἄρρενός τε καὶ θήλεος σώματος, ἐπιδείκνυσί τε κατὰ τί τὴν αὐτὴν ἔφη. ἔχει δ' ὁ σύμπας λόγος αὐτῷ κατὰ τάδε. τὰς θηλείας τῶν φυλάκων κυνῶν πότερα ξυμφυλάττειν οἰόμεθα δεῖν, ἅπερ ἂν οἱ ἄρρενες φυλάττωσι, καὶ ξυνθηρεύειν, καὶ τὰ ἄλλα κοινῇ πράττειν, ἢ τὰς μὲν οἰκουρεῖν ἔνδον, ὡς ἀδυνάτους διὰ τὸν τῶν σκυλάκων τόκον τε καὶ τροφήν, τοὺς δὲ πονεῖν τε καὶ πᾶσαν ἐπιμέλειαν ἔχειν περὶ τὰ ποίμνια; κοινῇ, ἔφη, πάντα, πλὴν ὡς ἀσθενεστέραις χρώμεθα, τοῖς δ' ὡς ἰσχυροτέροις. οἷόν τ' οὖν, ἔφην ἐγώ, ἐπὶ τὰ αὐτὰ χρῆσθαί τινι ζῴῳ, ἐὰν μὴ τὴν αὐτὴν τροφήν τε καὶ παιδείαν ἀποδιδῷς; οὐχ οἷόν τε. εἰ ἄρα ταῖς γυναιξὶν ἐπὶ τὰ αὐτὰ χρησόμεθα, καὶ τοῖς ἀνδράσι τὰ αὐτά, καὶ διδακτέον αὐτάς. ναί. μουσικὴ μὲν ἐκείνοις καὶ γυμναστικὴ ἐδόθη. ναί. καὶ ταῖς γυναιξὶν ἄρα τούτω τὼ τέχνα, καὶ τὰ περὶ τὸν πόλεμον ἀποδοτέον τε καὶ χρηστέον κατὰ ταὐτά. ἐν τούτοις καθόλου προειπὼν ὁ Πλάτων ὅτι τῶν αὐτῶν ἁπάντων ἐστὶ μεταδοτέον τῷ θήλει γένει, μετὰ ταῦτα καὶ περὶ γυμνασίων ὅσα γυμνοὶ γυμναζόμεθα, καὶ περὶ τῆς ἐπὶ τῶν ἵππων ὀχήσεως, ὅσα τε πολέμων ἕνεκα διδάσκεται καὶ ἀσκεῖται, μετέχειν ἀξιοῖ καὶ τὰς γυναῖκας, ἐπ' αὐτῶν δ' ἀντιλαμβανόμενος τοῦ λόγου, τάδε φησί. βούλει οὖν τοῦ δ' ἐγώ, ἡμεῖς πρὸς ἡμᾶς αὐτοὺς ὑπὲρ τῶν ἄλλων ἀμφισβητήσωμεν, ἵνα μὴ ἔρημα τὰ τοῦ ἑτέρου λόγου πολιορκῆται; οὐδέν, ἔφη, κωλύει. λέγωμεν δὴ ὑπὲρ αὐτῶν, ὅτι ὦ Σώκρατές τε καὶ Γλαύκων οὐδὲν δεῖ ὑμῖν ἄλλους ἀμφισβητεῖν, αὐτοὶ γὰρ ἐν ἀρχῇ τῆς κατοικήσεως, ἣν ᾠκίζετε πόλιν, ὁμολογεῖτε δεῖν κατὰ φύσιν ἕκαστον ἕνα ἓν τὸ αὑτοῦ πράττειν, ὡμολογήσαμεν οἶμαι, πῶς γὰρ οὔ; ἔστιν οὖν ὅπως οὐ πάμπολυ διαφέρει γυνὴ ἀνδρὸς τὴν φύσιν; πῶς οὐ διαφέρει; οὐκ οὖν ἄλλο καὶ ἔργον ἑκατέρῳ προσήκει προστάττειν τὸ κατὰ τὴν ἑαυτοῦ φύσιν; τί μήν; πῶς οὖν οὐχ ἁμαρτάνετε νυνί, καὶ τἀναντία ὑμῖν αὐτοῖς λέγετε φάσκοντες αὐτοὺς ἄνδρας, καὶ τὰς γυναῖκας δεῖν τὰ αὐτὰ πράττειν, πλεῖστον κεχωρισμένην φύσιν ἔχοντας; ἕξεις τι ὦ θαυμάσιε πρὸς ταῦτ' ἀπολογεῖσθαι. ἐν τούτοις εἰπών τινα περὶ τῆς ἀντιλογικῆς δυνάμεως, ἐφεξῆς γράφει τὴν ῥῆσιν τῆς ἀντιλογίας ὧδέ πως. κινδυνεύομεν οὖν ἄκοντες ἀντιλογίας ἅπτεσθαι. πῶς; τὸ τὴν αὐτὴν φύσιν, ὅτι οὐ τῶν αὐτῶν δεῖ ἐπιτηδευμάτων τυγχάνειν, πάνυ ἀνδρείως τε καὶ ἐριστικῶς κατὰ τὸ ὄνομα διώκομεν, ἐπεσκεψάμεθα δὲ οὐδ' ὁπῃοῦν τι εἶδος τὸ τῆς ἑτέρας τε καὶ τῆς αὐτῆς φύσεως, καὶ πρὸς τί τεῖνον ὡριζόμεθα τό τε τὰ ἐπιτηδεύματα ἄλλῃ φύσει ἄλλα, τῇδε αὐτῇ τὰ αὐτὰ ἀπεδίδομεν. οὐ γὰρ οὖν ἔφη ἐπεσκεψάμεθα. τοιγάρτοι, εἶπον, ἔξεστιν ἡμῖν ὡς ἔοικεν ἀνερωτᾶν ἡμᾶς αὐτούς, εἰ ἡ αὐτὴ φύσις φαλακρῶν καὶ κομητῶν, καὶ οὐχ ἡ ἐναντία, καὶ ἐπειδὰν ὁμολογῶμεν ἐναντίαν εἶναι, ἐὰν φαλακροὶ σκυτοτομῶσι, μὴ ἐᾶν κομήτας, ἐὰν δ' αὖ κομῆται, μὴ τοὺς ἑτέρους.

γελοῖον μὲν τ' ἂν εἴη, ἔφη. ἆρα κατ' ἄλλο τι εἶπον ἐγὼ γελοῖον, ἢ ὅτι τό τε, οὐ πάντως τὴν αὐτὴν, καὶ τὴν ἑτέραν φύσιν ἐτιθέμεθα, ἀλλ' ἐκεῖνο τὸ εἶδος τῆς ἀλλοιώσεώς τε, καὶ ὁμοιώσεως μόνον ἐφυλάττομεν τὸ πρὸς αὐτὰ τεῖνον τὰ ἐπιτηδεύματα; οἷον ἰατρικὸν μὲν, καὶ ἰατρικὴν τὴν ψυχὴν ἔχοντα, τὴν αὐτὴν φύσιν ἔχειν ἐλέγομεν. ἢ οὐκ οἴει; ἔγωγε. ἰατρικὸν δέ γε καὶ τεκτονικὸν ἄλλην; πάντως που. οὐκ οὖν ἦν δ' ἐγὼ, καὶ τὸ τῶν ἀνδρῶν, καὶ τὸ τῶν γυναικῶν γένος, ἐὰν μὲν πρὸς τέχνην τινὰ, ἢ ἄλλο ἐπιτήδευμα διαφέρον φαίνεται, τοῦτο δὴ φήσομεν ἑκατέρῳ δεῖν ἀποδιδόναι. ἐὰν δ' αὐτῷ τούτῳ φαίνεται διαφέρειν τῷ τὸ μὲν θῆλυ τίκτειν, τὸ δ' ἄρρεν ὀχεύειν, οὐδέν τί πω φήσομεν μᾶλλον ἀποδεδεῖχθαι. ὡς πρὸς ὃ ἡμεῖς λέγομεν, διαφέρει γυνὴ ἀνδρὸς, ἀλλ' ἔτι οἰησόμεθα δεῖν τὰ αὐτὰ ἐπιτηδεύειν, τούς τε φύλακας ἡμῖν, καὶ τὰς γυναῖκας αὐτῶν. καὶ ὀρθῶς γ' ἔφην. οὐκ οὖν μετὰ τοῦτο κελεύομεν τὸν τὰ ἐναντία λέγοντα, τοῦτο αὐτὸ διδάσκειν ἡμᾶς, πρὸς τίνα τέχνην ἢ τι ἐπιτήδευμα τῶν περὶ πόλεως κατασκευὴν, οὐχ ἡ αὐτὴ, ἀλλ' ἑτέρα φύσις γυναικός τε καὶ ἀνδρός; δίκαιόν γ' οὖν. τάχα τοίνυν ἂν ὅπερ σὺ ὀλίγῳ πρότερον ἔλεγες, εἴποι ἂν καὶ ἄλλος, ὅτι ἐν μὲν τῷ παραχρῆμα ἱκανῶς εἰπεῖν, οὐ ῥᾴδιον, ἐπισκεψαμένῳ δὲ, οὐδὲν χαλεπόν. εἴποι γὰρ ἄν. βούλει οὖν δεώμεθα τοῦ τὰ τοιαῦτα ἀντιλέγοντός μου ἀκολουθῆσαι ἡμῖν, ἐάν πως ἡμεῖς ἐκείνῳ ἐνδειξώμεθα, ὅτι οὐδέν ἐστιν ἐπιτήδευμα ἴδιον γυναικὶ πρὸς διοίκησιν πόλεως; πάνυ γε. ἴθι δὴ φήσομεν πρὸς αὐτόν. ἀποκρίνου· ἆρ' οὕτως ἔλεγες, τὸν μὲν εὐφυῆ πρός τι εἶναι, τὸν δὲ ἀφυῆ, ἐν ᾧ ὁ μὲν ῥᾳδίως τι μανθάνοι, ὁ δὲ χαλεπῶς, καὶ ὁ μὲν ἀπὸ βραχείας μαθήσεως ἐπὶ πολὺ εὑρετικὸς εἴη οὗ ἔμαθεν, ὁ δὲ πολλῆς μαθήσεως τυχὼν καὶ μελέτης, μηδὲ ἃ ἔμαθε σώζοιτο, καὶ τῷ μὲν τὰ τοῦ σώματος ἱκανῶς ὑπηρετεῖ τῇ διανοίᾳ, τῷ δ' ἐναντιοῖτο. ἆρ' ἄλλ' ἄττα ἐστὶν, ἢ ταῦτα οἷς τὸν εὐφυῆ πρὸς ἕκαστα, καὶ τὸν μὴ ὡρίζου; οὐδεὶς ἦν δ' ὃς ἄλλα φήσει. οἶσθά τι οὖν ὑπὸ ἀνθρώπων μελετώμενον, ἐν ᾧ οὐ πάντα ταῦτα τὸ τῶν ἀνδρῶν γένος, διαφερόντως ἔχει τοῦ τῶν γυναικῶν; ἢ μακρολογῶμεν τήν θ' ὑφαντικὴν λέγοντες, καὶ τὴν τῶν ποπάνων τε, καὶ ἑψημάτων θεραπείαν, ἐν οἷς δή τι δοκεῖ τὸ γυναικεῖον γένος εἶναι, οὗ καὶ καταγελαστότατόν ἐστι πάμπολυ ἡττώμενον; ἀληθῆ λέγεις ἔφη, ὅτι πολὺ κρατεῖται ἐν ἅπασιν, ὡς ἔπος εἰπεῖν, τὸ γένος τοῦ γένους. γυναῖκες μέντοι πολλαὶ πολλῶν ἀνδρῶν βελτίους εἰς πολλά, τὸ δ' ὅλον ἔχει, ὡς σὺ λέγεις. οὐδὲν ἐστιν ἄρα, ὦ φίλε, ἐπιτήδευμα τῶν πόλιν διοικούντων γυναικὸς, διότι γυνὴ οὐδὲν ἀνδρὸς, διότι ἀνήρ, ἀλλ' ὁμοίως διεσπαρμέναι αἱ φύσεις ἐν ἀμφοῖν τοῖν ζώοιν, καὶ πάντων μὲν μετέχει γυνὴ ἐπιτηδευμάτων κατὰ φύσιν, πάντων δ' ἀνήρ, ἐπὶ πᾶσι δ' ἀσθενέστερον γυνὴ ἀνδρός; πάνυ γε. τί οὖν ἀνδράσι ταῦτα προστάξομεν, γυναικὶ δ' οὐδέν; ἢ καὶ πῶς; ἀλλ' ἔστι γὰρ, οἶμαι, ὡς φήσομεν, καὶ γυνὴ ἰατρική, ἡ δ' οὔ, καὶ μουσική, ἡ δ' ἄμουσος φύσει; τί μήν; γυμναστικὴ δὲ, ἆρ' οὔ, καὶ πολεμική, ἡ δὲ ἀπόλεμος, καὶ οὐ φιλογυμναστική; οἶμαι ἔγωγε. τί δὲ φιλόσοφός τε καὶ θυμοειδής, ἡ δὲ ἄθυμος καὶ μισόσοφος; ἔστι καὶ ταῦτα. ἔστιν ἄρα καὶ φυλακικὴ γυνὴ, ἡ δ' οὔ. ἢ οὐ τοιαύτην, καὶ τῶν ἀνδρῶν τῶν φυλακικῶν φύσιν ἐξελεξάμεθα; τοιαύτην μὲν οὖν. καὶ γυναικὸς ἄρα καὶ ἀνδρὸς, ἡ αὐτὴ φύσις εἰς φυλακὴν πόλεως, πλὴν ὅσα, ἡ μὲν ἀσθενεστέρα, ἡ δ' ἰσχυροτέρα ἐστί. φαίνεται.

At ridiculum id esset, inquit. An ob aliud ridendum istud, quòd tunc non omninò eandem & diuersam naturam posuimus, sed illam duntaxat dissimilitudinis & similitudinis speciem obseruauimus, quæ ad ipsa eadem studia pertinebat? Quemadmodum medicum & hominem habentem animum idoneum medicinæ studiis, naturam eandem habere diximus, an non censes? Equidem. Medicum verò architectum alium; Omnino. Quare virorum, mulierúmque genus si ad artem aliquam aut studium aliud inter se in aliquo differre videantur, hoc vtrique assignandum esse dicemus; sin autem hoc ipso duntaxat discrepare inuicem videantur; quòd fœmina quidem concipit, vir gignit, nihilo magis admittemus ostensum fuisse, quantum ad id de quo nunc nos loquimur, spectat, quòd à viro fœmina differat, sed adhuc censebimus tam custodes nostros quàm mulieres ipsorum eadem apud nos exercere debere. Rectè nimirum. Nónne post hæc iubemus eum qui contraria dicit hoc ipsum nobis ostendere, ad quam artem quódve officium ex iis quæ instituendæ ciuitati conducunt, non eadem sit, sed diuersa viri mulierísve natura? Sic vtique decet. Fortè quod tu paulò ante dicebas, alius quoque dicere poterit. Subitò quidem quantum satis sit dicere, non facilè esse. Sin autem cogitetur, haud multum difficilè. Diceret vtique. Vis ergo oremus eum qui hæc nobis opponit, vt aures nobis præbeat, attendátque, si qua ratione ostendere queamus nullum esse studium ad gubernandam ciuitatem mulieri proprium? Omninò. Age itaque dicamus ad eum, responde, nunquid ita dicebas, ad aliquod opus aliquem dextro sinistróque ingenio præditum esse, ex eo intelligi, quòd ille facilè quippiam addiscit, ille difficile, & hic si exiguum quid ab aliquo didicerit, ex eo ipse plurimùm inueniat, ille verò cùm plura didicerit, meditatúsque sit, paulò post obliuiscitur: atque alteri corporis membra abundè menti subseruiunt, alteri contra. An alia præter hæc sunt, quibus hominem aliqua indole bona præditum à mala prædito distinguis? Nullus alia dixerit. Nostíne aliquid ab hominibus exerceri, in quo non omnia eadem virorum genus & excellentius habeat, quàm mulierum genus? An latè verbis vagabimur, texendi artificium commemorantes, placentarúmque & obsoniorum confectionem, in quibus aliquid esse genus mulierum videtur, vbi maximè ridiculum sanè apparet, quum vincitur? Vera loqueris, quia longè in omnibus (vt sic dixerim) genus à genere superatur. Mulieres autem multæ multis viris ad multa præstantiores. Totum ita habet vt dicis. Nullum igitur est ô amice inter eos qui ciuitatem gubernant, studium mulieris proprium quà mulier est, aut viri proprium quà vir, sed æquè dispersæ in animantibus vtriusque naturæ, & omnium studiorum natura compos est mulier, item & vir; in omnibus autem fœmina imbecillior viro. Sic est prorsus. Quid igitur? viris omnia præcipiemus, mulieri autem nihil? At quomodo? Est vtique, vt nos affirmamus, inter mulieres quoque alia medicinæ apta, alia minimè, alia musicæ, alia à musis naturâ abhorret. Quidni? Et alia quidem ad exercitationes gymnasticas & rem militarem prompta, alia verò ad hæc inepta. Sic arbitror. An non vna quidem sapientiæ studiosa est, altera sapientiam spernit? & vna elato animo, altera demisso? Et his assentior. Est ergo & inter fœminas quædam ad custodiendum idonea, quædam minimè. An non naturam quandam huiusmodi ciuitatem custodientium virorum elegimus? Eiusmodi certè. Mulieris itaque & viri eadem ad custodiendam ciuitatem natura, nisi quòd hæc imbecillior, illa robustior existat. Ita apparet.

Mulieres

Mulieres itaque tales eligendæ sunt, vt vnà cum viris & colant & custodiant ciuitatem, postquam idoneæ sunt, & natura ipsis cognatæ. Omninò. Studia verò nónne eadem eisdem naturis sunt tribuenda? Eadem. Venimus igitur ad priora illa longo circuitu, fatemúrque non esse contra naturam, vt custodum mulieres musicam & gymnasticam exerceantur. Prorsus. In his omnibus vno exemplo mulierum exercuit nos quomodo inuenire ac discernere possimus, in quo quidem similia naturis, in quo dissimilia ea quæ conferuntur, existant. Nam mulieres viris similes quidem sunt quatenus & hæ animalia existunt rationalia, hoc est scientiæ capacia; quatenus autem virorum genus fortius est, & ad omne opus & disciplinam præstantius, mulieres autem imbecilliores deterioresque, dissimiles in hoc existunt; quemadmodum rursus è contrario habent, quatenus hæ quidem sunt fœminæ, eóque ad concipiendum idoneæ; mulieribus autem certæ quædam sunt corporis partes à natura constructæ, masculis autem non sunt. Quare verè aliquis dixerit, in aliquo mulieres viris respondere structurâ simili, in aliquo contrà. Quum igitur aliquis secundum similitudinem ab alio ad aliud transgreditur, vera dicet. Vbi autem secundum dissimilitudinem, mentietur; & multò magis secundum contrarietatem. Vt enim Hippocrates in opere de re medica prodidit, præcipiens nos ab initio an similia vel dissimilia sint contemplari, apposuit in opere Prognostico etiam contrarium iis quæ in facie enumerauit; quod maximè contrarium est simili, pessimum est. Sic & Plato videtur demonstrationem in oratione superiùs comprehensa fecisse.

CAPVT IV.

Eiusdem methodi demonstratio ex Hippocratis libro de articulis.

Adiungamus igitur & aliud adhuc ex Hippocratis scriptis, exempli gratia, vt discernamus quid simile & quid dissimile existat. Verba ipsius ex commentario de articulis hæc sunt. *An brachium exciderit, his notis cognoscendum est. Hoc sanè, quum dextrum habent corpus homines, manus & crura, exemplo conuenit vti sano ad non sanum, non alienos articulos inspiciendo (alij siquidem aliis magis sunt exarticulati) sed ipsius ægrotantis, an sanum laboranti sit dissimile. Atque hoc sanè dictum est rectè. Verùm deceptionem, non exiguam propter talia continet. Ac non satis est sermone tantum persequi hanc artem, verùm & vsu tractare oportet. Nam multi præ dolore, vel alia etiam occasione articuli quamuis non excesserint ipsis loco, nequeunt tamen in similes ipsis figuras reuerti, ac subsistere quomodo sanum corpus figuratur. Itaque perpendere prius & considerare etiam talem figuram oportet. Sed in scapulis caput brachij insitum fertur multò magis elapsi, quàm sani. Hic autem superiori parte in clauicula caua apparet regio, & os summi humeri excedere videtur, tanquam articulo iam in internam partem submerso; deceptionem tamen etiam in hoc aliquam habet. Verùm de hoc postea scribetur, dignum enim est, cuius fiat mentio.*

καὶ γυναῖκες ἄρα τοιαῦται τοῖς τοιούτοις ἀνδράσιν ἐκλεκτέαι, συνοικεῖν τε καὶ φυλάττειν, ἐπείπερ εἰσὶν ἱκαναὶ, καὶ ξυγγενεῖς αὐτοῖς τὴν φύσιν. πάνυ γε. τὰ δὲ ἐπιτηδεύματα, οὐ τὰ αὐτὰ ἀποδοτέα ταῖς αὐταῖς φύσεσι. ταὐτά. ἥκομεν ἄρα εἰς τὰ πρότερα περιφερόμενοι, καὶ ὁμολογοῦμεν μὴ παρὰ φύσιν εἶναι ταῖς τῶν φυλάκων γυναιξὶ, μουσικήν τε καὶ γυμναστικὴν ἀποδιδόναι. παντάπασιν μὲν οὖν. ἐν τούτοις ἅπασιν ἐφ' ἑνὸς παραδείγματος τοῦ τῶν γυναικῶν, ἐγύμνασεν ἡμᾶς εὑρετικούς τε καὶ διακριτικοὺς εἶναι, καθ' ἅ τι μὲν ὅμοια ταῖς φύσεσίν ἐστι, καθ' ἅ τι δὲ ἀνόμοια τὰ παραβαλλόμενα. γυναῖκες γὰρ ἀνδράσιν ὅμοιαι μέν εἰσι, καθὸ καὶ αὗται ὑπάρχουσι λογικὰ ζῶα, τουτέστιν ἐπιστήμης δεκτικά. καθ' ὅσον δὲ τὸ μὲν τῶν ἀνδρῶν γένος ἰσχυρότερον ὑπάρχει, καὶ εἰς ἅπαν ἔργον τε καὶ μάθημα βέλτιον, αἱ γυναῖκες δὲ ἀσθενέστεραί τε καὶ χείρους, ἀνόμοιαί γε κατὰ τοῦτ' εἰσίν. ὥσπερ γε πάλιν ἐναντίως ἔχουσι, καθ' ὅσον αὗται μὲν ὑπάρχουσι θήλειαι, καὶ διὰ τοῦτο πρὸς κύησιν ἐπιτήδειαι. ταῖς μὲν γυναιξίν ἐστι μόρια ἄττα τοῦ σώματος ἀπὸ τῆς φύσεως κατεσκευασμένα, τοῖς δὲ ἄρρεσιν οὐκ ἔστιν, ὥς ἀληθῶς ἄν τις φαίη, καθ' ἅ τι μὲν ὁμοίως διακεῖσθαι τὰς γυναῖκας τοῖς ἀνδράσι, καθ' ἅ τι δὲ ἐναντίως. ἐπειδὰν μὲν οὖν τις κατὰ τὴν ὁμοιότητα τὴν μετάβασιν ἀπὸ θατέρου ποιῆται πρὸς τὸ ἕτερον, ἀληθεύσει. ἐπειδὰν δὲ κατὰ τὴν ἀνομοιότητα ψεύσεται, καὶ πολὺ μᾶλλον κατὰ τὴν ἐναντίωσιν. ὡς γὰρ ὁ Ἱπποκράτης ἐν τῷ κατ' ἰητρεῖον ἔγραψε, κελεύων ἡμᾶς ἐξ ἀρχῆς, ἢ ὅμοια, ἢ ἀνόμοια σκοπεῖσθαι. προσέθηκε δὲ ἐν τῷ προγνωστικῷ, καὶ τὸ ἐναντίον οἷς ἔλεγεν ἐπὶ τοῦ προσώπου, τὸ δὲ ἐναντιώτατον τοῦ ὁμοίου δεινότατον. οὕτως φαίνεται καὶ ὁ Πλάτων τὴν ἀπόδειξιν πεποιημένος ἐν τῇ προκειμένῃ ῥήσει.

ΚΕΦΑΛΑΙΟΝ Δʹ.

Ἀπόδειξις τῆς αὐτῆς μεθόδου ἐκ τοῦ περὶ τῶν ἄρθρων γράμματος τοῦ Ἱπποκράτους.

Προσθῶμεν οὖν ἔτι καὶ ἄλλο τῶν ὑφ' Ἱπποκράτους γεγραμμένων, παραδείγματος ἕνεκα τῆς διακρίσεως ἐν τοῖς παραβαλλομένοις, ὅσον καθ' ὅμοιόν ἐστι, καὶ ὅσον ἀνόμοιον. ἔστι δὲ ἡ λέξις ἐκ τοῦ περὶ ἄρθρων συγγράμματος ὧδέ πως ἔχουσα. γιγνώσκειν δὲ εἰ ἐκπέπτωκεν ὁ βραχίων, τοῖσι χρὴ τοῖσι σημείοισι, τοῦτο μὲν ἐπεὶ δίκαιον ἔχουσι τὸ σῶμα οἱ ἄνθρωποι, καὶ τὰς χεῖρας, καὶ τὰ σκέλη παραδείγματι χρὴ χρῆσθαι τῷ ὑγιεῖ πρὸς τὸ μὴ ὑγιὲς, μὴ τὰ ἀλλότρια ἄρθρα καθορῶντα. ἄλλοι γὰρ μᾶλλον ἄλλων ἔξαρθροι πεφύκασιν, ἀλλὰ τὰ αὐτοῦ τοῦ κάμνοντος ὅν ἀνόμοιον τὸ ὑγιὲς τῷ κάμνοντι, καὶ τοῦτο εἴρηται μὲν ὀρθῶς. παραξυνίησιν δὲ ἔχει πάνυ πολλὴν διὰ τοιαῦτα, καὶ οὐκ ἀρκέει μοῦνον λόγῳ εἰδέναι τὴν τέχνην ταύτην, ἀλλὰ καὶ ὁμιλίῃ ὁμιλέειν. πολλοὶ γὰρ ὑπὸ ὀδύνης, ἢ καὶ ὑπὸ ἀλλοίης προφάσιος οὐκ ἐξεστεώτων αὐτοῖσι τῶν ἄρθρων, ὅμως οὐ δύνανται εἰς τὰ ὅμοια σχήματα καθιστάναι, ἐς οἷά περ τὸ ὑγιαῖνον σῶμα σχηματίζεται. προσξυνιέναι οὖν καὶ ἐννοεῖν, καὶ τὸ τοιόνδε σχῆμα χρή· ἀτὰρ καὶ ἐν τῇ μασχάλῃ ἡ κεφαλὴ τοῦ βραχίονος φέρεται ἐγκειμένη πολλῷ μᾶλλον τοῦ ἐκπεπτωκότος, ἢ τοῦ ὑγιέος. τοῦτο δὲ ἄνωθεν κατὰ τὴν ἐπωμίδα κοῖλον φαίνεται τὸ χωρίον, καὶ τὸ τοῦ ἀκρωμίου ὀστέον ἐξέχον φαίνεται, ἅτε ὑποδεδυκότος ἤδη τοῦ ἄρθρου ἐς τὸ κάτω τοῦ χωρίου. παραξυνίησιν μὲν κἀν τούτῳ ἔχει τινά. ἀλλ' ὕστερον περὶ αὐτοῦ γραφήσεται, ἄξιον γὰρ γραφῆς ἐστι, τούτου δὲ τοῦ ἐκπεπτωκότος ὁ ἀγκὼν φαίνεται,

ἀφεστεὼς μᾶλλον ἀπὸ τῶν πλευρέων, ἢ ἀπὸ τοῦ ἑτέρου. εἰ μέντοι τις προσαναγκάζοι, προσάγεται μὲν ἐπιπόνως δέ. τοῦτο δ' ἄνωθεν τὴν χεῖρα ἆραι εὐθεῖαν παρὰ τὸ οὖς ἐκτεταμένου τοῦ ἀγκῶνος, οὐ μᾶλλον δύνανται, ὥσπερ τὴν ὑγιέα, οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα ὁμοίως. αὕτη μὲν ἡ τοῦ Ἱπποκράτους ῥῆσις, αὐτῇ τῇ κατὰ τὸ προγνωστικόν. ὡς γὰρ ἐκεῖ τὸ πρόσωπον ἡμᾶς τοῦ νοσοῦντος ἐκέλευσε σκοπεῖσθαι, πότερον ὅμοιόν ἐστιν ἢ ἀνόμοιον τῶν ὑγιαινόντων, μάλιστα δ' εἰ αὐτὸ ἑαυτῷ, οὕτως νῦν τὸ ἐκπεπτωκὸς ἄρθρον τῷ ὑγιεῖ παραβάλλει, τὴν παραβολὴν ποιούμενος ἐπ' αὐτοῦ τοῦ πεπονθότος ἀνθρώπου, ἀπάτη γὰρ ἣν παραξυνέσιν ὠνόμασε, γίγνεται πολλάκις, ἐὰν τοῖς ἀλλοτρίοις ἄρθροις παραβάλλοις αὐτό. καὶ μέντοι καὶ ὡς ἐκ τῶν κατὰ μέρος εἰ ὅμοιόν ἐστι τῷ κατὰ φύσιν ἔχοντι τό γε πεπονθὸς, ἔνεστι διαγνῶναι, καθάπερ ἐν τῷ προγνωστικῷ διῆλθεν. οὕτως κἀνταῦθα, τὰ μὲν ἄλλα γράψας καλῶς ἐν ᾧ δ' ἄν τις σφαλείη διὰ τὴν πρὸς τὸ ἐξηρθρηκὸς ὁμοιότητα τοῦτ' ἐπισημηνάμενος, ὡς παραξυνέσιν ἔχον καὶ αὐτό. ταπεινὴ γὰρ ἡ ἐπωμὶς οὐ μόνον ἐπὶ τῶν ἐξηρθρηκότων ἐστὶν, ἀλλὰ κἀπὶ τῶν ἀπόσπασμα κατὰ τὸ ἀκρώμιον ἐχόντων, ὥστε συγχεῖσθαι κατὰ τοῦτο τὴν διάγνωσιν τῶν ἐξαρθρημάτων, εἰς κοινὸν σημεῖον ἀφικνουμένην τοῖς ἀπεσπασμένον ἔχουσι τὸ ἀκρώμιον, ἀλλὰ κἀνταῦθα πάλιν ὅπερ καθόλου διὰ τοῦ κατ' ἰητρεῖον ἀπεφήνατο. τοῦτο νῦν ἑνὸς εἴδους ἐποίησεν, ἐπιδείξας οὐ μόνον ᾗ ὅμοια τὰ σημεῖα τῶν δυοῖν παθῶν ἐστιν, ἀλλὰ καὶ ᾗ ἀνόμοια. κοίλη μὲν οὖν ἡ ἐπωμὶς ἐπ' ἀμφοῖν φαίνεται. τῶν δὲ ἄλλων συμπτωμάτων ὧν τὸν κατάλογον ἔγραψεν ἐπὶ τῶν ἐξηρθρηκότων ὤμων, οὐδὲν συμβαίνει κατὰ τὰ τῶν ἀκρωμίων ἀποσπάσματα, περὶ ὧν κατὰ τὴν προγεγραμμένην ῥῆσιν οὕτως εἶπε. τούτου δὲ τοῦ ἐκπεπτωκότος ὁ ἀγκὼν φαίνεται ἀφεστεὼς μᾶλλον ἀπὸ τῶν πλευρῶν, ἢ τοῦ ἑτέρου, εἰ μέντοι τις προσαναγκάζοι, προσάγεται μὲν, ἐπιπόνως δὲ, τοῦτο δὲ ἄνω ἆραι τὴν χεῖρα ἰθεῖαν παρὰ τὸ οὖς ἐκτεταμένου τοῦ ἀγκῶνος, οὐ μάλα δύναται, ὥσπερ καὶ τὴν ὑγιέα, οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα ὁμοίως. ταῦτα μὲν ἐπὶ τῶν ἐξηρθρηκότων φαίνεται γιγνόμενα, μηδὲν τοιοῦτον πασχόντων οἷς ἀπέσπασται τὸ ἀκρώμιον. μόνοις γὰρ αὐτοῖς κοινόν ἐστι τὸ τὴν ἐπωμίδα φαίνεσθαι κοίλην. ἔστι δὲ καὶ κατὰ τοῦτο τὸ κοινὸν, οὐ μόνον ὁμοιότης, ἀλλὰ καὶ ἀνομοιότης. φαίνεται γὰρ ὁ τόπος ὢν ταπεινότερος, οὐ μὴν καὶ γεγονώς γε κατ' ἀλήθειαν ἑαυτοῦ ταπεινότερος, ὡς ἐπὶ τῶν ἐξηρθρηκότων ὤμων. ἐπ' ἐκείνων μὲν γὰρ τῆς κεφαλῆς τοῦ βραχίονος εἰς τὴν μασχάλην καταπεσούσης, ὁ πρότερον ὑπάρχων ὄγκος ἐν τῷ κατὰ τὴν ἐπωμίδα τόπῳ, κατ' ἀλήθειαν ἀπόλωλεν, ἐν δὲ τοῖς ἀποσπάσμασιν, οὗτος μὲν ὁ αὐτὸς διαμένει, μεταστάντος δ' εἰς ὕψος τοῦ ἀκρωμίου, φαντασία ψευδὴς γίγνεται τῆς τοῦ τόπου ταπεινώσεως. ἴσως οὖν ἄμεινόν ἐστι καὶ μίαν ἄλλην ἔτι παραγράψαι ῥῆσιν ἐκ τοῦ περὶ ἄρθρων, ἐν ᾗ καθ' ἓν πάθος ἐπιδείκνυσιν ὁ Ἱπποκράτης ὁμοιότητά τε καὶ ἀνομοιότητα σφάλλουσαν τοὺς πολλοὺς τῶν ἰατρῶν, ὅταν τις ἐξαρθρήσῃ σπόνδυλος εἰς τὸ πρόσω ταπεινὸν κατὰ τοῦτο γίγνεται τὸ χωρίον τῆς ῥάχεως, ἐνίοτε δὲ περιθραυσθεισῶν τῶν κατὰ τοὺς σπονδύλους ὄπισθεν ἀποφύσεων ἐξ ὧν ἡ τῆς ῥάχεως ἄκρα γίνεται, κοῖλος καὶ ταπεινὸς ὁ τόπος φαίνεται, καθάπερ ἐπὶ τῶν ἐξηρθρηκότων εἰς τὸ πρόσω σπονδύλων. ἔστι δὲ τοῦτο μὲν τὸ πάθος εὐιατώτατον, ὀλεθριώτατον δὲ τὸ ἕτερον. ἀγνοοῦντας δὲ τῶν ἰατρῶν ἐνίους τὴν διαφορὰν αὐτῶν, ὁ Ἱπποκράτης φησὶν, οἴεσθαι τεθεραπευκέναι ῥᾳδίως τὴν εἰς τὰ πρόσω τῶν σπονδύλων μετάστασιν. ὀνομάζει δὲ τὴν εἰς τὸ πρόσω ταύτην οὐ μόνον οὕτως, ἀλλὰ καὶ ἔσω καλῶν. ἔσω μὲν δηλονότι, τὸ βάθος τοῦ σώματος,

Hoc elapso, interior cubitus appar[et] recedere magis à costis, quam ab altero. Si verò aliquis adigat, adducitur quidem, sed laboriosè. In hoc autem manum rectà ad aurem cubito extenso attollere, non magis possunt, quàm sanam, neque circumducere huc & illuc similiter. Hæc sanè Hippocratis verba sunt, similia iis quæ in opere prognostico tradit. Quemadmodum enim illic faciem nos ægrotantis iussit inspicere, vtrum similis sit an dissimilis sanis, præsertim an ipsa sibi respondeat, ita nunc elapsum articulum sano comparat, comparatione in ipso affecto homine facta. Deceptio enim, quam falsam notitiam vocant, frequenter accidit, si alienis articulis ipsum conferas. Quinetiam ex particularibus an similis sit naturaliter habenti, affectus, licet dignoscere; quemadmodum in opere prognostico percensuit, ita & hîc, alia quidem rectè scribens; in quo autem quis nonnihil aberraret propter similitudinem ad luxatum, id significans, quomodo & ipsum deceptionem habeat. Humilis enim clauicula non solùm in luxatis est, sed etiam qui diuulsionem in summo humero sustinent, vt in hoc confundatur dignotio luxationum, quæ signum commune sortitur iis qui summum humerum habent auulsum. Sed hîc quoque rursus quod generatim in opere de re medica pronunciauit, id nunc vnius speciei fecit: ostendens non solùm quatenus similia duorum affectuum sunt, sed etiam quatenus dissimilia. Caua igitur clauicula in vtrisque apparet. Ex aliis autem symptomatis quæ enumerauit in luxatis articulis, nullum in summorum humerorum auulsionibus accidit; de quibus ad præscripta verba ita ait. *Hoc elapso interior cubitus recedere magis à costis quàm ab altero videtur. Si verò quis compellat, adducitur quidem; sed cum dolore in hoc sursum manum tollere rectà ad aurem cubito extenso non admodum potest; quemadmodum & sanam ne adducere quidem huc & illuc similiter.* Hæc in luxatis fieri apparent, quum nihil eiusmodi accidat iis quibus summus humerus auulsus est. Quippe solis ipsis commune est, clauiculam apparere concauam. Est autem & in hoc commune, non modò similitudo, sed etiam dissimilitudo. Nam locus videtur esse humilior, cum tamen re vera non sit humilior quàm fuerit affectus, vt in luxatis humeris. In quibus enim capite brachij in scapulas delapso tumor primum clauicularum loco eminens verè euanuit; in auulsionibus autem hic quidem ipse permanet; sed humero summo in altum traducto, falsa loci depressionis imaginatio oboritur. Forsitan præstiterit etiam aliam vnam adhuc sententiam ascribere ex commentario de articulis, vbi in vno affectu Hippocrates ostendit similitudinem & dissimilitudinem plerosque medicos fallere; quum aliqua vertebra luxata fuerit in anteriora, iuxta eam spinæ locus humilis efficitur; nonnunquam & posterioribus vertebrarum processibus refractis, vnde spinæ eleuatio fit: mancus & depressus locus apparet; quemadmodum in vertebris in anteriora luxatis. Est autem hic affectus curatu facillimus, alter verò perniciosissimus: quorum differentiam ignorantes nonnullos medicos Hippocrates ait putare vertebrarum in anteriora prolapsum curasse ex facili. Nominat porrò hunc in priora transitum, non ita solum, sed etiam ad interiora. Intra sanè profunditatem corporis: extra

extra autem superficiem ante & post, oratio ipsius est hæc, quâ illa tradidit. *Ex posteriori parte non facilè est huiusmodi luxationem in anteriora fieri, nisi pergraue aliquod pondus incidat. Nam ex ossibus extrinsecus enatis vnumquodque tale est, vt anterius ipsum frangatur, prius quam multum intrò declinauerit, & ligamenta violenter adigens, & articulos è sede sua in aliam motos. Item spinalis medulla laborat, si modicè è loco inflectatur, vertebra in eum modum exiliente, item vertebra luxata comprimit spinalem medullam, nisi etiam abruperit, pressa verò & grauata hac, multorum magnorum & insignium membrorum stuporem efficeret. Quare non poterit medicus quomodo oportet vertebram dirigere, multis violentisque aliis malis instantibus, ac ideò quòd ne insere quidem liceat, neque conquassare, neque alio vllo modo, constat, nisi quis dissecto homine, deinde iniecta in cauitatem ab interiori parte manu, foràs repellat, atque hæc mortuo licet facere, viuo non admodum. Cur autem hæc scribo? quoniam putant nonnulli, homines se sanasse, quibus ab interiore parte vertebræ inciderant, omninò articulos prætergressi. Atqui facillimam curatu distortionem hanc quidam putant, ac nihil indigere iniectione, sed sponte sua eiusmodi sanos fieri. Ignorant autem multum, & hoc lucrantur, quod ignorant. Nam proximis suadent, sed propter hoc decipiuntur. Putant spinam excedentem in dorso hoc vertebras ipsas esse; quoniam singulæ rotundæ ad tactum apparent; ignorantes quòd ossa hæc sint à vertebris profecta, de quibus paulò ante dictum est, at quibus vertebræ multæ in anteriora recedunt, arctissimum enim inter omnia animantia homo sinum habet, quantum ad magnitudinem attinet, à posterioribus in anteriora, aliquando etiam in pectore. Quum igitur aliquod ex his ossibus eminentibus validè confractum fuerit, siue vnum, siue plura, hac depressior locus efficitur, vel hinc, vel inde; propterea decipiuntur, dum putant vertebras intrò prolabi.* Porrò quòd maximam vim habet similium & dissimilium dignotio, omnísque artifex desiderat discernere, similésne an dissimiles res sint circa quas versatur, ex hoc exemplo licet colligere. Quum enim in exercitatione magna pars propositæ cognitionis consistat, non in generalibus exemplis videre conuenit, sed in multis variísque exercitari; & præsertim quæ ab his petita sunt, qui optimè horum artem elaborauerunt, qualis est Hippocrates & Plato.

ἔξω δὲ τὸ ἐπιπολῆς ὄπισθέν τε καὶ πρόσθεν, ἔστι δ' ἡ ῥῆσις αὐτοῦ καθ' ἣν γέγραπται ταῦτα αὕτη. ἐκ δὲ τοῦ ὄπισθεν, οὐ ῥηΐδιον τοιαύτην ἐξέλασιν γενέσθαι εἰς τὸ εἴσω, εἰ μὴ ὑπέρβαρύ τι ἄχθος ἐμπέσοι. τῶν τε γὰρ ὀστέων τῶν ἐκπεφυκότων ἔξωθεν ἕκαστον τοιοῦτόν ἐστιν, ὥστε πρόσθεν ἂν αὐτὸ καταγείη, πρὶν ἢ μεγάλην ῥοπὴν εἴσω ποιῆσαι, τούς τε ξυνδέσμους βιασάμενον, καὶ τὰ ἄρθρα τὰ ἐνηλλαγμένα, ὅ τε αὖ νωτιαῖος πονοίη ἄν, εἰ δὲ ἐξ ὀλίγου χωρίου τὴν περικαμπὴν ἔχοι τοιαύτην ἐξέλασιν ἐξαλλομένου σπονδύλου, ὅ τε ἐκπηδήσας σπόνδυλος, πιέζοι ἂν τὸν νωτιαῖον εἰ μὴ καὶ ἀπορρήξειε, πιεσθεὶς δ' ἂν καὶ ἀπολελαμμένος, πολλῶν καὶ μεγάλων καὶ ἐπικαίρων ἀπονάρκωσιν ποιήσειεν. ὥστ' οὐκ ἂν μέλοι τῷ ἰατρῷ ὅπως χρὴ τὸν σπόνδυλον κατορθῶσαι, πολλῶν καὶ βιαίων ἄλλων κακῶν παρεόντων. ὥστε δὴ οὐδ' ἐμβάλλειν οἷόν τε, οὔτε κατασείειν, οὔτ' ἄλλῳ οὐδενὶ τρόπῳ πρόδηλον τῶν τοιούτων, εἰ μή τις διαταμὼν τὸν ἄνθρωπον, ἔπειτα ἐμβαλόμενος ἐς τὴν κοιλίην ἐκ τοῦ εἴσωθεν τῇ χειρὶ ἐς τὸ ἔξω ἀντωθέοι, κἀνταῦθα νεκρῷ μὲν οἷόν τε ποιέειν, ζῶντι δ' οὐ πάνυ. διὰ τί δὲ ταῦτα γράφω; ὅτι οἴονταί τινες ἰητρευκέναι τοὺς ἀνθρώπους οἷσιν ἔσωθεν ἔπεσον σπόνδυλοι τελέως ὑπερβαίνοντες τὰ ἄρθρα, καίτοι ῥηΐστην εἰς τὸ περιγενέσθαι τῶν διαστροφέων, ταύτην ἔνιοι νομίζουσι καὶ οὐδὲν δέεσθαι ἐμβολῆς, ἀλλ' αὐτομάτως ὑγιέα γενέσθαι τὰ τοιαῦτα. ἀγνοοῦσι δὲ πολύ, καὶ κερδαίνουσιν ὅτι ἀγνοοῦσι. πείθουσι γὰρ τοὺς πέλας, ἐξαπατῶνται δέ, διὰ τόδε· οἴονται τὴν ἄκανθαν τὴν ἐξέχουσαν κατὰ τὴν ῥάχιν ταύτην τοὺς σπονδύλους αὐτοὺς εἶναι, ὅτι στρογγύλον αὐτῶν ἕκαστον φαίνεται ψαυόμενον, ἀγνοοῦντες ὅτι τὰ ὀστέα ταῦτά ἐστι τὰ ἀπὸ τῶν σπονδύλων πεφυκότα, περὶ ὧν ὀλίγῳ ἔμπροσθεν εἴρηται. οἱ δὲ σπόνδυλοι πολλοὶ προσωτέρω ἄπεισι, στενοτάτην γὰρ πάντων ζώων ἄνθρωπος κοιλίην ἔχει, ὡς ἐπὶ μεγέθει ἀπὸ τοῦ ὄπισθεν εἰς τὸ ἔμπροσθεν, ὅτι καὶ κατὰ τὸ στῆθος. ὅταν οὖν τι τούτων τῶν ὀστέων τῶν ὑπερεχόντων ἰσχυρῶς καταγῇ, ἤν τε ἕν, ἤν τε πλείω, ταύτῃ ταπεινότερον τὸ χωρίον γίνεται, ἢ τὸ ἔνθεν καὶ ἔνθεν, διὰ τοῦτο ἐξαπατῶνται οἰόμενοι τοὺς σπονδύλους εἴσω οἴχεσθαι. ὅτι δὲ μεγίστην ἔχει δύναμιν ἡ τῶν ὁμοίων τε καὶ ἀνομοίων διάγνωσις, καὶ πᾶς τεχνίτης δεῖται διακρίνειν εἰ ὅμοια, ἢ ἀνόμοια τὰ πράγματά ἐστι, περὶ ἃ διατρίβει, ἀθρεῖν ἔνεστι κἀκ τοῦδε τοῦ παραδείγματος. ἐπειδὴ γὰρ ἐν γυμνασίᾳ κεῖται τὸ πλεῖστον τῆς προκειμένης γνώσεως, οὐκ ἐν τοῖς καθόλου παραδείγμασι χρὴ βλέπειν, ἀλλ' ἐν πολλοῖς τε καὶ ποικίλοις γυμνάζεσθαι, καὶ μάλιστα περὶ τοῖς ἄριστα μεταχειρισαμένοις τὴν περὶ ταῦτα τέχνην Ἱπποκράτει τε καὶ Πλάτωνι.

CAPVT V.

Alia demonstratio superioris methodi ex Platone; ac de Methodo componendi & diuidendi eiusdem Platonis testimonio.

QVum igitur Plato primo libro de Republica ostendisset variis exemplis, ex quorum numero est, & ciuitatis gubernatores, & medicos artificibus quibus præsunt, imperántque, quósque regunt, illis vtilitatem, non sibi suppeditare, deridens Thrasymachus pastorum & bubulcorum meminit, qui sibi ipsis commodum, non ouibus & bobus exhibent. Verùm Socrates ostendit ipsorum scopum & finem esse, alium sanè iis qui in pastoritia & bucolica arte nihil præter ouium & boum vtilitatem respiciunt, alium verò qui animalia ad epulas & venditionem alunt.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ἄλλη ἀπόδειξις τῆς προειρημένης μεθόδου ἐκ τοῦ Πλάτωνος· καὶ περὶ τῆς διαιρετικῆς τε, καὶ συνθετικῆς μεθόδου κατὰ τὸν Πλάτωνα.

ΔΕίξαντος οὖν τοῦ Πλάτωνος ἐν τῷ πρώτῳ τῆς πολιτείας ἐπὶ πλειόνων παραδειγμάτων, ὧν εἰσι καὶ κυβερνῆται καὶ ἰατροὶ τοὺς τεχνίτας, ὧν ἄρχουσι καὶ διοικοῦσιν, ἐκείνοις τὴν ὠφέλειαν οὐχ ἑαυτοῖς ἐκποριζεσθαι, καταγελάσας Θρασύμαχος, ποιμένων τε καὶ βουκόλων μνημονεύει, τὸ ἑαυτοῖς συμφέρον, οὐ τὸ τοῖς προβάτοις τε καὶ βουσὶν ἐκποριζόντων. ἀλλὰ Σωκράτης ἐπιδείκνυσιν αὐτῶν σκοπὸν εἶναι καὶ τέλος, ἕτερον μὲν τοῖς παρὰ τῇ ποιμαντικῇ τε, καὶ βουκολικῇ τέχνῃ, μηδὲν ἄλλο σκοπουμένοις παρὰ τὴν τῶν προβάτων τε, καὶ βοῶν ὠφέλειαν, ...ο δὲ τοῖς εἰς πρᾶσιν, ἢ θοίνην παρασκευάζουσι τὰ ζῶα,

πρόδηλον οὖν ἔτι καὶ ἰατρός, ᾗ μὲν ἰατρός ἐστι, ταύτῃ προνοεῖται τῆς τοῦ σώματος ὑγείας, ᾗ δὲ δι' ἄλλο τι τοῦτο πράττει, κατ' ἐκεῖνο καὶ τὴν προσηγορίαν ἕξει. τινὲς μὲν γὰρ ἕνεκα χρηματισμοῦ τὴν ἰατρικὴν τέχνην ἐργάζονται, τινὲς δὲ διὰ τὴν ἐκ τῶν νόμων αὐτοῖς διδομένην ἀλειτουργησίαν, ἔνιοι δὲ διὰ φιλανθρωπίαν, ὥσπερ ἄλλοι διὰ τὴν ἐπὶ ταύτῃ δόξαν ἢ τιμήν. ὀνομασθήσονται τοιγαροῦν, ᾗ μὲν ὑγείας εἰσὶ δημιουργοί, κοινῇ πάντες ἰατροὶ, ζέουσι πρὸς τὰς πράξεις ἐπὶ διαφόροις ποιοῦνται σκοποῖς, ὁ μέν τις φιλάνθρωπος, ὁ δὲ φιλότιμος, ὁ δὲ φιλόδοξος, ὁ δὲ χρηματιστής, οὐκοῦν τοῖς ἰατροῖς τὸ τέλος ἐστὶν, ὡς ἰατροῖς ἔνδοξον ἢ πόριμον, ὡς Μηνόδοτος ἐμπειρικὸς ἔγραψεν, ἀλλὰ Μηνοδότῳ μὲν τοῦτο, Διοκλεῖ δ' οὐ τοῦτο, καθάπερ οὐδὲ Ἱπποκράτει καὶ Ἐμπεδοκλεῖ, οὐδ' ἄλλοις τῶν παλαιῶν οὐκ ὀλίγοις, ὅσοι διὰ φιλανθρωπίαν ἐθεράπευον τοὺς ἀνθρώπους. γυμνασάμενος οὖν ἐν τοῖς τοιούτοις τις παραδείγμασι, πάμπολλα δ' ἐστὶ παρ' Ἱπποκράτει καὶ Πλάτωνι ῥᾳδίως καθόψεται, τά τε ἴδια τέχνης ἑκάστης, καὶ τὰ κοινά. πρὸς μὲν γὰρ Θρασύμαχον ἐν τῷ πρώτῳ τῆς πολιτείας Σωκράτης διαλεγόμενος, ἔδειξεν ἐπὶ ποιμένων τε καὶ βουκόλων, ὡς κοινωνοῦσι μὲν, καθ' ὅσον εἰσὶ ποιμένες καὶ βουκόλοι, διαφέρονται δὲ, καθ' ὅσον ὁ μὲν ὡς χρηματιστὴς, ὁ δ' ὡς ἵνα κατεδέσηται κατασκευάζουσιν αὐτὰ πίονα. κατὰ μέντοι τὸ περὶ ἀγμῶν διὰ πλειόνων ἔδειξεν ἡμᾶς, διακρίνειν τά τε κοινὰ, καὶ τὰ ἴδια. κατὰ δὲ τὰς τέχνας, τουτέστιν εἰ ὅμοιά τ' εἰσὶ καὶ ἀνόμοια. ἓν γάρ ἐστι τῇ δυνάμει τὰ τρία ταῦτα σκέμματα, τό τε περὶ τῶν κοινῶν καὶ ἰδίων, καὶ τὸ διακρίνειν εἰ ὅμοια, ἢ ἀνόμοια τὰ παραβαλλόμενα πράγματά εἰσι, καὶ τρίτον ἐπὶ τούτοις, τί ταὐτὸν ἐν αὐτοῖς ἐστι, καὶ τί ἕτερον. εἰώθασι γὰρ οἱ Ἕλληνες ὅμοια καλεῖν ἐνίοτε, τὰ ταὐτὸν ἔχοντά τι, καὶ τά γε παραδείγματα κατὰ ταὐτὸν ἐν τοῖς παραβαλλομένοις ἐκέλευσεν ἡμᾶς ὁ Πλάτων ποιεῖσθαι, γειτνιᾷ δέ πως τούτῳ τῷ σκέμματι, καὶ τὸ κατὰ τὴν διαιρετικὴν ὀνομαζομένην μέθοδον, ἧς τὴν μὲν γυμνασίαν ὁ Πλάτων ἐν σοφιστῇ καὶ πολιτικῷ πεποίηται, τὴν δὲ ἐξ αὐτῆς χρείαν ἐπέδειξεν οὐκ ἐν τούτοις μόνον, ἀλλὰ σαφέστατα μὲν ἅμα καὶ τελεώτατα, κατά τε Φίληβον, καὶ Φαῖδρον, οὐ μὴν ἀλλὰ κατὰ τὴν πολιτείαν τε, καὶ ἄλλα ἄττα τῶν συγγραμμάτων. ἐν μὲν οὖν τῷ σοφιστῇ καὶ πολιτικῷ διδάσκει, πῶς ἄν τις ἀντὶ τῆς προσηγορίας ἑρμηνευθείη, λόγῳ σαφεῖ τε ἅμα καὶ συντόμῳ τὸ σημαινόμενον ἑαυτῆς, ὅν τινα λόγον ὡρισμένον τε καὶ ὅρον ἐξαιρέτως ἐκάλεσαν οἱ μετὰ Πλάτωνα. ἐν δὲ τῷ Φιλήβῳ καὶ τῷ Φαίδρῳ, δείκνυσιν εἰς τεχνῶν σύστασιν, ἀναγκαιοτάτην εἶναι τὴν διαιρετικὴν καὶ συνθετικὴν θεωρίαν, γεγυμνάσθαι τε κελεύει διττῶς κατ' αὐτήν. ἀπὸ μὲν τοῦ πρώτου καὶ γενικωτάτου καταβαίνοντας ἐπὶ τὰ μηκέτι τέμνεσθαι δεχόμενα, διὰ τῶν ἐν τῷ μεταξὺ διαφορῶν, δι' ὧν καὶ τοὺς ὁρισμοὺς τῶν εἰδῶν ἐδεδείχει, συνισταμένους ἐν σοφιστῇ καὶ πολιτικῷ. ἔμπαλιν δ' ἀπὸ τῶν εἰδικωτάτων πολλῶν ὄντων, ἀναβαίνοντας ἐπὶ τὸ πρῶτον γένος κατὰ σύνθεσιν. ὁδὸν μὲν γὰρ εἶναι μίαν ἀμφοῖν, ὁδοιπορίαν δὲ διττὴν, ἀπὸ θατέρου τῶν πρώτων ἐπὶ θάτερον ἐναλλὰξ ἰόντι. λέγει δὲ περὶ αὐτῶν, ἐν μὲν τῷ Φαίδρῳ κατὰ τήνδε τὴν λέξιν. ἐμοὶ δὲ φαίνεται τὰ μὲν ἄλλα τῷ ὄντι παιδιᾷ πεπαῖσθαι. τούτων δέ τινων ἐκ τύχης ῥηθέντων δυοῖν εἰδῶν, εἰ αὐτοῖν τὴν δύναμιν τέχνῃ λαβεῖν δύναιτό τις, οὐκ ἄχαρι. τίνων δή; εἰς μίαν τε ἰδέαν συνορῶντα ἄγειν τὰ πολλαχῇ διεσπαρμένα, ἵν' ἕκαστον ὁριζόμενος δῆλον ποιῇ, περὶ οὗ ἂν ἀεὶ διδάσκων ἐθέλῃ, ὥσπερ τὰ νῦν δὴ περὶ ἔρωτος ὅ ἐστιν

Itaque constat, quòd & medicus, quatenus medicus est, eatenus corporis sanitati prospicit. Quatenus autem aliud quid agit, inde appellationem quoque habebit. Nonnulli etiam diuitiarum gratia artem medicam tractant; nonnulli propter mulctam ex legibus ipsis impositam; quidam verò propter humanitatem, quemadmodum alij ob gloriam inde aut honorem comparandum. Nominabuntur igitur quatenus sanitatis sunt opifices, communiter omnes medici. Quatenus autem ob diuersa consilia actiones aggrediuntur, hic humanus, ille honoris studiosus, alius gloriæ, alius diuitiarum affectator. Non igitur medicis finis est, tanquam medicis, vt gloriam, aut fructum percipiant, sicut Menodotus Empiricus scriptum reliquit, id quod curæ fuit Menodoto, Diocli verò minimè; quemadmodum nec Hippocrati, & Empedocli, neque aliis veterum permultis, qui ob humanitatem benignitatémque naturæ ægrotis medebantur. Qui igitur in huiusmodi exemplis se exercuerit, cuiusmodi valde multa apud Hippocratem & Platonem reperiuntur, facilè inspiciet, & propria cuiusque artis, & communia. Etenim Socrates cum Thrasymacho in primo de Republica differens, ostendit opiliones & bubulcos communicare inter se quatenus sunt opiliones & bubulci, differre autem quatenus hic tanquam diuitiis inhians, ille ad epulas animalia reddit pinguia. Quinetiam Hippocrates de fracturis pleniùs docuit discernere, vt communia, & propria. In artibus autem hoc est, similiáne sint, an dissimilia. Vnũ enim sunt tres hæ considerationes, tum quæ de cõmunibus & propriis, tum quæ discernimus num similes an dissimiles res quæ comparantur, existant; tertia ad hæc, qua speculamur quid idem in ipsis sit, & quid diuersum. Consueuerunt enim Græci similia nonnunquam vocare, quæ idem aliquid obtinent. Item exempla secundum idem in iis quæ conferuntur, Plato nos facere præcepit. Vicina est huic contemplationi & ea quæ diuidendi constat methodo, cuius exercitium Plato in sophista & ciuili opere tractauit; vsum verò ipsius non in his modò, verùm clarissimè simul & absolutissimè in Philebo & Phædro, quinetiam in commentario de Republica, aliisque multis ostendit. In Sophista igitur & Politico docet quomodo aliquis loco appellationis sermone interpretatur claro pariter & compendioso ipsius significatum, quem sermonem finem, & definitionem eximiè Platonis sectatores vocarunt. In Philebo autem & Phædro diuisoriam compositoriámque speculationem maximè necessariam esse ad artium constitutionem ostendit, qui duplici modo in ea exercitari præcipit, à primo sanè & generalissimo descendentes ad ea quæ non ampliùs diuidi queunt per differentias in medio consistentes, quibus & definitiones specierum constitui in Sophista & Politico monstrauerat. Contra verò à specialissimis, quæ multa sunt, ad primum genus per compositionem ascendentes. Viam enim esse vtriusque vnam, sed iter duplex, ab altero primorum ad alterum vicissim eunti. Dicit itaque de ipsis in Phædro ad hunc modum. *Mihi quidem videmur cætera reuera lusisse. At si quis duarum specierum in quas modo fortuna incidimus, vim arte comprehenderit, opus non ingratum fuerit consecutus. Quas species dicis? Vt in vnam ideam conspiciens passim dispersa ducat; quo singula definiens, manifestum reddat semper id de quo agitur; quemadmodum nos in præsentia quid amor sit*

definiuimus

definiuimus, siue bene, siue malè id factum sit. Certè hinc disputatio nostra claritatem in se habuit, constantémque sibi ipsi concordiam. Alteram verò speciem quam dicis ô Socrates, vt rursus secundum species articulatim pro rerum natura incidat, neque imperiti coqui ritu vlla membra confringere aggrediatur. Hæc igitur generatim de diuidendi componendíque methodo à Platone sunt comprehensa. Digressus autem ad artem rhetoricam, (erit nobis vnum aliquod totius operis exemplum) hæc scribit. *Quandoquidem dicendi facultas quædam animi euocatio, & oblectatio est, futurum oratorem necesse est, quot species anima habeat, cognoscere. Sunt itaque tot, talésque, vnde hi tales, illi tales efficiuntur. His ita distinctis, orationum quoque tot talésque sunt species; eiusmodi verò singulæ. Tales igitur talibus quibusdam orationibus, certa quadam de causa ad eiusmodi res facilè persuadentur; aliter autem affecti ob aliquam causam, minimè. Oportet itaque eum qui hæc satis perspexerit, postea in ipsis negotiis, quæ sunt, agunturque animaduersa acutè posse sensu assequi; aut nihil ampliùs quàm verba quæ audiuit, habet. At quum abundè potest dicere quis quibus orationibus capiatur, præsentémque hominem acutè percipit eo ingenio præditum, de quo antea fuerit disputatum, sic ipsum esse talibus orationibus ad talia compellandum, is ita instructus, tum demum perfectè artem hanc erit consecutus, quum ad superiora hæc adiunxerit, vt opportunitatem loquendi tacendíque calleat. Item quando conueniat vti, & quando non breuiloquentia, commiseratione, vehementia acriori, amplificationéque; cæterum partium orationis quas didicerit vsum tempestiuum vel intempestiuum cognouerit, absolutè hanc erit artem executus, priùs verò minimè, in quocunque verò horum defecerit vel dicendo, vel scribendo, licet ex arte verba facere se dicat, ipse cui non persuadetur, vincit.* Hæc protulit de rhetorica, docens inibi quomodo aliquis optimè ipsam constituat methodo vsus, non quemadmodum vulgus, experientia & conuersatione. Ad hæc quum inferiùs multa interim vtilia commemorasset, in caput ipsa redigens, ad verbum sic dixit. *Quapropter si aliud quippiam de arte dixeris, auscultabimus quidem; sin minus, his quæ paulò ante recensuimus, fidem adhibebimus, quòd videlicet nisi quis auditorum ingenia nouerit, distinxeritque, atque res ipsas in species suas discreuerit, rursúsque singula specie vna comprehenderit, nunquam dicendi artem quoad homini licet, adipiscetur.* In hoc libro succinctè egit de generali omnium artium constitutione, & de rhetorica; exactissimè verò totum sermonem in Philebo persecutus est. Ego à principalissimis exordiar, prima hac ipsius oratione ascripta. *Vox inquam ex ore nobis erumpens vna est, & infinitæ rursus voces numerò & cunctorum pariter, & cuiusque. Quidni? Neutro tamen horum docti efficimur sapientésque, nec quod eius infinitum, nec iterum quod eius vnum aliud cognoscimus, item quod & quales fiunt, tenemus; hoc enim vnumquemque nostrum grammaticum reddit. Verißima loqueris. Quinetiam id quod musicum non efficit, hoc est idem. Qua ratione? Vna quodammodo & in hac arte vox est. Quidni? Duo item ponenda sunt, graue, & acutum, ac tertium, tonus æquiualens. Nónne ita? Ita. Verumtamen nondum musicæ peritus eris, si hæc sola cognoueris, & ista ignorans, vt ita loquar, nullius eris in musica pretij. Nullius. Sed postquam, ô amice, acceperis quot interualla vocis*

A ὁρισθέν, εἴτε εὖ, εἴτε κακῶς ἐλέχθη. τὸ γοῦν σαφὲς, καὶ τὸ αὐτὸ αὑτῷ ὁμολογούμενον, διὰ ταῦτα ἔσχεν εἰπεῖν ὁ λόγος. τὸ δ᾽ ἕτερον δὴ εἶδος τί λέγεις, ὦ Σώκρατες, τὸ πάλιν κατ᾽ εἴδη δύνασθαι διατέμνειν κατ᾽ ἄρθρα ᾗ πέφυκε, καὶ μὴ ἐπιχειρεῖν καταγνύναι μέρος μηδὲν, κακοῦ μαγείρου τρόπῳ χρώμενον. ταῦτα μὲν οὖν καθόλου περὶ τῆς διαιρετικῆς τε, καὶ συνθετικῆς μεθόδου λέλεκται τῷ Πλάτωνι. μεταβὰς δ᾽ ἐπὶ τὴν ῥητορικὴν τέχνην, εἴη δ᾽ ἂν ἡμῖν ἕν τι τοῦτο παράδειγμα τῆς ὅλης πραγματείας, τάδε γράφει. ἐπειδὴ λόγου δύναμις τυγχάνει ψυχαγωγία οὖσα, τὸν μέλλοντα ῥητορικὸν ἔσεσθαι, B ἀνάγκη εἰδέναι ψυχὴ ὅσα εἴδη ἔχει. ἔστιν οὖν τόσα καὶ τόσα, καὶ τοῖα καὶ τοῖα, ὅθεν οἱ μὲν τοιοίδε, οἱ δὲ τοιοίδε γίγνονται. τούτων δ᾽ οὕτω διῃρημένων λόγων αὖ τόσα καὶ τόσα ἐστὶν εἴδη, τοιόνδε δὲ ἕκαστον. οἱ μὲν οὖν τοιοίδε ὑπὸ τῶν τοιῶνδε λόγων, διὰ τήνδε τὴν αἰτίαν εἰς τὰ τοιάδε εὐπειθεῖς, οἱ δὲ τοιοίδε διὰ τάδε δυσπειθεῖς. δεῖ δὴ ταῦτα ἱκανῶς νοήσαντα, μετὰ ταῦτα θεώμενον αὐτὰ ἐν ταῖς πράξεσιν ὄντα τε, καὶ πραττόμενα ὀξέως δύνασθαι ἐπακολουθεῖν τῇ αἰσθήσει, ἢ μηδὲν εἶναί πω πλέον αὐτῷ, ὧν τότε ἤκουε λόγων ξυνών. ὅταν δ᾽ εἰπεῖν τε ἱκανῶς ἔχῃ οἷος ὑφ᾽ οἵων πείθεται, παραγιγνόμενόν τε δυνα- C τὸς ᾖ διαισθανόμενος ἑαυτῷ ἐνδείκνυσθαι, ὅτι οὗτός ἐστι καὶ αὕτη ἡ φύσις, περὶ ἧς τότε ἦσαν οἱ λόγοι, νῦν ἔργῳ παροῦσά σοι, ᾗ προσοιστέον τούσδε ὧδε τοὺς λόγους ἐπὶ τὴν τῶνδε πειθώ. πάντα δὴ ταῦτ᾽ ἔχοντι, προσλαβόντι καιροὺς τοῦ πότε λεκτέον καὶ ἐπισχετέον, βραχυλογίας τε καὶ αὖ καὶ ἐλεεινολογίας, καὶ δεινώσεως ἑκάστων τε ὅσα ἂν εἴδη λόγων μάθῃ, τούτων τὴν εὐκαιρίαν τε καὶ ἀκαιρίαν διαγνόντι, καλῶς τε καὶ τελέως ἐστὶν ἡ τέχνη ἀπειργασμένη, πρότερον δ᾽ οὔ. ἀλλ᾽ ὅτι ἂν αὐτῶν τις ἐλλίπῃ λέγων, ἢ διδάσκων, ἢ γράφων, φησὶ δὲ τέχνῃ λέγειν ὁ μὴ πειθόμενος, κρατεῖ. ταῦτα οὖν αὐτῷ λέλεκται D περὶ τῆς ῥητορικῆς, ἐνταῦθα διδάσκοντι, πῶς ἄν τις αὐτὴν ἄριστα συστήσαιτο μεθόδῳ χρώμενος, οὐ καθάπερ οἱ πολλοὶ δι᾽ ἐμπειρίας τε καὶ τριβῆς. ἔτι τε πρὸς τούτοις κατωτέρω μετὰ τὸ διελθεῖν ἐν τῷ μεταξὺ χρήσιμα. πολλὰ συγκεφαλαιούμενος αὐτὰ, κατὰ λέξιν οὕτως ἔφη. ὥστ᾽ εἰ μὲν ἄλλο τι περὶ τέχνης λόγων λέγοις, ἀκούοιμεν ἄν, εἰ δὲ μὴ, οἷς νῦν δὴ διήλθομεν πεισόμεθα, ὡς ἐὰν μή τις τῶν τ᾽ ἀκουσομένων τὰς φύσεις διαριθμήσηται, καὶ κατ᾽ εἴδη τε διαιρῆται τὰ ὄντα, καὶ μιᾷ ἰδέᾳ, ἀδύνατος ᾖ καθ᾽ ἓν ἕκαστον περιλαμβάνειν, οὔπω τ᾽ ἔσται τεχνικὸς λόγων πέρι, καθόσον δυνατὸν ἀνθρώ- E πῳ. ἐν τούτῳ μὲν τῷ βιβλίῳ διὰ συντόμων ἐδήλωσε περί τε τῆς τῶν τεχνῶν ἁπασῶν καθόλου συστάσεως, καὶ περὶ τῆς ῥητορικῆς. ἀκριβέστατα δὲ τὸν λόγον ὅλον ἐν τῷ Φιλήβῳ διῆλθεν. ἐγὼ δὲ ἀπὸ τῶν ἐπικαιροτάτων ἄρξομαι παραγράψας αὐτοῦ πρώτην τήνδε τὴν ῥῆσιν. φωνὴ μὲν ἡμῖν ἐστί που μία διὰ τοῦ στόματος ἰοῦσα, καὶ ἄπειρος αὖ πλήθει πάντων τε καὶ ἑκάστου. τί μήν; καὶ οὐδὲν ἑτέρων γε τούτων ἐσμέν πως σοφοί, οὔτε ὅτι τὸ ἄπειρον αὐτῆς ἴσμεν, οὔθ᾽ ὅτι τὸ ἓν ἄλλο τι, ὁπόσα τέ ἐστι καὶ ὁποῖα, τοῦτό ἐστι τὸ γραμματικὸν ἕκαστον ποιοῦν ἡμῶν. ἀληθέστατα. καὶ μὴν, καὶ τὸ μουσικὸν οὐ τυγ- F χάνει ποιοῦν τουτέστι ταὐτόν. πῶς; φωνὴ μέν που, καὶ τὸ κατ᾽ ἐκείνην τὴν τέχνην ἐστὶ μία ἐν αὐτῇ. πῶς δ᾽ οὔ; δύο δὲ θῶμεν βαρὺ, καὶ ὀξὺ, καὶ τρίτον ὁμότονον. ἢ πῶς; οὕτως. ἀλλ᾽ οὔπω σοφὸς ἂν εἴης τὴν μουσικὴν εἰδὼς ταῦτα μόνα, μὴ εἰδὼς δὲ ὡς ἔπος εἰπεῖν, εἰς ταῦτα, οὐδενὸς ἄξιος ἔσῃ. οὐ γὰρ οὖν. ἀλλ᾽ ὦ φίλε ἐπειδὰν λάβῃς ὁπόσα τὰ διαστήματά ἐστι

τὸν ἀριθμὸν τῆς φωνῆς ὀξύτητός τε πέρι καὶ βαρύτητος, καὶ ὁποῖα, καὶ τοὺς ὅρους τῶν διαστημάτων, καὶ τὰ ἐκ τούτων ὅσα συστήματα γέγονεν, ἃ κατιδόντες οἱ πρόσθεν, παρέδοσαν ἡμῖν τοῖς ἑπομένοις ἐκείνοις καλεῖν αὐτὰ ἁρμονίας. ἔν τε ταῖς κινήσεσιν αὖ τοῦ σώματος ἕτερα τοιαῦτα ἐνόντα πάθη γιγνόμενα, ἃ δὴ δι' ἀριθμῶν μετρηθέντα, δεῖν αὐτά φασι ῥυθμοὺς, καὶ μέτρα ἐπονομάζειν, καὶ ἅμα ἐννοεῖν, ὡς οὕτω δεῖ περὶ παντὸς ἑνὸς, καὶ πολλῶν σκοπεῖν. ὅταν γὰρ ταῦτά τε λάβῃς, οὕτω τότε ἐγένου σοφός. ὅταν δὲ ἄλλο τῶν ὄντων ὁτιοῦν ταύτῃ σκοπούμενος ἕλῃς, οὕτως ἔμφρων περὶ τούτου γέγονας. τὸ δὲ ἄπειρόν σε ἑκάστων, καὶ ἐν ἑκάστοις πλῆθος ἄπειρον ἑκάστοτε ποιεῖ τοῦ φρονεῖν, καὶ οὐκ ἐλλόγιμον, οὐδ' ἐνάριθμον, ἅτ' οὐκ εἰς ἀριθμὸν οὐδένα ἐν οὐδενὶ πώποτε ἀπιδόντα. κάλλιστα, ὦ Φίληβε, ἔμοιγε τὰ νῦν λεγόμενα εἰρηκέναι φαίνεται Σωκράτης. καὶ ἐμοὶ ταῦτά γε αὐτά. ἀλλὰ τί δή ποτε πρὸς ἡμᾶς οὗτος ὁ λόγος εἴρηται νῦν, καὶ τί ποτε βουλόμενος; ὀρθῶς μέντοι τοῦθ' ἡμᾶς, ὦ Πρώταρχε, ἠρώτησε Φίληβος. πάνυ μὲν οὖν, καὶ ἀποκρίνου γε αὐτῷ. δράσω ταῦτα, διελθὼν σμικρὸν ἔτι περὶ αὐτῶν τούτων. ὥσπερ γὰρ ἓν ὁτιοῦν εἴ τίς ποτε λάβοι τούτων, ὥς φαμεν, οὐκ ἐπ' ἀπείρου φύσιν δεῖ βλέπειν εὐθὺς, ἀλλ' ἐπί τινα ἀριθμόν. οὕτω καὶ τὸ ἐναντίον, ὅταν τις τὸ ἄπειρον ἀναγκασθῇ πρῶτον λαμβάνειν, μὴ ἐπὶ τὸ ἓν τοῦτο εὐθὺς, ἀλλ' ἐπ' ἀριθμὸν αὖ τινα πλῆθος ἕκαστον ἔχοντά τι κατανοεῖν, τελευτᾶν τ' ἐκ πάντων εἰς ἕν. πάλιν δὲ ἐν τοῖς γράμμασι τὸ νῦν λεγόμενον λάβωμεν. πῶς. ἐπειδὴ φωνὴν ἄπειρον κατενόησεν, εἴτε τις θεὸς, εἴτε καὶ θεῖος ἄνθρωπος, ὡς λόγος ἐν Αἰγύπτῳ Θεὺθ τινα τοῦτον γενέσθαι λέγων, ὃς πρῶτος τὰ φωνήεντα ἐν τῷ ἀπείρῳ κατενόησεν οὐχ ἓν ὄντα, ἀλλὰ πλείω. καὶ πάλιν ἕτερα φωνῆς μὲν, οὐ φθόγγου δὲ μετέχοντά τινος, ἀριθμὸν δέ τινα καὶ τούτων εἶναι. τρίτον δὲ εἶδος γραμμάτων διεστήσατο τὰ νῦν λεγόμενα ἄφωνα ἡμῖν. τὸ μετὰ τοῦτο διῄρει τά τε ἄφωνα, καὶ ἄφθογγα μέχρις ἑνὸς ἑκάστου, καὶ τὰ φωνήεντα, καὶ τὰ μέσα. κατὰ τὸν αὐτὸν τρόπον ἕως ἀριθμὸν αὐτῶν λαβὼν ἑνί τε ἑκάστῳ, καὶ σύμπασι, στοιχεῖον ἐπωνόμασε. καθορῶν δὲ ὡς οὐδεὶς ἡμῶν, οὐδ' ἂν ἓν αὐτὸ καθ' ἑαυτὸ ἄνευ πάντων αὐτῶν μάθοι, τοῦτον τὸν δεσμὸν αὖ λογισάμενος, ὡς ὄντα ἕνα, καὶ ταῦτα πάντα ἕν πως ποιοῦντα, μίαν ἐπ' αὐτοῖς ὡς οὖσαν γραμματικὴν τέχνην ἐπεφθέγξατο προσειπών. ταῦτα μὲν ὁ Πλάτων ἔγραψεν ἐν Φιλήβῳ περὶ συστάσεως τεχνῶν, τῆς κατὰ μέθοδον δηλονότι τὴν λογικὴν, οὐ τῆς ἐκ τῆς πολυχρονίου τηρήσεως, ἐκ τῆς τῶν κατὰ μέρος ἀθροιζομένης ἐμπειρίας. ὅτι δ' οὐκ ἄνευ τοῦ γεγυμνάσθαι περὶ διαίρεσίν τε, καὶ σύνθεσιν οἷόν τε γενέσθαι τὴν λογικὴν σύστασιν τῶν τεχνῶν, εὔδηλόν ἐστιν ἐξ ὧν ἄχρι τοῦδε λέλεκταί μοι. καὶ μέντοι καὶ καθ' ὅλον τὸ βιβλίον τὸν Φίληβον ἐν τοῖς ἑξῆς ἔργῳ δείκνυσι τὴν μέθοδον ἐπὶ τῆς ἡδονῆς, ἁπάσας αὐτῆς τὰς διαφορὰς διελθών.

numero sunt circa graue atque acutum, & qualia, necnon interuallorum termini, & quotcunque ex his compositiones proueniunt. Quæ maiores nostri conspicientes, nobis eorum sectatoribus, vt huiusmodi quædam harmonias appellaremus, tradiderunt. In motibus præterea corporis alios quosdam tales inesse affectus monstrarunt, quos numeris dimensis rhythmos atque mensuras vocari iussere; cogitare præterea quòd eadem ratione de omni quod vnum est & multa, considerare debemus. Nam quando ista sic accipis, sapiens tunc euadis. Quum verò & aliud quicquam ita considerans capis, sapiens rursus circa illud efficeris. Infinita autem singulorum & in singulis multitudo, vagum te, incertúmque, & rationis ac numeri reddit expertem, vtpote in nullum cuiusque numerum respicientem. Præclare hæc, ô Philebe, Socrates mihi dixisse videtur. Mihi quoque: sed quid ad rem hic sermo, quídve sibi vult? Rectè id ô Protarche Philebus iste quæsiuit. Prorsus. Responde igitur ipsi. Faciam quod vultis, vbi de hisipsis paulisper etiam adhuc disputauero. Vt enim si quis vnum aliquid accipit, is, vt diximus, haud mox in infiniti naturam, sed in aliquem numerum descendere debet: ita vicissim si quis infinitum primo sumere cogitur, nequaquam in vnum continuo, sed in numerum quendam qui multitudinem aliquam habeat, debet intendere, ex omnibúsque tandem in vnum desinere. Quod verò nunc diximus, rursus in literis coniectari licet. Quomodo? Postquam infinitam vocem cogitauit siue Deus aliquis, siue homo diuinus, qualis apud Ægyptios Theuth fuisse fertur, primo in ipsa vocis infinitate vocales literas considerauit, quæ non vna, sed plures sunt: rursúsque alias, quæ non vocis, sed soni participes essent, atque harum numerum certum similiter definiuit. Tertiam deinde speciem literarum distinxit, earum quas nunc mutas vocamus. Postremo liquidas mutásque discreuit, vsque singula quædam vocaléſque & medias eodem modo, donec earum numero in singulis speciebus & in vniuersis reperto, elementum vocauit. Quúmque videret neminem nostrum, horum quicquam seorsum percepturum, nisi omnia ipsa percepisset, hoc vinculum veluti vnum quiddam existens, & hæc omnia vnum facere meditatus, quam vnam in his esse artem grammaticam animaduertit, eo nomine appellauit. Hæc quidem Plato de artium constitutione in Philebo tradidit, quæ iuxta methodum scilicet rationalem, non quæ ex diutina inquisitione, sed particularium experientia colligitur. Quòd autem nisi in diuisione & compositione exercitatio accesserit, nequeat rationalis artium constitutio fieri, palàm est ex iis quæ hucvsque à me sunt comprehensa. Quinetiam in toto libro Philebo, deinceps opere methodum in voluptate ostendit, vniuersas ipsius differentias persecutus.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ χρείας τῆς συνθετικῆς τε, καὶ τῆς διαιρετικῆς μεθόδου κατὰ τὸν Ἱπποκράτην καὶ τὸν Πλάτωνα.

Οὕτω δὲ καὶ ὁ Ἱπποκράτης ἔφθασεν ἐν τῷ περὶ διαίτης ὀξέων, μεμψάμενος τοὺς Κνιδίους ἰατροὺς, ὡς ἀγνοοῦντας τὰ κατ' εἴδη, καὶ γένη διαφορὰς τῶν νοσημάτων. αὐτὸς δὲ δείκνυσι τοὺς διορισμοὺς, καθ' οὓς τὸ δοκοῦν

CAPVT VI.

De vsu methodi componendi & diuidendi ex Hippocratis & Platonis sententia.

SIc autem & Hippocrates factitauit in opere de victus ratione acutorum, accusans medicos Cnidios tanquam speciales generaléſque morborum differentias ignorantes. Ipse autem indicat distinctiones, secundum quas id quod vnum videtur

videtur esse, multa fiant cum diuiditur, non in morbis tantùm, sed etiam in aliis omnibus; in quo plurimos ex clarissimis medicis in errorem lapsos inuenire licet, adeóque in ipsis remediis. Nonnulli siquidem ad particulares ipsorum vsus profecti, disciplinam fecerunt ordine carentem. Quidam cõmunissimum loquuti, vsque ad promptam imaginationem sermonem fecerunt maximè methodicum, re vera autem vitiosissimum; inde inter se dissenserunt, alij quidem, vt qui in remedio certi cuiusdam affectus, exempli gratia pleuritidis, sanguinis missionem pronunciarunt; alij purgationem quemadmodum & fomentum, hi per spongias, illi per sacculos à medicis dictos, aut per aliud quoddam. Inibi etiam de balneis & balnei abstinentia dissentiunt oxymel, vel hydromel, aquam, vinum, ptisanam, vel percolatum succum duntaxat exhibentes, vel hordeaceum solum; alij & cibos; aliter alio distinguente differentias & ægrotantium, & prædictorum, indicauit quid pleuritidis affectus requireret. Quomodo igitur ipse enumerauerit inordinatius primus inueniens commentariis in opere de victus ratione acutorum expono, quod aliqui inscribunt ad Cnidias sententias, quidam de ptisana; vtrique male. At ego, vt huius quoque sermonis manifestam disciplinam studiosi compendiosè habeant, non pigebit capita significare. Etenim in pleuriticis nuper incipientibus latus dolere, tanquam dispositione nondum manifesta tentare iubet fomenta, fotibúsque calidis; ac ipse materiam recensuit: deinde si non soluatur, considerandum ne paulò antea cibum assumpserit, an aluum deiecerit, vel ne, ac quid faciendum sit, docet. At si his non cesserit, distinctiones scribit eorum qui sanguinis missione indigent, & qui purgatione. Porrò in quibus mulsæ potu vtendum est, aut oxymelite, aut aqua vsque ad iudicationem nullum dando cibum, in quibus succum ptisanæ, aut hordeo vtendum, tunc & cibi dandi sunt. Pari modo etiam de vini exhibitione distinguit, quibus dandum sit, & quibus non, & quando, & quale. Similiter de balneis, aliisque id genus. Porrò quum duplex sit error in diuisionibus, quòd alij minùs ac conueniat, diuidant, alij exuperent secundum multitudinem quæ ad id quod secatur, propria non est; vtrosque Hippocrates accusans, initio quidem libri hæc tradit. *Varietates morborum, & diuisionem multijugam aliqui non ignorarunt; numeros autem singulorum morborum dum manifestè vellent explicare, haud rectè scripserunt, vt qui difficilè comprehendi possint: si hoc aliquis laborantium ægritudinem alteram ab altera nonnihil differre significabit, non solùm idem morbus esse videbitur, si neque idem nomen habeat.* Porrò in remediis contrà, quum ipsi minùs quàm par est, complectantur, in hunc modum ait. *Ac non solùm ob id non laudo, sed quoniam etiam paucis numero remediis vtuntur.* Postea vbi præsumpsisset id quod problemati vtilissimum est, non manifestò ipsius solutionem conscripsit, atque ideò plerisque medicis tota problematis vis ignoratur. Proinde totum hunc sermonem in primo de victus ratione acutorum commentario sum interpretatus. Nunc autem compendiosè exponere vim necessarium est. Ipsum sanè problema sic ad verbum scripsit Hippocrates. *Videntur autem digna mihi esse quæ scribantur,*

A ἐν εἶναι, πολλὰ γίγνεται τεμνόμενον, οὐκ ἐπὶ νοσημάτων μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, ἐν ᾧ τοὺς πλείστους τῶν ἐνδοξοτάτων ἰατρῶν εὑρεῖν ἐστιν ἐσφαλμένους, ἄχρι καὶ τῶν βοηθημάτων. ἔνιοι μὲν γὰρ ἐπὶ τὰς κατὰ μέρος αὐτῶν ἐλθόντες χρείας, ἀμέθοδον εἰργάσαντο τὴν διδασκαλίαν. ἔνιοι δὲ τὸ κοινότατον εἰπόντες, ἄχρι μὲν τῆς προχείρου φαντασίας, μεθοδικώτατον ἐποιήσαντο τὸν λόγον, τῇ ἀληθείᾳ δὲ, μοχθηρότατον. ἐντεῦθεν δὲ διεφώνησαν ἀλλήλοις, ἔνιοι μὲν ὡς οἱ κατὰ βοήθημα τοῦ δέ τινος τοῦ πάθους, οἷον εἰ τύχοι πλευρίτιδος, ἀποφηνάμενοι τὴν φλεβοτομίαν. ἔνιοι δὲ τὴν κάθαρσιν, ὥσπερ B γε καὶ πυρίαν, οἱ μὲν, διὰ σπόγγων, οἱ δὲ διὰ τῶν καλουμένων ὑπὸ τῶν ἰατρῶν μαρσίπων, ἤ τινος ἑτέρου. κατὰ ταῦτα δὲ καὶ περὶ λουτρῶν, καὶ περὶ ἀλουσίας διηνέχθησαν, ὀξυμέλιτός τε καὶ μελικράτου, καὶ ὕδατος, καὶ οἴνου, καὶ πτισάνης, ἤτοι τοῦ διηθημένου χυλοῦ μόνου διδόντες, ἢ τῆς κριθώδους μόνης. οἱ δὲ καὶ σιτίων, ἄλλως ἄλλου διορισαμένου, τάς τε διαφορὰς τῶν καμνόντων, καὶ τῶν εἰρημένων ἔδειξε χρῇζον τὸ τῆς πλευρίτιδος πάθος. ὅπως μὲν οὖν αὐτὸς διῆλθεν ἀτακτότερον πρῶτος εὑρίσκων, ἐν τοῖς ὑπομνήμασιν ἐξήγημαι τοῦ περὶ διαίτης ὀξέων, ὃ τινες μὲν ἐπιγράφουσι, πρὸς τὰς Κνιδίας γνώμας. C ἔνιοι δὲ περὶ πτισάνης, ἑκάτεροι μοχθηρῶς. ἐγὼ δ', ἵνα καὶ τούτου τοῦ λόγου ἔχωσι διὰ συντόμων σαφῆ τὴν διδασκαλίαν, οἱ φιλομαθεῖς, οὐκ ὀκνήσω δηλῶσαι τὰ κεφάλαια. τῶν γάρ τοι πλευριτικῶν ἄρτι μὲν ἀρχομένων, ὀδυνᾶσθαι τὴν πλευρὰν, ὡς ἂν οὐδέπω τῆς διαθέσεως οὔσης σαφοῦς, ἀποπειρᾶσθαι κελεύει τῶν πυριάσεών τε, καὶ θερμασμάτων ὀνομαζομένων, καὶ διῆλθεν αὐτὸς τὴν ὕλην. εἶτα ἂν μὴ λύηται σκεψάμενον, εἴτε νεοβρῶτι ἐόντι, καὶ εἴτε ὑποκεχωρηκυίας τῆς κοιλίας, εἴτε μὴ, διδάσκει τί ποιητέον ἐστίν. ἐὰν δὲ μὴ ὑπείκῃ πρὸς ταῦτα, διορισμοὺς ἔγραψεν τῶν τε φλεβοτο- D μίας δεομένων, καὶ τῶν καθάρσεως. ἐπὶ τίνων τε χρὴ μελικράτῳ ποτῷ χρῆσθαι, ἢ ὀξυμέλιτι, ἢ ὕδατι, μέχρι κρίσεως, μηδεμίαν διδόντα τροφήν. ἐπὶ τίνων τε χυλῷ πτισάνης, ἢ τῇ κριθῇ χρηστέον τηνικαῦτα, καὶ σιτία δοτέον ἐστί. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ περὶ οἴνου δόσεως διορίζεται, τίσι τε χρὴ διδόναι, καὶ τίσι μὴ, καὶ ὁπότε, καὶ ὁποῖον. ὡσαύτως δὲ καὶ περὶ λουτρῶν, ὅσα τἆλλα τοιαῦτα. διττῆς δ' οὔσης ἁμαρτίας ἐν ταῖς διαιρέσεσι, διὰ τὸ τοὺς μὲν ἐλλιπέστερον τέμνειν, τοὺς δ' ὑπερβάλλειν εἰς οὐκ οἰκεῖον τῷ τεμνομένῳ πλῆθος, ἑκατέρους αὐτῶν ὁ Ἱπποκράτης μεμφόμενος. ἐν ἀρχῇ μὲν τοῦ βιβλίου, E τάδε φησί. τὰς μέντοι πολυτροπίας τὰς ἐν ἑκάστῃσι τῶν νούσων, καὶ τὴν πολυσχιδίην αὐτῶν, οὐκ ἠγνόουν ἔνιοι. τοὺς δ' ἀριθμοὺς ἑκάστου τῶν νοσημάτων σάφα ἐθέλοντες φράζειν, οὐκ ὀρθῶς ἔγραφον. μὴ γὰρ καὶ οὐκ εὐαρίθμητον ᾖ. εἰ τουτέῳ τις σημαίνεται τὴν τῶν καμνόντων νοῦσον, τὸ ἕτερον τοῦ ἑτέρου διαφέρειν τι, ὃ μὴ ὡυτὸν δὲ νόσημα δοκέειν εἶναι, ἢν μή πω τοὔνομα ἔχῃ. ἐπὶ δὲ τῶν ἰημάτων ἔμπαλιν ὡς ἐλλιπόντων αὐτῶν, ὧδέ πως φησιν. καὶ οὐ μόνον διὰ τοῦτο οὐκ ἐπαινέω, ἀλλ' ὅτι καὶ ὀλίγοισι τὸν ἀριθμὸν τοῖσιν ἄκεσι χρέονται. μετὰ δὲ ταῦτα προλαβὼν τὸ τῷ προβλήματι χρησιμώτατον, οὐ σαφῶς F αὐτοῦ τὴν λύσιν ἔγραψεν, καὶ διὰ τοῦτ' ἠγνοήθη πολλοῖς τῶν ἰατρῶν, ὅλη τοῦ προβλήματος ἡ δύναμις. ἐξηγησάμενος μὲν οὖν ὅλον τὸν λόγον τοῦτον ἐν τῷ πρώτῳ περὶ διαίτης ὀξέων ὑπομνήματι. συντόμως δ' αὐτὴν καὶ νῦν εἰπεῖν ἀναγκαῖόν ἐστι τὴν δύναμιν. αὐτὸ μὲν τὸ πρόβλημα κατὰ τήνδε τὴν λέξιν ἔγραψεν ὁ Ἱπποκράτης. δοκεῖ δέ μοι ἄξια γραφῆς εἶναι,

καὶ μάλιστα ὁκόσα τε ἀκαταμάθητά ἐστι τοῖς ἰητροῖσιν, ἐπικαίρια ἐόντα εἰδέναι, καὶ ὁκόσας μεγάλας ὠφελείας φέρει, ἢ μεγάλας βλάβας. ἀκαταμάθητα δή ἐστι, καὶ τάδε. διὰ τί δή ἄρα, ἐν τοῖσιν ὀξείῃσι νούσοισιν, οἱ μέν τινες τῶν ἰατρῶν πάντα ἐς τὸν αἰῶνα διατελοῦσι, πτισάνην διδόντες ἄηθητον, καὶ νομίζουσιν ὀρθῶς ἰητρεύειν. οἱ δέ τινες περὶ παντὸς ποιοῦνται, ὅπως κριθὴν μὲν μηδεμίαν καταπίνῃ ὁ κάμνων. μεγάλην γὰρ βλάβην ἡγέονται εἶναι, ἀλλὰ δι' ὀθονίου τὸν χυλὸν διηθέντες διδόασιν. οἱ δ' αὖ τινες αὐτέων, οὔτ' ἂν πτισάνην παχείαν δοῖεν, οὔτ' αὖ χυλόν. οἱ μέν, μέχρις ἂν ἑβδομαῖος ὁ κάμνων γένηται, οἱ δὲ καὶ διὰ τέλεος ἄχρις ἂν κριθῇ ἡ νοῦσος. μάλα μὲν οὖν οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἰθισμένοι εἰσίν, οἱ ἰητροί. ἴσως δ' οὐδὲ προβαλλόμενα εὑρίσκεται, καίτοι διαβολήν γ' ἔχει ὅλη ἡ τέχνη πρὸς τῶν δημοτέων μεγάλην. ὡς μηδὲ δοκεῖν ὅλως ἰητρικὴν εἶναι, ὥστ' ἔν γε τοῖσιν ὀξυτάτοισι τῶν νοσημάτων τοσόνδε διοίσουσιν ἀλλήλων οἱ χειρώνακτες, ὥστε ἃ ὁ ἕτερος προσφέρει ἡγεύμενος ἄριστα εἶναι, ταῦτα νομίζειν ἤδη τὸν ἕτερον κακὰ εἶναι. καὶ μετ' ὀλίγα, φημὶ δή, πάνυ καλὸν εἶναι τοῦτο τὸ σκέμμα ἠδελφισμένον τοῖσι πλείστοισι τῶν ἐν τῇ τέχνῃ, καὶ ἐπικαιροτάτοισι. καὶ γὰρ τοῖσι νοσέουσι πᾶσιν ἐς ὑγείαν τι μέγα δύνασθαι, καὶ τοῖσιν ὑγιαίνουσιν, εἰς ἀσφάλειαν, καὶ τοῖσιν ἀσκέουσιν ἐς εὐεξίην, καὶ ἐς ὅτι ἕκαστος ἐθέλοι. τὸ περὶ διαφωνίας φησὶ τῶν τεχνιτῶν σκέμμα, μεγίστην ἔχει δύναμιν, οὐ μόνοις τοῖς νοσοῦσιν ἐς ὑγιείης κτῆσιν, ἀλλὰ καὶ τοῖς ὑγιαίνουσιν ἐς φυλακὴν αὐτῆς δηλονότι, καὶ τοῖς ἀσκοῦσιν εὐεξίαν τοῦ σώματος πρός τε τὴν κτῆσιν αὐτῆς, καὶ διαμονήν. εἶτα προσέθηκε, καὶ ἐς ὅτι ἕκαστος ἐθέλοι, δηλῶν, οὐ μόνον εἰς ἰατρικήν, ἀλλὰ καὶ τὰς ἄλλας τέχνας ἐκτετάσθαι τὸ σκέμμα τὴν λύσιν αὐτοῦ. θαυμάσαι γάρ ἐστι, διὰ τί τέχνην μετιόντες οἱ ἰατροί, καθ' ἣν τῇ πείρᾳ τὰ προσφερόμενα βοηθήματα κριθῆναι δύναται, πότερον ὠφέλησεν, ἢ ἔβλαψεν, ὅμως ἐναντιωτάτας ἀποφάσεις ἐποιήσαντο, περὶ τῶν ὠφελούντων τε καὶ βλαπτόντων. ἐν μὲν γὰρ φιλοσοφίᾳ μὴ πεπαῦσθαι τὰς πλείστας τῶν διαφωνιῶν, οὐδὲν θαυμαστόν, ὡς ἂν μὴ δυναμένων τῶν πραγμάτων ἐναργῶς κριθῆναι τῇ πείρᾳ, καὶ διὰ τοῦτό τινων μὲν ἀποφηναμένων ἀγένητον εἶναι τὸν κόσμον, τινῶν δὲ γενητόν, ὥσπερ γε καί τινων μέν, οὐδὲν ἔξωθεν αὐτοῦ περιέχειν εἶναι, τινῶν δὲ εἶναι λεγόντων, καὶ τούτων αὐτῶν περιεχόμενόν τι φαίτων. ἐνίων μέν, κενὸν ἀποφηναμένων εἶναι τοῦτο, μηδεμίαν οὐσίαν ἔχον ἐν ἑαυτῷ, τινῶν δέ, κόσμους ἄλλους ἀριθμῷ ἀπεριλήπτους, ὡς εἰς ἄπειρον ἐκτετάσθαι πλῆθος. αἰσθήσει γὰρ ἐναργεῖ τὴν τοιαύτην διαφωνίαν ἀδύνατον κριθῆναι. οὐ μὴν ὅμοιόν γε τὸ τῆς ὠφελείας, καὶ βλάβης τῶν προσφερομένων τοῖς σώμασιν ἰαμάτων, εἰς διαφωνίαν ἀφικόμενον ἐν τοῖς ἰατροῖς, δυναμένων γε αὐτῶν κρῖναι τῇ πείρᾳ τό τε ὠφελοῦν, καὶ τὸ βλάπτον. τούτου τοίνυν τοῦ ζητήματος ἡ λύσις, οὐ πάνυ τοι σαφῶς εἴρηται τῷ Ἱπποκράτει, καὶ διὰ τοῦτο σχεδὸν ἅπαντας ἔλαθε τοὺς ἐξηγησαμένους τὸ βιβλίον. ἔστι δὲ τοιάδε. τῶν νοσούντων ἔνιοι μὲν ἀσιτίας χρήζουσιν, ἄχρις ἂν ἡ νοῦσος κριθῇ, τινὲς δέ, τροφῆς. καὶ τούτων ἔνιοι μέν, τῆς κριθώδους πτισάνης, ἔνιοι δέ, τοῦ χυλοῦ μόνου, καθάπερ γε καὶ στερεωτέρας ἔνιοι. καὶ μέντοι καί τινες μὲν ὀξυμέλιτος, ἢ μελικράτου, τινὲς δ' ὕδατος, ἢ οἴνου. διὰ τοῦτο τοῖς ἰατροῖς ὅσοι τῇ πείρᾳ μόνῃ τὴν τέχνην συνεστήσαντο, χρήσιμον ἔδοξεν ἐκεῖνο μόνον, ὃ κατὰ τὴν τύχην αὐτοῖς ἐφάνη, πλεονάκις ὠφελῆσαν. οὐδὲ γὰρ ἐπὶ τοὐναντίον εἶδος ἀφικέσθαι τῆς διαίτης τολμῶσιν, ὡς κἀκείνου πειραθῆναι, τὴν ἀτυχίαν δεδιότες. μόνος οὖν ὁ τήν τε φύσιν εἰδὼς τοῦ κάμνον-

& præsertim, impercepta medicis, quum sint tamen scitu vtilia, item quæ magnam vtilitatem aut noxam adferunt. Impercepta autem sunt & hæc, cur in morbis acutis alij medici in omnem vitam ptisanam non percolatam exhibent, putántque rectè se medicari; aly verò magnificiunt, conantúrque vt nullum hordeum æger deuoret (magnam enim offensionem esse arbitrantur) sed succum linteo percolatum præbent. Quidam ipsorum neque ptisanam crassam, neque succum exhibent; alij vsque dum septimanus æger fuerit, alij etiam in fine, quoad morbus fuerit iudicatus. Huiusmodi igitur quæstiones ne proponere quidem medici consueuerunt, forsan neque si proponantur, inueniunt. Atqui magnam à vulgaribus calumniam tota ars sustinet, ne videatur quidem omninò medicina esse, quòd in morbis acutissimis tantum inter se artifices differunt, vt quæ alter adhibet optima esse putans, ea iam alter mala esse censeat. Ac paulò post. *Dico autem perpulchram esse hanc speculationem, plurimis & principalissimis eorum quæ in arte sunt, affinitate iunctam, nam ægrotantibus omnibus ad sanitatem aliquid magnum potest, & sanis ad securitatem exercentibus ad bonam habitudinem, & ad quodcunque vnusquisque velit. Speculatio* (inquit) *de artificum discordia, magnam vim obtinet, non solis laborantibus ad sanitatem conciliandam, sed etiam sanis ad eam tuendam scilicet, exercentibus, ad corporis dignitatem tum comparandam, tum retinendam.* Postea adiecit & ad quod vnusquisque velit, indicans non modò ad medicinam, sed etiam alias artes, speculationem, ipsius solutionem extendere. Nam mirari licet cur artem medici pertractantes, in qua remedia quæ offeruntur, vsu possint iudicare, vtrum prosint, an noceant; tamen maximè contraria de iis quæ prosunt & nocent, pronunciarint. Siquidem in philosophia non sedatas esse plurimas dissensiones, nihil miri est; quippe quum res experientia iudicari euidenter nequeant, ac ideò nonnulli pronuncient mundum esse non genitum, nonnulli genitum; quemadmodum alij nihil extra ipsius ambitum esse; alij esse dicant, atque hi ipsi aliquid contineri affirment, quidam vacuum hoc esse, nullam in se continens substantiam dicitent; aliqui verò mundos alios numero incomprehensibiles; vt in infinitum multitudo extendatur, nam eiusmodi discordiam sensu euidenti non licet dijudicare. At secus habet quod medici de remediorum quæ corpori applicantur, auxilio & noxa inter se dissentiunt, quum ipsi possint vtile & nocuum vsu experiri ac iudicare. Huius igitur quæstionis solutio non admodum manifestò ab Hippocrate est explicata, ac ideò propè vniuersos libri interpretes latuit. Est autem talis. Nonnulli sanè ægrotantium inediam requirunt vsque dum morbus fuerit iudicatus; nonnulli verò cibum; atque ex his alij hordeaceam ptisanam, alij succum solum, quemadmodum & solidiorem aliqui. Quinetiam oxymel quidam aut mulsam; quidam verò aquam & vinum. Idcirco medicis qui experientia sola artem constituerunt, illud solùm visum est vtile, quod fortè fortuna ipsis frequenter profuisse apparuit. Neque etiam ad contrariam speciem victus rationis peruenire audent, vt illam quoque experiantur, improsperum veriti successum. Proinde solus qui naturam ægrotantis nouit,

& morbi diſpoſitionem, & vim auxilij quod adhibebitur, præterea tempus quo vtendum ipſo eſt, audere poterit, vſus auxilio ratione conſiderato, ſpem experientia confirmare. Quare ſolus inueniet diſſidij cauſam, & diſtinctiones, quibus animum adhibens, ad id quod ægrotanti conducit perueniet: aliorum verò nullus hoc cognoſcit. Nam qui cognitis per experientiam adhærent, immorantúrque, illa ſola aſſumunt, cauſantes naturam, aut artem, aut huiuſmodi aliquid offenſæ cauſam extitiſſe; id quod etiam in opere de fracturis Hippocrates oſtendit, nempe in fracturis quæ cum vlcere fiunt, hiſce verbis. *At alij quidam ſunt, qui linteis eiuſmodi ſtatim medicantur, atque hinc & illinc linteolis deligant. Super vlcus autem ipſum deſinunt ac ſinunt refrigerari; deinde ipſi imponunt purgatorium aliquod medicamentum, & ſplenis vino madidis, aut lanis ſuccidis curant; qui modus medicandi malus eſt, ac veriſimile eſt ita medentes maxima non intelligere, tum in aliis fracturis, tum in huiuſmodi. Maximum enim eſt cognoſcere quomodo oporteat lintei principium inijcere, & quomodo potiſſimum comprimere. Item quantum auxilij adferat, ſi rectè quis initium accommodet, ac premat, quò potiſſimum conuenit. Rurſus quomodo noceant, niſi rectè quis inijciat, neque premat, ſed hinc & illinc. Quare dictum à me eſt etiam in his quæ ſcripſimus antea, cuiuſmodi in vtroque eueniant, teſtatur hoc etiam ipſa medicina. Neceſſe enim eſt, vt ei qui ſic deligatur, tumor in ipſo vlcere attollatur, etenim ſi cutis ſana hinc quidem & illinc deligatur, in medio autem intermittatur ſpatium, in eo potiſſimùm tumebit, & decolorabitur. Quomodo igitur non vlcus hæc patietur? Neceſſario enim vlcus decolor erit, & expreſſum, mordax, & ſine pure; oſſa autem aut artus, quæ non erant abſceſſu laboratura, illo infeſtabuntur, & vlcus pulſatile & igneum erit. Coguntur autem propter tumorem cataplaſma inducere; ſed illud quoque his hinc & illinc deligatis eſt inutile, nam pondus incommodum præter alium pulſum oboritur: deſinentes autem vincula diſſoluunt, quum ipſis rurſus faceſſunt negotium, & reliquum ſine deligatura medicantur; nihil autem minus etſi aliud quoddam eiuſmodi acceperint, eodem modo curantur. Non enim putant deligaturam quæ hinc & illinc fit, & refrigerationem cauſam eſſe vlceris, ſed aliam quandam infœlicitatem.* Non arbitrantur (inquit) malam deligaturam læſionis eſſe cauſam, ſed aliam quandam infœlicitatem; ob quam rem neque recedunt à conſueta ipſis traductione, ſed malè cognitis immorantur. Hæc mihi problematis ſolutio eſt, in quo cauſam diſcordiæ in remediis conſiderare oportet, quam generatim comprehenſam, dixerit aliquis eſſe differentiam rei, quæ generatim intelligitur, dicitur & proponitur, ſiue affectus, ſiue auxilij aliqua ſit materia. Dico autem affectum exempli gratia pleuritidem; de qua velut in exemplari ſermonem inſtituit; materiam verò mulſam, aut vinum, aut aquam, aut poſcam; nam in his ſingulis propriæ quædam ſunt differentiæ, de quibus omnibus Hippocrates non ſolùm compendioſè, ſed etiam manifeſtò diſtinctiones edocuit, quemadmodum differentias diuidere conueniebat. At mihi exempli cuiuſdam ex ipſis gratia abundè erit meminiſſe ſermonis de vino ad hæc verba conſcripti.

A τος, καὶ τὴν τοῦ νοσήματος διάθεσιν, καὶ τὴν τοῦ προσαχθησομένου βοηθήματος δύναμιν. ἔτι τε τὸν καιρὸν, ἐν ᾧ χρηστέον αὐτῷ, τολμῆσαι δυνήσεται χρησάμενος τῷ λογικῶς ἐπινοηθέντι βοηθήματι, τῇ πείρᾳ βεβαιῶσαι τὴν ἐλπίδα, ὥστε μόνος εὑρήσει τῆς τε ἀφωνίας τὴν αἰτίαν, καὶ τοὺς διορισμοὺς, οἷς προσέχων τις, ἐπὶ τὸ τῷ κάμνοντι συμφέρον ἀφίξεται, τῶν δ' ἄλλων, οὐδεὶς γινώσκεται τοῦτο. τοῖς τε γὰρ ἐγνωσμένοις διὰ πείρας ἐπιμένοντες, ἐκεῖνα μόνα παραλαμβάνουσιν, αἰτιώμενοι φύσιν, ἢ τέχνην, ἢ τι τοιοῦτον τῆς βλάβης αἴτιον γενέσθαι. τοῦτ' οὖν αὐτὸ, καὶ κατὰ τὸ περὶ ἀγμῶν ἐδήλω-
B σεν ὁ Ἱπποκράτης ἐπὶ τῶν μεθ' ἕλκους καταγμάτων, ἐν τῇδε τῇ ῥήσει. ἄλλοι δέ τινές εἰσιν, οἳ ὀθονίοισι τὰ τοιαῦτ' ἰητρεύουσιν εὐθέως, τὸ ἔνθεν μὲν καὶ ἔνθεν ἐπιδέουσι τοῖσιν ὀθονίοισι. κατὰ τὸ ἕλκος δὲ αὐτὸ διαλείπουσι, καὶ ἐῶσιν ἀναψύχεσθαι. ἔπειτα δὲ ἐπιτιθέασιν ἐπὶ τὸ ἕλκος τῶν καθαρτικῶν τι, καὶ σπλήνεσιν οἰνηροῖσιν, ἢ ἐρίοισιν οἰσυπηροῖσι θεραπεύουσιν. αὕτη ἡ ἴασις κακὴ, καὶ εἰκὸς τοὺς οὕτως ἰητρεύοντας τὰ μέγιστα ἀξυνετέειν, καὶ ἐν τοῖσιν ἄλλοισι κατάγμασι, καὶ ἐν τοῖσι τοιούτοισι. μέγιστον γάρ ἐστι τὸ γινώσκειν καθ' ὁποῖον τρόπον χρὴ τὴν ἀρχὴν βάλλεσθαι τοῦ ὀθονίου, καὶ καθ' ὁποῖον μάλιστα πεπιέ-
C σθαι, καὶ οἷά τε ὠφελέονται, ἢν ὀρθῶς τις βάλληται τὴν ἀρχὴν, καὶ πιέζειν ᾗ μάλιστα χρὴ, καὶ οἷα βλάπτονται, ἢν μὴ ὀρθῶς τις βάλληται, μηδὲ πιέζῃ, ἀλλ' ἔνθεν καὶ ἔνθεν. εἴρηται μὲν οὖν καὶ ἐν τοῖς πρόσθεν γεγραμμένοισιν ὁποῖα ἀφ' ἑκατέρου ἐπιβαίνει, μαρτυρέει δὲ καὶ αὐτὴ ἡ ἰητρική. ἀνάγκη γὰρ τῷ οὕτως ἐπιδεομένῳ, τὸ οἴδημα ἐξαείρεσθαι εἰς αὐτὸ τὸ ἕλκος. καὶ γὰρ εἰ ὑγιὴς χρὼς ἔνθεν μὲν καὶ ἔνθεν ἐπιδεθείη, ἐν μέσῳ δὲ διαληφθείη, μάλιστα κατὰ τὴν διάληψιν οἰδήσειεν ἂν καὶ ἀχροίσειε. πῶς οὖν οὐχὶ ἕλκος γε ταῦτ' ἂν πάθοι; ἀναγκαίως οὖν ἔχει ἄχροον μὲν καὶ ἐκπεπιεσμένον εἶναι
D τὸ ἕλκος, δακνῶδές τε καὶ ἀνεκπύητον, ὀστέα δ' ἢ μέλη ἀποστῆναι οὐ στατικὰ γενέσθαι, σφυγματῶδές τε καὶ πυρετῶδες τὸ ἕλκος ἂν εἴη. ἀναγκάζονται διὰ τὸ οἴδημα ἐπικαταπλάσσειν. ἀσύμφορον δὲ καὶ τοῦτο τοῖσιν ἔνθεν καὶ ἔνθεν ἐπιδεομένοισιν. ἄχθος γὰρ ἀνωφελὲς πρὸς τῷ ἄλλῳ σφυγμῷ ἐπιγίγνεται. τελευτῶντες δ' ἀπολύουσι τὰ ἐπιδέσματα. ὁπότ' ἄν σφιν πάλιν κοτέῃ, καὶ ἰητρεύουσι τὸ λοιπὸν ἄνευ ἐπιδέσιος. οὐδὲν δὲ ἧσσον, καὶ ἤν τι ἄλλο τοιοῦτον λάβωσι, τῷ αὐτῷ τρόπῳ ἰητρεύουσιν. οὐ γὰρ οἴονται τὴν ἐπίδεσιν τὴν ἔνθεν καὶ ἔνθεν, καὶ τὴν ἀνάψυξιν αἰτίαν εἶναι τοῦ ἕλκους, ἀλλ' ἄλλην
E τινὰ ἀτυχίην. οὐκ οἴονται, φησὶ, τὴν κακὴν ἐπίδεσιν αἰτίαν εἶναι τῆς βλάβης, ἀλλ' ἄλλην τινὰ ἀτυχίαν. διὰ τοῦτ' οὖν οὐδ' ἀφίστανται τῆς εἰωθυίας αὐτοῖς ἀγωγῆς, ἀλλ' ἐπιμένουσι τοῖς κακῶς ἐγνωσμένοις. αὕτη μοι ἡ τοῦ προβλήματος λύσις ἐστὶ, καθ' ὃ τὴν αἰτίαν ἡμᾶς σκέψασθαι τῆς ἐν τοῖς ἰάμασι δεῖ διαφωνίας, ἣν καθόλου περιλαβὼν ἄν τις εἴποι διαφορὰν εἶναι τοῦ γενικῶς νοουμένου τε καὶ λεγομένου, καὶ προβαλλομένου πράγματος, ἐάν τε πάθος, ἐάν τε ὕλη τις ᾖ βοηθήματος. λέγω δὲ πάθος μὲν, οἷον τὴν πλευρῖτιν, ἐφ' ἧς ὡς ἐπὶ παραδείγματος ἐποιήσατο τὸν λόγον. ὕλην δὲ
F μελίκρατον, ἢ οἶνον, ἢ ὕδωρ, ἢ ὀξύκρατον. καθ' ἕκαστον γὰρ τούτων, ἴδιαί τινές εἰσι διαφοραὶ, περὶ ὧν ἁπασῶν ὁ Ἱπποκράτης, οὐ μόνον δι' ὀλίγων ῥημάτων, ἀλλὰ καὶ σαφῶς ἐδίδαξε τοὺς διορισμοὺς, ὡς ἐχρῆν διαιρεῖσθαι τὰς διαφοράς. ἐμοὶ δὲ ἀρκέσει παραδείγματός τινος, ἐξ αὐτῶν μνημονεῦσαι τοῦ περὶ τὸν οἶνον λόγου, κατὰ τήνδε τὴν ῥῆσιν εἰρημένου.

γλυκύν τε οἶνον, καὶ οἰνώδεα, λευκὸν καὶ μέλανα, καὶ μελίκρατον, καὶ ὕδωρ, καὶ ὀξύμελι. τοῖσδε σημαινόμενον χρὴ διορίζειν ἐν τῇσιν ὀξείῃσι νούσοισιν. ὁ μὲν γλυκὺς ἧσσόν ἐστι καρηβαρικὸς τοῦ οἰνώδεος, καὶ ἧσσον φρενῶν ἁπτόμενος, καὶ διαχωρητικώτερος δή τι τοῦ ἑτέρου κατ' ἔντερον. μεγαλόσπλαγχνος δὲ σπληνὸς καὶ ἥπατος, οὐκ ἐπιτήδειος δ' οὐδὲ τοῖσι πικροχόλοισι, καὶ γὰρ οὖν καὶ διψώδης τοῖσί γε τοιούτοις ἐστὶ, ἀτὰρ καὶ φυσώδης τοῦ ἐντέρου τοῦ ἄνω. οὐ μὴν πολέμιός γε τῷ κάτω ἐντέρῳ, κατὰ λόγον τῆς φύσης, καίτοι οὐ πάνυ πόριμη ἐστὶν ἡ ἀπὸ τοῦ γλυκέος οἴνου φῦσα, ἀλλ' ἐγχρονίζει περὶ ὑποχόνδρια. καὶ γὰρ οὖν ἧσσον οὐρητικός ἐστι τὸ ἐπίπαν τοῦ οἰνώδεος λευκοῦ. πτυάλου δ' ἀναγωγὸς μᾶλλόν ἐστι τοῦ ἑτέρου ὁ γλυκὺς, καὶ οἷσι μὲν διψώδης ἐστὶ πινόμενος, ἧσσον ἂν τούτοισιν ἀνάγοι, ἢ ὁ ἕτερος οἶνος. οἷσι δὲ μὴ διψώδης, οἶνος ἐπῄνηται μὲν καὶ ἔψεκται τὰ πλεῖστα, καὶ μέγιστα ἤδη ἐν τῇ τοῦ γλυκέος οἴνου διηγήσει. εἰς δὲ κύστιν μᾶλλον πόριμος ἐὼν τοῦ ἑτέρου, καὶ διουρητικὸς δὲ ὢν καὶ καταρρηκτικὸς, ἀεὶ πολλὰ πρὸς ὠφελεῖν ἐν ταύτῃσι τῇσι νούσοισι. καὶ γὰρ εἰ πρὸς ἄλλα ἀνεπιτηδειότερος τοῦ ἑτέρου πέφυκεν, ἀλλ' ὅμως κατὰ κύστιν ἡ κάθαρσις ὑπ' αὐτοῦ γιγνομένη ῥύεται, ἢν προτρέπηται ὁκοῖα δεῖ. καλὰ δὲ ταῦτα τεκμήριά ἐστι τὰ περὶ οἴνου, καὶ ὠφελείας, καὶ βλάβης, ὅσα ἀκαταμάθητα ἦν τοῖσιν ἐμεῦ γεραιτέροισι. κιῤῥῷ δ' αὖ οἴνῳ καὶ μέλανι αὐστηρῷ ἐν ταύτῃσι τῇσι νούσοισιν, ἐς τάδε ἂν χρήσαιο. εἰ καρηβαρίη μὲν μὴ ἐνείη, μηδὲ φρενῶν ἅψις, μηδὲ τὸ πτύαλον κωλύοι τὸ τῆς ὁδοῦ, μηδὲ τὸ οὖρον ἴσχοιτο. διαχωρήματα δὲ πλαδαρώτερα, καὶ ξυσματωδέστερα εἴη. ἐν δὲ τοῖσι τοιούτοισι, πρέποι ἂν μάλιστα, μεταβάλλειν ἐκ τοῦ λευκοῦ, καὶ ὅσα τούτοισιν ἐμφερέα. προξυνιέναι δὲ, διότι τὰ μὲν ἄνω πάντα, καὶ τὰ κατὰ κύστιν ἧσσον βλάψει, ἢν ὑδαρέστερος ᾖ. τὰ δὲ κατ' ἔντερον, καὶ μᾶλλον ὀνήσει ἢν ἀκρατέστερος ᾖ. κατὰ ταῦτά φησι τὰ περὶ τῆς τῶν οἴνων διαφορᾶς τε καὶ χρήσεως, ἀκαταμάθητα ἦν τοῖσιν ἐμεῦ γεραιτέροισιν. ἐγὼ δὲ ταῦτα διορισμοῖσι διακρίνων, τὴν ἐπ' αὐτοῖσι τέχνην συνεστησάμην. οὕτω δὲ καὶ περὶ μελικράτου, καὶ μέλιτος, ὕδατός τε, καὶ ὀξυμέλιτος, καὶ πτισάνης, καὶ βαλανείων ἔγραψε τοὺς διορισμοὺς, μεμφόμενος τοὺς ἐπὶ πάντων τῶν ὀξέως νοσούντων, ἤτοι κελεύοντας, ἢ κωλύοντας ἑκάστῳ τῶν εἰρημένων χρῆσθαι. πρὸς γὰρ τὸν ἐρώμενον, εἰ δοτέον οἶνον τοῖς πυρέττουσιν, ἀποκριτέον, ὡς τῷδε μὲν τινι δοτέον ἐστί. ταὐτὸν δὲ τοῦτο καὶ περὶ ἡδονῆς ὁ Πλάτων ἐποίησε, τινὰς μὲν αὐτῶν φεύγειν ἡμᾶς κελεύων, τινὰς δὲ προσίεσθαι. τὰς μὲν γὰρ ἐπὶ μαθήμασιν ὠφελίμοις τε καὶ καλοῖς, καὶ ὅλως ἁπάσαις ταῖς καλαῖς πράξεσι προσίεσθαι χρή. τὰς δ' ἐπ' οἰνοφλυγίαις, ἢ λιχνείαις, ἢ ἀφροδισίοις φεύγειν. ὅσαι δὲ μηδὲν τούτων ἀποκεκριμένον ἔχουσι, μήτε φεύγειν, μήτε διώκειν. εὑρίσκονται δὲ δηλονότι τῶν γενῶν τῶν ἡδονῶν, αἱ διαφοραὶ κατὰ τὴν διαιρετικὴν μέθοδον, ὡς ἐν ὅλῳ τῷ Φιλήβῳ δείκνυσιν ὁ Πλάτων, τὰς διαφορὰς ἁπάσας αὐτῶν διδάσκων. διὰ τοῦτ' οὖν ἔφην παρακεῖσθαι, καὶ κοινωνεῖν κατὰ τὴν διαιρετικὴν ὁδὸν εὑρισκόμενα τοῖς κατὰ τὴν ὁμοίου γνῶσιν. ὁμοιότης μὲν γάρ ἐστι ταῖς ἡδοναῖς πρὸς ἀλλήλας. ἡ μὲν κοινότης κατὰ τὸ γένος. ἓν γάρ τοι κοινόν ἐστιν ἐν αὐταῖς, καθ' ὃ τὴν προσηγορίαν ἐκτήσαντο κοινήν. ἕτεραι δὲ κατὰ τὴν ἐν ταῖς ἰδίαις διαφοραῖς ἰδέαν. αἱ μὲν γὰρ ἁπλαῖ ταῖς ἁπλαῖς πρὸς τῷ κοινῷ τῆς ἡδονῆς εἴδει, καὶ τὸ κατὰ τὴν ἁπλότητα προσλαβοῦσαι, μείζονα τὴν ὁμοιότητα προσλαμβάνουσιν. ὥσπερ γε καὶ ἐν τοῖς συνθέτοις αἱ σύνθετοι, καὶ αἱ σωματικαὶ, ταῖς σωματικαῖς, αἵτε ψυχικαὶ, ταῖς ψυχικαῖς, αἵτε ὠφέλιμοι, ταῖς ὠφελίμοις, αἵτε βλαβεραὶ, ταῖς βλαβεραῖς.

A *Dulce vinum, vinosum, album & nigrum, mulsam, aquam, & oxymel. His autem significatum in morbis acutis distinguendum est. Dulce minus quàm vinosum caput tentat, aggrauátque, minúsque mentem attingit, & facilius quàm alterum per intestinum descendit. Sed lienem & iecur auget, biliosis etiam incommodum, quippe talibus sitim excitat; imò etiam superius intestinum inflat, non tamen inferiori intestino inimicum flatus ratione, etsi non admodum flatus à vino dulci profectus, facilè penetrabile sit, sed circa præcordia immoretur. Etenim minus vrinam hoc ciet omninò, quàm vinosum album. Dulce autem sputum magis educit quàm alterum;* B *at quibus sitim conciliat potum, his minus quàm alterum vinum educit, quibus autem non sitim facit, magis quàm alterum educit. At vinum album vinosum laudatur quidem & deprehenditur & sæpe & multum in vini dulcis expositione. Verùm quum ad vesicam magis quàm alterum transeat, vrinámque cieat; & distillationem, semper multa ad præsidium in his morbis confert. Siquidem si ad alia minùs idoneum est quàm alterum, attamen in vesica purgatio ab eo facta demittit aut promouet qualia conuenit. Cæterùm bona hæc sunt indicia auxilij & læsionis à vino proficiscentia, quæ incognita erant iis qui* C *me præcesserunt. Porrò ruffo vino & nigro austero in his morbis ad hæc vteris, si capitis grauitas non adsit, neque præcordia attingantur, neque sputum à via prohibeatur, neque vrina retineatur, verùm quod deijcitur, lubricum sit, & ramentosum. Cæterùm in his conuenit potissimùm mutari ex albo, & quæ his sunt similia. Item intelligendum est præterea quòd omnia superiora & vesicæ loca minus offendet, si aquosum magis sit.* Intestinum verò etiam magis adiuuabit, si meracius sit. Hic inquit, quæ de vinorum differentia & vsu exposui, incognita me senioribus fuerunt. Ego D autem hæc distinctionibus segregans, artem in ipsis comprehensam constitui. Ita etiam de mulsa, melle, aqua, oxymelite, & ptisana, & balneis distinctiones conscripsit, accusans eos qui in omnibus acutè laborantibus, vel iubent, vel prohibent singulis commemoratis vti. Nam interroganti an vinum febricitantibus sit exhibendum, responderi debet quòd huic quidem alicui dandum sit. Idem verò hoc de voluptate Plato factitauit, quasdam ipsarum fugere nos præcipiens, quasdam verò appetere. Nam disciplinarum vtilium honestarúmque, & in totum omnium honestarum actionum voluptates affectare conuenit; E ebrietatis autem aut gulæ, aut veneris vitare; quæ verò nihil ab his secretum obtinent, illas neque fugere, neque persequi. Porrò inueniuntur nimirum generis voluptatum differentiæ ex methodo diuisoria, vt in toto Philebo Plato ostendit, differentias omnes ipsarum enumerans. Propterea dixi affinia esse & communia, quæ ex diuisoria via inueniuntur, iis quæ ex similis cognitione intelligi solent. Etenim similitudinem voluptates inter se obtinent; communitatem sanè generatim. Vnum namque commune est in ipsis, ex quo communem sortiuntur appellationem. Aliæ verò secundum peculiarium differentiarum speciem: quan- F doquidem simplices simplicibus, præter communem voluptatis speciem, etiam eam quæ simplicitate constat, consecutæ, maiorem similitudinem assumunt; quèmadmodum in compositis compositæ, corporeæ corporeis, animales animalibus, vtiles vtilibus, noxiæ noxiis: quemad-

quemadmodum etiam quę in honestis actionibus versantur, & quæ in malis inuicem vtræque respondent. Consimiliter etiam quæ in rationali animæ specie sunt, inuicem consentiunt. Item quæ in irascibili aut concupiscibili consistunt, pariter & hæ eodem modò inuicem respondent. At nisi vnumquodque genus in peculiares differentias secent, pronunciantes aliquid generatim & indistinctè tum medici tum philosophi, multa quę euidenter apparent, quotidie iis ipsis quæ tuentur, affirmántque, repugnantia tenent. Nam distinctio ab omnibus artibus claris viris laudata, exercitatione harum duarum speculationum, de quibus hoc libro transegi, absoluitur. Dico autem duas speculationes, & eam quæ discretione similium & dissimilium constat, & eam quæ via iuxta diuisionem generum vsque ad indiuidua tendit, & reciproco hoc modo, scilicet ex particularibus ad primum genus reditu per differentias intercedentes, atque has vtrasque methodos optimè atque elegantissimè inter priores tum medicos tum philosophos Hippocrates & Plato inuenerunt, ostenderúntque multos commentarios falsò conscriptos ab iis qui communia à propriis nequeunt distinguere. Quinetiam dissentiones priùs indicaui illinc tales obortas, quales sanè apud medicos extiterunt de ptisanæ vsu, ac aliis quæ ægrotantibus offeruntur. Apud philosophos autem de animæ virtutibus, dum nonnulli putant ipsas esse dociles, nónulli verò naturales, vel moribus & exercitatione acquisitas. Si enim animæ species diuisissent, manifestò etiam cognouissent alteram esse rationalem, alteram verò irrationalem, quæ & ipsa duplicem habet sectionem; neque scientiam à rationali sustulissent, neque irrationalibus eam concessissent. Quapropter & illa oratio in qua Plato dicit. Vniuscuiusque rei existentis circa quam artem aliquam constituere cogitamus, naturam substantiæ exactè cognitam habere oportet, coniuncta est communísq; methodis nuper comprehensis. Nam qui nouit non simplicem vnam animæ in nobis speciem esse, sicuti in stirpibus appetentem, in diis rationalem, in homine autem ambas esse, & tertiam præterea irascibilem, nouit cum hac virtutum numerũ, vim & possessionem, quemadmodum qui naturalem corporis nostri structuram habet perspectam, in similaribus quidem elementorum commoderationem, in instrumentariis ex similarium quantitate & qualitate, item vniuscuiusque conformatione & situ naturalem habitum effici, in vnoquoque animantis corpore symmetria, videlicet singulorum prædictorum per vnamquamque vitæ substantiam conseruata ipse morborum curationis cuique conuenientis, & præseruationis copiam habebit.

CAPVT VII.

De iis qui similitudine quæstionum vtilium ad inutiles, & vanas pertractandas sensim prolapsi sunt.

Meritò igitur nonnulli exactam similium & dissimilium cognitionem sufficere ad methodicam cuiuslibet artis constitutionem arbitrantur, siquidem etiam ad iudicandum de iis quæ in ambiguo sunt, dux hæc est abundè faciens. Nam quum multa sit similitudo quibusdam probabilibus, non autem veris, cum sermonibus omninò veris, qui eos discernere inuicem est exercitatus, manifestò sciet quantum dogmatis

ὥσπερ καὶ αἱ κατὰ τὰς καλὰς πράξεις, καὶ αἱ κατὰ τὰς κακὰς ἀλλήλαις ἑκάτεραι. παραπλησίως δέ, καὶ αἱ μὲν κατὰ τὸ λογιστικὸν εἶδος τῆς ψυχῆς ἀλλήλαις. αἱ δὲ κατὰ τὸ θυμοειδές, ἢ ἐπιθυμητικόν, ὁμοίως καὶ αἵδε κατὰ τὸν αὐτὸν τρόπον ἀλλήλαις. εἰ δὲ χωρὶς τοῦ τέμνειν εἰς τὰς οἰκείας διαφορὰς ἕκαστον τῶν γενῶν ἀποφηνάμενοί τι καθόλου, καὶ ἀδιορίστως ἰατροί τε καὶ φιλόσοφοι, πολλὰ τῶν ἐναργῶς φαινομένων ὁσημέραι μαχόμενα ταῖς ἑαυτῶν ἀποφάσεσιν ἴσχουσιν. ὁ γὰρ ἐπαινούμενος ὑπὸ τῶν κατὰ τὰς τέχνας ἁπάντων ἀξιολόγων ἀνδρῶν διορισμός, ἐκ τοῦ γεγυμνάσθαι κατὰ τὰς δύο ταύτας θεωρίας, ὑπὲρ ὧν ἐν τῷδε τῷ γράμματι διῆλθον, ἀποτελεῖται. λέγω δὲ δύο θεωρίας, τήν τ' ἐκ τῆς τῶν ὁμοίων τε καὶ ἀνομοίων διακρίσεως, καὶ τὴν ἐκ τῆς κατὰ διαίρεσίν τε τῶν γενῶν ἄχρι τῶν ἀτόμων ὁδοῦ. τῆς τ' ἀντιστρόφου ταύτης θέσεως δηλονότι, ἐκ τῶν κατὰ μέρος ἐπὶ τὸ πρῶτον γένος ἀνόδου, διὰ τῶν ἐν τῷ μεταξὺ διαφορῶν. καὶ ταύτας ἀμφοτέρας τὰς μεθόδους κάλλιστα, καὶ ἄριστα τῶν ἔμπροσθεν ἰατρῶν τε, καὶ φιλοσόφων Ἱπποκράτης τε καὶ Πλάτων εὗρον, ἐπέδειξαν τε πολλὰ συγγράμματα ψευδῶς λελεγμένα, πρὸς τῶν ἀγνοούντων διορίζεσθαι τὰ κοινὰ τῶν ἰδίων. καὶ μέντοι καὶ τὰς διαφωνίας πρόσθεν ἔδειξα ἐντεῦθεν γεγονυίας τοιαύτας, ὁποίας παρὰ μὲν τοῖς ἰατροῖς ἐγένοντο περί τε πτισάνης χρήσεως, ὅσα τε ἄλλα προσφέρεται τοῖς νοσοῦσι. παρὰ δὲ τοῖς φιλοσόφοις, περὶ τῆς τῆς ψυχῆς ἀρετῆς, ἐνίων μὲν οἰομένων διδακτὰς ὑπάρχειν αὐτάς, ἐνίων δὲ φυσικάς, ἢ δι' ἐθῶν καὶ ἀσκήσεως κτητάς. εἰ γὰρ διῃροῦντο τὰ τῆς ψυχῆς εἴδη, καὶ σαφῶς ἐγνώκεσαν, ἕτερον μὲν εἶναι τὸ λογιστικόν, ἕτερον δὲ τὸ ἄλογον, διττὴν ἔχον καὶ τοῦτο τομήν. οὔτ' ἂν τοῦ λογιστικοῦ τήν τ' ἐπιστήμην ἀφῃροῦντο τοῖς τ' ἀλόγοις, οὐκ ἂν αὐτῆς μετεδίδοσαν, ὥστε κἀκεῖνος ὁ λόγος, ἐφ' ᾧ φησιν ὁ Πλάτων ἑκάστου τῶν ὄντων περὶ ὃ τέχνην τινὰ συστήσασθαι βουλόμεθα, τὴν φύσιν τῆς οὐσίας ἀκριβῶς χρὴ γνῶναι, συνῆπταί τε καὶ κοινωνεῖ ταῖς νῦν εἰρημέναις μεθόδοις. ὁ γὰρ γνοὺς οὐχ ἁπλοῦν ἓν εἶδος ἐν ἡμῖν εἶναι ψυχῆς, ὥσπερ ἐν τοῖς φυτοῖς μὲν τὸ ἐπιθυμητικόν, ἐν θεοῖς δὲ τὸ λογιστικόν, ἀνθρώπῳ δ' ἄμφω τε ταῦτα, καὶ τρίτον ἐπ' αὐτοῖς τὸ θυμοειδές. ἔγνω σὺν τούτῳ τῶν ἀρετῶν τὸν ἀριθμόν, καὶ τὴν δύναμιν, καὶ τὴν κτῆσιν, ὥσπερ ὁ γνοὺς τὴν φυσικὴν κατασκευὴν τοῦ σώματος ἡμῶν, ἐν μὲν τοῖς ὁμοιομερέσι συμμετρίας τῶν στοιχείων, ἐν δὲ τοῖς ὀργανικοῖς ἐκ τῆς τῶν ὁμοιομερῶν ποσότητός τε καὶ πηλικότητος, ἔτι τε διαπλάσεως ἑκάστου, καὶ θέσεως ἀποτελεῖσθαι τὸ κατὰ φύσιν ἐν ἑκάστῳ σώματι ζῴου, τῆς συμμετρίας δηλονότι καθ' ἑκάστην ζωὴν τῶν εἰρημένων φυλαττομένης οἰκείας, αὐτός γε τῶν νοσημάτων εὐπορήσει τῆς προσηκούσης ἑκάστῳ θεραπείας τε καὶ προφυλακῆς.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν ἐκ τῆς ὁμοιότητος τῶν χρησίμως ζητουμένων, κατὰ βραχὺ προελθόντων εἰς τὴν τῶν ἀχρήστων ζήτησιν.

Εἰκότως οὖν ἔνιοι τὴν τῶν ὁμοίων τε, καὶ οὐχ ὁμοίων ἀκριβῆ γνῶσιν αὐτάρκη νομίζουσιν ὑπάρχειν εἰς μεθοδικὴν σύστασιν ἁπάσης τέχνης, εἴ γε καὶ πρὸς τὴν τῶν ἀμφισβητουμένων κρίσιν ἱκανὴ ποδηγός ἐστιν. ὁμοιότητος γὰρ οὔσης πολλῆς, ἐνίοις τῶν πιθανῶν μέν, οὐκ ἀληθῶν δὲ πρὸς τοὺς ὄντας ἀληθεῖς λόγους, ὁ γεγυμνασμένος διακρίνειν ἀπ' ἀλλήλων αὐτούς, εἴσεται σαφῶς, ὅσον γε χρὴ δόγμασι πιστεύειν,

ὡς ἀληθέσιν, ὅσων τε καταγινώσκειν, ὡς ψευδῶν, ὅσων τε τὸ πιθανὸν ἄδηλον, ὅπως ἀδηλίας ἔχον, προσέοικε τῷ ἀπιθάνῳ, ὥσπερ γε καὶ τῶν ἐπίσης ἀλλήλων, εἴτε ἐν δυσὶν, εἴτε ἐν τρισὶν, εἴτε ἐν πλείοσιν ἡ ἔκτασις γένοιτο, μηδὲν ἡγεῖσθαι πιστότερον. ἀνάγεται δὲ ἡ τούτων κρίσις εἰς φαντασίαν, ὡς μὲν οἱ νεώτεροι τῶν Ἀκαδημαϊκῶν λέγουσιν, οὐ μόνον πιθανὴν, ἀλλὰ καὶ περιοδευομένην, καὶ ἀπερίσπαστον. ὡς δ' οἱ περὶ τὸν Χρύσιππον, εἰς καταληπτικήν· ὡς δὲ κοινῇ πάντες ἄνθρωποι πεπιστεύκασιν, εἰς αἴσθησίν τε καὶ νόησιν ἐναργῆ. διαφέρειν μὲν οὖν ἀλλήλων δοκοῦσιν αἱ εἰρημέναι λέξεις. εἰ δ' ἐπιμελέστερόν τις σκοποῖτο, τὴν αὐτὴν ἔχουσι δύναμιν, ὥσπερ γε κἀπειδὰν φησί τις ἀπὸ τῶν κοινῶν ἐννοιῶν ἄρχεσθαι, καὶ ταύτας τίθεσθαι πρῶτον ἁπάντων κριτήριον ἐξ ἑαυτοῦ πιστόν. ὅτι μὲν γὰρ τὸ πρῶτον κριτήριον ἀναποδείκτως εἶναι δεῖ πιστὸν, ὡμολόγηται πᾶσιν, οὐ μὴν ὅτι γε φυσικὸν εἶναι δεῖ τοῦτο, καὶ πάντων ἀνθρώπων κοινὸν, ἐννοοῦσιν ἅπαντες, καὶ οἱ πλεῖστοι προκρίνουσιν, ἐνίοτε τοῦ κοινῇ πᾶσιν ἀνθρώποις ἐναργῶς φαινομένου τῇ ἑαυτῶν ὑπολήψει ἐμμένειν, καὶ προσποιοῦνται πεπιστευκέναι βεβαίως οἷς αὐτοὶ λέγουσιν εἰκῇ, ἕνεκα τοῦ κατασκευάζειν τι δόγμα τῶν ἀπὸ τῆς ἑαυτῶν αἱρέσεως. ὥσπερ γε πάλιν ἕτεροί τινες εἰς τὸ διαβάλλειν τι τῶν ἑτεροδόξων ὑπομένουσιν ἑκουσίως ψεύδεσθαι. τοῖς γὰρ ἑαυτοὺς ἀπό τινος αἱρέσεως ἀναγορεύσασιν ἀγωνίζεσθαι πρόκειται περὶ πάντων τῶν κατὰ τὴν αἵρεσιν, εἰ καὶ μηδεμίαν ἀναγκαίαν ἀκολουθίαν ἔχει πρὸς τὴν στοιχείωσιν, ὥσπερ ἀμέλει κἀπὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ δόγματος. τοῦτο γὰρ ἰατροῖς ἐπίστασθαι χρήσιμόν ἐστιν, ἕνεκα τοῦ προσφέρειν τὰ βοηθήματα τῷ πεπονθότι τόπῳ, βεβλαμμένου τοῦ λογισμοῦ. φιλοσόφοις δ' οὔτε εἰς τὴν εὕρεσιν τῆς διαφορᾶς τῶν ἀρετῶν, οὔτ' εἰς τὴν ἄσκησιν αὐτῶν ἐστι χρήσιμον. ἐάν τε γὰρ ἐν τῇ καρδίᾳ τὸ τῆς ψυχῆς ἡγεμονικὸν ὑπάρχῃ μόριον, ἐάν τε ἐν τῇ κεφαλῇ, δυνησόμεθα καὶ φρόνησιν κτήσασθαι, καὶ σωφροσύνην, καὶ δικαιοσύνην, καὶ ἀνδρείαν, ἐξ ἄλλων δογμάτων τε καὶ ἀσκήσεων, ἐπὶ τὴν κτῆσιν αὐτῶν ἀφικόμενοι. μόνοις οὖν ἐκείνοις τοῖς φιλοσόφοις, καὶ τὰ μηδὲν εἰς ἦθός τε καὶ τὰς πολιτικὰς πράξεις χρήσιμον ζητεῖν, ἀκόλουθόν ἐστιν, ὅσοι τὴν θεωρητικὴν φιλοσοφίαν εἵλοντο, καθάπερ γε καὶ εἰ μετὰ κόσμον τοῦτόν ἐστί τι, καὶ εἰ ἔστιν, ὁποῖόν τι τοῦτο, καὶ εἰ ὁ κόσμος αὐτὸς ἐν ἑαυτῷ περιέχεται, καὶ εἰ πλείους ἑνὸς, καὶ εἰ πάμπολύ τι πλῆθος. ὁμοίως δὲ καὶ εἰ γεννητὸς, ἢ ἀγέννητος ὅδε ὁ κόσμος ἐστίν. ὥσπερ γε καὶ εἰ γεγονότος αὐτοῦ, θεός τις ἐγένετο δημιουργὸς, ἢ θεὸς μὲν οὐδεὶς, αἰτία δέ τις ἄλογός τε καὶ ἄτεχνος εἰργάσατο κατὰ τὴν τύχην οὕτως καλὸν αὐτὸν, ὡς εἰ καὶ θεὸς ἐπεστάτει τῇ κατασκευῇ, σοφώτατος ἅμα καὶ δυνατώτατος. ἀλλὰ τά γε τοιαῦτα ζητήματα, πρὸς τὸ καλῶς οἰκεῖν τὸν ἴδιον οἶκον, ἢ τὸ τῆς πόλεως πραγμάτων προνοεῖσθαι προσηκόντως, ἢ συγγενέσι καὶ πολίταις, καὶ ξένοις προσφέρεσθαι δικαίως τε καὶ κοινωνικῶς, οὐδὲν συντελεῖ. προεγένοντο δ' ἐπὶ τὴν ζήτησιν αὐτῶν ἔνιοι τῶν πρακτικῶν ὑποτιθεμένων, τὸ τέλος ἐκ τῶν χρησίμως ζητουμένων, κατὰ βραχὺ προελθόντες, ὡς ἐφ' ὅμοια. οὐ γὰρ δὴ ὥσπερ γεγονέναι τὸν κόσμον, ἢ μὴ γεγονέναι ζητεῖν ἄχρηστον, οὕτω καὶ περὶ προνοίας καὶ θεῶν. ὅτι γάρ τι κρεῖττον ἀνθρώπῳ δυνάμει τε καὶ σοφίᾳ, κατὰ τὸν κόσμον ἅπασιν ἡμῖν ζητεῖσθαι βέλτιον,

tanquam veris credendum sit, quantumque derogandum tanquam falsis, & quantum probabile, haud scio quàm incertum, improbabili respondeat: quemadmodum etiam iis quæ æqualiter inuicem respondent, siue in duobus, siue in tribus, siue in pluribus fiat extensio, nihil putandum fide dignius. At horum iudicium ad imaginationem reducitur, vt recentiores Academici dicunt, non solùm probabilem, sed etiam circumeuntem, & immobilem; vt autem Chrysippi sectatores aiunt, ad comprehensoriam, vt communiter omnes homines crediderunt, ad sensum intellectúmque euidentem. Itaque verba prædicta differre inter se videntur. Si autem accuratiùs quis inspiciat, eandem vim obtinent, veluti etiam quum quis censet à communibus notionibus incipere, atque has primum omnium iudicium ex seipso fide dignum constituere. Quod enim primum iudicij locum citra demonstrationem fide dignum esse conuenit, omnibus in confesso est, non tamen quòd naturale hoc esse oporteat, & omnium hominum commune, vniuersi intelligant; & plerique nonnunquam præ eo, quod omnibus ex æquo hominibus euidenter apparet, malunt suæ ipsorum adhærere opinioni, & simulant firmam se fidem addidisse iis quæ ipsi dicunt verisimilia, vt dogma aliquod sectæ ipsorum approbent, astruántque; quemadmodum rursus alij nonnulli, vt aliquid secus opinantium calumnientur, sponte sua mentiri sustinent. Nam iis qui se à quadam secta appellant, contendere propositum est, de omnibus quæ in secta habentur, etsi nullam necessariam ad principij elementa habeant consequentiam; quemadmodum sanè in dogmate de animę principatu. Hoc enim medicis scire ex vsu est, vt ratione læsa, loco affecto auxilia adhibeant, philosophis autem neque ad inueniendum virtutum differentiam, neque ad exercitationem ipsorum est vtile. Siue enim in corde princeps animæ pars existat, siue in cerebro, poterimus & prudentiam & temperantiam iustitiam & fortitudinem consequi, ex aliis placitis & exercitationibus ad ipsarum possessionem peruenientes. Itaque solis in philosophis etiam id quod nihil ad mores, ciuilésque actiones conducit, inquirere consequens est, qui speculatoriam philosophiam delegerunt, quemadmodum, & an post mundum hunc sit aliquid; & si est, quale hoc tandem. Item num mundus hic in se contineatur, & an plures vno, & an copiosa quædam multitudo. Similiter generatusne an ingenitus mundus hic existat. Sicut etiam an geniti ipsius Deus aliquis opifex fuerit, an Deus nullus quidem, sed causa quædam irrationalis & inartificiosa fortuitò ipsum adeò pulchrum effecerit, sic an etiam Deus præsit structuræ mundi sapientissimus simul & potentissimus. Verùm huiusmodi quæstiones nihil conferunt ad domum propriam honestè administrandam, aut ciuitatis rebus conuenienter prospiciendum, vel cognatis & ciuibus, & hospitibus iustè, & cōmunicatoriè impartiendum. Processerunt autem ad quæstionem ipsorum nonnulli qui practici statuuntur, tandem ex iis quæ vtiliter disquiruntur, paulatim tanquam ad similia progressi. Non enim sicut mundum generatum esse, aut non generatum esse, quærere inutile est; ita etiam de prouidentia, & diis. Quod enim sit aliquid homini præstantius virtute & sapiētia in mūdo, omnibus nobis disquirere præstat

non

non tamen quales dij sint substantia, vtrum incorporei omninò, an quemadmodum nos, ita ipsi cum corporibus existant, necessarium est considerare. Etenim hæc, aliáque multa prorsus nihil conducunt ad virtutes actionésque morales & ciuiles appellatas; quemadmodum etiam ad animi affectuum remedia. Scripsit de iis Xenophon optimè, qui non solùm inutilitatem ipsorum damnauerit, sed etiam Socratem ita sentire pronunciet. Consentiunt ipsi & alij Socratis sodales, & Plato ipse, qui naturalem speculationem philosophiæ adiungens, Timæo disputationem de ea defert, non Socrati; sicut etiam dialecticam longiùs exporrectam ad Parmenidem & sodalem ipsius Zenonem. Sanè propter similitudinem aliquam vtilibus rationalium naturaliúmque speculationum etiam inutilium quæstio apposita est. Neutiquam enim licet vel attingere in morali & ciuili speculatione siue naturalem, siue ratiocinatricem; sed hæc quoque inutilibus adscribuntur. Cæterùm multa falsa veris sunt similia, & in demonstrationum initiis, & omnibus subsequentibus; item sophismata ex similitudine quam cum veris sermonibus habent, componuntur; sed internoscere ea, & inuicem discernere nouerunt, in illa materia circa quam ars versatur, exercitati nimirum, & naturali industria præditi, quam oportebat potissimùm in puerili ætate à cuiusque ciuitatis senioribus prudentissimis indicari, ac vnumquémque artem naturæ congruam ediscere, vt nunc multos videmus artes rationales exercentes, qui ne ea sanè quæ ipsi dicunt, assequuntur.

οὐ μὴν ὁποῖοί τινές εἰσι τὴν οὐσίαν οἱ θεοί, πότερον ἀσώματοι παντάπασιν, ἢ καθάπερ ἡμεῖς οὕτως αὐτοὶ μετὰ σωμάτων ἀναγκαῖον σκοπεῖσθαι. καὶ γὰρ καὶ ταῦτα, καὶ ἄλλα πολλὰ τελέως ἄχρηστά ἐστιν εἰς τὰς ἠθικάς τε, καὶ πολιτικὰς ὀνομαζομένας ἀρετάς τε καὶ πράξεις, ὥσπερ γε καὶ εἰς τὰς τῶν ψυχικῶν παθῶν ἰάσεις. καὶ γέγραπται περὶ αὐτῶν ὑπὸ Ξενοφῶντος ἄριστα, μὴ μόνον αὐτοῦ τῆς ἀχρηστίας κατεγνωκότος, ἀλλὰ καὶ Σωκράτην φάσκοντος οὕτω φρονεῖν. ὁμολογοῦσι δ' αὐτῷ, καὶ οἱ ἄλλοι τοῦ Σωκράτους ἑταῖροι, καὶ Πλάτων αὐτός, ὃς τὴν φυσικὴν θεωρίαν τῇ φιλοσοφίᾳ προσθεὶς, Τιμαίῳ ἀναφέρει τὸν περὶ αὐτῆς λόγον, οὐχὶ Σωκράτει, καθάπερ καὶ τὴν ἐπὶ πλέον ἐκτεταμένην διαλεκτικήν, εἰς Παρμενίδην τε καὶ τὸν ἑταῖρον αὐτοῦ Ζήνωνα. δι' ὁμοιότητα μέν τινα τοῖς χρησίμοις τῶν λογικῶν καὶ φυσικῶν θεωρημάτων, καὶ ἡ τῶν ἀχρήστων προσετέθη ζήτησις. ἀδύνατον γάρ ἐστι μηδ' ὅλως ἐφάπτεσθαι, κατὰ τὴν ἠθικήν τε καὶ πολιτικὴν θεωρίαν, μήτε τῆς φυσικῆς, μήτε τῆς συλλογιστικῆς, ἀλλὰ καὶ ταῦτα τῶν ἀχρήστων εὕρηται. παραπλήσια δὲ πολλὰ τῶν ψευδῶν ἐστιν τοῖς ἀληθέσιν, ἔν τε ταῖς ἀρχαῖς τῶν ἀποδείξεων, καὶ πᾶσι τοῖς μετὰ ταῦτα, καὶ τὰ σοφίσματα καθ' ὁμοιότητα τῶν πρὸς τοὺς ἀληθεῖς λόγους συντίθενται, διαγινώσκειν καὶ διακρίνειν αὐτὰ ἀπ' ἀλλήλων οἱ γεγυμνασμένοι κατὰ τὴν ὕλην ἐκείνην ἴσασι, περὶ ἣν ἡ τέχνη διατρίβει, μετὰ τοῦ δηλονότι, καὶ τὴν φυσικὴν ἔχειν ἀγχίνοιαν, ἣν ἐχρῆν μάλιστα κρίνεσθαι κατὰ τὴν ἡλικίαν τῶν παίδων, ὑπὸ τῶν ἑκάστῃ πόλει συνετωτάτων πρεσβυτέρων, ἐκμανθάνειν τε τὴν προσήκουσαν τῇ φύσει τέχνην ἕκαστον, ὡς νῦν γε πολλοὺς ὁρῶμεν τέχνας λογικὰς μετιόντας, οὐδ' οἷς αὐτοὶ φθέγγονται παρακολουθοῦντας.

CAPVT VIII.

De summi opificis prouidentia in structura Corporis humani, ex similitudine eorum quæ arte ab hominibus fiunt.

PОrrò quod ad logica principia cuiuslibet dogmatis demonstratio reducatur, in omnibus ferè operibus à me ostensum est. Sed & nunc, quoniam vt res inuicem discernere possis, & similitudines dissimilitudinésque singulorum exactè speculari ab initio considerare institui, apponam exemplum aliquod exercitationis gratia. Quippe non conuenit esse contentum eo quod ostensum est, nos in particularibus exercitari oportere, sed etiam ita facere. Neque enim Plato ipse neque Hippocrates satis habuerunt vniuersim hoc consuluisse, sed exemplis quoque particularibus plerisque nos exercitarunt. Promatur autem quædam materia speculationis, quæ tractat an opifex nostri habeat prouidentiam, principio à structura corporis desumpto. Nonnulli enim fortuna quadam artis & rationis experte, non prouidentia sapientis opificis conformari pronunciant, obscura ad fidem eorum quæ dicunt, similitudine vtentes, quemadmodum aliqua in vita à fortuna similia redduntur iis quæ iuxta artes fiunt. Quum namque aliquis nonnullorum descriptionem aut figuram leonis aspectui esse persimilem conspicit, sicuti quorumdam draconis, aut alterius cuiusdam animantis vt inquiunt, ac vbi quis forsan petram feriens, tantum ab ea confregit, vt reliqua pars respondeat leonis formæ,

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς τοῦ δημιουργοῦ προνοίας ἐν τῇ τοῦ ἀνθρωπίνου σώματος κατασκευῇ, ἐκ τῆς ὁμοιότητος τῶν κατὰ τὰς τέχνας.

ΟΤι δ' εἰς τὰς λογικὰς ἀρχὰς ἀνάγεται παντὸς δόγματος ἡ ἀπόδειξις, ἐπιδέδεικται μὲν ἡμῖν ἐν ἁπάσαις σχεδὸν ταῖς πραγματείαις, ἀλλὰ καὶ νῦν ἐπεὶ τὸ διακρίνειν ἀπ' ἀλλήλων δύνασθαι τὰ πράγματα, καὶ θεωρεῖν ἀκριβῶς τὰς ἐν ἑκάστοις ὁμοιότητάς τε, καὶ ἀνομοιότητας, ἐξ ἀρχῆς σκοπεῖσθαι προὐθέμεθα, προσθήσω τι παράδειγμα, γυμνασίας ἕνεκεν, ὡς οὐ χρὴ μόνον ἀρκεῖσθαι τῷ δεῖξαι τοῦ δεῖν ὑμᾶς γυμνάζεσθαι περὶ τὰ κατὰ μέρος, ἀλλὰ καὶ πράττειν οὕτω. οὐδὲ γὰρ ὁ Πλάτων αὐτὸς, οὔθ' Ἱπποκράτης ἠρκέσθησαν ἐν τῷ καθόλου τοῦτο συμβουλεῦσαι, ἀλλὰ καὶ διὰ τῶν παραδειγμάτων ἐγύμνασαν ἡμᾶς ἐν πολλοῖς κατὰ μέρος. προκείσθω δέ τις ὕλη θεωρίας, ἡ περὶ τῆς ἡμᾶς προνοίας τοῦ δημιουργοῦ, τὴν ἀρχὴν ἀπὸ τῆς κατασκευῆς τοῦ σώματος ποιησαμένοις. ἔνια γὰρ κατά τινα τύχην ἄτεχνον καὶ ἄλογον, οὐ κατὰ πρόνοιαν σοφοῦ δημιουργοῦ διαπλάττεσθαί φασιν, ἀμυδρᾷ πρὸς τὴν πίστιν ὧν λέγουσιν ὁμοιότητι χρώμενοι, ὡς ἔνια κατὰ τὸν βίον ὑπὸ τύχης ὅμοια γίνεται τῶν κατὰ τὰς τέχνας. ὁρῶν γάρ τις τινῶν τὴν περιγραφὴν ἢ τὸ σχῆμα, παραπλήσιον εἶναι λέοντος προσώπῳ, καθάπερ ἐνίων δράκοντος, ἢ ἄλλου τινὸς ζώου ὥς φασι, καί πού τις πατάξας πέτραν, ἀπέρρηξεν αὐτῆς τηλικοῦτον, ὡς τὸ καταλειπόμενον ἐοικέναι λέοντος μορφῇ,

ἕτερά τε τοιαῦτα λέγουσιν ἅπαξ ἐν μακρῷ χρόνῳ, καθ' ὅλην τὴν οἰκουμένην γεγονότα. τῆς δὲ τῶν τεχνῶν φύσεως, ἣν ἅπαντες ἄνθρωποι φύσει ποιοῦνται, καὶ τῆς πρὸς αὐτὰς ὁμοιοτάτης ἡμῶν διαπλάσεως, παντάπασιν ἐπιλανθάνονται. καίτοι γε ὁρῶντες ἐνεργοῦντας περὶ τὰς ὕλας πολλούς, οὔτε σκυτοτόμους ὀνομαζομένους, οὔτε τέκτονας, οὔτε πλάστας, ἐάν γε μὴ φαίνεται χρησίμου ἕνεκά τινος ἑκάστου, ὧν ἐκεῖνοι ἐδημιούργησαν γεγονέναι, ὡς οὐδὲν ἄλλο τέχνης ὑπάρχει γνώρισμα παρὰ τὴν χρείαν ἑκάστου τῶν ἐν τῷ δημιουργηθέντι μορίῳ. ἐὰν μὲν οὖν ὁ τὰ ξύλα τέμνων τε καὶ πρίων, καὶ συμπηγνὺς ἀπεργάσηται σκίμποδα, πάντ' ἐπιτήδεια τὰ μόρια ἔχοντα πρὸς τὴν χρείαν ἧς ἕνεκα πήγνυται γεγονότα, τεχνίτην φασὶν εἶναι τὸν τοιοῦτον. ἐὰν δ' ἤτοι τοὺς δεξιοὺς πόδας τοῖς ἀριστεροῖς ἀνίσους ἀπεργάσηται κατὰ τὸ μῆκος, ἢ τὸ πάχος, ἢ τὸ σχῆμα διαφέροντας, ἤ τι τοιοῦτον κατὰ τὸ ἐπίκλιντρον, ἢ τὰ διήκοντα ξύλα κατὰ τὸ μῆκός τι τῶν ἄνω μερῶν ἐπὶ τὰ κάτω φαίνηται σφαλείς, ἄτεχνον εἶναί φασι. καὶ πολύ γε μᾶλλον ἂν τὸ κατασκευαζόμενον ἐκ πολλῶν μερῶν ᾖ συγκείμενον. εἶτα μηδὲν ἐν αὐτοῖς ὁ συμπηγνὺς αὐτὰ σφάλληται, τεχνίτην εἶναί φασι τὸν κατασκευάσαντα, καθάπερ ἐπὶ τῆς ἁμάξης ὁ Ἡσίοδος εἶπεν,

----- ἑκατὸν δέ τε δούραθ' ἁμάξης.

εἴτε γὰρ ὄντως ἑκατόν, εἴτε ἀντὶ τοῦ πολλὰ τοσαῦτα εἶπεν, ὥσπερ Ὅμηρος,

Τῆς ἑκατὸν θύσανοι παγχρύσεοι ἠερέθοντο.

καὶ διὰ τοῦτο οἱ γραμματικοί φασιν, ἀντὶ τοῦ πολλά, ἑκατὸν εἰρηκέναι, τῷ μὴ σφαλῆναι κατά τι τῶν μορίων, ἀλλὰ καὶ τὸ μέγεθος αὐτοῖς, καὶ τὸ σχῆμα περιθεῖναι τὸ πρέπον, ἐν χώρᾳ τε τῇ προσηκούσῃ τάξαι, καὶ τὴν πρὸς τὰ πλησιάζοντα σύνθεσιν ἀσφαλῆ, καὶ δύσλυτον ἐργάζεσθαι, τέχνης ἐπιδείγματα πάντες ἡγοῦνται, οὐχ ὑπ' ἀνθρώπου διδαχθέντες οὕτω κρίνειν, ἀλλ' ἔχοντες φύσει τέχνης ἔννοιαν ἀφωρισμένην τύχης. τὸ μὲν γὰρ ἐν ἅπασι κατορθούμενον, εἰς τέχνην ἀναφέρουσι, τὸ δὲ καθ' ἓν ἢ δύο, τύχης ἔργον οὐ τέχνης εἶναι πεπιστεύκασι. τὴν αὐτὴν οὖν ἔννοιαν ἀνατομικοὶ τῶν ἰατρῶν, ἐθαύμασαν ἅπαντες τὴν τέχνην τῆς φύσεως. οὐ γὰρ ὡς ἔξωθεν ὁρᾶται τὸ σῶμα συγκείμενον ἐκ μερῶν ὂν δέκα που καὶ δώδεκα, ἢ εἰ βούλει καὶ εἴκοσιν, οὕτω καὶ κατ' ἀλήθειαν ἔχει. σύγκειται γὰρ ἐξ ὀστέων πλειόνων, ἢ διακοσίων, ὥσπερ γε καὶ μυῶν πολὺ πλειόνων, ἢ διακοσίων. εἰς ἕκαστον δὲ τῶν ὀστῶν μὲν ἀφικνεῖται τὸ τρέφον ἀγγεῖον, ὃ καλοῦσιν οἱ ἄνθρωποι φλέβα, τῶν δὲ μυῶν, οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἀρτηρία, καὶ νεῦρα, ἴσα τε πάντα ἐστὶν ἀκριβῶς τὰ κατὰ τὸ δεξιὸν μέρος τοῦ ζώου, τοῖς κατὰ θάτερον, ὀστοῦν ὀστῷ, καὶ μῦς μυΐ, καὶ φλὲψ φλεβί, καὶ νεῦρον νεύρῳ, καὶ ταῖς ἀρτηρίαις ἀρτηρίαι. διὸ καὶ θαυμαστῶς ὁ Ἱπποκράτης ἔφη, τοῦτο μὲν ἐπεὶ δίκαιον ἔχουσι τὸ σῶμα οἱ ἄνθρωποι. μέγιστον γάρ ἐστι σημεῖον τὸ ἐν τοῖς μορίοις δικαιοσύνης, καὶ ἡ τοῦ σχήματος ὁμοιότης, ἥτε τῆς χώρας καθ' ἣν ἐμφύεται τὰ τρία ταῦτα ὄργανα, τὴν φλέβα λέγω καὶ τὴν ἀρτηρίαν, καὶ τὸ νεῦρον ἐν ἑκάστῳ τῶν μυῶν, ἥ τε τῆς ἐν αὐτοῖς θέσεως ἐναντιότης, οὐ δικαιοσύνην μόνον, ἐν τῇ κατασκευῇ τοῦ σώματος ἐνδείκνυται σαφῶς, ἀλλὰ καὶ δύναμιν ἄκραν τοῦ κατασκευάσαντος αὐτὸ τὸ σῶμα. τοὺς γάρ τοι σκοποὺς τῆς κατασκευῆς ἐὰν ἀριθμήσῃς, εἶθ' ἕκαστον αὐτῶν εὕροις κατωρθωμένον, ἐναργῶς σοι φανεῖται τὸ μέγεθος αὐτοῦ, φημὶ τοῦ δημιουργοῦ. οὐ γὰρ ἁπλῶς οὕτως, ὡς ἂν ἀμελῶς τις ἐννοήσειεν ἰσάριθμόν ἐστι τὸ πλῆθος τῶν ὀστῶν καὶ τῶν μυῶν, τοῖς ὀστοῖς τε καὶ μυσίν, ἀλλὰ καὶ τῶν ὑπαρχόντων αὐτοῖς,

aliáque huiusmodi dicunt, quæ vel semel longo tempore in vniuerso fiunt; artium verò naturæ quam vniuersi homines naturâ moliuntur, & conformtionis nostri ipsis simillimæ prorsus obliuiscuntur. At qui vident multos circa materias operari qui neque coriarij, neque fabri, neque figuli dicuntur, nisi appareant vtilis cuiusdam gratia esse quæ illi fabricati sunt. Quippe quòd nulla alia artis nota sit præter vsum vtilitatémque vniuscuiusque partis, in re fabricata. Si igitur qui ligna secat, vrit, & compingit, lecticam efficiet, omnes continentem partes, conuenientes vsui propter quem factæ compinguntur, eiusmodi esse artificem dictitant. Si verò dextros pedes sinistris effecerit, longitudine, aut crassitie, aut figurâ differentes, aut tale quippiam in lecto, aut lignis pertingentibus longitudine superiores partes ad infernas aberrasse videatur, imperitum esse dicunt; ac multò magis si id quod apparatur, ex multis constet partibus; deinde si nihil in ipsis qui compingit, erroris commiserit, artificem esse constructorem aiunt, quemadmodum in curru Hesiodus scripsit.

——— *centum lignáque plaustri.*

Siue enim re vera centum, siue loco multorum tot dixerit, sicuti Homerus.

Centum pendebant ex auro fimbriæ.

Eóque grammatici dicunt loco multorum centum posuisse, ne in aliqua parte aberraret, sed etiam magnitudinem ipsis figurámque decentem circumposuerit, collocarítque in regione congrua, & compositionem cum propinquis tutam, & solutu difficilem effecerit, artis indicia omnes arbitrantur, non ab homine docti ita iudicare, sed naturâ habentes artis notionem à fortuna secretam. Quod etenim in omnibus rectè fit, ad artem referunt, quod in vno, aut duobus fortunæ non artis opus esse credidimus. Eadem itaque notione anatomici medici admirati sunt omnes artem naturæ. Neque enim tanquam extrinsecus videtur corpus compositum ex partibus decem, & duodecim, aut si libet etiam viginti, sic etiam reuera habet. Constat enim ex ossibus pluribus quàm ducentis, quemadmodum etiam musculis paulò pluribus quàm ducentis; ad singula vera ossa peruenit vas nutriens, quod homines vocant venam. At ad musculos non hoc solum, sed etiam arteria & nerui. Paria que omnia sunt ad amussim in dextra animantis parte sita, iis quæ in altera sunt, os ossi, musculus musculo, vena venæ, neruus neruo, arteriis arteriæ. Quapropter etiam mirificè Hippocrates dixit hoc quidem, quum homines iustum obtinent corpus; maximum enim indicium est iustitiæ, in partibus figuræ similitudo & loci, in quo hæc tria instrumenta inseruntur, venam dico, & arteriam, & neruum in singulis musculis; item dispositionis in ipsis contrarietas non iustitiam modò in corporis structura manifestè ostendit, sed etiam vim summam eius qui corpus ipsum construxerit; nam scopos structuræ si numeres, deinde vnumquodque ipsorum rectè factum inuenias, euidenter tibi magnitudo ipsius opificis dico, apparebit. Neque enim simpliciter ita, veluti si quis negligenter consideret, ossium musculorúmque multitudo par est numero ossibus & musculis, sed etiam eorum quæ ipsis insunt,

putà

putà magnitudinis, situs, compositionis, numeri, figuræ, totiúsque conformationis, quæ & in arteriis, & venis, & neruis seruari videntur. Etenim quale vnumquodque ipsorum esse conuenit, & quantum & vbi pars musculi inserta, & quomodo etiam in ramos diuaricata, exactè in singulis ipsorum conseruatur, præterea omnium paritas sinistrorum cum dextris, tot & ipsa particulares scopos obtinens, quot etiam partes. Atque hæc tibi dico nondum mentionem faciens singulorum viscerum, aut aliarum partium, quæ particulari descriptione videntur. Nam apparet in his quoque non paucis numerus scoporum cuique conueniens. Quum igitur duo nobis insint oculi, par vtrique multitudo partium est, neque figura diuersa, neque magnitudine, aut situ, aut conformatione, aut compositione, connexúque cum propinquis, sed etiam humor crystallinus æqualis ad amussim in vtroque est, item vitreus similitudine, & coloris & figuræ & consistentiæ. Voco autem consistentium partium in mollitie duritiéque diuersitatem. Non tamen membranarum & tunicarum vlla secus habens in vtroque oculo existit, sed exactè æqualis longitudo, æqualis latitudo, vel tenuitate sicut & colore, & consistentia ne paululum quidem varians. Ita etiam musculorum numerus par; item in vnoquoque ipsorum moles corporis respondet, vnà cum figura, colore & consistentia. Iam eandem inuenies iustitiam in omnibus corporis organicis partibus. Non enim solùm quæ duplices, quemadmodum oculi, aures, maxillæ, renes, testiculi, manus totæ, & crura, structuram exactè habent eandem dextræ cum sinistris, sed etiam ex iis quæ simplices esse videntur, duplices tamen reuera sunt, exempli gratia cerebrum, lingua, maxilla, pulmo, thorax, vteri fœminarum, aliáque id genus. Nam in singulis ipsis dextra sinistris parem numerum partium obtinent, pariter cum magnitudine, crassitie, tenuitate, colore, & consistentia, & natura omninò immutabilem. Sic etiam arteriarum, venarum neruorúmque genus dextras partes æquales habent sinistris, & omninò immutabiles, secundum substantiarum similitudines. Quemadmodum igitur de humanis affectibus facimus iudicium, ita etiam de diuinis facere conuenit, ac corporis nostri opificem admirari, quicunque tandem Deorum existat. Si autem quòd non videmus ipsum, ideò neque esse dicamus, non adhuc similitudinem iudicij ad artes seruabimus, in quibus non speculando compactam nauim, aut lecticam artis iudicium faciebamus, omittentes considerare vniuscuiusque partis vsum, sed in hoc summam ipsius posuimus. Ridiculum enim si quis in speculando eum qui horum aliquod construit, artificem esse censeat, etsi quasdam partes malè constructas inueniat. Ridiculum verò etsi optimè constructa naui, aut domo, aut lecto, incognito autem opifice, putare eiusmodi citra artem esse facta, vel fortuitò iudicantibus omnibus hanc quidem rarò à scopo errare, illam verò assequi rarò, inutilem autem & non artificiosam corporis nostri structuræ causam esse opinari, seruando iudicij similitudinem in artificibus qui videntur ad eos qui non videntur. Non enim extrinsecus adducere iudicium oportet ad eorum considerationem quæ omnes naturâ habemus.

A μεγέθους λέγω καὶ θέσεως, καὶ συνθέσεως, καὶ ἀριθμοῦ, καὶ σχήματος, ὅλης τε τῆς διαπλάσεως, ἅπερ καὶ κατὰ τὰς ἀρτηρίας, καὶ τὰς φλέβας, καὶ τὰ νεῦρα φαίνεται φυλαττόμενα. καὶ γὰρ ὁποῖον αὐτῶν ἕκαστον εἶναι προσήκει καὶ ὁπηλίκον, ὅπῃ τε μέρους ἐμφυόμενον τοῦ μυός, ὅπως τε καὶ κατασχιζόμενον ἀκριβῶς φυλάττεται καθ' ἕκαστον αὐτῶν, ἔτι τε πρὸς τούτοις, ἡ πάντων ἰσότης τῶν ἀριστερῶν πρὸς τὰ δεξιά, τοσούτους ἔχουσα καὶ αὐτὴ τοὺς κατὰ μέρος σκοπούς, ὅσους καὶ τὰ μόρια. καὶ ταῦτά σοι λέγω μηδέπω μνημονεύων ἑκάστου τῶν σπλάγχνων, ἢ τῶν ἄλλων μορίων, ὅσα κατὰ περιγραφὴν ἰδίαν ὁρᾶται. φαίνεται γὰρ
B κἀν τούτοις οὐκ ὀλίγος ἀριθμὸς σκοπῶν ἐν ἑκάστῳ. δυοῖν γοῦν ὀφθαλμῶν ὑπαρχόντων ἡμῖν, ἴσον ἑκατέρῳ τὸ πλῆθος τῶν μορίων ἐστί, οὔτε κατὰ σχῆμα παραλλάττον, οὔτε κατὰ τὸ μέγεθος, ἢ τὴν θέσιν, ἢ τὴν διάπλασιν, ἢ τὴν πρὸς τὰ πλησιάζοντά τε σύνθεσιν καὶ σύμφυσιν, ἀλλὰ καὶ τὸ κρυσταλλοειδὲς ὑγρὸν ἴσον ἀκριβῶς ἐν ἑκατέρῳ, καὶ τὸ ὑαλοειδὲς ὁμοιότητα, κατά τε χρόαν, καὶ σχῆμα, καὶ σύστασιν. ὀνομάζω δὲ σύστασιν, τὴν κατὰ μαλακότητα καὶ σκληρότητα διαφορὰν τῶν μορίων. οὐ μὴν οὐδὲ τῶν ὑμένων τε καὶ χιτώνων, οὐδεὶς ἑτέρως ἔχων, ἐν ἑκατέρῳ τῶν ὀφθαλμῶν ἐστιν, ἀλλ' ἀκριβῶς ἴσον μὲν τὸ μῆκος,
C ἴσον δὲ τὸ πάχος, ἢ τὴν λεπτότητα καθάπερ γε καὶ τὴν χρόαν, καὶ τὴν σύστασιν, οὐδὲ βραχὺ παραλλάττων. οὕτω δὲ καὶ ὁ τῶν μυῶν ἀριθμὸς ἴσος, ὅ τε καθ' ἕκαστον αὐτῶν ὄγκος τοῦ σώματος, ἅμα τῷ σχήματι, καὶ τῇ χρόᾳ, καὶ τῇ συστάσει. τὴν δὲ αὐτὴν εὑρήσεις δικαιοσύνην, ἐν ἅπασι τοῖς ὀργανικοῖς τοῦ σώματος μορίοις. οὐ γὰρ μόνον ὅσα διπλᾶ καθάπερ οἱ ὀφθαλμοί, καὶ τὰ ὦτα, καὶ αἱ γένυες, οἵ τε νεφροὶ καὶ οἱ ὄρχεις, καὶ αἱ χεῖρες ὅλαι, καὶ τὰ σκέλη, τὴν κατασκευὴν ἀκριβῶς ἔχει τὴν αὐτὴν τὰ δεξιὰ τοῖς ἀριστεροῖς, ἀλλὰ καὶ τῶν μονοφυῶν εἶναι δοκούντων, ὅσα διφυῆ κατ' ἀλήθειάν εἰσιν, οἷον ἐγκέφαλος, γλῶττα, γένυς, πνεύμων, θώραξ, καὶ μῆτραι τῶν γυναικῶν, ἕτερά τε τοιαῦτα.
D καθ' ἕκαστον γὰρ αὐτῶν τὰ δεξιὰ τοῖς ἀριστεροῖς, τὸν ἀριθμὸν ἴσον ἔχει τῶν μορίων, ἅμα τῷ μεγέθει, καὶ τῷ πάχει, καὶ τῇ λεπτότητι, καὶ τῇ χρόᾳ, καὶ τῇ συστάσει, καὶ τῇ φύσει πάντως ἀπαράλλακτον. οὕτω δὲ καὶ τὸ τῶν ἀρτηριῶν τε, καὶ φλεβῶν, καὶ νεύρων γένος ἴσα τὰ δεξιὰ τοῖς ἀριστεροῖς, παντοίως ἐστὶν ἀπαράλλακτά τε κατὰ τὰς τῶν οὐσιῶν ὁμοιότητας. ὥσπερ οὖν ἐπὶ τῶν ἀνθρωπείων παθῶν ποιούμεθα τὰς κρίσεις, οὕτω χρὴ κἀπὶ τῶν θείων ποιεῖσθαι, καὶ θαυμάζειν τὸν τοῦ σώματος ἡμῶν δημιουργόν, ὅστις ποτέ ἐστι θεῶν. εἰ δ' ἐκ τοῦ μὴ βλέπειν αὐ-
E τόν, οὐδ' εἶναι φήσομεν, οὐ φυλάξομεν ἔτι τὴν ὁμοιότητα, τῆς πρὸς τὰς τέχνας κρίσεως, ἐφ' ὧν οὐκ ἐν τῷ θεᾶσθαι τὸν συμπήξαντα τὴν ναῦν, ἢ τὸν σκίμποδα, τὴν κρίσιν τῆς τέχνης ἐποιούμεθα, παραλιπόντες σκοπεῖσθαι τὴν χρείαν ἑκάστου τῶν μορίων, ἀλλ' ἐν τούτῳ τὸ κῦρος αὐτῆς ἐθέμεθα. γελοῖον γὰρ εἴ τις ἐν τῷ θεάσασθαι τὸν κατασκευάζοντα τούτων τι, τεχνίτην εἶναι νομίζοι, καὶ εἰ ἔνια τῶν μερῶν εὑρίσκοι κακῶς κατεσκευασμένα. γελοῖον δὲ κἂν ἄριστα κατεσκευασμένης τῆς νεώς, ἢ τῆς οἰκίας, ἢ τῆς κλίνης. ἀγνώστου δ' ὄντος τοῦ κατασκευάσαντος, νομίζειν ἄνευ τῆς τέχνης γεγονέναι τὰ τοιαῦτα, ἢ κατὰ τύ-
F χην διακρινόντων ἁπάντων, καὶ τὴν μὲν πολλάκις ἁμαρτάνειν τοῦ σκοποῦ, τὴν δ' ἐπιτυγχάνειν ὀλιγάκις. ἀχρείαν δὲ καὶ μὴ τεχνικὴν ἡγεῖσθαι τὴν τῆς τοῦ σώματος ἡμῶν κατασκευῆς αἰτίαν εἶναι, φυλάττοντα τὴν ὁμοιότητα τῆς κρίσεως ἐπὶ τῶν ὁρατῶν τεχνιτῶν, πρὸς τοὺς μὴ ὁρωμένους. οὐ γὰρ ἔξωθεν ἐπεισάγειν προσήκει κριτήριον εἰς ἐπίσκεψιν ὧν ἅπαντες ἔχομεν φύσει,

τούτοις τοῖς κριτηρίοις χρώμενος ὁ Ἱπποκράτης, ἔγραψε τάς τε φωνάς. εὐπαίδευτος ἡ φύσις ἐοῦσα, οὐ μαθοῦσα τὰ δέοντα ποιέειν, καὶ ἐν ἄλλαις, ἄλλως. φύσιες νούσων οἱ ἰητροί. ὡσαύτως ἔχει καὶ τοῦτο. φύσις ἐξαρκέει πάντα πᾶσιν. καλεῖ δ' αὐτὴν καὶ δικαίαν ἐνίοτε, καὶ τὸν ἰατρὸν ὑπηρέτην τε καὶ μιμητὴν αὐτῆς εἶναί φησι, καὶ διὰ παντὸς ἐν τοῖς κατὰ μέρος λόγοις, ὑμνεῖ τε καὶ θαυμάζει τὴν δύναμιν αὐτῆς, ἥτις μέν ἐστιν ἡ οὐσία τῆς διαπλαττούσης τε καὶ διοικούσης ἡμᾶς φύσεως, οὐ τολμῶν ἀποφήνασθαι· τὸ δὲ δημιουργικὸν ἡμῶν αἴτιον, ὡς ἔθος ἐστὶν ἅπασιν ἀνθρώποις, ὀνομάζων, φύσιν.

His iudicij locis Hippocrates vtens, tradidit hæc verba. *Natura quum facilè erudiatur, non didicit quæ oportet facere.* Similiter habet & hoc: *Naturæ morborum medici.* Nec non & hoc; *Natura sufficiet omninò.* Vocat autem ipsam & iustam interim, & medicum ministrum imitatorémque ipsius esse dicit, ac perpetuò in particularibus sermonibus celebrat miratúrque ipsius virtutem; quæ sanè substantia existat naturæ conformantis nos & regentis, non ausus pronunciare, opificem verò nostri causam vt omnibus mos est hominibus, naturam nominans.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τοῦ διακρίνειν τὴν ὁμοιότητα τῶν εἰκότων τε, καὶ τῶν ἀναγκαίων πιθανῶν· καὶ περὶ τοῦ θεωρεῖν μὴ σφάλλεσθαι ἐκ τῆς ἀγνοήσεως τῆς διαιρέσεως.

Ἀλλὰ Πλάτων γε καὶ τὸ κατασκευάσαν ἡμᾶς αἴτιον ἀπεφήνατο, τὸν τοῦ κόσμου δημιουργὸν θεόν, τοῖς ἑαυτοῦ παισὶ κελεύσαι λόγῳ διαπλάσαι τὸ τῶν ἀνθρώπων γένος, λαβόντας μὲν παρ' αὐτοῦ τῆς ἀθανάτου ψυχῆς τὴν οὐσίαν, προσθέντας δ' ἐν αὐτῇ τὸ γεννητόν. ἀλλ' ἐκεῖνό γε χρὴ γινώσκειν ἡμᾶς, ὡς οὐκ ἔστιν ὅμοιον εἶδος ἀποδείξεώς τε, καὶ θέσεως τοῦ κατὰ πρόνοιαν θεοῦ τινος, ἢ θεῶν ἡμᾶς κατεσκευάσθαι, καὶ τοῦ γνῶναι τὴν οὐσίαν τοῦ κατασκευάσαντος, ὥσπερ οὐδὲ τῆς ψυχῆς ἡμῶν. ὅτι μὲν ἄκρας ἐστὶ σοφίας, καὶ δυνάμεως ἡ τοῦ σώματος ἡμῶν κατασκευή, δι' ὧν ὀλίγον ἔμπροσθεν εἶπον, ἐπιδείκνυται. τὰ δὲ περὶ τῆς οὐσίας τῆς ψυχῆς, καὶ τῶν διαπλασάντων ἡμᾶς θεῶν, ἔτι τε μᾶλλον ὅσα περὶ τοῦ σώματος ἡμῶν λέγεται παντὸς ὑπὸ τοῦ θειοτάτου Πλάτωνος, ἄχρι τοῦ πιθανοῦ καὶ εἰκότος ἐκτείνεται, ὡς αὐτὸς ἐδήλωσεν ἐν Τιμαίῳ, πρῶτον ἐνάρχεσθαι μέλλων τῆς φυσιολογίας, εἶτα καὶ μεταξὺ κατὰ τὴν διέξοδον λόγου, παρενθεὶς τὴν ἀπόφασιν. ἄρχεσθαι μὲν οὖν μέλλων αὐτοῦ ὁ Τίμαιος, τοῦτο γὰρ ὑπέθετο τοὺς περὶ φύσεως τῶν κατὰ τὸν κόσμον ἅπαντα λόγους διερχόμενον ὧδέ πώς φησι. ἐὰν οὖν, ὦ Σώκρατες πολλὰ πολλῶν εἰπόντων περὶ θεῶν, καὶ τῆς τοῦ παντὸς γενέσεως μὴ δυνατοὶ γινώμεθα, πάντῃ πάντως αὐτοὺς αὑτοῖς ὁμολογουμένους λόγους, καὶ ἀπηκριβωμένους ἀποδοῦναι, μὴ θαυμάσῃς, ἀλλ' ἐὰν ἄρα μηδενὸς ἧττον παρεχώμεθα, εἰκότως ἀγαπᾷν χρή, μεμνημένους ὡς ὁ λέγων, ὑμεῖς τε οἱ κριταὶ φύσιν ἀνθρωπίνην ἔχομεν, ὥστε περὶ τούτου τὸν εἰκότα μῦθον ἀποδεχομένους, πρέπει μηδὲν ἔτι πέρα ζητεῖν. οὕτω δὲ καὶ τὰ περὶ ψυχῆς αὐτῷ γεγραμμένα, τοῦ πιθανοῦ καὶ εἰκότως ἔχεσθαί φησιν, ὧδέ πως εἰπών. τὰ μὲν οὖν περὶ ψυχῆς ὅσον θνητὸν ἔχει, καὶ ὅσον θεῖον, καὶ ὅπῃ, καὶ μεθ' ὧν, καὶ δι' ἃ χωρὶς ᾠκίσθη, τὸ μὲν ἀληθὲς ὡς εἴρηται, θεοῦ ξυμφήσαντος, τότ' ἂν οὕτω μόνως διϊσχυριζοίμεθα. τό γε μὴν εἰκὸς ἡμῖν εἰρῆσθαι, καὶ νῦν ἔτι μᾶλλον ἀνασκοποῦσι διακινδυνευτέον τε φάναι καὶ πεφάσθω. ὥσπερ οὖν ταῦτα περὶ ψυχῆς εἶπεν ἄχρι τοῦ πιθανοῦ, καὶ εἰκότως ἡμῖν γιγνώσκεσθαι προειρημένα, καὶ διὰ τοῦτο κἀγὼ τολμηρῶς ἀποφήνασθαι περὶ αὐτῶν οὐ θεωρῶ, κατὰ δὲ τοὐναντίον ἔτι πλείω τὰ τῆς ψυχῆς ἐστιν εἴδη, καὶ ὅτι τριχῆ κατῴκισται, καὶ ὅτι τὸ μὲν αὐτῶν θεῖόν ἐστιν ᾧ λογιζόμεθα. τὰ δὲ λοιπὰ δύο παθητικά, τὸ μὲν ᾧ θυμούμεθα, τὸ δὲ ᾧ τῶν διὰ τοῦ σώματος ἡδονῶν ἐπιθυμοῦμεν, ὃ κἀν τοῖς φυτοῖς ἐστιν ἀποδείξεις ἔχειν φημί. καὶ μέντοι καὶ ὅτι τὸ μὲν ἐν ἐγκεφάλῳ κατῴκισται, τὸ δὲ ἐν καρδίᾳ, τὸ δ' ἐν ἥπατι.

CAPVT IX.

De similitudine verisimilium, & necessariarum probationum distinguenda; ac deceptione euitanda, quæ oritur ex diuisionis ignoratione.

VErùm Plato etiam causam quæ nos construxit, mundi opificem Deum pronunciauit, qui suis filiis iusserit humanum genus conformare, accepta ab eo immortalis animæ substantia, apposito autem in ea quod generatur. At illud nos scire conuenit, non esse similem speciem demonstrationis, & positionis eius, quòd nos ad prouidentiam alicuius Dei aut Deorum compositi simus, & illius quòd opificis substantiam cognoscamus, quemadmodum neque animæ nostræ. Quod sanè corporis nostri structura summæ sit sapientiæ & virtutis, paulò ante comprehensis ostenditur. Porrò quæ de animæ substantia, & diis qui nos conformarunt, præterea quæ de toto nostro corpore dicuntur à Platone diuinissimo, vsque ad probabile ac verisimile protenduntur, vt ipse in Timæo indicauit, primum exorsurus à physiologia, deinde etiam inter narrandum sententiam interponens. Incepturus itaque Timæus (is enim statuitur de natura mundi totam disputationem pertractare) hoc modo inquit. *Quum ergo Socrates multa de Diis mundique generatione à multis dicta sint, ne mireris obsecro si rationes de his probatissimas exactissimásque afferre non possim. Satis enim factum putare debebis, si non minus probabiles quàm quiuis alius rationes attulerim. Æquum est meminisse & me qui disseram, & vos qui iudicabitis nos homines esse, vt si probabilia dicantur, nihil vlterius requiratis.* Sic etiam de anima ab eo conscripta, probabile & verisimile haberi dicit, hunc in modum scribens. *De anima igitur quod mortale habet, & quod diuinum, & quomodo, & cum quibus, & propter quæ seorsim collocata est, re vera, vt dictum est, Deo consentiente, tunc quidem sic solùm confirmamur.* At quod probabile à nobis dictum est, etiam nunc, & postea adhuc magis considerantibus affirmare tentandum est. Itaque ita nunc dictum sit. Quemadmodum igitur hæc de anima protulit, quousque probabilia & verisimilia sunt, à nobis cognoscuntur; ac ideò audacter de ipsis pronunciare quomodo possim, non video. Contrà autem quòd plures animæ sint species, quòd triplici sede collocatæ sint, item quòd diuina ex ipsis sit qua ratiocinamur, reliquæ autem duæ affectibus obnoxiæ, hæc qua irascimur, illa qua corporis voluptates appetimus, quæ etiam in stirpibus existit, demonstrationes habere me affirmo. Quinetiam quòd alia in cerebro, alia in corde, alia in iecinore sedem obtineat.

Etenim horum demonſtrationes ſunt ſcientificæ, & de ipſis contendi in primis ſex operis huius commentariis, neque de ſubſtantia trium animæ ſpecierum elocutus quicquam, neque de immortalitate, neque omninò diſquirens vtrum proprio vocabulo duas animæ partes mortales in Timæo dixerit, an hanc ipſis appellationem indiderit, immortalibus alioqui, ſed tanquam peioribus ratiocinatrice, & in mortalibus tantùm animalibus operantibus. Nam quòd triplicem ſedem animæ ſpecies occupent; item quòd tot vires ſingulæ habeant, & tales, medicæ arti quum vtile ſit, morali quoque & ciuili dictæ philoſophiæ, meritò ab Hippocrate & nobis quæritur. Vtrum verò iraſcibilis & appetitoria immortales ſint, quemadmodum multi Platonici opinantur, an mortales, propriè in Timæo dictum eſt, quum non admodum conducat aut medicinæ, aut morali ciuilíque philoſophiæ dictæ, meritò à medicis & pleriſque philoſophorum omiſſum eſt, vt quod theoreticæ philoſophiæ proprium magis ſit, quàm practicæ. Sed quòd firmæ de his demonſtrationes non habeantur, ipſum indicaui Platonem adductis verbis in Timæo fateri: non tamen de iis quæ in quarto de Republica prodidit, dicere licet, quòd ſolùm ad probabile procedant. Sed mihi videntur ſcientificæ demonſtrationes eſſe, quum ipſe oſtendat aliud eſſe rationale, aliud iraſcibile, aliud appetitorium. Quo etiam conſtat, quod ab initio dixi, difficillimum eſſe ſimilitudines diſcernere. Quum enim ipſorum Platonicorum plerique contrario modo iis quæ Plato pronunciauit, opinati ſunt, quomodo quis in aliis philoſophis mirabitur, quòd probabile quidem, non autem verum ignorent à firmiter vero diſtinguere: quod non euenisſet, ſi nulla eſſet ſimilitudo falſis & probabilibus, cum iis quæ cum ſcientia oſtenduntur: id quod euidenter ex quarto de Republica didiceris. Nam axiomate ad demonſtrationem vſurus, quòd plures animæ noſtræ ſint partes, animum diligenter ei attendere præcipit, cognoſcens quoſdam contradicturos, ceu non veris, eò quòd nequeant à veris probabilia quidem, ſed non vera diſcernere, quòd multa ipſis inſit ſimilitudo. Inde enim & dogmatum multitudo oborta eſt, tum in medicina, tum philoſophia; quòd omnes nequeant ab iis quæ neceſſariò quibuſdam inſunt, aut ſequuntur, aut pugnant, aut aliam quandam diſpoſitionem inter ſe obtinent, diſtinguere illa quæ poſſibile dumtaxat ſortiuntur. Similitudo enim & hîc eſt pleriſque neceſſariis cum iis quæ poſſibilia quidem ſunt quantum ad intellectum pertinent, non autem re vera inſunt: imò etiam horum hîc quoque ſoli exercitati in eis pulchrè dignotionem facere putantur, ac ſola ſatis erit eis qui volunt demonſtratorij euadere, vbi ſimul natura perſpicaces ac ingenioſi fuerint. Mirari igitur iuſtum eſt deinde Platonem, qui non ſolùm methodos compendioſè expoſuerit, ſed etiam in ſingulis nos exercuerit. Sunt etenim tria capita, primum quod diuiſione & compoſitione conſtat, ſecundum quod ſequentium pugnantiúmque cognitione, poſtea tertium rerum inter ſe mutatione, in maioris & minoris, æqualis & ſimilis ratione. Reſpondet etiam huic tum eiuſdem, tum alterius cognitio, quibus communia omnibus accidunt, in qui-

A καὶ γὰρ τούτων εἰσὶν ἀποδείξεις ἐπιστημονικαί, καὶ περὶ αὐτῶν ἠγωνισάμην ἐν τοῖς πρώτοις ἓξ ὑπομνήμασι τῆσδε τῆς πραγματείας, οὔτε περὶ τῆς οὐσίας εἰπών τι τῶν τριῶν εἰδῶν τῆς ψυχῆς, οὔτε περὶ τῆς ἀθανασίας, οὐθ' ὅλως ζητήσας πότερα κυρίως ὀνομάζων, εἴρηκεν ἐν Τιμαίῳ θνητὰ τὰ δύο μέρη τῆς ψυχῆς, ἢ ταύτην αὐτοῖς ἐπήνεγκε τὴν προσηγορίαν, ἀθανάτοις οὖσιν, ὡς χείροσι τοῦ λογιστικοῦ, καὶ ὡς κατὰ τὰ θνητὰ τῶν ζώων ἐνεργοῦσι μόνον. τὸ γὰρ ὅτι τριχῇ κατῴκισται τὰ τῆς ψυχῆς εἴδη, καὶ ὅτι τοσαύτας δὲ τὰς δυνάμεις ἕκαστον αὐτῶν ἔχει, καὶ ὅτι τοιάσδε τινάς, εἴς τε τὴν ἰατρικὴν τέχνην χρήσιμον ὑπάρχει, εἴς τε τὴν B ἠθικήν τε καὶ πολιτικὴν ὀνομαζομένην φιλοσοφίαν, εὐλόγως Ἱπποκράτει τε καὶ ἡμῖν ζητεῖται. πότερον δὲ καὶ τὸ θυμοειδές, καὶ τὸ ἐπιθυμητικὸν ἀθάνατα τετύχηκεν ὄντα, καθάπερ ἡγοῦνται πολλοὶ τῶν Πλατωνικῶν, ἢ θνητὰ κυρίως εἴρηται κατὰ Τίμαιον τι μᾶλλον, οὐ πάνυ τι χρήσιμον, οὔτ' εἰς ἰατρικήν, οὔτε τὴν ἠθικήν τε καὶ πολιτικὴν φιλοσοφίαν ὀνομαζομένην ὑπάρχον, εἰκότως τοῖς ἰατροῖς καὶ πολλοῖς τῶν φιλοσόφων παραλέλειπται. τῆς θεωρητικῆς οὖν φιλοσοφίας ἐστὶ μᾶλλον, ἢ τῆς πρακτικῆς. ἀλλ' ὅτι τὸ βέβαιον αἱ περὶ τούτων ἀποδείξεις οὐκ ἔχουσιν, αὐτὸν ἐπέδειξα τὸν Πλάτωνα διὰ τῆς ἐν Τιμαίῳ ῥήσεως ὁμολο- C γοῦντα, οὐ μὴν περί γε τῶν ἐν τῷ τετάρτῳ πολιτείας ὑπ' αὐτοῦ γεγραμμένων ἐστὶν εἰπεῖν, ὡς ἄχρι τοῦ πιθανοῦ προεργμένων μόνον. ἀλλ' ἐμοὶ μὲν ἐπιστημονικαὶ δοκοῦσιν αἱ ἀποδείξεις ὑπάρχειν, ἄλλο μὲν εἶναι τὸ λογιστικόν, ἄλλο δὲ τὸ θυμοειδές, ἄλλο δὲ τὸ ἐπιθυμοῦν ἀποδεικνύντος αὐτοῦ, ᾧ δὴ καὶ δῆλον ὅπερ ἐξ ἀρχῆς λέγω, χαλεπώτατον εἶναι διακρίνειν τὰς ὁμοιότητας. ὅπου γὰρ αὐτῶν τῶν Πλατωνικῶν πολλοὶ ἐναντίως, οἷς ὁ Πλάτων ἀπεφήνατο ἐδόξασαν, πῶς ἄν τις ἐπὶ τοῖς ἄλλοις φιλοσόφοις θαυμάσειεν ἀγνοοῦσι διακρίνειν τὸ πιθανὸν μέν, οὐκ ἀληθῶς δὲ τοῦ βεβαίως ἀληθοῦς, ὅπερ οὐκ ἂν ἐγένετο, οὐδὲ μιᾶς D ὁμοιότητος οὔσης, τοῖς ψευδέσι καὶ πιθανοῖς πρὸς τὰ μετ' ἐπιστήμης δεικνύμενα. μάθοις δ' ἂν ἐναργῶς αὐτὸ τοῦτο κἀκ τοῦ τετάρτου τῆς πολιτείας. ἀξιώματι γὰρ εἰς τὴν ἀπόδειξιν μέλλων χρῆσθαι, τὰ πλείω, τὰ τῆς ψυχῆς ἡμῶν εἶναι μόρια, προσέχειν ἀκριβῶς αὐτῷ παρακελεύεται, γιγνώσκων ἐνίους ἀντεροῦντας ὡς οὐκ ἀληθῆ, διὰ τὸ μὴ δύνασθαι ἀντικρίνειν ἀπὸ τῶν ἀληθινῶν τὰ πιθανὰ μέν, οὐκ ἀληθῆ δὲ πολλῆς ἐν αὐτοῖς οὔσης ὁμοιότητος. ἐντεῦθεν γάρ τοι καὶ τὸ τῶν δογμάτων πλῆθος ἐγένετο κατ' ἰατρικήν τε καὶ φιλοσοφίαν, οὐ δυναμένων ἁπάντων διορίζειν ἀπὸ τῶν ἐξ ἀνάγκης ὑπαρχόν- E των τισίν, ἢ ἑπομένων, ἢ μαχομένων, ἢ τινα ἄλλην σχέσιν ἐχόντων πρὸς ἄλληλα, τὰ τὸ δυνατὸν ἔχοντα μόνον. ὁμοιότης γάρ ἐστι κἀνταῦθα πολλοῖς τῶν ἀναγκαίων, πρὸς τὰ δυνατὰ μὲν ὅσον ἐπὶ τῇ νοήσει, μὴ μέντοι γε ὑπάρχοντα κατὰ ἀλήθειαν. ἀλλὰ καὶ τούτων κἀνταῦθα μόνοις τοῖς γεγυμνασμένοις κατ' αὐτὰ καλῶς τὴν διάγνωσιν οἴονται πεποιῆσθαι, καὶ μόνη γ' ἀρκέσει τοῖς βουλομένοις ἀποδεικτικοῖς γενέσθαι, μετὰ τοῦ δηλονότι συνετοῖς εἶναι φύσει. θαυμάζειν οὖν δίκαιόν ἐστι, καὶ μετὰ τοῦτο τὸν Πλάτωνα, μὴ μόνον τὰς μεθόδους εἰπόντα διὰ συντόμων, ἀλλὰ καὶ γυμνάσαντα καθ' ἑκάστην. ἔστι F μὲν γὰρ τρία κεφάλαια, πρῶτον μὲν τὸ περὶ διαίρεσιν καὶ σύνθεσιν, δεύτερον δὲ τὸ περὶ τὴν τῶν ἀκολούθων τε καὶ μαχομένων γνῶσιν, ἐπ' αὐτοῖς δὲ τρίτον, τὸ κατὰ τὴν πρὸς ἄλληλα τῶν πραγμάτων μεταβολήν, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον. ἴσως τε καὶ ὁμοίως. καὶ ἀνάλογόν ἐστιν, ἥτε ταὐτοῦ καὶ ἡ ἑτέρου γνῶσις, οἷς ἅπασι κοινὰ συμβέβηκε, περὶ ἃ γε-

γυμνάσασθαι χρὴ τὸ δυνατὸν, καὶ ἀναγκαῖον, ἥτ᾽ ἐν τούτοις ὁμοιότης τε καὶ ἀνομοιότης. οἱ μὲν οὖν σκοποὶ καθ᾽ οὓς ἕκαστα τούτων ὀρθῶς ἄν τις μεταχειρίζοιτο, παντάπασιν ὀλίγοι, καὶ τὸ κατ᾽ αὐτοὺς γυμνάσιον, οὐκ ὀλίγου χρόνου δεόμενον. ἐνδείκνυται δὲ τοῦτο καὶ κατὰ τὸ τέταρτον τῆς πολιτείας ὁ Πλάτων, ἔνθα βούλεται δεῖξαι τὴν ψυχὴν ἡμῶν, οὐχ ἁπλῆν οὐδὲ μονοειδῆ κατὰ τὴν οὐσίαν, ἀλλὰ σύνθετον ἐκ τριῶν μερῶν, ὧν ἕκαστον μὲν ἴδιον ἔχει τὸ εἶδος, οὐ μίαν δὲ δύναμιν, ἀλλὰ πλείους. εἰς γὰρ τὴν ἀπόδειξιν αὐτοῦ χρῆταί τινι τῶν πρὸς νόησιν ἐναργῶν, λόγῳ τοιῷδε. δῆλον ὅτι ταὐτὸν τἀναντία ποιεῖν ἢ πάσχειν, κατὰ ταὐτόν τε καὶ πρὸς ταὐτὸν οὐκ ἐθελήσει ἅμα. τοῦτο μὲν οὖν τὸ ἀξίωμα καθ᾽ ὃ τὴν ἀπόδειξιν ἐγχειρεῖ ποιήσασθαι, γιγνώσκων δὲ μὴ παντὶ τὸν εἰρημένον εἶναι λόγον σαφῆ, ἐπάγει. αὐτὸς οὖν ὧδε ἑστάναι εἶπον, καὶ κινεῖσθαι τὸ αὐτὸ ἅμα, κατὰ τὸ αὐτὸ ἀδύνατον. οὐκ ἀρκεσθεὶς δὲ οὐδὲ τούτῳ διὰ τὸ συντόμως εἰρῆσθαι, μακρότερον αὖθις διέρχεται τὸν αὐτὸν λόγον, ὧδέ πως γράφων. ἔτι τοίνυν ἀκριβέστερον διομολογησώμεθα, μήπως προϊόντες ἀμφισβητήσωμεν. εἰ γάρ τις λέγοι ἄνθρωπον ἑστηκότα, κινοῦντα δὲ τὰς χεῖράς τε καὶ τὴν κεφαλὴν, ὅτι ὁ αὐτὸς ἕστηκε καὶ κινεῖται ἅμα, οὐκ ἂν οἶμαι ἀξιοῖμεν οὕτως λέγειν δεῖν, ἀλλ᾽ ὅτι τὸ μέν τι αὐτοῦ ἕστηκε, τὸ δὲ κινεῖται, οὐχ οὕτως; οὕτω. μετὰ δὲ τοῦτο τὸ παράδειγμα, χρησιμώτερον ἕτερον εἰς ἀντιλογίαν τοῦ προκειμένου ἀξιώματος ἐπιφέρων, ὧδέ πως γράφει. οὐκοῦν, καὶ εἰ ἔτι μᾶλλον χαριεντίζοιτο, ὁ ταῦτα λέγων κομψευόμενος ὡς οἵ γε στρόμβοι ὅλοι ἑστᾶσί τε ἅμα καὶ κινοῦνται, ὅταν ἐν τῷ αὐτῷ πήξαντες τὸ κέντρον περιφέρωνται, ἢ καὶ ἄλλο τι κύκλῳ περιϊὸν, ἐν τῇ αὐτῇ ἕδρᾳ τοῦτο δρᾷ, οὐκ ἂν ἀποδεχοίμεθα, ὡς οὐ κατὰ ταὐτὰ αὐτῶν τὰ τοιαῦτα μενόντων τε καὶ φερομένων. ἀλλὰ φαῖμεν ἂν ἔχειν αὐτὰ εὐθύ τε καὶ περιφερὲς ἐν ἑαυτοῖς, καὶ κατὰ μὲν τὸ εὐθὺ ἑστάναι, οὐδαμῇ γὰρ ἀποκλίνειν, κατὰ δὲ τὸ περιφερὲς κύκλῳ κινεῖσθαι. καὶ ὅταν δὲ τὴν ἰθυωρίαν, ἢ εἰς δεξιὰ, ἢ εἰς ἀριστερὰ, ἢ εἰς τὸ πρόσθεν, ἢ εἰς τὸ ὄπισθεν ἐγκλίνῃ ἅμα περιφερόμενόν τε, οὐδαμῇ ἑστάναι. ταῦτα προειπὼν ὁ Πλάτων, σαφέστατα συνάπτων αὐτὸς ἐφεξῆς φησιν. οὐδὲν ἄρα ἡμᾶς τῶν τοιούτων λεγομένων ἐκπλήξει, οὐδὲ μᾶλλόν τι πείσει, ὡς ποτέ τοί τι ἂν τὸ αὐτὸ ὂν ἅμα, κατὰ τὸ αὐτὸ πρὸς τὸ αὐτὸ τἀναντία πάθοι, ἢ καὶ εἴη, ἢ καὶ ποιήσειεν. ἐν τούτοις διορίζει τὰς ἐν τοῖς εἰρημένοις πράγμασιν ὁμοιότητας, ἐπιδεικνὺς ὅπως ἐνδέχεταί τινα τῶν μὴ καθορώντων ἀκριβῶς αὐτὰς, οἴεσθαι τὸν εἰρημένον ὑπ᾽ αὐτοῦ καθόλου λόγον οὐκ εἶναι διὰ παντὸς, οὐδ᾽ ἐπὶ πάντων ἀληθῆ. δύνασθαι γὰρ τἀναντία κατὰ τὸν αὐτὸν χρόνον, πρὸς τὸ αὐτὸ ποιεῖν, ἢ πάσχειν, ἐπὶ τὰ μόρια τὸν λόγον ἀνάγοντα, καθάπερ ἐπ᾽ ἀνθρώπου κινουμένου μὲν τοῖσδε τοῖς μορίοις, ἡσυχάζοντος δὲ τοῖσδε. πρόδηλον γὰρ ὡς οὐ σώζεται τὸ ταὐτὸν ἀκριβῶς ἐν τοῖς τοιούτοις. ἀλλ᾽ ἐάν τις ἐπιδεῖξαι δύναιτο τὸν δάκτυλον ἡσυχάζειν τε ἅμα καὶ κινεῖσθαι, οὗτος ἂν εἴη τὸ προειρημένον ἀξίωμα διαβεβληκώς. δείξας οὖν ὁ Πλάτων κἀνταῦθα τὴν ὁμοιότητα τοῦ βουληθέντος ἀντειπεῖν κατὰ τὸν εἰρημένον λόγον, ἐφ᾽ ἑτέραν ἀντιλογίαν πιθανωτέραν μεταβὰς, ἐπιδείκνυσι κἀκείνην, κατὰ τὸ μὴ δύνασθαι διακρίνειν τὴν ὁμοιότητα τῆς ἀνομοιότητος ἐσομένην. ἐν γὰρ τοῖς στρόμβοις δύναιτ᾽ ἄν τις λέγειν τἀναντία, μὴ περὶ ταὐτὸν σῶμα συμβαίνοντα, ὅταν ἑνὶ τόπῳ πήξαντες τὸ κέντρον περιφέρωνται. ἀλλὰ καὶ κατὰ τοῦτο τὸ παράδειγμά φησιν ὁ Πλάτων,

A bus exercere conuenit possibile & necessarium, & in his similitudinem & dissimilitudinem. Itaque scopi secundum quos singula hæc rectè aliquis aggrediatur, omninò pauci sunt, nempe in ipsis exercitatio, quæ non parum temporis requirit. Ostendit hoc etiam quarto de Republica Plato, vbi conatur animam nostram non simplicem, neque vniformem substantia, sed ex tribus partibus compositam ostendere, quæ singulæ propriam habent speciem, non vnam autem vim, sed plures. Nam ad demonstrationem ipsius quodam intellectu euidenti hoc sermone vtitur. B *Constat planè idem contraria facere seu pati secundum idem & ad idem simul non posse.* Hoc igitur axioma, quo demonstrationem facere aggreditur. Cognoscens autem non cuiuis prædictum sermonem esse manifestum, inducit. *Stare simul atque moueri secundum idem nunquam potest.* At quum non satis haberet hoc compendiosè & breuiter esse dictum, longiorem rursus eundem sermonem percenset, hoc pacto scribens. *Præterea hæc diligentiùs confirmemus, ne qua procedentibus nobis ambiguitas fortè suboriatur. Si quis enim dixerit hominem stantem quidem, mouentem verò manus & caput, eundem* C *stare simul atque moueri, haudquaquam ita dicendum censebimus, sed partem quidem eius manere, partem verò moueri, an non ita? Ita.* Post hoc exemplum vtilius alterum, ad propositi axiomatis contradictionem inferens hoc modo tradit. *Quod si artificiosiùs iste luserit, asserens turbinem trocúmque totum simul mouere, & simul stare, quando in eodem puncto centrum aculeúmque figens reuoluitur, vel aliud quicquam, dicens idem agere quum eidem affixum cardini circumfertur, nequaquam assentiemur, quòd non secundum eadem sui hæc tunc moueantur & maneant. Dicendum quippe habere ipsa rectum in se atque rotundum;* D *& secundum rectum quidem stare, quum nulla ex parte declinet; secundum verò rotundum circummoueri. Quoties autem dum quid reuoluitur, in rectum quoque deuehitur, siue ad dextram, siue ad sinistram, vel ante vel retrò, tunc nusquam permanet.* Hæc præfatus Plato manifestissimè connectens ipsis sequentia scribit. *Quare nulla ex his obiectionibus perturbabit persuadebítque, quòd idem quandoque simul secundum idem, atque ad idem, contraria sic vel agat, vel patiatur.* In his prædictarum rerum magnitudines distinguit, indicans quomodo possit aliquis qui non accuratè E ipsas inspexerit, putare sermonem generatim ab eo pronunciatum non esse perpetuò, neque in omnibus verum. Posse enim contraria eodem tempore ad idem facere aut pati, rationem ad particulas referendo, sicuti in homine, qui mouetur quidem hisce particulis, illis autem conquiescit. Manifestum nempe est idem exactè in talibus non seruari; verùm si quis ostendere queat digitum quiescere simul & moueri, hic vtique prædictum axioma calumniatus erit, subuerterítque. Proinde quum Plato hîc quoque monstrasset similitudinem eius qui velit in com- F prehenso sermone refragari ad alteram obiectionem probabiliorem progressus, ostendit illam quoque futuram ex eo quòd nequeant similitudinem à dissimilitudine discernere. Nam in turbine contraria aliquis dixerit, quæ non in ipso corpore eueniunt, quum vno modo figens centrum circumfertur. Quinetiam in hoc exemplo Plato dicit

dicit aliam turbinis partem esse quæ stat, aliam verò quæ circumfertur, quem circulum ipse appellauit. In hoc toto sermone scopum nos docuit discretionis eorum quæ sic dicuntur, in differentia moueri, & eius quòd exactè idem dicitur, & crassi, latique, & non exactè. Siquidem idem equus non potest eodem simul tempore Athenas & Corinthum adire; quemadmodum ne esse quidem eodem simul tempore Athenis & Corinthi, neque niger & albus tum esse, tum dici, vno eodémque tempore, nisi dimidia corporis ipsius pars alba fuerit, altera verò nigra; imò quòd neque alba pars si simul nigra & alba esse potest, neque nigra, pariter nigra & alba. Iuxta hunc igitur scopum in subsequentibus nos exercitans, discernit idem à diuerso, simile à dissimili. Et quum hæc ipse fecisset, ita ad verbum deinde conscribit. *Cauendum autem est, ne quis nos improuidos turbet, inferens neminem potum cupere, sed potum bonum; vel cibum, sed bonum cibum; nempe bona omnes expetunt.* Constat igitur quòd vbi statim per initia in sermone posuisset, ne quis nos improuidos turbet, ideò adiecit (improuidos) sciens versatum exercitatúmque multifariam, de singulis his considerasse oportere. Talis enim circumspecta imaginatio ab Academicis post eum nominata est; ac mirum nihil, ex multa circa rem propositam consideratione exactam magis cognitionem ipsius fieri, quandoquidem & ea quæ sensibus pernoscuntur, accuratiùs ab iis qui cotinuè ipsa vident, cognoscuntur, veluti in multis gemellis apparet, qui videntur inconsuetis quidem in nullo esse diuersi, consuetis etiam facilè admodum discernuntur: quemadmodum in axiomatis similitudines dissimilitudinésque inexercitatis improuidísque imponunt, sic etiam res quæ inquiruntur, sæpe decipiunt plurimùm propter æquiuocationes, quæ duplices sunt, vna ex similis linguæ consuetudine, altera ex ipsis linguæ proprietatibus, quemadmodum vtique de animæ partibus quæstio oborta est, ostendente quidem Platone idem non posse contraria facere aut pati in idem, & ad idem. Nam in iis quæ ab eo palàm inferuntur, hoc percensuit, eandem animæ tum speciem, tum partem nominans. Nonnulli verò idem de virtute dictum esse affirmant, & vt ipse dixit, eandem vim vno tempore ad vnam quandam rem non posse contraria facere aut pati, ne hoc quidem intelligentes, quòd facere quidem de virtute inaudire licet, pati verò non licet. Nam in verbo (facere) Plato semper nomen virtutis adferre videtur, non in verbo pati. Singula enim quæ sunt, facere aliquid virtute quam habent, posse arbitratur, non tamen & pati virtute, sed imbecillitate potiùs, quum id quod contingit, ipso validius existat, clarúmque ex toto sermone euasit quatenus à me ostensum est etiam hoc opere vbi animæ specierum memini iuxta Platonis sententiam sermonem instituens, vnum quidem ipsum dicere quodcunque subiectum sit, in quæstione peculiarem obtinens substanriam, aut accidens. Substantia verò quæ non potest contraria circa idem eodem tempore pariter facere & pati, sed & diuisionis vocabulum, dicitur sanè propriè quum totum aliquod continuum in partes secatur. Dicitur etiam se-

ἕτερον μὲν εἶναι τὸ ἑστὸς τοῦ στρόμβου, ἕτερον δὲ τὸ περιφερόμενον, ὃ δὴ κύκλον προσηγόρευσεν αὐτός. ἐν τούτῳ τῷ λόγῳ παντὶ σκοπὸν ἡμᾶς ἐδίδαξε τῆς διακρίσεως τῶν οὕτω λεγομένων ἐν διαφορᾷ κινεῖσθαι, τοῦ τε ἀκριβῶς λεγομένου ταὐτοῦ, καὶ τοῦ παχέος τε καὶ πλατέος, καὶ οὐκ ἀκριβῶς. ὁ μὲν γὰρ αὐτὸς ἵππος, οὐ δύναται κατὰ τὸν αὐτὸν ἅμα χρόνον εἰς Ἀθήνας τε καὶ Κόρινθον ἀπιέναι, καθάπερ οὐδ' εἶναι κατὰ τὸν αὐτὸν ἅμα χρόνον Ἀθήνησι καὶ ἐν Κορίνθῳ, οὐδὲ μέλας καὶ λευκὸς εἶναί τε, καὶ λέγεσθαι καθ' ἕνα χρόνον τὸν αὐτόν, εἰ μὴ τὸ μὲν ἥμισυ φέρε τοῦ σώματος λευκὸν αὐτοῦ εἴη, τὸ δ' ἕτερον αὐτοῦ μέλαν, ἀλλ' ὅτι οὔτε τὸ λευκὸν μέρος ἅμα τε λευκὸν εἶναι καὶ μέλαν, οὔτε τὸ μέλαν ἅμα μέλαν τε καὶ λευκὸν δύναται εἶναι. κατὰ τοῦτον οὖν τὸν σκοπόν, ἐπὶ πλέον ἐν τοῖς ἑξῆς γυμνάζων ἡμᾶς, διακρίνει τό τε ταὐτὸν ἀπὸ τοῦ ἑτέρου, καὶ τὸ ὅμοιον ἀπὸ τοῦ ἀνομοίου. κἄπειτα ταῦτα ἔπραξεν αὐτὸς ἐφεξῆς, κατὰ λέξιν ὧδέ πως ἔγραψε. μήτοι τις ὦν δὴ ἐγὼ ἀσκέπτοις ἡμᾶς ὄντας θορυβήσῃ, ὡς οὐδεὶς ποτοῦ ἐπιθυμεῖ, ἀλλὰ χρηστοῦ ποτοῦ, καὶ οὐ σίτου, ἀλλὰ χρηστοῦ σίτου, τὰ δ' αὐτὰ ἕκαστα αὐτοῦ ἑκάστου μόνου. εὔδηλον οὖν ὅτι προσθεὶς κατὰ τὸν λόγον εὐθὺς ἐν ἀρχῇ, μήτοι τις ὦν δὴ ἐγώ, ἀσκέπτοις ἡμᾶς ὄντας θορυβήσῃ, διὰ τοῦτο προσέθηκε τὸ ἀσκέπτοις, εἰδὼς ὅτι περὶ ἕκαστον τούτων ἐσκέφθαι χρὴ διαπειραθέντα, καὶ γυμνασάμενον πολυειδῶς. τοιαύτη γάρ τις ἡ περιοδευομένη φαντασία παρὰ τοῖς μετ' αὐτὸν Ἀκαδημαϊκοῖς ὠνομάσθη. καὶ θαυμαστὸν οὐδὲν ἐκ τῆς πολλῆς τοῦ περὶ τὸ προκείμενον πρᾶγμα σκέψεως, ἀκριβεστέραν αὐτοῦ γίγνεσθαι τὴν γνῶσιν. ὅπου γε καὶ τῶν ταῖς αἰσθήσεσι διαγιγνωσκομένων ἡ γνῶσις ἀκριβεστέρα τοῖς συνεχῶς αὐτὰ θεωμένοις γίγνεται, καθάπερ ἐπὶ πολλῶν διδύμων φαίνεται. δοκούντων τοῖς μὲν ἀήθεσιν ἀπαραλλάκτως εἶναι, τοῖς δὲ συνήθεσι, καὶ πάνυ ῥᾳδίως διακρινομένων. ὥσπερ δ' ἐπὶ τῶν ἀξιωμάτων αἱ ὁμοιότητες πλάνας, καὶ αἱ ἀνομοιότητες παρέχουσι τοῖς ἀγυμνάστοις τε καὶ ἀσκέπτοις, οὕτω καὶ περὶ τῶν ζητουμένων πραγμάτων, ἀπάτη γίγνεται πολλάκις οὐχ ἥκιστα, καὶ διὰ τὰς ὁμωνυμίας διττὰς οὔσας, ἑτέρας μὲν ἐκ τῶν ὁμογλώττων ἔθους, ἑτέρας δ' ἐξ αὐτοῦ τοῦ τῶν διαλέκτων, ὥσπερ ἀμέλει καὶ περὶ τῶν κατὰ τὴν ψυχὴν μερῶν ἡ ζήτησις γέγονεν, ἀποδεικνύντος μὲν τοῦ Πλάτωνος μὴ δύνασθαι τὸ ταὐτὸ τἀναντία ποιεῖν, ἢ πάσχειν, κατὰ ταὐτόν τε καὶ πρὸς ταὐτόν. ἐν γὰρ τοῖς ἐπιφερομένοις σαφῶς αὐτοῦ τοῦτο διῆλθεν, ὀνομάζων ταὐτὸν τὸ τῆς ψυχῆς εἶδός τε καὶ μέρος. ἔνιοι δὲ τὸ ταὐτὸν ἐπὶ δυνάμεως εἰρῆσθαί φασιν, ὡς καὶ αὐτὸς εἶπεν, τὴν αὐτὴν δύναμιν ἑνὶ χρόνῳ πρὸς ἕν τι πρᾶγμα μὴ δύνασθαι τἀναντία ποιεῖν, ἢ πάσχειν. οὐδὲ τοῦτ' ἐννοήσαντες, ὅτι τὸ μὲν ποιεῖν ἐπὶ τῆς δυνάμεως ἀκούειν ἐγχωρεῖ, τὸ πάσχειν δ' οὐκ ἐγχωρεῖ. κατὰ γὰρ τὸ δρᾶν ὁ Πλάτων ἀεὶ φαίνεται τὸ τῆς δυνάμεως ὄνομα προσφερόμενος, οὐ κατὰ τὸ πάσχειν. ἕκαστον γὰρ τῶν ὄντων δρᾶν μέν τι δύνασθαι καθ' ἣν ἔχει δύναμιν, ἡγούμενος οὐ μὴν καὶ πάσχειν κατὰ δύναμιν, ἀλλὰ καὶ κατὰ ἀσθένειαν μᾶλλον, ὅτε ἰσχυρότερον αὐτοῦ τὸ συντυγχάνον ὑπάρχει. καὶ πρόδηλον δ' ἐξ ὅλου τοῦ λόγου γέγονε, καθ' ὅτι μοι δέδεικται, καὶ διὰ τῆσδε τῆς πραγματείας, ἐν ᾗ περὶ τῶν τῆς ψυχῆς εἰδῶν ἐμνημόνευσα, κατὰ τὴν τοῦ Πλάτωνος γνώμην τὸν λόγον ποιούμενος. ἓν μὲν λέγειν αὐτό, ὅτι περ ἂν ὑποκείμενον ᾖ κατὰ τὴν ζήτησιν οὐσίαν ἰδίαν ἔχον, ἢ συμβεβηκός. οὐσία δὲ, ἥτις μὴ δύναται τἀναντία περὶ τὸ αὐτό, κατὰ τὸν αὐτὸν χρόνον ἅμα δρᾶν τε καὶ πάσχειν, ἀλλὰ διὰ τὸ τῆς διαιρέσεως ὄνομα, λέγεται μὲν κυρίως ὅταν ὅλον τι συνεχὲς ὂν τὰ μόρια τέμνηται. λέγεται δὲ

καὶ κατὰ τὴν ἀπ' αὐτοῦ μεταφορὰν, ὅταν εἰς διαφορὰς ἢ εἴδη. συγχέονταί τινες ἐν ταῖς τοιαύταις τομαῖς, ὡς οὐ δύνασθαι διακρῖναι, τὴν τῆς οὐσίας εἰς τὰ μέρη διαίρεσιν, ἀπὸ τῆς τῶν γενῶν τε καὶ διαφορῶν, καὶ εἰδῶν διαιρέσεως. ἔτι δὲ μᾶλλον, ὅτε κατὰ τὸ τρίτον σημαινόμενον οἱ διαλεκτικοὶ, διαίρεσιν ὀνομάζουσι, τὴν τῶν φωνῶν εἰς τὰ σημαινόμενα, καὶ κατ' ἄλλην, ὅταν τὰς φυσικὰς οὐσίας ἐξ ὕλης, καὶ εἴδους ἀποίους συγκεῖσθαι λέγωσιν, ὥσπερ δή γε κἀπειδὰν ἔκ τε τῆς ὑποκειμένης οὐσίας ἀποίου, καὶ τῶν συμβεβηκότων αὐτῇ. λέγουσι γὰρ ἔνιοι φιλόσοφοι, καὶ τὸ τοιοῦτον διαίρεσιν, ὥσπερ καὶ ἀνάλυσιν. οὐ μὴν τάς γε οὐσίας διαιρεῖσθαί φασιν εἰς τὰς ἐν αὐταῖς δυνάμεις, ἀλλ' ἑκάστην ἄτμητον οὖσαν, ἐνεργεῖν τι κατὰ τὰς ἐν αὐτῇ δυνάμεις. οὐδὲ γὰρ ἁπλῶς λέγουσι δύναμιν ἔχειν τινὰ τὴν οὐσίαν, ἀλλὰ προστιθέασι, ποτὲ μὲν τοῦ καίειν, ἢ ψύχειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν, ποτὲ δὲ τοῦ φαντασιοῦσθαι, καὶ λογίζεσθαι, καὶ κινεῖν ἑαυτὴν, ἤ τι τῶν ἄλλων, ὅσα τε τοιαῦτα κατὰ τὴν λογιστικὴν ψυχὴν ἐνεργοῦμεν, αὐτὴν μὲν οὖσαν μίαν. ἐχούσαν δὲ δυνάμεις πολλὰς, ἃς ἁπάσας ἐν τῇ προειρημένῃ πραγματείᾳ διῆλθον.

cundum translationem ab eo sumptam, quum in differentias aut species dissecatur. At nonnulli in huiusmodi diuisionibus confunduntur, quòd nequeant substantiæ in partes diuisionem à generum, differentiarum & specierum distinctione separare. Præterea magis quum iuxta tertium significatum dialectici diuisionem nominant, quæ vocum est in significata. Item secundum aliam, quum naturales substantias ex materia & specie qualitatis expertes componi dicunt, quemadmodum sanè etiam quum ex subiecta substantia citra qualitatem & ipsius accidentibus. Dicunt enim quidam philosophi, etiam talem diuisionem, quemadmodum etiam resolutionem: non tamen substantias in ipsarum facultates diuidi aiunt, sed vnamquamque insectilem secundum ipsius facultates aliquid efficere. Neque enim absolutè dicunt facultatem habere aliquam substantiam, sed apponunt interim calefaciendi, aut refrigerandi, aut siccandi, aut humectandi, interim imaginandi, ratiocinandi, & mouendi seipsam, aut aliud eiusmodi quæ in ratiocinatrice anima perficimus, quæ inquam anima, quum vna sit, multas habet facultates, quas vniuersas in prædicto opere commemoraui.

ΤΟΜΙΟΝ ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟΝ ΤΙΜΑΙΟΝ ΤΟΥ ΠΛΑΤΩΝΟΣ.

Η,

ΕΚ ΤΩΝ ΤΕΣΣΑΡΩΝ ΥΠΟΜΝΗΜΑΤΩΝ ΤΩΝ ΑΠ' ΑΥΤΟΥ ΕΠΙΓΕΓΡΑΜΜΕΝΩΝ,

ΠΕΡΙ ΤΩΝ ΙΑΤΡΙΚΩΣ ΕΙΡΗΜΕΝΩΝ ΕΝ ΤΩι ΤΟΥ ΠΛΑΤΩΝΟΣ ΤΙΜΑΙΩι.

GALENI FRAGMENTVM IN TIMAEVM PLATONIS.

VEL,

EX QVATVOR COMMENTARIIS QVOS IPSE INSCRIPSIT,

DE IIS QVAE MEDICE DICTA SVNT IN PLATONIS TIMÆO.

PLATO I.

De cutis & vnguium procreatione.

QVÆ verò in eo qui circum est digitos A *contextu nerui, cutis, & oßis ex tribus coaluit, arefacta, communis omnium vna dura cutis facta est; ab his quidem causis adiuuantibus fabrefacta, sed à primaria causarum causa intelligentia condita, propter ea, quæ futura sunt, effecta. Quod enim aliquando ex viris mulieres, & aliæ feræ gignendæ erant, opifices illi nostri sciebant. Et sanè etiam, quod vnguium vsu multis pecudibus ad multa opus foret, cognoscebant. Quare in hominibus statim, dum eos gignerent, vnguium generationem subfigurarunt. Hac sanè ratione, hisque causis cutim, pilos, ac vngues in extremis membris genuerunt.*

ΠΛΑΤΩΝ Α'.

Περὶ γενέσεως τοῦ δέρματός τε καὶ τῶν ὀνύχων.

Τὸ δὲ ἐν τῇ περὶ τοὺς δακτύλους καταπλοκῇ τοῦ νεύρου καὶ τοῦ δέρματος, ὀστοῦ τε συμμιχθὲν ἐκ τριῶν, ἀποξηρανθὲν, ἓν κοινὸν ξυμπάντων σκληρὸν γέγονε δέρμα· τοῖς μὲν ξυναιτίοις τούτοις δημιουργηθὲν, τῇ δ' αἰτιωτάτῃ διανοίᾳ, τῶν ἔπειτα ἐσομένων ἕνεκα εἰργασμένον. ὡς γάρ ποτε ἐξ ἀνδρῶν γυναῖκες, καὶ τἆλλα θηρία γενήσοιτο, ἠπίσταντο οἱ ξυνιστάντες ἡμᾶς. καὶ δὴ καὶ τῆς τῶν ὀνύχων χρείας, ὅτι πολλὰ τῶν θρεμμάτων, καὶ ἐπὶ πολλὰ δεήσοιντο ἤδεσαν. ὅθεν ἐν ἀνθρώποις, εὐθὺς γιγνομένοις ὑπετυπώσαντο τὴν τῶν ὀνύχων γένεσιν. τούτῳ δὴ τῷ λόγῳ, καὶ ταῖς προφάσεσι ταύταις, δέρμα, τρίχας, ὄνυχάς τε ἐπ' ἄκροις τοῖς κώλοις ἔφυσαν.

GALENVS.

* * * * * * * *

propositis partibus; cutis verò ita eorum radices complectitur, vt gingiuæ dentes; & sanè vngues subiectis venis apertè connascuntur. Quare non ex osse solo, neruóque & cute, sed etiam ex carne, venie, membranis, & ligamentis, vngues conflatos fuisse, quicunque vult, opinari potest. Sed de his, tum in aliis quibusdam, tum in tertio de dissectione Hippocratis libro, copiosiùs dictum est.

ΠΛΑΤΩΝ Β΄.

Περὶ θρέψεώς τε καὶ τῆς θρεπτικῆς δυνάμεως. καὶ τρεῖς εἶναι τὰς τῆς ψυχῆς δυνάμεις δι' ἑδρῶν, ἐνεργειῶν τε καὶ μάχης, καὶ τοῦ βοηθήματος διωρισμένας.

Ἐπεὶ δὲ πάντ' ἦν τὰ τοῦ θνητοῦ ζώου ξυμπεφυκότα μέρη καὶ μέλη, τὴν δὲ ζωὴν ἐν πυρὶ, καὶ πνεύματι ξυνέβαινεν ἐξ ἀνάγκης ἔχειν αὐτὸ, καὶ διὰ ταῦτα ὑπὸ τούτων τηκόμενον, κενούμενόν τε ἔφθινε, βοήθειαν αὐτῷ θεοὶ μηχανῶνται. τῆς γὰρ ἀνθρωπίνης ξυγγενῆ φύσεως, φύσιν ἄλλαις ἰδέαις καὶ αἰσθήσεσι κεραννύντες, ὥσθ' ἕτερον ζῶον εἶναι, φυτεύουσιν. ἃ νῦν ἥμερα δένδρα καὶ φυτὰ, καὶ σπέρματα φυτευθέντα ὑπὸ γεωργίας τιθασῶς πρὸς ἡμᾶς ἔσχε. πρὶν δ' ἦν μόνα τὰ τῶν ἀγρίων γένη, πρεσβύτερα τῶν ἡμέρων ὄντα. πᾶν γὰρ ὅτι περ ἂν μετάσχῃ τοῦ ζῆν, ζῶον μὲν ἂν ἐν δίκῃ λέγοιτο ὀρθότατα· μετέχει γε μὴν τοῦτο ὃ νῦν λέγομεν, τοῦ τρίτου ψυχῆς εἴδους, ὃ μεταξὺ φρενῶν ὀμφαλοῦ τε ἱδρῦσθαι λόγος· ᾧ δόξης μὲν λογισμοῦ τε καὶ νοῦ μέτεστι τὸ μηδὲν, αἰσθήσεως δὲ ἡδείας καὶ ἀλγεινῆς, μετὰ ἐπιθυμιῶν. πάσχον γὰρ διατελεῖ πάντα· στραφέντι δ' αὐτῷ περὶ αὑτὸ, τὴν μὲν ἔξωθεν ἀπωσαμένῳ κίνησιν, τῇ δὲ οἰκείᾳ χρησαμένῳ, τῶν αὑτοῦ τι λογίσασθαι κατιδόντι φύσιν, οὐ παραδέδωκεν ἡ γένεσις. διὸ δὴ ζῇ μὲν, ἔστι δὲ οὐχ ἕτερον ζώου· μόνιμον δὲ κατερριζωμένον πέπηγε, διὰ τὸ τῆς ὑφ' ἑαυτοῦ κινήσεως ἐστερῆσθαι.

PLATO II.

De nutritione, & facultate nutrice; ac tres esse animæ facultates sedibus, functionibus, pugna, & ope distinctas.

QVoniam autem omnia mortalis animalis membra, & partes connata erant, ipsúmque in igne, & spiritu vitam habere ex necessitate contingebat, atque ob hæc ab iis liquatum vacuatúmque deficeret, præsidium huic Dij machinantur. Quippe humanæ naturæ, cognatam quandam naturam aliis ideis ac sensibus miscentes, ita vt aliud animal sit, plantant. Talia sanè nunc sunt domesticæ arbores, & stirpes, & semina: quæ nunc ab agricultura consita, mitia erga nos sese habent; quondam verò sola erant agrestium genera, domesticis nimirum antiquiora. Quicquid igitur vitæ est particeps, iure sanè animal rectissimè appellari potest. Id autem quod nunc dicimus, tertia est particeps speciei animæ, quam inter phrenas, & vmbilicum locari sermo est; cui nulla prorsus, aut opinio, aut ratio, aut mens inest, sed sensus suauis, & tristis cum cupiditatibus coniunctus. Omnia siquidem continuè patitur. Quia verò ipsum in se ipso circa se ipsum conuertitur, externúmque auersatur motum; proprio verò vtitur, idcirco non ei concessit natura, vt suum quicquam, ac peculiare consideraret. Quamobrem viuit quidem nec est ab animali diuersum: at stabile, radicatúmque defixum est, propterea quod motu extra seipsum facto fuit orbatum.

GALENVS.

PArtes omnia ea appellantur, quæ totum complent, vel in quæ totum diuiditur; priuatim verò membra, animalium partes vocantur. Quum igitur hoc in loco Plato membra partibus opposuerit, aliam nobis significati capiendi in vtroque nomine suspicionem iniecit; ita vt quæ propriam habent circumscriptionem, altero istorum nominum indicarit, quæ verò horum ipsorum sunt partes, altero, vtro tamen alterutrum, haud dum firmiter asseuerare possumus; hoc ergo in nominibus & significatis quæstionem habet, nihil ad rerum scientiam conferens. Sed iam nos potiùs videamus, quæ de rebus ipsis disputat Plato, vbi ait, vitam nostram in igne & spiritu ex necessitate esse. Nam quum quatuor sint elementa, ex quibus singula, quæ generantur, ortum habent, ignis, terra, aqua, & aër; ex his materialiora quidem, terram & aquam; efficaciora verò præcipuéque in animalibus, ignem & spiritum esse, ab omnibus ferè concessum est. Id autem quod ab iis gubernatur corpus, multas non solùm vacuationes manifestas, sed & sensu ignotas perspirationes, & effluxiones habere est necesse. Ob hæc igitur nutrimento indiget, à quo id quod ex eius substantia digeritur, repleatur; atque huius nutrimenti causa Dei stirpes fabricarunt, quas etiam superiùs probabili ratione ab ipso animalia fuisse appellatas ostendimus. Quum enim priùs supponatur, animam esse principium motus, stirpésque principium motus in seipsis habere concedatur, animatæ illæ meritò nominabuntur. Animatum verò corpus ab omnibus vocatur animal. Quòd si etiam Aristoteles velit corpus ipsum, non ob id solùm, quoniam animatum sit meritò appellari animal, sed sibi opus esse vt sensibile addatur; ne hoc certè etiam ipso stirpes destituuntur. Ostensum enim à nobis est in commentariis de substantia facultatum naturalium stirpes facultatem eam possidere, qua tum familiares substantias, à quibus nutriuntur, tum alienas, à quibus læduntur, agnoscunt; ideóque familiares quidem attrahere, alienas verò auertere, atque propulsare. Ob id ergo, & ipse Plato stirpes peculiaris generis sensus participes esse dixit, nam & familiare & alienum agnoscunt. Hæc igitur in Platonis orationem satis abundè breuibus à me dicta sunt. Superest autem, vt eorum mentionem faciamus, qui vnam asserunt esse animæ nostræ substantiam, quæ tres facultates, rationalem, irascibilem, & concupiscibilem habeat; quum & ipse etiam Plato, tum sæpè aliàs

(vt ostensum est) tum nihilo secius, in præsenti quoq; oratione speciē animæ ipsam concupiscibilē esse dixerit, quæ haud aliam quidem in stirpibus, aliam verò in nobis, sed eandem naturam habeat; atque in iecore sedem obtinere, non in eodem profectò loco vbi irascibilis, & rationalis habitant: quod tamen rationi cōsentaneum erat, si vnius substantiæ, tres illę essent facultates, quemadmodum illi asserunt, qui cor eiusmodi esse supponunt. Iure enim illi vnam statuentes substantiam animæ, tres ipsius esse maximè generales facultates dicunt. Plato verò non eandem esse rationalis partis animæ substantiam, quæ est ipsius irascibilis, & concupiscibilis, sed inter sese diuersas asserit, ac sæpiùs quidem rationalem cum irascibili pugnare, nonnunquam verò irascibilem rationali aduersus concupiscibilem in corpore habitantem opitulari. Ipse igitur totius nostræ animæ similitudinem, atque imaginem ad fabulosa animalia reduxit; qualem sanè esse Chymæræ, Scyllæ, Cerberíque imaginem poëtæ fingunt. Nullum enim aliud, ex iis quæ in modo nunc sunt, inuenit, cui magis propriè, magísque accommodatè animam nostram assimilaret. Haud absimilis quoque, quæ ad aurigam, equósque fit comparatio, est; ab ea tamen quam in nono de Republica libro tradit, superatur, in quam animam nostram compositis animalibus, qualis esse Chymæra fabulatur, assimilari dixit. Superiùs autem eius verba, vbi hæc ipsa narrat, apposui. Maledicant igitur vt sui moris est, ridentes simul, ac scurrantes, detrahentésque sermoni nostro, quasi nos nugemur, si tres, quas demonstrauimus, dicamus esse animas. Atque in cerebro quidem neruorum, voluntariorúmque motuum, ac quinque præterea sensuum, principium esse; in iecore, sanguinis, & venarum, nutriendíque corpus, ac familiarem sibi substantiam agnoscendi; in corde, arteriarum, & innati caloris, pulsúsque, ac iræ. Plato verò hæc ipsa principia, species animarum appellat, non vnius substantiæ facultates duntaxat. Itaque quum diuersæ sint earum substantiæ, ac singularum in singulis prædictis visceribus sit habitatio, ei qui facultates tres nos habere vult, principia non animas appellare liceat. Nequaquam enim medicinæ, vel philosophiæ officiemus, si animal à tribus principiis gubernari dixerimus, quorum alterum in cerebro, in corde alterum, tertium in iecore, sedem obtineat. Sed de his satis. Quod verò in huius orationis fine scripsit, consideremus, quonam pacto de stirpibus, & de tertia animæ specie dictum sit. *Quia verò ipsa in se ipsa circa se ipsam versa fuit, externúmque repudiauit motum, proprio verò est vsa, idcirco eam huic naturam generatio non tribuit, vt perspiciendo suorum aliquid consideret.* Videtur enim mox contraria huic dicere, vbi ait, stabilem, radicatámque defixam esse, propterea quòd motu extra se ipsam facto, priuata fuerit. Verùm in priori oratione de proprio ipsius motu intelligendum est, quemadmodum etiam re vera est, in quo ex paucissimo semine incipiens, tum sursum in aërem eleuatur, tum deorsum radices protendit, atque ex terra nutrimentum trahit, ipsúmque ad extrema vsque germina asportat, omniúmque particularum incrementum longissimè protrahit; sed eo motu immobilem esse, qui ab aliquibus μεταβατικὸς transitiuus appellatur; qui dum nos situm permutamus, & ex alio loco in alium cedimus, fit. Nam secundum hunc motum ipsam stabilem radicatámque esse dixit. Atque hanc ego certè explanationem feci, Atticorum nimirum exemplarium editionem secutus. Nam quum in aliis codicibus scriptum compererim, διὰ τὸ τῆς ἐξ αὐτοῦ κινήσεως, id est, propterea quòd motu à se ipsa facto, deesse ω elementum existimaui; atque hoc modo Platonem scripsisse, διὰ τὸ τῆς ἔξω ἑαυτοῦ κινήσεως, id est, propterea quòd motu extra se ipsam facto, vt transgressorium duntaxat motum stirpibus denegauerit.

PLATO III.

Stirpes ad hominis nutritionem esse factas.

QVū igitur meliores illi, hæc omnia genera inseuissent ijs, quæ nobis sūt inferiora: cibū in corpus nostrum deduxerunt, secantes veluti in hortis riuulos, vt tanquā latice manante rigaretur.

ΠΛΑΤΩ Γ'.

Τὰ φυτὰ πρὸς τὴν τῶν ἀνθρώπων θρέψιν γεγονέναι.

ΤΑῦτα δὴ τὰ γένη φυτεύσαντες οἱ κρείττους τοῖς ἥττοσιν ἡμῖν, τροφὴν τῷ σώματι ἡμῶν διωχέτευσαν, τέμνοντες δὲ ἐν κήποις ὀχετούς, ἵν' ὥσπερ ἐκ νάματος ἐπιόντος ἄρδοιτο.

GALENVS.

STirpes ait à Deis factas fuisse nutriendi corporis nostri causa; earum nimirùm fructibus, ac partibus in nostrum ventriculum deuoratis, ac deinde in minutas portiones confractis, vt postea per venas simili distribuerentur modo, quo per riuos hortorum fit, per ipsos etenim riuos aqua fertur, atque ad propinquas in hortis partes distribuitur, tantúmque interualli hortorum cultores inter riuos faciunt, vt per id totum aqua, quæ per distributionem intermedios locos ex riuis irrigatura est, meare valeat.

PLATO IV.

De venis ac arterijs maioribus.

AC primùm quidem riuos occultos ad cutis ac carnis coalitum, duas venas, dorsales diuiserunt, sicut geminum erat corpus, in dextris nimirum, & sinistris.

ΠΛΑΤΩ Δ'.

Περὶ φλεβῶν τε καὶ μειζόνων ἀρτηριῶν.

ΚΑὶ πρῶτον μὲν ὀχετοὺς κρυφαίους ὑπὸ τὴν σύμφυσιν τοῦ δέρματος καὶ τῆς σαρκὸς δύο φλέβας ἔτεμον νωτιαίας, δίδυμον ὡς τὸ σῶμα ἐτύγχανεν, δεξιοῖς τε καὶ ἀριστεροῖς ὄν.

GALENVS.

AB hortorum exemplo riuorum appellationem ad venas transtulit. Maximarum autem venarum meminit, à quibus omnes, quæ in toto existunt corpore, oriuntur: atque ipsas dorsales appellauit, quòd per totum dorsum ab internis nimirum ipsius regionibus extendantur. Vera igitur loquitur, quum vasa quæ in dorso sunt venas appellat, quandoquidem ita etiam ab antiquis (vt superiùs dictum est) arteriæ vocabantur: haud vera autem dicit, quum duas idcirco esse venas, ait, propterea quòd geminum sit corpus. Neque enim eiusdem speciei sunt dorsi vasa, quum alterum tenuem, ac pulsu priuatam habeat tunicam; alterum pulsantem, venæque crassitudine quintuplam, vel sextuplam, quam peculiariter arteriam vocamus. Neque etiam ex iis, alterum in dextris, alterum in sinistris est partibus, sed ambo in media spina sunt: ab vtraque verò horum regione neruus vnus, alter in dextris, alter in sinistris est.

ΠΛΑΤΩΝ Ε'.

Διὰ τί αἱ μεγάλαι φλέβες τῇ ῥάχει τοῦ νώτου ἐπίκεινται.

ΤΑύτας δὲ κατῆκαν περὶ τὴν ῥάχιν καὶ τὸν γόνιμον μεταξὺ λαβόντες μυελὸν, ἵνα οὗτός τε, ὅ, τι μάλιστα θάλλοι, καὶ ἐπὶ τὰ ἄλλα εὔρους ἐντεῦθεν, ἅτ᾽ ἐπὶ κάταντες, ἡ ἐπίχυσις γιγνομένη, παρέχοι τὴν ὑδρείαν ὁμαλήν.

PLATO V.

Cur venæ magnæ spinæ dorsi incumbant.

HAs autem ad spinā demiserunt, genitalēmque medullam mediam comprehenderunt, vt & hæc quammaximè pullulet, & bene fluens hinc ad alia quasi ad decliue effusio facta, irrigationem æquabilem præbeat.

GALENVS.

GEnitalem medullam, dorsalem intelligit, quum & hæc vetus sit opinio, ita vt Hippocrates quoque eiusdem particeps fuisse videatur; censuisséque à dorsali medulla semen ad maris pudendum descendere. Pullulare verò medullam dixit, ob sanguineorum vasorum communicationem, quòd scilicet ab ipsis nutriatur. Atque ad alias corporis partes hinc ait æquabilem fieri effusionem, tanquam sanè ex magnis riuis in exiguos distributio fiat. Illud autem, quasi ad decliue, non admodum rectè dictum est: quippe sublimiores partes, quæ circa collum, & caput sunt, per venas nutriuntur. In iis igitur spinæ partibus, quæ infra septum transuersum sunt, tum vena caua, tum maxima arteria, super vertebras incumbit, quousque ad eiusdem spinæ finem in crura scissio facta fuerit; in iis verò partibus, quæ supra septum sunt, arteria quidem longissimè super vertebras exporrigitur; ipsi verò vena parua adiacet, eas duntaxat infernas thoracis partes, quæ in octo nothis costis habentur, nutriens. Reliqua autem tota spinæ pars superior, in qua, tum quatuor primæ thoracis vertebræ, tum supra has etiam ad caput vsque vniuersæ colli vertebræ sitæ sunt, nec arteriam, nec venam sibi incumbentem habet. Sed nil (vt dixi) mirum est ea, quæ ex anatome conspiciuntur ignorasse Platonem, quemadmodum etiam Homerum, qui ita cecinit.

——— Totam venam abscidit ense,
Perpetuò quæ ad ceruicem per dorsa recurrit.

ΠΛΑΤΩΝ ς'.

Περὶ τῆς τῶν φλεβῶν ἐπὶ τὴν κεφαλὴν ἀναβάσεώς τε, καὶ τοῦ εἰς τὰ κάτω ὀχετεύματος.

ΜΕτὰ δὲ ταῦτα σχίσαντες περὶ τὴν κεφαλὴν τὰς φλέβας, καὶ δι᾽ ἀλλήλων ἐναντίας πλέξαντες, διῆσαν, τὰς μὲν ἐκ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερὰ τοῦ σώματος, τὰς δ᾽ ἐκ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ κλίναντες· ὅπως δεσμὸς ἅμα τῇ κεφαλῇ πρὸς τὸ σῶμα εἴη μετὰ τοῦ δέρματος, ἐπειδὴ νεύροις οὐκ ἦν κύκλῳ κατὰ κορυφὴν διειλημμένη· καὶ δὴ τὸ τῶν αἰσθήσεων πάθος ἵν᾽ ἀφ᾽ ἑκατέρων τῶν μερῶν εἰς ἅπαν τὸ σῶμα ᾖ διαδιδόμενον.

PLATO VI.

De venarum ad caput ascensu, ac diuaricatione in inferiora.

POst hæc verò quū ad caput venas dissecuissent, ac inuicē aduersas implicuissēt, has quidē à dextris ad sinistra, illas verò à sinistris ad dextra corporis inclinādo, transmiserunt, vt capiti ad reliquū corpus vnà cū cute vinculū foret, quandoquidē caput secundū verticē à neruis in orbem nō cōprehendebatur; atq; etiā vt sensuum affectio, ab vtrisq; partibus in totum corpus distribueretur.

GALENVS.

* * opinati sunt nonnulli venas partim ex sinistris ad dextra, partim ex dextris ad sinistra, pertransire. Qui verò diligentiùs dissecant, extrema ipsarum sibi mutuò vniri asserunt; quod & in aliis etiam corporis partibus fit. Vinculum autem capitis, earum esse vnitionem existimat, vera nimirum ipsius vincula ignorans, maxima quidem, quæ in futuris sunt; exigua verò, tum membranam pericranion, id est quæ circa caluariam est, tum ipsam cutim; quæ adeo omni alia corporis cute crassior est, vt in interna ipsius parte

quædam

quædam carni similis substantia tenuis exporrigi, circáque caluariam constringi videatur. Neruum verò in capite nullum esse ait, tum quia nec voluntarios, nec copulatiuos, in capite esse sciat: tum etiam quia venarum cum neruis mutuam fieri complicationem ignoret. Quum verò dicit, vt sensuum affectio in totum corpus distribueretur; hoc etiam in loco haud intelligit sensus per neruos fieri; quod sanè etiam nonnulli (vt diximus) ex antiquis medicis ignorarunt.

PLATO VII.

De aquæductu sanguinis.

Hinc iam aquæductum eiusmodi quodam modo præparauerunt, quod faciliùs perspiciemus, si hoc prius inter nos concessum fuerit, omnia quæ ex minutioribus constituta sunt, continere maiora, quæ verò ex maioribus, minora non posse. Ignem autem præ omnibus generibus, minutissimis constare partibus; vnde per aquam, & terram, & aërem, & quæ ex eis constituuntur, permeat, ipséque à nullo contineri potest. Idem de nostro ventriculo cogitandum, qui esculenta, & poculenta cùm in ipsum ingesta fuerint, continet; spiritum verò, & ignem, qui longè tenuiorum sunt partium, quàm sit eius constitutio, continere haud potest.

ΠΛΑΤΩΝ Ζ'.

Περὶ τῆς τοῦ αἵματος ὑδραγωγίας.

Τὸ δ' ἐντεῦθεν ἤδη τὴν ὑδραγωγίαν προεσκεύασαν τρόπῳ τινὶ τοιῷδε, ὃν κατοψόμεθα ῥᾷον, προδιομολογησάμενοι τὸ τοιόνδε, ὅτι πάντα ὅσα ἐξ ἐλαττόνων συνίσταται, στέγει τὰ μείζω. τὰ δ' ἐκ μειζόνων, τὰ σμικρότερα οὐ δύναται. πῦρ δὲ πάντων γενῶν σμικρομερέστατον. ὅθεν δι' ὕδατος καὶ γῆς, ἀέρος τε, καὶ ὅσα ἐκ τούτων συνίσταται, διαχωρεῖ καὶ στέγειν οὐδὲν αὐτὸ δύναται. ταὐτὸ δὴ καὶ περὶ τῆς παρ' ἡμῖν κοιλίας διανοητέον. ὅτι σιτία μὲν καὶ ποτὰ ὅταν εἰς αὐτὴν ἐμπέσῃ, στέγει· πνεῦμα δὲ καὶ πῦρ, μικρομερέστερα ὄντα τῆς αὐτῆς ξυστάσεως, οὐ δύναται.

GALENVS.

Aquæductum sanguinis lationem per venas, nomine à prædicta similitudine ad riuum translato appellauit. Nunc verò aquæductum fieri ait, spiritu vnà cum calore per ventrẽ exeunte, ac deinde secum concisas nutrimenti particulas asportante. Caput porrò orationis breuiter simul, ac clarè mihi dictum est. Quæ verò deinceps dicuntur intellectu dictúque difficilia sunt. Ob ídque postquam eorum explanationem in singulis dictionibus fecero, in vnum deinde compendium omnia colligam.

PLATO VIII.

De distributione chyli à ventriculo ad venas.

His igitur Deus ad irrigationem à ventre ad venas traducendam abusus fuit.

ΠΛΑΤΩΝ Η'.

Περὶ τῆς τοῦ χυλοῦ ἐκ τῆς κοιλίας ἐπὶ τὰς φλέβας διανομῆς.

Τούτοις οὖν κατεχρήσατο ὁ Θεὸς εἰς τὴν ἐκ τῆς κοιλίας ἐπὶ τὰς φλέβας ὑδρείαν.

GALENVS.

His inquit præmemoratis spiritu, & igne. Ignem enim nominat calorem, qui est in corpore, appellationem ab elemento ipsum generante transferens; omne enim calidum per ignis exuperantiam tale euadit.

PLATO IX.

De piscatorum nassis.

Qui rete ex aëre, & igne, cuiusmodi nassæ sunt, contexuit.

ΠΛΑΤΩΝ Θ'.

Περὶ κύρτων τῶν ἀλιέων.

Πλέγμα ἐξ ἀέρος καὶ πυρὸς οἷοι κύρτοι, ξυνυφηνάμενος.

GALENVS.

Piscatorum nassas intelligit, quas nisi quis priùs conspexerit, ea quæ dicentur, mente consequi non poterit, explicatu difficilia quum sint, ita vt ab iis etiam, qui nassas inspexere, vix intelligi possint. Si quis maritimum domicilium habet, inspicere prius conetur piscatorum nassas. Si verò in locis solitariis montuosísque habitet, at saltem calathos omninò vidit. Vbi igitur hos in basi quidem haud esse perforatos, supernum verò osculum reseratum habere excogitarit, animum sic deinde dicendis adhibeat.

PLATO X.

De nassæ speculatione.

Quæ duplices ad introitum nassulas habeant.

ΠΛΑΤΩΝ Ι'.

Περὶ θεωρίας τοῦ κύρτου.

Διπλᾶ κατὰ τὴν εἴσοδον ἐγκύρτια ἔχοντος.

GALENVS.

EXcogitata abs te piſcatorum naſſa, quod certè eſt rete ſimplex, in ipſa quoque alteram naſſam excogitato, magnæ quidem aſſimilem, paruam tamen contineri· quod porrò eſt rete ex funibus confectum (quemadmodum etiam totum rete fit) à baſi magnæ naſſæ exporrectum, cuius ſanè retis baſis quidem illi communis exiſtat, oſculum verò non ad æqualem cum continenti naſſa altitudinem aſcendat, ſed multò deſinat inferius. Profectò ſi ſimplicem naſſulam animo excogitaris, iam faciliùs duplicem contemplari poteris; qualis enim eſt ea, quam explicui, talem, & aliam in magna naſſa contentam ſupponas. Quúmque hac mente conceperis, excogita deinde ab vtraque naſſula plexum quendam oblongum, ad oſculum vſque magnæ naſſæ extendi; ita vt piſcibus in magnam naſſam introitus bipartitò ſit ſciſſus, cum hi per vnum, alij per alterum ingrediantur. Ita enim eueniet, vt quamuis à ſeipſis mutuò diſgregati ſint piſces, in vna tamen magna naſſa contineri dicantur; quemadmodum ſanè, & alio modo, non in vna, quòd paruæ ſint naſſæ, quas ἐγκύρτια, naſſulas, appellauit.

ΠΛΑΤΩΝ ΙΑ'.

Τοῦ κύρτου μετὰ τῶν τῆς ἀναπνοῆς τε, καὶ τῆς διαπνοῆς, καὶ τῆς καταπόσεως ὀργάνων παραβολή.

ΩΝ θάτερον πάλιν διέπλεξε δίκρουν.

PLATO XI.

Naſſæ cum organis reſpirationis, tranſpirationis, & deglutitionis comparatio.

QVarum alterum rurſus bicornum pertexuit.

GALENVS.

QVarum inquit naſſularum alteram bicornem pertexuit. Communi autem vſu à Græcis lignum bicorne, δίκρουν nominatur, quod duo habeat cornua; Plato verò nunc appellationem ad alterius naſſulæ oſculum tranſtulit, vt & ſecundum hoc ipſum eam duplicem animo contemplemur. Obſcuritatem verò attulit, quum hoc haud neceſſariò, in hac ſermonis parte interpoſuerit; clarior enim foret interpretatio, ſi nos diceremus, quemadmodum duas naſſulas oratione deſcripſit, ita & oſculum in ſuperiorem extremitatem magnæ naſſæ terminari. Vult enim, vt nos excogitemus cutim, quæ extrinſecus vniuerſo corpori circumiecta eſt, externæ circunſcriptioni magnæ naſſæ comparari: quæ verò veluti naſſulæ vacuæ in ipſa continentur, eis, quæ intra cutim habentur regionibus, ei inquam quæ ſecundum ventrem, & ei quæ ſecundum thoracem eſt, aſſimilari. Duæ enim ex iis veluti tibiæ, ad oris capacitatem aſcendunt. Mihi verò in præſenti, clarioris ſermonis cauſa, excogitato nequaquam in corpore linguam contineri. Ita enim, quæ in internam oris capacitatem aſcendunt tibiæ, erunt tum ſtomachus ſeu gula ex ventre: tum aſpera vocata arteria perueniens ad pulmonem, in ea locatum cauitate, quæ alteri naſſulæ ſimilitudine reſpondet. Per hoc igitur oſculum reſpiratio fit ingrediente, & egrediente ſpiritu; per alterum verò comeſta, & bibita in ventriculum feruntur. Plurima igitur vtrarumque materiarum portio hoc pacto per os in corpus intrat. Paucam verò portionem per vtrumque oſculum, tum ſpiritus nimirum in ventrem, tum potionis in aſperam arteriam pulmonémque ſimul ingredi vult. Quum ipſe ergo (vt diximus) interpoſuerit alteram naſſularum bicornem eſſe, obſcurum ſermonem, cuíque etiam ſimul contradici poſſit, efficit. Reſpirationem enim aſperæ arteriæ bicornem eſſe dixit. Hoc autem dixit, propterea, quòd reſpiratio nobis per nares, & os fit, manducatio verò, & potio, per os ſolum. Quo in loco accuſandi cupidos contradicturos dico. Neque enim alterius duntaxat naſſulæ eſſe dicent duo illa extrema, tum quod per os peruenit; quandoquidem os, alterius etiam naſſulæ, quæ ad ventrem eſt, communis eſt terminus. Poſtquam ergo iam mente conceptum eſt, quænam in noſtro corpore magnæ naſſæ, & quæ naſſulis aſſimilari velit, ad alia deinceps eius verba accedendum eſt.

ΠΛΑΤΩΝ ΙΒ'.

Τὴν τῶν φλεβῶν τε, καὶ τῶν ἀρτηριῶν παραβολὴν τὴν τῶν κύρτων ἑτέραν εἶναι.

ΚΑὶ ἀπὸ τῶν ἐγκυρτίων δὴ διετείνατο οἷον σχοίνους κύκλῳ διὰ παντὸς πρὸς τὰ ἔσχατα τοῦ πλέγματος.

PLATO XII.

Venarum & arteriarum comparationem cum naſſulis eſſe diſsimilem.

ET ſanè à naſſulis veluti funes circulo per totum corpus ad retis extrema extendit.

GALENVS.

NOn amplius in piſcatorum naſſis reperitur, quod huic proportione reſpondeat: neque enim in naſſulis ad continentis circuli rete funis vllus peruenit, quum tota illa intercapedo vacua ſit: in nobis autem ex ventre, & ex pulmone in totum corpus ad extremos vſque fines foràs pertingunt venæ, & arteriæ, quas funibus, qui à naſſulis ad naſſam extenduntur, aſſimilat.

ΠΛΑΤΩΝ ΙΓ'.

Τὴν τῆς παραβολῆς ἀνομοιότητά τε καὶ τὴν ἀσάφειαν ἐξηγεῖται.

ΤΑ μὲν οὖν ἔνδον ἐκ πυρὸς συνεστήσατο τοῦ πλοκάνου ἅπαντα· τὰ δ' ἐγκύρτια, καὶ τὸ κῦτος, ἀεροειδῆ.

PLATO XIII.

Diſsimilitudinem comparationis & obſcuritatem explicat.

INteriora igitur ipſius tricæ omnia ex igne, naſſulas autem, & receptaculum aëri ſimilia conſtituit.

GALENVS.

GALENVS.

TRicam, πλόκανον hoc loco intelligit totum id, quod nassæ adsimile est, quandoquidem & intra ipsam etiam nassulæ sunt. Vult autem regionem ab his contentam aëri magis, quàm igni similem esse: atq; ideo sermoni de tota trica habito adiecit, nassulas, & receptaculum aëri similia esse. Nassulæ igitur tales manifestò sunt: vacua enim regio solum aërem continens, in thorace apparet. Receptaculum verò cur aëri simile dictum fuerit, non item manifestum est. Videtur enim κύτος idest receptaculum, tanquam vnum corpus, de quo sermo habeatur, significare; hoc autem cum superioribus pugnare videtur. Siquidem totum nassæ receptaculum, tum à nassulis repletur, tum ab eo etiam vniuerso quodcunque ab his in externam nassæ circunscriptionem peruenit: quò * quosdam veluti funes extensos à nobis excogitandos esse inquirat, quos arterias venásque esse diximus. Relinquitur ergo sanè, vt prædictum nassæ receptaculum, extrinsecum ipsius rete esse excogitemus; hoc enim est, quod totam nassæ substantiam constituit. Quemadmodum igitur, quod inter nassam, & nassulas erat, ab igne exuperari mente concipiebamus: ita etiam excogitari est necesse extrinsecum ipsius finem ab aëre exuperari, quod sanè est tricæ receptaculum: hoc autem in nobis vtique sit cutis, frigida existens, vt ea, quæ continentur * huic ambienti aëri continua. Ac mihi sanè videtur velle Plato circunstantem aërem, qui tricæ contiguus est, portionem quandam nassæ esse: in hócque præcipuè eius sermo obscuritatem habuisse videtur. Si enim hoc supponatur, omnia sibi mutuò in sequenti consentient oratione, ad quam accedere iam tempus est.

PLATO XIV.

Explicationis progressus.

CVmque hæc assumpsisset, animali formato, hunc in modum circumposuit.

ΠΛΑΤΩΝ ΙΔ'.

Ἐπίβασις τῆς ἐξηγήσεως.

ΚΑὶ λαβὼν αὐτὰ περιέστηκεν ἐν τῷ πλασθέντι ζῴῳ, τρόπῳ τοιῷδε.

GALENVS.

PRædicta ab ipso trica re vera quidem, ac per se ipsam non est: eius autem intelligentia per seipsam sumpta, ita postea animali accommodanda est.

PLATO XV.

Ductus aëris & excrementorum.

ALteram quidem nassularum in os traiecit; sed quum & hæc ipsa duplex sit, hanc per arterias in pulmonem, illam ab arterijs in ventrem demisit. Alteram verò partitus, vtramque ipsius partem per narium canales communem emisit; vt quando non per os iret altera, per hanc omnes eius excretiones complerentur. Reliquum verò receptaculum nassæ circa corpus, quodcunque concauum in nobis est, circumplantauit.

ΠΛΑΤΩΝ ΙΕ'.

Ὀχετὸς τοῦ ἀέρος καὶ τῶν περιττωμάτων.

ΤΟ μὲν τῶν ἐγκυρτίων, εἰς τὸ στόμα μεθῆκε· διπλοῦ δὲ ὄντος αὐτοῦ, κατὰ μὲν τὰς ἀρτηρίας εἰς τὸν πνεύμονα καθῆκε θάτερον, τὸ δ' εἰς τὴν κοιλίαν, παρὰ τὰς ἀρτηρίας· τὸ δ' ἕτερον, σχίσας τὸ μέρος ἑκάτερον, κατὰ τοὺς ὀχετοὺς τῆς ῥινὸς ἀφῆκε κοινόν. ὥσθ' ὅτε μὴ κατὰ στόμα ἴοι θάτερον, ἐκ τούτου πάντα καὶ τὰ ἐκείνου ῥεύματα ἀναπληροῦσθαι. τὸ δ' ἄλλο κύτος τοῦ κύρτου, περὶ τὸ σῶμα ὅσον κοῖλον ἡμῶν περιέφυσε.

GALENVS.

NOn hoc dicit, quòd alteram nassularum in os demisit; nam deinceps vtique dixisset, alteram verò in hanc corporis partem demisit: sed ad tricam referens dixit; vt tota eius oratio talis, vt dixi, sit. Tres cum sint tricæ, vna quidem, quæ magna nassa est; duæ verò reliquæ, quæ veluti nassulæ sunt; nassularum quidem tricam in os traiecit; sed, quum & hæc duplex sit, per arterias quidem alteram ipsarum in pulmonem, ab arteriis verò alteram in ventrem demisit. Quum verò hæ ipsæ nassulæ duæ (vt dictum est) sint, alteram, quam sanæ etiam priùs bicornem esse dixit, partitus, vtramque ipsius partem bipartitò per canales narium communem emisit. Cur igitur communem ipsam dixerit, ipse mox declarat inquiens: vt quando non per os eat altera, ex hac omnia etiam illius, fluxu repleantur. Nam respirationis nassula bicornis facta, duas spiritus vias habuit, vnam per os, alteram per nares, quæ sanè, cùm fluxionis introitus, qui per os fit, aliquo modo quieuerit, illius vicem suppleat. Hæc cùm de nassulis dixisset Plato, mox dicenda subiungit. Vocat autem ipsas radios, ἀκτῖνας ab exuperante substantia ignis.

ΠΛΑΤΩΝ Ιϛʹ.

Περὶ ἀναπνοῆς.

ΚΑὶ τὸ μὲν δὴ τοῦτο, τοτὲ μὲν εἰς τὰ ἐγκύρτια ξυρρεῖν μαλακῶς, ἅτε ἀέρα ὄντα, ἐποίησε. τοτὲ δὲ ἀναρρεῖν μὲν τὰ ἐγκύρτια, τὸ δὲ πλέγμα, ὡς ὄντος τοῦ σώματος μανοῦ, δύεσθαι εἴσω δι' αὐτοῦ, καὶ πάλιν ἔξω. τὰς δ' ἐντὸς τοῦ πυρὸς ἀκτῖνας διαδεδεμένας ἀκολουθεῖν, ἐφ' ἑκάτερα ἰόντος τοῦ ἀέρος. καὶ τοῦτο, ὥσπερ ἂν ξυνεστήκῃ τὸ θνητὸν ζῶον, μὴ διαπαύεσθαι γιγνόμενον. τούτῳ δὲ δὴ τῷ γένει, τὸν τὰς ἐπωνυμίας θέμενον, ἀναπνοὴν καὶ ἐκπνοὴν λέγομεν θέσθαι τοὔνομα. πᾶν δὲ δὴ τό, τ' ἔργον καὶ τὸ πάθος τοῦθ' ἡμῶν τῷ σώματι γέγονεν ἀρδομένῳ καὶ ἀναψυχομένῳ τρέφεσθαι καὶ ζῆν. ὁπόταν γὰρ εἴσω καὶ ἔξω, τῆς ἀναπνοῆς ἰούσης, τὸ πῦρ ἐντὸς ξυνημμένον ἕπηται, διαιωρούμενον δὲ ἀεί, διὰ τῆς κοιλίας εἰσελθὸν τὰ σιτία καὶ ποτὰ λάβοι, τήκει δή· καὶ κατὰ σμικρὰ διαιροῦν, διὰ τῶν ἐξόδων, ᾗπερ πορεύεται, διάγον, οἷον ἐκ κρήνης ἐπ' ὀχετοὺς ἐπὶ τὰς φλέβας ἀντλοῦν αὐτά, ῥεῖν ὥσπερ αὐλῶνος, διὰ τοῦ σώματος, τὰ τῶν φλεβῶν ποιεῖ ῥεύματα.

PLATO XVI.

De respiratione.

ET sanè vniuersum istud, aliàs in nassulas vt placidè conflueret, nempe quum aër sit, effecit: aliàs verò à nassulis quidem sursum fluere, per rete verò ipsum, tanquam rarum sit corpus, tum intrò mergi, tum rursus extra emergere; internos verò ignis radios extensos subsequi in vtramque partem migrante aëre: Hócque, donec mortale consistit animal fieri nunquam cessat. Huic sanè generi respirationem, & expirationem, nomen ab eo, qui cognomina posuit, fuisse positum dicimus. Omne autem, hoc opus, omnísque nostra hæc affectio, corpori, quod irrigatur, & refrigeratur, nutrimentum, & vita existit. Quando enim intrò foràsque respiratione eunte internus ignis connexus sequitur; assiduè verò diuisus, ventrem ingressus, esculenta poculentáque offendit, ea certè liquefacit: ac in minutas particulas diuidens, per exitus, per quos ipse proficiscitur, traducens veluti ex fonte in riuos, idest venas, ipsa hauriens, fluere per corpus tanquam per canalem, venarum fluenta facit.

GALENVS.

QVum in memoriam nobis suggessisset totam quidem istius corporis nassam ad ipsam cutim, quæ extrinsecus aëri continua est, terminari, vult, vt nos excogitemus ipsam in se ipsam veluti nassulas duas, aëris regiones, alteram in ventriculo, alteram in thorace habere: totum verò id, quod inter has medium est, quod sanè est corpus, extensos ignis radios obtinere; quos, rationi consentaneum est, vt nos excogitemus per arterias, & venas extendi; & has ipsas esse vias lationis ad vtraque tum ab interiori ad exterius, tum rursus ab exteriori ad interius. Duas enim esse motiones sibi mutuò contrarias toti ipsi tricæ ait, aliquando quidem à nassulis ad ambientem vsque aërem, aliquando verò ab ipso aëre ad nassulas latione facta. Quonam verò pacto motiones istæ fiant, & quid causæ sit, cur nunquam quamdiu corpus viuit, cessent, in sequentibus dicet. Verùm in præsentia totum propositum sermonem in summam redigens, motionem, quæ ad vtraque fit, duplicem tum respirationem, tum distributionem nutrimenti, facere ait Ego sanè totum id, quod ex inspiratione, & expiratione componitur, ἀναπνοὴν, respirationem, antiquos ferè omnes medicos secutus appellaui. Nam quum tres sint res, vna quidem ipsa, quæ introrsum fit latio, secunda quæ extrorsum, & tertia, quæ ex ambabus composita est, eam quidem spiritus lationem quæ introrsum fit, εἰσπνοὴν, inspirationem, nominant. quæ verò extrorsum, ἐκπνοὴν, expirationem; quod autem ex ambobus componitur, ἀναπνοὴν, respirationem, appellant. Plato verò inspirationem ipsam, respirationem nuncupauit: quam in arteriam, asperam scilicet, & ventrem fieri ait. Sed quum illa, quæ extrorsum fit spiritus latio, eam, quæ introrsum, in ea regione, quæ media inter nassulas, & magnam nassam sita est, suscipiat, secari quidem asserit cibos, & potus secundum eam, quæ introrsum fit motionem lationémque totius tricæ, simul verò in corpus asportari calore, & spiritu confractos. Hoc sanè est, quæ à medicis ἀνάδοσις, distributio, appellatur, nutrimento per venas, & per arterias in omnes corporis particulas migrante. Quid autem causæ sit, vt spiritus, & calor vltro, citróque ferantur, post hæc ipse declarat.

ΠΛΑΤΩΝ ΙΖʹ.

Διατί καὶ ὅπως γίνηται ἡ ἀναπνοή.

ΠΑλιν δὲ τὸ τῆς ἀναπνοῆς ἴδωμεν πάθος, αἷς χρώμενον αἰτίαις τοιοῦτον γέγονεν οἷόν περ τανῦν ἐστιν. ὧδ' οὖν, ἐπειδὴ κενὸν οὐδέν ἐστιν εἰς ὃ τῶν φερομένων δύναιτ' ἂν εἰσελθεῖν τι, τὸ δὲ πνεῦμα φέρεται παρ' ἡμῶν ἔξω, τὸ μετὰ τοῦτο ἤδη παντὶ δῆλον, ὡς οὐκ εἰς κενόν, ἀλλὰ τὸ πλησίον ἐκ τῆς ἕδρας ὠθεῖ. τὸ δ' ὠθούμενον ἐξελαύνει τὸ πλησίον

PLATO XVII.

Qua causa & quomodo fiat respiratio.

SEd rursus inspiciamus, quibus causis respirationis affectio in hunc modum, qualis nunc est, facta fuerit, hoc sanè pacto Quum vacuum nullum sit, in quod quippiã ex ijs, quæ feruntur, possit ingredi, spiritus autẽ e nobis extra feratur, omnibus iã posthac perspicuũ est, eum non in vacuum ferri, sed proximum sibi è sua sede pellere; idque quod pellitur, proximum etiam sibi extrudere.

trudere. Atque secundum hanc necessitatem quicquid in eam sedem, vnde spiritus exijt, circumtruditur, illuc ingrediens ipsámque replens, spiritum comitari; totúmque hoc instar rotæ, quæ circumagatur, fieri, propterea, quòd vacuum nullum est. Quare cum pectus pulmóque extra spiritum emiserint, rursus replentur ab aëre corpus ambiente, qui intrò per raras carnes mergitur, & circumtruditur, rursus verò aër reuertens, ac per corpus foras exiens, intrò respirationem per oris, ac narium transitum circumpellit.

ἀεί. καὶ κατὰ ταύτην τὴν ἀνάγκην πᾶν περιελαυνόμενον εἰς τὴν ἕδραν, ὅθεν ἐξῆλθε τὸ πνεῦμα, εἰσιὸν ἐκεῖσε, καὶ ἀναπληροῦν αὐτὴν, ξυνέπεται τῷ πνεύματι. καὶ τοῦτο ἅμα πᾶν οἷον τροχοῦ περιαγομένου γίγνεται, διὰ τὸ κενὸν μηδὲν εἶναι. διὸ δὴ τὸ τῶν στηθῶν καὶ τὸ τοῦ πνεύμονος ἔξω μεθιὲν τὸ πνεῦμα, πάλιν ὑπὸ τοῦ περὶ τὸ σῶμα ἀέρος, εἴσω διὰ μανῶν τῶν σαρκῶν δυομένου καὶ περιελαυνομένου, γίγνεται πλῆρες. αὖθις δὲ ἀποτρεπόμενος ὁ ἀὴρ, καὶ διὰ τοῦ σώματος ἔξω ἰὼν, εἴσω τὴν ἀναπνοὴν περιωθεῖ κατὰ τὴν τοῦ στόματος, καὶ τὴν τῶν μυκτήρων δίοδον.

GALENVS.

NEc in hac oratione Plato primam respirationis causam attulit: quandoquidem, postquam hanc absoluit, aliam deinceps subsequentem inchoat, in hunc sanè modum. Causa verò principij horum hæc statuenda est, &c. Quid igitur est id, quod in presenti oratione dixit? Ipsum profectò dogma circumpulsionis, quæ grecè περίωσις nominatur, per quam vult respirationem perspirationémque fieri. Ita autem nos appellamus, respirationem quidem, siue ἀναπνοὴν, vt diximus, quod ex inspiratione, & expiratione componitur, quando per os ambo fiunt; perspirationem verò, siue διαπνοὴν, quando per totum corpus. Hæc autem vtraque per circumpulsionem vult fieri, hoc pacto. Cum per os expiramus, accipere ait, vt qui ex nassulis extra fertur aër, externum aërem per cutim solam circumpellat: hic autem ad corporis profundum feratur, locum aëris extra per expirationem migrantis replens. Quum verò rursus aër in externam lationem, quæ per cutim fit, impetum facit, tunc accidere ait, vt à calore, & spiritu circumpulsus rursus externus aër, per os intra corpus feratur. Quæ sanè res (vt diximus) inspiratio magis propriè, quàm respiratio, à medicis appellatur. Hanc autem circumpulsionem fieri ait Plato ob vacui necessitatem, id est, ne vllus locus vacuus euadat; ob ídque, cùm aliquid vacuatur, quod continuum est, sequitur, illius locum replens: quod Erasistratus τὴν πρὸς τὸ κενούμενον ἀκολουθίαν, consecutionem ad id quod vacuatur, nominare solet.

PLATO XVIII.

Causa finalis respirationis describitur.

CAusa verò principij horum hæc statuenda est. Omne animal omninò in sui ipsius sanguine venisq; calorē, veluti in se ipso fontem quendam ignis existentē, habet; quod sanè reti nassæ assimilatū, per mediū extensum, totum ex igne contextū est: reliqua verò, quæcunq; extrinsecus sunt, ex aëre. Calidū sanè secundum naturam in suam regionem foras ad id, quod sibi cognatū, migrare est faciendum. Quum verò duo sint exitus, alter per corpus extra, alter per os, ac nares, quando in alterā partem impetum fecerit, id, quod in altera parte est, circūpellit; quod verò circumpulsum est, in ignem incidens calefit; quod exit, refrigeratur. Quū verò mutatur calor, & quæ ad alterum exitum sunt, calidiora fiunt, rursus quod illud vergit, calidius multò redditū, ad suam ipsius naturā migrans, id, quod in altera parte est, circumpellit; id autē eadem patiens eadémq; retribuens semper, circulo ita huc illúcq; fluctuans, ab vtrisq; elaboratum, respirationis, & expirationis generationem præbet.*

ΠΛΑΤΩΝ ΙΗ'.

Οὗ ἕνεκα ἡ ἀναπνοὴ, ἀναγράφεται.

ΤΗν δὲ αἰτίαν τῆς ἀρχῆς αὐτῶν θετέον τήνδε. πᾶν ζῶον αὐτοῦ πάντως περὶ τὸ αἷμα καὶ τὰς φλέβας θερμότητα ἔχει, οἷον ἐν αὐτῷ πηγήν τινα ἐνοῦσαν πυρός. ὃ δὴ καὶ προσῃκάζομεν τῷ τοῦ κύρτου πλέγματι κατὰ μέσον διατεταμένον ἐκ πυρὸς πεπλέχθαι πᾶν. τὰ δὲ ἄλλα ὅσα ἔξωθεν, ἀέρος. τὸ θερμὸν δὴ κατὰ φύσιν εἰς τὴν αὐτοῦ χώραν ἔξω πρὸς τὸ ξυγγενὲς ὁμολογητέον ἰέναι. δυοῖν δὲ ταῖν διεξόδοιν οὔσαιν, τῆς μὲν, κατὰ τὸ σῶμα ἔξω, τῆς δὲ αὖ κατὰ τὸ στόμα καὶ τὰς ῥῖνας, ὅταν μὲν ἐπὶ θάτερα ὁρμήσῃ, θάτερα περιωθεῖ. τὸ δὲ περιωσθὲν, εἰς τὸ πῦρ ἐμπῖπτον, θερμαίνεται, τὸ δ᾽ ἐξιὸν, ψύχεται. μεταβαλλούσης δὲ τῆς θερμότητος, καὶ τῶν κατὰ τὴν ἑτέραν ἔξοδον θερμοτέρων γιγνομένων, πάλιν ἐκείνῃ ῥέπον αὖ τὸ θερμότερον μᾶλλον, πρὸς τὴν αὐτοῦ φύσιν φερόμενον, περιωθεῖ τὸ κατὰ θάτερα. τὸ δὲ τὰ αὐτὰ πάσχον καὶ τὰ αὐτὰ ἀνταποδιδὸν ἀεὶ, κύκλῳ οὕτω σαλευόμενον, ἔνθα καὶ ἔνθα ἀπειργασμένον ὑπ᾽ ἀμφοτέρων, τὴν ἀναπνοὴν καὶ ἐκπνοὴν γίγνεσθαι παρέχεται.

GALENVS.

APertè nunc indicauit regionem, quæ in profundo est, in qua ait esse veluti nassam, quam fontem quendam ignis nominauit. Hunc igitur calorem sursum ad id, quod sibi cognatum est, recurrere vult. Si igitur per oris exitum caloris impetus migrare præuertit, calidum tunc internis cauitatibus aëri similibus

incidens, simul quidem secare, ac frangere ea, quæ in ipsis cauitatibus sunt, simul verò extrinsecum quoque aërem secum trahere ait: sicque vsu venire, vt id, quod circumpulsum est, in calidum, quem sanè ignem appellauit, incidens, calefiat, quod verò exit, refrigeretur; túncque rursus sequi, vt, quod calefactum est, ad sibi cognatum per externam superficiem recurrat; hócque rursus consequatur is, qui in internis cauitatibus est aër, quem mox sequatur is, qui vsque ad os est, quem rursus externus consequatur ab exeunte circumpulsus, propterea, quòd nulla sit vacua regio, quæ id, quod à corpore extra fertur, suscipiat; & in hunc modum rursus pulsus propinquus aër, ipse quoque rursus continuum pellat, ac ille itidem eum, qui post ipsum est, quousque tandem in hac circumpulsione rursus in id, quod ex corpore vacuatur, aër ipsum replens aduenerit. Eiusmodi igitur motio non exquisitus fit circulus, qui ad eadem omninò circumfertur, sed, vt ipse dixit, ἔνθα καὶ ἔνθα, id est huc, & illuc. In hócque Platonis opinio ab Academicorum opinione, non quemadmodum Erasistratus dicebat, differt. Volunt enim Academici, vt per exquisitum circulum perpetuò aër ad eadem, ac simili modo circumferatur; Plato verò non per circulum vult, sed per duos, vt quispiam dicat, semicirculos, qui contrario inter se motu moueantur.

ΠΛΑΤΩΝ ΙΘʹ.

Πλάτων τὴν περίωσιν, Ἱπποκράτης δὲ τὴν ὁλκὴν τίθεται τὴν τῆς ἀναπνοῆς τε καὶ τῶν ἄλλων ὁμοίων αἰτίαν.

ΚΑὶ δὴ καὶ τὰ τῶν περὶ τὰς ἰατρικὰς σικύας παθημάτων αἴτια, καὶ τὰ τῆς πόσεως τά τε τῶν ῥιπτουμένων, ὅσα ἀφεθέντα μετέωρα, καὶ ὅσα ἐπὶ γῆς φέρεται, ταύτῃ διωκτέον, καὶ ὅσοι φθόγγοι ταχεῖς καὶ βραδεῖς, ὀξεῖς τε καὶ βαρεῖς φαίνονται. τοτὲ μὲν ἀνάρμοστοι φερόμενοι, δι' ἀνομοιότητα τῆς ἐν ἡμῖν ὑπ' αὐτῶν κινήσεως. τοτὲ δὲ, ξύμφωνοι, δι' ὁμοιότητα. τὰς γὰρ τῶν προτέρων καὶ θαττόνων οἱ βραδύτεροι κινήσεις ἀποπαυομένας, ἤδη τε εἰς ὅμοιον ἐληλυθυίας, αἷς ὕστερον αὐτοὶ προσφερόμενοι κινοῦσιν ἐκείνας, καταλαμβάνουσι. καταλαμβάνοντες δὲ, οὐκ ἄλλην ἐπεμβάλλοντες ἀνετάραξαν κίνησιν, ἀλλ' ἀρχὴν βραδυτέρας φορᾶς, κατὰ τὴν τῆς θάττονος. ἀποληγούσης δὲ ὁμοιότητα προσάψαντες. μίαν ἐξ ὀξείας καὶ βαρείας συνεκεράσαντο πάθην. ὅθεν ἡδονὴν μὲν τοῖς ἄφροσιν, εὐφροσύνην δὲ τοῖς ἔμφροσι, διὰ τὴν τῆς θείας ἁρμονίας. μίμησιν, ἐν θνηταῖς γενομένην φοραῖς παρέσχον. καὶ δὴ καὶ τὰ τῶν ὑδάτων πάντα ῥεύματα, ἔτι δὲ τῶν κεραυνῶν πτώματα, καὶ τὰ θαυμαζόμενα ἠλέκτρων περὶ τῆς ἕλξεως καὶ τῶν Ἡρακλείων λίθων. πάντων τούτων ὁλκὴ μὲν οὐκ ἔστιν οὐδενί ποτε. τὸ δὲ κενὸν εἶναι μηδέν, περιωθεῖν τε αὐτὰ ταῦτα εἰς ἄλληλα, τό, τε διακρινόμενα, καὶ συγκρινόμενα πρὸς τὴν αὐτῶν διαμειβόμενα ἕδραν ἕκαστα ἰέναι πάντα, τούτοις τοῖς παθήμασι πρὸς ἄλληλα συμπλεχθεῖσι, τεθαυματουργημένα τῷ κατὰ τρόπον ζητοῦντι φανήσεται.

PLATO XIX.

Plato propulsionem, Hippocrates verò attractionem constituit respirationis & aliorum similium causam.

QVin etiam causæ affectionum, quæ ob cucurbitulas medicas fiunt, atque etiam potiones, & eorum insuper, quæ iaciuntur, siue emittantur sublimia, siue deferantur humi, hoc vtiq; modo tractandæ sunt: soni præterea, quicunque veloces, & tardi, acuti, & graues videntur, aliàs dissoni propter motionis, quæ in nobis ab ipsis fit, dissimilitudinē, aliàs consoni propter similitudinem. Priorum enim velociorúmq; motiones cessantes, iámq; ad simile progressas, tardiores ipsi soni illis deinceps sese offerentes, illásq; mouentes, comprehendunt: comprehendentes verò, non aliam quidem motionem iniiciendo perturbant, sed tardioris lationis initium secundum principium velocioris inducunt. Dum verò desinentis motionis similitudinem accommodant, vnam ex acuta, & graui affectionem contemperant. Vnde insipientibus voluptatem, sapientibus gaudium, propter diuinæ harmoniæ imitationem in mortalibus lationibus factam tribuunt. Eadem ratio est de omnibus aquarum fluentis, de fulminum casu, de admirabili illo electri attractu, herculeorúmque lapidum. Horum enim omnium nulli sanè attractio vnquam est. Sed, quum vacuum nullum sit, & hæc se se mutuò circumpellant, concretáq; & discreta in suam sedem singula transeuntia migrent, diligenti harum rerum inuestigatori ex mutuis affectionibus complicatis omnia admirabiliter fabricata esse videbuntur.

GALENVS.

HAud scio, quid Platoni visum fuerit, vt circumpulsionis opinionem potius, quàm attractionis, eligeret, in hoc solo ferè ab Hippocrate discrepans. Nam, quòd respiratio, siue ea opus, siue affectio appellanda sit, non per circumpulsionem fiat, Erasistratus Hestiæi opinionem redarguens, ostendit. Quòd verò attractio inter naturales facultates maximè præcipua sit, tum in tractatione de facultatibus naturalibus in primo statim libro ostensum est, tum etiam apertè ante, quàm longioribus verbis demonstretur, apparet. Siquis enim tibiam, vel arundinem vtrinque perforatam in aquam demittens, ore aërem attraxerit, aqua succedet, nulla alia causa actionem quàm quæ per attractionem fit, præcedente. Nostrum igitur est, quotiescunque voluerimus, labris arundini circumiectis, quod in ea continetur, ad nosmet ipsos trahere. Quòd si hoc nostrum opus non est, haudquaquam principium motionis ex nobis habebit. Sed, & ipsum etiam cor, quamuis ex animali extractum fuerit, motionem diutius tum in contractione, tum in dilatatione seruare conspicitur. Quemadmodum igitur in contractione cor id, quod in se ipso continetur, apertè exprimit, ita quoque in dilatatione, quod repleturum est id, quod eo vacuatum fuit, attrahit.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΥΟΥΜΕΝΩΝ ΔΙΑΠΛΑΣΕΩΣ.

GALENI DE FOETVVM FORMATIONE LIBELLVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ἀποδείκνυσι τὸν ἀριθμόν τε, καὶ τὴν τῶν ἑκάστου μορίων τάξιν, οἷς τὸ κυούμενον ἀποτελεῖται· καὶ ἔτι ζητεῖ, τί περὶ τῆς διαπλαστικῆς αἰτίας, σφαλμάτων τῶν φιλοσόφων ἀναβαλλομένων, νομιστέον.

ARGVMENTVM LIBRI.

Declarat numerum, & ordinem singularum partium, quibus fœtus absoluitur; ac etiamnum inuestigat, quid de causa formatrice, omissis philosophorum erroribus, sentiendum.

CAPVT PRIMVM.

Ratio, cur Philosophi aberrarint in formatione fœtuum describenda, & quid de ea Hippocrates scripserit.

De fœtuum formatione scribere equidem aggressi sunt etiam Philosophi, nullam eorum quæ dicunt confirmationem ex dissectione adhibentes. Ac mirum nihil est, si à vero ipsi aberrent & inter se dissentiant. Quum enim ij quoque qui diligenter corpora dissecuerunt, nonnulla ignorarint; multò certè magis illos, qui suis ipsorum opinionibus sine ijs quæ ex dissectione apparent, crediderunt, errasse est verisimile. Hippocrates autem primus omnium quos nouimus, verè de fœtuum formatione conscripsit; qui non probabilibus opinionibus, sed dignotionibus sensui expositis summam rei de qua agitur, credidit, atque his non paucis, vt nonnulli solent, qui quum semel aut bis aliquid sunt conspicati, statim de eo in vniuersum pronunciare non dubitant: id quod nunc quidam medicus fecit, qui quum semel abortiuum fœtum duorum & triginta dierum manifesta iam formationis lineamenta habere vidisset, id quasi in omnibus fœtibus ita fieret, affirmare est ausus, ne Hippocratis quidem scriptis, nedum aliorum qui de his memoriæ prodiderunt, perlectis. Non enim fœtibus, neque manifestæ conformationis, neque motionis, neque editionis in lucem vnus definitus est terminus; sed ita

ΚΕΦΑΛΑΙΟΝ Α'.

Διὰ τί οἱ φιλόσοφοι ἐν τῇ τῶν κυουμένων διαπλάσει ἥμαρτον; καὶ τί περὶ αὐτῆς ἔγραψεν ὁ Ἱπποκράτης.

Περὶ τῆς τῶν κυουμένων διαπλάσεως, ἐπεχείρησαν μέν τοι καὶ φιλόσοφοι γράφειν, μηδεμίαν ἀφορμὴν, ὧν λέγουσιν, ἐξ ἀνατομῆς περιεχόμενοι. καὶ θαυμαστόν γε οὐδὲν ἐστιν ἁμαρτεῖν τῆς ἀληθείας αὐτοὺς, διαφωνῆσαί τε πρὸς ἀλλήλους. ὅπου γὰρ τοῖς ἀνατεμοῦσιν ἐπιμελῶς ἠγνοήθη τινὰ, πολὺ δήπου μᾶλλον εἰκὸς ἦν ἁμαρτεῖν, ὅσοι ταῖς ἑαυτῶν ὑπονοίαις ἐπίστευσαν, ἄνευ τῶν ἐξ ἀνατομῆς φαινομένων. Ἱπποκράτης δὲ πρῶτος, ὧν ἴσμεν, ἔγραψέ τι περὶ διαπλάσεως ἐμβρύων ἀληθῶς, οὐ λογικαῖς ὑπονοίαις τὴν ἀκολουθίαν τῆς ζητήσεως ἐπιτρέψας, ἀλλ' αἰσθηταῖς διαγνώσεσιν, οὐδ' οὕτω οὐδὲ ταύταις ὀλίγαις, ὥσπερ ἔνιοι καθολικὰς ἀποφάσεις ἐκ τῶν ἅπαξ ἢ δὶς ὀφθέντων, ποιησάμενοι. καὶ νῦν γοῦν τις ἰατρὸς θεασάμενος, ἐκτρωθὲν ἔμβρυον ἡμερῶν τριάκοντα καὶ δυοῖν, ἔχον ἤδη σαφῆ τὴν τῆς διαπλάσεως ὑπογραφὴν, ὡς ἐπὶ πάντων, ἐμβρύων οὕτω γιγνόμενον ἀπεφήνατο, μὴ δὲ τὰ πρὸς Ἱπποκράτους εἰρημένα, μή τί γε δὴ τῶν ἄλλων, ὅσοι περὶ τούτων ἱστόρησαν, ἀνεγνωκώς. οὐ γὰρ ἀποτετμημένος εἷς ὅρος ἐστὶν τοῖς ἐμβρύοις, οὔτε τῆς σαφοῦς διαπλάσεως, οὔτε τῆς κινήσεως, οὔτε τῆς ἀποκυήσεως, ἀλλ' ὡς Ἱππο-

κράτει τε γέγραπται, καὶ τοῖς ἀξιοπιστοτάτοις τοῖς μετ᾽ αὐτὸν, ἅπερ ἔχει τὸ σύμπτωμα. ἑκταίαν γονὴν ἐμπεσοῦσαν ἰδὼν ὁ γράψας τὸ περὶ φύσιος παιδίου βιβλίον, εἴτ᾽ αὐτὸς Ἱπποκράτης ἐστὶν, εἴτε ὁ μαθητὴς αὐτοῦ Πόλυβος, ἀκριβῶς τε ἅμα καὶ σαφῶς διηγήσατο κατὰ τήνδε τὴν ῥῆσιν. Καὶ μὴν ἓξ ἡμέρας μείνασαν ἐν τῇσι μήτρῃσι γονὴν, καὶ ἔξω πεσοῦσαν, αὐτὸς τε εἶδον, καὶ ὁκοίη μοι ἐφαίνετο ἐν τῇ γνώμῃ τότε, ἀπ᾽ ἐκείνων τὰ λοιπὰ τεκμήρια ποιέομαι. ὡς δὲ εἶδον τὴν γονὴν ἑκταίην οὖσαν, ἐγὼ διηγήσομαι. γυναικὸς οἰκέτις μουσουργὸς ἦν πολύτιμος, παρ᾽ ἄνδρας φοιτῶσα, ἣν οὐκ ἔδει λαβεῖν ἐν γαστρὶ, ὅκως μὴ ἀτιμοτέρη εἴη. ἠκηκόει δὲ ἡ μουσουργὸς, οἷα αἱ γυναῖκες πρὸς ἀλλήλας λέγουσιν, ὅτ᾽ ἂν γυνὴ μέλλῃ λήψεσθαι ἐν γαστρὶ, οὐκ ἐξέρχεται ἡ γονὴ, ἀλλ᾽ ἐμμένει. ταῦτα ἀκούσασα, ξυνῆκε, καὶ τοῦτ᾽ ἐφύλασσεν ἀεί. καὶ ὡς ᾔσθετο οὐκ ἐξιοῦσαν τὴν γονὴν, καὶ ἔφρασε τῇ δεσποίνῃ, καὶ ὁ λόγος ἦλθεν πρὸς ἐμέ. καὶ ἐγὼ ἀκούσας, ἐκέλευσα μὴν αὐτὴν πρὸς τὴν γῆν πηδῆσαι, καὶ ἐπεὶ ἑπτάκις ἐπεπήδητο, ἡ γονὴ κατερρύη ἐπὶ τὴν γῆν, καὶ ψόφος ἐγένετο, κἀκείνη ἐθεᾶτο, καὶ ἐθαύμαζεν. ὁκοίη δ᾽ ἦν, ἐγὼ ἐρέω, οἷον εἴ τις ὠοῦ ὠμοῦ τὸ ἔξω λεπύριον περιέλοι, ἐν δὲ τῷ ἔνδον ὑμένι, τὸ ἔσω ὑγρὸν διαφαίνοιτο. τρόπος μέν τις ἦν τοιοῦτος, ἅλις εἰπεῖν, ἦν δὲ ἐρυθρὸν καὶ στρογγύλον. ἐν δὲ τῷ ὑμένι ἐφαίνοντο ἐνεοῦσαι τινες ἶνες λευκαὶ καὶ παχεῖαι, εἰλημμέναι ξὺν ἰχῶρι παχεῖ καὶ ἐρυθρῷ, καὶ ἀμφὶ τὸν ὑμένα ἔξωθεν αἱμάλωπες, κατὰ δὲ τὸ μέσον ἀπεῖχε λεπτόν, ὅ,τι μοι ἐδόκει εἶναι ὀμφαλὸς, καὶ ἐκείνῳ τὴν πνοὴν, καὶ ἔξω καὶ ἔσω ποιέεσθαι τὸ πρῶτον, καὶ ὁ ὑμὴν ἐξ ἐκείνου ἐτέτατο πᾶς, ὁ περιέχων τὴν γονήν.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ τῆς τῶν μορίων τῶν ἔξω τοῦ κυουμένου διαπλάσεώς τε, καὶ τῶν κατ᾽ αὐτὸ τὸ κυούμενον ἰδίων.

ΕΝ τούτῳ τῷ λόγῳ τὸν μὲν περιέχοντα τὴν γονὴν ὑμένα, τὸ καλούμενον χορίον ἦν. τὸ δὲ τὰς λευκὰς καὶ παχείας ἶνας ἔχον ἐν ἑαυτῷ ξὺν ἰχῶρι παχεῖ καὶ ἐρυθρῷ, φλεβῶν καὶ ἀρτηριῶν ὑπογραφὴν τῆς γενέσεως ἡγητέον ὑπάρχειν. αὐξανομένου γοῦν τὸ κύημα διὰ παντὸς ὁρᾶται περιεχόμενον ὑπὸ τοῦ χορίου, μεστοῦ φλεβῶν τε καὶ ἀρτηριῶν ὄντος. οὐδὲ γὰρ ἄλλο τι παρὰ ταῦτα τὰ τρία τὴν οὐσίαν αὐτοῦ συνίστησιν, ἀλλ᾽ εἰσὶ πάμπολλαι φλέβες καὶ ἀρτηρίαι, πλησίον ἀλλήλων ἐκτεταμέναι, περιλαμβανόμεναί τε καὶ συναπτόμεναι συνεχεῖ σώματι λεπτῷ καὶ ὑμενώδει. διαιρουμένων δὲ τῶν κυούντων ζώων, ὅσα μὴ πόρρω τῆς ἀνθρωπίνης ἐστὶ φύσεως, οἷον αἰγῶν, καὶ προβάτων, καὶ ὑῶν, βοῶν τε, καὶ ἵππων, καὶ ὄνων, φαίνεται τὸ χορίον τοῦτο συμπεφυκὸς τῇ μήτρᾳ τοῦ κυοῦντος ζώου, κατὰ τὰς ἀρτηρίας τε καὶ φλέβας. ἡ δ᾽ ἀρχὴ τῆς γενέσεως τῶν ἀγγείων τούτων ἐστὶν ἐκ τῶν κατὰ τὰς μήτρας ἀρτηριῶν, καὶ φλεβῶν, ὧν εἰς τὴν ἐντὸς χώραν τῆς μήτρας ἀνεστόμωται τὰ πέρατα, καὶ διὰ τούτων μόνων ἡ κοινωνία τοῖς κυουμένοις ἐστὶ πρὸς τὰς κυούσας. οὐδαμόθι γὰρ ἄλλοθι τέτρηται τὸ χορίον, ἀλλ᾽ οὐδὲ ψαύει κατά γε τὰς μήτρας, ὅτι μὴ κατὰ ταῦτα μόνα, τὸ δ᾽ ἄλλο κύτος αὐτοῦ, τὸ μεταξὺ, ταῖς μήτραις μὲν ἔνδοθεν ὑποτέταται, ψαύει δ᾽ αὐτῶν μόνον ἄνευ συμφύσεως. τά γε μὴν ἀγγεῖα τὰ κατ᾽ αὐτὸ, στενοτάτας μὲν ἔχει τὰς ἀρχὰς, δι᾽ ὧν, ὡς ἔφην, ἑνοῦται τοῖς πέρασιν τῶν κατὰ τὴν μήτραν ἀγγείων. ἀποχωροῦντα δ᾽ αὐτῆς, ἐς ταὐτὸν ἀλλήλοις ἀφικνεῖται, τρόπον ὁμοιότατον ταῖς ῥίζαις τῶν φυτῶν.

in vniuersum res se habet, vt ab Hippocrate, grauissimísque authoribus, qui post ipsum fuerunt, scriptis mandatum est. Genituram sexto post die eiectam intuitus, qui libellum de natura pueri scripsit, siue is Hippocrates, siue eius discipulus Polybus fuit & exquisitè, & manifestò his verbis recensuit. *Atqui genituram, ait, quæ dies sex in vtero hæserat, & postea exciderat, ipse vidi; & quæ mihi tunc videbantur ab illis reliqua sumo indicia. Quomodo autem post genituram sex dierum viderim, ego tibi percensebo. Vxoris meæ cantrix, magno in honore habita, viros frequentabat, quam vterum gerere non oportebat, ne minori esset in pretio. Audierat autem cantrix illa, qualia mulieres inter se dicere soleant; quum fœmina conceptura est, semen genitale non exire, sed intus remanere. Hæc audiens intellexit, atque id perpetuò obseruauit; quúmque semen genitale non exire sensisset, heræ dixit, ac rumor vsque ad me peruenit. Ego re audita, consului vt in terram saliret; quod vbi septies fecisset, genitura in terram cum sonitu erupit. Illa id contemplata, admiratur. Quale autem fuerit ego commemorabo, nempe tanquam oui crudi putamine exterius adempto, in membrana penitiori liquor internus apparebat. Modus quidem talis erat, & vt abunde dicam, ruber erat liquor & rotundus. In pellicula verò fibræ quædam albæ ac crassæ inesse videbantur cum cruore crasso & rubro obuolutæ; circum autem pelliculam foris cruenta vestigia instar sugillatorum; iuxta medium verò tenue quid eminebat, quod mihi vmbilicus esse videbatur, & per illum sanè spirationem extrà & intrò primùm facere apparebat, quin & pellicula genituram ambiens ac complectens, tota ex illo tendebatur.*

CAPVT II.

De formatione partium quæ extra fœtum sunt, & illarum quæ ipsius fœtus sunt propriæ.

MEmbrana quæ in hac oratione continere genituram dicitur, chorion erat. Quòd autem albas & crassas fibras cum sanie crassa rubráque in se habebat, venarum & arteriarum delineationem in generatione fœtus fuisse existimãdum est; semper enim, donec augetur fœtus, contineri à chorio venarum & arteriarum pleno cernitur: quippe quum nihil aliud nisi hæc tria substantiam eius constituant: sunt enim quamplurimæ & venæ & arterię iuxta seipsas porrectę, à tenui quodam & membraneo corpore comprehensę, atque inter se connexæ. Síque incidantur aliqua animalia grauida quę à natura hominis non longè recedunt, cuiusmodi sunt capræ, oues, equę, & asinæ, chorion vteri prægnantis animalis arteriarum, & venarum interuentu coaluisse videtur. Origo horum vasorum est ex arteriis & venis vteri, quarum extrema in interiorem eius regionem oris hiant; quibus solis fœtus cum grauida communio est. nulla enim alia in parte perforatum chorion est, sed ne tangit quidem fœtus vterum, nisi his solis. Reliqua verò chorij laxitas spatiosa intermedia intus vtero substrata est; attingit autem solummodò ipsam citra commissuram. Vasa porrò quæ in ipsa sunt, arctissima quidem habent initia, quibus, vt dixi, cum venarum & arteriarum extremis vniuntur; quæ tamen quum vlteriùs procedunt, non secus ac stirpium radices, inter se postea coëunt. Nam

Nam quemadmodum in illis ex multis & tenuibus extremis inter se coeuntibus aliæ crassiores radices efficiuntur, atque in his rursus vnitis aliæ, idque fieri priùs non desinit, quàm omnes in vnum trunci principium desierint: ita chorij arteriæ & venę inter se coniunctę alias se latiores gignunt; ex quibus inuicẽ coëuntibus, aliæ atque ex his item alię fiunt. Quúmque hoc sæpius contigerit, in duas sanè arterias, duásq; venas, veluti corpora, omnium vasorum particularium concursus redigitur. Quarum in medio meatus quidã gignitur in fundum vesicæ infantis perforatus, quem dissectionum periti, *quod vrinam recipiat*, vrachum nuncuparunt; alterum meatus os à quatuor vasis separatum paulatim dilatatur, tenuémque membranam farcimini figurâ persimilẽ constituit, alteri simili ei qua fœtus inuoluitur extrinsecus exporrectam. Nomina hisce duabus membranis anatomici imposuerunt, huic à figura, allantoeidem, alteri verò quæ fœtum continet, amnion. Atq; hæc extra fœtum habẽtur. Ipsius verò fœtus propriæ partes hæ sunt; prima omniũ cutis, operimentum atq; amiculum insitum ab opifice procreatum; deinde statim sub ipsa partes cum his quatuor vasis intra cutem continuatæ, quarum nulla generari prius potest, quàm omnia quæ in chorio sunt vasa, in quatuor hæc antedicta *capita* conuenerint. Quippe singulę fœtus partes, tum ad primam generationem, tum ad reliquam omnem dispensationem idoneo alimento indigent. Nulla autem alia fœtibus idonea ad alimentum materia est, quàm quæ à grauida suppeditatur. Vnde fieri non potest, vt aliqua pars absque substantia sanguinea in ipsis gignatur; quæcunq; tamen albæ & exangues partes sunt, non ex ipso sanguine vt iocineris substantia procreari potest; celerrimè enim viscus hoc è sanguine generationem habet, vtpote sanguini, corporis substantiâ quàm simillimũ. Nam si vena animalis incisâ, sanguinem effluere in aquam modicè calidam sinas, iocineris substantiæ persimilẽ coagulationem adipiscitur. Hoc igitur viscus promptissimè concrescit, id quod illi statim accidit, vbi intra vuluę corpus cõprehensum fuerit: reliquę verò partes, quæ carnosæ ac sanguineę sunt, vt generentur longius tẽpus requirunt. Quemadmodũ arteriarũ & venarum corpus quum prorsus exangue sit, primã è semine generationem habere verisimile est: continuò vbi id vasorum in vterum pertinentiũ orificiis adhæserit, quippe facillimũ promptissimúmq; est, vt ex eius substantia quæ viscosa multũ lentáq; est, talis membrorũ species procreetur. Facto autẽ primo vasorum rudimento in orificiis eorũ quę in vterum pertingunt, cõsentaneũ videtur, vt semen, quod ipsum formauit, ipsis etiã ex vtero sanguinem attrahendo alimentum suppeditet, & paulatim ita quæ prima genita sunt dilatet; atq; in longitudinẽ producat, tũ augendo, tum in vnum paulatim cogendo tenuiora ad latiorũ procreationem. Ac vasa quidẽ & mẽbranas ita gigni consentaneũ rationi est, vt ex seminis substantia & primum eorum rudimẽtum, & reliquum in longitudinem & latitudinem incrementum suggeratur; quemadmodum in arboribus videmus ex trunci origine reliquam ipsius partem & in altum emergentem, & in ramos diffusam generari. Atque hoc eorum quæ deinceps dicenda erunt, quasi fundamentum quoddam à nobis iactum sit.

A ὥσπερ γὰρ ἐπ' ἐκείνων ἐκ πολλῶν καὶ λεπτῶν περάτων ἀλλήλαις συνιόντων, ἕτεραι ῥίζαι παχύτεραι γίνονται, κἀκείνων αὖθις ἀλλήλαις ἑνουμένων ἕτεραι, καὶ τοῦτο γινόμενον οὐ παύεται, μέχρις ἂν ἅπασαι τελευτήσωσιν εἰς τὴν ἀρχὴν τοῦ πρέμνου. κατὰ τὸν αὐτὸν τρόπον αἱ κατὰ τὸ χορίον ἀρτηρίαι καὶ φλέβες συνιοῦσαι πρὸς ἀλλήλας, ἑτέρας γεννῶσιν ἑαυτῶν εὐρυτέρας, ἐξ ὧν ἀλλήλαις συνιουσῶν, εἶτα γεννωμένων αὖθις ἄλλας, καὶ τούτου πάνυ πολλάκις αὐταῖς συμβάντος, εἰς δύο μὲν ἀρτηρίας, δύο δὲ φλέβας, ἡ πάντων τῶν κατὰ μέρος ἀγγείων κεφαλαιοῦται σύνοδος, ὧν ἐν τῷ μεταξὺ γίνεταί τις πόρος εἰς τὸν πυθμένα B τῆς κύστεως τοῦ κυουμένου συντετρημένος, ὃν οἱ δεινοὶ περὶ τὰς ἀνατομὰς ὠνόμασαν οὐραχόν. τὸ δ' ἕτερον τοῦ πόρου τοῦδε στόμα χωριζόμενον τῶν τεττάρων ἀγγείων, εὐρύνεται κατὰ βραχύ, λεπτὸν ὑμένα παραπλήσιον ἀλλαντι τὸ σχῆμα γεννῆσαν, ἐπιτεταμένον ἔξωθεν ἑτέρῳ τοιούτῳ, ᾧ περιέχεται τὸ ἔμβρυον. ὀνόματα δὲ τοῖς δύο τούτοις ὑμέσιν οἱ ἀνατομικοὶ τέθεινται, τῷ μὲν ἀπὸ τοῦ σχήματος, ἀλλαντοειδεῖ, θατέρῳ δὲ τῷ περιέχοντι τὸ ἔμβρυον, ἀμνείῳ. ταῦτα μὲν ἔξωθέν ἐστι τοῦ κυουμένου. κατ' αὐτὸ δὲ τὸ ἔμβρυον ἴδια μόρια, πρῶτον μὲν ἁπάντων τὸ δέρμα, σκέπασμα καὶ ἀμφίεσμα σύμφυτον ὑπὸ τοῦ δημιουργήσαντος αὐ-C τὸ γεγονός, εἶθ' ἑξῆς ὑπ' αὐτῷ τὰ συνεχῆ τοῖς τέτταρσιν ἀγγείοις ἔνδον τοῦ δέρματος μόρια, ὧν οὐδὲν οἷόν τ' ἐστὶ γεννηθῆναι, πρὶν τὰ πάντα τὰ κατὰ τὸ χορίον ἀγγεῖα, τὴν συναγωγὴν εἰς τὰ προειρημένα τέτταρα σχεῖν. δεῖται γὰρ δηλονότι τῶν τοῦ κυουμένου μορίων ἕκαστον, εἴς τε τὴν πρώτην γένεσιν, ἅπασάν τε τὴν μετὰ ταῦτα διοίκησιν, ἐπιτηδείου τροφῆς, οὐδεμία δ' ἄλλη τοῖς ἐμβρύοις ἐστὶ τρόφιμος ὕλη, παρὰ τὴν ἐκ τῆς κυούσης αὐτοῖς χορηγουμένην. οὐκ οὖν οἷόν τε γεννηθῆναί τι τῶν κατ' αὐτὰ μορίων ἄνευ τῆς αἱματικῆς οὐσίας. οὐ μὴν οὐδ' ὅσα λευκὰ καὶ ἄναιμα τῶν μορίων ἐστίν, ἐξ αὐτοῦ τοῦ αἵματος οἷόν τε D γενέσθαι, καθάπερ ἡ τοῦ ἥπατος οὐσία. τάχιστα οὖν ἴσχει τὸ σπλάγχνον τοῦτο τὴν γένεσιν ἐξ αἵματος, ὡς ἂν ὁμοιοτάτην αὐτῷ τὴν τοῦ σώματος οὐσίαν ἔχον. ἐὰν γὰρ διατεμὼν φλέβα ζώου, τοῦ ῥέοντος αἵματος ἐάσῃς ἐμπεσεῖν συμμέτρως ὕδατι θερμῷ, παραπλησίαν ἴσχει τὴν πῆξιν ἥπατος οὐσίᾳ. τοῦτο μὲν οὖν τὸ σπλάγχνον ἑτοιμότατον πήγνυται μόνῳ τῷ περιέχεσθαι κατὰ τὸ τῆς μήτρας σῶμα πάσχον τοῦτο. τῶν δ' ἄλλων μορίων ἕκαστον, ὅσα σαρκοειδῆ τ' ἐστὶ καὶ ἔναιμα πλείονος χρόνου δεῖται πρὸς τὴν γένεσιν, ὥσπερ γε τὸ τῶν ἀρτηριῶν τε καὶ φλεβῶν σῶμα, παντάπασιν ἄναιμον ὑπάρχον, ἐκ τῆς τοῦ σπέρματος οὐσίας εὔλογόν ἐστι τὴν E πρώτην γένεσιν ἐσχηκέναι, προσπεσόντος αὐτοῦ τοῖς πέρασι τῶν εἰς τὴν μήτραν καθηκόντων ἀγγείων. ἑτοιμόν τε γάρ ἐστι καὶ ῥᾷστον ἐκ τῆς οὐσίας ἑαυτοῦ, γλισχρότητα πολλὴν ἐχούσης, τοιαύτην ἰδέαν ἐργάσασθαι μορίου. γενομένης δὲ τῆς πρώτης ῥιζώσεως τῶν ἀγγείων, ἐπὶ τοῖς στόμασι τῶν εἰς τὴν μήτραν καθηκόντων, εἰκὸς δήπου τὸ διαπλάσαν αὐτὰ σπέρμα τροφὴν αὐτοῖς ἐκποιεῖσθαι, ἕλκον ἐκ τῆς μήτρας τὸ αἷμα, καὶ κατὰ σμικρὸν, οὕτως εὐρύνειν μὲν τὰ πρῶτα γεννηθέντα, προάγειν δ' εἰς μῆκος, αὐξάνον τε καὶ κατὰ βραχὺ συνάγον ἐς ταὐτὸ, τὰ λεπτότερα πρὸς τὴν τῶν εὐρυτέρων γένεσιν. τὰ μὲν οὖν ἀγγεῖα καὶ τοὺς ὑμέ-F νας, εὔλογον οὕτως γενέσθαι, τὴν μὲν πρώτην σύστασιν ἐκ τῆς τοῦ σπέρματος οὐσίας λαβόντα, τὴν δ' ἐφεξῆς, εἰς μῆκός τε καὶ εὖρος ἐπίδοσιν, ὡς ἐπὶ τῶν δένδρων ὁρῶμεν, ἐκ τῆς ἀρχῆς τοῦ πρέμνου τό θ' ὑπόλοιπον αὐτοῦ, πρὸς ὕψος ἀνατεινόμενον, εἴς τε τοὺς κλάδους σχιζόμενον γεννᾶσθαι. τοῦτο μὲν ἡμῖν οἷον θεμέλιον τῶν ἐφεξῆς εἰρησομένων ὑποβεβλήσθω.

A

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ τάξεως τῆς διαπλάσεως τῶν μορίων κυουμένου, τῆς ἐκ τῶν φυτῶν ὁμοιότητος ἀναλαμβανομένης.

Σκοπώμεθα δ' ἐπ' αὖθις, ὅπως εἰκός ἐστι τὸ κυούμενον ὑπὸ τῆς κατὰ τὸ σπέρμα δυνάμεως ἅπαν ἐφεξῆς διαπλασθῆναι, τὴν ἀρχὴν τῆς εὑρέσεως αὖθις ἀπὸ τῶν κατὰ τὰς ἀνατομὰς ὁρωμένων ποιησάμενοι. φαίνεται γὰρ τῶν εἰρημένων τεττάρων ἀγγείων, ἃ κατὰ τὸν ὀνομαζόμενον ὀμφαλὸν, ἅμα τῷ κατὰ τὸν οὐραχὸν πόρῳ συνίστησιν, εὐθὺς ἅμα τῷ διελθεῖν τὸ δέρμα τοῦ κυουμένου, τὸ μὲν ἕτερον ζεῦγος ἑνούμενόν τε παραχρῆμα, καὶ μίαν φλέβα μεγάλην γεννῶν, ἐμφύεσθαι τῷ ἥπατι. λέγω δὴ ἐμφύεσθαι, τὴν ἐκ τῆς ἀνατομικῆς ἰδέαν ἑρμηνεύων. οὐ γὰρ δὴ προϋπάρχοντί γε τῷ ἥπατι τὴν ἔμφυσιν ἡ φλὲψ αὕτη ποιεῖται, τοὐναντίον γὰρ ἅπαν εἰκός ἐστι γίγνεσθαι, ὁπότ' ἂν εἴσω διαφυῇ καθάπερ τι δένδρου στέλεχος ἡ κατὰ τὸν ὀμφαλὸν φλὲψ, διχαδὲς μὲν τὸ πρῶτον γίγνεσθαι· τῶν μερῶν δ' αὐτῆς ἑκάτερον ἀποφύσεις ποιεῖσθαι πολλὰς, ἀνάλογον τοῖς ἐπὶ τῶν δένδρων κλάδοις, εἶτα τῷ μὲν ἑτέρῳ μορίῳ τῆς σχίσεως τῶν φλεβῶν ἐπιφύεσθαι τὴν εἰρημένην σάρκα τὴν κατὰ τὸ ἧπαρ οὐσίας· τῷ δ' ἑτέρῳ, τῷ τὸ μεσεντέριον γεννῶντι, τήν τε γαστέρα καὶ τὸν σπλῆνα, καὶ τὰς τῶν ἐντέρων ἕλικας πάσας, ἐπίπλοόν τε καὶ τὸ καλούμενον ἀπευθυσμένον ἔντερον. οὐ δήπου καὶ ταῦτα πρόσθεν ὑπάρχοντα, συγγινόμενα δὲ τῇ σχίσει τῶν φλεβῶν, ὥσπερ ἡ κατὰ τὸ ἧπαρ οὐσία καθ' ἑκάστην τε τῶν φλεβῶν ἰδίᾳ παραφυομένη, καὶ κοινῇ συμπάσαις ἔξωθεν, ἅμα πρὸς μίαν ἰδέαν σπλάγχνου διαπλαττομένη. οὐ μὴν οὕτω γε καὶ αἱ ἀρτηρίαι μετὰ τὸ διαχεῖν ἔσω τοῦ δέρματος εὐθέως, οὔτε παραφυομένην ἑαυταῖς ἔχουσι τὴν οὐσίαν ἑτέραν, οὔτ' εἰς πολλὰ μόρια καταχίζονται· διαμένουσι δὲ μέχρι πολλοῦ δύο, παραλαμβάνουσαί τε τὴν κύστιν τοῦ κυουμένου, καὶ κατ' αὐτοῦ στηριζόμεναι, φέρονται, κατά τε ἄλλα καὶ πρὸς τὸ βάθος τοῦ σώματος, ἄχρι περ ἂν ἐπὶ τὸ πλατὺ καὶ ἱερὸν ὀστοῦν ὀνομαζόμενον ἀφίκωνται, καθ' οὗ φαίνονται δύο τινὲς ἀρτηρίαι, μία καθ' ἑκάτερον μέρος ἐπὶ τὰ σκέλη φερομένη, τῆς ἐπὶ τῇ ῥάχει μεγίστης εἰς αὐτὰς σχιζομένης, ἥτις φαίνεται τῇ τῆς καρδίας ἀριστερᾷ κοιλίᾳ συνημμένη. οὐ μὴν ὥσπερ ἐπὶ τῆς τοῦ ἥπατος γενέσεως οὐδὲν ὑπολείπεται ζήτημα, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῆς καρδίας φαίνεται. τὸ μὲν γὰρ ἧπαρ, ἐπὶ θατέρῳ μέρει τῆς ἐξ ὀμφαλοῦ φερομένης φλεβὸς σχισθὲν πολυειδῶς, τὴν πολυειδῆ διάφυσίν τε καὶ πρόσφυσιν ἔσχε· τῇ καρδίᾳ δὲ τὴν ὕλην, ἐξ ἧς τὴν γένεσιν ἕξει, παρὰ τῆς κυούσης, ἤτοι διὰ τῶν ἀρτηριῶν ἀναγκαῖόν ἐστιν, ἢ διὰ μέσου τοῦ ἥπατος χορηγεῖσθαι κατὰ τὴν ἐξ αὐτοῦ φερομένην φλέβα μετέωρον, εἰς τὴν τῶν ἄνω τοῦδε τοῦ σπλάγχνου μορίων γένεσιν. μακρὸς δ' ἂν οὗτος ὁ χρόνος εἴη, καὶ οὐκ εὐθέως ἅμα ταῖς πρώταις ἡμέραις, ἐν αἷς τὸ ἧπαρ ἀρχὴν ἴσχει τῆς γενέσεως, ὀλίγον ἀπέχει τοῦ τῆς μήτρας σώματος. ὃ γὰρ ὑποφαίνεσθαι στρογγύλον, ἐρυθρὸν, ἔνδον τῶν χορίων κατὰ τὴν ἑκταίαν γονὴν Ἱπποκράτης ἔφη, τοῦτ' ἂν εἴη τὸ ἧπαρ ἀδιάρθρωτον ἔτι καὶ ἀδιάπλαστον. ἔν γε μὴν ταῖς ὑπὲρ τὰς τριάκοντα ἡμέρας τῶν ἐμβρύων ἐκτρώσεσιν, ἐγγὺς ἀλλήλων σαφῶς φαίνεται τὰ τρία ταῦτα τοῦ ζώου μόρια, τό θ' ἧπαρ καὶ ἡ καρδία καὶ ὁ ἐγκέφαλος, μεῖζον μὲν ἀμφοῖν τῶν ἑτέρων τὸ ἧπαρ, ἀπολειπόμενα δ' αὐτοῦ πάμπολυ κατὰ μέγεθος, ἥ τε καρδία καὶ ὁ ἐγκέφαλος· οὐ μὴν ὁπηνίκα γε πρώτη ἡ καρδία τὴν ἀρχὴν τῆς διαπλάσεως ἔχει, δυνατὸν εὑρεῖν, αἵ τε γὰρ ἀμβλώσεις αἱ κατὰ τὸν πρῶτον μῆνα γιγνόμεναι, σαφὲς οὐδὲν διδάσκουσιν, ἥ τ' ἐπὶ τῶν ὁμοίων ἀνθρώποις ζώων ἀνατομὴ, κατὰ τὸν αὐτὸν τρόπον, οὐδ' αὐτή τι δηλοῖ βέβαιον, ἔτ' ἂν

CAPVT III.

De ordine formationis partium fœtus, sumptâ è plantis similitudine.

Videamus autem post hæc quomodo reliquum fœtum à vi seminis totum formari sit verisimile, initio inuentionis ab iis quæ in dissectione spectantur, sumpto. Ex quatuor antedictis vasis, quæ vnà cum vracho, vmbilicum constituunt, statim vbi cutem fœtus transierunt, alterum par vniti statim cernitur, magnámque vnam venam, vbi effecerit, iecori inseri. Inseri dico, vt speciem quæ ex dissectione sumitur, interpreter; non enim priùs consistens iecur vena hæc ingreditur, sed è contrario prorsus omnia fieri censendum est; primò scilicet venam vmbilici, vbi intrò penetrauerit, non secus ac truncum arboris diuaricari; deinde vtramque eius partem in multas germinationes, ad ramorum similitudinem propagari; tum alteri scissionis venarum parti antedictam carnem substantiæ iecoris adnasci; alteri qui mesenterium gignit, ventrem, lienem, omnem intestinorum reuolutionem, omentum, & quod rectum vocatur *adiungi*. Neque hæc priùs existunt, sed vnà cum diuaricatu ipso procreantur; quemadmodum & ipsa iecoris substantia singulis venis priuatim adnascens, & communiter omnibus extrinsecus, simul ad vnius visceris speciem efformata. Non tamen ita etiam arteriæ statim vbi intra cutem distributæ fuerint, neque aliam sibi adnascentem substantiam obtinent, neque in multas partes diffinduntur; verùm duæ longo spatio permanent, assumentésque conceptus vesicam, & inibi firmatæ, tum per alia, tum in altum corporis feruntur, vsque dum ad latum sacrúmque os dictum perueniant; in quo duæ quædam arteriæ in conspectum prodeunt, singulæ in vtraque parte ad crura procurrentes, à maxima illa propagatæ quæ spinam perreptat, & sinistro cordis sinui commissa apparet. Atqui vt de iecoris generatione nihil inquirendum restat, non eodem item modo in corde apparet. Etenim iecur in altera parte venę ex vmbilico procedentis scissum multifariam, diuersum & connexum & annexum obtinet; cordi autem materiam vnde generationem habebit, à prægnante vel per arterias, vel per medium iecur iuxta venam sublimem ex eo proficiscentem ad superiorem huius visceris partium generationem suppeditari necesse. At longum hoc tempus erit & non statim primis diebus, quibus hepar generationis suæ rudimenta suscipit, parum ab vteri corpore abest. Quod enim rotundum, rubens, intra secundas in sextana genitura Hippocrates apparere dixit, id nimirum erit iecur, rude adhuc, & informe. Atqui in fœtuum abortibus, qui post triginta dies accidunt, hæ tres animantis partes iecur, cor, & cerebrũ prope se mutuò clarè apparent, iecur sanè aliis duobus maius; cor & cerebrũ longè hoc magnitudine inferiora; non tamen quando primum conformationis initium cor habet, inuenire licet, quippe nec abortus qui primo mense accidunt manifestum quicquam docent, nec dissectio animalium hominibus similium eodem modo & ipsa firmum quid indicat, dum conceptus indistinctus rudísque

rudisque fuerit. Vbi verò distingui incepe- A rit, aliarum sanè partium plurimæ nullam manifestam delineationem obtinent; hæc autem tria, sicut nuper dixi, cor, cerebrum, & iecur sola prope sese inuicem conspiciuntur. Per initia igitur quum commentarios de semine scribens cogerer etiam de singularium partium formationis ordine nonnihil afferre, cor dixi iecori similiter primis conceptionis diebus veluti fundamentum quoddam generationis iacere, ex vsu ipsius qui in adultis est longè dignissimo, ad hanc opinionem deductus. Quum autem aliis omnibus, tum B medicis, tum philosophis placere inuenirem conceptum vsque ad manifestam conformationem stirpibus similiter dispensari, probabilius visum mihi est, nullum ipsius vsum per generationis primordia haberi, sed post iecur omnino cor ipsum formari; id autem quomodo fieret inquirendum censui. Alterum enim ex duobus mihi videbatur esse necessarium, vel ex iecore, ascendente sanguine simul cum iecorariæ venæ generatione cor procreari; vel per magnam arteriam, quæ etiam ipsa sanguinem, non modò spiritum, vt opinabatur Erasistratus, continet. C Plerosque verò hac in re verisimile est fuisse deceptos, ac præcipuè philosophos, vt qui ex iis quæ in animalium dissectionibus apparent, nihil cognoscant; ex quibus ea potissimum vtilia sunt, quæ in virorum dissectione artificiosè administrata, ad partium in imo latentium, denudationem apparent. Vnde etiam hîc longior ac prolixior oratio euadet, si quis eam totam scientificè discere voluerit; vnus enim est commentarius à nobis scriptus de vsu respirationis, cui alterum de arteriarum, & pulsuum vsu ad- D iunximus; in quibus quicunque exercitatus fuerit, cognoscet fœtum neque arteriarum, neque pulsuum, neque cordis vllo necessario vsu in principio generationis, quemadmodum nec stirpes, indigere. Veruntamen de stirpium etiam ortu aliquid priùs considerandum videtur; ex iis enim quæ necessaria plantis sunt, licebit cognoscere quot & qualibus fœtus indigeat, quousque vna anima perinde ac plantæ dispensetur. Hanc autem animam vocamus, quum hac de re proposita non sit disputatio, communi omnis sub- E stantiæ nomine naturam appellantes, id quod in exquisitis dissertationibus Chrysippi sectatores diligenter obseruarunt: non sicut Aristoteles & Plato recedentes, vocarunt quidem vtrique animam, sed Aristoteles altricem, Plato concupiscibilem adiunxit. Quoniam igitur nobis proposita hæc disputatio non obiter, quemadmodum quum aliud quid perfunctoriè consideramus, sed summa diligentia de plantarum generatione ac dispensatione elaboratur, nonnulla priùs in memoriam reuocabimus. Nam quum pura ac sola ea sit tanquam neque vim irascibilem, F neque rationalem habeant, spes est nos & synceram germanámque, ipsarum dispensationem atque administrationem inuenturos. Incipiamus igitur rursus à pulsuum generatione, seminis in terram modicè humidam, calidámque iniecti memores: sit autem hoc aut quercus,

A ἀδιάρθρωτον ᾖ τὸ κύημα. διαρθροῦσθαι δ᾽ ἀρξαμένου, τῶν μὲν ἄλλων μορίων τὰ πλεῖστα περιγραφὴν οὐδεμίαν ἴσχει σαφῆ, μόνα δ᾽ ἀλλήλοις ἐγγὺς ὁρᾶται τρία ταῦτα, καθάπερ ἀρτίως εἶπον, ἥτε καρδία, καὶ ὁ ἐγκέφαλος, καὶ τὸ ἧπαρ. κατ᾽ ἀρχὰς μὲν οὖν ἡνίκα τὰ περὶ σπέρματος ὑπομνήματα ἔγραφον, ἠναγκάσθην καὶ περὶ τῆς κατὰ τὸν χρόνον τάξεως ἑκάστου τῶν μορίων τῆς διαπλάσεως εἰπεῖν τι, τὴν καρδίαν ἔφην ὁμοίως τῷ ἥπατι κατὰ τὰς πρώτας ἡμέρας τῆς κυήσεως, οἷον κρηπῖδά τινα τῆς γενέσεως ἴσχειν, ἐκ τῆς ἐπὶ B τῶν τελείων χρείας, αὐτῆς ἀξιολογωτάτης οὔσης, ἐπὶ τὸν λογισμὸν τοῦτον ἀγόμενος, ὥστε καὶ τοῖς ἄλλοις ἅπασιν ἰατροῖς τε καὶ φιλοσόφοις εὗρον ἀρέσκον, ὁμοίως τοῖς φυτοῖς, ἄχρι τῆς σαφοῦς διαπλάσεως διοικούμενον τὸ κύημα, πιθανώτερον ἔδοξέ μοι, μηδεμίαν αὐτῆς εἶναι χρείαν ἐν ἀρχῇ τῆς γενέσεως, ἀλλὰ τοῦ μὲν ἥπατος ὑστέραν αὐτὴν διαπλάττεσθαι πάντως. ἐζήτουν δ᾽ ὅπως γίνεται τοῦτο. δυοῖν γὰρ δή που τούτων, ἀναγκαῖον εἶναι τὸ ἕτερον, ἢ παρὰ τοῦ ἥπατος, αἵματος ἀνιόντος, ἅμα τῇ τῆς ἡπατίτιδος φλεβὸς γενέσει, καὶ τὴν καρδίαν ἐκ τούτου C γεννᾶσθαι δεῖν, ἢ διὰ τῆς μεγάλης ἀρτηρίας, ἐχούσης αἷμα καὶ αὐτῆς, οὐχ, ὡς Ἐρασίστρατος οἴεται, μόνον πνεῦμα. τοὺς πολλοὺς δ᾽ εἰκὸς ἐξηπατῆσθαι, καὶ μάλιστα τοὺς φιλοσόφους, ὡς ἂν οὐδὲν ἐπισταμένους τῶν ἐν ταῖς διαιρέσεσι τῶν ζώων φαινομένων, ὧν μάλιστ᾽ ἐστὶ χρήσιμα τὰ κατὰ τὴν ἐπὶ τῶν ζώντων ἀνατομὴν ἐγχειρουμένην τεχνικῶς, εἰς γύμνωσιν τῶν ἐν τῷ βάθει μορίων. ὥστε καὶ κατὰ τοῦτο, μακρὸς ὁ λόγος γίνεται τοῖς ἐπιστημονικῶς αὐτὸν ὅλον ἐκμαθεῖν ὀρεγομένοις· ἓν μὲν γάρ ἐστιν ὑπόμνημά μοι γεγραμμένον, ἐν ᾧ σκοποῦμαι τὴν χρείαν D τῆς ἀναπνοῆς, ἕτερον δ᾽ ἐπ᾽ αὐτῷ τὸ περὶ τῆς τῶν ἀρτηριῶν τε καὶ τῶν ἐν αὐταῖς σφυγμῶν, ἐν οἷς ὁ γυμνασάμενος, εἴσεται τὸ κυούμενον, οὔτ᾽ ἀρτηριῶν ἔχον ἀναγκαίαν χρείαν ἐν ἀρχῇ τῆς γενέσεως, οὔτε σφυγμῶν, οὔτε καρδίας, ὥσπερ οὐδὲ τὰ φυτά· καὶ μέντοι καὶ περὶ τῆς τῶν φυτῶν γενέσεως ἐσκέφθαι τι χρὴ πρότερον. ἐκ γὰρ τῶν εἰς ταῦτα ἀναγκαίων, ἔνεστι καὶ τὸ γινώσκειν, ὁποίων τε καὶ ὁπόσων δεῖται τὸ κύημα, μέχρις ἂν ὑπὸ μιᾶς διοικῆται ψυχῆς, ὡς τὰ φυτά. καλοῦμεν δέ τὴν ψυχὴν ταύτην, ὅταν μὴ περὶ τούτου προκείμενον ᾖ E σκοπεῖν, τῷ κοινῷ πάσης οὐσίας προσρήματι, φύσιν ὀνομάζοντες, ὃ κἀν ταῖς ἀκριβέσι σκέψεσιν, οἱ περὶ Χρύσιππον ἐφύλαξαν, οὐχ ὡς Ἀριστοτέλης τε καὶ Πλάτων, ἀποστάντες ὠνόμασαν, ἀμφότεροι μὲν ψυχήν, ἀλλ᾽ ὁ μὲν Ἀριστοτέλης, τὸ θρεπτικὸν αὐτῆς προσθείς, ὁ δὲ Πλάτων τὸ ἐπιθυμητικόν. ἐπεὶ τοίνυν ὁ νῦν ἡμῖν προκείμενος λόγος, οὐ κατὰ τὸ πάρεργον, ὥσπερ ὅταν ἄλλο τι προηγουμένως σκοπῶμεν, ἀλλ᾽ εἰς ἐσχάτην ἀκρίβειαν ἐκπονεῖται, τῆς κατὰ τὰ φυτὰ γενέσεώς τε καὶ διοικήσεως, ἀναμνήσωμεν ὑμᾶς αὐτοὺς πρότερον, ἅτε γὰρ F ἀμίκτου τε καὶ μόνης οὔσης αὐτῆς, ὡς ἂν μήτε τὸ θυμοειδὲς ἐχόντων, μήτε τὸ λογιστικόν, ἐλπίς ἐστιν εἰλικρινῆ τε καὶ αὐθέντευτον εὑρεῖν αὐτῶν τὴν διοίκησιν. ἡ δ᾽ οὖν αὖθις ἀρχὴ περὶ τῆς τῶν φυτῶν γενέσεως ἡμῖν γινέσθω, σπέρματος ἀναμνησθεῖσιν, εἰς γῆν συμμέτρως ὑγρὰν, καὶ θερμὴν ἐμβληθέντος. ἔστω δὲ τοῦτο δρυός,

ἤ τινος οὕτως ὑψηλοῦ φυτοῦ, ῥᾷον μὲν γὰρ ἐν μεγάλῳ σώματι κατοψόμεθα τῆς διοικούσης αὐτὰ φύσεως τὰς ἐνεργείας. αὐτίκα μὲν ἐκ τοῦ σπέρματος ὁρᾶται διττή τις ἀπόφυσις γιγνομένη, κάτω μὲν εἰς τὴν γῆν ἑτέρα, πρὸς δὲ τὸν ὑπὲρ γῆς ἀέρα παραπλησία τις ἄλλη. λεπταὶ δ' οὖσαι τό γε κατ' ἀρχὰς αἱ ἀποφύσεις, αἵ γε τοῦ χρόνου προϊόντος, ἁδρύνονταί τε ἅμα καὶ κατὰ τὸ μῆκος ἐκτείνονται, κἀπειδὰν ἤδη μέγεθος ἀξιόλογον ἔχωσιν, εἰς ἀποφύσεις σχίζονται, καὶ μέντοι τούτων αὐτῶν αὖθις εἰς ἑτέρας ἀποφύσεις διαιρουμένων, εἶτ' ἐκείνων εἰς ἄλλας, ἐν ἑκάστῳ μορίῳ τοῦ χρόνου, πάσας αὐτὰς ἅμα τρέφεσθαί τε καὶ αὐξάνεσθαι συμβαίνει, καὶ δὴ καὶ καρποὺς ἐπιφύεσθαι τοῖς πέρασιν αὐτῶν ἅπασι, τελειωθέντος τοῦ φυτοῦ. τὴν αὐτὴν οὖν ἔχοντος τοῦ κυήματος ἐν τῇ πρώτῃ γενέσει τοῖς φυτοῖς διοίκησιν, ἐλαχίστη μὲν εἰκότως ἡ αὔξησις αὐτοῦ γίγνεται κατὰ τὸν πρῶτον χρόνον· ὁπόταν δὲ σαφῶς ἄρξηται διαρθροῦσθαι, πλείων, ὥσπερ γε καὶ διαρθρωθέντων μεγίστη, κατὰ πολλὰ μόρια τῆς διοικούσης αὐτὸ φύσεως ἐνεργούσης ἅμα. τίς οὖν ὅρος ἐστὶ τοῦ πρώτου χρόνου, καθ' ὃν οὐδέπω δεῖται τῆς καρδίας τὸ κυούμενον; ἐμοὶ μὲν δοκεῖ, καθ' ὃν οὐδὲ τῶν φλεβῶν ἡ κατὰ τὸ ἧπαρ ἐγένετο σύμπασα σχίσις. καλῶ δὲ σύμπασαν, ἐπεὶ διττή τίς ἐστιν οὐκ ἐμοὶ πρώτῳ φανεῖσα τοιαύτη, συμφωνουμένοις δὲ τοῖς ἀνατομικοῖς ἀνδράσιν ἅπασιν. ἡ γὰρ ἐξ ὀμφαλοῦ φλὲψ ἅμα τῷ πρώτως εἰς τὴν ἐντὸς χώραν ἀφικέσθαι τοῦ περὶ τὸ κυούμενον δέρματος, εὐθέως σχίζεται δίχα, καθάπερ εἰς δύο μόρια μέγιστα κατὰ τὰ πολλὰ τῶν δένδρων ὁρᾶται τὸ πρέμνον διαιρούμενον, εἶθ' ἑκατέρας τῶν φλεβῶν τῶνδε, δίκην κλάδου ἀποφυούσης ἑτέρας φλέβας, ἐκείνων τε πάλιν ἑτέρας, εἶτα τούτων γενομένων ἄλλας, ἄχρι περ ἂν εἴς τινα πέρατα τελευτήσωσιν ἑκάτεραι τῶν κατασχίσεων, ἡ τοῦ ἥπατος ἰδία οὐσία, περὶ ἧς διῆλθον ἔμπροσθεν, ἐν κύκλῳ τε περιφύεται, καὶ τὰ μεταξὺ τῶν σχίσεων ἀναπληροῖ, καθάπερ τις στοιβή. καὶ οὕτως αἱ μὲν ἀπὸ τῆς ταπεινοτέρας φλεβὸς ἀποφύσεις, ἐν τοῖς σιμοῖς τοῦ σπλάγχνου γίγνονται μέρεσιν, οἷς περιλαμβάνει τὰ δεξιὰ τῆς γαστρός, αἱ δ' ἀπὸ τῆς ὑψηλοτέρας, ἐν τοῖς κυρτοῖς, ἔνθα τοῦ διαφράγματος ψαύει· καὶ διὰ ταύτην γε τὴν αἰτίαν, αἱ δύο πύλαι τοῦ ἥπατος, ἐγένοντο τοῖς ἐμβρύοις· τῆς γάρ τοι μεγάλης φλεβός, ἣν δι' ὀμφαλοῦ φερομένην ὁρῶμεν, αἱ κατὰ τὸ σῶμα φλέβες ἅπασαι, μόριά τε καὶ ἀποβλαστήματά εἰσιν. τῆς μὲν ὑψηλοτέρας πύλης γενομένης ἕνεκα τοῦ γεννηθῆναι τὰς κατὰ τὸ ἧπαρ ἁπάσας, τῆς ταπεινοτέρας δὲ, ἕνεκα τοῦ τὰς εἰς τὴν γαστέρα καὶ σπλῆνα, καὶ τὸ ὑπόλοιπον, ἔντερά τε πάντα. συμπληρωθέντος δὲ τοῦ ἥπατος, ἐκ μὲν τῶν κατὰ τὰ κυρτὰ μέρη φλεβῶν αὐτοῦ, καθάπερ ἔκ τινων ῥιζῶν ἀθροίζεται στέλεχος, ἡ μεγίστη τῶν ἐν τῷ σώματι φλεβῶν, ἣν διὰ τοῦτο, κοίλην ὀνομάζουσιν, κατ' ἐξοχὴν δή τινα πρὸς τὰς ἄλλας φλέβας, ἐνδεικνύμενοι τὸ μέγεθος αὐτῆς. Ἱπποκράτης δ' ἀπὸ τοῦ ἥπατος ὅθεν ἑώρα τὴν ἔκφυσιν ἔχουσαν, ἡπατῖτιν ἐκάλεσεν. ταύτης οὖν τῆς φλεβὸς ἐκτεταμένης κατὰ τὸ μῆκος τοῦ ζώου, τὸ μέν τι κάτω φέρεται κατὰ μέσης τῆς ῥάχεως ἐστηριγμένον, τὸ δ' ἄνω διὰ μέσου τοῦ θώρακος ἐπὶ τὸν τράχηλον ἀναφέρεται, πρώτας μὲν ἀποφύσεις εἰς τὸ διάφραγμα ποιουμένη οὐ σμικράς, ἐπ' αὐταῖς δ' ἑτέρας πάντως λεπτάς, εἴς τε τοὺς διαφράττοντας ὑμένας τὸν θώρακα,

aut alterius cuiusdam adeò sublimis stirpis, quippe faciliùs in magno corpore functiones naturæ id gubernantis, contuebimur. Exempli gratia, ex semine duplex quædam propagatio fieri conspicitur, deorsum sanè in terram vna, in aërem verò supra terram alia quædam persimilis. Quæ propagationes quum per initia graciles existant, temporis processu grandescunt simul, & in longum porriguntur; ac vbi iam magnitudinem notandam obtinent, in ramos scinduntur; quúmque hi ipsi prorsus in alias propagines diuidantur, deinde illæ in alias, quolibet temporis momento omnes ipsas simul & nutrire & augere contingit; quin & fructus vniuersis ipsorum extremis, vbi stirps adoleuerit, innasci. Conceptus igitur eandem cum stirpibus dispensationem in prima generatione obtinet; nam parcissimè primo tempore increscit; quum distingui iam manifestè incipit, amplius; quemadmodum quum iam distinctus est, maximè; multis in partibus naturâ quæ ipsum dispensat simul operante. Quis ergo primi temporis terminus est quo fœtus corde nondum indiget? Mihi quidem videtur, quum nondum in iecur vniuersa venarum discissio facta est. Vniuersam appello, propterea quòd est duplex; nec mihi primò cognita, sed Anatomicis, quibus etiam perspecta. Vena enim ex vmbilico proueniens, vbi primùm cutem fœtus subit, statim bifariam scinditur, quemadmodum in duas maximas partes plerumque caudicem arborum diuaricari videmus; deinde quum vtraque hæc vena rami modo alias venas procreet, ac illæ rursus alias, deinde hæ generent alias, donec ad fines quosdam vtræque propagines peruenerint; propria iecoris substantia, de qua modò diximus, circumcircà agnascitur, ita vt ramulorum interstitia perinde ac tomentum aliquod impleat. Atque ita depressioris venæ germinationes in caua visceris parte efficiuntur, quâ dextrum ventriculi latus circundat; altioris in gibba, quâ septum transuersum attingit; ac propterea duæ iecoris portæ in fœtibus procreatæ sunt; ex magna enim vena, quam per vmbilicum ferri videmus, omnes totius corporis venæ, partes item omnes ipsarum & germinationes prodeunt. Sublimior autem porta facta est, vt omnes quæ in iecore sunt venæ gignerentur; humilior, vt illæ quæ in ventrem, lienem, intestina omnia, & reliqua pertinent, procrearentur. Absoluto autem iecore, ex venis quæ in gibbis partibus sunt, quasi ex radicibus quibusdam caudex colligitur, nempe maxima venarum quæ in corpore sunt; quam ideo ob præstantiam quâ omnes alias antecellit, cauam nuncuparunt, magnitudinem eius hoc nomine indicantes. Hippocrates iecorariam dixit à iecore, vnde eam exoriri videbat. Hæc igitur vena per animalis longitudinem ita protenditur, vt altera eius pars deorsum mediæ spinæ innixa feratur, altera sursum per medium thoracem ad collum ascendat, primos sanè ramos non paruos in septum transuersum diffundens; superiùs autem alios planè exiles, & in distinguentes thoracem membranas, & cor

& cor inuoluentem tunicam; pericardion, emittens, deinde in dextrum cordis ventriculum, & thoracem. Eodem tempore etiam ab inferioribus portis venas in omnes ventris partes diſpenſatas generationis cauſam ipſis fieri; dum verò ſuperior iecorariæ pars cor adit, interea deorſum tendens propagines ex ſe, tum ad renes qui primi iecori proximi occurrunt, & ad lumborum regiones circa ſpinam mittit; quemadmodum & partem ſpinæ, & thoracis, quæ ſupra ſeptum tranſuerſum eſt, ab aſcendenti iecoraria ramulos ſumens, materiam ad ſui procreationem ex ipſis accipere veriſimile eſt, quo tempore etiam cor formatur. Poteſt enim iam ad ipſum commemoratum illud arteriarum par, in vnam reductum pertingere; atque id in media dorſi ſpina firmatum videmus procedere, quoad iuxta cor peruenerit. Ex hac igitur arteria credibile eſt cor, quum ſanguinem longè calidiorem quàm is ſit qui in venis continetur, hauriat, tantò etiam calidius iecore euaſiſſe, quantò ſanguis ſanguine calidior eſt. At quum duo ſint cordis ventriculi, in dextrum ſanguis è iecore mediocriter calidus, in ſiniſtrum longè hoc calidior ex arteriis ingreditur. Quandoquidem vtroſque ſinus iam habeat *cor*, & vtraſque has materias, tanquam perfecta iam ipſarum ſubſtantia, & ipſum pulſat, & vnà ſecum arterias etiam mouet eodem per ſe motu. Quapropter fœtus non amplius, vt planta ſolum, ſed vt animal iam adminiſtratur, quales ſunt hiatulæ, buccina, pinnæ, oſtreæ, patellæ, quæ vel minimo, vel nullo prorſus pulſatili motu indigent. Demonſtratum ſiquidem eſt pulſus calidis ineſſe corporibus; nullum verò vel exangue animal manifeſtè calidum eſt, vel planè calidum exangue viſitur. Ineſt igitur ſanguini venis contento genuina caliditas tepida, citra calorem à corde prodeuntem, atque idcirco etiam iecori. Porrò animantia cor habent tanquam ignis cuiuſdam officinam; etenim ſine hoc ſanguineorum animalium calor, ei reſpondet, qui per æſtatem in ædibus exiſtit; ſed vt domus incenſo in ipſa igne calidior euadit, ita etiam corpus animalium ex corde caliditatem acquirit calidiorem, quàm quæ venis, iecori, & nimirum etiam ſanguini qui in ipſis comprehenditur, inſita eſt. Nam in arteriis Eraſiſtratus quidem hunc humorem neutiquam contineri arbitratur, nos autem putamus ſicut etiam apparet, ſubtiliorem calidiorémque in ipſis eſſe ſanguinem; talis enim ex ipſis vulneratis effluit. Id quod mihi videtur etiam Plato, in Timæo his verbis indicare. *Cor autem & venarum & ſanguinis, qui per omnia membra rapidè fertur, originem ac fontem in domicilium, veluti ſatellitum præſidio munitum collocarunt*. Non enim ſimpliciter dixit ipſum ſanguinis eſſe fontem, ſed eius qui per omnia membra rapidè etiam circumfertur; qualis non eſt qui in venis propriè dictis continetur. Etenim veteres commune venarum nomen vbique vaſorum generi impoſuerunt. Porrò quemadmodum cor iecore poſterius naſci ratio erat, eóque propius prægnantis vterum iecur collocatum eſt:

A καὶ τὸν περικάρδιον χιτῶνα, μετὰ δὲ ταῦτα εἰς τὴν δεξιὰν κοιλίαν τῆς καρδίας, καὶ τὸν θώρακα. κατὰ δὲ τὸν αὐτὸν χρόνον, εὔλογόν ἐστιν καὶ τὰς ἐκ τῶν ταπεινοτέρων πυλῶν φλέβας, εἰς πάντα τὰ κατὰ τὴν γαστέρα μόρια κατασχιζομένας, αἰτίας τῆς γενέσεως αὐτοῖς γίγνεσθαι· ἐν ᾧ δ' ἐπὶ τὴν καρδίαν ἀναφέρεται τὸ ἄνω μέρος τῆς ἡπατίτιδος, ἐν τούτῳ τὸ καταφερόμενον, ἀποφύσεις ἑαυτοῦ τάς τ' ἐπὶ τοὺς νεφροὺς ποιεῖται· πρῶτοι μὲν γὰρ οὗτοι κεῖνται πλησίον τοῦ ἥπατος, καὶ εἰς τὰ περὶ τὴν ῥάχιν χωρία τὰ κατ' ὀσφύν, ὥσπερ γε τὸ ἄνω τοῦ διαφράγματος μέρος τῆς ῥάχεώς τε καὶ τοῦ θώρακος, εὔλογον ἀπὸ B τῆς ἀναφερομένης ἡπατίτιδος ἀποφύσεις λαμβάνον, ὕλην τῆς γενέσεως ἐξ αὐτῶν ἴσχειν, ἐν ᾧ χρόνῳ καὶ καρδία πλάττεται. παραγίγνεσθαι γὰρ ἐπ' αὐτὴν ἤδη δύναται καὶ τὸ τῶν ἀρτηριῶν προειρημένον ζεῦγος εἰς μίαν ἀνηγμένον, καὶ αὐτὸ ἐπὶ μέσης τῆς ῥάχεως ἐστηριγμένον ὁρῶμεν, ἄχρι περ ἂν ἐγγὺς ἀφίκηται τῆς καρδίας. ἐκ ταύτης οὖν, τὴν καρδίαν πιθανόν ἐστιν ἀρυομένην αἷμα, θερμότερον πολλῷ τοῦ κατὰ τὰς φλέβας, εἰς τοσοῦτον καὶ αὐτὴν θερμοτέραν γίνεσθαι τοῦ ἥπατος, εἰς ὅσον καὶ τὸ αἷμα τοῦ αἵματός ἐστι θερμότερον. οὐσῶν δὲ δυοῖν αὐτῆς κοιλιῶν, εἰς μὲν τὴν δεξιάν, τὸ ἐκ τοῦ ἥπατος αἷ- C μα παραγίγνεται, μετρίως θερμὸν ὑπάρχον, εἰς δὲ τὴν ἀριστεράν, πολλῷ θερμότερον τοῦδε τὸ διὰ τῶν ἀρτηριῶν. ὅταν δὲ τὰς κοιλίας σχῇ, καὶ τὰς ὕλας ἀμφοτέρας, ὡς ἂν ἤδη πεπληρωμένης αὐτῶν τῆς οὐσίας, αὐτή τε σφύζει, καὶ τὰς ἀρτηρίας ἅμα ἑαυτῇ κινεῖ, τὴν αὐτὴν ἑαυτῆς κίνησιν. ὥστε τὸ κυούμενον οὐ μόνον ὡς φυτὸν ἔτι τὴν διοίκησιν ἔχειν, ἀλλ' ἤδη καὶ ὡς ζῷον, ὁποῖα ζῷα, χῆμαί τ' εἰσὶ καὶ κήρυκες, καὶ πίνναι, καὶ ὄστρεα καὶ λεπάδες, ἤτοι γ' ὀλίγης, ἢ οὐδ' ὅλως δεόμενον κινήσεως σφυγμικῆς. ἐδείχθησαν γὰρ οἱ σφυγμοὶ τοῖς θερμοῖς σώμασιν ὑπάρχοντες, D οὐδὲν δ' οὔτ' ἄναιμον ζῷόν ἐστι σαφῶς θερμόν, οὔτε τῶν σαφῶς θερμῶν ἄναιμον. ἔστω μὲν οὖν καὶ χωρὶς τοῦ παρὰ τῆς καρδίας θερμοῦ, σύμφυτος ὑπάρχουσα χλιαρὰ θερμότης τῷ κατὰ τὰς φλέβας αἵματι, καὶ διὰ τοῦτο καὶ τῷ ἥπατι. τὴν καρδίαν δ' ἔχει τὰ ζῷα καθάπερ τινὸς πυρὸς ἑστίαν, καὶ γὰρ καὶ χωρὶς ταύτης, ἡ θερμασία τῶν ἐναίμων ζῴων, παραπλησία τῇ κατὰ τοὺς οἴκους ἐστὶν ὥρᾳ θέρους· ἀλλ' ὥσπερ οἶκος, ἀναφθέντος ἐν αὐτῷ πυρός, γίνεται θερμότερος, οὕτω καὶ τὸ σῶμα τῶν ζῴων, ἐκ τῆς καρδίας ἐπικτᾶται θερμότητα πλείονα τῆς ἐμφύτου ταῖς E τε φλεψὶ καὶ τῷ ἥπατι, καὶ δηλονότι καὶ τῷ αἵματι, τῷ κατ' αὐτά. κατὰ γὰρ τὰς ἀρτηρίας, Ἐρασίστρατος μὲν οὐδ' ὅλως οἴεται περιέχεσθαι τὸν χυμὸν τοῦτον, ἡμεῖς δ' ἡγούμεθα, καθάπερ καὶ φαίνεται, λεπτομερέστερον καὶ θερμότερον ἐν αὐταῖς ὑπάρχον αἷμα· τοιοῦτον γὰρ ὅτι κἂν τῷ τρωθῆναι τὸ ῥέον ἐξ αὐτῶν ἐστιν, καί μοι δοκεῖ καὶ Πλάτων ἐνδείκνυσθαι τοῦτο, δι' ὧν φησιν ἐν Τιμαίῳ. τὴν δὲ καρδίαν ἅμα τῶν φλεβῶν, καὶ πηγὴν τοῦ περιφερομένου κατὰ πάντα τὰ μέλη σφοδρῶς αἵματος, εἰς τὴν δορυφορικὴν οἴκησιν κατέστησαν. οὐ γὰρ ἁπλῶς εἶπεν αἵμα- F τος αὐτὴν εἶναι πηγήν, ἀλλὰ τοῦ περιφερομένου κατὰ πάντα τὰ μέλη σφοδρῶς· οὐ τοιοῦτον δ' ἐστὶ τὸ κατὰ τὰς ἰδίως ὀνομαζομένας φλέβας. ὡς οἵ γε παλαιοὶ κοινὸν ὄνομα τὸ τῶν φλεβῶν, ἑκατέρῳ τῷ γένει τῶν ἀγγείων ἐπέφερον. ὥσπερ δὲ τὴν καρδίαν ὑστέραν ἥπατος εὔλογον ἦν γενέσθαι, καὶ διὰ τοῦτο τῇ τῆς κυούσης μήτρᾳ πλησιέστερον ἐτάχθη τὸ ἧπαρ·

οὕτω τὸν ἐγκέφαλον ἔτι καὶ ταύτης πορρωτέρω τετάχθαι προσῆκον ἦν, ὡς ἂν καὶ τῆς κατασκευῆς αὐτοῦ γενησομένης ὑστέρας, ὅτι μηδὲ χρήζει τι τὸ κυούμενον ζῶον ἐγκεφάλου, διὰ τὸ μήθ' ὁρᾷν αὐτὸ δεῖσθαι, μήτ' ἀκούειν, μήτε γεύεσθαι, μήτ' ὀσφραίνεσθαι, καθάπερ οὐδὲ τοῖς κώλοις ἐνεργεῖν, οὐδ' ὅλως ἑτέραν τινὰ προαιρετικὴν ἐνέργειαν, ἢ τὴν τῆς ἁφῆς αἴσθησιν ἔχειν, ἢ φαντασίαν, ἢ λογισμὸν, ἢ μνήμην. ὕστερον οὖν ποτε κατὰ τρίτην τάξιν χρόνου, ἐγκέφαλός τε, καὶ τὰ κατὰ τὸ πρόσωπον ἅπαντα διεπλάσθη, καθ' ὃν σχεδὸν ἤδη καὶ τὰ κῶλα διηρθρώθη, καὶ πρὸ εἴ τι πρόσθεν εἴρηται μόριον, εἰς τελειότητα τῆς ἑαυτοῦ κατασκευῆς ἀφίκετο. πρόδηλον δ' ὅτι καὶ τὸ τῆς κεφαλῆς ὀστοῦν, ὕστερον ἁπάντων τῶν ἄλλων ὀστῶν ἐπάγη, καὶ διὰ τοῦτο κατὰ τὸ βρέγμα λεπτὸν οὕτως ἐστὶ καὶ ἀσθενὲς, ὡς ἐπὶ τῶν νεογενῶν παιδίων ὁρᾶσθαι τὴν κίνησιν τοῦ ἐγκεφάλου, μὴ μόνον ψαυόντων ἡμῶν, ἀλλὰ καὶ βλεπόντων. καὶ τέταρτος ἤδη χρόνος οὗτος ἥκει μετὰ τὴν πρώτην σύλληψιν, ἐν ᾧ κρατυνεται τὰ κατὰ τὴν κίνησιν ὕστερα διαπλασθέντα μόρια. καὶ διὰ τοῦτο ταῖς μὲν τῆς θρεπτικῆς ψυχῆς ἐνεργείαις τὰ βρέφη ῥωμαλεωτάταις χρῆται· δευτέραις δὲ κατὰ ῥώμην ταῖς ἀπὸ τῆς καρδίας, ἀρρώστοις δὲ ταῖς ἀπ' ἐγκεφάλου, μὴ ὅτι θεῖν ἤδη τοῖς σκέλεσιν ἢ βαδίζειν, ἀλλὰ μηδὲ στῆναι δυνάμενα, πολὺ δὲ μᾶλλον, ἢ λογίσασθαί τι τῶν συμφερόντων, ἢ μαθεῖν, ἢ μνημονεῦσαί τινος αἰσθητοῦ παθήματος, ἢ λογικοῦ μαθήματος. ὕστερον δ' αὖθις, καὶ τὸ τῆς κεφαλῆς ὀστοῦν κρατυνεται, καὶ οἱ ὀδόντες ἐκφύονται, τριχοῦταί τε τὸ κρανίον, ὥστε καὶ τοῖς σώμασιν ἀτελῆ τὰ γεννηθέντα, καὶ τῷ τῆς ψυχῆς ἀρίστῳ τῷ μορίῳ λογιστικῷ σαφῶς φαίνεται· σὺν γὰρ τοῖς ὀργάνοις τελειούμεναι αἱ τῆς ψυχῆς δυνάμεις, ἐνεργοῦσιν. ἔνεστι καὶ τοῦτο μαθεῖν τῷ βουληθέντι τὸ βιβλίον ἀναγνῶναι, καθ' ὃ δείκνυμι ταῖς τοῦ σώματος κράσεσιν ἕπεσθαι τὰς τῆς ψυχῆς δυνάμεις.

ita cerebrum hoc etiam adhuc remotius situm esse conueniebat, vt cuius constructio quoque posterior sit futura: quoniam animal conceptum ne indiget quidem cerebro, non enim videre, nec audire, nec gustare, nec odorari, veluti nec artubus fungi, nec aliam omnino actionem voluntariam, vel tactus sensum habere, vel imaginationem, vel ratiocinationem, vel memoriam, fœtus indiget. Postea igitur tandem tertio temporis ordine, cerebrum, & omnes faciei partes formatæ sunt, quando iam & artus distinguntur, & omnis si quæ prius dicta est pars, ad structuræ suæ absolutionem venit. Constat autem cuilibet etiam capitis os post omnia alia ossa concrescere, atque ideo iuxta sinciput tenue adeò est, & imbecillum, vt in recens natis puerulis cerebri motus appareat, non tangentibus nobis tantùm, sed etiam intuentibus. Ac quartum iam tempus hoc post primam conceptionem sequitur, quo partes quæ motui seruiunt posteriùs formatæ confirmantur. Hac de causa infantuli functionibus nutrientis animæ validissimis vtuntur; secundo roboris loco, his quæ à corde proueniunt; imbecillibus autem quas cerebrum suppeditat, vtpote quum non solùm iam currere cruribus, aut incedere, sed ne stare quidem possint, multò autem minus vel vtile quid ratiocinari, aut discere, aut sensibilis cuiusdam affectus, aut rationalis disciplinæ meminisse. Post hæc omnia & caluaria roboratur, & dentes erumpunt, pilísque caput obducitur: quapropter & corpore & præstantissima animæ parte, ratiocinatrice scilicet, imperfecti pueri apparent; etenim facultates animę simul cum instrumētis absolutè functionē obeunt, id quod discere licet ei qui librum voluerit legere, quo animæ facultates corporis temperamentum sequi ostendimus.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Πρὸς τούτους τοὺς φιλοσόφους, τοὺς τὴν μὲν καρδίαν πρώτην φύεσθαι, ὑπ' αὐτῆς δὲ τἄλλα μόρια γίγνεσθαι νομίσαντας.

Τι ποτ' οὖν ἔδοξε Χρυσίππῳ, καὶ ἄλλοις πολλοῖς φιλοσόφοις, Στωϊκοῖς τε καὶ Περιπατητικοῖς ἀποφήνασθαι περὶ καρδίας, ὡς πρώτη τε φύεται τῶν τοῦ ζώου μορίων, ὑπ' αὐτῆς τε τἄλλα γίγνοιτο; ἢ ὡς τῷ πρώτως διαπλασθέντι, καὶ φλεβῶν καὶ νεύρων, ἀναγκαῖον ὑπάρχειν ἀρχήν; οὔτε γὰρ πρώτη σαφῶς φαίνεται γινομένη, καὶ δέδεικται πρόσθεν, ὡς ἐπὶ πασῶν τῶν τεχνῶν, ὁ αὐτὸς τεχνίτης ἐργάζεται, τό, τε πρῶτον μέρος τοῦ δημιουργουμένου, καὶ τὰ μετ' αὐτὸ πάντα μέχρι τῆς συμπληρώσεως, ἀρτηρίας τε καὶ φλέβας ἀναγκαῖόν ἐστιν ἐκ τῆς τοῦ σπέρματος οὐσίας πρώτας ἁπάντων γεννηθῆναι, καθ', ὅ, τι κἀν τοῖς περὶ σπέρματος ὑπομνήμασι δέδεικται. ὥστε κἂν ἄλλος τις ὁμοίως τοῖς ἀποφηναμένοις περὶ καρδίας, ἢ τὸ χορίον ἢ τὸ ἧπαρ ἀρχὴν εἶναι λέγῃ πασῶν τῶν κατὰ τὸ ζῶον ἐνεργειῶν, οὐ πεισθησόμεθα, γενέσεως μὲν ἀρχὰς ἑκάστῳ τῷ γένει τῶν σωμάτων ἑτέρας εἰδότες, ἑτέρας δὲ τῆς διοικήσεως· οἰκοδομοῦσι μὲν γὰρ ἄλλοι τὰς πόλεις, διοικοῦσι δ' ἄλλοι, καθάπερ γε καὶ τὰς ναῦς καὶ πᾶν ὁτιοῦν ἄλλο, δημιουργοῦσι μὲν ἕτεροι, χρῶνται δ' ὀρθῶς ἕτεροι τοῖς δημιουργηθεῖσι. καὶ κατά γε τὰς διοικούσας τὸν βίον ἡμῶν δυνάμεις, ὁ λογισμὸς ἁπασῶν ὕστατος γινόμενός τε καὶ τελειούμενος, ὅμως αὐτὸς ἄρχει.

CAPVT IV.

Aduersus eos Philosophos, qui cor primum oriri, ex eóque deinde reliquas produci partes existimarunt.

CVr igitur Chrysippo aliísque multis philosophis, tum Stoicis, tum Peripateticis de corde pronunciare visum est, & quòd primum inter animales partes nascatur, & quòd ab eo alia gignantur? item quòd ipsum prius formatum tum venarum, tum neruorum originem esse necesse sit? neque enim primum nasci manifestò apparet; ostensúmque antea est in omnibus artibus eundem artificem & primam partem rei quæ fabricatur, & reliquas omnes vsque ad absolutionem operis efficere; arteriásque & venas è seminis substantia primas omnium generari necesse est, sicut in commentariis de semine ostendimus. Quare si quis alius quemadmodum isti de corde affirmarunt, vel chorion, vel iecur dixerit omnium quæ in animante sunt functionum originem esse, minimè erit credendum; quippe quum vnicuique generi corporum alia videamus generationis, alia dispensationis principia; alij enim extruunt vrbes, alij administrant; ita de nauibus, & qualibet alia re dicendum est; alij sunt qui fabricant, alij qui fabricatis rectè vtuntur. Iā in iis quę vitam nostrā administrant facultatibus, ratio quę omnium extrema & gignitur: & per-

& perficitur, imperat postea, atque humanas actiones gubernat feliciter, quum vniuersa anima secundum naturam habuerit; infeliciter, quum extra naturalem statum est. Verùm de animæ actionibus mihi in præsentia non est propositum disputare, sed de fœtuum formatione; quæ sanè disputatio, per se non philosophis tantùm, verùm etiam medicis perquam vtilis est; propter eos autem qui vnde non debent, lemmata ad demonstrationes assumunt, necessariò etiam inquirenda venit; omittentes enim nonnulli ex propria rei, de qua est quæstio, natura, demonstrationem auspicari, ex incertis assumunt. Porrò medicis vtile admodum est, quum vel dimidia corporis pars, vel totum ferè corpus repente resolutum functionibus voluntariis immobile redditur, ac præterea vel nihil planè, vel imbecilliter sentiens, scire cui corporis parti admouenda sint remedia. Quod profectò cognosci nullo modo poterit, nisi priùs quæratur, vtrum ex se sensum motúmque dictum omnes animalis partes habeant, an per neruos aliqua facultas ad ipsas, vel à cerebro, vt omnes Anatomici fatentur, vel, vt nonnulli dicunt, ex corde influat. Nam Stoïci nescio quomodo inutilem quæstionem ad finem inueniendum, in quo rectè iudicato, felicitatem statuunt, indagare aggressi sunt; sed sine iis quæ ex dissectione apparent, vnde alioquin ea poterant inueniri. Verumtamen sicut in aliis multis, ita hîc quoque ad rei sibi inutilis indagationem venerunt, debebant ex iis quæ euidenter patent, sicut Anatomici medici fecerunt, principia demonstrationis sumere. Illi verò cor primum omnium esse formatum affirmantes, cùm neque ex dissectione euidens quiddam, vnde inuentionis initium sumpserint, neque rationalem quandam aliam demonstrationem possent afferre, ignorantiam ignorantiæ annectunt, dicúntque alia omnia ex corde ortum habere, esséque id sicut generationis ipsorum, ita quoque administrationis authorem. Antea quidem, quum Anatome nondum vt nunc, esset cognita, dubitare fortasse par erat non absque ratione de principio, quod per neruos & sensum, & motum, animalis partibus transmittit. Hoc tempore, quo iam de harum affectionum curatione inter plerósque Anatomicos conuenit, & ab omnibus medicis diuturna ac consentiente experientia comprobata est, nullúsque magis in insanientibus absque febre, in atra bile agitatis, in iis qui mente, aut memoria quomodocúnque læsi fuerint, in phreniticis cum febre, in lethargicis, comitialibus, attonitis, capitis curam habendam non censet; soli ipsi adhuc inquirunt hæc quæ omnibus qui modò inuenire ipsa voluerint, manifestè cognoscuntur. Sed de his in præsentiarum satis, alibi enim dicta sunt de quibus nonnulli philosophi inutiliter si finem respicias dissertantes, longis quæstionibus sese intricarunt, quum nullam ne probabilem quidem quęstionis ipsorum occasionem inuenire possent; perinde ac theoretici, qui proponunt, siue philosophiam, siue beatitudinem dicere oporteat.

A καὶ διοικεῖ τὰ κατὰ τοὺς ἀνθρώπους, εὐδαιμόνως μὲν ὅταν ἡ σύμπασα ψυχὴ κατὰ φύσιν ἔχῃ, κακοδαιμόνως δ' ὅταν εἰς τὸ παρὰ φύσιν ἐκτραπῇ. ἀλλ' οὔ μοι πρόκειται νῦν σκοπεῖσθαι περὶ τῆς κατὰ τὰς πράξεις ἐνεργείας, ἐνεστησάμην γὰρ ἐν τῷδε τῷ λόγῳ, περὶ διαπλάσεως τῶν κυουμένων εἰπεῖν, εὔχρηστον μὲν λόγον αὐτὸν καθ' αὑτὸν, οὐ μόνον τοῖς φιλοσόφοις, ἀλλὰ καὶ τοῖς ἰατροῖς· διὰ δὲ τοὺς ἀφ' ὧν οὐ χρὴ τὰ λήμματα πρὸς τὰς ἀποδείξεις λαμβάνοντας, ἀναγκαίως ἡμῖν ζητηθέντα· παρέντες γὰρ ἐξ αὐτοῦ τοῦ ζητουμένου τῆς οἰκείας φύσεως, ἄρχεσθαι τῶν ἀποδείξεων ἔνιοι, τὰς ἐκ τῶν ἀδήλων

B μετέρχονται. τοῖς δ' ἰατροῖς χρήσιμον ἱκανῶς ἐστιν, ὁπόταν ἤτοι τὸ ἥμισυ τοῦ σώματος, ἢ καὶ ἅπαν ὀλίγου δεῖν ἐξαίφνης παραλυθὲν, ἀκίνητόν τε ταῖς κατὰ προαίρεσιν ἐνεργείαις γένηται, καὶ πρὸς τούτοις γε, ἤτοι παντάπασιν ἀναίσθητον, ἢ ἀμυδρῶς αἰσθανόμενον, ἐπίστασθαι τίνι χρὴ τόπῳ τοῦ σώματος ἐπιβάλλειν τὰ βοηθήματα. τοῦτο δὲ οὐχ οἷόν τε γνῶναι, πρὶν τοῦ ζητηθῆναι πότερον ἐξ αὑτῶν τήν τ' αἴσθησιν ἔχει καὶ τὴν εἰρημένην κίνησιν ἅπαντα τοῦ ζώου τὰ μόρια, ἢ διὰ νεύρων αὐτοῖς ἐπιρρεῖ τις ἐξ ἐγκεφάλου δύναμις, ὡς πᾶσιν ὁμολογεῖται τοῖς ἀνατομικοῖς, ἢ, καθάπερ ἔνιοί φασιν, ἐκ καρδίας. οἱ

C Στωϊκοὶ δ' οὐκ οἶδ' ὅπως ἀχρήστως εἰς τὴν τοῦ τέλους εὕρεσιν, ἐν ᾧ κριθέντι, τὴν εὐδαιμονίαν εἶναί φασιν, ἐπεχείρησαν οὐ ζητῆσαι μόνον, ἀλλὰ καὶ χωρὶς τῶν ἐξ ἀνατομῆς φαινομένων, ἐξ ὧν εὑρεθῆναι δυνατὸν ἦν αὐτά. ἀλλὰ γὰρ ἐπειδήπερ ἧκον ὥσπερ ἐν ἄλλοις πολλοῖς, οὕτω κἀνταῦθα πρὸς ἀχρήστου πράγματος ἑαυτοῖς ἐπίσκεψιν, ἐχρῆν αὐτοὺς ἐκ τῶν ἐναργῶς φαινομένων ὁμοίως τοῖς ἀνατομικοῖς ἰατροῖς τὰς ἀρχὰς τῆς ἀποδείξεως πεποιῆσθαι. οἱ δέ γε ἀποφηνάμενοι τὴν καρδίαν πρώτην διαπεπλάσθαι, μήτε φαινόμενον ἐξ ἀνατομῆς ἔχοντες εἰπεῖν, ἐξ οὗ τὴν ἀρχὴν τῆς εὑρέσεως ἐποιήσαντο, μή-

D τε λογικήν τινα ἀπόδειξιν ἄλλην, ἑτέραν ἀφ' ἑτέρας συνάπτουσιν ἄγνοιαν, ὑπὸ τῆς καρδίας τἄλλα γεγονέναι φάσκοντες, εἶναί τε ταύτην, ὥσπερ τῆς γενέσεως αὐτῶν, οὕτω καὶ τῆς διοικήσεως ἡγεμόνα. πρότερον μὲν οὖν ὅτ' οὔπω τὰ τῆς ἀνατομῆς εἰς τοσοῦτον προεληλύθει γνώσεως, εἰς ὅσον νῦν προελήλυθεν, εἰκὸς ἦν ἀπορεῖν τι περὶ τῆς ἐπιπεμπούσης ἀρχῆς διὰ τῶν νεύρων τοῖς τοῦ ζώου μορίοις, αἴσθησίν τε καὶ κίνησιν. ἤδη δὲ καὶ πολλοῖς τοῖς τ' ἀνατομικοῖς ὁμολογουμένης ταύτης τῶν παθῶν τῆς ἰάσεως ἐκ πολυχρονίας τε καὶ συμφώνου πείρας ἅπασι τοῖς ἰατροῖς κεκριμένης, καὶ μηδενὸς ἔτι μήτ' ἐπὶ τῶν ἄνευ πυ-

E ρετοῦ μαινομένων, ἢ μελαγχολώντων, ἢ τὸν λογισμὸν, ἢ τὴν μνήμην ὁπωσοῦν βεβλαμμένων, ἢ μετὰ πυρετοῦ φρενιτιζόντων, ἢ ληθάργῳ κατειλημμένων, ἢ ἐπιλήπτων, ἢ ἀποπλήκτων, ἀφισταμένου τῆς κατὰ τὴν κεφαλὴν ἐπιμελείας, αὐτοὶ μόνοι ζητοῦσιν ἔτι τὰ σαφῶς γιγνωσκόμενα πᾶσι τοῖς εὑρεῖν αὐτὰ βουληθεῖσιν. ἀλλὰ τούτων μὲν ἅλις, ἔν γε τῷ παρόντι, δέδεικται γὰρ ἑτέρωθι περὶ ὧν ἀχρήστως ὡς πρὸς τὸ τέλος εἰς μακρὰς ζητήσεις ἐνέβαλον ἑαυτοὺς ἔνιοι τῶν φιλοσόφων, οὐδὲ πιθανὴν πρόφασιν εὑρεῖν τῆς ζητήσεως αὐτῶν δυνάμενοι, καθάπερ οἱ θεωρητι-

F κοὶ ὑποθέμενοι τὴν, εἴτε φιλοσοφίαν χρὴ λέγειν, εἴτ' εὐδαιμονίαν.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Διορισμοὶ ἐξ ὧν γιγνώσκομεν εἰ τόδε μόριον ἐκ τοῦδε πέφυκεν· καὶ ὅτι ἀπὸ τοῦ πρώτως γεγονότος οὐκ ἐξ ἀνάγκης καὶ τἄλλα γέγονε.

Ὃ δὲ προσθεῖναι τοῖς προειρημένοις ἀναγκαῖόν ἐστιν, ἀγνοούμενον καὶ αὐτὸ τοῖς γενναίοις φιλοσόφοις, ὥσπερ καὶ τἄλλα τὰ ἐξ ἀνατομῆς φαινόμενα, καιρὸς ἤδη μοι φράσαι, τὴν ἀρχὴν ἀφ' ὧν Ἡρόφιλος ἔγραψε ποιησαμένῳ. τὰς γὰρ ἀνατομικὰς διηγήσεις ἀξιοῖ μηδεμίαν ἐκ τοῦ φάναι τὸ δέ τι μόριον ἐκ τοῦδε πεφυκέναι πρόληψιν ἐργάζεσθαι πρὸς τὰ δόγματα, καθάπερ ἔνιοι κακῶς ἀκούοντες ποιοῦσιν· ἐξ ἄλλων γὰρ φαινομένων, τὰς διοικούσας ἡμᾶς εὑρίσκεσθαι δυνάμεις, οὐκ ἐξ αὐτῆς ἁπλῶς τῆς θέας τῶν μορίων. διορισμῶν δέ τινων ὁ λόγος οὗτος χρῄζει, λελεγμένων μὲν ἐπιπλέον ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ὑπομνήμασιν, ἐν κεφαλαίοις δὲ καὶ νῦν ἀναγκαίοις οὖσι λεχθῆναι. πρῶτος μὲν οὖν διορισμός ἐστιν, ἀπὸ τῶν ἀποτεμνομένων, ἢ βρόχῳ διαλαμβανομένων, ἀρτηριῶν τε καὶ φλεβῶν καὶ νεύρων, ἐφ' ὧν ὁρᾶται τὰ μὲν ἐπὶ θάτερα μέρη τῶν βρόχων ἐνεργοῦντα τὰς οἰκείας ἐνεργείας, τὰ δ' ἀπολλύντα τελέως. τὸ δ' αὐτὸ τοῦτο κἀπὶ τοῦ νωτιαίου μυελοῦ φαινόμενον, ἐναργῶς ἰδεῖν ἐστιν. διαιρεθέντος γὰρ αὐτοῦ κατά τινα τόπον τῆς ῥάχεως, ὅσα μὲν ἀνωτέρω τῆς ἀπ' αὐτοῦ πέφυκε νεῦρα, διασώζοντα φαίνεται τήν τε κίνησιν καὶ τὴν αἴσθησιν· ὅσα δὲ κατωτέρω, πάντ' ἀπολλύντα παραχρῆμα. δῆλον οὖν ἐκ τούτου γίγνεται, τὰς δυνάμεις ταύτας ἄνωθεν ἐπιρρεῖν αὐτῷ παρὰ τοῦ ἐγκεφάλου. κατὰ δὲ τὸν αὐτὸν λόγον ὅταν ἀρτηρίας ἡστινοσοῦν βροχισθείσης, ὅσα μὲν ἀνωτέρω τοῦ βρόχου συνεχῆ τῇ καρδίᾳ φαίνεται σφύζον, ὡς ἔμπροσθεν, ἄσφυκτον δ' αὐτίκα γίγνεται τὸ ἄλλο, πρόδηλον δήπου κἀνταῦθα τὰς ἀρτηρίας ἀπὸ τῆς καρδίας τὴν ἀρχὴν εἶναι τῆς κινήσεως. αὕτη μὲν οὖν ἀρίστη τε καὶ σαφεστάτη κρίσις ἀρχῆς ἐνεργειῶν. ἐφεξῆς δ' αὐτῆς, τῶν ἐξεταζομένων σωμάτων ἡ οὐσία, πότερον ἡ αὐτὴ κατὰ πάντ' ἐστὶν, ἢ διαφέρουσα παντοίως. ἡ μὲν γὰρ τοῦ νωτιαίου τε καὶ τῶν νεύρων ἡ αὐτὴ κατὰ πάντ' ἐστὶ τῇ ἐγκεφάλου, καθάπερ γε καὶ ἡ τῶν περιεχόντων αὐτὰ σκεπασμάτων τῇ τῶν περιεχουσῶν μηνίγγων τὸν ἐγκέφαλον. ἡ δὲ τῶν ἀρτηριῶν, οὐδὲν οὐδ' ἐγγὺς ἔχουσα τῇ τῆς καρδίας οὐσίᾳ, καθάπερ οὐδὲ ἡ τῶν φλεβῶν τῇ τοῦ ἥπατος. ὅταν μὲν οὖν ἡ αὐτὴ φαίνηται, πρόδηλόν ἐστιν ἀποβλαστήματ' εἶναι τὰ λεπτότερα τῶν παχυτέρων, οὐ δυνάμενα γεννηθῆναι χωρὶς ἐκείνων, ὥσπερ οὐδ' οἱ κλάδοι, χωρὶς τοῦ στελέχους. ὅταν δ' ἄλλη μὲν ἡ τῆς φλεβὸς οὐσία φαίνηται σαφῶς, ἄλλη δ' ἥ τε τῆς καρδίας, καὶ τοῦ ἥπατος, ἄδηλόν ἐστιν ὅσον ἐπὶ τοῖσδε τοῖς φαινομένοις, εἴτ' ἐκ καρδίας ἡ κοίλη φλὲψ ἐκπεφυκυῖα τὴν ἔκφυσιν εἰς ἧπαρ προήνεγκεν, εἴτ' ἐξ ἥπατος ἔχουσα τὴν ἀρχὴν, εἰς τὴν καρδίαν κατεπέφυκεν, ἢ τούτων μὲν οὐδέτερον, ἄλλο δέ τι τρίτον ἐστὶ μόριον, ἀρχὴ τῆς φλεβὸς ταύτης. ὥστ' εἰκότως, ἐπὶ μὲν τῆς ἡπατίτιδος φλεβὸς, ἐζήτηται τοῖς ἀνατομικοῖς ἡ ἀρχὴ τῆς γενέσεως, περὶ δὲ τῶν νεύρων ὡμολόγηται, κἂν εὑρεθῇ τὸ ἧπαρ ἀρχὴ τῆς γενέσεως τῇ κοίλῃ φλεβὶ, καὶ οὕτως ἄδηλον, ὅσον ἐπὶ τῷδε, πότερον ὥσπερ ἐγένετο πρότερον, οὕτω καὶ τῆς ἐν τοῖς τελείοις διοικήσεως ἀρχὴ καθέστηκεν, ἢ παρ' ἄλλου τινὸς αὐτοῖς τοῦθ' ὑπάρχει.

CAPVT V.

Distinctiones quibus cognoscimus, an vna pars ex alia oriatur; & quod ab ea, quæ primum genita est, non necessariò reliquæ oriantur.

NVnc iam tempus est vt id quod antedictis adiici necessarium est, generosis his philosophis, & ipsum ignotum, vt cætera quæ ex dissectione apparent, ab Herophili scriptis exorsi, qui anatomicas narrationes censet ex eo si dicas, hanc partem ab illa originem traxisse, nullam ad decreta statuenda occasionem afferre, quemadmodum prauè intelligentes nonnulli faciunt; ex aliis enim apparentibus facultates nos administrantes, non ex ipsa simpliciter membrorum inspectione inueniri. Verùm hæc oratio distinctionibus quibusdam indiget; quas etsi in commentariis de Hippocratis & Platonis placitis vberiùs explicauerimus, nunc tamen eas summatim perstringere necesse est. Prima igitur distinctio sumitur ab arteriis, aut venis, aut neruis, vel præsectis, vel laqueo interceptis, in quibus altera à laqueo sita pars functiones proprias retinet, altera penitus amittit. Idem etiam in spinali medulla euidenter apparet; nam si aliquo in loco spina diuidatur, qui supra incisionem ab ipsa prodeunt nerui, sensum & motum integrum seruant; qui inferiùs sunt, omnes protinus amittunt. Qua ex re facultates has desuper à cerebro in ipsam influere cuiuis perspicuum est. Simili ratione quum arteriæ cuiuslibet laqueo constrictæ, pars quæ cordi continua supra vinculum existit, pulsare sicut priùs apparet; alia verò quæ infra est, pulsu statim priuari; constat nimirum & hîc arteriis originem motus à corde procedere. Hoc igitur & optimum est & clarissimum principij functionum indicium. Post istud, vtrum corporum, de quibus est quæstio, substantia in omnibus eadem sit, an prorsus diuersa. Etenim spinalis medullæ, & neruorum substantia in omnibus cerebro respondet; sicut & horum operimenta cum cerebri operimentis, quas meningas dicunt, eadem sunt. Verùm arteriarum substantia, ne propè quidem ad cordis, sicut nec iecoris, ad venarum naturam accedit. Quum igitur eadem esse appareat, liquet tenuiora à crassioribus fuisse propagata, vt quę gigni absque illis, quemadmodum nec rami absque caudice, minimè possint. At quum alia venæ, alia cordis & iecoris substantia manifestè deprehendatur, incertum relinquitur, quantum ad hæc apparentia spectat, an ex corde exorta caua vena in iecur inseratur, an à iecore procedens in cor insinuetur, an horum neutrum sit, sed alia quædam tertia pars venæ huius origo existat. Quare non iniuria de huius iecorariæ venæ origine ab Anatomicis quęsitum est, de neruorum autem principio inter omnes conuenit. Et si iecur cauæ venæ origo esse inueniretur: sic quoque in dubio esset quantum ad hoc, vtrum sicut prius fuit, ita quoque in perfectis gubernationis principium sit, an ab alio quodam hoc ipsis contingat.

Distin-

Distinguendum autem est, magnáne vasa paruorum, an parua magnorum principia sint; nam in hoc quoque à nonnullis medicis erratum est, quemadmodum ab eo qui venarum quæ in ventrem & intestina pertingunt, fines esse originem dicebat, qui quidem fines ne excogitari quidem possunt, nisi etiam vena quæ in chorio ad iecur tendit, propaginem in ipsa distribuendam emiserit. Consentaneum igitur est, ex eo quod apparet, inferre venarum initia quæ in vtero sunt, extremis radicum arborum fibris, venam, quæ ad iecur per vmbilicum tendit, trunco assimilari. Quæ quum ita se habeant omnes quæ in corpore sunt animalis fines venarum, surculis, non radicibus respondebunt. Iam ego quoque aliquando rationem hanc considerare sum conatus, quomodo liceret dicere primas omnium è semine tunicas fuisse procreatas duorum horum vasorum quæ in fœtibus, & in perfectis maxima habentur; intelligo magnam arteriam, & venam quæ inter vmbilicum & iecur est; & his discissis ea quæ in chorio sunt, *omnes* generari, deinde horum extrema arborum radicum finibus comparari. Verùm hac quoque ratione, nec iecur, nec cor primò nasci videntur; vt quæ sanguinea substantia planè ad sui constitutionem indigeant, quam per vasa ex vtero afferri necesse est. Vnde rursus, quemadmodum superius etiam dicebamus, semen opificis rationem subibit; vasa verò hæc, quibus sanguinem ex prægnante attrahi ad viscerum procreationem necesse est, omnium prima generabuntur. Deinde autem post ipsa, iecur & cor, quemadmodum domus fundamentum, & nauigij carina. Quo verò tempore seminis vis hæc format, quædam etiam alia verisimile est, tum his adiacentia, tum inter hæc & vterum sita, formari. Nunquam enim facultatem, quæ plantas & animalia fingit, sistere ac cessare credibile est, sed totam omnibus simul partibus & innasci & augeri. Nequaquam igitur quæ animalia fingit natura, ab aliarum partium fabricatione desistet, sed & venas & arterias semper scindendo producet, hísque alia viscera sicut iecur & cor diximus, aggenerabit; simul & conuenientem formam & situm, aliáque omnia, quæ partes singulas habere conuenit, decenter efficiet. Omnibus igitur modis conuincuntur isti qui temerè ab ea parte quæ prima fuerit formata, reliquas gigni pronunciant: non enim profectò opifex illa causa, vbi partem aliquam absoluit, à fœtu recedit, imperans ei quæ fecit, vt reliqua generent; hac enim ratione arteriæ & venæ primùm generatæ alia generabunt. Neque enim arteriarum & venarum corpora videntur è iecoris aut cordis substantia progerminasse, sicut è cerebro & membranis medulla spinalis & nerui. Quare maximè probabile est, quantùm de incertis pronunciari licet, ipsam vim quæ arterias & venas creauit, eandem illas scindendo omnibus fœtus partibus applicare, ipsas partes in propriis sedibus vndique collocantem. Maximè item probari potest, formatas partes vbi primùm perfectè absolutæ sunt, incipere proprias substantiæ suæ functiones obire, & neque renes, neque vuluam, neque lienem, neque intestina, aut demum aliquam aliam partem naturalem alterius auxilio ad pro-

A διαιρεῖσθαι δὲ χρὴ καὶ περὶ τοῦ, πότερον τὰ μεγάλα τῶν ἀγγείων ἀρχαὶ τοῖς μικροῖς εἰσιν, ἢ τὰ μικρὰ τοῖς μεγάλοις· ἡμάρτηται γάρ τι καὶ περὶ τῶνδε τῶν ἰατρῶν ἐνίοις, ὥσπερ καὶ τῷ φάντι, τῶν εἰς τὴν γαστέρα καὶ τὰ ἔντερα καθηκουσῶν φλεβῶν, ἀρχὴν εἶναι τὰ πέρατα, μηδ᾽ ἐπινοηθῆναι δυναμένοις τοῖς πέρασι τούτοις τῆς γενέσεως, ἄνευ τοῦ, τὴν ἐκ τοῦ χορίου φλέβα παραγενομένην εἰς ἧπαρ, ἀπόφυσιν ἑαυτῆς πέμψαι διανεμηθησομένην εἰς αὐτά. εὔλογον γάρ ἐστιν ἐκ τοῦ φαινομένου τούτου λογίζεσθαι, τὰς μὲν ἐν τῇ μήτρᾳ τῶν φλεβῶν ἀρχὰς, ἐοικέναι τοῖς ἐπὶ τῶν δένδρων πέρασι τῶν ῥιζῶν, στελέχει δέ τινι τὴν εἰς ἧπαρ ἀφικνουμένην B δι᾽ ὀμφαλοῦ. καὶ τούτων οὕτως ἐχόντων, ἅπαντα τὰ κατὰ τὸ ζῶον ὁρώμενα πέρατα τῶν φλεβῶν, ἀκρέμοσιν οὐ ῥίζαις ἀνάλογον ἔχειν. ἐπεχείρησα δέ ποτε καὶ περὶ τοῦδε τοῦ λόγου διασκέψασθαι, καθ᾽ ὃν ἐγχωρεῖ φάναι τρόπον, πρώτους ἁπάντων ἐκ τοῦ σπέρματος γενέσθαι τοὺς χιτῶνας τῶν δύο τούτων ἀγγείων, ἃ καὶ τοῖς ἐμβρύοις καὶ τοῖς τελείοις φαίνεται τὰ μέγιστα· λέγω δὲ τήν τε μεγάλην ἀρτηρίαν, καὶ τὴν μεταξὺ τοῦ ὀμφαλοῦ τε καὶ τοῦ ἥπατος φλέβα, καὶ τούτων σχιζομένων, τὰς κατὰ τὸ χορίον γενέσθαι, κἄπειτα τούτων τὰ πέρατα τοῖς ἐπὶ τῶν δένδρων ἐοικέναι πέρασι τῶν ῥιζῶν. ἀλλὰ καὶ κατὰ τοῦτον τὸν λόγον, οὔτε τὸ ἧπαρ, οὔτ᾽ ἡ C καρδία φαίνεται πρῶτα γιγνόμενα. δεῖται γὰρ δή που προφανῶς εἰς τὴν γένεσιν αἱματικῆς οὐσίας, ἣν διὰ τῶν ἀγγείων ἐκ τῆς μήτρας ἀναγκαῖόν ἐστιν ἀφικνεῖσθαι. πάλιν οὖν ὅπερ ἤδη καὶ πρόσθεν ἔφαμεν, τὸ μὲν σπέρμα τὸν τοῦ δημιουργοῦ λόγον ἕξει, τὰ δ᾽ ἀγγεῖα, δι᾽ ὧν ἐπισπᾶται παρὰ τῆς κυούσης αἷμα, πρὸς τὴν τῶν σπλάγχνων γένεσιν, ἁπάντων πρῶτα γεννηθήσονται. δεύτερα δ᾽ ἐπ᾽ αὐτοῖς ἧπάρ τε καὶ καρδία, καθάπερ οἰκίας θεμέλιον, καὶ πλοίου τρόπις. ἐν ᾧ δὲ χρόνῳ διαπλάττει ταῦτα ἡ ἐν τῷ σπέρματι δύναμις, εὔλογον δή που καὶ ἄλλα τινὰ διαπλάττεσθαι, παρακείμενά τε τοῖσδε, καὶ μεταξὺ κείμενα τούτων τε καὶ τῆς D μήτρας· οὐδέποτε γὰρ εἰκὸς ἵστασθαι τὴν περὶ τὰ φυτὰ καὶ τὰ ζῷα διαπλάττουσαν δύναμιν, ἀλλὰ πᾶσαν δύναμιν ἅπασιν ἅμα τοῖς μέρεσιν, ἐπιφύειν τε καὶ προσαύξειν. οὐκ οὖν ἀποστήσεται τῆς τῶν ἄλλων δημιουργίας ἡ διαπλάττουσα τὰ ζῷα φύσις, ἀλλὰ τάς γε φλέβας, ὥσπερ γε καὶ τὰς ἀρτηρίας ἀεὶ προάξει κατασχίζουσα, ταύταις τε τἆλλα σπλάγχνα, καθάπερ ἧπάρ τε καὶ καρδίαν ἐλέχθη παραφύειν, ἅμα καὶ τὸ σχῆμα τὸ πρέπον καὶ θέσιν, ὅσα τἆλλα τοιαῦτα προσήκει τοῖς μορίοις ἔχειν, ἀπεργάζεσθαι προσηκόντως· παντοίως οὖν ἐλέγχονται προπετῶς ἀποφαινόμενοί τινες ὑπὸ τοῦ πρώτου διαπλα- E σθέντος μορίου, τἆλλα γεννᾶσθαι. τὸ γὰρ ἐκεῖνον δημιουργῆσαν αἴτιον, οὐ δή που μετὰ τὸ συμπληρῶσαι τὸ μόριον ἐξῆλθεν ἐκ τοῦ κυουμένου, προστάξαν οἷς ἐποίησεν τἆλλα γεννῆσαι· κατὰ γάρ τοι τὸν λόγον τοῦτον, αἱ ἀρτηρίαι καὶ φλέβες αἱ πρῶται γεννηθεῖσαι, τἆλλα γεννήσουσιν. οὐ μὲν οὐδὲ φαίνονται τῆς ἥπατος ἢ καρδίας οὐσίας ἀποφύσεις οὖσαι τῶν ἀρτηριῶν καὶ φλεβῶν σώματα, καθάπερ ἐγκεφάλου τε καὶ μηνίγγων, ὅ τε νωτιαῖος καὶ τὰ νεῦρα. πιθανώτατον οὖν ἐστιν ὡς ἐν ἀδήλοις ἀποφήνασθαι, τὸ τὰς ἀρτηρίας καὶ φλέβας γεννῆσαν, αὐτὸ τοῦτο κατασχίζον αὐτὰς, προσάγειν ἐπὶ πάντα τοῦ κυουμένου τὰ μέρη, περι- F πλάττον αὐτὰ κατὰ τοὺς οἰκείους τὰ μόρια. πιθανώτατα δὲ καὶ τὰ διαπλασθέντα τὴν τελεωτάτην ἴσχοντα συμπλήρωσιν, ἐνεργεῖν ἄρξασθαι ταῖς οἰκείαις τῆς ἑαυτῶν οὐσίας ἐνεργείαις· καὶ μήτε τοὺς νεφροὺς δεῖσθαί τινος ἄλλου μορίου, πρὸς τὴν ἰδίαν ἐνέργειαν, μήτε τὰς μήτρας, μήτε σπλῆνα, μήτ᾽ ἔντερα, μήθ᾽ ὅλως ἄλλο μηδὲν

ὄργανον φυσικόν. ἐπεὶ δὲ οὔτε κατὰ τὸ ποσὸν ἡ οὐσία διαμένει τῶν μορίων, ἀπορρῆς αὐτῶν ἱκανῆς ὁσημέραι γιγνομένης, οὔτε ἡ κατὰ τὸ ποιόν, ἀλλοιοῦται γὰρ καὶ κατὰ τοῦτο πολυειδῶς, ἐπικουρίας δεῖται τῆς ἐξ ἀλλήλων, ὅπως ἀναπληρῶται τὸ κενούμενον, ἐπανορθοῦταί τε ἀλλοιούμενον. ἅς τινας ἐπικουρίας, ὅσαι τέ εἰσι καὶ ὁποῖαι, μὴ ὅτι τῶν φιλοσόφων τις εὗρεν ἀκριβῶς, ἀλλ' οὐδὲ τῶν ἰατρῶν, ὅσοι χωρὶς ἀνατομῆς ἐπὶ τὴν ζήτησιν αὐτῶν ἧκον. ἡ γοῦν καρδία (ταύτην γὰρ μόνην ἔνιοι διοικεῖν βούλονται τὸ ζῶον) ἐπειδὰν στερηθῇ τῆς ἀναπνοῆς, αὐτή τε παύεται κινουμένη, καὶ σὺν αὐτῇ τὸ πᾶν ζῶον ἀπόλλυται. στερίσκεται δὲ τῆς ἀναπνοῆς, οὐ μόνοις τοῖς ἀπαγξαμένοις, ἢ διὰ τὴν φλεγμονὴν τῶν περὶ λάρυγγα μορίων φραχθέντος τοῦ πόρου τῆς εἰσπνοῆς, ἀλλὰ καὶ τῶν κινούντων τὸν θώρακα νεύρων κακωθέντων, ἤτοι διὰ τομῆς ἢ θλάσεως ἢ βρόχου, ὧν ἁπάντων ἐστὶν ὁ νωτιαῖος μυελὸς ἀρχή, καθάπερ ἐγκέφαλος ἐκείνου. ὥσπερ οὖν ὁ ἐγκέφαλος εἰς τὴν διαμονὴν τῇ καρδίᾳ χρήσιμος ὑπάρχει, διὰ νεύρων τὸν θώρακα κινῶν, οὗ διαστελλομένου μὲν εἰσπνοὴ γίγνεται, συστελλομένου δ' ἐκπνοή, κατὰ τὸν αὐτὸν τρόπον ἐγκεφάλῳ παρέχει τινὰ χρείαν ἡ καρδία, καὶ τούτοις τὸ ἧπαρ, ὡς ἐν τοῖς περὶ τούτων ἀποδέδεικται λόγοις· οὐ μόνον δὲ ταῖς τρισὶ ταύταις ἀρχαῖς ὑπ' ἀλλήλων ὠφελεῖσθαι συμβέβηκεν, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι μορίοις. αὐτίκα γοῦν ἵν' ἀφ' ἑνὸς ἀναμνήσω, τὰ καθ' ἕκαστον τῶν ἄλλων ἐν τοῖς περὶ χρείας μορίων εἰρημένα, δι' ἧπαρ ἐγένοντο, καὶ οἱ νεφροί, καὶ κύστεις δύο. κατὰ μὲν αὐτοῦ τοῦ σπλάγχνου τὴν ἐπίφυσιν ἡ χοληδόχος ἔχουσα, τοῖς νεφροῖς δ' αὖθις, ἡ οὐροδόχος τεταγμένη, τὰ δ' ἰλυώδη περιττώματα τοῦ σπλάγχνου καθαίρων ὁ σπλήν. ὅτι δὲ καὶ ἡ γαστὴρ προπέττει τῷ ἥπατι τὴν τροφήν, ἥτε τῶν ἐντέρων ἕλιξ ἀναδόσεως ἕνεκα ἐγένετο τῆς εἰς αὐτά, δέδεικται· καὶ ταῦτα καὶ τἄλλα πάντα τὰ καθ' ἕκαστον τόπον τοῦ σώματος, ἐν τοῖς περὶ χρείας μορίων ὑπομνήμασιν, ὧν οὐδέν, οὐδ' ἄχρι βραχέος ἐγνωκότες οἱ τῇ καρδίᾳ πάντ' ἀνατιθέντες, ἰατροί τε καὶ φιλόσοφοι, τολμηρῶς ἀποφαίνονται. ἀλλὰ ταῦτα μὲν ἴσως ἐπὶ πλέον ἢ κατὰ τὸ προκείμενον νῦν ἐκτέταται πάντα, εἰκότως τῶν ἀνατομικῶν ἰατρῶν ἀγανακτούντων, ἐφ' οἷς οὐ μόνον ἀποφαίνονταί τινες ὑπὲρ ὧν οὐκ ἴσασιν, ἀλλὰ καὶ θρασέως ἐπιτιμῶσι τοῖς ἐπισταμένοις. οἵ γε νομίζουσι τὸ πρῶτον διαπλασθὲν ὑπὸ τῆς φύσεως μόριον, αὐτὸ διαπλάττειν τἄλλα, καὶ τοῦτ' εἶναι τὴν καρδίαν, οὐ μόνον ἀπατώμενοι κατ' ἀμφοτέρας τὰς ἀποφάσεις, ἀλλὰ κἂν συγχωρηθῇ, μὴ μόνον ἁπάντων πρώτην διαπλάττεσθαι τὴν καρδίαν, ἀλλὰ καὶ τἄλλα διαπλάττειν αὐτήν, οὐκ ἐξ ἀνάγκης ἑπόμενον, τοῖς δὲ τὰς ἐν τοῖς τελείοις ζώοις ἐνεργείας ὑπ' ἐκείνης γίγνεσθαι, οὐδὲ ταὐτόν ἐστιν ἢ φύσεως ἢ διοικήσεως ἀρχὴν εἶναί τι.

priam functionem indigere. Quoniam verò partium substantia neque secundum quantitatem eadem permanet, quum multum quotidie ex ipsis defluat; neque secundum qualitatem, varias enim alterationes experitur, mutuo subsidio indiget, quò & exinanitum repleatur, & alteratum corrigatur. Quæ quidem auxilia, quot & qualia sint, non modò philosophorum aliquis accuratè deprehendit, sed ne medicorum quidem, qui absque Anatomes peritia ad quæstionem hanc accesserit. Cor quippe (hoc enim solum regere animal nonnulli existimant) vbi respiratione fuerit priuatum, & ipsum moueri desinit, & cum ipso animal etiam totum interit. Priuatur autem respiratione, non tantum suspendio suffocatis hominibus, aut ex inflammatione faucium inspirationis meatu obstructo, verùm etiam neruis qui thoracem mouent vitiatis, vel præcisione, vel collisione, vel laqueo; qui omnes à spinali medulla, quemadmodum ipsa à cerebro originem habent. Sicut igitur cerebrum ad tuendum cor vtile est neruis thoracem mouens, quo distento, inspiratio; contracto, respiratio fit: eodem modo cerebro vsum quendam cor ipsum præstat, atque his vtrisque iecur, vt in scriptis de his commentariis demonstratum est; neque hæc tria tantum principia, sed omnes etiam aliæ partes sibi inuicem auxiliari solent. Verbi gratia, vt ex vno reliqua sigillatim omnia quæ in libris de vsu partium dicta sunt, in memoriam reuocem, ob iecur, & renes & vesicæ duæ factæ sunt; quæ bilem recipit, ipsi visceri innexa; quæ verò vrinam, ad renes collocata, fæculenta autem visceris excrementa, lien expurgat. Quòd autem & ventriculus iecori præcoquat alimentum, quódque intestinorum anfractus digestionis quæ ipsa intestina fit, causa, fuerit effectus, satis indicatum est, aliáque omnia quæ in vnaquaque corporis parte habentur, in commentariis de vsu partium; quorum nihil ne paululum quidem agnouerant illi tum medici, tum philosophi, qui omnia cordi attribuentes arroganter pronunciant. Verùm hæc prolixiùs etiam fortasse quàm præsens institutum exigebat, protracta sunt omnia; quanquam meritò dissectionis periti medici indignentur, quòd nonnulli non modò de iis quæ ignorant, proferre sententiam, verùm etiam iactabundè eos qui sciunt increpent; qui quidem primò à natura formatam partem, reliquas formare censent, atque hanc esse cor; non tantùm in duabus his sententiis decepti, sed quamuis etiam ipsis concedatur, & primum omnium cor fuisse procreatum & reliqua ipsum procreasse, non necessariò tamen sequitur, vt functiones in adultis animalibus ab illo fiant, neque enim idem generationis & dispensationis principium existit.

CAPVT VI.

Quæ à Philosophis dicta sunt de animæ substantia, ac de causa fœtuum formatrice, partim incerta esse, partim falsa, neq; se habere quiquam certi quod afferat.

SEd iam ad id quod præcipuè est in hac disputatione propositum, digressi, istos ipsos ostendemus ne illa quidem quæ à medicis inquiruntur, rectè fuisse perscrutatos, sed putare si à natura fœtum formari dicant, nihil sanè se amplius quàm nomen omnibus consuetum dixisse. Nemo enim tam stolidus est, vt non intelligat quandam fœtus generationis causam esse, quam omnes naturam appellamus, quæ eius sit substantia ignorantes. Ego verò sicut ostendi corporis nostri structuram, summam eius qui illud fabricatus est, & sapientiam simul, & potestatem repræsentare; ita velim mihi philosophos istos opificem indicare, Deúsne aliquis sit sapiens qui primùm sanè cogitauerit, quale cuiusque animantis corpus fingere conueniret; deinde potentiam ipsius qua quæ proposuit, absoluit; an anima quædam à diuina differens; non enim naturæ dictæ substantiam siue corporea, siue incorporea sit, summè prudentem esse dictitant, quam tam artificiosè fœtuum formationem moliri nulla ratione persuaderi posse pronunciant. Hoc enim ab Epicuro & iis qui citra prouidentiam omnia fieri arbitrantur, audientes non credimus. Atqui necessarium est, vel ex motu quodam irrationali & inartificioso, fœtuum formationem optimum finem consequi, aut quemadmodum qui miracula moliuntur, vbi motus initium ipsis exhibuerint, ipsi quidem discedunt; opificia verò ipsa ac machinæ aliquousque non multo tempore artificiosè mouentur; ita etiam Deos, postquam stirpium animaliúmque semina in tantam motuum successionem idonea præpararint, nihil preterea ipsos agere. Verùm priorem opinionem conuincere opus non habeo, vt quam hi ipsi ad quos potissimum hæc mihi disputatio instituta est, damnarint; alteram accuratiùs inspiciendam censeo, an fieri possit vt talis humiditas, qualis in genitura apparet, in tanta motuum mutuò se excipientium serie nihil aberret, donec congruum finem fuerit consequuta. Quemadmodum enim optimum est nusquam in tanta partium copia casu delinquere, ita etiam artificiosam motus consequentiam ab irrationali quadam fieri substantia, quemadmodum ipsi dicunt, affirmare temerarium est. Hoc adhuc admirabilius quod per totam vitam omnibus nobis videntibus accidit, quod nemo eorum qui naturæ cognitionem profitentur vel intellexit, vel inquirere quomodo fieret dignatus est. Quid autem est illud, quod in partium functionibus accidit? Perspicuitatis verò causa, vno aut altero exemplo absoluemus orationem. Proponatur primùm manus, quæ omnes digitos tribus ossibus compositos, atque inter se articulis commissos habet; in quibus nimirum primum exerceri satius esset, illos qui cœlum ac mundum vniuersum erant contemplaturi, quomodo scilicet sint fabricati, quibúsque instrumentis motus ipsis accederet, quomodo aliquando articulis, vel simul omnibus, vel priuatim singulis extenderentur; aliquando in latus flecterentur, idque dupliciter,

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Τῶν ἀπὸ τῶν φιλοσόφων εἰρημένων περὶ τῆς διαπλαστικῆς αἰτίας, τὰ μὲν εἶναι ψευδῆ, τὰ δὲ ἄπορα· καὶ οὐδ' ἄχρι πιθανοῦ αὐτὸν δύνασθαι προελθεῖν.

ΜΕταβάντες οὖν ἐπὶ τὸ μάλιστα προκείμενον ἐν τῇδε τῇ πραγματείᾳ, δείξομεν αὐτοὺς μηδὲ τὰ πρὸς τῶν ἰατρῶν ἐζητημένα καλῶς ἀξιώσαντας ζητῆσαι, ἀλλ' οἰομένους ἐὰν εἴπωσιν ὑπὸ τῆς φύσεως διαπλάττεσθαι τὸ κυούμενον, οὐ μένουσιν εἰρηκέναι μηδὲν πλέον ὀνόματος ἅπασι συνήθους. οὐδεὶς οὖν οὕτως ἐστὶν ἐννεὸς ὡς μὴ νοεῖν εἶναί τινα τῆς τοῦ κυουμένου γενέσεως αἰτίαν, ἣν ὀνομάζομεν ἅπαντες φύσιν, ἀγνοοῦντες αὐτῆς τὴν οὐσίαν. ἐγὼ δ' ὥσπερ ἔδειξα τὴν κατασκευὴν τοῦ σώματος ἡμῶν, ἄκραν ἐνδείκνυσθαι τοῦ ποιήσαντος αὐτὸ σοφίαν τε ἅμα καὶ δύναμιν, οὕτως εὔχομαι δεῖξαί μοι τοὺς φιλοσόφους τὸν διαπλάσαντα, πότερον Θεός τίς ἐστι σοφὸς καὶ δυνατὸς, ὡς ἐννοῆσαι μὲν πρότερον, ὁποῖον ἑκάστου ζῴου προσήκει κατασκευασθῆναι τὸ σῶμα· δεύτερον δὲ τὴν δύναμιν αὐτοῦ, καθ' ἣν ἃ προύθετο κατεσκεύασεν, ἢ ψυχή τις ἑτέρα παρὰ τὴν τοῦ Θεοῦ· οὐ γὰρ δὴ τῆς ὀνομαζομένης φύσεως τὴν οὐσίαν, εἴτ' ἀσώματός τίς ἐστιν, εἴτε σωματική, σοφίας εἰς ἄκρον ἥκειν ἐροῦσιν, ἥν γε μηδ' ὅλως ἔχειν φασίν, οὕτω τεχνικῶς ἐνεργῆσαι περὶ τὴν τῶν ἐμβρύων διάπλασιν οἷόν τε πεισθῆναι. τοῦτο γὰρ Ἐπικούρου τε καὶ τῶν ἄνευ προνοίας ἅπαντα γίγνεσθαι νομιζόντων ἀκούοντες, οὐ πειθόμεθα. καὶ μὴν ἀναγκαῖόν ἐστιν, ἢ κατά τινα κίνησιν ἄλογόν τε καὶ ἄτεχνον, εἰς χρηστὸν τέλος ἀφικνεῖσθαι τὴν διάπλασιν τῶν ἐμβρύων, ἢ καθάπερ οἱ τὰ θαύματα κατασκευάζοντες, ἀρχὴν κινήσεως αὐτοῖς παρασχόντες, ἀπέρχονται μὲν αὐτοί, τὰ δὲ κατασκευασθέντα μέχρι τινὸς οὐ πολλοῦ χρόνου κινεῖται τεχνικῶς· οὕτω καὶ τὰ σπέρματα τῶν φυτῶν καὶ τῶν ζῴων κατασκευάσαντας τοὺς θεοὺς εἰς τοσαύτην διαδοχὴν κινήσεων ἐπιτήδεια, μηδὲν ἔτι πράττειν αὐτούς. ἀλλὰ τὸ μὲν πρότερον ἐλέγχειν οὐ χρήζω, κατεγνωσμένον ὑπὸ τῶν ἀνθρώπων, πρὸς οὓς ὁ λόγος ἐστί μοι μάλιστα· τὸ δεύτερον δ' ἐπισκεπτέον ἀκριβέστερον, εἰ δυνατόν ἐστιν ὑγρότητι τοιαύτῃ, οἵα γονῆς φαίνεται κατὰ τὴν γονήν, εἰς τοσοῦτον ἀριθμὸν ἀλλήλας διαδεχομένων κινήσεων, μηδὲν ἁμαρτεῖν, ἄχρι τοῦ προσήκοντος τέλους. ὥσπερ γὰρ ἄριστον τὸ κατὰ τύχην ἐν τοσούτῳ πλήθει μορίων ἁμαρτηθῆναι μηδέν, οὕτω καὶ τολμηρὸν τὴν ἀκολουθίαν τῆς κινήσεως γενέσθαι τεχνικὴν ὑπό τινος οὐσίας ἀλόγου καθάπερ αὐτοί φασιν. ἔτι δὲ θαυμαστότερον τὸ διὰ παντὸς τοῦ βίου γιγνόμενον, ἁπάντων ἡμῶν ὁρώντων, ὅτι οὐδεὶς τὴν φυσιολογίαν ἀπαγγελλομένων, οὔτε κατενόησεν, οὔτε ἐζήτησεν, ὅπως γίγνεται. τί δὲ τοῦτ' ἐστὶ τὸ κατὰ τὰς ἐνεργείας τῶν μορίων; ἕνεκα δὲ σαφηνείας ἐφ' ἑνὸς ἢ δευτέρου παραδείγματος, ὁ λόγος περανθήσεται. προκεχειρίσθω δὴ πρότερον μὲν ἄκρα χεὶρ, ἔχουσα δακτύλους πάντας συγκειμένους ἐκ τριῶν ὀστῶν, ἀλλήλοις διηρθρωμένους. ἐφ' ὧν, οἶμαι, πρότερον ἄμεινον ἦν γυμνάσασθαι τοὺς μέλλοντας εὑρήσειν τὰ κατὰ τὸν οὐρανὸν, καὶ σύμπαντα τὸν κόσμον, ὅπως κατεσκεύασται διὰ τίνων ὀργάνων ἡ κίνησις αὐτοῖς γίγνεται, πῶς ποτε μὲν ἐκτεινομένων κατὰ τὰς διαρθρώσεις ὁμοῦ τε καὶ πολλάς, ἑκάστου τ' ἐν μέρει, ποτὲ δὲ καμπτομένων εἰς πλάγια διττάς,

ἤτοι πρὸς τὸν μικρὸν ἢ τὸν μέγαν δάκτυλον. εἰ γὰρ ἐγνώσθη ὅτι διὰ μυῶν ἅπασαι γίγνονται, μὴ γινωσκομένων ἡμῶν, πρὶν γυμνωθῆναι διὰ τῆς ἀνατομῆς, ἐθαυμάσθη ἄν, ὅπως οὐ μόνον ἡμεῖς, ἀλλὰ καὶ τὰ μικρὰ παιδία, κελευσθέντων ἐκτεῖναι τόνδε τὸν δάκτυλον, ἢ κάμψαι, παραχρῆμα τὸ κελευσθὲν πράττει, μηδὲ γινώσκοντα τὸν κινοῦντα μῦν. ἔτι δὲ μᾶλλον ἐπὶ τῆς γλώττης, ἐφ᾽ ἧς οὐδὲ τοῖς ἀνατομικοῖς συμπεφώνηται περὶ τοῦ πλήθους τῶν κινούντων αὐτὴν μυῶν· τοσοῦτον ἀποδέουσιν βεβαίως γιγνώσκειν τὸν ἐξηγούμενον μῦν ἑκάστης τῶν κατὰ μέρος κινήσεων. ἀλλὰ καὶ τοῦτο τοῖς ἐπιμελεστέροις τῶν ἰατρῶν ἐζήτηται· καί τις ἔφη, καθάπερ τι ζῶον, ἕκαστον μῦν τῆς βουλήσεως ἡμῶν αἰσθανόμενον, ἐπισπᾶσθαί τε καὶ περιάγειν τὴν γλῶτταν εἰς τὸ προσῆκον σχῆμα τῆς ῥυθμιζομένης φωνῆς. ἀλλὰ τοῦτο μὲν ἅπασι τοῖς ἄλλοις οὐ πιθανὸν εἶναι δοκεῖ. θαυμαστὸν δὲ φαίνεται παιδίον σμικρὸν ἀκοῦσαν τήν, ἄρτος, φωνήν, οὔτε πῶς ἡ γλῶττα σχηματίζεται γιγνώσκον, οὔθ᾽ ὑπὸ τίνων μυῶν ἄγεται πρὸς τὰς κατὰ μέρος κινήσεις, καὶ στίχον γε ὅλον ἐφεξῆς λέγειν πολλὰς μεταβολὰς τῆς γλώττης ποιουμένης, ἑκάστῃ φωνῇ προσηκούσας. ὄντων οὖν ἐν ἡμῖν πλεόνων ἢ τριακοσίων τῶν μυῶν, οὐ πιθανὸν ἕκαστον αὐτῶν ζῶον ὑπάρχειν, ὥστ᾽ ἐγὼ διὰ τοῦτ᾽ ἀποστὰς, ὡς ἀπιθάνου τῆς δόξης, ἐπ᾽ ἄλλην μετῆλθον, ὑφ᾽ ἑτέρων ἀνδρῶν πρεσβευθεῖσαν, ὡς ἑλκόντων τοὺς μῦς ἐπὶ τὴν ἑαυτῶν ἀρχὴν τῶν νεύρων, συμβαίνει ἕπεσθαι τὰ κατωτέρω τῶν τὴν διάρθρωσιν ἐργαζομένων ὀστῶν, εἰς ἃ τοῦ μυὸς ἐμφύεται τὸ πέρας. ἀλλὰ κἀνταῦθα πρὸς τὸ μὴ γινώσκειν ἡμᾶς, ὅν τινα μυῶν ἐπισπᾶσθαι χρή, ἔτι καὶ τὸ μέγεθος αὐτῶν ἀντιμαρτυρεῖ, σμικροτάτων νεύρων εἰς τοὺς μῦς ἐμφυομένων, ἃ μήτ᾽ ἐπὶ ζῶντος τοῦ ζώου φαίνεται, κινούμενα κατὰ τὰς προαιρετικὰς ἐνεργείας ὥσπερ οἱ μύες. ἀλλὰ μὴν δὲ τεθνεῶτος ἑλκόμενα διὰ τῶν ἡμετέρων χειρῶν ἐπισπᾶσθαι φαίνεται τοὺς μῦς, ὥσπερ ἐκεῖνοι τὰ κατὰ τὰς διαρθρώσεις ὀστᾶ, καὶ μὴν κἀκ τοῦ κινεῖσθαι τῶν μυῶν ἕκαστον, οἰκείαν τῇ βουλήσει κίνησιν, οὐ πιθανόν ἐστιν ὁμοίως τοῖς θαύμασιν κατεσκευάσθαι τὸ σπέρμα, μὴ γιγνώσκειν δ᾽ αὐτὸ μηδ᾽ ὅλως παρακολουθοῦν οἷς πράττει. διὸ καὶ τῶν λεγόντων ἑαυτῇ διαπλάττειν τὸ σῶμα τὴν ψυχήν, ὁ λόγος ἔκ τινων φαινομένων πιθανῶς κατασκευαζόμενος, ἐντεῦθεν ἀντιλογίαν ἴσχει. κατασκευάζει μὲν γὰρ αὐτὸν ἡ τῶν μερῶν τοῦ σώματος χρῆσις ἅμα τῷ γεννηθῆναι τοῖς ζώοις ὑπάρχουσα· φαίνεται γοῦν ἕκαστον ἐκείνῳ τῷ μέρει τοῦ σώματος ἀμυνόμενον, ὃ τῶν ἄλλων ὑπερέχει, μόσχος μὲν κυρίττων πρὶν φῦσαι τὰ κέρατα, πῶλος δ᾽ ἵππου λακτίζων, οὐδέπω στερεαῖς ταῖς ὁπλαῖς, ὥσπερ γε τὸ μὲν σκυλάκιον δάκνειν ἐπιχειροῦν, καὶ μηδέπω κρατεροὺς ἔχει τοὺς ὀδόντας· ὅσα δὲ πτηνὰ τῶν ζώων ἐστίν, ἐγχειροῦντα πέτεσθαι, καὶ εἰ μήπω δύναται. ταῦτα γὰρ ἐνδείκνυσθαι δοκεῖ τὴν χρωμένην τοῖς μορίοις ψυχὴν ἐπίστασθαι τὴν χρείαν αὐτῶν, ὡς ἂν αὐτὴν κατεσκευακυῖαν, οὐχ ὑπ᾽ ἄλλου γεγονόσι χρωμένην. ἀλλὰ διὰ τί βουληθέντων ἡμῶν κινῆσαι μόριον ἡντιναοῦν κίνησιν, εὐθέως κινεῖται μὴ γινωσκόντων τὸν κινοῦντα μῦν, αὐτὸ τῶν ἀπορωτάτων ἐστίν· μόγις γοῦν ἐξ ἀνατομῆς ἑκάστου μυὸς εὕρηται τοῖς ἀνατομικοῖς ἡ ἰδία ἐνέργεια. καὶ διὰ τοῦτο ἐνίοις ἔδοξεν, ἄλλην μὲν εἶναι ψυχὴν τὴν κατασκευάσασαν ἕκαστον τῶν μορίων, ἄλλην δὲ τὴν ἐξορμῶσαν ἐπὶ τὰς προαιρετικὰς ἐνεργείας· καὶ φαίνεσθαι κατὰ τοῦτον τὸν λόγον ἐν τοῖς τῶν ζώων σώμασιν, ἔτι διαμένειν ἡ διαπλάσασα

vel ad paruum vel ad magnum digitum. Si enim nouissent per musculos omnes hos *motus* fieri, nobis ignorantibus, priusquam per dissectionem in conspectum venissent, admirati sanè essent quomodo non solum nos, sed paruuli etiam infantes quum aliquem digitum vel extendere, vel inflectere iubentur, statim id faciant, licet mouentem musculum non cognoscant. Quod in lingua magis adhuc mirabile est, de cuius musculorum numero inter Anatomicos non conuenit; tantum abest, vt eos qui singulis motionibus præsunt, certò cognoscant. Verùm hoc quoque à diligentioribus medicis indagatum est; ac quidam fuit qui dixit, vnumquemque musculum quasi animal voluntatem nostram persentientem, attrahere ac circumducere linguam in conuenientem figuram ad vocem exprimendam; atque hoc omnibus aliis probabile minimè videtur. Mirum autem illud omnes putant, paruum puerulum vbi audiuerit hanc vocem, panis, quum neque quomodo lingua figuretur cognoscat, neque à quibus musculis ad singulas vocum motiones agatur, eam, imò totum etiam deinceps versum exprimere; in qua re lingua multas mutationes singulis vocibus accommodatas moliatur. Cæterùm quum plures quàm trecenti musculi in nobis sint, non est sanè credendum, vnumquemque ex ipsis animal esse. Ab hac igitur opinione, vtpote absurda ego digressus, ad aliam ab aliis viris celebratam descendi; nempe à neruis ad originem suam musculos trahi, atque hinc fieri, vt ad eorum attractionem inferior ossium, quæ articulos constituunt, pars, cui musculi caput inseritur, etiam sequatur. Sed hîc quoque preterquam quod non cognoscimus adhuc quisnam musculus attrahendus sit, ipsorũ etiam neruorum magnitudo adhuc refragatur; vtpote quum minimi nerui musculis inserantur, qui neq; dum viuit animal in voluntariis functionibus moueri quemadmodũ musculi apparent; imò neq; in mortuo si nostris manibus trahamus musculos, sicut illi articulorũ ossa trahere cernuntur. Atqui inde quod singuli musculi mouentur, prout voluntas fuerit, non est credibile semen perinde ac miracula fuisse constructum; ignorare autem ipsum, neque quid agat prorsus intelligere. Nam eorum oratio qui animam suum sibi corpus formare dicunt ex quibusdam apparentibus probabiliter confirmata, hinc controuersiã obtinet. Etenim stabilit ipsam singularũ corporis partium vsus, qui simul dum etiã generantur, inesse animalibus ipsis videtur: vnũquodq; enim animal cernimus ea pręcipuè parte, quę aliis pręstat, sese defendere; vitulũ sanè cornu petere priùs etiam quã cornua produxerit; pullum equinũ calcitrare, nondũ solidis vngulis; sicut catulũ quoq; licet dentes nõ validos habeat, morsu aggredi; volucres, volare conari, etsi non possint. Hęc omnia videntur significare animam quę partibus his vtitur, ipsarũ vsum cognoscere, quasi ipsa eas fabricarit, non ab alio fabricatis vtatur. Sed cur vbi partem aliquam mouere voluerimus quocunq; modo, ea statim moueatur, licet mouẽtem musculũ non agnoscamus, longè difficillimũ est; vix enim ex dissectione, Anatomicis propria, vniuscuiusq; musculi functio inuẽta est. Ob quod nõnulli existimarunt aliã esse animã quæ vnamquãq; partẽ construxisset, aliã quæ ad voluntarias functiones incitaret; atq; hac ratione videtur adhuc in animalium corporibus permanere ea quæ partes

partes effingit; non enim fieri potest vt ea quæ nunc adest, conuenienter singulis vtatur; ea verò quæ est fabricata, abierit. Itaque oratio de anima hac quæ partes conformarit, omnino incerta est, miniméque probari potest; vnum illud saltem manifestè indicare mihi videtur, scilicet opificis qui nos condidit artificium; quod nemo, qui modò libero animo rem perpendat, referre in irrationalem fortunam potest. Nam quum in animalis corpore musculi sunt multò plures quàm trecenti illi qui pro voluntate partes mouent, vnusquisque ex ipsis & formam, & magnitudinem, & caput, & finem, & situm admodum conuenientem habet; neruúsque ac vena, & arteria tam aptè pro musculi magnitudine & loco inseruntur; vt nullum ex iis, quum tam multa sint, reprehendi possit; id quod in libris de vsu partium demonstratum est. Attamen si trecentarum partium structuræ, singulæ decem scopos obtinentes, in totum sint absolutæ, ad trium millium numerum omnes euadent, & nondum tamen, id quod maximè mirandum in harum fabricatione est, diximus æquales prorsus esse in sinistris partibus musculos iis qui in dextris sunt, arteriis item arterias, venis venas, ac neruis neruos, vt tria millia scoporum duplicanda iam sint. Idem est in ossibus, quæ plura quàm ducenta numerantur. Etenim & horum singulorum scopi quum sint longè plures quàm decem, constat si duplicentur, plura quàm millia quatuor fore. Eadem ars in visceribus omnibus & demum omnibus partibus spectari potest; vt si quis scopos vniuscuiusque structuræ numerare velit, numerus omnium integrè absolutorum, in dena millia, non millia redigatur, quos ego nequaquam, vt dixi, nisi à sapientissimo ac potentissimo opifice factos esse crediderim. Quis autem hic sit, sperabam me priùs à philosophis esse auditurum, qui de mundo rerúmque vniuersarum generatione pronunciant; multò enim facilius quomodo corpus constructum sit, nosci existimabam. Sed quùm vni horum qui primus obtigisset, discipulum me tradidissem, speraremque ab eo demonstrationes, quemadmodum in Geometria didiceram, auditurum me esse; cognouissémque eum non modò non Geometricas *lineares* demonstrationes, sed ne oratorias quidem argumentationes callere, ad alium me contuli, qui etiam ipse ex propriis argumentis, contraria iis quæ à priori audieram, pronunciabat; qúmque & tertio & quarto fuissem expertus, nullius rei (vt dixi) potui inculpatam aliquam demonstrationem audire. Quamobrem maximo dolore affectus, mecum ipse cœpi inuestigare, an aliquam de structura animalium validam rationem possem inuenire; ac nullam deinde inueni; id quod hoc in libro fateor ingenuè, peritos hac in re philosophos hortatus, vt si quid titulo ipsorum dignum inuenerint, nobis id velint sine inuidia communicare. Nam quum puerulos videamus sonare quæcunque eos iusserimus, verbi causa, smyrnam, scalpellum, smegma, neque tamen musculos qui linguam commodè, vt hæc vox exigit, mouent, multò minus etiam neruos cognoscere. maximè probabile existimo esse, illum qui linguam nostram finxit, quicunque is fuerit, vel ipsum adhuc in formatis partibus permanere, vel partes ipsas animantia constituisse, quę voluntatem principis partis animæ nostræ cognos-

ψυχὴ τὰ μόρια, οὐ γὰρ οἷόν τε χρῆσθαι μὲν ἑκάστῳ προσηκόντως τὴν νῦν οὖσαν, οἴχεσθαι δὲ τὴν κατασκευάσασαν. ἄπορος οὖν ὁ περὶ τῆς διαπλασάσης τὰ μόρια ψυχῆς λόγος ἐκ πάσης λαβῆς ὑπάρχει. ἓν μόνον ἐμοὶ γοῦν δοκεῖ σαφῶς ἐνδείκνυσθαι τὴν τέχνην τοῦ κατασκευάσαντος ἡμᾶς, ἣν οὐχ οἷόν τ' ἐστὶν τὸν ἐλευθέρᾳ γνώμῃ σκοπούμενον, εἰς τύχην ἄλογον ἀναφέρειν. ὄντων γοῦν ἐν τῷ σώματι μυῶν πολὺ πλειόνων ἢ τῶν τριακοσίων, ὑφ' ὧν κινεῖται τὰ μόρια τὰς προαιρετικὰς κινήσεις, ἕκαστος αὐτῶν, καὶ σχῆμα τὸ πρέπον ἔχει, καὶ μέγεθος, καὶ κεφαλὴν, καὶ τελευτὴν, καὶ θέσιν, ἔμφυσίν τε νεύρου καὶ φλεβὸς καὶ ἀρτηρίας, ἁρμοττόντων τῷ μυῒ κατά τε τὸ μέγεθος καὶ τὸν τόπον τῆς ἐμφύσεως, ὧν οὐδὲν ὄντων τοσούτων, εὕροις ἂν μέμψασθαι, δέδεικται γὰρ ἐν τοῖς περὶ χρείας μορίων τοῦτο. καὶ μὴν εἰ τριακοσίων μορίων κατασκευῆς ἑκάστης ἐχούσης σκοποὺς ι', πάντα φαίνονται κατορθούμενα, τρισχίλιοι γίγνοιντ' ἂν οἱ πάντες, καὶ οὔπω λέλεκται τὸ θαυμασιώτατον ἐν ταῖς κατασκευαῖς αὐτῶν, ἴσον ἀκριβῶς εἶναι τῶν ἐν τοῖς ἀριστεροῖς μέρεσι μυῶν, τοῖς κατὰ τὰ δεξιά, καθάπερ γε καὶ τὰς ἀρτηρίας ταῖς ἀρτηρίαις, καὶ τὰς φλέβας ταῖς φλεψὶ, καὶ τὰ νεῦρα τοῖς νεύροις, ὥστε τοὺς τρισχιλίους σκοποὺς διπλασιάζεσθαι. τὸ δ' αὐτὸ κἀπὶ τῶν ὀστῶν ἐστι, πλειόνων ὑπαρχόντων ἢ διακοσίων. καὶ γὰρ καὶ τούτων, οἱ σκοποὶ καθ' ἕκαστον αὐτῶν ὄντες, πολὺ πλείους τῶν δέκα γίγνονται, καὶ δῆλον ὅτι διπλασιασθέντες, ἔσονται πλείους τῶν δ'. ἡ δ' αὐτὴ τέχνη καὶ κατὰ τὰ σπλάγχνα πάντ' ἐστὶ, καὶ ὅλως ὁποσονοῦν μόριον, ὡς εἴ τις ἀριθμεῖ τοὺς σκοποὺς τῆς κατασκευῆς, εἰς μυριάδας οὐ χιλιάδας ἀριθμὸν ἀναβιβάσαι, κατορθουμένων εἰς ἄκρον ἁπάντων, οὓς ἐγὼ μὲν, ὡς ἔφην, οὐκ ἄν ποτε πεισθείην, ἄνευ σοφωτάτου τε καὶ δυνατωτάτου δημιουργοῦ γεγονέναι. τίς δ' οὗτός ἐστιν ἐλπίζων μὲν ἔμπροσθεν ἀκούσεσθαι παρὰ τῶν φιλοσόφων, οἵ γε καὶ περὶ τοῦ κόσμου, καὶ τῆς ὅλης γενέσεως ἀποφαίνονται· πολὺ γὰρ εἶναι ῥᾷον ἡγούμην εὑρεθῆναι τοῦτο, ὅπως αὐτοῖς κατεσκεύασται τὸ σῶμα. καὶ μαθητὴν γε ἐμαυτὸν ὑποβαλὼν ἑνὶ τῷ πρώτῳ, καθ' ὃν ἐν γεωμετρίᾳ τρόπον ἀποδείξεις ἠκηκόειν, οὕτως ἤλπιζον ἀκούσεσθαι καὶ παρ' ἐκείνου· γνοὺς δ' αὐτὸν μὴ ὅτι γραμμικὰς ἀποδείξεις, ἀλλὰ μηδὲ ῥητορικὰς πίστεις λέγοντα, μετῆλθον ἐφ' ἕτερον, ὃς καὶ αὐτὸς ἐξ ἰδίων ὑποθέσεων ἐναντία τῷ πρόσθεν ἀπεφαίνετο, καὶ τρίτην γε καὶ τετάρτην πειραθεὶς, οὐδενὸς, ὡς ἔφην, ἀμέμπτον ἀπόδειξιν ἤκουσα. λυπηθεὶς οὖν ἐπὶ τούτῳ μεγάλως, ἐζήτησα μέχρι κατ' ἐμαυτὸν εὑρεῖν τινα λόγον ἰσχυρὸν ἐπὶ ταῖς τῶν ζώων κατασκευαῖς, εἶθ' εὑρίσκων οὐδένα· τοῦτό γε αὐτὸ διὰ τοῦδε τοῦ γράμματος ὁμολογῶ, παρακαλῶν τοὺς περὶ ταῦτα δεινοὺς τῶν φιλοσόφων ζητήσαντας εἴ τι σοφὸν εὑρίσκοιεν, ἀφθόνως ἡμῖν αὐτοῖς κοινωνῆσαι. ὅταν γὰρ θεασώμεθα τὰ παιδία φθεγγόμενα μὲν ἅττ' ἂν αὐτοῖς φθέγξασθαι κελεύσωμεν, οἷόν τι τύχῃ σμύρναν, καὶ σμίλην, καὶ σμῆγμα, μήτε τοὺς κινοῦντας ἐπιτηδείως τῇ τοιαύτῃ φωνῇ τὴν γλῶτταν μῦς ἐπιστάμενα, μήτε πολὺ μᾶλλον ἔτι τὰ τούτοις αὐτῶν νεῦρα, πιθανώτατον μὲν ἡγοῦμαι τὸν διαπλάσαντα τὴν γλῶτταν, ὅστις ποτ' ἐστὶν, ἢ αὐτὸν ἔτι διαμένειν ἐν τοῖς διαπλασθεῖσι μορίοις ἢ ζῷα τὰ […] κατεσκευακέναι, γνωρίζοντα τὸ βούλ[…] ἡμετέρας ψυχῆς ἡγεμονι-

κοῦ. τούτου δ' ἀκόλουθον εὑρίσκων, ἄλλην μὲν εἶναι τὴν κατὰ A
τὸ ἡγεμονικὸν ἡμῶν ψυχήν, ἄλλας δὲ τὰς ἐν ἑκάστῳ τῶν μο-
ρίων, ἢ πάντως γε μίαν κοινὴν τὴν ἅπαντα διοικοῦσαν, εἰς
ἀπορίαν ἔρχομαι, μηδ' ἄχρι δυνατοῦ ἐπινοίας, μήτι γε βε-
βαίας γνώσεως, εὑρίσκων τι περὶ τοῦ διαπλάσαντος ἡμᾶς τε-
χνίτου. καὶ γὰρ ὅταν ἀκούσω τινῶν φιλοσόφων λεγόντων, τὴν
ὕλην ἔμψυχον οὖσαν ἐξ αἰῶνος, ἀποβλέπουσαν πρὸς τὰς
ἰδέας, ἑαυτὴν κοσμεῖν, ἔτι καὶ μᾶλλον ἐννοῶ, μίαν εἶναι δεῖν
ψυχήν, τήν τε διαπλάσασαν ἡμᾶς, καὶ τὴν νῦν χρωμέ-
νην ἑκάστῳ τῶν μορίων. ἀνθίσταται δὲ τούτου πάλιν ἡ ἄγνοια
τῆς διοικούσης ἡμᾶς ψυχῆς, τῶν ὑπηρετούντων ταῖς ὁρμαῖς B
αὐτῆς μορίων. οἱ γὰρ ἐπιχειρήσαντες εἰπεῖν περὶ τῶν στοιχειω-
δῶν φωνῶν, ἄχρι τοσούτου προῆλθον, ὡς ἀποφήνασθαι τήν-
δε μέν τινα γίγνεσθαι στηριζομένης τῆς γλώττης, πρὸς τοὺς
τομέας ὀνομαζομένους ὀδόντας, ἤτοι τοὺς κατὰ τὴν ἄνω γένυν,
ἢ τὴν κάτω· τοὺς δὲ πρὸς τὸν οὐρανίσκον ἀνακλωμένους, ἢ
πρὸς ἄλλο τι μόριον. ὥσπερ γε καὶ τὸ ἀναφερόμενον ἐκ τοῦ
λάρυγγος πνεῦμα, ποτὲ μὲν ἐπὶ τὰς εἰς τὴν ῥῖνα συντρήσεις
ἀφικνεῖσθαι, ποτὲ δ' ἀνεῳγμένου τοῦ στόματος ἐκφυσᾶσθαι,
καί ποτε ἀθρόου καὶ πολλοῦ, ποτὲ δ' ἐλάττονός τε καὶ κατὰ C
βραχύ. τοὺς δὲ τὰς κινήσεις ταύτας ἐργαζομένους μῦς, οὐδεὶς
οὐδὲ τοῦτο εἶπεν, ὅπου γε οὐδὲ τοῖς ἐπιπλεῖστον ἀνατομικῆς
ἐμπειρίας ἀφικομένοις, εὕρηνταί πω βεβαίως. ἀλλ' οἱ μη-
δὲν τούτων μήτ' εὑρόντες, μήθ' ὅλως ζητήσαντες, ἀποφαί-
νονται προπετῶς οὐ μίαν ἀπόφασιν, ἀλλ' ἐφεξῆς ὁρμαθόν
τινα συνάπτοντες, οὗ τὴν πρώτην εὐθέως ὑπόθεσιν, ἄγνω-
στον μὲν αἰσθήσει, λόγῳ δ' ἀνεύρετον ὑποτίθενται· τὴν καρ-
δίαν ἁπάντων πρώτην εὐθέως ὑπόθεσιν, ἄγνωστον μὲν αἰ-
σθήσει, λόγῳ δ' ἀνεύρετον ὑποτίθενται, τὴν καρδίαν ἁπάν-
των πρώτην γίγνεσθαι λέγοντες. δευτέρα δ' ἐπὶ τῇδε, τἄλ- D
λα μόρια διαπλάττειν ἐκείνην, ὡς ἀπολλυμένου τοῦ δια-
πλάσαντος αὐτήν, ὅστις ποτ' ἐστί, καὶ μηκέτ' ὄντος. εἶτ'
ἐφεξῆς ὡς ἀκόλουθον ἐπιφέροντες, ὅτι καὶ τὸ βουλευόμενον
ἡμῶν μέρος τῆς ψυχῆς ἐν ταύτῃ καθέστηκεν. εἰ δὲ τὸ βουλευό-
μενον, καὶ τῶν σιτίων, ὥς φασι, καὶ ποτῶν καὶ ἀφροδισίων,
καὶ χρημάτων ἐπιθυμοῦν, καὶ δηλαδή, καὶ τὸ θυμούμενόν τε καὶ
φιλονεικοῦν, ὧν οὐδὲν ἀναγκαῖόν ἐστιν, ἀλλὰ καὶ πρώτην
μὲν ἐπιβολὴν ἐνίοις ἐνδεχόμενον εἶναι δοκοῦν, ὕστερον δὲ διὰ
πολλῶν φαινομένων ἐλεγχόμενον. ἡ μέν γε πρώτη διάπλα-
σις ἐπ' ἀρτηρίας τε καὶ φλέβας, χορίον τε καὶ ἧπαρ, οὐκ E
ἐπὶ τὴν καρδίαν ἡμᾶς ποδηγεῖ, λόγῳ τε σκοπουμένους, καὶ
τοῖς ἐξ ἀνατομῆς φαινομένοις. ἡ δ' ἐπὶ ταύτῃ δευτέρα τε καὶ
τρίτη, καθότι προείρηται πρόσθεν ἡμῖν, καὶ ὅσα μετὰ τὸ τε-
χθῆναι, τὰ μὲν οὐδ' ὅλως ὄντα προσγίγνεται, τὰ δ' ἐλλι-
πῆ ὄντα τελειοῦται. μάλιστα δ' ἄν τις θαυμάσειε τὴν πρὸς
τοὺς γεννήσαντας ὁμοιότητα τῶν ἐκγόνων, ὅπως γίγνεται· φαί-
νεται γὰρ πάλιν ἡ διαπλάττουσα τὸ σῶμα ψυχή, παρὰ τῶν
γονέων εἰς τὸ κυούμενον ἥκειν, ὡς ἐν τῷ σπέρματι περιεχο-
μένη· τίς μὲν οὖν αὐτῆς ἐστιν ἡ οὐσία, λέγειν οὐκ ἔχω διὰ τὸ F
παρά τινων ἀκηκοέναι πεπεισμένων, ὥς φασιν, ἀσώματον
ὑπάρχουσαν τὴν ψυχήν, συνεισέρχεσθαι τῷ σπέρματι,
χρωμένην αὐτῷ πρὸς τὴν τοῦ κυηθησομένου διάπλασιν,
ὡς ὕλῃ προσηκούσῃ. καί πού τινες αὐτῶν, οὐχ ὕλην, ἀλλ' ὄρ-
γανον ὑπάρχειν αὐτῆς τὸ σπέρμα φασίν, ὕλην γὰρ εἶναι τὸ
τῆς μητρὸς αἷμα, λεγόντων ἑτέρων τἀναντία. δοκεῖ γὰρ αὖθις
ὁ τεχνίτης αὐτὸς εἶναι τὸ σπέρμα, τισὶ μὲν ὅλον, ἐνίοις δὲ τὸ

cerent. Sed quum hinc sequi videam, aliam esse principis partis nostri animam, aliam quæ in singulis partibus est, vel prorsus vnam esse communem, quæ omnia gubernet, adeò dubius hæsito, vt ne vel quod fieri possit intelligam, tantùm abest vt rectam cognitionem aliquam de artifice qui nos finxit, habeam. Quum enim audio quosdam philosophos dicere materiam animatam quæ ab æterno est, in ideas respiciendo, se ipsam exornare, magis adhuc intelligo, vnam oportere esse animam, quæ & nos formet, & quæ singulis particulis nunc vtatur. Huic autem opinioni aduersatur, quod quæ nos regit anima, appetitionibus ipsius inseruientes partes ignoret. Nam qui de elementaribus vocibus scribere aggressi sunt, eò processere, vt definierint aliam firmata lingua ad dentes qui incisorij vocantur, vel superioris vel inferioris maxillæ; aliam item ad palatum, aut in aliquam aliam partem reflexam, fieri. Quemadmodum etiam spiritum qui è gutture ascendit, interdum ad narium foramina peruenire inquiunt, interdum aperto ore efflari, atque eum nunc copiosum atque vniuersum, nunc paucum ac paulatim exire. De musculis verò qui motiones has præstant, nullus mentionem fecit; quando neque illi qui ad plurimam dissectionis experientiam peruenerunt, certi aliquid inuenerunt. Verùm qui nihil horum inuenerunt, neque penitus inuestigarunt, non vnum modò, sed seriem quandam enunciatorum connexam temerè pronunciant; quorum primum, verbi causa, quod nec sensu percipi, nec ratione inueniri potest, statuunt, nempe cor primum omnium generari; post hoc alterum, aliásque partes illud effingere; quasi qui id fabricatus est, quicunque ille sit, perierit, neque amplius adsit. Postea quasi consequens inferunt, gubernantem animæ nostræ partem in corde constitui. Si autem imperans facultas inest, ciborum quoque, vt aiunt, potuum, venereorum & diuitiarum appetentem inesse; quinetiam irascibilem, & contendentem, quorum sanè nullum necessarium est, sed quum primo aspectu fieri posse nonnullis videatur, postea verò multis euidentibus redarguitur. Prima quidem conformatio ad arterias, venas, chorion, iecur, non ad cor nos ducit, si & rationem, & ea quæ ex dissectione apparent, in iudicium adhibeamus. Secunda deinde & tertia, sicut priùs à nobis dictum est, & ad ea quæ, vbi in lucem editus est fœtus, partim quum priùs neutiquam essent, adnascuntur, partim inchoata perficiuntur. Maximè verò admirari aliquis posset, quomodo natorum similitudo ad parentes efficiatur; videtur siquidem rursus quæ corpus conformat anima, vtpote in semine contenta, à parentibus in fœtum peruenire: cuius quidem substantia quænam sit, dicere non possum, quum à quibusdam audiuerim eam quum incorporea sit, vt aiunt, simul cum semine ingredi, ipso tanquam materia idonea ad formandum fœtum vtentem. Quidam ipsorum non materiam, sed instrumentum ipsius semen esse produnt, materiam enim esse matris sanguinem, quum nonnulli contraria penitus affirment. Videtur enim ipsis artifex esse semen, nonnullis sanè

totum,

totum, aliis spiritus in ipso contentus. Sed de his seorsim quodam in libro à nobis scriptum est, vbi ea quæ à Chrysippo in libris de anima dicuntur, consideramus; atque item in altero, vbi recensemus in quibus Plato, quum de anima agit, à se ipso dissentire videatur. Cæterùm quum nullam quod dixi inueniam opinionem scientificè demonstratam, fateor me de substantia animæ dubitare, nec vel probabile quippiam de ea quod asseram habere. Fateor itaque & de fœtuum formatrice causa nihilo plus certi me scire. Nam summam in horum conformatione & sapientiam & potentiam video, neque possum existimare eam quæ in fœtu est animam, ab Aristotele vegetantem, appetentem à Platone, à Stoïcis ne animam quidem prorsus, sed naturam appellatam, fœtum ipsum formare; vt quæ non modò sapiens non sit, sed omni prorsus ratione careat. Neque rursus ab hac opinione in totum possum recedere, quum similitudinem, quam filij habent cum parentibus specto; ac post partum, in reliqua vita *corpus nostrum* à rationali anima *dispensari* nego, quòd ante dissectionem, neque partes corporis, neque ipsarum functiones cognoscamus. Quum autem quidam mihi ex Platonicis magistris diceret, animam quæ per totum mundum diffusa extensáque est, fœtus formare, artem & potentiam illa dignam existimaui; scorpiones autem, phalangia, muscas, culices, viperas, vermes, lumbricos, ascaridas, ab eadem fingi ac formari nunquam credidi, propè ad impietatem accedere hanc opinionem ratus; neque etiam materiæ animam tantum artificij adeptam esse, rationi consentaneum videtur. Tantum igitur hoc de causa animalium formatrice pronunciare me posse confido, quòd & ars, & sapientia in ea sit maxima; sicut & quòd posteaquam formatum corpus fuerit vniuersum, per totam vitam tribus motuum principiis ex cerebro per neruos & musculos; ex corde, per arterias; è iecore, per venas gubernetur. Ex quibus autem principiis, quod manifestè non ausus sim statuere, quum aliis in libris declaraui, tum in eo præcipuè qui est de animæ speciebus, animæ substantiam nusquam ausus definire. Neq; enim an corporea sit anima omnino, an incorporea, æternáne prorsus, an corruptioni obnoxia, linearibus demonstrationibus vsum quempiam inueni, quemadmodum à nobis commentario de animæ speciebus comprehensum est.

A περιεχόμενον ἐν αὐτῇ πνεῦμα. καί μοι περὶ τούτων ἰδίᾳ γέγραπται κατά τι τὸ βιβλίον, ἐν ᾧ περὶ τῶν ὑπὸ Χρυσίππου λεγομένων ἐν τοῖς περὶ ψυχῆς αὐτοῦ γράμμασιν ἐπισκέπτομαι, καὶ προσέτι καθ' ἕτερον, ἐν ᾧ σκοποῦμαι, περὶ ὧν ἑαυτῷ διαφέρεσθαι δοκεῖ Πλάτων ἐν τοῖς περὶ ψυχῆς λόγοις. ἀλλ' ὅπερ ἔφην οὐδεμίαν εὑρίσκων δόξαν ἀποδεδειγμένην ἐπιστημονικῶς, ἀπορεῖν ὁμολογῶ περὶ ψυχῆς οὐσίας, οὐδ' ἄχρι τοῦ πιθανοῦ προελθεῖν δυνάμενος. ἐγὼ μὲν οὖν ἀπορεῖν ὁμολογῶ περὶ τοῦ διαπλάσαντος αἰτίου τὸ ἔμβρυον. ἄκραν γὰρ ὁρῶ ἐν τῇ διαπλάσει σοφίαν τε ἅμα καὶ δύναμιν, οὔτε τὴν ἐν τῷ B σπέρματι ψυχήν, φυτικὴν μὲν ὑπὸ τῶν περὶ τὸν Ἀριστοτέλην καλουμένην, ἐπιθυμητικὴν δὲ ὑπὸ Πλάτωνος, ὑπὸ δὲ τῶν Στωϊκῶν οὐδὲ ψυχὴν ὅλως ἀλλὰ φύσιν ἡγουμένων, διαπλάττειν τὸ ἔμβρυον· οὐ μόνον, οὐκ οὖσαν σοφήν, ἀλλὰ καὶ παντάπασιν ἄλογον. οὔτε αὖ πάλιν ἀποστῆναι τελέως αὐτοῦ δύναμαι, διὰ τὴν πρὸς τὰ γεννήσαντα τῶν ἐκγόνων ὁμοιότητα, τῆς τε μετὰ τὸν τόκον ἐν ὅλῳ τῷ βίῳ λογικῆς ψυχῆς ἀφίσταμαι, διὰ τὸ μὴ γινώσκειν ἡμᾶς πρὸ τῆς ἀνατομῆς, μήτε τὰ μόρια τοῦ σώματος, μήτε τὰς ἐνεργείας αὐτῶν. εἰπόντος δέ τινος τῶν διδασκάλων μοι τῶν Πλατωνικῶν τὴν δι' ὅλου κόσμου C ψυχὴν ἐκτεταμένην, διαπλάττειν τὰ κυούμενα, τὴν μὲν τέχνην καὶ δύναμιν ἀξίαν ἐκείνης ἐνόμισα, σκορπίους δὲ καὶ φαλάγγια, καὶ μυῖαν καὶ κώνωπας, ἐχίδνας τε καὶ σκώληκας, ἕλμινθάς τε καὶ ἀσκαρίδας ὑπ' ἐκείνης διαπλάττεσθαι νομίζειν, οὐχ ὑπέμεινα, πλησίον ἀσεβείας ἥκειν ὑπολαβὼν τὴν τοιαύτην δόξαν· οὐ μὴν οὐδὲ τὴν τῆς ὕλης ψυχήν, εἰς τοσοῦτον τέχνης ἥκειν εὔλογον εἶναί μοι δοκεῖ. μόνον οὖν τοῦτο περὶ τῆς διαπλαττούσης αἰτίας τὰ ζῷα δυνατὸν ἀποφήνασθαί με νομίζω, τὸ, τέχνην τε καὶ σοφίαν αὐτὴν μεγίστην ὑπάρχειν, ὥσπερ γε καὶ μετὰ τὸ διαπλασθῆναι τὸ σῶμα, σύμ- D παν ἐν ὅλῳ τῷ βίῳ διοικεῖσθαι τρισὶν ἀρχαῖς αὐτὸ κινήσεων, τῆς τ' ἐξ ἐγκεφάλου, διὰ νεύρων καὶ μυῶν· καὶ τῆς ἐκ καρδίας, δι' ἀρτηριῶν· καὶ τῆς ἐξ ἥπατος, διὰ φλεβῶν. ἐκ τίνων δ' ἀρχῶν ἐναργῶς, ὅτι οὔτ' ἐτόλμησα δοξάζειν, ἐν πολλαῖς πραγματείαις ἐδήλωσα, καὶ μάλιστα τῇ τε περὶ τῶν τῆς ψυχῆς εἰδῶν, οὐσίαν ψυχῆς ἀποφήνασθαι μηδαμόθι τολμήσας. οὔτε γὰρ εἰ παντάπασιν ἀσώματος, οὔτ' εἰ σωματική τίς ἐστιν, οὔτ' εἰ τελέως ἀΐδιος, οὔτ' εἰ φθαρτή, γραμμικαῖς ἀποδείξεσιν εὗρόν τινα κεχρημένον, ὡς ἐν τῇ περὶ τῶν εἰδῶν τῆς ψυχῆς πραγματείᾳ δῆλον.

E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΣΑΡΚΩΝ, Η ΑΡΧΩΝ.

HIPPOCRATIS DE CARNIBVS SEV PRINCIPIIS LIBER.

ΠΡΟΚΕΙΜΕΝΟΝ ΒΙΒΛΙΟΥ.

Περὶ ἀρχῶν τῶν ἑκάστου μορίων γενέσεώς τε καὶ διαπλάσεως· περὶ τῶν τῆς ὄψεώς τε, καὶ τῆς ἀκοῆς, καὶ τῆς ὀσμῆς ὀργάνων· περὶ δυνάμεως τοῦ ἑπταίου ἀριθμοῦ ἐν τοῖς τόκοις, καὶ τοῖς ὀξέσι νοσήμασιν, ἕλκεσί τε καὶ ταῖς φλεγμοναῖς, καὶ τῇ τῶν ὀδόντων ἀναπληρώσει.

PROPOSITVM LIBRI.

De singularum partium principijs, generatione & formatione: de visus, odoratus, & auditus organis, de septenarij numeri facultate in partu, morbis acutis, vlceribus, atque inflammationibus, dentiúmque complemento.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὅτι μέλλει λέξειν· περὶ τοῦ ἐμφύτου θερμοῦ· περὶ τε τῶν στοιχείων ἀποκρίσεώς τε, καὶ τῶν τόπων, καὶ τῶν ποιοτήτων· περὶ τῶν ἐξ αὐτῶν γεγενημένων μορίων· περὶ τε τῶν ὀστῶν τε καὶ τῶν νεύρων, καὶ τῶν χιτώνων γενέσεως.

A

ΕΓΩ τὰ μέχρι τοῦ λόγου τούτου κοινῇσι γνώμῃσι χρέομαι, ἑτέρων τε τῶν ἔμπροσθεν ἀτὰρ καὶ ἐμεωυτοῦ. ἀναγκαίως γὰρ ἔχει κοινὴν ἀρχὴν ὑποθέσθαι τῇσι γνώμῃσι βουλόμενον ξυνθεῖναι τὸν λόγον τόνδε περὶ τῆς τέχνης τῆς ἰητρικῆς. περὶ δὲ τῶν

B

μετεώρων, οὐδὲ δέομαι λέγειν, ἢν μὴ τοσοῦτον ἐς ἄνθρωπον ἀποδείξω, καὶ τὰ ἄλλα ζῶα, ὁκόσα ἔφυ καὶ ἐγένετο· καὶ ὅ, τι ψυχή ἐστιν· καὶ ὅ, τι τὸ ὑγιαίνειν· καὶ ὅ, τι τὸ κάμνειν· καὶ ὅ, τι τὸ ἐν ἀνθρώπῳ κακὸν καὶ ἀγαθόν, καὶ ὅθεν ἀποθνήσκει. νῦν δὲ ἀποφαίνομαι αὐτὸς ἐμεωυτοῦ γνώμας. δοκέει δέ μοι ὃ καλέομεν θερμόν, ἀθάνατόν τε εἶναι, καὶ νοεῖν πάντα, καὶ ὁρῆν, καὶ ἀκούειν, καὶ εἰδέναι πάντα, καὶ τὰ ὄντα, καὶ τὰ μέλλοντα ἔσεσθαι. τοῦτο οὖν τὸ πλεῖστον, ὅτε ἐταράχθη πάντα ἐξεχώρησεν εἰς τὴν ἀνωτάτω περιφορήν. καὶ ὀνομῆναί μοι αὐτὸ δοκέουσιν οἱ παλαιοὶ αἰθέρα. ἡ δευτέρα μοῖρα κάτωθεν αὐτῇ,

C

καλέεται μὲν γῆ ψυχρὸν καὶ ξηρόν, καὶ πουλὺ κινοῦν· καὶ ἐν τουτέῳ ἔνι δὴ πουλὺ τοῦ θερμοῦ. ἡ δὲ τρίτη μοῖρα, καὶ τοῦ ἠέρος μέσον χωρίον εἴληφε θερμόν τι ὂν καὶ ὑγρόν. ἡ δὲ τετάρτη τοῦ ἐγγυτάτω πρὸς τῇ γῇ, ὑγρότατόν τε καὶ παχύτατον.

CAPVT PRIMVM.

Quid sit dicturus: de calido innato: de elementorum secretione, sedibus, & qualitatibus: de partibus ex ipsis procreatis: de ossium, neruorum, ac membranarum generatione.

EGo ad hunc vsque sermonem communibus sententiis vtor tum aliorũ, qui ante me fuerunt, tum etiam meis. Necessariò namque decet eum, qui hanc de arte Medica tractationem componere decernit, commune sententiis principium supponere. De sublimibus autem differere neque mihi opus est, nisi quod quantum conferunt ad hominẽ, & reliqua animantia quæ sunt, & procreata sunt, demonstrabo & quid anima sit, & quid sanitas & quid morbus, quídque in homine prauum, ac bonum, & vnde moritur. Nunc autẽ ipse meas sententias profero. Quod calidum vocamus, id mihi & immortale esse videtur, & cuncta intelligere, & videre, & audire, & scire omnia tum præsentia tum futura. Hoc igitur plurimum, quum omnia perturbata essent, in supremũ ambitũ secessit, ac ipsum mihi veteres vidẽtur Æthera nominasse. Altera pars inferior, terra quidem vocatur, frigidũ & siccum, *elementum*, multasque motiones habens; in eóq; multũ sanè calidi inest. Tertia verò pars, mediũ aëris locũ occupauit, calidũ quid ac humidũ existẽs. Quarta, terrę proximũ *locũ obtinet elementum*, humidissimũ & crassissimũ.

Quum

Quum autem in orbem hæc circumuoluerentur, ac turbata essent, multa calidi pars in terra relicta est, alibi quidem magna, alibi verò minor, alibi etiam valde parua, alibi copia multa. Et temporis successu à calido resiccata terra, ista in ea tanquam in membranis contenta, circum se putredines excitant. Ac longo tempore incalescens, quod quidem ex terræ putredine pinguedinem sortitum est, & minimum humidi habet, id citissimè exustum est, ac ossa procreata sunt. Quæ verò glutinosiora fuerunt, & frigidi communionem habuerunt, ea calefacta exuri non potuerunt, neque etiam humida fieri, ideo formam magis diuersam ab aliis acceperunt, & nerui solidi facti sunt, neque enim multum frigidi iis inerat. At venæ frigidi multum habebant, atque huius frigidi quod circumcirca erat glutinosissimum, à calido exassatum, membrana euasit; quod verò erat frigidum à calido superatum, dissolutum est, ideóque humidum factum.

κυκλεομένων δὲ τουτέων· ὅτε οὖν ἐταράχθη, ἀπελείφθη τοῦ θερμοῦ πουλὺ ἐν τῇ γῇ ἄλλοθι τὰ μὲν, μεγάλα· τὰ δὲ ἐλάσσω. τὰ δὲ καὶ πάνυ σμικρά. τὰ δὲ πλῆθος πολλά. καὶ τῷ χρόνῳ ὑπὸ θερμοῦ ξηραινομένης τῆς γῆς, ταῦτα καταληφθέντα περὶ αὐτὰ, σηπεδόνας ποιέει οἷον περὶ χιτῶνας. καὶ πολλῷ χρόνῳ θερμαινόμενον, ὁκόσον μὲν ἐτύγχανεν ἐκ τῆς γαίης σηπεδόνος λιπαρόν τε ἐὸν καὶ ὀλίγιστον τοῦ ὑγροῦ ἔχον, τάχιστα ἐξεκαύθη καὶ ἐγένετο ὀστέα. ὁκόσα δὲ ἐτύγχανε κολλωδέστερα ἐόντα καὶ τοῦ ψυχροῦ μετέχοντα, ταῦτα θερμαινόμενα, οὐκ ἠδύνατο ἐκκαυθῆναι, οὐδὲ μὴν τοῦ ὑγροῦ γενέσθαι· διὰ τοῦτο εἰδέην ἀλλοιοτέρην ἔλαβε τῶν ἄλλων, καὶ ἐγένετο νεῦρα στερεά, οὐδὲ γὰρ ἐνῆν τοῦ ψυχροῦ αὐτῷ. αἱ δὲ φλέβες τοῦ ψυχροῦ εἶχον πουλύ. καὶ τούτου τοῦ ψυχροῦ, ὃ μὲν πέριξ, ὅσον κολλωδέστατον ἦν, ὑπὸ τοῦ θερμοῦ ἐξοπτηθὲν, μῆνιγξ ἐγένετο. ὃ δὲ ψυχρὸν ἐὸν, κρατηθὲν ὑπὸ τοῦ θερμοῦ, διελύθη, καὶ ἐγένετο ὑγρὸν διὰ τοῦτο.

CAPVT II.

De cauarum partium stomachi, ventriculi, intestinorum, tunicarum, vesicæ, & ossium procreatione; de cerebro, cur liquari nequeat, ac de spinali medulla.

ΚΕΦΑΛΑΙΟΝ Β′.

Περὶ γενέσεως τῶν τοῦ στομάχου τε, καὶ τῆς γαστρὸς, καὶ τῶν ἐντέρων, καὶ τῶν χιτώνων, καὶ τῆς κύστεως, καὶ τῶν ὀστῶν, κοίλων μορίων· περὶ τοῦ ἐγκεφάλου, διότι οὐ δύναται ἐκκαυθῆναι, καὶ περὶ τοῦ νωτιαίου μυελοῦ.

AD eandem autem rationem, fauces, gula, venter, & intestina ad podicem vsque caua facta sunt. Frigido enim semper incalescente, quod in eius ambitu glutinosum erat, exassatum est, & ambiens membrana tunica euasit. Quod verò frigidum intus erat, quoniam in ipso neque pingue, neque glutinosum multum inerat, colliquatum est, & humidum extitit. Eâdem quoque ratione vesica; frigidum multum relictum in eius ambitu, à calido calefactum & dissolutum, humidum extitit, in eo namque non erat pingue, neque glutinosum. Quod verò superfuit tunica euasit. Sed & alia quæ caua sunt ad eundem habent se modum. Vbi enim plus glutinosi quàm pinguis erat, membrana in tunicam euasit. Et vbi pingue supra glutinosum abundauit, ossa facta sunt. Ossium verò eadem est ratio. Vbi enim glutinosum minime inerat, sed pingue & frigidum abundauit, id celeriter propter pinguedinem exustum fuit, ossáque durissima & maximè solida facta sunt. Vbi verò pingue & glutinosum simili portione respondent, hæc ossa sunt cauernosa. Ac de his quidem hæc videtur esse ratio. Frigidum quidem densat, calidum verò diffundit, longo etiam interposito tempore exiccat. Quod si quid pinguedinis affuerit, citius exurit & exiccat. Verùm vbi glutinosum cum frigido affuerit, citra pinguedinem exuri non solet, sed temporis successu incalescens condensatur. At verò cerebrum frigidi & glutinosi sedes est & matrix, calidum verò pinguedinis sedes & matrix. Quod enim dum incalescit, primum omnium diffunditur, pingue fit. Atque iccirco cerebrum, quod minimum pinguedinis, plurimum verò glutinosi habeat, à calido exuri nequit, sed temporis spatio, tunicam membranam, meningem crassam, accepit, circa membranam verò ossa, ex eo quod calidum superauit, & in quo pingue inerat. Medulla etiam, quæ dorsalis appellatur, à cerebro ducitur, & non in ipsa est pinguis, vel

ΚΑτὰ δὲ τὸν αὐτὸν λόγον καὶ ἡ φάρυγξ, καὶ ὁ στόμαχος· καὶ ἡ γαστὴρ, καὶ τὰ ἔντερα ἐς τὸν ἀρχὸν, κοῖλα ἐγένοντο. τοῦ γὰρ ψυχροῦ αἰεὶ θερμαινομένου, ὃ μὲν πέριξ ἐξωπτήθη ὅσον αὐτῷ κολλῶδες ἦν, καὶ ἐγένετο χιτὼν ὁ περὶ αὐτὸν, μῆνιγξ. ὃ δὲ ἐντὸς τοῦ ὑγροῦ, οὐ γὰρ ἐν αὐτῷ, οὔτε λιπαρὸν, οὔτε κολλῶδες πουλύ· διετάκη καὶ ἐγένετο ὑγρόν. κατὰ δὲ αὐτὸν λόγον καὶ ἡ κύστις· πουλὺ ψυχρὸν ἀπολειφθὲν, ὃ πέριξ αὐτοῦ ὑπὸ τοῦ θερμοῦ θερμαινόμενον διελύθη καὶ ἐγένετο ὑγρόν. οὐ γὰρ ἦν ἐν αὐτῷ οὔτε τοῦ λιπαροῦ, οὔτε τοῦ κολλώδεος. ὅσα δὲ περιῆν, χιτὼν ἐγένετο. ἀτὰρ καὶ περὶ τῶν ἄλλων ὅσα κοῖλα, τὸν αὐτὸν ἔχει τρόπον. ὅκου μὲν ἦν τοῦ κολλώδεος πλέον, ἢ τοῦ λιπαροῦ, χιτὼν, μῆνιγξ ἐγένετο. ὅκου δὲ τοῦ λιπαροῦ πλέον, ἢ τοῦ κολλώδεος, ὀστέα ἐγένετο. ωὗτος δὲ λόγος καὶ τῶν ὀστέων. ὅκου μὲν μὴ ἐνῆν τοῦ κολλώδεος, τοῦ δὲ λιπαροῦ καὶ τοῦ ψυχροῦ· ἐξεκαίετο θᾶσσον διὰ τὸ λιπαρόν. καὶ ταῦτα τῶν ὀστέων καὶ σκληρότατα καὶ στριφνότατα. ὅκου δὲ λιπαρὸν καὶ κολλῶδες, παραπλήσια. ταῦτα δὲ τῶν ὀστέων, σηραγγώδεα. περὶ μὲν τουτέων οὕτως. τὸ μὲν ψυχρὸν, πήγνυσιν· ὃ δὲ θερμὸν, διαχέει. ἐν δὲ τῷ πολλῷ καὶ ξηραίνει χρόνῳ. ὅκου δὲ τοῦ λιπαροῦ ξυνίῃ τι, τουτέοισι θᾶσσον ἐκκαίει καὶ ξηραίνει. ὅκου δὲ αὖ τὸ κολλῶδες ξυνίῃ τῷ ψυχρῷ, ἄνευ τοῦ λιπαροῦ, οὐκ ἐθέλει ἐκκαίεσθαι, ἀλλὰ τῷ χρόνῳ θερμαινόμενον, πήγνυται. ὁ δὲ ἐγκέφαλος, ἐστὶ μητρόπολις τοῦ ψυχροῦ καὶ τοῦ κολλώδεος. ὃ δὲ θερμὸν, τοῦ λιπαροῦ μητρόπολις. θερμαινόμενον γὰρ, τὸ πρῶτον πάντων διαχεόμενον, λιπαρὸν γίνεται, καὶ διὰ τοῦτο ἐγκέφαλος, ὅτι ὀλίγιστον ἔχει τοῦ λιπαροῦ, τοῦ δὲ κολλώδεος πλεῖστον, οὐ δύναται ἐκκαυθῆναι ὑπὸ τοῦ θερμοῦ. ἀλλ' ἐν τῷ χρόνῳ χιτῶνα μήνιγγα παχεῖαν ἔλαβεν· περὶ δὲ τὴν μήνιγγα ὀστέα, ὁκόσον τὸ θερμὸν ἐκράτησεν, καὶ ἐν ὅσοισι τοῦ λιπαροῦ ἐνῆν· καὶ ὁ μυελὸς ὁ καλεόμενος νωτιαῖος, καθήκει ἀπὸ τοῦ ἐγκεφάλου. καὶ οὐκ ἔστιν ἐν ωὗτῳ τοῦ λιπαροῦ οὐ

τοῦ κολλώδεος πουλὺ, ὥσπερ καὶ τῷ ἐγκεφάλῳ. διὰ τοῦτο οὐκ ἂν δικαίως καὶ αὐτῷ εἴη μυελὸς οὔνομα. οὐ γὰρ ὁμοίως τῷ ἄλλῳ μυελῷ ὡς ἐν τοῖσιν ἄλλοισιν ὀστέοισιν ἔνι. μοῦνος γὰρ μήνιγγας ἔχει, ὁ δὲ ἄλλος οὐκ ἔχει. τεκμήρια δὲ τουτέων σαφέα, εἴ τις ἐθέλοι ὀπτᾷν νευρώδεα, καὶ τὰ ἄλλα δὲ μὲν ἄλλα, ταχὺ ὀπτᾶται. τὰ δὲ νευρώδεά τε καὶ κολλώδεα, οὐκ ἐθέλει ὀπτᾶσθαι. ἐλάχιστον γὰρ ἔχει τοῦ λιπαροῦ. τὸ δὲ πιότατον καὶ λιπαρὸν, τάχιστα ὀπτᾶται. τὰ δὲ σπλάγχνα. ὧδέ μοι δοκέει ξυστῆναι. περὶ μὲν οὖν τῶν φλεβῶν, εἴρηταί μοι πρότερον.

glutinosi multum, quemadmodum & cerebro; eamque ob causam neque medullæ nomine iure donatur. Neque enim reliquorum ossium medullæ similis est, quum sola membranas habeat, quas alia medulla non habet. Atque horum manifesta sunt indicia, quod, si quis neruosa & glutinosa, itemque alia assare volet, cætera quidem cito assentur, neruosa tamen & glutinosa assari nequeant, quum minimum pinguedinis habeant, quod verò dulcissimum est, & pingue, celerrime assatur. At verò viscera hoc modo mihi constare videntur. Et de venis quidem antea à nobis dictum est.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ κατασκευῆς τε καὶ θέσεως, καὶ κεράσεως, καὶ ἐνεργείας τῆς καρδίας. περὶ γενέσεως τῆς κοίλης φλεβὸς καὶ τῆς μεγάλης ἀρτηρίας, διανομῆς τε καὶ τῶν κοιλιῶν καὶ ὅτι τὸ παιδίον ἐν τῇ γαστρὶ τὴν τροφὴν ἕλκει.

Ἡ Δὲ καρδίη, πουλὺ τοῦ κολλώδεος καὶ τοῦ ψυχροῦ ἔχει. καὶ ὑπὸ τοῦ θερμοῦ θερμαινόμενον, κρέας ἐγένετο σκληρὸν καὶ γλίσχρον. καὶ μήνιγξ περὶ αὐτὴν, καὶ ἐκοιλώθη, οὐχ ὥσπερ φλέβες. καὶ ἔστιν ἐπὶ τῆς κεφαλῆς τῆς φλεβὸς τῆς κοιλοτάτης. δύο γάρ εἰσι κοῖλαι φλέβες ἀπὸ τῆς καρδίης. τῇ μὲν οὔνομα ἀρτηρίη· τῇ δὲ κοίλη φλέψ. πρὸς ᾗ, καρδίη ἐστίν. καὶ πλεῖστον ἔχει τοῦ θερμοῦ ἡ ἀρτηρίη, ἢ ἡ κοίλη φλέψ. καὶ ταμιεύει τὸ πνεῦμα. πρὸς δὲ τούτοιν τοῖν φλεβοῖν ἄλλαι κατὰ τὸ σῶμα. ἡ δὲ κοιλοτάτη φλὲψ πρὸς ᾗ ἡ καρδίη διὰ τῆς κοιλίης ἁπάσης διήκει καὶ διὰ τῶν φρενῶν. καὶ σχίζεται ἐς ἑκάτερον τῶν νεφρῶν. καὶ ἐπὶ τῇ ὀσφύϊ σχίζεται, καὶ ἀΐσσει ἐπί τε τὰ ἄλλα, καὶ ἐς ἑκάτερον σκέλος. ἀτὰρ καὶ ἄνωθεν τῆς καρδίης πρὸς τῷ αὐχένι, τὰ μὲν, ἐπὶ δεξιά, τὰ δ' ἐπ' ἀριστερά. καὶ τότε ἐπὶ τὴν κεφαλὴν ἄγει, καὶ ἐν τοῖς κροτάφοισι σχίζεται ἑκατέρη. ἔστι δὲ καὶ ἀριθμῷ εἰπεῖν τὰς φλέβας τὰς μεγίστας. ἑνὶ δὲ λόγῳ ἀπὸ τῆς κοίλης φλεβὸς, καὶ ἀπὸ τῆς ἀρτηρίης, ἄλλαι φλέβες ἐσχισμέναι εἰσὶ κατὰ πᾶν τὸ σῶμα. κοιλόταται γὰρ αἱ πρὸς τῇ καρδίῃ, καὶ τῷ αὐχένι, καὶ τῇ κεφαλῇ. καὶ κάτωθεν τῆς καρδίης μέχρι τῶν ἰσχίων. καὶ τὸ θερμὸν πλεῖστον ἔνι τῇσιν φλεψὶν καὶ τῇ καρδίῃ. καὶ διὰ τοῦτο πνεῦμα ἡ καρδίη ἔχει θερμὴ ἐοῦσα μάλιστα τῶν ἐν τῷ ἀνθρώπῳ. ῥηΐδιον δὲ τοῦτο καταμαθεῖν, ὅτι θερμόν ἐστι τὸ πνεῦμα. ἡ καρδίη καὶ αἱ κοῖλαι φλέβες κινέονται αἰεὶ, καὶ τὸ θερμότατον πλεῖστον ἔνι ἐν τῇσι φλεψὶν, καὶ διὰ τοῦτο, πνεῦμα ἡ καρδίη ἕλκει θερμὴ ἐοῦσα μάλιστα τῶν ἐν τῷ ἀνθρώπῳ. ἔστι δὲ καὶ ἄλλως γνῶναι. πῦρ εἴ τις θέλει καίειν ἐν οἰκήματι ὁκόταν ἄνεμος μὴ εἰσπνέῃ, φλὸξ κινέεται, τοτὲ μὲν, μᾶλλον, τοτὲ δὲ, ἧσσον. καὶ λύχνος καιόμενος, τὸν αὐτὸν τρόπον κινέεται. τοτὲ μὲν, μᾶλλον, τοτὲ δὲ, ἧσσον, ἀνέμου οὐδενὸς κινέοντος, ὅν τινα καὶ ἡμεῖς οἷοί τε ἐσμὲν γινώσκειν πνέοντα. καὶ τροφή ἐστιν τῷ θερμῷ τὸ ψυχρόν. τὸ δὲ παιδίον ἐν τῇ γαστρὶ, συνέχον τὰ χείλεα, μύζει ἐκ τῶν μητρέων τῆς μήτρος, καὶ ἕλκει τήν τε τροφὴν, καὶ τὸ πνεῦμα τῇ καρδίῃ εἴσω, τοῦτο γὰρ θερμότατόν ἐστιν ἐν τῷ παιδίῳ, ἐπὰν περ ἡ μήτηρ ἀναπνέῃ. τοῦτο δὲ, καὶ τῷ ἄλλῳ σώματι τὴν κίνησιν παρέχει τὸ θερμὸν, καὶ τοῖς ἄλλοις πᾶσιν. εἰ δέ τις ἐρωτοίη, πῶς τοῦτο οἶδέ τις, ὅτι ἐν τῇ μήτρῃ τὸ παιδίον ἕλκει καὶ μύζει, τάδε αὐτῷ ἐστιν ἀποκρίνασθαι. κόπρον ἔχοντα ἐν τοῖσιν ἐντέροισιν γίνεται· καὶ ἀποπατέει ἐπειδὰν γένηται,

CAPVT III.

De cordis structura, situ, temperamento, & functione; de venæ cauæ, & arteriæ magnæ ortu, distributione, cauitatibus, ac fœtum in vtero alimentum trahere.

Cor autem multum glutinosi ac frigidi obtinet, quod à calido calefactum, caro dura & viscida euasit, & circum ipsum membrana, & cauum factum est, non quemadmodum venæ; & ad venæ maximæ cauæ caput annexum est. Duæ enim sunt à corde venæ cauæ, alteri nomen quidem arteria, alteri verò vena caua est, iuxta quam cor situm habet. Arteria verò calidi plus continet quàm vena caua, & spiritum condit ac asseruat. Verùm præter has duas venas, aliæ quoque in corpore sunt. Maximè autem caua vena ad quam cor situm est, ventrem totum, & septum transuersum peruadit, & in vtrumque renem scinditur, & in lumbis finditur, tumque alias in partes, tum in vtrumque crus fertur. Sed & supra cor ad ceruicem, partim quidem in dextram, partim etiam in sinistram *tendit*; tuncque ad caput ascendit, & in tempora vtraque scinditur. Possunt autem & maximæ venæ numero recenseri; sed vt vno verbo comprehendam, à vena caua, & ab arteria reliquæ venæ in totum corpus dispersæ sunt. Sunt autem maximè cauæ, quæ ad cor, ceruicem, & caput tendunt, & infra cor ad coxendices vsque. Calidúmque plurimum in venis & corde inest; eámque ob causam spiritum cor in se continet, quod sit omnium quæ in homine sunt membrorum calidissimum. Quod autem spiritus sit calidus, facile est intelligere. Cor & venæ cauæ semper mouentur, calidique plurimum in venis inest; & quia ex omnibus hominis membris cor est maximè calidum, eam ob causam spiritum attrahit. Id verò & aliter cognoscere licet. Si quis ignem in domo, quum ventus non inspirat, accendere velit, flamma modò minùs, modò magis mouetur. Sed & lucerna accensa ad eundem modum, modò magis, modò minùs agitatur, nullo, quem quidem spirare sentiamus, vento mouente, frigidúmque calido alimentum est. At verò puer in vtero compressis labris ex matris vtero sugit; ac tum alimentum, tum etiam spiritum, qui in puero calidissimus est, vbi sane mater respirat, in cor attrahit. Quinetiã hoc calidum reliquo corpori, & omnibus aliis partibus motum præbet. Quòd si quis roget, quomodo hoc quis noscit, quod puer in vtero trahat & sugat, hoc illi respondere licet. Pueri quum nascuntur, stercus in intestinis habent, ac in lucem editi,

editi, tum homines, tum pecora, celerrimè ventrem exonerant. Atqui stercus non haberent, nisi in vtero sugerent; neque vt primum puer natus est, vbera sugere nosset, nisi in vtero suxisset. Ac de cordis quidem & venarum motione, ad hunc se res habet modum.

CAPVT IV.

De pulmonis, iecoris, splenis, tunicarum, articulorum, neruorum, saliuæ, & vnguium generatione.

PVlmo autem iuxta cor sic extitit. Quod in humido glutinosissimum erat, cor calefaciens, celeriter exiccauit, veluti spumam, & cauernosum fecit, multásque in eo venulas. At venulas eam ob causam condidit. Quod in glutinoso inerat frigidi, idipsum à calido colliquatum, humidum est redditum, à glutinoso verò ipsa tunica facta est. Iecur verò sic constitutum est. Humido multo cum calido relicto, absque glutinoso & pingui, frigidum superauit calidum, & condensatum est. Certum autem id mihi indicium est. Quum quis victimam iugulat, quandiu sanguis calidus est, liquidus existit, vbi verò perfrixit, concrescit. Quòd si quis ipsum agitet, minimè concrescit; fibræ namque frigidæ ac glutinosæ sunt. At lien hũc in modum constitutus est. Cũ calido & glutinoso, calidi quidem plurimum, frigidi verò minimum *remansit*, tantum solummodo, quantum ipsum glutinosum cogat, sunt autem id fibræ in liene existentes, & propter has fibras splen mollis & fibrosus est. At renes hoc modo compacti sunt. Glutinosi parùm, parum calidi, plurimum frigidi ab ipso condensatum est, & viscus durissimum extitit, & minimè rubrum, quod non multum calidi simul coïerit. Eadem quoque de carnibus ratio est; frigidum quidem carnem constituit, condensauit, & fecit, glutinosum autem in foramina abiit, in foraminibus autem, velut in magnis venis, humidum inest. Calidum autem in vniuerso corpore est, plurimum verò & humidi in corpore, & multum frigidi in humido, tantum autem est frigidi quantum humidum condensare queat, verùm à calido superatur quare etiã ab eo diffunditur. Hæc autẽ humidi quòd sit calidũ, demõstratio est. Si quis corpus hominis secare velit, vbicumque voluerit, sanguis calidus effluet, & quandiu quidem calidus fuerit, liquidus erit. Vbi verò, tum ab insito, tum ab externo frigido perfrixerit, pellicula & membrana obducitur; qua detracta, si quis pauco tempore sinat, aliam enatam pelliculam videbit; eámque si quis semper auferat, alia à frigido pellicula producetur. Sed huius rei gratia plura dixi, vt ostendam corporis summum aëri obuersum, à frigido & ventis ingruentibus necessariò pelliculam contrahere. Articuli verò sic producti sunt. Quum ossa constituta sunt, quæ quidem ex his pinguia fuerunt, celerrimè exusta sunt, quemadmodum superiore oratione dictum fuit. Quod autem ex his glutinosum erat, id quum peruri nequiret, medio loco inter vstum & exiccatum comprehensum, à calido in neruos ac saliuam & mucum transiit. In mucum verò, quatenus quod ex glutinoso humidissimũ erat, calefactũ crassius euasit, quũ humidum esset, indéque mucus extitit. Ex hoc ipso autẽ glutinoso vngues producti sunt.

τάχιστα, καὶ οἱ ἄνθρωποι καὶ τὰ πρόβατα. καίτοι οὐκ ἂν εἶχε κόπρον, εἰ μὴ ἐν τῇσι μήτρῃσιν ἔμυζεν. οὐδ᾽ ἂν θηλάζειν τὸν μασθὸν ἠπίστατο γινόμενον αὐτίκα, εἰ μὴ καὶ ἐν τῇ μήτρῃ ἔμυζε. καὶ περὶ μὲν τῆς κινήσιος τῆς καρδίης καὶ τῶν φλεβῶν οὕτως ἔχει.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ γενέσιος τοῦ πνεύμονός τε καὶ τοῦ ἥπατος, καὶ σπληνὸς, καὶ χιτώνων, καὶ τῶν ἄρθρων, νεύρων τε, καὶ τοῦ σιάλου, καὶ τῶν ὀνύχων.

Ὁ δὲ πνεύμων πρὸς τῇ καρδίῃ ἐγένετο ὧδε. τοῦ ὑγροῦ ὁκόσον ἦν κολλωδέστατον, ἡ καρδίη θερμαίνουσα, ταχὺ ἐξήρανεν, ὅκωσπερ ἀφρόν· καὶ ἐποίησεν σηραγγῶδες· καὶ φλέβια πολλὰ ἐν αὐτέῳ. διὰ δὲ τοῦτο ἐποίησεν τὰ φλέβια. ὁκόσον ἐν τῷ κολλώδει ἐνῆν ψυχρὸν τοῦτο μὲν ὑπὸ τοῦ θερμοῦ διετάκη, καὶ ἐγένετο ὑγρόν. τὸ δὲ ἀπὸ τοῦ κολλώδεος, αὐτὸς ὁ χιτών. τὸ δὲ ἧπαρ ὧδε ξυνέστη. ξὺν τῷ θερμῷ πουλὺ τοῦ ὑγροῦ ἀποληφθὲν ἄνευ τοῦ κολλώδεος καὶ τοῦ λιπαροῦ, ἐκράτησε τὸ ψυχρὸν τοῦ θερμοῦ καὶ ἐπάγη. τεκμήριον δέ μοι τόδε. ὁκόταν σφάξῃ τις ἱερεῖον, τέως μὲν ἂν θερμὸν ᾖ, ὑγρόν ἐστιν τὸ αἷμα· ἐπειδὰν δὲ ψυχθῇ, ἐπάγη. ἢν δέ τις αὐτὸ κινάσσῃ, οὐ πήγνυται. αἱ γὰρ ἶνές εἰσι ψυχραὶ καὶ κολλώδεες. ὁ δὲ σπλὴν συνέστη ὧδε. σὺν τῷ θερμῷ καὶ κολλώδει, καὶ τοῦ θερμοῦ πλεῖστον, τοῦ δὲ ψυχροῦ ἐλάχιστον. τοσοῦτον μόνον, ὁκόσον πῆξαι τὸ κολλῶδες αὐτό. ὅ εἰσιν αἱ ἶνες αἱ ἐνοῦσαι ἐν τῷ σπληνί. καὶ διὰ τὰς ἶνας ταύτας, μαλακός ἐστιν ὁ σπλὴν καὶ ἰνώδης. οἱ δὲ νεφροὶ, ξυνέστησαν ὧδε. ὀλίγον τοῦ κολλώδεος, τοῦ θερμοῦ ὀλίγον. τοῦ ψυχροῦ πλεῖστον, καὶ ἐπάγη ὑπὸ τούτου, καὶ ἐγένετο σκληρότατον τὸ σπλάγχνον, καὶ ἥκιστα ἐρυθρόν, ὅτι οὐ πουλὺ τοῦ θερμοῦ ξυνέστη. ὁ δὲ αὐτὸς λόγος καὶ περὶ τῶν σαρκῶν. τὸ μὲν ψυχρόν, ἔστησε, καὶ ξυνέπηξε, καὶ ἐποίησε σάρκα. τὸ δὲ κολλῶδες, τρώγλαι ἐγένοντο. ἐν δὲ τῇσι τρώγλῃσι ταύτῃσι, τὸ ὑγρόν, ὥσπερ καὶ ἐν τῇσι φλεψὶν, τῇσι μεγάλῃσιν. τὸ δὲ θερμὸν ἐν παντὶ τῷ σώματι, πλεῖστον δὲ τοῦ ὑγροῦ ἐν τῷ σώματι· καὶ τοῦ ψυχροῦ πουλὺ ἐν τῷ ὑγρῷ. τοσοῦτο δέ ἐστι τοῦ ψυχροῦ, ὁκόσον δύναται πῆξαι τὸ ὑγρόν· ἀλλὰ νενίκηται ὥστε διακέχυται ὑπὸ τοῦ θερμοῦ. ἡ δὲ ἀπόδειξις τοῦ ὑγροῦ ὅτι θερμόν ἐστιν. εἴ τις ἐθέλοι τάμνειν τοῦ ἀνθρώπου τοῦ σώματος, ὅκου ἐθέλοι. ῥεύσεταί τε αἷμα θερμόν· καὶ τέως μὲν ἂν θερμὸν ᾖ, ὑγρὸν ἔσται· ἐπειδὰν δὲ ψυχθῇ, ὑπό τε τοῦ ἐνεόντος ψυχροῦ, καὶ τοῦ ἐκτὸς, ἐγένετο δέρμα καὶ ὑμήν. καὶ εἴ τις ἀφελὼν τοῦτο τὸ δέρμα, ἐάσειεν ὀλίγου χρόνου, ὄψεται ἄλλο δέρμα γινόμενον. εἰ δέ τις τοῦτο ἀεὶ ἀφαιρεῖ, ἄλλο δέρμα γίνοιτ᾽ ἂν πρὸς τοῦ ψυχροῦ. τούτου δὲ εἵνεκα πλείω ἔλεξα, τέως ἀποδείξω, ὅτι τὸ ἔσχατον τοῦ σώματος πρὸς τοῦ ἠέρος, ἀναγκαίως ἔχει δέρμα γενέσθαι ὑπὸ τοῦ ψυχροῦ, καὶ τῶν πνευμάτων προσβαλλόντων. Τὰ δὲ ἄρθρα ὧδε ἐγένετο. ὅτε τὰ ὀστέα ξυνίστατο, ὁκόσα μὲν αὐτέων λιπαρὰ ἦν, τάχιστα ἐξεκαύθη, ὥσπερ πρόσθεν λέλεκται ἐν τῷ προτέρῳ λόγῳ· ὁκόσον δ᾽ αὐτέων κολλῶδες ἦν, τοῦτο δὲ οὐκ ἠδύνατο ἐκκαυθῆναι, ἀλλὰ μεταξὺ ἀποληφθὲν τοῦ καιομένου ξηραινομένου, ὑπὸ τοῦ θερμοῦ νεῦρα καὶ σίαλον ἐγένετο· τὸ δὲ σίαλον, ὁκόσον τοῦ κολλώδεος ὑγρότατον ἦν· τὸ δὲ θερμαινόμενον, παχύτερον ἐγένετο ὑγρὸν ἐόν· καὶ ἀπὸ τούτου σίαλον ἐγένετο. οἱ δὲ ὄνυχες, ἀπὸ τουτέου ἐγένοντο τοῦ κολλώδεος.

ἀπὸ γὰρ τῶν ὀστέων, καὶ τῶν ἄρθρων αἰεὶ τὸ ὑγρότατον αὐτέου ἄπιον, κολλῶδές ἐστι, ἀπὸ τοῦ θερμοῦ ξηραινόμενον καὶ ἐξαυαινόμενον θύραζε εἰς ὄνυχας.

Quod enim in eo maximè est humidum, ab ossibus & articulis semper secedens glutinosum redditur, & à calido siccatum, arefactum forâs in vngues abit.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν ὀδόντων τε καὶ τῶν τῆς γνάθου φλεβῶν, καὶ τῶν ὀστέων, φλεβῶν μεσαραϊκῶν, τριχῶν, καὶ τῆς αὐτῶν φύσεως.

ΟΙ δὲ ὀδόντες ὕστερον γίνονται, διὰ τόδε. ἀπὸ τῶν ὀστέων τῶν ἐν τῇ κεφαλῇ καὶ τοῖν γνάθοιν, ἡ αὔξησις γὰρ τοῦ κολλώδεος τοῦ λιπαροῦ. τὸ ἐνεὸν ὑπὸ τοῦ θερμοῦ ξηραινόμενον ἐκκαίεται, καὶ γίνονται ὀδόντες σκληρότεροι τῶν ἄλλων ὀστέων, ὅτι οὐκ ἔστι τοῦ ψυχροῦ. καὶ οἱ μὲν πρῶτοι ὀδόντες, φύονται ἀπὸ τῆς διαίτης ἐν τῇ μήτρῃ· καὶ ἐπὴν γένηται, ἀπὸ τοῦ γάλακτος θηλάζοντι τῷ παιδίῳ. ἐπειδὰν δὲ οὗτοι ἐκπέσωσιν, ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν. ἐκπίπτουσι δὲ ἐπειδὰν ἐπὶ τὰ ἔτεα εἴη τῆς πρώτης τροφῆς, ἔστι δὲ καὶ οἷς πρότερον, ἢν ἀπὸ νοσερῆς τροφῆς φύσωσιν. τοῖς δὲ πλείστοισιν, ἐπειδὰν ἑπτὰ ἔτεα γένηται. οἱ δὲ μεταφύοντες συγκαταγηράσκουσιν, ἢν μὴ ὑπὸ νόσου διαφθαρῶσι. διὰ δὲ τοῦτο φύονται οἱ ὀδόντες ὕστερον τῶν ἄλλων. ἐν τῇ γνάθῳ φλέβες εἰσὶ, καὶ ἐν τῇ κάτω κοιλίῃ μουνώοισιν τῶν ὀστέων, αὗται τὴν τροφὴν παρέχουσι τῷ ὀστέῳ. τὰ δὲ ὀστέα τοιαύτην αὔξησιν ὁποῖα περ ἐστὶν, καὶ τὰ ἄλλα δὲ πάντα, τοιαύτην ἀποδίδωσιν αὔξησιν, ὁποῖα αὐτά ἐστιν. καὶ γὰρ αἱ φλέβες αἱ ἐκ τῆς νηδύος τῶν ἐντέρων, εἰς ἃ συλλέγεται τὰ σιτία καὶ τὰ ποτά, ἐπειδὰν θερμανθῇ ταῦτα, ἕλκουσι τὸ λεπτότατον καὶ τὸ ὑγρότατον. τὸ δὲ παχύτατον, αὐτοῦ καταλείπεται, καὶ γίνεται κόπρος ἐν τοῖσιν ἐντέροισι τοῖσι κάτω. τὸ δὲ λεπτότατον, αἱ φλέβες ἕλκουσιν ἐκ τῆς νηδύος καὶ τῶν ἐντέρων τῶν ἄνωθεν τῆς νήστιος, θερμαινομένων τῶν σιτίων. ἐπὴν δὲ περήσῃ τὴν νῆστιν, ἐς τὰ κάτω ἔντερα ξυνεστράφη, καὶ κόπρος ἐγένετο. ἡ δὲ τροφὴ ἐπειδὰν ἀφίκηται, ἕκαστον τοιαύτην ἀπέδωκε τὴν εἰδέην ἑκάστου οἰκεία περ ἦν. ἀρδόμενα γὰρ ὑπὸ τῆς τροφῆς, αὔξεται ἕκαστα, τὸ θερμὸν, καὶ τὸ ψυχρὸν, καὶ τὸ κολλῶδες, καὶ τὸ λιπαρὸν, καὶ τὸ γλυκὺ, καὶ τὸ πικρὸν, καὶ τὰ ὀστέα, καὶ τὰ ἄλλα ξύμπαντα, ὁκόσα ἐν τῷ ἀνθρώπῳ ἔνι. διὰ τοῦτο ὕστερον οἱ ὀδόντες φύονται. εἴρηται δέ μοι καὶ πρότερον ὅτι μοῦναι τῶν ὀστέων αἱ γνάθοι, φλέβας ἔχουσιν αὗται ἐν ἑωυτῇσι. καὶ διὰ τοῦτο τροφὴ ἕλκεται πλέον ἢ ἐς τὰ ἄλλα ὀστέα. καὶ πλέονα τὴν τροφὴν ἔχοντα, καὶ ἀφθονωτέρην τὴν ἐπιρροὴν, ἀποτίκτει αὔξησιν αὐτὰ ἀφ' ἑωυτέων τοιαύτην, οἷά περ ἐστὶν αὐτὰ, τέως ἂν περ καὶ ἄνθρωπος ὅλος αὐξάνηται. αὐξάνεται δὲ, ἐπὴν γένηται ἐπίδηλος. ἐπίδηλος δὲ μάλιστα γίνεται ἀπὸ ἑπταέτεος, μέχρι τεσσαρεσκαιδεκαέτεος. καὶ ἐν τουτέῳ τῷ χρόνῳ, οἵ τε μέγιστοι τῶν ὀδόντων φύονται, καὶ ἄλλοι πάντες, ἐπὴν ἐκπέσωσιν, οἱ ἐγένοντο ἀπὸ τῆς τροφῆς τῆς ἐν τῇ μήτρῃ. αὐξάνεται δὲ καὶ ἐς τὴν τρίτην ἑβδομάδα, ἐν ᾗ νεηνίσκος γίνεται, μέχρι τεσσάρων καὶ πέντε ἑβδομάδων. καὶ ἐν τῇ τετάρτῃ δὲ ἑβδομάδι, ὀδόντες φύονται δύο τοῖσι πολλοῖσι τῶν ἀνθρώπων, οὗτοι καλέονται σωφρονιστῆρες. αἱ δὲ τρίχες φύονται ὧδε. ὀστέα εἰσὶ, καὶ ἐγκέφαλος, ἀφ' ὧν ἡ τοιαύτη αὔξησις, ὅτι τοῦ περιξ κολλώδεος, ὅπως περ τοῖσιν νεύροισιν, καὶ τοῦ λιπαροῦ οὐκ ἔνεστιν. εἰ γὰρ ἐνῆν τοῦ λιπαροῦ, ἐξεκαίετο ἂν ἐκ τοῦ θερμοῦ. τάχα δὲ θαυμάσειεν ἄν τις ὅτι καὶ ἐν τῇσι μασχάλῃσι,

CAPVT V.

De dentibus, venis maxillæ, ossibus, venis mesaraicis, pilis, ac eorum generatione.

DEntes autem posterius istam ob causam gignuntur. Ex capitis & maxillarum ossibus glutinoso incrementum accedit, & pingue quod inest, à calido exiccatum exuritur, & dentes fiunt reliquis ossibus duriores, quia nihil frigidi inest. Ac primi quidem dentes ex victu in vtero nascuntur, & post partum, ex lacte, lactenti puero. Quum verò hi exciderint, ex cibo & potu. Excidunt autem, vbi ad primi alimenti annos deuenerint; quibusdam etiam priùs, si ex morbido alimento pulularint; plurimis verò quum ad annos septem peruenerint. Atqui postea nascuntur, simul consenescunt, nisi ex morbo corrumpantur. Istam verò ob causam dentes reliquis partibus posteriores nascuntur. In maxilla venæ sunt, eæque huic ossi inter omnia ossa ex ventre inferiore alimentum exhibent. Ossa autem qualia quidem sunt, tale dant incrementum, vt & reliqua omnia tale exhibent incrementum, qualia ipsa existunt. Venæ enim ex ventre & intestinis, in quibus cibi & potus coaceruantur, vbi hi incaluerint, tenuissimum & humidissimum attrahunt, crassissimum autem isthic relictum, in inferioribus intestinis in stercus abit. Tenuissimum verò, venæ trahunt ex ventre & intestinis quę supra ieiunum sunt, vbi cibi incaluerint. Qui quum ieiunum transierint in inferiora intestina collecti, stercus fiunt. At postquam alimentum eo peruenerit, vnumquodque eam quam habuerat formam cuique reddit. Irrigata namque alimento singula incrementum accipiunt, calidum, frigidum, glutinosum, pingue, dulce, amarum, & ossa, & reliqua omnia quę in homine insunt. Ideóque posterius dentes producuntur. Dictum autem à me etiam est antea, maxillas solas inter ossa venas in se habere, ac proinde copiosius ad ipsas alimentum, quam ad reliqua ossa trahi. Et quę copiosius habent alimentum & vberiorem affluxum, eæ tale ex se incrementum pariunt, qualia sane ipsa existunt, quandiu homo integer crescit. Crescit autem vbi conspicuus adolescit: conspicuus autem adolescit maximè à septennio ad decimum quartum annum. Atque eo tempore tum maximi, quum cęteri omnes dẽtes producuntur, postquam exciderint, hi qui ab alimento in vtero orti sunt. Crescit autem & ad tertium *annorum* septenarium, in quo adolescens euadit, ad quartum vsque & quintum septenariũ. Quinetiam hominibus plerisque quarto septenario duo dentes enascuntur, qui Sophronisteres *moderatores* nominantur. Capilli autem ad hunc modum oriuntur. Ossa sunt & cerebrum à quibus eiusmodi incrementum prouenit, ab eo videlicet glutinoso, quod circumcirca existit, in quo pinguis nihil inest, quemadmodum & neruis accidit. Si quid enim pinguis inesset, à calido exustum esset. Ac fortassis mirabitur aliquis, quod etiam

etiam in axillis & pube, & reliquo corpore pili multi succrescant. Cuius rei hæc est ratio, quod vbicunque in corpore glutinosum existit, ibi pili à calore gignuntur.

καὶ ἐν τῷ ἐπισείῳ τρίχες πολλαὶ, καὶ ἐν τῷ σώματι πάντί εἰσιν. οἷσιν δὲ ὁ λόγος περὶ τουτέου. ὅπου τυγχάνει τοῦ σώματος τὸ κολλῶδες ὂν, ἐνταῦθα αἱ τρίχες γίνονται ὑπὸ τοῦ θερμοῦ.

CAPVT VI.

De auditu, odoratu, visu ac eorum organis, obiectis, causis.

Hanc verò ob causam auditio fit. Aurium foramina ad os durum & siccum lapidi simile perueniunt; huic autem cauitas cauernosa est. Soni autem in durum impingunt, & os cauum per ipsum durum resonat. Pellicula verò in ipso meatu auditorio iuxta os durum tenuis est, vt aranei tela, cæterarum pellicularum siccissima. Quod autem siccissimum est, id maximè resonare, multa signa sunt. Cum ergo plurimùm resonat, tum maximè audimus. Etsi nonnulli naturæ historiam scriptis mandantes, cerebrum ipsum sonum edere dixerunt, quod tamen nullo modo fieri potest. Cerebrum enim ipsum humidum est, & ipsum ambiens membrana humida & crassa, eámque ossa circundant. Nullum igitur humidum resonat, sed quæ sicca sunt. Quæ verò resonant, auditionem faciunt. Olfacit autem cerebrum, quum humidum existat, aridorum odorem cum aëre per cartilaginosa corpora, quæ sicca sunt, attrahens. Cerebrum enim ad nasi cauitatem progreditur, hacque parte nullum ei os obtenditur, sed mollis cartilago, spongiæ instar, quæ neque caro, neque os existit. Et quum quidem narium caua sicca fuerint, ipsum per se exquisitè magis arida olfacit. Non enim aquam olfacit, nam cerebro humidior est, nisi computruerit. Putrefacta namque aqua crassior euadit, & reliqua omnia. At quum nares humidæ fuerint, olfacere nequit, non enim ad se *cerebrum* ipsum aërem attrahit. Ea quoque ratione quum cerebrum ipsum eliquet plurimam materiam ex se in palatum, & fauces, & pulmonem, reliquúmque ventrem, id percipiunt homines, & ex capite destillare dicunt, sed & in reliquum corpus destillat, ídque calidi ratione contingit. Visionem autem obit eas ob res. A cerebri membrana vena ad vtrúmque oculum per os descendit. Per has duas venas quod est glutinosissimi tenuissimum, ex cerebro percolatur, atque ideò ipsam circum se tunicam quæ aëri obuersatur, & ad quam venti ingruunt, talem facit, quale est ipsum oculi pellucidum; eadem planè ratione quam de cæteris tunicis diximus. Sunt autem multæ hæ tunicæ, quæ oculi pellucido prætenduntur, ipsíque sunt similes. In hoc enim pellucido lumen & splendida cuncta lucem reflectunt. Per hoc igitur in quo lumen reflectitur, visio fit. Quod verò minimè est splendidum, neque oblucet, per illud visio non fit. Reliquum circum oculos album, caro est. Pupilla autem oculi nominata, nigra ob id apparet, quòd in profundo collocata sit, & tunicæ eam ambientes nigræ existant. Tunicam verò appellamus, id quod velut pellicula inest, quæ neutiquam conspectui nigra apparet, sed alba, & pellucida, & oculi humidum, glutinosum.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ τῆς ἀκοῆς τε, καὶ ὀσφρήσεως, καὶ ὄψιος, καὶ περὶ τῶν ὀργάνων αὐτῶν, καὶ προσβληθέντων, καὶ αἰτιῶν.

Ἀκοὴ δὲ διὰ τόδε. τὰ τρήματα τῶν οὐάτων, προσήκει πρὸς ὀστέον σκληρόν τε καὶ ξηρὸν, ὅμοιον λίθῳ. τοῦτο δὲ πέφυκε πρὸς ὀστέον κοίλωσις σηραγγώδης. οἱ δὲ ψόφοι, ἀπερείδονται πρὸς τὸ σκληρόν. τὸ δὲ ὀστέον τὸ κοῖλον ἐπηχεῖ διὰ τοῦ σκληροῦ. τὸ δέρμα τὸ πρὸς τῇ ἀκοῇ, πρὸς τῷ ὀστέῳ τῷ σκληρῷ, λεπτόν ἐστιν ὥσπερ ἀράχνιον, ξηρότατον τοῦ ἄλλου δέρματος. τεκμήρια δὲ πολλὰ, ὅτι ξηρότατον ἠχεῖ μάλιστα. ὅταν δὲ μέγιστον ἠχήσῃ τότε μάλιστα ἀκούομεν. καί εἰσί τινες, οἳ ἔλεξαν φύσιν ξυγγράφοντες, ὅτι ὁ ἐγκέφαλός ἐστιν ὁ ἠχέων. τοῦτο δὲ οὐκ ἂν γένηται. αὐτός τε γὰρ ὁ ἐγκέφαλος ὑγρός ἐστιν, καὶ μήνιγξ περὶ αὐτόν ἐστιν ὑγρὴ καὶ παχεῖα· καὶ περὶ τὴν μήνιγγα ὀστέα. οὐδὲν οὖν τῶν ὑγρῶν ἠχεῖ, ἀλλὰ ξηρά. τὰ δὲ ἠχέοντα, ἀκοὴν ποιεῖ. ὀσφραίνεται δὲ ὁ ἐγκέφαλος ὑγρὸς ἐὼν αὐτὸς, τῶν ξηρῶν ἕλκων τὴν ὀδμὴν ξὺν τῷ ἠέρι διὰ τῶν βρογχίων ξηρῶν ἐόντων. προσήκει γὰρ ὁ ἐγκέφαλος τῆς ῥινὸς ἐς τὰ κοῖλα. καὶ ταύτῃ αὐτῷ οὐκ ἔστιν ἐπίπροσθεν ὀστέον οὐδὲν, ἀλλὰ χόνδριον μαλακὸν, ὅκως περ σπόγγος, οὔτε κρέας, οὔτε ὀστέον. καὶ ὅταν μὲν ξηρὰ ᾖ τὰ κοῖλα τῆς ῥινὸς, ὀσμᾶσθαι τῶν ξηροτέρων αὐτὸς ἑωυτοῦ ἀκριβέστερός ἐστιν. ὕδατος γὰρ οὐκ ὀδμᾶται. ὑγρότερον γάρ ἐστι τοῦ ἐγκεφάλου, ἐὰν μὴ σαπῇ. σηπόμενον γὰρ τὸ ὕδωρ, παχύτερον γίνεται καὶ τὰ ἄλλα πάντα. ὁκόταν δὲ ὑγρανθέωσιν αἱ ῥῖνες, οὐ δύναται ὀσφραίνεσθαι. οὐ γὰρ τὸν ἠέρα ἕλκει αὐτὸς πρὸς ἑωυτόν. ταύτῃ δὲ καὶ ὅταν ἀποτήκῃ ὁ ἐγκέφαλος, πλεῖστον αὐτὸς ἀφ᾽ ἑωυτοῦ ἐς τὴν ὑπερώην καὶ τὴν φάρυγγα, καὶ τὸν πνεύμονα, καὶ ἐς τὴν ἄλλην κοιλίην· γινώσκουσιν οἱ ἄνθρωποι, καί φασι καταῤῥέειν ἐκ τῆς κεφαλῆς. καταῤῥέει δὲ καὶ ἐς τὸ ἄλλο σῶμα. καὶ ἔστι τοῦτο τῷ θερμῷ. ὁρῇ δὲ διὰ τοῦτο. ἀπὸ τοῦ ἐγκεφάλου τῆς μήνιγγος φλὲψ καθήκει ἐς τὸν ὀφθαλμὸν διὰ τοῦ ὀστέου ἑκάτερον. διὰ ταυτέων τῶν φλεβῶν, ἀπὸ τοῦ ἐγκεφάλου διηθέεται τὸ λεπτότατον τοῦ κολλωδεστάτου. καὶ διὰ τοῦτο αὐτὸ περὶ αὐτὸ δέρμα ποιέει τοιοῦτον, οἷόν περ περὶ αὐτό ἐστι τὸ διαφανὲς τοῦ ὀφθαλμοῦ, τὸ πρὸς τὸν ἠέρος, πρὸς ὃ προσβάλλει τὰ πνεύματα, κατὰ τὸν αὐτὸν λόγον, ὥσπερ περὶ τοῦ ἄλλου δέρματος ἔλεξα. πολλὰ δὲ ταῦτ᾽ ἐστὶ τὰ δέρματα, πρὸ τοῦ ὁρέοντος διαφανέος, ὁκοῖόν περ αὐτό ἐστιν. τούτῳ γὰρ τῷ διαφανεῖ ἀνταυγέει τὸ φῶς, καὶ τὰ λαμπρὰ πάντα. τουτέῳ οὖν ὁρῇ τῷ ἀνταυγέοντι. ὃ, τι δὲ μὴ λαμπρόν ἐστι, μηδὲ ἀνταυγεῖ, τουτέῳ οὐχ ὁρῇ. τὸ δὲ ἄλλο τὸ περὶ τοὺς ὀφθαλμοὺς λευκὸν, κρέας ἐστίν. ἡ δὲ κόρη καλεομένη τοῦ ὀφθαλμοῦ. μέλαν φαίνεται διὰ τοῦτο, ὅτι ἐν βάθει ἐστὶν, καὶ χιτῶνες περὶ αὐτό εἰσι μέλανες. χιτῶνα δὲ καλέομεν, τὸ οἷον ὥσπερ δέρμα. ἔστι δὲ οὐ μέλαν ὄψει, ἀλλὰ λευκὸν διαφανές· τὸ δὲ ὑγρὸν, κολλῶδες.

πολλάκις γὰρ ὀπώπαμεν ἐπὶ συρραγέντος ὀφθαλμοῦ, ἐξιὸν ὑγρὸν, κολλῶδες. καὶ ἢν μὲν ᾖ ἔτι θερμὸν, ὑγρόν ἐστιν. ἐπειδὰν δὲ ψυχθῇ, ἐγένετο ξηρὸν, ὥσπερ λιβανωτὸς διαφανής· καὶ τῶν ἀνθρώπων καὶ τῶν θηρίων ὅμοιόν ἐστι. τὸν δὲ ὀφθαλμὸν ἀδικεῖ πάντα, ὅ τι ἂν ἐμπέσῃ, καὶ τὰ πνεύματα προσβάλλοντα, καὶ τἆλλα, ὅσα λαμπρότερα ἢ κατ' αὐτόν ἐστι. καὶ ὥς τις ἐκκρίσει διὰ τόδε, ὅτι ὁμόχροιά ἐστιν. ὥσπερ τὸ στόμα καὶ ἡ γλῶσσα, καὶ ἡ ἄλλη κοιλίη, ἔνυγρά ἐστιν.

Sæpè enim conspeximus oculo rupto, prodiisse humorem glutinosum, qui quandiu calidus est, liquidus existit; vbi verò perfrixit, siccus euadit, veluti thus transparens. Quod in hominibus & feris ad eundem modum se habet. At oculo infestum est, quicquid in eum inciderit, & venti irruentes, & quæcunque splendidiora quàm ipse est. Ac, siquis probauerit ea ratio est, quòd eiusdem sint coloris. Quemadmodum os & lingua, & reliquus venter, humida existunt.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῆς τοῦ λόγου ποιήσεως, καὶ δυνάμεως, καὶ τῶν ὀργάνων, καὶ αἰτιῶν· καὶ ὅτι τοῦ φάρυγγος ἀποτμηθέντος οὐδὲν φθέγγονται.

Διαλέγεται δὲ διὰ τὸ πνεῦμα ἕλκον εἴσω, πᾶν τὸ σῶμα, τὸ πλεῖστον δὲ, ἐς τὰ κοῖλα, αὐτὸς ἑωυτοῦ. αὖθις δὲ θύραζε ὠθεόμενον διὰ τὸ κενὸν, ψόφον ποιεῖ. ἡ κεφαλὴ γὰρ ἐπηχεῖ· ἡ δὲ γλῶσσα ἀρθροῖ, προσβάλλουσα ἐν τῷ φάρυγγι, ἀποφράσσουσα, καὶ προσβάλλουσα πρὸς τὴν ὑπερῴην καὶ πρὸς τοὺς ὀδόντας, ποιεῖ σαφηνίζειν. ἢν δὲ μὴ ἡ γλῶσσα ἀρθροῖ προσβάλλουσα ἑκάστοτε, οὐκ ἂν σαφέως διαλέγοιτο, ἀλλ' ἢ ἕκαστα φύσει τὰ μονόφωνα. τεκμήριον δέ ἐστι τουτέῳ. οἱ κωφοὶ οἱ ἐκ γενεῆς, οὐκ ἐπίστανται διαλέγεσθαι· ἀλλὰ τὰ μονόφωνα μοῦνον φωνέουσιν. οὐδ' εἴ τις τὸ πνεῦμα ἐκπνεύσας πειρῷτο διαλέγεσθαι. δῆλον δὲ τόδε. οἱ ἄνθρωποι ὁκόταν βούλωνται μέγα φωνῆσαι, ἕλκοντες τὸ πνεῦμα τὸ ἔξω, ὠθέουσι θύραζε, καὶ φθέγγονται μέγα, ὡς ἀντέχῃ τὸ πνεῦμα. ἔπειτα δὲ, καταμαραίνεται τὸ φθέγμα. καὶ οἱ κιθαρῳδοὶ, ὁκόταν δέῃ αὐτοὺς μακροφωνέειν, ἐπ' ἄκρον ἑλκύσαντες τὸ πνεῦμα ἔσω πουλὺ, ἐκτείνουσι τὴν ἐκφορὴν, καὶ φωνοῦσι, καὶ φθέγγονται μέγα, ὡς ἀντέχωσιν τῷ πνεύματι. ἐπὴν δὲ τὸ πνεῦμα ἐπιλίπῃ, καταπαύονται. τουτέοισι δῆλον ὅτι τὸ πνεῦμά ἐστιν τὸ φθεγγόμενον. εἶδον δὲ ἤδη οἱ σφάξαντες ἑωυτοὺς, ἀπέταμον τὴν φάρυγγα παντάπασιν. οὗτοι, ζῶσι μὲν· φθέγγονται δὲ οὐδὲν, εἰ μή τις συλλάβῃ τὴν φάρυγγα. οὗτοι δὲ φθέγγονται. δῆλον δὲ καὶ οὕτως, ὅτι τὸ πνεῦμα οὐ δύναται διατετμημένου τοῦ φάρυγγος ἕλκειν ἔσω ἐς τὰ κοῖλα, ἀλλὰ κατὰ τὸ διατετμημένον ἐκπνέει. οὕτως ἔχει περὶ φωνῆς ἴσως καὶ διαλέξεως.

CAPVT VII.

De sermonis formatione, facultate, organis, causis; & persecto gutture vocem non edi.

Sermonis autem causa est, quòd totum corpus spiritum intrò trahit, eúmque plurimum in suas quisque cauitates. Is verò per inane foràs pulsus, strepitum facit. Caput enim resonat, lingua verò articulat, occurrens in faucibus, obturánsque ac pellens ad palatum ac dentes clarum reddit. Quòd nisi lingua suo appulsu sermonem formaret, non distinctè homo loqueretur, sed singula vnam naturâ vocem ederent. Cuius rei indicio sunt muti ab ortu, qui distinctè loqui nequeunt, sed solam vocem edunt. Neque verò si quis spiritu foràs emisso loqui conetur, id facere queat, quod hinc constat. Qui homines magnam volunt vocem edere, ij attractum externum spiritum foràs propellunt, & quandiu perdurat spiritus, magnam vocem fundunt, quæ postea deficit. Sed & citharœdi, quum ipsos magna voce vti opus sit, spiritum intrò summopere attrahunt, & plurimum emittunt, ac vociferantur, vocémque quandiu spiritus suffecerit, magnam edunt. Vbi verò spiritus defecerit, desinunt. Ex quibus manifestum est, spiritum vocem edere. Vidi præterea quosdam, qui, cùm seipsos iugulassent, guttur in totum sibi præsecuerant. Atque hi viuunt quidem, verùm nullam vocem edunt, nisi quis guttur constringat, ac ij vocem edunt. Quin & hoc patet, quod præsecto gutture, spiritus in cauitates internas attrahi nequit, sed per præsectam partem foràs effertur. Ita sanè de voce ac sermone simili modo se res habet.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὅτι αἰών ἐστι τοῦ ἀνθρώπου ἑπταήμερος· περὶ διαθέσιων τῶν ἀπὸ τῆς συλλήψιος· περὶ ἀσιτίας τῆς θανασίμου· καὶ περὶ παιδίου ζωτικοῦ τε καὶ μὴ ζωτικοῦ.

Ὁ δὲ αἰών ἐστι τοῦ ἀνθρώπου, ἑπταήμερος. πρῶτον μὲν ἐπὴν ἐς τὰς μήτρας ἔλθῃ ὁ γόνος, ἐν ἑπτὰ ἡμέρῃσιν ἔχει ὁκόσα περ ἐστὶν ἔχειν τοῦ σώματος. τοῦτο δέ τις ἂν θαυμάσειεν, ὅκως ἐγὼ οἶδα. πολλὰ δὲ εἶδον τρόπῳ τοιῷδε. αἱ ἑταῖραι αἱ δημόσιαι, αἵ τινες αὐτέων πεπείρηνται πολλάκις ὁκόταν παρὰ ἄνδρα ἔλθῃ, γινώσκουσιν ὁκόταν λάβωσιν ἐν γαστρί· κἄπειτ' ἐνδιαφθείρουσιν. ἐπειδὰν δὲ ἤδη διαφθαρῇ, ἐκπίπτει ὥσπερ σάρξ. ταύτην τὴν σάρκα ἐς ὕδωρ ἐμβαλὼν, σκεπτόμενος ἐν τῷ ὕδατι, εὑρήσεις ἔχειν πάντα μέλεα, καὶ τῶν ὀφθαλμῶν τὰς χώρας, καὶ τὰ οὔατα, καὶ τὰ γυῖα. καὶ τῶν χειρῶν οἱ δάκτυλοι, καὶ τὰ σκέλεα, καὶ οἱ πόδες, καὶ οἱ δάκτυλοι τῶν ποδῶν· καὶ τὸ αἰδοῖον, καὶ τὸ ἄλλο πᾶν σῶμα δῆλον.

CAPVT VIII.

Vitam hominis septem dierum esse; de conceptionis affectibus; de lethali ieiunio; ac de fœtu vitali, & non vitali.

Hominis autem vita septem dierum est. Ac primùm quidem, vbi genitura ad vteros peruenerit, habet intra septem dies, quæcunque ex corpore ei accidere necesse est. Id verò quomodo nouerim fortasse quis mirabitur, verùm multa ad hunc modum vidi. Meretrices publicę, quæ in seipsis sępiùs id expertę sunt, vbi cum viro congressę sunt, noscunt quando conceperint, móxque conceptum intra se perdunt. Quo postea iam perdito, veluti caro excidit. Eam carnem in aquam coniectam si accuratiùs inspexeris, mēbra omnia habere deprehendas, & oculorum regiones, & aures, & brachia. Quin & manuum digiti, & crura, & pedes, & pedum digiti, & pudendum, & reliquum totum corpus in conspicuo est.

Liquidò

Liquidò autẽ constat harum rerum peritis, quòd mulier vbi concepit, statim inhorrescit, & incalescit, ac dentibus stridet, & articulũ reliquúmq; corpus conuulsio prehendit, & vterũ torpor, idq; iis quæ puræ sunt accidit. Quæ verò crassę & mucosæ istud experiuntur, earũ pleræq; hoc non sentiunt. Ac sanè quantum illæ mihi ita indicarunt, tantũ etiam me scire profiteor. Quòd verò hominis vita septem dierum sit, hoc quoq; manifestũ est. Plerique quidem ex his qui septem diebus nihil edere aut bibere volũt, in his moriuntur; quòd si qui eos superauerint, nihilominus tamen moriuntur. Nonnulli etiam ne per inediam à vita discederent, sed vt comederent & biberent persuasi sunt, verùm venter non ampliùs admittit. Ieiunũ enim intestinum in his diebus cohærescit, quinetiam illi moriuntur. Quin & illud ipsum ex his coniicere licet. Puer septimo mense natus, certa ratione in lucẽ prodiit & vitalis est, quum is rationem & numerũ exactè ad hebdomadas respondentẽ habeat. Octimestris autem natus, nullus vnquam vixit. Nouem autem mensium & decem dierũ fœtus editur, & vitalis est, numerúmq; ad hebdomadas exactè respondentẽ habet. Quatuor nempe decades hebdomadarũ, dies sunt ducenti & octoginta. Hebdomadarũ autem decuriã dies septuaginta constituunt. At septimo mense editus partus tres hebdomadarum decurias obtinet, & ad vnamquamq; decuriam dies concurrunt septuaginta. Tres itaque hebdomadarum decuriæ, in totum dies ducentos decem faciunt.

A εὔδηλον δὲ καὶ ὅταν λάβῃ ἐς γαστέρα τῇσιν ἐπισταμένῃσιν, αὐτίκα ἔφριξεν, καὶ θέρμη, καὶ βρυγμὸς, καὶ σπασμὸς, ἔχει καὶ τὸ ἄρθρον, καὶ τὸ σῶμα πᾶν, καὶ τὴν ὑστέρην ὄκνος. καὶ ὁκόσαι καθαραί εἰσι, τοῦτο πάσχουσιν. ὁκόσαι δὲ πάσχουσιν παχεῖαι καὶ τὸ βλεννώδεις, οὐ γινώσκουσι τουτέων τῶν γυναικῶν πολλαί. ἤδε μοι ἔδειξαν, κατὰ τοῦτο δὴ καὶ ἐπίσταμαι εἰδέναι. δῆλον δὲ τόδε ὅτι ἑπτήμερος ὁ αἰών, εἴ τις ἐθέλει ἑπτὰ ἡμέρας φαγέειν ἢ πιέειν μηδέν οἱ μὲν πολλοὶ ἀποθνήσκουσιν ἐν αὐτῇσιν. εἰσὶ δέ τινες καὶ οἳ ὑπερβάλλουσιν, ἀποθνήσκουσι δ᾽ ὅμως. εἰσὶ δέ τινες οἳ B καὶ ἐπείσθησαν ὥστε μὴ ἀποκαρτερῆσαι, ἀλλὰ φαγέειν τε καὶ πιέειν· ἀλλ᾽ ἡ κοιλίη, οὐκέτι καταδέχεται. ἡ γὰρ νῆστις συνεφύη ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν· ἀλλὰ θνήσκουσιν καὶ οὗτοι. ἔστι δὲ καὶ τόδε τεκμήρασθαι. τὸ παιδίον ἑπτάμηνον γόνον γενόμενον, λόγῳ γεγένηται καὶ ζῇ, καὶ λόγον ἔχει τοιοῦτον καὶ ἀριθμὸν ἀτρεκέα εἰς τὰς ἑβδομάδας. ὀκτάμηνον δὲ γενόμενον, οὐδὲν βιοῖ πώποτε. ἐννέα δὲ μηνῶν καὶ δέκα ἡμερέων γόνος, γίγνεται καὶ ζῇ, καὶ ἔχει τὸν ἀριθμὸν ἀτρεκέα ἐς τὰς ἑβδομάδας. τέσσαρες δεκάδες ἑβδομάδων ἡμέραι εἰσὶν διηκόσιαι ὀγδοήκοντα. C ἐς δὲ τὴν δεκάδα τῶν ἑβδομάδων, ἑβδομήκοντα ἡμέραι. ἔχει δὲ καὶ τὸ ἑπτάμηνον γενόμενον, τρεῖς δεκάδας ἑβδομάδων. ἐς δὲ τὴν δεκάδα ἑκάστην ἑβδομήκοντα ἡμέραι. τρεῖς δεκάδες δὲ ἑβδομάδων αἱ σύμπασαι, δέκα καὶ διηκόσιαι.

CAPVT IX.

Morbos acutissimos septimo die iudicari, vt & magna vlcera, & inflammationes sedari; & septimo anno dentes absolui.

SIc & morbi acutissimi hominibus contingunt, voluentibus diebus quibus iudicantur, & moriuntur, aut conualescunt. Et tertianæ diebus vndecim, vna & dimidia hebdomada. Quartanæ duabus hebdomadis. Quintanæ duodeuiginti diebus, hoc est, duabus hebdomadis & dimidia. In cæteris verò morbis, quoto tempore homines sani euadent, certa sententia pronunciari non potest. Ad eundem autem modum, vlcera quoque magna in capite & reliquo corpore, quarto die inflammatione tentari incipiunt, septimo verò inflammatio sedatur, aut decimoquarto, aut duodeuigesimo. Quòd si quis diligentem curam adhibeat, neque vlcera capitis magna hoc tempore sedentur, homines moriuntur. Ac fortè quis harum rerum imperitus, mirabitur fœtum septimo mense nasci, atque id quidem certè, & sæpiùs vidi. Quòd si quis volet, id facilè deprehendet, obstetrices quæ parturientibus pręsunt adeundo & percontando. Est verò & aliud argumentum. Pueri sæpiùs septimo anno exacto dentes explent. Et septem annos pleno & iusto numero exactè trecentæ & quinquaginta hebdomades conficiunt. Quòd autem horum singula septenariis à natura regantur, aliàs declarabo.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Τὰς ὀξυτάτας νόσους ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ἀνακρίνεσθαι· ὥσπερ καὶ τὰ ἕλκεα τὰ μεγάλα, καὶ τὰς φλεγμονὰς καθίστασθαι; καὶ τοὺς ὀδόντας ἐν τοῖς ἑπτὰ ἔτεσιν πληροῦσθαι.

D

KΑὶ αἱ νοῦσοι οὕτω τοῖς ἀνθρώποις ὀξύταται γίνονται, ἡμερέων περιηκουσέων ἐν τῇσιν ἀνακρίνονται, καὶ ἀπέθανον, ἢ ὑγιέες ἐγένοντο. καὶ τριταῖοι ἕνδεκα ἡμέρῃσιν ἐν μιᾷ ἑβδομάδι καὶ ἥμισυ ἑβδομάδος. καὶ τεταρταῖοι ἐν δυσὶν ἑβδομάσιν. καὶ αἱ πεμπταῖαι, ἐν δυοῖν δεούσαις εἴκοσιν ἡμέρῃσιν. δυοῖν τε ἑβδομάδοιν καὶ ἥμισυ ἑβδομάδος. αἱ δὲ ἄλλαι νοῦσοι οὐκ ἔχουσι διάγνωσιν ἐν ὁκόσῳ ὑγιέες ἔσονται ἀποφαίνεσθαι. οὕτω δὲ καὶ τὰ ἕλκεα τὰ μεγάλα, τὰ ἐν τῇ κεφαλῇ, καὶ τὰ ἐν τῷ ἄλλῳ σώματι, τεταρταῖα φλεγμαίνειν ἄρχεται, ἐν ἑπτὰ δὲ καθίστανται φλεγμαίνοντα, E καὶ ἐν τεσσαρεσκαίδεκα, δυοῖν δεούσῃσιν. ἢν δέ τις ἀνακῶς θεραπεύῃ, καὶ μὴ καταστῇ ἐν τουτέῳ τῷ χρόνῳ, τὰ ἐν τῇσι κεφαλῇσι μεγάλα ἕλκεα, ἀποθνήσκουσιν οἱ ἄνθρωποι. θαυμάσειε δ᾽ ἄν τις καὶ τοῦτο ὅς τις ἄπειρος ᾖ, εἰ ἑπτάμηνον γίνεται παιδίον. ἐγὼ μὲν οὖν αὐτὸς ὄπωπα καὶ συχνά. εἰ δέ τις βούλεται καὶ τοῦτο ἐλέγξαι, ῥηΐδιον· πρὸς τὰς ἀκεστρίδας, αἳ παρέασι τῇσι τικτούσῃσι ἐλθὼν πυθέσθω. ἔστι δὲ καὶ ἄλλο τεκμήριον. τοὺς ὀδόντας οἱ παῖδες ἑπτὰ ἐτέων διελθόντων πληροῦσι. καὶ ἐν ἑπτὰ ἔτεσιν. ἔστι δὲ λόγῳ καὶ ἀριθμῷ ἀτρεκέως δεκάδες ἑβδομάδων ἑξήκοντα καὶ τριηκόσιαι. τῆς δὲ φύσιος τὴν ἀνάγκην, F διότι ἐν ἑπτὰ τουτέων ἕκαστα διοικεῖται, ἐγὼ φράσω ἐν ἄλλοισιν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΦΥΣΙΟΣ ΠΑΙΔΙΟΥ.

HIPPOCRATIS DE NATVRA PVERI, LIBER.

ΠΡΟΚΕΙΜΕΝΟΝ ΒΙΒΛΙΟΥ.

Περὶ γενέσεώς τε καὶ τῶν τοῦ παιδίου ἀρχῶν· καὶ περὶ πάντων τῶν πρὸς τὸ κυούμενόν τε καὶ τὴν ἔγκυον· περὶ τοῦ τῆς διαρθρώσεως χρόνου· περὶ κινήσεως κούρου τε, καὶ τῆς κούρης· περὶ μηνῶν καὶ τῆς τοῦ γάλακτος γενέσεως· ἅπερ τοῖς φυτοῖς τε καὶ τοῖς ᾠοῖς παραβάλλεται· περὶ διδύμων καὶ τῆς διαφόρου φύσεως.

PROPOSITVM LIBRI.

De fœtus seu pueri procreatione ac principijs; ac de omnibus tum ad fœtum, tum ad fœtam pertinentibus; de tempore formationis; de motu in vtroque sexu; de mensibus & lactis generatione; quæ omnia cum terræ plantis & ouis conferuntur; de gemellis ac diuerso sexu.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τὴν γονὴν ἐν τῇ γαστρὶ ἕλκειν τὸ πνεῦμα, καὶ τὸ μὲν θερμὸν ἀπὸ τοῦ ψυχροῦ τρέφεσθαι· αὐτὸ δὲ τὸ θερμαινόμενον, τὸ πνεῦμα ἀφιέναι τε, καὶ ἕτερον ψυχρὸν ἀντισπᾶν.

A

ΗΝ ἡ γονὴ μείνῃ ἀπ' ἀμφοῖν, ἐν τῇσι μήτρῃσι τῆς γυναικὸς, πρῶτον μὲν μίσγεται ὁμοῦ, ἅτε τῆς γυναικὸς οὐκ ἀτρεμεούσης, καὶ ἀθροΐζεται, καὶ παχύνεται θερμαινομένη· ἔπειτα πνεῦμα ἴσχει, ἅτε ἐν θερμῷ ἐοῦσα· ἔπειτα τῆς μητρὸς πνεούσης. ἔπειτα δὲ τοῦ πνεύματος ὅταν πλησθῇ, ὁδὸν οἱ αὐτὸ ἑωυτῷ ἔξω ποιέει, καὶ κατὰ μέσον τῆς γονῆς τὸ πνεῦμα ἔξεισιν. ὅταν δὲ ὁδὸς γένηται τῷ πνεύματι ἔξω θερμῷ ἐόντι, αὖθις ἕτερον ψυχρὸν εἰσπνέει ἀπὸ τῆς μητρός. καὶ τοῦτο ποιέει διὰ παντὸς τοῦ χρόνου. θερμαίνεται μὲν γὰρ, ἅτε ἐν τῷ θερμῷ ἐοῦσα· ψυχρὸν δὲ ἴσχει, ἀπὸ τῆς μητρὸς πνεούσης. πάντα δὲ ὁκόσα θερμαίνεται, πνεῦμα ἴσχει· τὸ δὲ πνεῦμα ῥήγνυσι καὶ ποιέει οἱ ὁδὸν αὐτὸ ἑωυτῷ, καὶ χωρέει ἔξω. αὐτὸ δὲ τὸ θερμαινόμενον, ἕλκει ἐς ἑωυτὸ αὖθις ἕτερον πνεῦμα ψυχρὸν διὰ τῆς ῥαγῆς, ἀφ' οὗ τρέφεται. τοῦτο δὲ γίνεται καὶ ἐπὶ τῶν ξύλων καὶ ἐπὶ τῶν φύλλων, καὶ βρωτῶν, καὶ ποτῶν, ὁκόσα θερμαίνεται ἰσχυρῶς.

B

C

CAPVT PRIMVM.

Genituram in vtero spiritum trahere, & calidum frigido nutriri; & quod calescit, id spiritum emittere; & alium frigidum attrahere.

SI genitura ab vtrisque in mulieris vtero manserit, primùm quidem miscetur simul, muliere non quiescente; & coaceruatur & crassescit calescens: deinde spiritum habet, quippe quæ in calido est, deinde matre spirante. Deinde verò quum spiritus plena fuerit, viam ipse sibimet foràs facit, & per mediam genituram spiritus exit. Vbi verò via facta fuerit foràs spiritui calido, rursus alterum frigidum à matre inspirat, ídque toto tempore facit. Incalescit enim vtpote in calido existens; frigidum verò habet à matre spirante. Omnia verò quæcunque calescunt; spiritum habent: spiritus autem erumpit, viámque sibi facit, & foràs excedit. Id verò quod calescit, trahit ad sese rursus alium spiritum frigidum per [illegible], à quo nutritur. Hoc autem fit & in lignis, & in foliis, & cibis, & potibus quæcunque vehementer calescunt.

Id verò

Id verò intelligendum præbebunt ligna ardentia. Omnia enim ligna id facient, maximè verò quæ ſubuiridia; transmittunt enim per ſectionem, ſpiritum: ſpiritus verò vbi foràs prodierit, circa cæſuram conuoluitur, ídque ſemper fieri videmus. Perſpicua igitur eſt ratiocinatio quòd ſpiritus in ligno calidus exiſtens, alium frigidum à quo nutriatur ad ſe trahat, & à ſeipſo dimittat. Niſi enim viciſſim traheret, ſpiritus foràs prodiens non conuolueretur: omne namque calidum frigido commoderato nutritur. Et vbi percalefactum fuerit humidum quod in ligno eſt, in ſpiritum conuerſum foràs prodit; & hac via exiens foràs, qui calor in ligno eſt, alium frigidum attrahit à quo nutritur. Hoc autem faciunt & folia viridia; quum autem vruntur, ſpiritum concipiunt, deinde erumpit ſpiritus & viam ſibi facit, & foràs prodit volutans; cedens autem ſtrepitum præbet qua parte inſpirationem facit. Et legumina, & triticum, & arborei fructus, dum caleſcunt, ſpiritum concipiunt, qui ruptura facta foràs prodit, ac ſi humida fuerint, vberiorem ſpiritum emittunt, & rupturam maiorem efficiunt. Et quid prolixè loqui opus eſt? Nam quæcunque calefiunt, ſpiritum emittunt, & alium frigidum ob id viciſſim trahunt à quo nutriuntur. Atque eæ mihi neceſſariæ rationes productæ ſunt, quòd genitura in vtero caleſcens ſpiritum habeat & emittat.

ἐννοῆσαι δὲ παρέξει ξύλα καιόμενα. ἅπαντα μὲν γὰρ τὰ ξύλα καιόμενα ποιήσει τοῦτο. μάλιστα δὲ τὰ ὑπόχλωρα· μεθίησι γὰρ κατὰ τὴν τομὴν τὸ πνεῦμα. τὸ δὲ πνεῦμα ὁκόταν ἔξω χωρήσῃ, ἑλίσσεται περὶ τὴν τομὴν, καὶ τοῦτο γινόμενον ὁρῶμεν αἰεί. δῆλος οὖν ὁ ἐκλογισμός ἐστι τοῦ πνεύματος, ὅτι ἐν τῷ ξύλῳ ἐὸν θερμὸν, ἀντισπᾷ ἕτερον ψυχρὸν, ἀφ᾽ οὗ τρέφεται ἐς ἑωϋτὸ, καὶ ὑπὸ ἑωϋτοῦ ἀφίησιν. εἰ μὲν γὰρ μὴ ἀντέσπα, οὐκ ἂν τὸ πνεῦμα εἱλίσσετο ἔξω ἰόν· πᾶν γὰρ τὸ θερμὸν, τῷ ψυχρῷ τρέφεται τῷ μετρίῳ. καὶ ὁκόταν διαθερμανθῇ τὸ ὑγρὸν τὸ ἐν τῷ ξύλῳ ἐνεὸν, πνεῦμα γινόμενον, χωρέει ἔξω· καὶ τῇδε ἐξιὸν ἔξω, τὸ θερμὸν τὸ ἐν τῷ ξύλῳ ἐνεὸν, ἀντισπᾷ ἕτερον ψυχρὸν, ἀφ᾽ οὗ τρέφεται. ποιέει δὲ τοῦτο καὶ φύλλα χλωρά· ὅταν δὲ καίεται, πνεῦμα ἴσχει. ἔπειτα ῥήγνυσι τὸ πνεῦμα, καὶ ὁδὸν ποιέεται, καὶ χωρεῖ ἔξω ἑλισσόμενον· χωρέον δὲ ψόφον παρέχει, ᾗ τὴν εἴσπνοιαν ποιέεται. καὶ χέδροπα, καὶ σῖτος, καὶ ἀκρόδρυα θερμαινόμενα, πνεῦμα ἴσχει, καὶ ἔξω ἐξέρχεται ῥαγὴν ποιησάμενον. καὶ ἢν νοτερὰ ἔῃ, πλέον τὸ πνεῦμα ἀφίησι, καὶ τὴν ῥαγὴν μέζω ποιέεται. καὶ τί δεῖ μακρηγορέειν; πάντα γὰρ ὁκόσα θερμαίνεται, πνεῦμα ἀφίησι, καὶ ἕτερον ψυχρὸν κατὰ τοῦτο ἀντισπᾷ, ἀφ᾽ οὗ τρέφεται. καὶ αὗται μοι ἀνάγκαι περιηγμέναι εἰσὶν, ὅτι ἡ γονὴ θερμαινομένη ἐν τῇσι μήτρῃσι, πνεῦμα ἴσχει καὶ ἀφίησι.

CAPVT II.

De genituræ ſpiritu, de tunicarum fœtus procreatione & incremento; & grauidis ſano fœtu menſtrua non fluere.

Simul autem & à matre ſpirante ſpirationem habet genitura; quum enim mater frigidum in ſeipſam traxerit ab aëre, eo genitura fruitur, calida autem eſt vtpote quæ in calido exiſtit, túncque ſanè ſpiritum habet & emittit, & genitura, quum inflatur, membrana obducitur. Circumtenſum enim eſt quiddam ipſam ambiens exteriùs, continuum, quod nimirum viſcidum ſit, quemadmodum in pane torrente tenue quid extat in ſuperficie inſtar membranæ: nam quum caleſcit & inflatur, attollitur. Qua verò parte inflatur, illic pelliculæ ſpecies exoritur. At toti genituræ calenti & flatu tumenti exteriore parte membrana circumducitur, verùm per membranam ad mediam genituram intrò & foràs ſpiritui tranſitus fit, eáque parte membranæ tenue quiddam à genitura recedit, quæ in his locis pauciſſima ineſt, ipſa verò reliqua genitura rotunda eſt in membrana. Equidem genituram ſex diebus in vtero retentam & foras prolapſam ipſe vidi, & qualis tunc meo iudicio viſa eſt, ex eo reliquorum coniecturam facio. Vt autem genituram ſex dierum exiſtentem viderim, ego narrabo. Mulieri nobis familiari perelegans erat pſaltria, quæ cum viris conuerſabatur, & quam minimè decebat grauidam eſſe, ne viliore loco haberetur. Hæc autem cantrix audierat quæ mulieres inter ſe narrant, ſi quando mulier conceptura ſit, genituram intus manere, neque foràs egredi. Quibus auditis & intellectis, ea ſemper in animo habuit, quúmque aliquando genituram non exire percepiſſet, dominæ expoſuit, ſermóque ad me.

ΚΕΦΑΛΑΙΟΝ Β′.

Περὶ πνεύματος τῆς γονῆς, καὶ τῆς γενέσιός τε καὶ αὐξήσιος τῶν ἐκκυουμένων χιτώνων· καὶ τὰ καταμήνια τῇσιν ἐν γαστρὶ ἐχούσῃσιν οὐ χωρέειν ἢν μέλλῃ τὸ παιδίον ὑγιαίνειν.

Ἅμα δὲ καὶ ἀπὸ τῆς μητρὸς πνεούσης, πνοὴν ἴσχει καὶ ἡ γονή· ὁκόταν γὰρ ἡ μήτηρ ψυχρὸν ἑλκύσῃ ἐς ἑωϋτὴν ἀπὸ τοῦ ἠέρος, ἐπαυρίσκεται ἡ γονή. θερμὴ δέ ἐστιν, ἅτε δὴ ἐν θερμῷ ἐοῦσα· καὶ τότε δὴ πνεῦμα ἴσχει καὶ ἀφίησι, καὶ ἡ γονὴ, ὑμενοῦται φυσωμένη. περιτέταται γὰρ ἀμφ᾽ αὐτὴν τὸ ἔξωθεν συνεχὲς γινόμενον, ἅτε γλίσχρον ἐὸν, ὥσπερ ἐπ᾽ ἄρτῳ ὀπτωμένῳ, λεπτὸν ἐξίσταται ἐπιπολῆς ὑμενοειδές· θερμαινόμενος γὰρ καὶ φυσώμενος αἴρεται. ᾗ δ᾽ ἂν φυσᾶται, κείνῃ τὸ ὑμενῶδες γίνεται. τῇ δὲ γονῇ θερμαινομένῃ καὶ φυσωμένῃ πάσῃ, ὑμὴν ἔξωθεν περιγίνεται· κατὰ δὲ τὸ μέσον τῆς γονῆς, τῷ πνεύματι δίοδος, καὶ ἔξω καὶ ἔσω γίνεται διὰ τοῦ ὑμένος. καὶ ταύτῃ τοῦ ὑμένος ἀπέχει τὸ λεπτὸν, καὶ τῆς γονῆς ἐν αὐτῇσιν ὀλίγιστόν ἐστιν. αὕτη δὲ ἡ ἄλλη γονὴ στρογγύλη ἐστὶν ἐν ὑμένι. καὶ μὴν ἓξ ἡμέρας μείνασαν ἐν τῇ γαστρὶ γονὴν, καὶ ἔξω πεσοῦσαν αὐτὸς εἶδον. καὶ ὁκοίη μοι ἐφαίνετο ἐν τῇ γνώμῃ τότε, ἀπ᾽ ἐκείνων τὰ λοιπὰ τεκμήρια ποιεῦμαι. ὡς δὲ εἶδον τὴν γονὴν ἑκταίην ἐοῦσαν, ἐγὼ διηγήσομαι. γυναικὸς οἰκείης μουσοεργὸς ἦν πολύτιμος, παρ᾽ ἄνδρας φοιτέουσα, ἣν οὐκ ἔδει λαβεῖν ἐν γαστρὶ, ὅκως μὴ ἀτιμωτέρη ἔῃ. ἀκηκόει δὲ ἡ μουσοεργὸς, ὁκοῖα γυναῖκες λέγουσι πρὸς ἀλλήλας· ἐπὴν γυνὴ μέλλῃ λήψεσθαι ἐν γαστρὶ, οὐκ ἐξέρχεται ἡ γονὴ, ἀλλ᾽ ἔνδον μένει. ταῦτα ἀκούσασα, ξυνῆκε· καὶ τοῦτο ἐφύλασσεν αἰεί. καί πως ὡς ᾔσθετο οὐκ ἐξιοῦσαν τὴν γονὴν, καὶ ἔφρασε τῇ δεσποίνῃ, καὶ ὁ λόγος ἦλθεν ἕως

ἐμέ. καὶ ἐγὼ ἀκούσας ἐκελευσάμην αὐτὴν πρὸς τὴν γῆν πηδῆσαι, καὶ ἑπτάκις ἤδη ἐπεπήδητο, ἡ γονὴ κατεῤῥύη ἐπὶ τὴν γῆν, καὶ ψόφος ἐγένετο. κἀκείνη δ' ἰδοῦσα, ἐθεῆτο καὶ ἐθαύμασεν. ὁκοῖον δὲ ἦν, ἐγὼ ἐρέω. οἷον εἴ τις ὠοῦ ὠμοῦ τὸ ἔξω λεπύριον περιέλοι, ἐν τῷ ἔνδον ὑμένι, τὸ ἔνδον ὑγρὸν διαφαίνοιτο. τρόπος μέν τις ἦν τοιοῦτος, ἅλις εἰπεῖν. ἦν δὲ καὶ ἐρυθρὸν καὶ στρογγύλον. ἐν δὲ τῷ ὑμένι ἐφαίνοντο ἐνεοῦσαι ἶνες λευκαὶ καὶ παχεῖαι, εἰλημμέναι ξὺν ἰχῶρι παχεῖ καὶ ἐρυθρῷ, καὶ ἀμφὶ τὸν ὑμένα ἔξωθεν αἱμάλωπες. κατὰ δὲ μέσον τοῦ ὑμένος, ἀπεῖχε λεπτόν τι, ὅ τί μοι ἐδόκεεν εἶναι ὀμφαλός· κἀκείνῳ τὴν πνοὴν καὶ εἴσω καὶ ἔξω ποιέεσθαι τὸ πρῶτον. καὶ ὁ ὑμὴν ἐξ ἐκείνου ἐτέτατο ἅπας, περιέχων τὴν γονήν. τοιαύτην μὲν ἐγὼ εἶδον ἑκταίην ἐοῦσαν τὴν γονήν. ἐρέω δὲ καὶ ἄλλην διάγνωσιν ὀλίγον ἐπὶ τούτῳ ὕστερον, ἐκφανέα παντὶ τῷ βουλομένῳ εἰδέναι τούτου πέρι. καὶ ἱστόριον, παντὶ τῷ ἐμῷ λόγῳ, ὅτι ἐστὶν ἀληθὴς, ὡς εἰπεῖν ἄνθρωπος περὶ τοιούτου πρήγματος· καὶ ταῦτα μὲν, ἐς τοῦτό μοι εἴρηται. ὅτι δὲ ἡ γονὴ ἐν ὑμένι ἐστὶ, καὶ πνοὴν ἔχει, καὶ εἴσω, καὶ ἔξω, καὶ αὔξεται ὑπὸ τῆς μητρὸς τοῦ αἵματος κατιόντος ἐπὶ τὰς μήτρας. τὰ γὰρ καταμήνια οὐ χωρέει, ὁκόταν γυνὴ λάβῃ πρὸς ἑωυτὴν, ἢν μέλλῃ τὸ παιδίον ὑγιαίνειν· εἰ μή ἐστιν ἧσιν ἐπισημαίνει τὸν πρῶτον μῆνα ὁκόσον ὀλίγον. ἀλλὰ κατιὸν τὸ αἷμα ἀπὸ παντὸς τοῦ σώματος τῆς γυναικὸς, κυκλόσε περιΐσταται περὶ τὸν ὑμένα ἔξω. ἅμα δὲ τῇ πνοῇ ἑλκομένου εἴσω τοῦ αἵματος διὰ τοῦ ὑμένος, κατὰ τὸ τετρημένον καὶ ἀπέχον, συμπήγνυται, καὶ αὔξει τὸ μέλλον ζῶον ἔσεσθαι. ὁκόταν δὲ χρόνος ἐγγένηται, αὖθις ἕτεροι ὑμένες εἴσω τοῦ πρώτου ὑμένος λεπτοὶ καὶ πολλοὶ περιτείνονται, τρόπῳ τοιούτῳ, οἵῳ καὶ ὁ πρῶτος ὑμὴν ἐγένετο. τεταμένοι δέ εἰσι καὶ οὗτοι ἀπὸ τοῦ ὀμφαλοῦ, καὶ ἐς ἀλλήλους διαδέσμους ἔχουσιν. ὁκόταν δὲ ἤδη τοῦτο γένηται, κατιόντος τοῦ αἵματος ἀπὸ τῆς μητρὸς καὶ πηγνυμένου σὰρξ γίγνεται. κατὰ δὲ μέσον τῆς σαρκὸς ὁ ὀμφαλὸς ἀπέχει, δι' οὗ πνέει καὶ τὴν αὔξησιν ἴσχει.

peruenit. Quo audito ego ipsa vt in terram desiliret iussi. Quod quum iam septies exiliisset, genitura in terram cum sonitu defluxit. Quam illa videns non sine admiratione spectauit, ego verò qualis erat referam. Vt si quis ouo crudo externam testam vndique auferat, in quo interiore membrana contentus humor pelluceat; modus quidem talis erat (vt abundè dicam) ruber erat liquor & rotundus. In membrana autem fibræ albæ & tenues inesse videbantur cum cruore crasso & rubro obuolutæ; & circum membranam exteriore parte cruenta vestigia instar sugillatorum. In cuius medio tenue quiddam eminebat, quod mihi vmbilicus esse videbatur, & per illum spirationem intrò & extrà facere; ex eoque protendebatur membrana tota genituram complectens. Talem equidem ego vidi genituram sex diebus conceptam. Adducam autem paulò post aliam cognitionis rationem, his omnibus qui hocum desiderio tenentur manifestam, quæ quantum homini de re eiusmodi dicere conceditur, omnem orationem meam probabit. Ac de his quidem hactenus. Quòd vero genitura in membrana sit, spirationem intrò & foràs habet, & sanguine à matre in vterum delapso incrementum accipit. Menstrua namque haud prodeunt vbi mulier in se conceperit; si puer sanus futurus sit, præter quàm quibusdam, quod perpusillum primo mense grauiditatis indicationem facit; sed promanans ab vniuerso muliebri corpore sanguis, in orbem foris membranam circunstat; simúlque cum spiritu sanguis per membranam, quâ perforata est & extat, attrahitur, condensatur, & in futuri animalis augmentum cedit. Succedente autem tempore rursus aliæ multæ tenues membranæ, eo modo quo prima, intra primam protenduntur, eæque ex vmbilico dependentes, mutuis inter se vinculis connexæ sunt. Quum verò iam hoc factum est, ex delapso & concreto materno sanguine caro gignitur; sed ex carnis medio vmbilicus extat, per quem spirat & incrementum recipit.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὁκόθεν ἡ γυνὴ ὁκόταν ἐν γαστρὶ ἔχῃ, μὴ δὲ ὁκόταν μὴ ἔχῃ, ὑπὸ τῶν καταμηνίων οὐ πονέεται. ὁκόθεν τὸ παιδίον τὴν πνοὴν ἴσχει τε καὶ τρέφεται· ὁκότε γὰρ ἡ σύλληψις, καὶ τίνα τὰ συμπτώματα τῇ ἐπισχέσει ἕπεται.

Ἡ δὲ γυνὴ ὁκόταν ἐν γαστρὶ ἔχῃ, ὑπὸ τῶν καταμηνίων μὴ χωρεόντων, διὰ τόδε οὐ πονέεται, ὅτι τὸ αἷμα οὐ ταράσσεται, βύζην ἀπιὸν κατὰ μῆνα ἕκαστον· ἀλλὰ χωρέει ἡσυχῇ καὶ κατ' ὀλίγον ἄνευ πόνου καθ' ἡμέρην ἐς τὰς μήτρας. καὶ τὸ ἔνδον ἐν τῇσι μήτρῃσιν ἐνεὸν αὔξεται. καθ' ἡμέρην δὲ ἑκάστην, τούτου ἕνεκα χωρέει, ἀλλ' οὐκ ἐς ἅπαξ κατὰ μῆνα· ὅτι ἐν τῇσι μήτρῃσιν ἡ γονὴ ἐνεοῦσα, ἕλκει ἀπὸ τοῦ σώματος αἰεὶ, ὅκως αὖ καὶ δυνάμιος ἔχῃ. ταύτῃ καὶ ἡ πνοή. καὶ τὸ μὲν πρῶτον σμικρὴ ἡ πνοὴ γίνεται. καὶ τὸ αἷμα ὀλίγον χωρέει ἀπὸ τῆς μητρός. ὁκόταν δὲ ἡ πνοὴ ἐπὶ πλέον γίνηται, μᾶλλον ἕλκει τὸ αἷμα, καὶ ἐπὶ πλέον κατέρχεται ἐπὶ τὰς μήτρας. τῇσι δ' ἐν γαστρὶ μὴ ἐχούσῃσιν, ὁκόταν τὰ καταμήνια μὴ χωρέῃ, διὰ τάδε ὁ πόνος γίνεται. πρῶτα μὲν ταράσσεται τὸ αἷμα

CAPVT III.

Vnde menstrua grauidis, sed vtero non gerentibus molesta sint; vnde fœtus spirat, ac nutritur; quando fit conceptio; & quæ menstrui suppressionem symptomata sequuntur.

AT verò mulier quum vtero gerit, à mensibus minimè prodeuntibus, iccirco non laborat, quòd sanguis singulis mensibus cumulatè exire solitus, non agitetur, sed sensim paulatimque quotidie in vterum citra dolorem secedit, ex quo augetur, quod intro in vtero continetur. Singulis autem diebus, & non semel per mensem iccirco defertur, quòd genitura quæ in vtero continetur, semper aliquid è corpore, pro virium ratione trahit, ad eundémque modum etiam spiratio habet. Ac primò quidem parua est spiratio, & paucus sanguis ex matre fertur. Quum verò amplior fit spiratio, plus quoque sanguinis attrahit, & maiore copia in vterum descendit. Iis verò quæ minimè vtero gerunt, vbi menses non prodierint, eas ob causas dolor oboritur. Primùm quidem quolibet mense sanguis in

in corpore ex eo neceſſariò agitatur, quòd menſes multùm inter ſe frigore & calore differant, idque mulieris corpus ſenſu percipit, humidius enim eſt, quam viri. Vbi autem agitatus eſt ſanguis & venas impleuit, ab ipſo deorſum fertur, id quod ei quodammodo ab initio à natura inſitum eſt. Quare ſi illo quidem ſanguine vacuetur mulier, in ventre concipit, ſi verò eo plena fuerit minimè. Vteris enim & venis ſanguine vacuis, mulieres in ſe fœtus concipiunt. Hæ namque mulieres poſt menſtruam purgationem, vtero concipiunt. Cauſa verò dicta eſt. Quum autem agitatus & ſecretus ſanguis, minimè foràs, ſed in vteros feratur, vterique non hiarint, tum ſanè diutiùs immorante, ſanguine vteri incaleſcentes, calorem reliquo corpori excitant. Quandoque etiam ſanguinem in venas corporis transfundunt, vt & venæ impletæ doleant, & ædemata excitent. Nonnunquam verò ex eo claudicationis periculum impendet. Quinetiam interdum veſicam obſident premúntque & claudunt, ſtranguriámque adferunt. Quandóque verò vteri ſanguine pleni exiſtentes, aut ad coxendicem, aut ad lumbos procidunt, doloréſque exhibent. Aliquando verò vbi ſanguis quinque aut ſex menſes in vterò immoratus eſt, putreſcens pus fit, & quibuſdam pus per pudendum exit. Nonnullis etiam in inguine velut tuberculum oboritur, ibíque pus factum foràs prodit, & plæráque alia eiuſmodi mala mulieribus contingunt, quum menſtrua non expurgantur. Sed quid ea hîc recenſere opus eſt? De his ſiquidem in morbis muliebribus dicetur.

ἐν τῷ σώματι κατὰ μῆνα ἕκαστον, ὑπὸ ἀνάγκης τοιῆσδε, ὅτι μὴν μηνὸς διαφέρῃ πουλὺ, καὶ κατὰ ψῦξιν καὶ κατὰ θερμασίην. καὶ τούτου αἰσθάνεται τῆς γυναικὸς τὸ σῶμα, ὑγρότερον γάρ ἐστιν ἢ τὸ τοῦ ἀνδρὸς, καὶ ταραχθέντος τοῦ αἵματος, καὶ πληρώσαντος τὰς φλέβας, ἀπέρχεται ἀπ' αὐτοῦ. καί πως τοῦτο ἐν τῇ ἀρχῇ τῇ φύσει ὑπῆρξεν. ὥστε ἢν μὲν ἀποκένωται τοῦ αἵματος ἡ γυνὴ, λαμβάνει ἐν γαστρί. ἢν δὲ πλήρης ἔῃ, οὔ. κενεῶν γὰρ τῶν μητρέων καὶ τῶν φλεβῶν γινομένων τοῦ αἵματος, λαμβάνουσι πρὸς σφᾶς αἱ γυναῖκες τοὺς παῖδας. μετὰ γὰρ τὴν καταμηνίων τὴν κάθαρσιν, αἱ γυναῖκες λαμβάνουσιν ἐν γαστρί. αἴτιον δὲ τὸ εἰρημένον. ὁκόταν δὲ ταραχθὲν τὸ αἷμα καὶ ἀποκριθὲν, μὴ χωρέῃ ἔξω, ἀλλ' ἐς τὰς μήτρας· αἱ δὲ μῆτραι μὴ χάνωσι, θερμαινόμεναι δὴ ὑπὸ τοῦ αἵματος χρονιώτερον μένοντος, αἱ μῆτραι θέρμην τῷ ἄλλῳ σώματι παρέχουσιν. ἔστι δ' ὅτε καὶ διαδίδουσιν αἵματος ἐς τὰς φλέβας τοῦ σώματος, ὅπη αἱ φλέβες πληρεόμεναι πονέονται, καὶ οἰδήματα παρέχουσιν. ἔστι δ' ὅτε καὶ κίνδυνος ἐκ τοῦ τοιούτου χωλωθῆναι. ἔστι δ' ὅτε καὶ πρὸς τὴν κύστιν προσίσανται, καὶ πιέζουσι, καὶ κλείουσι τὴν κύστιν, καὶ στραγγουρίην παρέχουσιν. ἔστι δ' ὅτε πλήρεες αἵματος ἐοῦσαι αἱ μῆτραι, προσπίπτουσιν ἢ πρὸς τὰ ἰσχία, ἢ πρὸς ὀσφὺν, καὶ πόνον παρέχουσιν. ἔστι δὲ ὁκόταν ἐγχρονίσῃ τὸ αἷμα μῆνας πέντε ἢ ἓξ ἐν τῇσι μήτρῃσι σαπὲν, πύος γίνεται. καὶ ἐνίῃσι κατὰ τὸ αἰδοῖον ἐξέρχεται τὸ πύος. ἔστι δὲ ᾗσι καὶ κατὰ τὸν βουβῶνα ὡς φῦμα γίνεται, κἀκεῖ πύον γινόμενον, ἐξῆλθε. καὶ ἄλλα πολλὰ κακὰ τῇσι γυναιξὶ τοιουτότροπα γίνονται, ὁκόταν μὴ ἀποκαθαίρωνται τὰ καταμήνια. ἀλλὰ τί δεῖ λέγειν αὐτὰ ἐνθάδε; εἰρήσεται γὰρ ἐν τοῖσι γυναικείοισι νοσήμασιν.

CAPVT IV.

De ſecundarum, ac mirabili primáque partium conformatione vt fiat.

VErùm eo vnde digreſſus ſum ſermonem abſoluam. Quum autem generatur, caro tum ſanguine in vtero increſcente, etiam ipſæ membranæ, augentur, ac ſinuantur, præcipuéque externæ. Et ſanguis à matre deſcendens, quem ſanè caro ſpirando attraxerit, in incrementum cedit, quodque vtile non fuerit, in membranarum ſinus ſecernitur; quæ vbi in ſinus excauatæ fuerint, & ſanguinem exceperint, tum iam Secundæ appellantur. At hæc hactenus mihi dicta ſint. At verò caro augeſcens à ſpiritu articulatur, in eáque ſimile quodque ad id, quod ſibi ſimile fertur, denſum ad denſum, rarum ad rarum, humidum ad humidum, & vnumquodque in propriam regionem abit ad id cum quo cognationem habet, & ex quo etiam ortum eſt. Et quæcunque ex denſis orta ſunt, denſa ſunt, & quæcunque ex humidis, humida; reliquáque ad eandem rationem in incremento fiunt. Atque oſſa calore condenſata dureſcunt. Ac ſanè, vt arbor, in ramos etiam diuiduntur, multóque meliùs membra tum corporis interna, tum externa articulantur; ipſúmque caput ab humeris diſtans exoritur, brachia item & cubiti à lateribus; & crura inter ſe ſeparantur; neruíque circum naturas articulorum exſiliunt; os per ſe diducitur, naſus & aures in carne eminent, & perforantur, oculi humore puro im-

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ χορίων τε καὶ τῆς θαυμαστοῦ τε καὶ τῆς πρώτης διαπλάσιος τῶν μορίων ὅπως γίνεται.

ΑΛλ' ὅθεν ἀπέλιπον περανέω τὸν λόγον. ὁκόταν δὲ γίνηται σὰρξ, τότε οἱ ὑμένες αὐξομένου τοῦ ἐν τῇσιν μήτρῃσιν αἵματος, αὔξονται καὶ αὐτοὶ, καὶ κολποῦνται, καὶ μάλιστα οἱ ἔξωθεν. καὶ τὸ αἷμα κατελθὸν, τὸ ἀπὸ τῆς μητρὸς, ὅ, τι ἂν ἡ σὰρξ πνέουσα ἑλκύσῃ, καὶ ἡ αὔξη ἐγγίνηται καὶ ἢν μὴ χρηστὸν ἔῃ, ἐς τοὺς κόλπους τῶν ὑμένων ἀποκρίνεται. καὶ ὁκόταν κολπωθῶσι, καὶ τὸ αἷμα δέξωνται, τότε ἤδη καλέεται χορίον. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται. ἡ δὲ σὰρξ αὐξομένη, ὑπὸ τοῦ πνεύματος ἀρθροῦται, καὶ ἔρχεται ἐν ταύτῃ ἕκαστον ὅμοιον, ὡς τὸ ὅμοιον, τὸ πυκνὸν, ὡς τὸ πυκνόν· τὸ ἀραιὸν, ὡς τὸ ἀραιόν· τὸ ὑγρὸν, ὡς τὸ ὑγρόν. καὶ ἕκαστον ἔρχεται εἰς χώρην ἰδίην κατὰ τὸ ξυγγενὲς, ἀφ' οὗ καὶ ἐγένετο. καὶ ὅσα ἀπὸ πυκνῶν ἐγένετο, πυκνά ἐστι. καὶ ὅσα ἀπὸ ὑγρῶν, ὑγρά. καὶ τἄλλα κατὰ τὸν αὐτὸν λόγον γίνεται ἐν τῇ αὐξήσει. καὶ τὰ ὀστέα σκληρύνεται ὑπὸ τῆς θέρμης πηγνύμενα. καὶ δὴ καὶ διοζοῦται ὡς δένδρον, καὶ ἀρθροῦται ἐπὶ ἄμεινον, καὶ τὰ ἔσω τοῦ σώματος, καὶ τὰ ἔξω. καὶ ἥ τε κεφαλὴ γὰρ ἀφεστήκει ἀπὸ τῶν ὤμων, καὶ οἱ βραχίονες καὶ οἱ πήχεες ἀπὸ τῶν πλευρέων· καὶ τὰ σκέλεα διΐσταται ἀπ' ἀλλήλων· καὶ τὰ νεῦρα ἐπαΐσσεται ἀμφὶ τὰς φύσιας τῶν ἄρθρων, καὶ ἀναστομοῦται, καὶ ἡ ῥὶς, καὶ τὰ οὔατα ἀφίσταται ἐν τῇσι σαρξὶ, καὶ τετρήνεται· καὶ οἱ ὀφθαλμοὶ ἐμπίπλανται ὑγροῦ καθαροῦ.

καὶ τὸ αἰδοῖον δῆλον γίνεται, ὁκότερόν ἐστι, καὶ τὰ σπλάγχνα διαρθροῦται. καὶ δὴ καὶ τοῖσιν ἄνω τὴν πνοιὴν ποιέεται, τῷ τε στόματι καὶ τῇ ῥινὶ, καὶ ἥτε κοιλίη φυσᾶται. καὶ τὰ ἔντερα παραφυσώμενα κατὰ τὸ ἄνωθεν ἐπιλαμβάνει τὴν διὰ τοῦ ὀμφαλοῦ πνοιὴν καὶ ἀμαλδύνει. καὶ ἐς τὸν κύσαρον ὁδὸς γίνεται ἀπὸ τῆς κοιλίης καὶ τῶν ἐντέρων ἔξω, καὶ ἐς τὴν κύστιν ὁδὸς ἔξω. τούτων δὲ διαρθροῦται ὑπὸ τῆς πνοῆς ἕκαστα. φυσώμενα γὰρ διΐσταται ξύμπαντα κατὰ συγγένειαν. καὶ γὰρ εἰ θέλοις αὐλίσκον προσδῆσαι τῇ κύστει, καὶ διὰ τοῦ αὐλίσκου ἐμβάλλειν ἐς τὴν κύστιν γῆν τε καὶ ψάμμον, καὶ μολίβδου κνήσματα λεπτὰ, καὶ ὕδωρ ἐπιχέας φυσῇν διὰ τοῦ αὐλίσκου, πρῶτον μὲν ἐκεῖνα ἀναμεμίξεται τῷ ὕδατι. ἔπειτα δὲ, χρόνῳ φυσώμενα ἐλεύσεται ὅ, τε μόλιβδος, ὡς τὸν μόλιβδον· καὶ ἡ ψάμμος, ὡς τὴν ψάμμον. καὶ ἡ γῆ ὡς τὴν γῆν. καὶ ἢν τις αὐτὰ αὐανθῆναι ἐάσῃ, καὶ περιῤῥήξας τὴν κύστιν σκέψηται, εὑρήσει αὐτὸ τὸ ὅμοιον ἐς τὸ ὅμοιον ἐληλυθός. οὕτω δὴ καὶ ἡ γονὴ καὶ σὰρξ διαρθροῦται, καὶ ἔρχεται ἕκαστον ἐν αὐτῇ, τὸ ὅμοιον ὡς τὸ ὅμοιον. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται.

plentur, pudendum quodnam sit, manifestum est; & viscera ipsa formantur. Ac sanè superioribus etiam partibus, tum ore, tum naribus, spirationem facit, & venter spiritu inflatur, eóque inflata intestina, ex superioribus per vmbilicum insuper spiritum accipiunt, & absumunt; & à ventre ac intestinis in podicem, similitérque in vesicam via foràs patet. Atque horum singula à spiritu efformantur. Spiritu namque perflata omnia pro generis affinitate separantur. Etenim si vesicæ fistulam alligare velis, & per fistulam in vesicam terram, arenam, & tenuia plumbi ramenta immittere, insupérque aqua per fistulam affusa inflare; primum quidem illa aquæ permiscebuntur, deinde vero temporis progressu, flatu agitata secedent plumbúmque ad plumbum, arena ad arenam, & terra ad terram abibit. Ac si quis ea arescere permittat, disruptáque vesica contempletur, simile ad sui simile se contulisse comperiet. Sic certè genitura & caro discernuntur, in eáque simile quodque ad sui simile secedit. Atque ista quidem ea de re à me dicta sunt.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ χρόνου τοῦ τοῦ ἄρσενός τε καὶ τοῦ θήλεος πήξεως, καὶ τῆς τῶν λοχίων καθάρσεως τῆς τῇσι γυναιξὶν ἀναγκαίης· ἧς ἐπίσχεσις οὐκ ἀκίνδυνος.

Καὶ γέγονεν ἤδη παιδίον, καὶ εἰς τοῦτο ἀφικνέεται, τὸ μὲν θῆλυ τὴν πρώτην πῆξιν, ἐν τεσσαράκοντα ἡμέρῃσι καὶ δύο τὸ μακρότατον· τὸ δὲ ἄρσεν, ἐν τριήκοντα ἡμέρῃσι τὸ μακρότατον. ὡς γὰρ ἐπιπολὺ ξυμβαίνει ἐν τούτῳ τῷ χρόνῳ, ἢ ὀλίγῳ μείονι, ἢ ὀλίγῳ πλείονι, ταῦτα διαρθροῦσθαι. καὶ γὰρ ἡ κάθαρσις γίνεται τῇσι γυναιξὶ μετὰ τὸν τόκον ὡς ἐπιτοπολὺ, ἐπὶ μὲν τῇ κούρῃ, ἡμέρῃσι τεσσαράκοντα καὶ δύο. οὕτως ἡ χρονιωτάτη, τελείη. ἀκίνδυνος δ' ἂν εἴη, καὶ ἐν εἴκοσι καὶ πέντε ἡμέρῃσιν, εἰ καθαίροιτο. ἐπὶ δὲ τῷ κούρῳ, ἡ κάθαρσις γίνεται ἡμέρῃσι τριήκοντα. οὕτως ἡ χρονιωτάτη τελείη. ἀκίνδυνος δ' ἂν εἴη καὶ ἐν εἴκοσιν ἡμέρῃσιν εἰ καθαίροιτο. τοῦ δὲ ὑστάτου χρόνου, ἐλαχίστη χωρέει ἡ κάθαρσις. ἐπὶ δὲ τῇσι νεωτέρῃσιν ἐλάσσοσιν ἡμέρῃσι καθαίρονται· ἐπὶ δὲ τῇσι πρεσβυτέρῃσι, πλείοσι. μάλιστα δὲ πονέονται αἱ γυναῖκες ἐν τῷ τόκῳ, καὶ ἐν τοῖσι λοχίοισιν αἱ πρωτοτόκοι, καὶ αἱ ἐλάσσω τετοκυῖαι, τῶν πλείω τετοκυιέων, μᾶλλον πονέονται. αἱ δὲ καθάρσιες αἱ ἐκ τοῦ τόκου τῇσι γυναιξὶ, τούτου εἵνεκα γίνονται, ὅτι ἐν τῷ περὶ τοῦ χρόνῳ, μέχρι τεσσαράκοντα ἡμερέων καὶ δύο ἐπὶ τῇ κούρῃ, ἐπὶ δὲ τῷ κούρῳ, μέχρι τριήκοντα ἡμερέων, ἐλάχιστον αἷμα κατέρχεται, ἐπὶ τὴν αὔξην τῷ παιδίῳ. τὸ δὲ ἀπὸ τούτου πλεῖστον, μέχρι τέκῃ. δεῖ δὴ τὴν κάθαρσιν ἀποδοθῆναι ἐν τοῖσι λοχίοισι, καὶ ἐξιέναι ἔξω, κατὰ τὸν λόγον τῶν ἡμερέων. ἀρχὴ δὲ γίνεται τοιαύτη τῇ γυναικί. ἐν τῇ ὠδῖνι τὸ αἷμα ταράσσεται τῇ γυναικὶ, καὶ θερμαίνεται πάμπολυ ὑπὸ τῆς κινήσιος τοῦ παιδίου σθεναρῆς ἐούσης. ταραχθὲν δὲ, πρῶτον μὲν ἔρχεται ἔξω, ἔπειτα τὸ παιδίον· μετὰ δὲ τὸ παιδίον, ἰχὼρ παχὺς αἱματώδης· καὶ ὑφήγησις ἐγίνετο τούτῳ, ὥσπερ ὕδατι ἐπὶ τραπέζης. ἔπειτα μετ' ἐκεῖνον ἀνὰ πάσας τὰς ἡμέρας χωρέει ἡ κάθαρσις, ἕως τοῦ εἰρημένου χρόνου, πλῆθος Ἀττικὴ κοτύλη ὅλη καὶ ἡμίσεα τὸ πρῶτον,

CAPVT V.

De tempore conformationis pueri & puellæ, & purgationis lochiorum mulieribus necessariæ, cuius suppressio periculosa.

IAm vero genitus est infans, eóque peruenit, vt fœmina quidem primam concretionem ac conformationem duobus & quadraginta diebus, quod longissimum accipiat, masculus verò triginta diebus, quod longissimum. Vtplurimum enim hoc tempore, aut paulò breuiori, aut paulò longiori fœtus efformari contingit. Nam & purgatio à partu fit mulieribus vt plurimum, in puella quidem concepta, duobus & quadraginta diebus, eàque vt maximè diuturna, ita perfecta est. (Extra tamen periculum fuerit, si etiam quinque & viginti diebus purgetur.) In masculo verò purgatio diebus triginta contingit, sícque hæc longissima, perfecta est; extra tamen periculum fuerit, si diebus viginti purgetur. Postremo vero tempore, quàm parcissima purgatio procedit. Quin & iuniores paucioribus diebus, seniores verò, pluribus repurgantur. In partu autem & puerperij purgamentis maximè laborant, ac dolent mulieres, primiparæ, & quæ minùs sæpe; quàm quæ sæpiùs perperere, magis cruciantur. At verò purgationes à partu ea de causa mulieribus contingunt, quòd primo tempore ad duos & quadraginta dies in fœmina, in masculo verò ad dies triginta paucissimus sanguis in pueri incrementum descendat; ab eo vero ad partum vsque tempore, copiosior. Ac sanè purgationem in partus purgamentis reddi, & foràs exire pro dierum ratione oportet. Principium autem in eiusmodi muliere tale est. In partus doloribus sanguis mulieri commouetur, & à valido pueri motu vehementer incalescit. Commotus vero is quidem primus foràs prodit; deinde puer; post puerum verò sanies crassa & cruenta; fitque huic ductus quidam, non secus ac aqua in mensam effusa. Postea post illum per omnes dies, adusque prædictum tempus, purgatio procedit, primò quidem quantum hemina Attica vna & dimidia, vel

vel paulò plus, aut minus, pro eius ratione, dum cesset. Prodit autem velut à victima sanguis, si sana sit, sana futura, mulier, citóque concrescit. Si verò sana non sit mulier, neque sana futura, purgatio tum parcior, tum specie deterior prodit, neque citò concrescit. Sic autem se res habet. Si mulier vterum gerens morbo aliquo minimè cognato laboret, in puerpera purgatione perit. Si verò vterum gerens prioribus diebus non repurgetur, statim sana existens, siue etiam non, eíque de repente purgatio siue sponte, siue à medicamento commoueatur, pro ratione dierum, quibus non semel profluxit, procedit. Nisi enim à lochiis mulier repurgetur, magno morbo corripietur, vitæque periculum incurret, nisi citò curetur, & aliquis conuenientem ipsi purgationem promoueat. Hæc propterea à me adducta sunt, quò demonstrarem membrorum distinctionem in pueris fieri, fœminæ quidem intra duos & quadraginta dies, & longissimam, masculo verò intra dies triginta. Argumentum est lochiorum purgatio, quæ quidem in puella, duobus & quadraginta diebus contingit, in masculo verò quæ longissima triginta diebus. Ac sanè denuò idem per spicuitatis gratia, repetam. Asseuero enim quòd semine in vtero contento, sanguis ille qui à muliere in vtero fœmineam genituram gerente paucissimus venit, duobus & quadraginta diebus vicissim redditur. Puerorum enim membra his diebus distinguntur. Ex eo verò tempore copiosior sanguis affluit. Quod rursum in masculo pro ratione triginta dierum accidit. Quæ quidem ita se habere & vera esse hoc altero argumento constat. Postea quam in vteros genitura delapsa est, primis diebus paucissimus sanguis à muliere in vterum fertur, deinde verò copiosior. Si enim confertus multúsque vnico impetu accederet, genitura spirationem habere non posset, sed sanguinis irruentis copia suffocaretur. Contra verò in purgatione vicissim redditur. Lochiorum enim purgatio primis diebus plurima prodit, deinde paucior, donec desinat. Pleræque autem iam mulieres fœtum masculum paulò ante trigesimum diem abortione perdidere, sed non articulatus conspectus est. Qui verò paulò pòst, aut eo ipso die reiecti sunt, omnes articuli apparuerunt. Sic etiam in femella pro ratione duorum & quadraginta dierum, si quando abortu perierit, membrorum articulatio apparet. Siue autem prius, siue posterius puer abortione pereat, sic se habere membrorum articulatio & ratione & necessitate conspicitur; in puella quidem duobus & quadraginta diebus, in puero verò, triginta. Huius siquidem rei fidem faciunt fœtuum abortiones & lochiorum purgationes. Quòd autem fœmina posteriùs conformetur, & articuletur, hæc causa est, quod ipsius genitura imbecillior & humidior quàm mascula, eáque ratione fœminam tardiùs quàm masculum conformari necesse est, & in puella diuturniorem esse purgationem quàm in masculo. Nunc verò ad id, vnde digressus sum, reuertar.

ἢ ὀλίγῳ πλείω, ἢ ὀλίγῳ ἐλάσσω. κατὰ λόγον τούτου μέχρις ἂν λήξῃ. χωρέει δὲ αἷμα, οἷον ἀπὸ ἱερείου ἢν ὑγιαίνῃ ἡ γυνὴ, καὶ ἢν μέλλῃ ὑγιαίνειν, καὶ ταχὺ πήγνυται· ἢν δὲ μὴ ὑγιαίνῃ ἡ γυνὴ, μηδὲ μέλλῃ ὑγιαίνειν, χωρέει ἡ κάθαρσις ἐλάττων, καὶ εἶδος πονηροτέρη, καὶ οὐ ταχὺ πήγνυται. ὧδε δὲ τοῦτο ἔχει. ἢν τι ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα νόσημα ἔχῃ μὴ συγγενὲς, ἐν τῇ λοχίῳ καθάρσει ἀπόλλυται. ἢν δὲ μὴ ἀποκαθαίρηται ἐν τῇσι πρόσθεν ἡμέρῃσιν ἐν γαστρὶ ἔχουσα, εὐθὺς ὑγιεινὴ ἐοῦσα, εἴτε καὶ μὴ, ἐξαπίνης δέ οἱ ἡ κάθαρσις, εἴτε ὑπὸ φαρμάκων, εἴτε καὶ αὐτομάτη, ἐξαίφνης κατὰ λόγον τῶν ἡμερέων χωρήσει, ὧν οὐ χωρέει ἐς ἅπαξ. ἢν γὰρ μὴ ἀποκαθαίρηται τὰ λόχια ἡ γυνὴ, νοῦσος αὐτῇ μεγάλη ἔσται καὶ κινδυνεύσει ἀποθανεῖν, ἢν μὴ μελεδαίνηται ἐν τάχει, καί τις αὐτῇ προσήκουσαν ἐπάγῃ τὴν κάθαρσιν. ταῦτα εἰσενήνεγμαι ὧδε διὰ τοῦτο, ὅκως ἀποφήνω ὅτι τῶν παιδίων γίνεται ἡ διάκρισις τῶν μελέων ἡ μακροτάτη, ἐπὶ μὲν τῇ κούρῃ, ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν· ἐπὶ δὲ τῷ κούρῳ, ἐν τριήκοντα ἡμέρῃσιν. ἰσόρειον ἡ κάθαρσις τῶν λοχίων, ὅτι ἐπὶ μὲν τῇ κούρῃ γίνεται ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν, ἐπὶ δὲ τῷ κούρῳ ἐν τριήκοντα ἡμέρῃσιν, ἡ χρονιωτάτη. μέλλω δὴ τὸ δεύτερον νῦν ὀνομάζειν, σαφηνείης ἕνεκα. φημὶ γὰρ ἀνταποδίδοσθαι, ὅτι ἐν τῇσι μήτρῃσιν ἐνεούσῃ τῇ γονῇ, ἐλάχιστον αἷμα ἔρχεται ἀπὸ τῆς γυναικὸς ἐπὶ τὰς μήτρας, θήλειαν γονὴν ἐχούσης, ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν. ἐν γὰρ ταύτῃσι διαρθροῦται τὰ μέλεα τῶν παιδίων. ἀπὸ δὲ τούτου τοῦ χρόνου, ἐπὶ πλεῖον ἔρχεται τὸ αἷμα. καὶ ἐπὶ τῷ κούρῳ πάλιν, κατὰ λόγον τῶν τριήκοντα ἡμερέων. ὧδε δὲ ἔχει ἕτερον ἰσόειον τοιόνδε ὅτι ταῦτά ἐστιν ἀληθέα. τῇσι πρώτῃσι τῶν ἡμερέων, ὁκόταν ἡ γονὴ ἐς τὰς μήτρας πέσῃ, ἐλάχιστον αἷμα ἔρχεται ἀπὸ τῆς γυναικὸς ἐς τὰς μήτρας, ἔπειτα δὲ ἐπὶ πλεῖον. εἰ γὰρ ἀθρόον καὶ πολὺ ἔλθοι ἐς ἅπαξ, οὐκ ἂν δύναιτο ἡ γονὴ πνοιὴν ἔχειν, ἀλλ' ἀποπνιγείη δὴ τοῦ αἵματος ἰόντος πολλοῦ· ἀνταποδίδοται δὲ ἐν τῇ καθάρσει τοὐναντίον. χωρέει γὰρ ἡ κάθαρσις τῶν λοχίων ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων πλείστη, εἶτα ἐπ' ἐλάσσω, ἕως λήξῃ. πολλαὶ δὲ γυναῖκες ἤδη διέφθειραν κοῦρον ὀλίγῳ πρόσθεν τριήκοντα ἡμερέων, καὶ ἄναρθρον ἐφαίνετο. ὁκόσα δὲ ὕστερον, ἢ ἅμα τῇσι τριήκοντα ἡμέρῃσι, διηρθρωμένα ἐφαίνετο ἐόντα. καὶ ἐπὶ τῇ κούρῃ κατὰ λόγον τῶν τεσσαράκοντα καὶ δύο ἡμερέων, ὁκόταν διαφθαρῇ, φαίνεται ἡ διάρθρωσις τῶν μελέων. ἤν τε πρόσθεν φθαρῇ τὸ παιδίον, ἤν τε ὕστερον, ὧδε φαίνεται, καὶ λόγῳ καὶ ἀνάγκῃ ἡ διάρθρωσις ἐοῦσα. ἐπὶ μὲν τῇ κούρῃ, ἐν τεσσαράκοντα καὶ δύο ἡμέρῃσιν. ἐπὶ δὲ τῷ κούρῳ, ἐν τριήκοντα. ἰσορέουσι γὰρ αἱ ἐξαμβλώσιες τῶν παιδίων, καὶ τῶν λουχίων αἱ καθάρσιες. αἴτιον δέ ἐστιν, ὅτι τὸ θῆλυ πήγνυται ὕστερον, καὶ διαρθροῦται· ὅτι ἡ γονὴ ἀσθενεστέρη ἐστὶ, καὶ ὑγροτέρη τῆς θηλείης ἢ τοῦ ἄρρενος. καὶ ἀνάγκη ἐστὶ κατὰ τοῦτον τὸν λόγον, ὕστερον πήγνυσθαι τὸ θῆλυ, ἢ τὸ ἄρρεν· καὶ ἡ κάθαρσις χρονιωτέρη τούτου εἵνεκεν ἐπὶ τῇ θηλείῃ ἢ τῷ ἄρσενι. ἀναστρέψομαι δὲ αὖθις, ὀπίσω, ὅθεν ἀπέλειπον.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῆς θαυμαστοῦ τῶν μερέων διαρθρώσεως, ὅκως καὶ ὁκότε γίνηται· ὀστῶν τε καὶ φλεβῶν, καὶ νεύρων, καὶ ὀνύχων, ἐπιδερμίδος τε καὶ τῶν τριχῶν.

Ὁκόταν δὲ διαρθρωθῇ τὸ παιδίον, τὰ εἴδεα τῶν μελέων αὐξομένου αὐτοῦ, τά τε ὀστέα ἐπισκληρότερα γίνεται, καὶ κοιλαίνεται, καὶ ταῦτα ὑπὸ τοῦ πνεύματος γίνεται. κοῖλα δὲ ἐόντα, ἕλκει ἐς ἑωυτὰ ἀπὸ τῶν σαρκῶν τοῦ αἱμάλωπος τὸ πιότατον. καὶ χρόνῳ διοζοῦται αὖθις τὰ ἄκρα τῶν ὀστέων, ὥσπερ δενδρέου τὰ ἀκρότατα ὕστατα ὀζοῦται· οὕτω καὶ τοῦ παιδίου διΐστανται ἀπ' ἀλλήλων οἱ δάκτυλοι τῶν χειρῶν καὶ τῶν ποδῶν· ἐπὶ δ' αὐτῶν τῶν ἄκρων οἱ ὄνυχες φύονται. τελευτῶσι γὰρ αἱ φλέβες αἱ τοῦ ἀνθρώπου πᾶσαι, εἰς τοὺς δακτύλους τῶν ποδῶν, καὶ τῶν χειρῶν. καὶ παχύταται μὲν εἰσὶν αἱ ἐν τῷ σώματι φλέβες, αἱ ἐν τῇ κεφαλῇ. ἔπειτα δὲ ἐν τοῖσι σκέλεσι, καὶ τοῖσι βραχίοσι, καὶ τοῖσι πήχεσιν. ἐν δὲ τοῖσι ποσὶ, καὶ τῇσι χερσὶ, λεπτόταται, καὶ πυκνόταται, καὶ πλεῖσται φλέβες εἰσὶ, καὶ νεῦρα λεπτότατα καὶ πυκνότατα, καὶ πλεῖστα· καὶ ὀστέα ἐλάχιστα τῷ μεγέθει· τῶν δὲ χειρῶν καὶ τῶν ποδῶν, ἐν τοῖσι δακτύλοισι ταῦτα μάλιστά ἐστιν. ἐκ δὲ τῶν δακτύλων, ἅτε πυκνὰ ἐχόντων ὀστέα σμικρὰ, καὶ φλέβας καὶ νεῦρα, οὕτως οἱ ὄνυχες φύονται ἐξ αὐτῶν, λεπτοὶ καὶ πυκνοί. καὶ ἀπολαμβάνουσι τῶν φλεβῶν τὰ ἄκρα, ὥστε μηκέτι αὔξεσθαι αὐτὰς, μηδὲ παρέχειν ἑτέρην ἑτέρης. ὥστε μὴ θαυμάζειν, ὅτι οἱ ὄνυχες ἐξωτάτω τοῦ σώματος πυκνότατοί εἰσιν, ἐκ γὰρ τῶν πυκνοτάτων εἰσίν. ἅμα δὲ τοῖσιν ὄνυξι, καὶ αἱ τρίχες ἐν τῇ κεφαλῇ ῥιζοῦνται. ἔχει δὲ ὧδε τὰ ἀμφὶ τῶν τριχῶν τῆς φύσιος. φύονται μὲν γὰρ μέγισται καὶ πλεῖσται, ὅκου τοῦ σώματος ἡ ἐπιδερμὶς ἀραιοτάτη ἐστὶ, καὶ ὅκου ἡ θρὶξ μετρίην ἰκμάδα ἐς τὴν τροφὴν ἔχει. καὶ ὅκου ἡ ἐπιδερμὶς ὕστερον ἀραιὴ γίνεται, ἐκεῖ καὶ ὕστερον αἱ τρίχες φύονται, ἐπί τε τῷ γενείῳ καὶ τῇ ἥβῃ, καὶ εἴπου ἄλλοθι. ἅμα γὰρ τῷ γόνῳ γινομένῳ, ἡ σὰρξ ἀραιὴ γίνεται, καὶ ἡ ἐπιδερμὶς, καὶ τὰ φλέβια στομοῦνται μᾶλλον, ἢ ἐν τῷ πρὶν χρόνῳ. παιδὶ γὰρ ἐόντι, καὶ τῶν φλεβίων λεπτῶν ἐόντων, οὐκ ἐγχωρέει δι' αὐτῶν ἡ γονή. καὶ τῇσι παρθένοισι περὶ τῶν καταμηνίων, ωὑτὸς λόγος. ἅμα δὲ ὁδὸς παραγίνεται, καὶ τοῖσι καταμηνίοισι καὶ τῇ γονῇ, τῇσι παρθένοισι. καὶ τριχοῦται ἡ ἥβη τοῦ παιδὸς καὶ τῆς παρθένου, ἀραιῆς τῆς ἐπιδερμίδος γινομένης. καὶ ἅμα ἡ θρὶξ ἰκμάδα μετρίην εἰς τὴν τροφὴν ἔχει καὶ οὐκ ἐλάσσονα. οὕτω δὲ καὶ ἡ ἐπὶ τοῦ γενείου τοῦ ἀνδρὸς ἔχει. ἀραιὴ γὰρ γίνεται ἡ ἐπιδερμὶς, χωρεούσης εἰς αὐτὴν τῆς ἰκμάδος ἀπὸ τῆς κεφαλῆς. ἅμα μὲν γὰρ καὶ ἐν τῇ λαγνείῃ, ἅμα δὲ καὶ ἐν τῷ μεταξὺ χρόνῳ, ἡ θρὶξ μετρίην ἔχει τὴν ἰκμάδα ἐς τὴν τροφὴν τότε μάλιστα, ὁκόταν ὁ χρόνος ἐγγίνηται τῷ ὑγρῷ ἀπὸ τῆς κεφαλῆς καταβαίνοντι ἐν τῇ λαγνείῃ. ἀπέχων τῶν στηθέων, ἐπὶ τὸ γένειον. σημεῖον δὲ ὅτι ἐν τοῖσι ἀραιοτάτοισι τῆς ἐπιδερμίδος φύονται αἱ τρίχες, εἴ τις ἐθέλοι ἐπικαῦσαι τὴν ἐπιδερμίδα, καὶ φλύκταιναν μόνον ποιῆσαι καὶ ὑγιῆναι, πυκνὴ γινομένη ἡ ἐπιδερμὶς, κατὰ τὴν οὐλὴν τὰς τρίχας οὐκ ἐκφύσεται.

CAPVT VI.

De mirabili partium formatione, vt, & quando fiat, oßium, venarum, neruorum, vnguium, pilorum & epidermidis.

Posteaquam verò articulatus puer fuerit, speciebus membrorum ipsius increscentibus, tum etiam ossa duriora euadunt & excauantur, atque hæc à spiritu fiunt. Caua autem existentia ad sese à carnibus, quod in sanguine pinguissimum est, attrahunt, & temporis successu extrema ossa in ramos diducuntur; & quemadmodum arboris summa postremò ramos spargunt; sic & in puero manuum & pedum digiti inter se dissident; in ipsis autem partibus extremis vngues nascuntur. Venæ enim omnes corporis humani in pedum & manuum digitos desinunt. Et crassissimæ quidem venæ sunt in corpore, & in capite, deinde in cruribus, brachiis, & cubitis. At in pedibus & manibus tenuissimæ, densissimæ, & plurimæ venæ sunt; itémque nerui tenuissimi, densissimi, & plurimi; ossáque magnitudine minima; eáque præcipuè in manuum ac pedum digitis. Ex digitis autem, nimirum quum ossa densa & parua habeant, venas etiam ac neruos itidem paruos ac densos; ita ex ipsis vngues tenues & densi oriuntur, qui extremas venas comprehendunt, adeò vt nec amplius augescant, neque alia aliam excedat. Vt minimè mirum sit, si vngues exteriore corporis parte densissimi sint, quum ex densissimis constent. Simul autem cum vnguibus etiam pili in capite radices accipiunt; ac pilorum natura sic se habet. Hi siquidem maximi & plurimi nascuntnr, qua summa corporis cuticula rarissima est, & vbi pilus moderatum humorem in alimentum habet. Ac vbi summa cuticula postea rara fit, ibi postea quoque pili nascuntur, veluti in mento, pube, & alio quouis loco. Nam simul ac genitale semen oritur, caro & extrema cuticula rarior euadit, venulæque magis quàm antea aperiuntur. Quum enim adhuc puer est, venulæque tenues existunt, neque per eas genitura ferri potest. Eadémque ratio est de mensibus virginum. At simul ac mensibus & genituræ via patet, tum pucro & virgini, extrema cuticula rarescente, pilus in pube nascitur, simúlque moderatum neque pauciorem in alimentum humorem habet. Sic verò de pilo in viri mento se res habet. Rarescit enim summa cuticula, delata eam à capite humiditate. Simul siquidem & in coitu, simúlque intermedio tempore, moderatam humiditatem in alimentum & nutritionem pilus habet, túmque maximè, quum humiditas in coitu à capite descendens, in mento longè à pectore restiterit, ibíque morám fecerit. In rarissimis autem summæ cuticulæ partibus pilos enasci indicio est, quod si accensa & inusta face extrema cuticula, pustulam solùm excites, eámque curaueris ac denuò persanaueris, vbi summa cutis densior euaserit, nullum prorsus ex cicatrice pilum emittet.

Qui verò ætate adhuc puerili eunuchi existunt, eam ob causam neque in pube, neque in mento pilos producunt, læuésque toti sunt quòd, quum nondum via genituræ facta, cuticulam non rarefacit in vniuersa cute. Nam quemadmodum paulo ante à me dictum est, intercepta est genituræ via. Mulieres autem mento & toto corpore læues ac glabræ sunt, quod ipsis in actu venereo non perinde agitatus humor ac viris, cuticulam raram non efficiat. At qui caluescunt, ij sanè pituitosi sunt, & phlegma per coitum in eorum capite agitatum & incalescens, in summam cuticulam illapsum, pilorum radices exurit, ita vt pili effluant. Eunuchi autem eam ob causam non caluescunt, quòd iis non sit vehemens motus, neque phlegma in coitu incalescens, pilorum radices exurat. Cani autem ob id fiunt, quòd longo tempore permeante in homine humido, id quod candidissimum est secernitur, & in summam cuticulam illabitur, ita vt attracta candidiore humiditate pilus quàm antea candidior euadat, ipsáque summa cuticula, eo præsertim loco vbi cani sunt, quàm quouis alio candidior existat. Quicunque ex natiuitate canum quid habent in capite, illis summa cuticula, vbi cani sunt, quàm alia quæuis candidior existit, quod illic albissima humiditas insit. Sic autem se res habet. Qualem humorem caro attraxerit, siue album, siue flauum, siue nigrum, talem etiam colorem capillus imbuit. Ac de his quidem hactenus.

CAPVT VII.

De fœtus motu lactis generatione eiusque ad vterum & ad mammas aditu.

AT verò rursum ad quod est reliquum orationis accedam. Quum autem summæ corporis pueri partes ramos foràs emiserint, vnguésque ac capilli radices egerint, tunc sanè etiam mouetur; ad ídque masculo trium mensium tempus conceditur, fœminæ verò quatuor. Sic enim vt plurimùm contingit, etsi etiam quidam pueri ante hoc tempus mouentur. Primum autem mas mouetur, quòd fœmina sit robustior: primum quoque conformatur masculus, nam ex validiore & crassiore genitura fit. Quum autem fœtus mouetur, tunc sanè lac de se significationem matri exhibet. Mammæ enim attolluntur, & papillæ turgescunt, neque tamen lac prodit. Et mulieribus quidem quæ denso & crasso sunt corporis habitu, tardior est lactis significatio, posteriúsque fertur, priùs verò his quæ rarum habent corporis habitum. Lac autem propter eam necessitatem gignitur. Quum vterus fœtu tumescens, mulieris ventrem comprimit, si eo pleno compressio illa contingat, quod in cibo & potu est pinguissimum foràs in omentum & carnem prosilit. Ac veluti si corium copioso oleo perunctum quis imbibi sinat, eóque imbibito corium premat, quo compresso foràs oleum exilierit: sic certè vbi venter pinguedinem à cibis & potibus continet, & ab vtero comprimitur quod pingue est in omentum & carnem transilit.

A ὁκόσοι δὲ εὐνοῦχοι παῖδες ἐόντες γίνονται, διὰ τοῦτο οὔτε ἡβῶσιν, οὔτε γενειῶσι, λεῖοί τε γίνονται ὅλοι, ὅτι ἡ ὁδὸς τῇ γονῇ οὐκ ἐπιγενομένη, οὐκ ἀραιοῖ τὴν ἐπιδερμίδα ἐπὶ τῷ ξύμπαντι δέρματι. ἀπολέληπται γὰρ ἡ ὁδὸς τῆς γονῆς ὥσπερ μοι εἴρηται, ὀλίγῳ πρότερον. αἱ δὲ γυναῖκες λεῖαι γίνονται τό, τε γένειον καὶ τὸ σῶμα, ὅτι ἐν τῇ λαγνείῃ, σφέων τὸ ὑγρὸν, οὐχ ὁμοίως κλονεόμενον ὡς τὸ τοῦ ἀνδρὸς, τὴν ἐπιδερμίδα οὐ ποιέει ἀραιήν. ὁκόσοι δὲ φαλακροὶ γίνονται, οὗτοι δὴ φλεγματώδεές εἰσι. καὶ ἐν τῇ κεφαλῇ αὐτέων ἅμα τῇ λαγνείῃ κλονεόμενον καὶ θερμαινόμενον τὸ φλέγμα, προσπίπτον πρὸς τὴν ἐπιδερμίδα, καίει τῶν τριχῶν τὰς ῥίζας, καὶ ἐκρέουσιν αἱ τρίχες. B οἱ δὲ εὐνοῦχοι διὰ τοῦτο οὐ γίνονται φαλακροὶ, ὅτι σφέων οὐ γίνεται κίνησις ἰσχυρή· οὐδὲ θερμαινόμενον τὸ φλέγμα ἐν τῇ λαγνείῃ, καίει τῶν τριχῶν τὰς ῥίζας. αἱ δὲ πολιαὶ διὰ τοῦτο γίνονται, ὅτι ἐν πολλῷ χρόνῳ διϊκνευμένου τοῦ ὑγροῦ ἐν τῷ ἀνθρώπῳ, ἀποκρίνεται τὸ λευκότατον, καὶ πίπτει πρὸς τὴν ἐπιδερμίδα. καὶ ἡ θρὶξ λευκοτέρην ἰκμάδα ἕλκουσα, ἢ ἐν τῷ πρὶν χρόνῳ, λευκοτέρη γίνεται, καὶ ἡ ἐπιδερμὶς, καὶ μᾶλλον ὅκου αἱ πολιαί εἰσι, λευκοτέρη τῆς ἄλλης γίνεται. καὶ ὁκόσοι C ἐκ γενετῆς πολιόν τι ἔχουσιν ἐν τῇ κεφαλῇ, κείνοισιν ἡ ἐπιδερμὶς, ὅκου αἱ πολιαί εἰσι, λευκοτέρη τῆς ἄλλης ἐστὶν, ἐκεῖ γὰρ τὸ λευκότατον ὑγρόν ἐστιν. ἔχει δὲ καὶ τόδε, ὧδε. ὁκοίην ἂν ἡ σὰρξ ἰκμάδα ἕλκῃ, ἤν τε λευκὴν, ἤν τε πυῤῥὴν, ἤν τε μέλαιναν, τοιαύτη τὴν χροιὴν καὶ ἡ θρὶξ γίνεται. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ κινήσεως παιδίου, καὶ τῆς γενέσεως γάλακτος, καὶ τῆς αὐτοῦ εἰς τὴν μήτραν τε καὶ τοὺς μαζοὺς προσόδου. D

Ἐλεύσομαι δὲ αὖθις εἰς τὸ ἀπολιπὲς τοῦ λόγου. ὅταν δὲ δὴ τὰ ἄκρα τοῦ σώματος τοῦ παιδίου ὀζωθῇ ἔξω, καὶ οἱ ὄνυχες καὶ αἱ τρίχες ἐῤῥιζώθησαν, τότε δὴ καὶ κινέεται. καὶ ὁ χρόνος ἐς τοῦτο γίνεται τῷ μὲν ἄρσενι, τρεῖς μῆνες· τῇ δὲ θηλείῃ, τέσσαρες. ὧδε γὰρ ἐπιτοπλεῖστον ξυμβαίνει. ἔστι δ' ἃ καὶ πρόσθεν τῶν παιδίων τούτου τοῦ χρόνου κινέεται. κινέεται δὲ πρότερον τὸ ἄρσεν, ὅτι ἐστὶν ἰσχυρότερον τοῦ θήλεος. καὶ πρότερον πήγνυται τὸ ἄρσεν, E ἀπὸ γὰρ ἰσχυροτέρης, καὶ παχυτέρης γονῆς γίνεται. ὁκόταν δὲ κινηθῇ τὸ ἔμβρυον, τότε δὴ ἐπισημαίνει καὶ τὸ γάλα τῇ μητρί. οἱ γὰρ μαζοὶ αἴρονται, καὶ αἱ θηλαὶ ὀργῶσι, τὸ δὲ γάλα, οὐ χωρέει. καὶ τῇσι μὲν πυκνοσάρκοισι τῶν γυναικῶν, ὕστερον τὸ γάλα ἐπισημαίνει, καὶ ἔρχεται· τῇσι δὲ ἀραιοσάρκοισι, πρόσθεν. δι' ἀνάγκην δὲ τοιήνδε γίνεται τὸ γάλα. ὁκόταν αἱ μῆτραι ὀγκηραὶ ἐοῦσαι ὑπὸ τοῦ παιδίου, πιέζωσι τὴν κοιλίην τῆς γυναικὸς, τῆς δ' ὁκόταν πλήρεος ἐούσης ὁ F πιεσμὸς γένηται, ἀποπηδᾷ τὸ πιότατον ἀπό τε τῶν βρωτῶν καὶ τῶν ποτῶν ἔξω, ἐς τὸ ἐπίπλοον, καὶ τὴν σάρκα. ὥσπερ δέρμα εἴ τις ἀλείψει ἐν ἐλαίῳ πολλῷ, καὶ ἐῴη ἀναπιεῖν, καὶ ἐπὴν ἀναπίῃ πιέζῃ τὸ δέρμα, διαπηδοίη ἂν πιεζευμένου τοῦ δέρματος ἔξω τὸ ἔλαιον. οὕτω δὴ καὶ τῆς κοιλίης τὸ πιαρὸν ἐν αὐτῇ ἐχούσης ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν πιεζευμένης ὑπὸ τῶν μητρέων διαπηδᾷ τὸ πῖαρ εἰς τὸ ἐπίπλοον καὶ ἐς τὴν σάρκα,

κἢν ἀραιόσαρκος ἔῃ ἡ γυνὴ, θᾶσσον αἰσθάνεται τῆς διαπηδήσιος· ἢν δὲ μὴ, ὕστερον. καὶ τὰ ἐν γαστρὶ ἔχοντα κτήνεα, ἢν μή τι νοσέῃ ὑπὸ τοῦ αὐτοῦ ποτοῦ καὶ σίτου, πιότερα γὰρ διὰ τοῦτο. ὁμοίως δὲ καὶ ἡ γυνή. ἀπὸ γὰρ τοῦ πίονος διαθερμαινομένου, καὶ λευκοῦ ἐόντος, τὸ γλυκαινόμενον ἀπὸ τῆς θέρμης τῆς ἀπὸ τῶν μητρέων ἀποθλιβόμενον, ἔρχεται εἰς τοὺς μαζούς· καὶ εἰς τὰς μήτρας δὲ ὀλίγον ἔρχεται, διὰ τῶν αὐτέων φλεβῶν. τείνουσι γὰρ εἰς τοὺς μαζοὺς καὶ εἰς τὰς μήτρας, φλέβια ταῦτά τε καὶ παραπλήσια ἄλλα. καὶ ὁκόταν ἀφίκηται εἰς τὰς μήτρας, ἰδέην ἴσχει τοῦ γάλακτος, καὶ τὸ παιδίον ἀπ' αὐτοῦ ἐπαυρίσκεται ὀλίγον. οἱ δὲ μαζοὶ δεχόμενοι τὸ γάλα, αἴρονται πιμπλάμενοι. καὶ ὁκόταν τέκῃ ἀρχῆς κινήσιος ὑπογενομένης, χωρέει τὸ γάλα ἐς τοὺς μαζοὺς τούτους, ἢν θηλάζῃ. ἔχει γὰρ οὕτω. θηλαζομένοιν τοῖν μαζοῖν, εὐρυώτερα γὰρ τὰ φλέβια ἐς τοὺς μαζοὺς, εὐρυώτερα δὲ γενόμενα, ἀπὸ τῆς κοιλίης ἕλκοντα τὸ πιαρὸν, τοῖν μαζοῖν διαδιδόασι. καὶ γὰρ καὶ ὁ ἀνὴρ ἢν λαγνεύῃ πολλὰ, εὐρυώτερα γινόμενα τὰ φλέβια, μᾶλλον ἐπάγει τὴν λαγνείην. ἔχει δὲ καὶ τόδε, ὧδε· ἡ τροφὴ καὶ ἡ αὔξησις τῶν παιδίων γίνεται, ὁκόταν ἐν τῇσι μήτρῃσιν ἴῃ τὰ ἀπὸ τῆς μητρός. καὶ ὅκως ἂν ἡ μήτηρ ἔχῃ ὑγιείης ἢ ἀσθενείης, ὧδε καὶ τὸ παιδίον ἔχει.

A Et si raræ carnis mulier fuerit, hanc exudationem faciliùs percipit, sin minùs, tardiùs. Quin & pecora quum vterum gerunt, nisi morbo aliquo laborent, potu cibóque ob eam causam pinguiora euadunt, itidemque mulier. Pingui namque incalescente & candido effecto, quod vteri calore edulcatum est, in mammas expressum tendit; & in vteros quoque exigua portio per easdem venas defertur, ad mammas enim & vteros eiusmodi venulæ & consimiles aliæ feruntur. Quumque ad vterum peruenerit, lactis formam habet, eóque exiguo puer fruitur. Mammæ verò vbi lac exceperint, attolluntur & implentur. B Atque vbi mulier peperit, suppeditato motus initio, lac in ipsas mammas fertur, si *puerum* lactauerit. Sic enim se res habet. Dum mammæ exuguntur, venæ quæ ad eas tendunt, ampliores redduntur, & ampliores effectæ, quod pingue est à ventre attrahunt, & in mammas distribuunt. Vir namque si venerem crebrò exerceat, ampliores venæ redditæ, venerem magis inducunt. Quin etiam hæc se res habet ad hunc modum. Alimentum & incrementum puerorum fit, vbi ea, quæ à matre veniunt, ad vterum processerint, atque vt mater sana ac debilis est, ita etiam C puer valet.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ γενέσεως φυτοῦ τοῦ τῷ παιδίῳ ἐοικότος, περὶ θρέψιός τε καὶ αὐξήσιος, ῥιζῶν τε καὶ κλάδων, φύλλων, καρπῶν, σπερμάτων, ἀποβλαστημάτων· τῶν ἔξωθεν αἰτιῶν, ὕδατος, οὐρανοῦ, ἡλίου, καὶ τῶν τοῦ ἔτους ὡρῶν.

ΩΣπερ καὶ τὰ ἐν τῇ γῇ φυόμενα τρέφεται ἀπὸ τῆς γῆς. καὶ ὅκως ἂν ἡ γῆ ἔχῃ, οὕτω καὶ τὰ φυόμενα ἔχει ἐν τῇ γῇ. τό, τε γὰρ σπέρμα, ὁκόταν καταβληθῇ εἰς τὴν γῆν, ἰκμάδος τινὸς ἐμπίμπλαται ἀπ' αὐτῆς. ἔχει γὰρ ἐν αὐτῇ ἡ γῆ ἰκμάδα παντοίην, ὥστε τρέφειν τὰ φυόμενα. ἰκμάδος δὲ πλησθὲν τὸ σπέρμα, φυσᾶται, καὶ οἰδέει, καὶ ἀναγκάζεται ὑπὸ τῆς ἰκμάδος συστρέφεσθαι ἡ δύναμις ἣ ἐστι κουφοτάτη ἐν τῷ σπέρματι. συστραφεῖσα δὲ ἡ δύναμις ὑπὸ τοῦ πνεύματος, καὶ τῆς ἰκμάδος φύλλα γενομένης, ῥήγνυσι τὸ σπέρμα, καὶ ἀνατέλλει πρῶτον ἔξω τὰ φύλλα. ἀνατείλαντα δὲ, ὁκόταν μηκέτι δύνηται τρέφεσθαι τὰ φύλλα ὑπὸ τῆς ἰκμάδος τῆς ἐν τῷ σπέρματι ἐνεούσης, ῥήγνυταί τε ἐς τὸ κάτω τό, τε σπέρμα καὶ τὰ φύλλα. καὶ βιώμενον ὑπὸ τῶν φύλλων, μεθίησι τῆς δυνάμιος ἐς τὸ κάτω, ἣ ἐν αὐτῷ ὑπολείπεται διὰ τὴν βαρύτητα. καὶ γίνονται ῥίζαι ἐκ τῶν φύλλων διατεταμέναι. ὁκόταν δὲ κάτω βεβαίως ῥιζωθῇ τὸ φυὲν, καὶ τὴν τροφὴν ἀπὸ τῆς γῆς ποιέηται, τότε ἤδη ἠφάνισται πᾶν, καὶ ἀνήλωται ἐς τὸ φυὲν πλὴν τοῦ λεπυρίου, ὅτι στερεώτατόν ἐστιν. αὖθις δὲ τὸ λεπύριον σαπὲν ἐν τῇ γῇ, ἄδηλον γίνεται χρόνῳ δὴ, καὶ ὀζοῦταί τινα τῶν φύλλων. ἐκ σπέρματος γοῦν ἅτε ἀφ' ὑγροῦ γενόμενον, τέως μὲν ἁπαλὸν ἔῃ καὶ ὑδαρὲς, εἰς αὔξησιν ὡρμημένον καὶ ἐς τὸ κάτω καὶ ἐς τὸ ἄνω, οὐ δύναται τὸν καρπὸν ἐκβάλλειν. οὐ γάρ ἐστιν αὐτῷ δύναμις ἰσχυρὴ καὶ πιείρα ἐξ ἧς τὸ σπέρμα συστραφήσεται. ὁκόταν δὲ στερεωθῇ μᾶλλον καὶ ῥιζωθῇ τὸ πεφυκὸς ὑπὸ χρόνου, τότε ἤδη καὶ φλέβας ἴσχει εὐρείας, καὶ ἐς τὸ ἄνω καὶ ἐς τὸ κάτω. καὶ τότε δὴ ἐκ τῆς γῆς ἕλκεται, οὐκ ἔτι ὑδαρὲς, ἀλλὰ παχύτερον, καὶ πιότερον, καὶ πλέον. τὸ δὴ θερμαινόμενον ὑπὸ τοῦ ἡλίου, ἐκζεῖ ἐς τὰ ἄκρα,

CAPVT VIII.

De plantæ fœtui comparatæ ortu, nutritione, incremento, radicibus, ramis, folijs, fructibus, seminibus, gubernatione, causis externis, aqua, cælo, sole, & anni tempestatibus.

ET quemadmodum quæ è terra gignuntur, è terra nutriuntur, & prout terra habuerit, sic etiam, è terra nascentia se habent. Semen enim D quum in terram deiectum fuerit, humore quodam ab ipsa impletur. Habet enim cuiusuis generis humorem terra in se, quo quæ ex ea nascuntur, nutrire possit. At semen humoris plenum, inflatur & intumescit, & vis quæ in semine leuissima est, ab humore condensari cogitur; condensata autem à spiritu facultas; & humore in folia verso, semen rumpit, & primùm folia foràs emergunt. Quum vero emerserint, vbi ampliùs ab humore, qui in semine inest, nutriri non possunt, tũ folia inferiore parte rumpuntut, ipsúmque à foliis coactum, vim suam, quæ in E eo propter grauitatem est reliqua, ad inferiora demittit, ex foliis oriuntur radices, ex iísque dependent. Vbi vero planta firma radices in terram iecerit, ex eáque alimentum sumpserit, tum sanè totum euanescit, & in plantam, excepto cortice qui solidissimus est, absumitur. Rursus autem cortex in terra putrescens, progressu sanè temporis euanescit, & folia quædam in ramos finduntur. Ex semine igitur vtpote ex humido rotum, qnandiu quidem molle & aquosum fuerit, ad incrementum tum inferne, tum superne procedens, & nullum fructum excludere potest. Neque enim facultas valida & pinguis ei F inest, vt ex eo semen cogatur. Vbi verò temporis successu soliditatem maiorem acceperit, & firmiores radices egerit, tum iam etiam venas amplas, tum superiore, tum inferiore parte obtinet, túncque sanè ex terra non amplius aquosum attrahit, sed crassius, pinguius, & copiosius, quod à sole calefactũ, in extremitates efferuescit,

&

& fructus nascitur, cum eo ex quo ortum est cognationem habens; multúsque ex pauco iccirco oritur, quòd quæ è terra nascuntur singula, copiosiorem ex ea vim trahant, quàm ex quo orta sunt, neque vno in loco, sed pluribus efferuescunt. Quo ex feruore prodiens fœtus, planta sua nutritur, quæ quicquid ex terra trahit, in fructum transferr. Sol autem ab ipso aquosum ad se alliciens, fructum coquit & solidiorem reddit. Atque hæc à me quidem dicta sunt de his, quæ ex semine de terra & aqua producuntur. At de plantatis in terram surculis, ex arboribus aliæ arbores hunc in modum producuntur. Ramus in infima ad terram parte, qua ab arbore euulsus est, vulnus habet, & vnde radices prodeunt, quod hoc fit modo. Quum planta in terra existens, ab ea humorem acceperit, tumescit & spiritum concipit, quod non facit quod terræ supereminet. Spiritus autem & humor, collecta in inferiore plantæ parte vi, efficiunt vt quod grauissimum est deorsum erumpat, ex eóque teneræ radices oriantur. Quod quum inferiore parte acceperit, tunc sanè ex radice attractum humorem ei, quod supra terram eminet, transmittit; túncque certè superiore parte intumescit & spiritum concipit, & collecta facultate quæ in planta leuis inest, folia germinant, iamque tam superiore quàm inferiore parte incrementum capessit. Sic iam contrario modo in germinatione quæ ex semine, & quæ ex taleis contingit iis proueniunt. Prius enim ex semine folium sursum oritur, deinde radices deorsum demittuntur. At arbor primùm radices agit, deinde folia accipit, propterea quòd in ipso semine humoris copia inest, & ei quòd terræ mandatur toti alimentum inest quod primum folio suppetat vnde folium nutriatur, donec radices iecerit. Id autem in talea non contingit. Non enim ex alio nascitur vnde folium primùm alimentum habeat, verùm ramus ipse est, & vt arbor se habet, eiúsque multa pars supra terram prominet; quare quum supra terrã existat humore repleri nequit, nisi ex inferioribus partibus magna vis quædam procedens ad superiora humorem distribuat. Et primùm necesse est taleam è terra sibi ad radices alimentum subministrare, deinde sic à terra attractum sursum emittere, atque folia in ramulos & surculos erumpere. Quum autem planta increuerit ea quam referam causa necessaria ramos emittit. Vbi plus humoris è terra attracti accesserit, præ copia erumpit, qua parte quamplurimus fuerit, illicque planta ramos emittit. Increscit autem & in latum, tum supra, tum infra; propterea quòd terræ inferiora hyeme quidem sint calida, æstate verò frigida. Id autem ea de causa contingit quoniam terra hyeme aquis è cœlo decidentibus madet, iisque grauioribus existentibus in sese comprimitur, ideóque densior euadit, & nullam prorsus transpirationem habet. Non enim ampliùs magna raritas adest, ideóque terræ inferior pars hyeme calida est. Nam & fimum coactum, in se calidius est, quàm quod rarum existit, pretereáque humecta quidem & compressa à seipsis concalescunt, & breui à calore exusta putrescunt, non enim quum densa sint, per ea spiritus permeare potest. Si verò sicca fuerint, ac raro posita, multò minus incalescunt, & putrescunt.

A καὶ γίνεται καρπὸς, κατὰ τὸ ξυγγενὲς, ἐξ ὁκοίου καὶ ἐγένετο. καὶ πολὺς ἐξ ὀλίγου διὰ τόδε γίνεται, ὅτι ἕλκει ἕκαστον τῶν φυομένων ἐκ τῆς γῆς δύναμιν πλείονα, ἢ ἐξ οὗ ἐγένετο. καὶ ἐκζέῃ οὐ κατὰ ἓν, ἀλλὰ κατὰ πολλά. ὁκόταν δὲ ὁ καρπὸς ἐκζέσῃ, τρέφεται ὑπὸ τοῦ φυομένου· ἕλκον γὰρ τὸ φυόμενον ἀπὸ τῆς γῆς, τῷ καρπῷ ἐκδίδωσιν. ὁ δὲ ἥλιος πέσσει καὶ στερεοῖ τὸν καρπὸν, τὸ ὑδαρέστερον πρὸς ἑωυτὸν ἕλκων ἀπ' αὐτοῦ. καὶ ταῦτα μὲν εἴρηταί μοι, περὶ τῶν ἐκ σπέρματος φυομένων, ἀπὸ τῆς γῆς καὶ τοῦ ὕδατος. τὰ δὲ ἐκ φυτευτηρίων, ἀπὸ δενδρέων δένδρεα γίνεται, τρόπῳ τοιῷδε. B τρῶμα ἴσχει ὁ κλάδος ἐν τῷ κατωτάτω πρὸς τὴν γῆν, ᾗ ἀπὸ τοῦ δένδρου ἐκλάσθη, ὅθεν αἱ ῥίζαι ἀφίενται, τρόπῳ δὲ τοιούτῳ μεθίενται. ὁκόταν τὸ φυτὸν τὸ ἐν τῇ γῇ ἐνεὸν, ἰκμάδα λάβῃ ἀπὸ τῆς γῆς, οἰδέει καὶ πνεῦμα ἴσχει· τὸ δὲ ὑπὲρ τῆς γῆς, οὐδέπω. τὸ δὲ πνεῦμα καὶ ἡ ἰκμὰς συστρέψασα ἐν τῷ κάτω τοῦ φυτοῦ, τὴν δύναμιν, ἔσω τὴν βαρυτάτην, ἔρρηξεν εἰς τὸ κάτω, καὶ γίνονται ἐξ αὐτοῦ ῥίζαι ἁπαλαί. ὁκόταν δὲ ἐς τὸ κάτω λάβηται, τότε δὴ ἕλκει ἐκ τῆς ῥίζης ἰκμάδα, καὶ διαδίδωσι τῷ ὑπὲρ γῆς ἐόντι. καὶ τότε δὴ αὖθις τὸ ἄνω οἰδέει, καὶ πνεῦμα ἴσχει. καὶ C ὅση δύναμις ἐν τῷ φυτῷ, κούφη ἔνεστι ξυστραφεῖσα, φύλλα γινομένη βλαστάνει, καὶ ἐς τὸ ἄνω ἤδη τὴν αὔξησιν ποιέεται, καὶ ἐς τὸ κάτω· οὕτως ἐς τὸ ἐναντίον ξυμβαίνει ἤδη τῶν ἐκ τοῦ σπέρματος γινομένων, καὶ τῶν ἐκ τοῦ φυτευτηρίου περὶ τοῦ βλαστοῦ. πρότερον γὰρ ἐκ τοῦ σπέρματος τὸ φύλλον ἀνατέλλει· ἔπειτα αἱ ῥίζαι εἰς τὸ κάτω ἀφίενται. τὸ δὲ δένδρον, ῥιζοῦται πρῶτον· ἔπειτα φυλλοῦται διὰ τόδε, ὅτι ἐν μὲν τῷ σπέρματι αὐτῷ, ἰκμάδος πλῆθος ἔνεστι, καὶ ἐν τῇ γῇ πάρτι ἐόντι, τροφὴ ἔνεστι, τῷ πρῶτον τῷ φύλλῳ ἀρκέουσα, ὅθεν τὸ φύλλον θρέψεται, μέχρις ἂν ῥιζωθῇ. D ἐν δὲ τῷ κλάδῳ οὐ γίνεται· οὐ γὰρ γίνεται ἐξ ἑτέρου ὅθεν τὸ φύλλον τὸ πρῶτον τροφὴν ἕξει· ἀλλ' αὐτὸς ὁ κλάδος ἐστὶν, ὥσπερ καὶ τὸ δένδρον ἔχει· καὶ τοῦτο ὑπὲρ γῆς ἐστὶ πολύ. ὥστε οὐκ ἂν δύναιτο ὑπὲρ γῆς ἐὸν, ἰκμάδος πληθῦναι. εἰ μὴ ἐκ τοῦ κάτω μεγάλη τις δύναμις ἐλθοῦσα, τῷ ἄνω ἐκδώσει τῆς ἰκμάδος. καὶ πρῶτον τὸ φυτευτήριον, ἀνάγκη ἐστὶν ἑωυτῷ τροφὴν ποιήσασθαι ἀπὸ τῆς γῆς τῇσι ῥίζῃσι· ἔπειτα οὕτως ἀπὸ τῆς γῆς ἕλκον ἄνω ἀποδιδόναι, καὶ φύλλα ὁρμῆσαι εἰς βλαστόν τε καὶ αὔξησιν. ὅταν δὲ αὔξηται τὸ φυτὸν, ὀζοῦται ὑπ' ἀνάγκης τοιῆσδε, ἣν ἐρέω, E ὁκόταν ἰκμάδος αὐτῷ πλέον προσγίνηται, ἐκ τῆς γῆς ἑλκομένης, ὑπὸ τοῦ πλήθεος ῥήγνυσιν, ᾗ ἂν πλείστη ἔῃ, καὶ ταύτῃ ὀζοῦται τὸ φυτόν. αὔξεται δὲ καὶ ἐς τὸ εὖρος, καὶ ἐς τὸ ἄνω, καὶ ἐς τὸ κάτω, διὰ τόδε, ὅτι τὸ κάτω τῆς γῆς, τοῦ μὲν χειμῶνος, θερμόν ἐστι· τοῦ δὲ θέρεος, ψυχρόν. τοῦτο δὲ διὰ τόδε ἐστίν. ὅτι ἡ γῆ ἰκμαλέη ἐστὶν ἐν χειμῶνι ὑπὸ τοῦ ὕδατος τοῦ ἐκ τοῦ οὐρανοῦ πίπτοντος, καὶ πιέζεται ἐφ' ἑωυτῇ, ἅτε βαρυτέρης οὔσης τῆς ἰκμάδος. πυκνοτέρη δέ ἐστιν ὑπὸ τούτου, καὶ οὐκ ἔχει διαπνοὴν οὐδεμίην. οὐ γὰρ ἔτι ἔνεστι τὸ ἀραιὸν μέγα, καὶ διὰ τοῦτο τὸ κάτω τῆς γῆς τοῦ χειμῶνος θερμόν ἐστι. F καὶ γὰρ ἡ κόπρος συνεαγμένη μὲν θερμοτέρη ἐστὶν, ἢ ἡ ἀραιὴ ἐοῦσα, καὶ ἄλλως, τὰ μὲν ἰκμαλέα καὶ πεπιεσμένα, ὑπὸ σφῶν αὐτῶν ἐκθερμαίνεται, καὶ ἐν τάχει κάρτα ὑπὸ τῆς θερμασίης συγκαιόμενα σήπεται. οὐ γὰρ διέξεισι τὸ πνεῦμα δι' αὐτῶν, ἅτε πυκνῶν ἐόντων. ἢν δὲ ξηρὰ ἔῃ καὶ ἀραιῶς κείμενα, πολλῷ ἧσσον θερμαίνεται, καὶ σήπεται.

οὕτω δὲ καὶ πυροὶ, καὶ κριθαὶ, νοτεραὶ ἐόντα καὶ βεβρεγμένα, ἐνθερμότερά ἐστιν, ἢ εἰ ξηρὰ εἴη καὶ ἀραιῶς κείμενα. καὶ ἱμάτια συνδεδεμένα καὶ κατεσφηνωμένα ἰσχυρῶς, δει-κὰ, κατακαίεται ὑπὸ σφέων αὐτῶν, ὡς ἐγὼ ἤδη εἶδον, ὥσπερ ὑπὸ πυρὸς ἐκκαέντα. καὶ τἄλλα εἴ τις θέλοι ἐνθυμηθῆναι πάντα ὅσα πεπίεσται ὑπὸ σφῶν αὐτῶν, θερμότερα εὑρήσει, ἢ τὰ ἀραιῶς κείμενα. οὐ γὰρ ἔχει ἀναπνέειν ψυχρὸν ὑπὸ τῶν ἀνέμων, οὕτω δὲ καὶ τῆς γῆς τὸ κάτω, πλείης ἐούσης, καὶ αὐτῆς ὑφ᾽ ἑωυτῆς πεπιεσμένης, ἅτε βαρείης καὶ πυκνῆς ἐούσης ὑπὸ τῆς ἰκμάδος θερμαίνεται ἐν χειμῶνι. οὐ γάρ ἐστιν αὐτῆς διαπνοὴ οὐδεμία τοῦ θερμοῦ. ἀλλ᾽ ὁκόταν πέσῃ ἐκ τοῦ οὐρανοῦ τὸ ὕδωρ ἐς αὐτὴν, ὅταν ἀποπνέῃ ἐν τῇ γῇ ἀπ᾽ αὐτοῦ, οὐ δίεισι πρόσω, ἅτε πυκνῆς ἐούσης τῆς γῆς· ἀλλ᾽ ἡ πνοὴ, ὀπίσω ἐς τὸ ὕδωρ ἔρχεται. καὶ διὰ τοῦτο αἱ πηγαὶ καὶ ἡ θάλασσα θερμότεραί εἰσι τοῦ χειμῶνος, καὶ μείζους, ἢ τοῦ θέρεος· ὅτι ἀποπνέοντος τοῦ πνεύματος, ὀπίσω ἔρχεται ἐς τὸ ὕδωρ, ἅτε τῆς γῆς πυκνοτέρης ἐούσης, καὶ οὐ διϊείσης δι᾽ αὐτῆς τὸ πνεῦμα. καὶ τὸ ὕδωρ πολὺ ἐὸν, ᾗ ἂν τύχῃ, ταύτῃ δὴ ῥήγνυσι χωρέον, καὶ ὁδὸν οἱ αὐτῷ ποιέεται εὐρυτέρην, ἢ εἰ ὀλίγον εἴη. τὸ γὰρ ὕδωρ ἐν τῇ γῇ οὐκ ἕστηκεν, ἀλλ᾽ ἀεὶ χωρέει εἰς τὸ κάταντες. εἰ δὲ διίησι τοῦ χειμῶνος ἀπὸ τοῦ ὕδατος τὸ πνεῦμα, ἡ γῆ δι᾽ ἑωυτῆς, ἔλασσον τὸ ὕδωρ ἐχώρεεν ἐξ αὐτῆς, καὶ αἱ πηγαὶ οὐκ ἂν ἦσαν τοῦ χειμῶνος μεγάλαι. πάντα ταῦτα εἴρηταί μοι, ὅτι τῆς γῆς τὰ κάτω θερμότερον φαίνεται ἐὸν τοῦ χειμῶνος, ἢ τοῦ θέρεος. νῦν δὲ θέλω εἰπεῖν ὅτι τοῦ θέρεος, τὸ κάτω τῆς γῆς, ψυχρότερον φαίνεται ἐὸν ἢ τοῦ χειμῶνος. ἡ γῆ τοῦ θέρεος, ἀραιή ἐστι καὶ κούφη, ἅτε τοῦ ἡλίου σφοδρότερον προσβάλλοντος, καὶ ἕλκοντος ἀπ᾽ αὐτῆς πρὸς ἑωυτὸν τὰς ἰκμάδας. ἔχει δὲ ὕδωρ ἡ γῆ ἐν αὐτῇ ἀεὶ πλέον ἢ ἔλασσον. τὰ δὲ πνεύματα ἡμῖν ἐστι πάντα ἀφ᾽ ὕδατος. τούτου δὲ πέρι, ἐπιδείξω συμβάλλεσθαι, ὅτι οὕτως ἔχει. ἀπὸ γὰρ τῶν ποταμῶν πάντων, πνεύματα χωρέει ἑκάστοτε, καὶ τῶν νεφέων. τὰ δὲ νέφεά ἐστιν ὕδωρ ξυνεχὲς ἐν ἀέρι, καὶ τότε δὴ ἡ γῆ ἀραιή ἐστι καὶ κούφη τοῦ θέρεος· καὶ ὕδωρ ἐν αὐτῇ ἔχουσα· καὶ τὸ ὕδωρ ῥέει εἰς τὰ κατάντεα· χωρέοντος δὲ τοῦ ὕδατος, ἀεὶ ἀποπνέει αὐτόθεν ἕτερον ἐξ ἑτέρου πνεῦμα. τὸ δὲ ἀποπνέον διὰ τῆς γῆς ἔρχεται κούφης καὶ ἀραιῆς ἐούσης, καὶ ψῦχος τῇ γῇ ποιέει· καὶ αὐτὸ τὸ ὕδωρ συμψύχεται. ἔχει δὲ οὕτως. ὥσπερ εἴ τις ἐν ἀσκῷ ὕδωρ ἐνεὸν ἀποπιέσειεν ἰσχυρῶς, καὶ διαπνοιὴν τῷ ὕδατι ποιήσειεν, νύγματι βελόνης ἢ μικρῷ μείζονι, καὶ τὸν ἀσκὸν κρεμάσας αἰωρεῖν, οὐδὲν διὰ τοῦ τετρημένου πνεῦμα χωρήσει, ἀλλ᾽ ὕδωρ· οὐ γὰρ ἔχει εὐρυχωρίην ἢ ἀποπνεύσεται τὸ ὕδωρ. ὧδε δὴ ἔχει καὶ τοῦ χειμῶνος, τῷ ὕδατι ἐν τῇ γῇ. ἢν δὲ τῷ ὕδατι ἐν τῷ ἀσκῷ τὴν εὐρυχωρίην ποιήσῃς, καὶ κρεμάσας αἰωρῇς τὸν ἀσκὸν, πνεῦμα διαχωρήσει διὰ τοῦ τετρημένου. εὐρυχωρίη γάρ ἐστι τῷ πνεύματι ἀπὸ τοῦ ὕδατος κινευμένου διαχωρέειν διὰ τοῦ ἀσκοῦ. καὶ διὰ τοῦ τετρημένου τὸ πνεῦμα διὰ τόδε δίεισιν. ὧδε δὴ ἔχει καὶ τοῦ θέρεος, ἐν τῇ γῇ, τῷ ὕδατι. εὐρυχωρίη γάρ ἐστιν αὐτῷ, ἅτε τῆς γῆς ἀραιῆς ἐούσης, καὶ τοῦ ἡλίου ἕλκοντος ἀπ᾽ αὐτῆς τῆς ἰκμάδος πρὸς ἑωυτὸν, καὶ διϊεῖσα τὸ πνεῦμα, ἅτε ψυχρὸν ἐὸν ἀπὸ τοῦ ὕδατος δι᾽ αὐτῆς ἀραιῆς ἐούσης καὶ κούφης. διὰ τοῦτο ψυχρὸν ἐὸν αὐτῆς τὸ κάτω τοῦ θέρεος. καὶ τὸ ὕδωρ μᾶλλον τοῦ πνεύματος, τοῦ ἐν τῇ γῇ ψυχροῦ ἐόντος, καὶ αὐτὸ ἀφίησιν ἐς ἑωυτὸ τὸ πνεῦμα, καὶ ἐς τὴν γῆν. καὶ ἅμα τὸ ἀντλεόμενον ἐν τῷ φρέατι, ἀεὶ διακινέει τὸ πνεῦμα,

Sic verò & triticum & hordeum humida & madefacta, intus calidiora sunt, quàm si sicca fuerint & rarè posita. Quin & vestes pelliceæ colligatæ & vehementer compressæ, à se ipsis exuruntur, velut ego vidi, vt si ab igne conflagrarint. Sed & si quis alia considerare velit, is ea quæcunque à seipsis compressa sunt, omnia calidiora comperiet, quàm quæ laxiùs sunt posita; non enim habent, vnde frigus à ventis inspirent. Sic autem & pars terræ inferior quum *humore* plena sit, ipsáque quum humore grauis sit & densa, à se comprimatur, per hyemē ab humore incalescit, quòd nullam prorsus habeat caloris perspirationem. Verùm quū de cœlo aqua in ipsam delapsa est, quum in terra ex se spiritum excitarit, is non vlteriùs, vtpotè terra densa existente, permeare non potest, sed spiritus rursus abit in aquam, eámque ob causam & fontes & mare hyeme quàm æstate, tum calidiores, tum ampliores sunt. Quod exhalante spiritu is quum terra densior existat, per se spiritum non transmittat, postea in aquam abit, & aqua multa existens quocunque fertur, eò prorumpit, viámque sibi ampliorem facit, quàm si modica esset Neque enim aqua in terra cōsistit, sed semper in decliue fertur At si spiritū ex aqua prouenientem terra per se hyeme transmitteret, paucior ex ipsa aqua prodiret, neque per hyemem fontes magni existerent. Atque ista omnia eò à me dictá sunt, quo terræ inferiora hyeme quàm æstate calidiora esse constet. Nunc autem dicere volo, quòd pars terræ inferior æstate quàm hyeme frigidior esse videatur. Terra æstate rara est & leuis, nimirum quum sol vehementiùs irruat, & omnem ad se ex ea humorem attrahat. Aquam autem plus minúsve terra semper in se continet. Spiritus verò omnes nobis sunt ab aquis. Quod ita se habere vt coniicere possis demonstrabo. Ab omnibus enim fluminibus & nubibus semper spiritus prodeunt. Sunt autem nubes aqua in aëre continua, ac tunc sanè terra per æstatem rara est & leuis, aquámque in se continet, & aqua in decliue profluit, aqua verò decurrente, alius ex alio spiritus inde semper exhalat. Qui verò exhalat, per terram leuem & raram fertur, terrámque ita refrigerat, vt simul quoque aqua perfrigeretur. Sic autem se res habet. Quemadmodum si quis aquam vtre contentam vehementer premat, & per acus puncturam, vel paulò maiorem, aquæ perspiramentum exhibeat, vtremque ipsum in sublimi suspendat, spiritus quidem nullus, sed aqua tantùm per foramen prodibit, quod amplum satis spatium, quo exhalet, aqua non habeat. Sic sanè aqua in terra per hyemem se habet. At si vtre sublimi suspenso, aquæ in eo contentæ amplius spatium concesseris, per foramen spiritus exibit. Spatium enim amplius quo per vtrem exeat, aqua mota habet, eámque ob causam per foramen spiritus peruadit. Sic certè per æstatem in terra aqua se habet. Amplum enim satis locum ob terræ raritatem obtinet, quódque sol ab ea ad se humorem attrahit, ipsáque terra spiritum frigidum ab aqua excitatum, quum rara sit & leuis, per se transmittit. Ideoque pars eius inferior frigida existit, quin & aqua multo magis quàm spiritus in terra frigidus, ipsáque in sese & in terram spiritum immittit. Simul quoque aquam quæ ex puteo hauritur, semper spiritus, velut

velut flabellum agitat, qui & aquæ frigiditatem inducit. Quæ verò non hauritur æstate, sed immota manens densatur, ea neque perinde vt illa spiritum à terra in sese suscipit, neque ex sese in terram transmittit, simúlque à sole & aëre per puteum minimè disperso, sed stabili manente, summa eius superficie primum incalescit, deinde altera pars alteri, ad imum vsque caliditatem summam communicat. Eáque causa est cur aqua, quæ æstate non hauritur, sit calidior. Quin & fontes multùm profundi, æstate semper frigidi sunt; & aqua ex iis per hyemem hausta, quando terra calet, ea quidem calida est, intercedente verò tempore frigida est, ab aëre scilicet frigido refrigerata. A vento quippe perflatur, & per eam spiritus percolatur. Quemadmodum etiam aqua per æstatem protinus ac hausta fuerit, frigida est, eámque ob causam calescit. Refrigeratur siquidem quod terra rara sit, & spiritum in se contineat. At postquam hausta fuerit, si tempus intercedat, quia immota manet, calida conspicitur. Incalescit siquidem ab aëre calido, vt & putealis aqua per æstatem, quæ non hauritur, ob idipsum calida redditur. Ac ista quidem hac de re à me dicta sunt. Rursus autem repetam, quod inferior terræ pars æstate frigida est, hyeme verò calida. Superior autem terræ pars, contrario se habet modo. Neque arbori opus est, si modò valere debeat, geminum simul calorem aut frigus adesse; verùm si ex superiore quidem parte calor accesserit, ex inferiore frigus accedere oportet; contráque, si ex superiore parte frigus accedat, ex inferiore calorem ipse contingere necesse est. Ac radices vbi attraxerint, arbori communicant, arbórque radicibus, sícque calidi & frigidi *mutua* sit dispensatio. Quemadmodum homini, ingestis in ventriculum cibis, qui dum concoquuntur, calefaciunt, refrigerationem à potu reddi oportet; sic & arbori, contrarium rependi oportet, ex imis ad summa, & vice versa. Ideóque tum in superiorem, tum inferiorem partem arbor increscit, quòd alimentum ex inferiore & superiore parte capessat. Et quandiu tenella admodum fuerit, fructum non profert. Non enim facultas illi pinguis & crassa inest, quæ ad fructum satis esse possit. Procedente verò tempore, tunc iam in ipsa ampliores venæ effectæ, in eam ex terra pinguem & crassum *humoris* fluxum moliuntur, sol autem ipsum diffundens, efferuescere facit in summa vtpote leuem existentem, fructúmque proferre, ac ab eo fructu tenuem quidem humorem deducit, crassiorem verò concoquens sol & calefaciens edulcat. Quæ verò arbores fructum non ferunt, non tantum habent in se pinguedinis, quantum in fructum consumatur. Omnis autem arbor quum per tempus solida facta fuerit, & infernè radices ceperit, iam penitus stabilis crescere desiit. Quibuscunque oculi ex diuersis arboribus ad arbores inserti sunt, hi arbores facti in arboribus viuunt, & fructiferæ fructum edunt non similem iis quibus sunt insitæ. Id hoc modo fit. Contingit oculo primùm quidem germinare alimentum enim habuit, primùm quidem ab arbore à qua auulsus est, tum verò ab ea in quam insitus est. Vbi autem germinauerit, sic tenues ex se radices in arborem demittit, primúmque arboris humore, in quam insitus est existente, fruitur.

A ὥσπερ ῥιπὶς, καὶ ποιέει αὐτὸ ψύχος παρέχειν τῷ ὕδατι. τὸ δὲ μὴ ἀντλεόμενον τοῦ ὕδατος τοῦ θέρεος, ἀλλ᾽ ἑστηκὸς, πυκνὸν ἐὸν, οὐχ ὁμοίως δέχεται τὸ πνεῦμα ἐς ἑωυτὸ ἀπὸ τῆς γῆς· οὐδὲ ἐς τὴν γῆν ἀφ᾽ ἑωυτοῦ ἀποδίδωσι, καὶ ἅμα ἀπὸ τοῦ ἡλίου, καὶ τοῦ ἀέρος, οὐ σκιδναμένου ἐν τῷ φρέατι, ἀλλὰ στασίμου ἐόντος, θερμαίνεσθαι πρῶτον αὐτοῦ τὸ ἐπιπολῆς· ἔπειτα τὸ ἕτερον ἐπὶ τῷ ἑτέρῳ ἐς τὸ κάτω διαδίδωσι τὴν θερμασίην. καὶ διὰ τοῦτο τὸ μὴ ἀντλεόμενον ὕδωρ τοῦ θέρεος, θερμότερόν ἐστι τοῦ ἀντλεομένου. αἵ τε πηγαὶ αἱ βαθεῖαι μάλα τοῦ θέρεος ἀεὶ ψυχραί εἰσι, καὶ ἀρυσθὲν τὸ ὕδωρ, τοῦ χειμῶνος τῆς γῆς θερμῆς ἐούσης, ἐκ ταύτης τὸ μὲν παραυτίκα θερμόν ἐστιν· B ὅταν δὲ χρόνος διίῃ, ψυχρόν ἐστιν ὑπὸ τοῦ ἠέρος δηλονότι γινόμενον, ψυχροῦ ἐόντος. ἐξαεροῦται γὰρ ὑπὸ τοῦ ἀνέμου, καὶ τὸ πνεῦμα δι᾽ αὐτοῦ διηθέει. καθάπερ καὶ τὸ ἀντλεόμενον ὕδωρ τοῦ θέρεος, ὁκόταν ἀρυσθῇ, ψυχρὸν αὐτίκα ἐστί· θερμὸν δὲ γίνεται διὰ τόδε. ὅτι τῆς γῆς ἀραιῆς ἐούσης, καὶ πνεύματος ἐόντος ἐν αὐτῇ, ψύχεται. ὅταν δὲ ἀρυσθέντι χρόνος ἐγγένηται, στάσιμον γίνεται, καὶ θερμὸν ἔρχεται. θερμαίνεται γὰρ ὑπὸ τοῦ ἠέρος, θερμοῦ ἐόντος, ὥσπερ καὶ C τὸ μὴ ἀντλεόμενον ὕδωρ ἐν τῷ φρέατι τοῦ θέρεος, διὰ τοῦτο θερμὸν γίνεται. ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. ἀναλήψομαι δὲ αὖθις, ὅτι τοῦ θέρεος, τὸ κάτω τῆς γῆς ψυχρόν ἐστι· τοῦ δὲ χειμῶνος, θερμόν. τὸ δὲ ἄνω τῆς γῆς, τοὐναντίον τούτου. καὶ δεῖ τῷ δενδρέῳ, μὴ δύο θερμὰ ὁμοῦ προσγίνεσθαι, μηδὲ δύο ψυχρὰ ὁμοῦ, ἢν μέλλῃ ὑγιαίνειν· ἀλλ᾽ ἢν μὲν ἐκ τοῦ ἄνωθεν προσγίνηται θερμὸν, ἐκ τοῦ κάτωθεν δεῖ ψυχρὸν αὐτῷ προσγίνεσθαι· καὶ πάλιν, ἢν ἐκ τοῦ ἄνωθεν προσγίνηται ψυχρὸν, ἐκ τοῦ κάτωθεν δεῖ θερμὸν αὐτῷ προσγίνεσθαι. αἵ τε ῥίζαι ὅταν ἑλκύσωσι, τῷ δενδρέῳ προσδιδόασι, καὶ τὸ D δένδρεον τῇσι ῥίζῃσι· καὶ γίνεται οὕτω ταμιείη καὶ ψυχροῦ καὶ θερμοῦ. ὥσπερ τῷ ἀνθρώπῳ ἐσιόντων ἐς τὴν κοιλίην σιτίων, ὅσα πεσσόμενα θερμαίνει, δεῖ ψύξιν ἀποδίδοσθαι ἀπὸ τοῦ πότου, οὕτω καὶ τῷ δενδρέῳ δεῖ ἀνταποδίδοσθαι ἐκ τοῦ κάτω πρὸς τὸ ἄνω, καὶ ἀνάπαλιν. καὶ αὔξεται τὸ δένδρεον, καὶ ἐς τὸ ἄνω, καὶ ἐς τὸ κάτω, διὰ τόδε. ὅτι ἡ τροφή ἐστι καὶ ἐκ τοῦ κάτωθεν καὶ ἐκ τοῦ ἄνωθεν. καὶ ἕως μὲν ἂν ἁπαλὸν ἔῃ σφόδρα, οὐ καρποφορέει. οὐ γάρ ἐστιν αὐτῷ πίειρα δύναμις, οὐδὲ παχείη, ἥτις ἐς καρπὸν ξυμβάλλεσθαι οἵη τέ ἐστιν. ὁκόταν δὲ χρόνος ἐγγένηται, τότε ἤδη ἐν αὐτῷ αἱ φλέβες εὐρεῖαι γινόμεναι, E ποιεῦνται ἐν αὐτῷ ἐκ τῆς γῆς πίειραν καὶ παχείαν τὴν ῥύσιν. ὁ δὲ ἥλιος διαχέων αὐτὴν, ποιέει ἐκζεῖν ἅτε κούφην ἐοῦσαν ἐς τὰ ἄκρα, καὶ καρποῦσθαι. καὶ τὴν μὲν λεπτὴν ἰκμάδα, ἀπὸ τοῦ καρποῦ ἀποφέρει· τὴν δὲ παχείην, πέσσων ὁ ἥλιος καὶ θερμαίνων γλυκαίνει. τὰ δὲ οὐ καρποφορέοντα τῶν δενδρέων, οὐκ ἔχει πῖαρ ἐν αὐτοῖσιν, ὅσον ἐς τὸν καρπὸν ἐκδώσεται. τὸ δὲ πᾶν δένδρεον ὁκόταν ὑπὸ χρόνου στερεωθῇ, καὶ λάβηται ἐκ τοῦ κάτω τῇσι ῥίζῃσιν, ἤδη βεβαίως πέπαυται αὐξόμενον πάντη. F ὁκόσοισι δὲ ἐς δένδρεα, ἀφ᾽ ἑτέρων δενδρέων, ὀφθαλμοὶ ἐνετέθησαν, καὶ δένδρεα γινόμενα ἐν τοῖσι δενδρέεσι ζῇ, καὶ καρποφορέει καρπὸν οὐχ ὅμοιον οἷσιν ἐγκείμενά ἐστιν. τρόπῳ τοιῷδε τοῦτο γίνεται. ξυμβαίνει τῷ ὀφθαλμῷ, πρῶτον μὲν βλαστάνειν τροφὴν γὰρ εἶχε, πρῶτον μὲν ἀπὸ τοῦ δενδρέου, ἀφ᾽ οὗ ἀπηνέχθη. ἔπειτα ἐν ᾧ ἐνετέθη. ὁκόταν δὲ βλαστήσῃ, οὕτως μεθίησιν ἐς τὸ δένδρεον ῥίζας ἀπ᾽ αὐτοῦ λεπτάς. καὶ πρῶτον ἀπαυρίσκεται ἀπὸ τῆς ἰκμάδος τῆς ἐν τῷ δενδρέῳ ἐνεούσης, ἐν ᾧ ἔγκειται.

ἔπειτα χρόνου ἐγγινομένου, ἀφίησι ῥίζας ἐς τὴν γῆν, διὰ τοῦ ἐν ᾧ ἐνετέθη· καὶ ἐπαυρίσκεται ἀπὸ τῆς γῆς ἕλκον τὴν ἰκμάδα· καὶ τροφὴ αὐτῷ ἐνθένδε ἐστίν· ὥστε μὴ θαυμάζειν ἑτερόκαρπα εἶναι τὰ ἔνθετα τῶν δενδρέων, ζῇ γὰρ ἀπὸ τῆς γῆς. Ταῦτά μοι εἴρηται περὶ τῶν δενδρέων καὶ τῶν καρπῶν, διὰ τόδε, ὅτι οὐχ οἷόν τε ἦν μοι τὸν λόγον ἡμιτελέα καταλιπεῖν.

A Deinde temporis accessu radices in terram demittit, per eam in quam insitus est, & attracto è terra humore fruitur, indéque ipsi alimentum est; vt proinde minimè mirum sit, insitas arbores alios fructus ducere nam à terra viuunt. Hæc mihi de arboribus & fructibus istam ob causam dicta sunt, quòd imperfecta oratio relinqui à me non debuerit.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Ἐκ τῆς διαθέσιος τῆς μητρὸς τὸ παιδίον καλῶς ἢ κακῶς ἔχειν· περὶ θέσεως τοῦ ἐν τῇ γαστρὶ παιδίου, καὶ δι' ὀμφαλοῦ ἀναπνοῆς, καὶ ὁμοιότητος τοῦ ἐπωασμοῦ, καὶ τοῦ δέκα μηνῶν τόκου, καὶ πλείονα τῶν δέκα, καὶ οὐ πλείονα χρόνον, καὶ διατί πρόσθεν τοῦ δεκάτου, καὶ περὶ τῆς μετὰ τὴν τῶν καταμηνίων κάθαρσιν εὐτοκίας.

CAPVT X.

B *Ex matris valetudine puerum benè vel malè habere, de fœtus in vtero situ, respiratione per vmbilicum, similitudine cum oui incubatu, partu decimo mense, & vltra, & non vltra decimum, & cur ante decimum, ac de conceptu à menstruali purgatione facili.*

Ἀναβήσομαι δ' αὖθις ὀπίσω οὗ εἵνεκά μοι λόγου τάδε ἀμφὶ τῶνδε εἴρηται. Φημὶ γὰρ τὰ ἐν τῇ γῇ φυόμενα, πάντα ζῆν ἀπὸ τῆς γῆς τῆς ἰκμάδος, καὶ ὅκως ἂν ἡ γῆ ἔχῃ ἰκμάδος ἐν ἑωυτῇ, οὕτω καὶ τὰ φυόμενα ἔχειν. οὕτω καὶ παιδίον ζῇ ἀπὸ τῆς μητρὸς ἐν τῇσι μήτρῃσι, καὶ ὅκως ἂν ἡ μήτηρ ὑγιείης ἔχῃ, οὕτω καὶ τὸ παιδίον ἔχει. ἣν δέ τις βούληται ἐννοεῖν τὰ ῥηθέντα ἀμφὶ τούτων, ἐξ ἀρχῆς ἐς τέλος εὑρήσει τὴν φύσιν πᾶσαν παραπλησίην ἐοῦσαν, τήν τε ἐκ γῆς φυομένων, καὶ τὴν ἐξ ἀνθρώπων. καὶ ταῦτά μοι ἐς τοῦτο εἴρηται. Τὸ δὲ παιδίον ἐν τῇσι μήτρῃσιν ἐὸν, τὼ χεῖρε ἔχει πρὸς τοῖσι γένεσι, καὶ τὴν κεφαλὴν πλησίον τοῖν ποδοῖν· καὶ οὐκ ἔστιν ἀτρεκέως κρῖναι, οὐδ' ἂν ἴδῃς ἐν τῇσι μήτρῃσι τὸ παιδίον, πότερον τὴν κεφαλὴν ἄνω ἔχει, ἢ κάτω. ἐκ δὲ τοῦ ὀμφαλοῦ, τεταμένοι εἰσὶν οἱ ὑμένες, ἀντέχοντες αὐτό. νῦν δὲ ἐρέω τὴν διάγνωσιν, ἣν ἔφην ἀποφανέειν ὀλίγῳ πρότερον· ὡς ἀνυστὸν ἀνθρωπίνῃ γνώμῃ ἐμφανέα ἐοῦσαν, πάντῃ τῷ θέλοντι εἰδέναι τούτου πέρι. ὅτι ἥ τε γονὴ ἐν ὑμένι ἐστὶν, ὅτι κατὰ μέσον αὐτῆς ὁ ὀμφαλός ἐστι. κἀκείνῃ πρῶτον τὴν πνοιὴν ἕλκει ἐς ἑωυτὴν, καὶ μεθίησιν ἔξω. καὶ ἐκ τοῦ ὀμφαλοῦ ὑμένες εἰσί· καὶ τὴν ἄλλην φύσιν τοῦ παιδίου ἣν εἴρηκα, ὧδε ἐχούσας εὑρήσεις πάσας, μέχρις ἐς τέλος, ὅκως μοι ἐν τοῖσι λόγοισιν ἀποπέφανται, εἰ βούλεταί τις τοῖσιν ἱστορίοισιν, ὁκόσοισι μέλλω λέγειν, χρῆσθαι. Εἰ γάρ τις ἐθέλει ὠὰ εἴκοσιν, ἢ καὶ πλείονα, ὅκως ἐκλεπίσηται, ὑποθεῖναι ἀλεκτορίσιν, εἴτε δυσὶν εἰ καὶ πλείοσι· καὶ ἑκάστης ἡμέρης ἀπὸ τῆς δευτέρης ἀρξάμενος μέχρι τῆς ὑστάτης, ἐν ᾗ λεπίσῃ τὸ ὠὸν, ὑφαιρέων, καὶ καταγνύων, σκοπῶν, εὑρήσει ἔχοντα πάντα κατὰ τὸν ἐμὸν λόγον, ὡς χρὴ ὄρνιθος φύσιν ξυμβάλλειν ἀνθρώπου φύσει. ὅτι γὰρ ὑμένες εἰσὶν ἐκ τοῦ ὀμφαλοῦ τεταμένοι, καὶ τἄλλα ὁπόσα εἴρηται περὶ τοῦ παιδίου, οὕτως ἔχοντα ἐν τῷ ὠῷ τῷ ὀρνιθείῳ εὑρήσεις ἐξ ἀρχῆς ἐς τέλος. καίτοι ἢν τις μηδέπω εἶδε, θαυμάσει ἐν ὀρνιθείῳ ὠῷ ἐνεόντα ὀμφαλόν. ἔχει δὲ ὧδε τάδε. καὶ ταῦτα δέ μοι ὧδε εἴρηται. ὁκόταν δὲ τῇ γυναικὶ ὁ τόκος παραγένηται, ξυμβαίνει τότε τῷ παιδίῳ κινεομένῳ, καὶ ἀσκαρίζοντι χερσί τε καὶ ποσὶ, ῥῆξαί τινα τῶν ὑμένων τῶν ἔνδον. ῥαγέντος δὲ τοῦ ἑνὸς, καὶ οἱ ἄλλοι ἀσθενεστέρην δύναμιν ἔχουσι. καὶ ῥήγνυνται πρῶτον μὲν, οἱ κείνου ἐχόμενοι· ἔπειτα ὁ ὕστατος. ὁκόταν δὲ ῥαγέωσιν οἱ ὑμένες, τότε λύεται ἀπὸ τοῦ δεσμοῦ τὸ ἔμβρυον· καὶ χωρέει ἔξω κινηθέν. οὐ γὰρ ἔτι ἔχει σθένος τῶν ὑμένων προδόντων. οὐδὲ αἱ μῆτραι δύνανται ἔτι τὸ παιδίον ἴσχειν, τῶν ὑμένων, ὡς ἔφην προδόντων, καὶ τούτων ἀπενεχθέντων.

At verò ad eam iterum orationem reuertar, cuius gratia ista à me dicta sint. Quæ ex terra nascuntur, ea omnia ex terræ humore viuere assero, & quemadmodum terræ humor habet, ita & se habere, quæ ex ipsa oriuntur. Sic & puer in vtero ex matre viuit, & vt valet mater, ita & puer habet. Quod si quis, quæ de istis dicta sunt, C ab initio ad finem vsque considerare velit, is eorum quæ è terra nascuntur, & hominum naturam vniuersam similem esse comperiet. Et hæc mihi hactenus dicta sunt. At verò puer quum in vtero existit, manibus ad genas adhæret, capútque pedibus proximum habet, neque certò dignoscere datur, etiamsi puerum in vtero videas, vtrum caput sursum, an deorsum vergat. Verùm quæ eum sustinent membranæ, ex vmbilico protenduntur. Nunc verò dignotionem explicabo, quam paulò anteà me demonstraturum dixi, quæ, quantum humanum ingenium consequi potest, aperta est in D iis omnibus, qui ea de re nosse volent, quòd genitura membrana sit, & in eius medio vmbilicus extet, per quem primum spiritum ad se attrahit, & foras emittit, quódque ex vmbilico membranæ protenduntur. Quin & reliquam pueri naturam, quam dixi, sic totam se habere adusque finem comperiet quomodo à me in his sermonibus declaratum est; si quis his argumentis, quæ à me proferentur, vti volet. Si quis enim oua viginti, aut etiam plura, gallinis duabus, aut pluribus, vt excludantur, supponat, & singulis diebus, à secundo exorsus, ad vltimum vsque, quo oui E putamen detrahetur subtrahat, frãgat, diligenter inspiciat, is eo, quo dixi, modo, omnia se habere deprehendet, vt oportet auis naturam cum humana conferre. Ex vmbilico enim membranæ protendi, aliáque omnia quæ de puero dicta sunt, eodem prorsus se habere modo in ouo gallinaceo comperies. Quanquam, qui hæc nondum obseruauit, is in ouo gallinaceo vmbilicum inesse mirabitur. Atque hęc sic se habent, eáque sic à me relata sunt. Quando verò mulieri partus instat, tum se mouente puero, & manibus ac pedibus se iactante membranam quãdam internam abrumpi contingit. Rupta autem iam vna, etiam cæteræ F imbecilliorem facultatem habent, primúmque rumpuntur. quæ illam contingunt. deinde postrema. Ruptis autẽ membranis, tũ fœtus vinculo exoluitur, & agitatus foràs prodit. Neque enim desertis membranis quicquam amplius virium habet, neque vteri puerũ ampliùs continere possunt, desertis vti dixi mẽbranis & ab ipsis ablatis.

Et membranæ quæ puerum circumplectuntur, non admodum magna vi vtero adhærescunt. Quum vero puer prodit, violat ac dilatat vterum in exitu vtpote tenerum existentem. Prodit autem in caput, si secundum naturam prodierit. Grauissimæ enim ei sunt superiores partes, ex vmbilico libratæ. Quandiu autem in vteris manet, validior ac continens semper euadit, adusque membranarum disruptionem decimo mense, quando matri partus instat. Si verò violentum affectum perpetiatur puer, etiam ante præfinitum tempus ruptis membranis foràs prodit. Quin etiam si alimento à matre prius destituatur, sic quoque ante tempus matri partio ingruit, & ante decimum mensem puer egreditur. At verò si quæ vltra decem menses vtero gestare sibi visæ sunt, (quod iam sæpe audiui) eæ hoc, quem referam, modo falluntur. Quum vteri à ventre flatum suppeditante spiritu distenduntur & intumescunt (id enim contingit) tunc mulieres se concepisse existimant. Et si menses minimè prodeuntes in vteris collecti fuerint, longiorémque moram fecerint, subinde alij eò confluunt, interdum quidem flatibus, qui à ventre procedunt, permixti, interdum verò incalescentes. Tunc quoque sanè non prodeuntibus mensibus, & in tumorem sublatis vteris, mulieres vtero sibi gestare videntur. Deinde quandoque menses sua sponte erumpunt, aut quum alij insuper ad vteros ferantur, & priores deturbent, etiam flatus egreditur: ac multis iam statim post menstruam purgationem vteri dehiscunt, & ad pudendum conuertuntur, atque eo tempore cum viris congressæ, eodem ipso die, vel paulò post, concipiunt. Atque harum rationum ac rerum ignaræ, eo tempore se concepisse reputant, quo menses suppressi erant & vteri intumuerant. Cur autem non longiore quàm decem mensium spatio, fœtum vtero gestari contingat, referam. Post exactos decem menses, vbi fœtus grandior est, alimentum & incrementum; quod à matre demittitur, non amplius puero sufficere potest. Quod enim in sanguine dulcissimum est, ad sese attrahit, simúlque aliquantula lactis portione fruitur. Quæ quum ipsi pauciora sint, puérque iam plenior factus, plus alimenti quàm adsit, requirat, ipse sese iactans, membranas disrumpens initium partus matri inducit. Idque frequentius experiuntur mulieres quæ primum pariunt. Neque enim pueris alimentũ ad decimum mensem satis esse potest. Quod ad hunc modum deficit. Mulieribus quibusdam quidem menstruæ purgationes abundantes, quibusdam pauciores expurgantur. Quod si in natura & in genere semper contingat, ipsis vterinum est. At quibus pauciora menstrua effluunt, hæ pueris quoque sub postremũ tempus, vbi iam auctiores fuerint, cum parcius alimentum suppeditent, eos vt iactentur cogunt, & vt ante decimum mensem prodeant, compellunt. Paucus enim sanguis de iuuenculis *matribus* fertur. Vt plurimũ vero, quæ pauca menstrua demittunt, eas sine lacte esse contingit. Sicciores enim sunt, & densiore corporis habitu. Quod vero deficiente alimento fœtus exeat, nisi vis quædam inferatur, hoc argumento comprobatur.

A περιλαμβάνονται γὰρ οἱ ὑμένες καὶ τῶν μητρέων, ὁκότεροι ἀμφὶ τὸ παιδίον ἐλίσσονται οὐ πολλῇ δυνάμει. ὁκόταν δὲ χωρέῃ τὸ παιδίον, βιῆται καὶ εὐρύνει τὰς μήτρας ἐν τῇ διεξόδῳ, ἅτε ἁπαλὰς ἐούσας. χωρέει δὲ ἐπὶ κεφαλὴν, εἰ κατὰ φύσιν ἴῃ. βαρύτατα γάρ ἐστιν αὐτοῦ τὰ ἄνω, ἐκ τοῦ ὀμφαλοῦ σταθμεόμενα. ἐν δὲ τῇσι μήτρῃσιν ἐνεὸν, ἐγκρατὲς μᾶλλον γίνεται εἰς ὑμένων τὴν κατάρρηξιν, ἅμα δεκάτῳ μηνὶ, ὅτε ὁ τόκος τῇ μητρὶ παραγίνεται. ἢν δὲ βίαιον πάθημα πάθῃ τὸ παιδίον, καὶ πρόσθεν τοῦ ὡρισμένου χρόνου ῥαγέντων τῶν ὑμένων ἐξέρχεται. καὶ ἢν ἡ τροφὴ πρόσθεν λήξῃ ἀπὸ τῆς μητρὸς τῷ παιδίῳ, B καὶ οὕτω πρόσθεν ὁ τόκος τῇ μητρὶ παραγίνεται, θᾶσσον δὲ δέκα μηνῶν ἐξέρχεται. ἀλλ᾽ ὅσαι δὴ ἔδοξαν πλείονα χρόνον δέκα μηνῶν ἔχειν, ἤδη γὰρ τοῦτο πολλάκις ἤκουσα, κεῖναι διελήθησαν τρόπῳ τοιῷδε, ὃ μέλλω ἐρέειν. ὁκόταν αἱ μῆτραι πνεῦμα λάβωσιν ἐς σφᾶς αὐτὰς ἀπὸ τῆς κοιλίης φῦσαν παρεχούσης, καὶ ἐξαρθῶσι, γίνεται γὰρ τοῦτο, δοκέουσι δὴ αἱ γυναῖκες πρὸς σφᾶς ἔχειν τότε. καὶ ἢν καταμήνια μὴ χωρέοντα ξυστραφῇ ἐν τῇσι μήτρῃσι, καὶ ἔῃ χρονιώτερα, ἀεὶ διαρρέῃ ἐς τὰς μήτρας· ἔστι μὲν ὅτε ξὺν τῷ ἀπὸ τῆς κοιλίης πνεύματι· ἔστι δ᾽ ὅτε καὶ θερμαινόμενα. καὶ δὴ καὶ τότε ἐν γαστρὶ δοκέουσιν ἔχειν αἱ γυναῖκες, C ἅτε τῶν καταμηνίων μὴ χωρεόντων, καὶ τῶν μητρέων ἠρμένων. εἶτα ἔστιν ὅτε τὰ καταμήνια ἐρράγη αὐτόματα, ἢ ἑτέρων ἐπικατελθόντων ἀπὸ τοῦ σώματος ἐς τὰς μήτρας, καὶ κατενεχθέντων τὰ πρότερα, καὶ φῦσα ἐξῆλθε, καὶ πολλοῖσιν ἤδη εὐθὺς μετὰ τὴν τῶν καταμηνίων κάθαρσιν αἱ μῆτραι ἔχασκον, καὶ κατὰ τὸ αἰδοῖον ἐστράφησαν, καὶ τηνικαῦτα μιχθεῖσαι ἀνδράσιν, ἔλαβον πρὸς σφᾶς τὴν γονὴν, αὐθημερὸν, ἢ ἅμα ὀλίγῃσιν ἡμέρῃσιν. λογίζονται δὲ αἱ ἄπειροι τούτων τῶν λόγων, καὶ τῶν σημημάτων, κἀκεῖνον τὸν χρόνον ἐν γαστρὶ ἔχειν, ὅτε τὰ καταμήνια οὐκ ἐχώρεεν αὐτῇσι, καὶ αἱ μῆτραι ἠρμέναι ἐτύγ- D χανον. ὅτι δὲ οὐκ ἔστι χρονιώτερον δέκα μηνῶν ἐν γαστρὶ ἔχειν, ἐγὼ φράσω. ἡ τροφὴ καὶ ἡ αὔξησις ἡ ἀπὸ τῆς μητρὸς κατιοῦσα, οὐκ ἔτι ἀρκέουσα τῷ παιδίῳ ἐστὶν, ὁκόταν οἱ δέκα μῆνες παρέλθωσι, καὶ τὸ ἔμβρυον αὐξηθῇ. ἕλκει γὰρ ἀπὸ τοῦ αἵματος ἐς ἑωυτὸ τὸ γλυκύτατον, ἅμα δὲ καὶ ἀπὸ τοῦ γάλακτος ἐπαυρίσκεται ὀλίγον. ὁκόταν δ᾽ αὐτῷ σπανιώτερα ταῦτα γένηται, καὶ ἁδρὸν ἔῃ τὸ παιδίον, ποθέον πλείονα τῆς ὑπαρχούσης τροφῆς, ἀσκαρίζει, καὶ τοὺς ὑμένας ῥήγνυσι τὴν ἀρχὴν ἀποκυήσιος παρέχει τῇ μητρί. καὶ μᾶλλον τοῦτο πάσχουσιν αἱ τῶν γυναικῶν πρωτοτόκοι. ἐπιλείπει γὰρ τοῖσι παιδίοισιν ἡ τροφὴ E ἐς τὸ ἀρκέσαι, ἄχρις ἂν τῶν δέκα μηνῶν. ἐπιλείπει δὲ διὰ τρόπον τοιόνδε. εἰσὶ τῶν γυναικῶν τινες, αἳ μὲν, ἀρκέοντα τὰ καταμήνια καθαίρονται, αἱ δὲ ἐλάσσονα. τοῦτο δὲ ἢν ἀεὶ γίνεται ἐν φύσει καὶ ἐν γένει, μητρόθεν σφίσιν ἐστίν. αἱ δὲ τὰ καταμήνια ὀλίγα μεθιεῖσαι, αὗται καὶ τοῖς παιδίοισι, τοῦ χρόνου τὸ ὕστατον, ὅταν ἤδη ἁδρὸν ἔῃ, τὴν τροφὴν σπανιωτέρην παρέχουσαι, ποιέουσιν ἀσκαρίζειν, καὶ πρόσθεν τῶν δέκα μηνῶν ἐξελθεῖν ἐπείγεσθαι. ὀλίγον γὰρ ἀπὸ τῶν νέων μητρέων χωρέει τὸ αἷμα. ὡς δὲ καὶ ἐπὶ τὸ πλεῖστον ξυμβαίνει, καὶ ἀγαλάκτους εἶναι ταύτας τὰς γυναῖκας, τὰς ὀλίγα τὰ καταμήνια μεθείσας· F ξηρότεραι γὰρ καὶ πυκνοσαρκότεραί εἰσιν. τούτῳ δὲ τῷ λόγῳ ὅτι ἐπιλειπούσης τῆς τροφῆς, ἐξέρχεται τὸ ἔμβρυον, ἢν μή τι αὐτῷ βίαιον πάθημα προσπέσῃ, καὶ ἰσόρροπον τόδε ἐστί.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ γενέσιος τῶν ὀρνέων ἐκ τοῦ ὠοῦ τοῦ χλωροῦ, καὶ ὠὸν τὸ πνεῦμα διιέναι, τοὺς νεοσσοὺς ἐν εἴκοσιν ἡμέρῃσιν ἐκλείπεσθαι· περὶ τῆς τοῦ τῶν ὀρνέων τόκου πρὸς τὸν τῶν ἀνθρώπων τόκον ἀναλογίας· περὶ εὐτοκίας τε καὶ δυστοκίας, καὶ μετὰ πόνων τόκου, καὶ τὸν ὀμφαλὸν ὕστατον χωρέειν.

Τὸ ὄρνεον γίνεται ἐκ τοῦ ὠοῦ τοῦ χλωροῦ, τρόπῳ τοιῷδε· ἐπικαθεζομένης τῆς μητρὸς θερμαίνεται τὸ ὠόν. καὶ τὸ ἐν τῷ ὠῷ ἐνεὸν, ὑπὸ τῆς μητρὸς κινέεται. θερμαινόμενον δὲ πνεῦμα ἴσχει τὸ ἐν τῷ ὠῷ ἐνεὸν, καὶ ἀντισπᾷ ἕτερον ψυχρὸν ἀπὸ τοῦ ἠέρος, διὰ τοῦ ὠοῦ. τὸ γὰρ ὠὸν ἀραιόν ἐστιν οὕτως, ὡς πνοιὴν ἑλκομένην ἀρκέουσαν διιέναι τῷ ἔνδον ἐόντι. καὶ αὔξεται τὸ ὄρνεον ἐν τῷ ὠῷ. καὶ διαρθροῦται τρόπῳ τῷ αὐτῷ τε καὶ παραπλησίῳ, ὥσπερ καὶ τὸ παιδίον, ὥς μοι ἤδη καὶ πρότερον εἴρηται. γίνεται δὲ ἐκ τοῦ χλωροῦ τοῦ ὠοῦ τὸ ὄρνεον. τροφὴν δὲ καὶ αὔξησιν ἔχει, τὸ λευκὸν τὸ ἐν τῷ ὠῷ. τοῦτο ἤδη πᾶσιν ἐμφανὲς ἐγένετο, ὁκόσοι προσέσχον τὸν νόον. ὁκόταν δὲ ἐπιλείπῃ ἡ τροφὴ τῷ νεοσσῷ ἐκ τοῦ ὠοῦ, οὐκ ἔχον ἀρκέουσαν ἀφ' ἧς ζήσεται, κινέεται ἰσχυρῶς ἐν τῷ ὠῷ, ζητέων τροφὴν πλείονα. καὶ οἱ ὑμένες περιρρήγνυνται. καὶ ὁκόταν ἡ ὄρνις αἴσθηται τὸν νεοσσὸν κινηθέντα ἰσχυρῶς, κολάψασα ἐξέλεψεν. καὶ ταῦτα ξυμβαίνει γίνεσθαι, ἐν εἴκοσιν ἡμέρῃσι. καὶ ἐμφανές ἐστιν, ὅτι ὧδε ἔχει. ὁκόταν γὰρ κολαφθῇ τὸ ὄρνεον, ἐπὶ τοῖσι λεπυρίοισι τοῦ ὠοῦ, ὑγρὸν ἔνεστιν οὐδὲν, ὅ, τι καὶ ἄξιον λόγου. ἐξανήλωται γὰρ ἐς τὸν νεοσσόν. οὕτω δὲ καὶ τὸ παιδίον, ὁκόταν αὐξηθῇ, οὐκ ἔτι δύναται ἡ μήτηρ τροφὴν παρέχειν ἀρκέουσαν. ζητέον οὖν πλείω τροφὴν τῆς παρεούσης τὸ ἔμβρυον, ἀσκαρίζον ῥηγνῦσι τοὺς ὑμένας. καὶ λυθὲν τοῦ δεσμοῦ χωρέει ὁρμεόμενον ἔξω. καὶ ταῦτα γίνεται ἐν δέκα μησὶ τὸ μακρότατον. καὶ κατὰ τοῦτον τὸν λόγον, καὶ τοῖσι κτήνεσι καὶ τοῖσι θηρίοισιν, ὁ τόκος παραγίνεται ἐν χρόνῳ ᾧ ἕκαστον τίκτει οὐ μακρότερον. ἑκάστῳ γὰρ τῶν ζώων ἀνάγκη ἐστὶ χρόνον εἶναι, ἐν ᾧ ἡ τροφὴ ἐνδεεστέρη ἔσται τῷ ἐμβρύῳ καὶ ἐπιλείψει, καὶ ὁ τόκος παρέσται. καὶ τὰ μὲν ἐλάσσω τροφὴν ἐν τοῖσιν ἐμβρύοισιν ἔχοντα θᾶσσον τίκτει. τὰ δὲ πλείω, ὕστερον. καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. τὸ δὲ παιδίον ὅταν περιρραγῶσιν οἱ ὑμένες, ἢν μὲν δὴ ἐπικρατήσῃ ἡ ἐπὶ τὴν κεφαλὴν ῥοπὴ, ῥηϊδίως τίκτει ἡ γυνή. ἢν δὲ πλάγιον, ἢ ἐπὶ πόδας χωρήσῃ, γίνεται γὰρ οὕτω πολλάκις, ἢν οὕτως ἡ ῥοπὴ τύχῃ, γινομένη ἢ ὑπὸ εὐρυχωρίης τῶν μητρέων, ἢ καὶ ἢν ἡ μήτηρ ἐν τῇ ὠδῖνι μὴ ἡσυχάσῃ τὸ πρῶτον. κἢν οὕτω χωρέῃ, χαλεπῶς τέξεται ἡ γυνή. πολλαὶ δὲ ἤδη ἢ αὐταὶ ὤλοντο, ἢ τὰ παιδία, ἢ ἅμα αἱ μητέρες, καὶ τὰ ἐν αὐτῇσιν. ἐκ δὲ τῶν τικτουσῶν μάλιστα πονέουσιν αἱ πρωτοτόκοι, διὰ τὴν ἀπειρίην τῶν πόνων. καὶ πονέουσι μὲν πᾶν τὸ σῶμα· μάλιστα δὲ τὴν ὀσφὺν τε καὶ τὰ ἰσχία. διΐσταται γὰρ σφέων τὰ ἰσχία. αἱ δὲ μᾶλλον ἔμπειροι τόκων, ἧσσον πονέουσι τῶν πρωτοτόκων. αἱ δὲ πολυτόκοι, πολὺ ἧσσον πονέουσι. ἢν δὲ ἐπὶ κεφαλὴν ἴῃ τὸ ἔμβρυον, ἡ κεφαλὴ πρῶτον ἔξω χωρέει. ἔπειτα τ' ἄλλα μέλεα ἑπόμενα· ὕστατος δὲ ὁ ὀμφαλός. ἐκ δὲ τοῦ ὀμφαλοῦ, τὸ χορίον τεταμένον ἐστί. μετὰ δὲ ταῦτα, ὕδρωψ ἔρχεται αἱματώδης, ἀπό τε τῆς κεφαλῆς, καὶ τοῦ ἄλλου σώματος, ἀποκριθεὶς ὑπὸ βίης τε, καὶ πόνου, καὶ θέρμης. καὶ ὁδὸν ἀφηγήσατο τῇ τῶν λοχίων καθάρσει.

CAPVT XI.

De auium generatione ex luteo oui; ouum spiritum transmittere; pullos viginti diebus excludi; de partus auium cum homine analogia; de partu faciei difficili & laborioso; & vmbilicum postremum edi.

Avis ex oui luteo nascitur hoc modo. Incubante matre, ouum incalescit, & quod in ouo inest, à matre mouetur; calescens autem quod ouo inest, id spiritum concipit, & alium frigidum ab aëre per ouum attrahit. Ouum enim adeo rarum est, vt attractum spiritum satis copiosum ei, quod intus est, transmittat. Et increscit auis in ouo, & eodem prorsus consimilíque modo articulatur, velut puer, vti iam antea à me dictum est. Procreatur autem auis ex oui luteo, alimentum verò & incrementum ex eo habet, quod in ouo est candidum. Quod omnibus qui animum aduerterint, conspicuum esse potest. Quum autem alimentum ex ouo pullo deficit, neque satis ei suppetit vnde viuat, copiosius alimentum postulans, vehementer mouetur in ouo, & membranæ circumcirca disrumpuntur. Et vbi auis pullum vehementer moueri senserit, putamen tundendo excauans, ipsum excludit. Atque hæc intra viginti dies contingere solent, idque ita se habere manifestum est. Nam vbi volucris exclusa est; nihil penitus humoris, quod alicuius sit momenti, in ea inest, quod totus in pullum absumptus sit. Sic etiam quum puer increuerit, mater ei sufficiens alimentum amplius suppeditare non potest. Plus itaque alimenti quàm quod adsit fœtus quærens, sese iactando membranas disrumpit, simúlque vinculis solutus foras prodit. Atque ista, vt longissimè, decimo mense contingunt. Eáque est ratio cur brutis & feris eo ipso tempore, quo quæque parere consueuit, nec tardiùs, partus ingruat. Vnicuique enim animanti tempus esse necesse est, in quo fœtui parcius alimentum suppetat ac deficiat, túmque partus instet. Et quæ quidem minus alimenti fœtui suppeditant, celeriùs pariunt, quę vero vberius, tardiùs. Atque de his quidē hactenus. Puer autem, vbi circumcirca disruptæ sunt membranæ, siquidem suo momento in caput magis inclinet, facilè mulier parit. Quod si in latus, aut in pedes prodeat, (id enim sæpius cōtingit, si illuc momentum vergat, vel propter vteri amplitudinem, vel si mater in ipso partus dolore primùm non quieuerit) si sic inquam prodeat, difficilem partum mulier sentiet. Iam vero ex his plurimæ vel ipsi fœtus, vel vna etiam cum suis fœtibus matres periere. Ex puerperis autem præcipuè laborant, quæ primos partus experiuntur, eò quod doloribus non assueuerint, & totum quidē corpus dolor occupat; præcipuè verò lumbos & coxendices, nam coxendices ipsis diducūtur. Quæ vero magis partus expertæ sunt, minores dolores sentiunt, quàm quæ primùm pariunt. At quæ multoties peperere, omnium minimè dolent. Quod si fœtus in caput feratur, primum caput foras prodit, deinde alia membra consequūtur, postremus est vmbilicus, ex vmbilico autem secundæ dependent. Post hæc humor exit cruentus, à capite & reliquo copore vi doloris & caloris secretus, qui viam partus purgamentis facit.

Post exitum autem saniei, purgatio procedit, quo ante dictum est tempore. Et tum mammæ, tum aliæ partes humidiores, mulieribus effunduntur, minimum quidem in ea quæ primum parit, ac in aliis deinceps, quo plures partus expertæ sunt, eo magis offenduntur, venis à puerperij purgamentis euacuatione exinanitis. Atque ista à me hac de re dicta sunt.

A μετὰ δὲ τὴν ἔξοδον τοῦ ἰχῶρος, ἡ κάθαρσις γίνεται, χρόνον τὸν προειρημένον· καὶ οἵ τε μαζοὶ καὶ τἆλλα μέλεα ὁκόσα ὑγρότερά ἐστι, καταῤῥήγνυται τῇσι γυναιξὶν, ἥκιστα μὲν ἐν τῷ πρώτῳ τόκῳ. ἔπειτα δὲ, ὡς ἂν πλεόνων πειρέωνται τόκων, ἔτι μᾶλλον καταῤῥήγνυται, διακενουμένων τῶν φλεβῶν ὑπὸ τῆς καθάρσιος τῶν λοχίων. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται.

CAPVT XII.

Quomodo gemelli tum mares, tum fœminæ; ac fœtus multiplices generentur.

Gemelli autem ex vno coitu procreantur ad hunc modum. Vteri sinus plures & incuruos habent, hos quidem longiùs distantes, illos vero pudendo viciniores. Et ex animalibus, quæ plura gignunt, plures sinus habent, quàm quæ pauca, vt oues, feræ & volucres. Quum genitura ad duos sinus diuisa peruenerit: eamque vteri receperint, neque sinus alter ad alterum transmiserit, ea vtroque sinu separata, membrana vestitur, vitámque eo modo accipit, quo & vnus fœtus, de quo hæc diximus. Quod verò ex vno congressu gemini procreentur, hoc argumento constat. Canis, sus, & alia animalia, vno coitu duos & plures fœtus pariunt, quorum quisque in vtero suo sinu & membrana conditur. Atque hæc ipsi contingere cernimus, eósque omnes eodem vt plurimùm die parere. Sic autem in muliere, ex vno veneris complexu nati gemelli, vterque suo sinu & inuolucro conditur, & eadem die in lucem prodit, alterúmque prius cum suo inuolucro foras egreditur. Quod autem ex gemellis vnus mas sit, alter fœmina, id ideo contingere asseuero. In muliere & in viro, & in quouis animalium genere, in vnoquoque tum imbecillior, tum valentior genitura inest; neque semel ac simul genitura procedit, sed & bis & ter feruens effunditur, neque fieri potest, vt quæ priùs, & quæ posteriùs exit, eiusdem sint roboris. Quemcunque ergo sinum crassior validiórque genitura subierit, in eo mas procreatur, quemcunque verò humidior ac imbecillior, in eo fœmina generatur. At si in vtrumque valida subeat, ambo mares nascuntur, sin debilis in vtrumque, ambo fœmellæ. Atque omnis ista oratio, ad hunc exposita modum, ad finem perducta est.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

B *Ὅπως τὰ δίδυμα τὰ ἄρσενά τε καὶ τὰ θήλεα, καὶ αἱ πολυτεκνίαι γίνωνται.*

Δίδυμα δὲ γίνονται ἀφ' ἑνὸς λαγνεύματος, οὕτως. ἔχουσιν αἱ μῆτραι κόλπους συχνοὺς καὶ καμπύλους· τοὺς μὲν τηλοτέρω, τοὺς δὲ πλησιαιτέρω τοῦ αἰδοίου. καὶ τὰ πολύγονα τῶν ζώων, πλείους ἔχει κόλπους, τῶν ὀλίγα κυεόντων. ὁμοίως δὲ καὶ τὰ πρόβατα, θηρία τε καὶ ὄρνεα. ὁπόταν δὲ ἡ γονὴ τύχῃ σχισθεῖσα, εἰς δύο κόλπους ἀφικομένη, καὶ αἱ μῆτραι δέξωνται τὴν γονὴν, οἱ κόλποι τε μὴ ἕτερος πρὸς τὸν ἕτερον χαλάσῃ, ἡ χωρισθεῖσα ἐν ἑκατέρῳ κόλπῳ, C ὑμενοῦται καὶ ζωοῦται τῷ αὐτῷ τρόπῳ, ὥσπερ καὶ τὸ ἓν οὗ εἵνεκεν εἴπομεν. ὅτι δὲ ἀφ' ἑνὸς λαγνεύματος, δίδυμα γίνεται, ἱστόριον τόδε. ἐστὶ κύων, καὶ ὗς καὶ ἄλλα ζῶα, ὅσα ἀφ' ἑνὸς λαγνεύματος τίκτει καὶ δύο καὶ πλείονα, καὶ ἕκαστον τῶν ζώων, ἐν τῇσι μήτρῃσιν, ἐν κόλπῳ καὶ ὑμένι ἐστί. καὶ ταῦτα αὐτοὶ ὁρέομεν γινόμενα. καὶ ταῦτα τίκτει τῇ αὐτῇ ἡμέρῃ πάντα ὡς ἐπιτοπλεῖστον. ὧδε δὲ καὶ τῇ γυναικὶ ἀπὸ μιῆς μίξιος γινόμενα τὰ παιδία, ἑκάτερον ἐν κόλπῳ καὶ χορίῳ ἐστί. καὶ τίκτει τῇ αὐτῇ ἡμέρῃ ἀμφότερα, καὶ πρότερον θάτερον χωρέει ἔξω, καὶ τὸ χορίον αὐτοῦ. ὅτι δὲ D θῆλυ καὶ ἄρσεν δίδυμα γίνεται, φημί· ἐν τῇ γυναικὶ, καὶ ἐν τῷ ἀνδρὶ, καὶ ἐν παντὶ ζώῳ ἑκάστῳ, γονῆς ἔνι καὶ ἀσθενέστερον καὶ ἰσχυρότερον. καὶ οὐκ ἐς ἅπαξ χωρέει ἡ γονὴ, ἀλλὰ καὶ ἐς δὶς καὶ τρὶς ἀποβρασσεῖται. καὶ οὐκ ἀνυστὸν ἀεὶ ὁμοίως εἶναι πάνυ ἰσχυρὸν, τό, τε πρόσθεν ἐξιὸν, καὶ τὸ ὕστερον. ἐς ὁκότερον μὲν οὖν τῶν κόλπων τύχῃ ἡ γονὴ παχυτέρη καὶ ἰσχυροτέρη ἐσιοῦσα, κεῖθι ἄρσεν γίνεται. ἐς ὁκότερον δὲ αὖ ὑγροτέρη καὶ ἀσθενεστέρη, κεῖθι θῆλυ γίνεται. ἢν δ' ἐς ἄμφω ἰσχυρὴ εἰσέλθῃ, ἄμφω ἄρσενα γίνεται. ἢν δὲ ἀσθενὴς ἐς ἄμφω, ἄμφω θήλεα γίνεται. οὗτος ὁ λόγος ὧδε εἰρη-E μένος ἅπας, τέλος ἔχει.

GALENI LIBER AN OMNES PARTES ANIMALIS, QVOD PROCREATVR, FIANT SIMVL.

ARGVMENTVM LIBRI.

Non omnes animalis quod procreatur, partes simul fiunt, quoniam nec eo tempore vtilitas hoc requirit.

VTRVM omnes simul eius, quod fœtatur, fiant partes, vel vna aliqua priùs aliis, habet non à philosophia considerationem. Quæ quidem igitur sit pars, quæ prius consistit, ipse nouit euidenter, qui formauit eam creator. Quoniam autem non omnes consistunt simul, disces vtique ex his. Portio quædam est, & similitudo naturalibus ad artificialia. Sicut igitur in iis quæ secundum artem efficiuntur, non omnes simul perficiuntur particulæ eius, quod constituitur; sed in domo quidem fundamentum; in naui verò carina initiantur, velut elementa ipsorum quæ fiunt: ita oportet intelligere, & de partibus animalis, quia non in vno tempore proueniunt vniuersæ ad generationem. At etiam, siquidem omnis generatio via ex imperfecto ad actum perfectum, incipere oportet id, quod ducitur ex imperfecto ad perfectum, ab aliqua particula, quæ priùs aliis fit; quoniam, etiam si aliquis voluerit id asserere nuper prægnatione incipiente, inueniet tunc alias quidem particulas iam formatas, alias verò nondum figuratas. Et quid oportet dicere de his, cum videamus post partum nasci dentes, & cornua; etenim, & hæ particulæ substantiam totius, & vsum simul, & actionem præbentia, apparent tardè generari. At verò, si intentio generationis vniuscuiusque particulæ erat vsus eius, tunc vnaquæque conformabitur, quando vsus requirit. Non igitur oportet, vt, qui fœtatur A simul, quando formatur, constituatur cum omnibus eius particulis. Sed dicunt quidam, qui aiunt simul omnes generari; si nequaquam eius quod procreatur, simul, quando formatur, constituuntur omnes eius particulæ, vana erit conformatio partis, quum nullam actionem habeat; ac etiam indigent vniuersæ corporis particulæ vna alia, sicut & partes politicæ ordinationis gubernatore, & duce in militibus, & artificibus, & vniuersis subseruientibus, se inuicem coadiuuantibus, & simul commorantibus: similiter se habent corporis partes: recipit enim venter cibum, sicut pulmo aërem; sed ille quidem elaborans cibum mittit hepati, hoc autem postquam mu- B tauit cibum in sanguinem, tribuit eum cordi; id autem rursus accipiens à pulmone spiritum, distribuit secundum dignitatem vnicuique corporis particulæ cibum, & spiritum in iusta mensura. Quomodo igitur non concurrunt simul illæ, quæ indigent auxilio quod abinuicem? Quia videlicet non audiunt, quæ dicuntur à nobis ad eos. In his enim quæ completa sunt, vera sunt, quæ dicuntur, mentiuntur autem in iis, quæ nunc fœtantur: in illis enim iam vniuersæ agunt particulæ, & propterea apparent alteratæ auxilio abinuicem, par- C ticulæ verò eius, quod fœtatur, formantur quidẽ, non tamen agunt. Non igitur comparetis eas politicæ ordinationi, quando sunt otiosæ, & non agentes; perfectorum enim particulæ bene assimilatæ sunt politicæ, eorũ verò quæ in vtero continentur, incompletæ sunt actibus, & ideo non rationabiliter assimilãtur politicæ.

GALENO ASCRIPTVS LIBER DE NATVRA ET ORDINE CVIVSLIBET CORPORIS.

CAPVT I.

De Quatuor Humorum Natura.

LICET te sciam, charissime nepos, Græcis litteris eruditum ad hanc disciplinam posse pertingere, tamen ne quid tibi poscenti ad memoriam denegetur, ex libris medicis Hippocratis, intima Latina feci; quæ, quia dignus es, fideliter trado, daturus tibi aui tui patris mei librum, ex quo mundi rationẽ cognoscas, vt nosse possis quanta fuerit generis nostri sapientia. Nunc verò tibi corporis vniuscuiusque naturam, & ordinem aggrediar explicare. Corpus igitur hominis ex quatuor humoribus constat; nam habet in se sanguinem, bilem flauam, bilem nigram, & pituitam. Qui quatuor humores habitant, vel dominantur in locis suis. Sanguis dominatur in dextro latere in hepate, quod iecur vocamus; sic & bilis flaua ibidem dominatur; in sinistro verò latere, id est, in splene bilis nigra dominatur; phlegmatis autem pars alia in capite, & alia pars in vesica; alia pars sanguinis dominatur in corde. Virtus autem ipsorum talis est. Sanguis est calidus, humidus, & dulcis; bilis flaua est calida, sicca, amara, & ignea, bilis nigra est, frigida, sicca, & acida; phlegma verò est frigidum, humidum, salsum. Hęc omnia crescunt suis temporibus. Sanguis enim crescit tẽpore verno ab octauo idus Februarij vsque in octauum idus Maij, & sunt dies nonaginta duo. Bilis verò flaua æstate ab octauo idus Maij vsque in octauum idus Augusti, & sunt dies nonaginta nouem. Bilis autem nigra autumno ab octauo idus Augusti vsque in octauum idus Nouembris, & sunt dies nonaginta vnus. Phlegma verò hyeme ab octauo idus Nouembris, vsque in octauum idus Februarij, & sunt dies nonaginta tres. Hi quatuor humores hoc idem patiuntur die, ac nocte. Sanguis enim dominatur horis septem ab hora noctis nona vsque in horam diei tertiam. Exinde dominatur bilis flaua vsque in nonam diei horam. Deinde bilis nigra dominatur ex hora diei nona vsque in horam noctis tertiam. Phlegma autem dominatur ex hora noctis tertia vsque in horam noctis nonam. Hæc omnia habent emissaria sua per singulas partes corporis, sanguis per nares, bilis flaua per aures, bilis nigra per oculos, phlegma per os. Diuiduntur etiam hi quatuor humores per quatuor ætates, id est phlegma in pueris ab ineunte ætate vsque ad xiij. annos cum sanguine; exinde bilis flaua dominatur vsque in annos xxv, & exinde dominatur vsque in annos xlij. maxima pars sanguinis cum bile nigra; dominatur exinde vsque in summam ætatem plegma, sicut in pueris dominatur.

Præterea hi quatuor humores faciunt in hominibus tales mores. Sanguis facit homines iucundos, hilares, affabiles, simplices, modestos, blandos; euchymos, siue bene habitos. Bilis flaua facit homines iracundos, ingeniosos, acutos, leues, macilentos, plurimùm comedentes, & citò digerentes. Bilis nigra facit homines subdolos cum iracundia, auaros, timidos, tristes, seditiosos, inuidiosos, habentes sæpius cicatrices nigras in pedibus, vel in aliis membris. Phlegma facit homines compositos, desides, inter se cogitantes, citò ferentes canos in capite pilos, minùs audaces. Omnia ergo, quæ calidas habent virtutes in superioribus locis corporis dominantur. Pulsus autem suos hi quatuor humores habent, vel faciunt. Sanguis enim pulsus facit plenos, humidos, æquales. Bilis flaua facit pulsum tenuem, citatúmque. Bilis nigra facit pulsum plus tenuem, sed labentem, veluti percussum, & asperitatem. Phlegma facit pulsum minus plenum, humectatum, æqualem pondere. Hi humores per se esse non possunt, & in omnibus ætatibus dominantur; sed quoties ex his humoribus aliquis excreuerit, tunc facit morbum longum, & causæ veteres pro sua vetustate. Et temperantiam, & æquitatem, & æqualitatem pro corpore ætatum omnium, hi humores singulis ætatibus faciunt, quoties quisque eorum augmentum acceperit. Et tunc longum morbum facit, si imperitum medicum habuerit, aut certè negligentem, aut qui causam non intellexit, aut ex quo humore morbus ortus fuit. Equidem tunc diligens, & doctus ægrotanti potest succurrere; si verò negligens fuerit, aut non intelligens, tandiu protrahit morbum, quandiu transeat humoris ipsius tempus, & alius exterius humor augmentum accipiat, ita vt iste humor excludatur, ex quo morbus fuerat productus. Nam si causam habeat sanguinem, qui sanguis est dulcis, & calidus, & humidus, occurrendum est sic; adhibetur ei contrarium, quod sit frigidum amarum, & siccum. Si fuerit bilis flaua, quæ est calida, sicca & ignea, & acris, debet adhiberi quod sit frigidum, & humidum. Si autem bilis nigra fuerit causa, debet adhiberi, quum sit frigida, & acetosa, illud quod est calidum, & humidum, & dulce. Si ex phlegmate nata fuerit ægritudo, quum ipsum sit frigidum, salsum, & humidum, debet adhiberi quod sit dulce calidum, & siccum. Hæc quando adhibita fuerint, tunc & peritus medicus inuenitur, & æger citò ad sanitatem reuertitur. Hæc tibi pro nostri memoria, religiose nepos dedi, maiora te putans adepturum.

CAPVT II.

De Dispositione formationis Fœtus in vtero.

EXpositionem membrorum, quo ordine, vel quibus iuncturis, vel qua figura homo in vtero materno formetur, hîc docemus, exordium à capite sumentes. Maioribus enim nostris, Apollini, Hippocratisi, Apollonio, & cæteris Santonicis placuit mortuorum viscera scrutari, vt scirent vnde, vel quomodo morerentur: hoc autem nobis facere ipsa humanitas prohibet, eò quòd ipsi scrutantibus omnia manifesta, atque aperta sunt. Et quid dixerunt? Caput nostrum commissuras habet quinque angulosas se inuicem continentes, sicut summus anatomicus philosophus hîc memorans dicit; masculus in galea commissuras habet quinque; fœmina verò in circuitu commissuras habet; cui galea superposita est, quam Græci cranium appellant, quæ cohæret membranis, & superposita est cũctis, quæ habet causam decoris, scilicet, vt ab æstu, & frigore oculos custodiat. Vbi verò galea est, subiacent tempora, quæ continetur spiritualibus venis cerebri; quibus superposita sunt supercilia, vt si copiosus sudor fronti aduenerit, opposita statione pilorum contineatur, donec excussus ab oculo sudor auferatur. Oculi quoque isto schemate continentur. Ex naso cerebri foramina orta sunt duo, per quæ tenuissimæ venæ dextrâ, læuáque alterius inuicem sibi continentur. Oculi tunicæ sunt quatuor, vel quinque; prima tunica appellatur ceratoides, secunda choroides, tertia arachnoides, quarta amphiblestroides, quinta hyalloides. Supposita sunt ossa oculis, quæ malas vocamus. Dentes etiam habent viri xxxij. mulieres autem xxx. auctor Apollonius memorat, dicens, Dentes vsque ad caninos singulas habent radices; alij verò interiores, qui molares dicuntur, habent ternas, & quaternas radices. Palato lingua subiacet, quæ cooperit canalem spiritualem, quem Græci pneumaticum dicunt; quem canalem modò aperit, modò claudit; aperit enim spiritualem canalem quando loquimur, claudit autem quando manducamus. Quod probare possumus, quando forti cibo, vel potu vtimur, & currit ex supradicto cibo in spiritualem canalem aliquid, statim tussis consequitur, donec impellente spiritu illud repat, & in propria iterum reuocet. Huic linguæ dextra læuáque parte glandulæ suprapositæ; quod autem superpendet, vuula appellatur; post quam cauernæ sunt duæ, per quas fit infusio, vel raptus, quod Græci anarrophæma vocant, narésque cum supradictis cauernis inserunt, & per easdem vsque ad cerebrum tendunt. Aures verò viæ sunt auditoriæ sicut rerum natura composuit ad cerebrum, & à cerebro descendentes faciunt exhalationem. Coniungitur autem gula pulmoni. Pulmo verò in modum fabri ferrari, foliis est constitutus, alter alteri spiritum tradens, & implet pectoris concaua. Stomachus autem ventri continuus est, qui intra lobos pulmonis medium possidet. Cor verò venas habet quatuor; duas quæ spiritum continent, & duas quæ sanguinem trahunt. Quæ spititum continent, pulmoni affixæ sunt, quarum firma facta catenatione totum per corpus sanguis diffunditur, & sic venæ pulsum reddunt. Pulsus ita nutritur, modò recipit sanguinem, modò repellit. Cor verò, vt diximus, est coniunctum pulmoni; in sinistra patte dominationem tenet. Id circa positum est, quod Græci pericardium vocant, attingens extremas partes pulmonis. Sed hic positæ sunt phrenes, quas Græci diaphragma vocant; continet autem pulmonis substantiam, ventrémque, & intestina; cui iuncta sunt latera, & spina. Venter autem orificia habet duo, vnum proximum membranæ, quod Græci pericardium vocant, in sinistra inclinatum, hoc Græci stomachum vocant; aliud verò in dextra parte circa iecur positum est, extensum vsque ad longaonem, quod Græci pyloron vocant. Inde ad vtramque partem renes. Deinde verò inest foliis vesicæ. In sinistra parte positus est splen, oblongus, ventri coniunctus, continens membranas tenues, habens pinguissimas venas, quæ intestina tegunt, & calefaciunt; hoc Græci epiploum vocant, ab orbo extensum vsque ad renem sinistrum. Subiacet autem sub hoc intestinum, quod Græci colon vocant. Sub hoc autem est locus continens longaonem, qui iunctus est vesicæ habenti collum longum, quod veretro inest. Vesica verò renibus continetur media vtriusque: ex quibus renibus decurrit ad neruos, quibus testiculi pendent, quos Græci vocant cremasteres, quibus iunctæ sunt venæ tenuissimæ, quæ sperma deducunt ex cerebro; oritúrque ex spinæ medulla. Viris quoque testiculos inesse manifestum est: sed alio schemate formati sunt viris. Mulierum verò testiculi breuiores, & fragiliores sunt; nam quæ maiores habent, viragines appellantur. Igitur manifestum est vnam esse viris, & mulieribus interiorum viscerum compactam lineationem. Sed multæ sunt tunicæ testiculorum; prima εὐτρεφής, id est bene retorta; secunda περικοχλιώδης circuntorsura; tertia περίζωμα, id est circuncinctorium; quarta verò tunica tenuissima Ἄρκυς id est rete appellatur. Similiter & matrix habet subiecta membra, quibus continetur, quæ Græci γυναικεῖα, id est genitalia vocant; nam vt est masculo veretrum, ita est matrix mulieri columna. Matrix enim naturaliter fragilis, & mobilissima est, constans ex neruis, & minimis venulis, & tunicis duabus; exteriùs neruis est firma; interiùs carnosa, & mollis, quæ posita est supra intestinum rectum; cuius ceruix tribus foraminibus erigitur vsque ad longaonem. Sinistra verò est matrix, in qua sperma miscetur, quando conceptio celebratur natura volente, id est viri semine, & mulieris sanguine; quamuis & virile sperma sanguis noscatur esse. Vnde maiores nostri consanguineos appellauerunt ex consanguinitate paterna, vel materna natos. Nunc dicitur ab imperitis quo modo sperma sanguis esse potest, quum sit album? Nos tamen orta ratione probauimus. Mare enim, vt ei natura tribuit, est colore viride: quando autem in tempestatibus mouetur spumam albam emittit; veluti si vinum nigrum in quolibet vase exagitaretur, spumam candidam faceret. Simili verò ratione, & sanguinis feruor concussus in albedinem vertitur. Dum enim coitio fit, non statim formatur infans; nam si quoties coitus fit, toties conceptio fieret innumerabilis esset multitudo filiorum. Certo enim tempore mulier concipit, aut in initio purgationis, aut in fine; nam putgatio sperma corrumpit, plurimo vsu sanguinis materia superante. Temporibus certis infantem componi, atque formari in vtero materno manifestum est; omnis enim figura formatur in quadraginta diebus, aliquando in diebus triginta. Qui verò quadragesimo die formantur, nono, vel decimo mense impingente nascuntur. Manifestum est enim in vtero matetno formari. Primo enim mense iactu seminis congregatur in vmbilico, & fit rhysis, id est congregatio sanguinis. Secundo mense expressio corporis animam tribuit. Tertio mense vngulæ, atque capilli nascuntur, & motum facit infans. Ideóque & quarto mense mulieribus nauseæ fiunt, quas Græci ναυτίας nautias vocant.

Quinto

Quinto autem mense facit catharri vel incrementi signum, atque adulteria demonstrat. Sexto mense facit neruorum compositionem. Septimo mense medullam confirmat. Octauo cum pelliculis ossa confirmat. Nono verò mense maturũ mouet infantẽ. Infans verò masculus in dextra matricis continetur, fœmina verò in sinistra; nam & hæc signa præcedere solent. Quod si masculus fuerit in vtero materno dextro, robustior est; si fœmina, sinistro. Dum ergo infans in vtero matris est, oculi genibus appositi sunt. Vnde hoc probauimus? quia genua tumentia, oculi autem concaui; ideóque cognita rerum natura, ita natura imposuit genua. Et genæ quoque cum acri dolore, vel nimium percussus homo fuerit, & genua curuauerit, oculi continuò lachrymantur; non enim vult natura eos obliuisci societatem genuum. Dentes autem nostri organa sunt quodammodo linguæ. Infans verò dum dentes non habuerit, vagit; dum verò duos, vel quatuor dentes habuerit, mussitat: dum verò os dentes repleuerint, loquitur. Dentes enim nostri quos habemus, alij vocantur cynodontes, quos caninos dicimus, quos ad frangendum habemus. Dentes enim nostri ossa non sunt, nec medullam habent; ideóque omnia ossa confringunt, sed assiduo humore capitis veniente vitiantur. Sicut enim assiduus humor ex alto in nasũ veniens perforat, ita dentes vitiantur à capite.

CAPVT III.

De Febrium dignotione.

De dignoscendis febribus omnibus superiùs scriptum est; nunc illud sciendum. Scito quòd maximè iam dixi primum cognoscendas causas & origines, & species febrium; & vt sciamus, quæ sunt generales, & quæ sunt speciales, id est quæ sunt veræ, & quæ non sunt veræ; & quæ sunt erraticæ, & quæ A sunt acutæ; vel quæ sunt simplices, & quæ sunt duplices; vel quæ sunt, quæ cum aliis febribus germinatæ fiunt; & quomodo accedant, & quomodo recedant, id est qualiter moueantur, & qualiter declinent, & quibus horis, diebus, noctibus, vel quot horis paroxysmus, id est commotio teneat, vel quando faciet paracmen, id est declinationem: quidve significent, & quò ægrum ducant considerandum est: & iterum virtus ægrotantis, qualitas, & impetus ægritudinis, & quantitas; ex hoc enim vitæ mortísque indicia maximè, & ex pulsu, & consideratione vrinæ, ac genus febris præuidere poteris, si fuerit assiduus lectionis doctissimus vsus; nec non ex aliis signis, quæ noster Hippocrates in prognosticis probat; & futura ante prædicit. B Indicant enim & quasi tacitè loquuntur ægrotantis color, oculi, vultus, vox, taciturnitas, positio iacentis, schema, corporis habitudo: quæ omnia in ægris diligenter consideranda sunt, vt sciamus manifestè quid tenere, vel quid refugere debeamus, ne fortè hoc ignorantes, ægros lædamus. Addas & illud in his, vt consideres in omnibus semper ægritudinibus regionum qualitatem, positionem locorum, aëris temperantiam, temporum mutationem, ætatem, consuetudinem ægrotantis, naturam corporis, animi vigorem, causas, & originem; nec non & illud, aut animi, aut corporis vitio ægritudo nata sit, aut ne extrinsecus aduenerit ex cibo, aut potu, vel ex corruptela aëris. C Quando enim hæc omnia consideras, tunc rationem benè, & verè esse cognoueris, & optimè facies quidquid ad hæc omnia facere conueniat; quoniam tunc medici beneficia vincuntur, quando non in suo tempore adiutoria offeruntur, aut natura corporis à morbo fugata beneficia non sentit. Itaque præuidenti omnia diligenter perspicienda, & præuisis, atque cognitis causis, vt dixi, suis curis, suísque temporibus curanda.

GALENO ASCRIPTUS LIBER DE COMPAGINE MEMBRORUM, SIVE DE NATURA HUMANA.

CAPUT I.

De Cerebro.

CEREBRUM natura quidem frigidum, & humidum est, & ideo, vt facillimè ad susceptionem diuersorum conuertatur, & vt membris mouendis habilitatem præstet; & vt calido, & sicco spiritui ad caput exhalato temperiem inferat. Cuius meninx frigida est, & sicca, & densa; & intra quam sunt diuisiones tres; prima dicitur phantasia, secunda rationalis, tertia memorialis. Inter phantasiam, & rationalem est pannus quidam frigidus, & siccus, densior, eo qui diuidit inter memorialem, & rationalem, habens in se modicum tenuissimæ carnis Ex memoriali verò procedunt duo canales tenues, & humidi, vt spinalis medulla, qui penetrant per totam compaginem, & veniunt vsque ad phantasiæ cellulam, per quos possint phantasticus spiritus & rationalis commendari memoriæ, & iterum memorialis duci ad rationem, & phantasiam.

CAPUT II.

Qualiter fiat Auditus.

VNicuique auri supponitur vnum os frigidum, & siccum, & sine spiritu quidem, inferius adhærens illi tenui membranæ, quæ diuidit inter phantasiam, & rationem: quibus sunt singula foramina in obliquo facta, habentia tenue initium ab ipso panno: quæ intrinsecus habent indumentum tenuissimum, frigidum tamen & siccum, per quod dicitur animalis spiritus ab ipso interiori panno, præstans auribus virtutem audiendi. Et est audibilis qualitas calida, & humida, vt qualiscunque sonus per aëra infertur auri, atque ab humiditate suscipitur, à calore attrahatur ad cerebrum, vt sciatur qualis sit. Siccitas verò ossium ad hoc est, vt sonitus in eis æquè obseruetur secundum exteriorem euentum.

CAPUT III.

Qualiter visus oculis adueniat.

OCulorum autem tres sunt humores interiores frigidi, & humidi: primus est, vt aqua coagulata lucidissima, in qua virtus visibilis est; secundus est, vt tenue oui album; tertius, vt vitrum modicum habens citrini coloris ab ipsa. Sunt autem septem tunicæ, quarum nomina ad præsens tacemus. Dicendum autem est, quo modo visibilis qualitas adueniat oculis, & vnde. Ab ipso scilicet tenuissimo panno, qui diuidit inter phantasiam, & rationem, procedunt duo tenuissimi canales frigidi, & sicci, per quos fertur spiritus ab eodem panno ad humiditates oculorum calidus, & siccus, & tenuis; qui penetrans omnes compagines oculorum præstat eis visibilem qualitatem; quæ progrediens longiùs prope album ampliatur: vnde quæ propè sunt, largiùs videntur, quæ verò longè tenuius: quæ statim quando egreditur, si sint visibiles res, rursus reuertitur ad eosdem oculos, & præscriptis humiditatibus imprimit cognitam in se rei similitudinem; vnde producitur cerebro, & à cerebro cordi præstatur notitia. Est autem visibilis qualitas calida, & sicca; calida, vt per eam apperiat, & exeat; sicca verò, vt per eam ad præscripta loca proprios habeat reditus.

CAPUT IV.

Qualiter Odoratus naribus adueniat.

NAribus virtus odorabilis præstatur; quarum positio se habet ita. Superius osseæ sunt, & foratæ, intrinsecus inuolutæ tenuibus tunicis, frigidis tamen, & siccis, quæ principium à phantastico panno habentes, ferunt ab eodem spiritum odorabilem, qualitatem naribus præstantem. Inferius autem ab osse, cartilaginosæ, & mobiles sunt, quarum natura frigida est, & sicca; frigida est, vt prædictam virtutem intus obseruent; sicca, vt aëreum odorem naribus applicatum intus attrahant, & cerebro ad discretionem ministrent. Sunt & alia duo foramina intra cartilaginosas cauitates sita, principium à palato, & finem infra ipsas nares habentia; quibus duæ virtutes sunt, scilicet attractiua, & redditiua; quarum vnam attractiuam à superioribus habent partibus, & ideo quando attrahunt, nares deponunt; alteram verò, vt redditiuam, ab interioribus palato adhærentibus, & ideo quando reddunt, quasi replendo eleuant.

CAPUT V.

Quibus partibus gustabilem qualitatem præstent.

IN toto autem ore præstatur gustabilis qualitas gingiuis, palato, capiti gurgulionis, & linguę, sed magis omnibus linguæ, quoniam tenuissimæ carnis, & spongiosæ est, habens tenuissimum intra se humorem, qui

qui saporatis rebus intra os positis se admiscens, eodem ad se tracto, infert sibi varios sapores. Intra quos species sunt nouem, dulce, amarum, acre, salsum, pingue, acidum, asperum, austerum, & insipidum; quorum alios amicè suscipit, scilicet dulce, & pingue, & insipidum. Alios verò inuoluntariè. Gustabilis qualitas frigida, & humida est, frigida, vt obtineat; humida, vt saporum humiditatem excipiat.

CAPVT VI.

Quod qualitas Tactilis toti corpori præstetur.

TActilis facultas toti attribuitur corpori, sed maximè manibus: magnis autem harum interioribus partibus, eo quòd singulariter nerui lati, & tenues spiritum tactilem à cerebro ferentes, per medias plantas vsque ad digitos transeunt; ibíque naturaliter manentes, ea loca sensibiliora cæteris reddunt. Natura verò tactilis virtutis penè æqua est, media scilicet inter calidum, & frigidum, & siccum, & humidum; vnde calidum, & frigidum, durum, & molle, asperum, & lene, & cætera æqualiter sentit. Operationes autem cerebrum alias accidentales habet, alias naturales; accidentales verò amittit quando ab aliquo vicino membro vicissim patitur; vt in epilepsia, sensus, & intellectus, & memoria perduntur; illud verò humidum: quod per spinæ medullam dorso, & cæteris membris, & per viam consimilem linguæ naturaliter ab eodem conceditur cerebro, inter ipsas omnes angustias præstare non cessat, & non amittit humiditatem.

CAPVT VII.

Qualitas Vuulæ, & Organorum respirationis.

VVula propterea palato suspensa est, vt tenuiter consimilem linguæ humiditatem tribuat, cámque flexibilem præstet, vt cibum ori applicitum dentibus ad molendum subdat; œsophago ad inglutiendum concedat, etenim aliter inglutire non posset. Canales ad interiora ferentes duo sunt, vnus pneumaticus, quem Latini spiritualem dicunt; alter œsophagus, cui nomen Latini gulam attribuunt: spiritualis autem ipse gulæ superponitur. Quorum capita quadam tenuissima cartilagine nectuntur, vt aperto ore, quando aliquid gulæ infertur, ex ipsa cartilagine spiritualis porus constrictus quicquam ex eo suscipere non permittatur: quando verò os clauditur, eadem cartilagine œsophago constricto, spiritualis porus ad inspirandum aptus, aut apertus reddatur. Eius constitutio non arteria, vel vena continuatur, sed partibus quidem quibusdam lacertosis, & tenuibus vnitis carnibus, constituitur; quod ita factum ad hoc asseritur, vt quando pulmo dextrâ, læuáqe dilatatur ad suscipiendum aërem exteriorem, valeat ad superiora ascendere; quando verò ad expellendas superfluitates innati spiritus constringitur, facillimo motu ad inferiora descendat. Eius inferior pars pulmoni affigitur; quæ diuiditur in duos canales, quorum vnus per dextram pennam pulmonis, alter per sinistram deriuatur: quorum dexter dextræ auri cordis, sinister verò sinistræ suppositus adhæret; qui superius suscipientes frigidum, & humidum aërem aliquantulum excoquunt, & excoctum auribus cordis ministrant: ibique paulisper detentus iterum excoquitur; & sic interiori cellulæ cordis ad temperiem, & extra & citra cor intra marsupium, quo circundatur, ad euentillationem faciendam præstatur.

CAPVT VIII.

Qualitas Cordis.

COr verò in summo crassum est, & in fine acutum. Est autem spiritualium membrorum principalissimum; & naturalis caloris fundamentum; & omnibus membris corporis calidius; quia inde calor naturalis ad omnia membra viuificanda procedit, calidum enim est & siccum. De cuius interiori parte procedit arteria, quæ in simo hepatis coniungitur, per quam attrahat sibi nutritium sanguinem. Et ab exteriore alia procedit, quæ in duos diuisa canales, per vnum nutritium sanguinem, & spiritum cerebro præstat; per alium verò in multis subdiuisa canalibus, naturalem calorem simul cum sanguine per totum corpus ad ministerium naturale infundit. Marsupium quo ipsum cor tegitur duabus existit, & constat membranis, vna interiore, & altera exteriore, media tenui carne qua nectuntur. Et propterea ita à natura factum asseritur, vt sit obstaculum contra ea, quæ exteriùs cordi nocere possunt; & obseruet frigidum, & humidum aërem; qui cordi ad temperiem faciendam tribuitur, vt superiùs admonitum, aut commendatum est; cuius natura similitudinem dat, aut fert epiglottidis membranæ, quæ diuidit spiritalia membra, id est pulmonem, & cor in superiori cella manentia à nutritiis membris in inferiori degentibus: Et de eorum natura in sequenti tractabo.

CAPVT IX.

De Oesophago.

OEsophagus, per quem cibus, & potus stomacho fertur, frigidus, & siccus est. Et ex altera parte pneumatico canali supponitur velatus; ex alia verò ceruici quibusdam tenuibus musculis nectitur, in similitudinem spinosæ cameræ sublatus, quousque ad epiglottidis membranam producitur; quò penetrans ori circumplicatur stomachi, quod ipsi epiglottidi suspensum est.

CAPVT X.

Qualitas Stomachi.

STomachus autem constat ex neruis tenuibus, & longis, qui lineares, & ex transuersis, qui textiles, & ex obliquis, qui vertentes dicuntur; quorum lineares helcticen, id est attractricem, & anelcticen, id est retentricem transuersis, apocreticen verò, id est excretricem obliqui sibi vendicant facultatem. Qui intrinsecus quibusdam obteguntur membranulis trino schemate consistentibus, breui scilicet, & medio prolixiore, quibus potum, & cibum naturali calore in lacteum succum conuersum, & ita quasi remis quibusdam ad portam impingit stomachi. Quæ ideo porta dicitur, quoniam musculis in ea positis, ministerio naturali vsque ad perfectam decoctionem nutritiæ materiæ constricta clauditur; qua decocta, eisdem mitificatis aperta redditur, quousque præscriptum succum duodeno intestino infundat, quod propterea duodenum dicitur, eo quod duodecim digitis spatietur; à quo accepta vice ieiunum intestinum succum ipsum suscipiens aliquantulum decoquit. Quod in duo diuisum, alterum, quod tenue est, in mesaraicis venis sibi spongiosis capitibus inhærentibus ab ipso subtrahitur; alterum verò id est

crassum, longo & patulo, cuidam axungiæ innexo intestino conceditur; à quo monomacum suscipiens aliquantulum decoquit, & sic crasso concedit intestino, quod manica dicitur; deinde ex tali diffusum, & ibidem à bile decoctum coloratur; cuius translatione, aut titillatione per pudicum circulum foras dimittitur. Monomacum enim ideo dicitur, quia vno aperitur foramine, quod insitum est ori manicæ, vt sibi quicquid à longo accipit, sine contrarietate reddere possit: nam manica, eo quòd largum magis cæteris est nominatur. Subtilis verò pars per mesaraicas de ieiuno subtrahitur. Quæ in obliquum positæ subtractum ad se succum decoquunt; & excoctum hepaticæ summæ ministrant; quo ibidem moram faciente, adminiculo virtutis naturalis in sanguinem vertitur; qui in duas diuiditur partes, quarum quæ tenuior est, & vrina dicitur, arte conceditur hepatis; quæ per duos vrinarios canales renibus deriuatur, ibíque manens decoquitur; de qua sibi renes, quod vtilius est ad nutrimentum seruant, cæterùm verò de eisdem poris vesicæ dimittitur; quæ quum ad collum vesicæ deueniunt, coadunata ruunt. Collum autem vesicæ diuiditur quodam panno mediante, cui vritis porus ex vna parte, & ex altera superiori membranæ scimatico schemate conglutinatur; vnde vrina, & quicquid ex renibus affluit, fundo destinatur vesicæ. Per aliam vero, id est per inferiorem, cum virga quadam continuitate coniungitur, & secundum naturam, & extra naturam vesica ipsam vrinam existentem foras transmittit. Altera verò pars, quæ adicialis dicitur bilem flauam felli, melancholicum spleni transmittit, aut attribuit. Sanguinis verò, quod vtilius est, ipsum hepar sibi ad nutrimentum seruat; de quo quod tenuius est cordi, ipsum cor cerebro, vt præparatum est, ministrat. Cæterùm verò diuersis corporis partibus per quasdam venas vnicuique propriè destinatas additionem largitur diuturnam, quod bene coquentes ad similitudinem suæ naturæ à proprio esse mutantes, quod nutritium est sibi retinent; inutile autem, quum fortes sint, extrinsecus per hæc decenter expellunt, per capillos, per vngues, per aures ceratas gummas, per lachrymas, per sputa, per egestiones, per vrinas, per sudorem, & per cutis sordes.

CAPVT XI.

De Sensibus animalibus.

PEr animales quinque sensus corpus fruitur nouem voluptatibus, sibi à cerebro illatis, scilicet dilectione, odio; tristitia, gaudio; audacia, timore; verecundia, ira, & furore. Nam per visum, auditum, gustum, odoratum, & tactum, diligit vel odit, gaudet vel tristatur, audet vel timet, verecundatur vel irascitur vel furit. Quando autem aliquis per aliquem horum quinque ad alicuius amorem erigitur, cor concutitur; & eius concussione duo quidem prodeunt spiritus calidi, & sicci. Quorum vnus, qui tenuior est, cerebrum adit; alter verò, qui densior est subitò per neruos diffusus ad virgam ducitur; qui inter neruos, quibus constituitur, & membranulas, quibus inuoluitur, insiliens erigit eam, & tensione quadam eam inflexibilem reddit. Alter verò, quem cerebro adesse diximus, humidum quoddam ab ipso suscipiens, per spinalem medullam ad viam renum deducitur; per cuius duo foramina immissus, sibi substratum attingit membranulum quod calefactum penetrat. Et sicut membranulum egreditur, & penetrat, sic venarum retinaculum prædicto membranulo annexum aggreditur; ex quo tenuissimum sanguinem secum à cerebro delatum hunc miscet & per duos canales inde procedentes ad testiculos funditur, ibíque paulisper permanens excoquitur; & in lacteum, & tenacem succum conuertens, inde per geminos canales virgæ applicitos completo communi opere secum foras educit. Nam pterygomatibus, id est alis (& sunt orificia vasorum spermatis, ex quibus mulieris sperma ad fundum matricis mittitur) sugentibus, per collum matricis subtrahitur, & sic ac inferiores cellulas eiusdem destinatur.

CAPVT XII.

De Communi sapore Coitus.

SApor igitur communis huiusmodi viris in tota virga, sed maximè in præputio est, mulieribus verò circa pectinem in confinio vteri. Mulierum testiculi duo sunt, quorum vnus sub dextro rene, alter sub sinistro tenetur, qui fundo matricis coniuncti per singulos ex se procedentes, incitata venere, ad cellulas eiusdem sperma ministrant. Quod si simul cum viri spermate conueniat, vel modicum ante, vel post, prius quam prælatum frigescat, vnitur. Si verò in sinistra cellula matricis simul spermata conueniunt, fœmineum embryum generant, si verò in dextera masculinum procreant. Si verò in media, quæ secundum plus, vel minus vtriusque spermatis, aut masculinum, aut fœmininum procreant.

CAPVT XIII.

De Embryo.

OPortet autem in embryj dispositione aliquantisper immorari; & dicetur quid in vnoquoque mense à primo vsque ad nonum sibi naturaliter fiat; & qualiter à primo mense vsque ad septimum, & à septimo vsque ad nonum, si genitum fuerit, pereat; & in ipso septimo, vel nono si editum fuerit, salubre perduret. Quum ergo vtrumque sperma viri scilicet, & mulieris in matrice conuenerint, si frigidum, & humidum fuerit, omninò dissoluitur; si verò calidum, & siccum, consumptionem incurret; si autem æqualitate perfruitur, nulla impediente concipiet qualitate.

CAPVT XIV.

De Coniunctione Spermatis.

SPermate igitur vtriusque coniuncto, in specie conchulæ expanditur; & radice producta sibi superficie tenus alligatur; ex cuius calore præfati spermatis summitatibus decoctis ab ipsa diuiditur & ex sola radice, per quam nutrimentum accipit, cum ipso tenetur. Medium autem, quod infra decoctas summitates in modum nucis eminet, inter eadem spatia sanguineam glebulam quadam frigiditate constrictam primo mense obseruat, nulla alicuius similitudinis imagine in ea impressa. Secundo, in vermiculi longi scilicet, & rotundi producitur speciem. Tertio, in eo crura diuiduntur, & à lateribus brachia: collum capútque perficitur. Quarto, formatur cor, & hepar, & anima id ingreditur, & naturaliter mouetur. Quinto, omnis interior completur compositio, intestina scilicet quadam dispositione formantur; digiti manuum, pedúmque scinduntur; aures, nares os, veretrum, & ipse pudicus formatur circulus. Sexto, oculi scinduntur, supercilia formantur, palpebræ crescunt, capilli, & vngulæ producuntur. Septimo, fiunt axungiæ, & caro perficitur; cutis, & omnis humiditas secundum diuersas vasculorum compositiones constituitur;

tuitur; & completis secundum naturalem dispositionem omnibus, laborat, vt exeat; matrix autem nititur, vt obtineat, & vt calore, quæ cōpleta sunt, confirmet, & muniat; si verò debilis est, concedit ei vt exeat. & durat, eò quòd naturaliter completum est; si autem matricis natura fortis est, nititur, vt id retineat. octauo, embryo expugnato exitu non sibi concesso, fatigatus quiescit. In nono, matricis calore iam firmato, & crassitie confecto natura concedente, patet ei aditus, & exire permittitur.

CAPVT XV.

De Ætate Planetarum in Embryone.

HAbent autem septem planetæ aliquid in compositione embryonis speciale. Saturnus quidem frigidus, & siccus, sua frigiditate primo mense spermati grauitatem, & sua siccitate compaginem parat; & ideo non crescit embryo, sed à suo calore in sanguinem commutatus sine augmento permanet. Secundo, Iuppiter calidus, & humidus, calefaciendo confortans, & humectando replens, in longi, & rotundi vermiculi speciem sperma producit. Tertio, Mars calidus, & siccus, calore roborans, & siccitate incidens, crura diuidit; à lateribus brachia separat, collum, & caput informat. Quarto, Sol minùs Marte calidus, & siccus, & animam, & cor, & hepar creat, & cerebrum; & creatis animam ingerens, naturaliter embryoni motum præstat. Quinto, Venus frigida, & humida, omnia interiora format, aures, nares, os, virgam, & pudicum circulum format, pedum, & manuum digitos diuidit. Sexto, Mercurius secundum calidum, & humidum frigidum, & siccum æquus, in quo manualis habetur scientia; & ponit supercilia, oculos scindit, palpebras crescere facit, capillos; & vngulas producit. Septimo Luna frigida, & humida, replens axungias, carnem, & superficiem complet; venis, & arteriis humiditatem tribuens, toti corpori nutrimentum præstat; & quia omnia perfecta sunt, si prægnans parturiet; salubriter perdurat; sed quoniam adhuc in eo sunt membra non bene firmata indiget alio tempore ad id operis explendum. In octauo, Saturnus iterata vice similiter refrigerando embryonem, matrici grauitatem infert; suáque siccitate humores extenuans, embryoni nutrimentum parcius tribuit; & propterea ægrè prægnantes in hac tenuitate existunt. Nono autem, Iuppiter calefaciendo frigida, & replendo tenuia, embryonem corroborat, & matricis aperit aditus, & sic exitus omnibus naturaliter perfectis conceditur. A primo autem mense vsque ad septimum si genitus fuerit, non perdurat, eo quòd naturaliter imperfectus habetur; à septimo vsque ad perfectum nonum, quamuis natura perfectus sit, tamen si generetur non subsistit; quia Saturni perfrigeratione stupidus, & eius siccitate minori nutrimento afflictus, vel obstrictus, corrupta matricis natura calore materno exustus, si excussus fuerit, dissoluitur. Solet autem non omnibus membris perfectus, vt in pluribus apparet, embryo generari; plerumque verò crasso capite, & tenui collo, vel magnis pedibus, & subtilibus cruribus, pedibus genibus applicatis, aut manuum singulis, vel duobus digitis perditis, hac luce perfrui. Sed hoc dupliciter in embryonis compositione contingit; aut enim natura æquam habet materiam, & redarguētem spiritum, & secundum horum duorum æquitatem, moderatè, vel perfectè informat; aut abundantia materiæ, & spiritu moderato, eidem materiei abundantiam alicui addit membro, ex qua nascitur maius cæteris; vel ampliato spiritu, & materia imminuta, aut ex parte membra attenuat, aut ex toto non dimittit procreari: & hæc omnia, aut æquitate vtriusque materiei scilicet, & spiritus natura perficit, aut augmentatione horum vnius. Solet etiam in generatione quibusdam viris illud muliebre, & quibusdam fœminis illud virile, quo luxuriatur, adiici; sed illud impedita, vel oblita natura sic perficitur. Nam quando aliquo euentu impeditur, vel obliuiscitur illud materiei humidum superfluum, quod ad naturalem, vel ad numerum alicuius membri solet disponere, ad alterius naturæ membrum sine ratione mutat.

ΓΑΛΗΝΟΥ ΕΙ ΖΩΟΝ ΤΟ ΚΑΤΑ ΓΑΣΤΡΟΣ.

GALENI LIBER FALSO ASCRIPTVS AN ANIMAL SIT ID, QVOD IN VTERO EST.

ΠΡΟΚΕΙΜΕΝΟΝ ΒΙΒΛΙΟΥ.

Τὸ ἔμβρυον κἂν τῇ γαστρὶ προσερριζόμενον, τῆς φύσεώς τε καὶ τῆς ψυχῆς μετέχειν, καὶ πάντῃ ζῶον εἶναι.

ARGVMENTVM LIBRI.

Fœtum, tametsi vtero radicitus inhæserit, naturæ & animæ participem, ac omninò animal esse.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐστι τὸ ζῶον, καὶ ὅτι ζῶόν ἐστιν ὁ κόσμος.

ΟΠΕΡ φυσικοῖς καὶ πᾶσι φιλοσόφοις παρέχει μέχρι τῆς τήμερον περὶ τῆς τοῦ παντὸς φύσεως ζήτησιν, τοῦτο τοῖς Ἀσκληπιάδου, καὶ τοῖς τούτων ἐγγόνοις ἡ τοῦ γινομένου καὶ συνισταμένου βρέφους ἐν μήτρᾳ ἀμφίβολος ἔννοια. ὡς γὰρ οἱ τοῦ ὅλου ἔρευναν ποιούμενοι, οὐδὲν σαφῶς ἀφείσαντο πότερον ζῶον ἢ μή, τὸν αὐτὸν τρόπον καὶ οἱ τῆς τέχνης τῆς ἰατρικῆς προεστάμενοι, ἀόριστον τὸν ὑπὲρ τοῦ φυομένου παιδίου παρέδοσαν λόγον. ὡς οὖν δυσκόλου καὶ δυσκαταλήπτου καὶ μήπω στάσιν εἰληφότος πράγματος, τῶν εἰς αὐτὸ ῥηθέντων ποιήσασθαι χρὴ κοινὴν ἀκρόασιν. ὅ, τε γὰρ λέγων ἐγώ, ὑμεῖς τε οἱ κριταί, φύσεως ἀνθρωπίνης κατὰ τὸν Σωκράτην λελόγχαμεν, διόπερ μᾶλλον ἀγαπᾷν χρὴ τὰ λεγόμενα, ἢ παρὰ τὸ προσῆκον ἐπιζητεῖν. τὰ γὰρ ὑπεράνω τοῦ προκειμένου, καὶ πρῶτος Θεὸς οἶδε, καὶ ὁ τούτου συνοπαδός, καὶ ἀνδρῶν, ὃς ἂν ἐκείνῳ φίλος ᾖ κατὰ Πλάτωνα. ἔστω δὴ φιλία τε ἅμα καὶ μὴ φθόνος ἢ ὕβρις ὑπὸ τῶν τὰ τοιαῦτα πειρωμένων, οὕτω γὰρ ἂν ἡμεῖς τε φιλικώτερον προΐοιμεν εἰς τὰ τοιαῦτα χωρία, ὑμεῖς δ' ἕξετε τὴν διὰ παντὸς εἰς πάντα αἰώνιον εὔνοιαν, καὶ τὴν πρὸς τὸ ὁμόφυλον ἀνεπίφθονον ἀρετήν. ἀλλὰ γὰρ ὥσπερ περὶ σμικροῦ κόσμου τοῦ ἀνθρώπου μέλλοντες λέγειν, τὴν ἀρχὴν ἀπὸ τοῦ

CAPVT I.

Quid sit animal, & quòd mundus animal sit.

QVOD physicis omnibúsque philosophis quæstionem de natura vniuersitatis præbet in hunc vsque diem, id Asclepiadis sectatoribus horúmque posteris est incerta de infante, qui in vtero fit constituitúrque, sententia. Vt enim qui de vniuersitate scrutati sunt vtrum animal sit, nécne, nihil apertè definiuerunt: sic artis medicæ principes de puero qui nascitur, incertam reliquere doctrinam. Quum igitur res difficilis, nec perceptu facilis, neque dum stabilita sit, iis, quæ de ea dicta sunt, communem præbere auditum oportet. Ego enim qui dico, vósque qui iudices estis, naturam humanam secundum Socratem sortiti sumus; quapropter oportet iis, quæ dicuntur, potiùs esse contentos, quàm plus iusto etiam quærere. Quę enim propositā rem superant, Deus ipse primus nouit, Deíque assecla, & qui ipsi, vt inquit Plato, amicus homo est. Porrò amor sit, absítque simul inuidia, vel conuitium ab iis, qui talia conantur; sic enim nos quidem amantius ad locos huiusmodi progrediemur; vos verò perpetuò beneuolentiā in omnia secula habebitis, ipsámque in eiusdē generis rē non inuidā virtutē. Sed enim de homine, quasi de paruo mundo, dicturi, initiū à magno

magno, cuius veluti fœnora ac partes sumus, faciemus; præparata verò apud nos huius natura, perspicua magis humana fiet cōstitutio. Hoc ipsū sanè priùs, quid mundus sit, definiemus: facillimè enim quum definitio totum significet, vniuersi substantia constituetur. Sed antè quàm hæc posita sit, quid sit animal, dicamus, vt præmissa propositæ rei definitione, ipsius vniuersi naturæ perspicua semina sint. Animal igitur substantia est animæ particeps, & sensitiua, quod genere de omnibus, quæ sub ipso sunt, simpliciter dicitur. Quoad igitur tale dicatur, omnia in se complectens habet; quum verò id, quod speciem efficit, adiectum cuique sit, tum genus, vt differat, effectum est, in species diuisum. Videamus igitur num mundus animal sit, ac num primùm quidem genitus sit, deinde verò integram naturam assumpserit. Mundus igitur ex cœlo terráque ac mediis naturis aqua & aëre coagmentatio est, habénsque per omnia hæc principem, ac primogenitum diffusum spiritum, quem philosophorum soboles, aut animam, aut vnitatem, aut atomum, id est, *indiuiduum corpus*, aut ignem, aut communi eo genere nomine spiritum primum vocat. Hæc quidem ante fuerunt, quàm cognomē hoc assumerent; sed tunc confusi erant, & inter se differentia, & (vt quidam dicunt) materia nominabātur: nunc verò mundus, propterea quòd aptè ordinatímque, ac veluti in consonantia, atque ornatu, fieri motum ipsum efficiat: immobiles enim esse putabo, similésque lapidibus eos, qui ipsum hoc vniuersum immobile dicunt. Mundus igitur ex integris integer concinnatus est, atque ex perfectis perfectus, & ex absolutis absolutus: fuítque & erit animal, quod mouetur. Sed tum quidem satam vim ipsiúsque vniuersi rationem habentem possidebat: discretus verò atque è tenebris prodiens insitam seminum virtutem patefecit, hîc quidem se terram ostendens, illic aquam, vbi verò ignem cum aëre sese quacunque porrexit incrementi modo, atque elementorum naturâ, ipsum vniuersum Sole ac Luna quasi oculis illuminans, & luce horum claróque splendore motui cuique dux effectus: etenim ei commixtus est, & sic ab initio genito, & in natura prima constituto: nam & primum animal, & spirans, & intelligens mundus hic, & tunc erat, & nunc apparet. Quemadmodum igitur audax nemo eum animal tum esse negaret, cum effingebatur (integrum enim ex integris, perfectúmque ex perfectis, ipsum demonstrauimus: quomodo enim integra præberet, ni integer esset?) sic, quod in vtero est, animal esse quispiam non negaret: sicut ærarium, aut ferrarium fabrum, aut statuarium, aut nauium fabricatorem, aut alium id genus quempiam, nihil ex operibus suis perfectum præbere, aut integrum diceres, quum quidpiam deest, aut statuæ manus pésve, aut cuspis gladio, aut naui clauus: quod verò nulla in re mutilum est, partibúsque omnibus æquatum, cum nihil deficit, id perfectum est; sic & mundus, & quod in vtero est, nunquam perfecti rationem habuisset, nisi, quum primùm essentiam acceperunt, tum ipsius vniuersi substantiam accepissent.

A μεγάλου ποιησόμεθα, οὗπερ δὴ δάνεισμα καὶ μόρια ὑπάρχομεν. προκατασκευασθείσης δὲ παρ' ἡμῖν τῆς περὶ τούτου φύσεως, εὐδηλοτέρα ἡ ἀνθρωπεία γενήσεται σύστασις. περὶ αὐτοῦ δὴ πρότερον τοῦ, ὅτι ποτ' ἐστὶν ὁ κόσμος, ὁρισόμεθα. συστήσεται γὰρ ῥᾷστα ἡ οὐσία τοῦ ὅλου ὅρου τὸ πᾶν σημαίνοντος. περὶ δὲ τῆς ὑπάρξεως αὐτοῦ τί ἐστι ζῷον εἴπωμεν, ἵνα τοῦ ὅρου τοῦ προκειμένου ἐπαγγελλομένου, φανῇ τὰ τῆς φύσεως τοῦ παντὸς σπέρματος. ζῷον τοίνυν ἐστὶν οὐσία ἔμψυχος αἰσθητικὴ τῷ γένει πάντων τῶν ὑπ' αὐτοῦ κατηγορουμένων. μέχρι μὲν οὖν ἁπλῶς τοιοῦτον λέγηται ἄν, B πάντα περιλαβὼν ἐν ἑαυτῷ ἔχει. ἐπειδὰν δὲ τὸ εἰδοποιοῦν ἑκάστῳ προστεθῇ, τὸ διαφέρον ἐδείχθη γένος, εἰς εἴδη μεριζόμενον. ἴδωμεν οὖν εἰ ζῷόν ἐστιν ὁ κόσμος, καὶ εἴ γε τὴν ἀρχὴν ἐγένετο εἶτ' αὖ πάλιν τὴν ὁλόκληρον ἐπεῖχε φύσιν. κόσμος τοίνυν ἐστίν, σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν μεταξὺ φύσεων καὶ ὕδατος, καὶ ἀέρος, καὶ τὸ διῆκον ἔχον διὰ πάντων αὐτῶν ἀρχηγὸν, καὶ πρωτόγονον πνεῦμα, ὅπερ καλοῦσι παῖδες φιλοσόφων, ἢ ψυχήν, ἢ μονάδα, ἢ ἄτομον, ἢ πῦρ, ἢ ὁμωνύμως τῷ γένει πνεῦμα τὸ πρῶτον. ταῦτα δὲ ἦν μὲν καὶ C πρὸ τούτων ταύτην ἔχειν τὴν ἐπωνυμίαν, ἀλλὰ τό τε μὲν ἄκριτα ἦν ἀδιάλλακτα, καὶ ὥς φασί τινες ὕλην εἶχε τοὔνομα, κόσμον δὲ νῦν, διὰ τὸ ποιεῖν εὐμελῶς καὶ εὐτάκτως, καὶ ὡς ἂν ἐν ῥυθμῷ, καὶ κόσμῳ ποιεῖσθαι τὴν κίνησιν. ἀκινήτοις γὰρ ἡγήσομαι εἶναι, καὶ λίθοις παραπλησίους, τοὺς ἀκίνητον τοῦτο λέγοντας τὸ πᾶν. ἐξ ὅλων μὲν οὖν ὁ κόσμος ὅλος ἥρμοσται· καὶ ἐκ τελείων τέλειος καὶ ἐξ αὐτοτελῶν, ἀνενδεής· καὶ ἦν καὶ ἔσται κινούμενον ζῷον. ἀλλὰ τό τε μὲν ἐσπαρμένην, καὶ τὴν τοῦ παντὸς ἔχουσαν λόγου δύναμιν ἐκέκτητο. διακριθεὶς δέ, καὶ τοῦ σκότους προελθών, τὴν οἰκείαν τῶν D σπερμάτων ἀρετὴν ἔδειξεν. ἔνθα μέν, γῆ φαινόμενος, ἔνθα δ' ὕδωρ. ὅπου δὲ πῦρ σὺν ἀέρι ἐκτεινόμενος, πανταχοῦ τῷ τῆς αὐξήσεως τρόπῳ, τῇ τῶν στοιχείων φύσει φωτίζων τὸ ὅλον, ὡς ὀφθαλμοῖς, ἡλίῳ καὶ σελήνῃ, καὶ τῇ τούτων διαυγείᾳ, καὶ λαμπρᾷ στιλπνότητι, κινήσει πάσῃ ὁδηγὸς γενόμενος. συνεκκέκραται γὰρ αὐτῷ, καὶ οὕτως ἐξ ἀρχῆς ἐπιγινομένῳ, καὶ τὴν πρώτην συνισταμένῳ φύσιν. ζῷόν τε γὰρ πρῶτον καὶ ἔμπνουν τε, καὶ ἔννουν ὅδε ὁ κόσμος, καὶ τό τε ἦν καὶ νῦν φαίνεται. ὥσπερ οὖν οὐκ ἄν τις τολμήσας εἴποι μὴ ζῷον αὐτὸν ἡνίκα ἐκυΐσκετο, ἀπεδείξαμεν γὰρ ὡς ἐξ ὅλων, ὅλος, E καὶ ὡς ἐκ τελείων, τέλειος. πῶς γὰρ ἂν ὁλοτελῆ παρείχετο μὴ ὢν ὅλως; οὕτω καὶ τὸ κατὰ γαστρὸς μὴ ζῷον εἴποι τις ἄν, ὃν περ τρόπον ὁ χαλκουργὸς, ἢ ὁ σιδηρεὺς, ἢ ὁ ἀνδριαντουργὸς, ἢ ὁ ναυπηγὸς, ἢ τις τῶν ὁμοίων οὐκ ἂν λέγοιτο τέλειόν τι τῶν ἐξ αὐτοῦ, καὶ ὁλόκληρον παρεσχηκέναι, ἐλλείποντός τινος; ἢ τῷ ἀνδριάντι χειρὸς, ἢ ποδὸς, ἢ τῇ μαχαίρᾳ τῆς ἀκμῆς, ἢ τῷ σκάφει τοῦ πηδαλίου· τὸ δ' ἀνελλιπὲς, καὶ τοῖς ἅπασιν ἀπηρτισμένον, ἡνίκα λείπει μηδὲν, τέλειόν ἐστιν; κατὰ τὸν αὐτὸν τρόπον, καὶ ὁ κόσμος, καὶ τὸ κατὰ γαστρὸς, οὐκ ἄν ποτε τὸν τέλειον ἔπασχε λόγον, εἰ μὴ τό τε, ὅτε F πρῶτον τὸ εἶναι μεταλαμβάνων τὴν τοῦ παντὸς ἀνεδέξατο οὐσίαν.

A

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τὸ κατὰ γαστρὸς ζῶον λέγεσθαι· ἐπὶ ὁμοιότητος τοῦ κόσμου τε καὶ κατὰ τὸν Ἱπποκράτην.

Ἀλλὰ καὶ ὅτι ἦν ὁ κόσμος ζῶον, καὶ διὰ τοῦτο καὶ νῦν ἐστιν εἰρηκότες, ἐπὶ τὸν περὶ ἀνθρώπου, τοῦ μετ' αὐτὸν κόσμον δευτέρου, μετέλθωμεν λόγον. προδιωρισμένον ἡμῖν ἐστι ζῶον, καὶ ἐξ ὧν μὲν, ὅτι τὴν τοῦ ζώου παρείχετο χρείαν, ὅτε ἦν καὶ ἐν τῇ μήτρᾳ τὸ παιδίον, εἰρηκότος γε δὴ καὶ προθεσπίζοντος καὶ προκηρύττοντος, οἷα ἐκ δελφικοῦ τρίποδος B τοῦ τῶν Ἀσκληπιαδῶν Ἱπποκράτους. τὴν γὰρ πρώτην καταβολὴν αὐτοῦ, καὶ οἱονεὶ ζωότητα συνίστησιν ἀπὸ τῶν ὅλων. εἰδὼς μὴ ἄλλως δυνήσεσθαι τὸ ἀποτελὲς παρέχειν, εἰ μὴ τὴν ἀπὸ τῶν τελείων ζωογονίαν λάβοι. ἔρχεται μὲν ὁ γόνος, φησὶν, ἀπὸ παντὸς τοῦ σώματος, καὶ ἀπὸ μὲν τῶν ὑγιεινῶν, ὑγιεινός· ἀπὸ δὲ τῶν νοσερῶν, νοσερός. ἀπὸ παντὸς εἶπε μέρους, καὶ ὅλον ἐξ ὅλου· καὶ τοσοῦτον ἐνεδέησε τοῦ μὴ ζῶον εἰπεῖν, ὥστε καὶ ἀπελύσατο τὰ ἐγκλήματα τοῦ φήσοντος ἂν πρὸς αὐτὸν τὰ ἀνάπηρα μὴ εἶναι τέλειον. βουλόμενος γὰρ μὴ ἀμφιβάλλειν, ζῶον ἔφη. τοὺς μὲν ὑγιεινοὺς ἔχοντας τὸ πᾶν ἀνενδεὲς, εἰς C ἀρτιότητα τὸ σπέρμα καταβάλλεται. τοὺς κεκωλυμένους δὲ ἐλλείψει τοῦτο. οὐ τὴν ἀπορίαν οὐκ ἔχει. πῶς γὰρ αὐτὸ μὴ ὂν, ἐν γενέσει ὑγιὲς ἂν γένοιτο. μόνου γὰρ τοῦ ὄντος μὲν, οὐδέπω δὲ γινομένου. ὑγιοῦς δὲ δυνάμει ὄντος, καὶ διὰ τοῦτο γένεσιν ἐπιδεχομένου. τῶν γὰρ οὐκ ὄντων ἐμφανῶς, τὰ μὲν οὕτω γέγονεν, τὰ δὲ δύναται. ὥσπερ καὶ τὸ οὐδέτερον σπέρμα. τὸ μὲν δύνασθαι ζῶον γενέσθαι, ἔχει δέ ποτε καὶ ἐνεργείᾳ, ἡνίκα ἀντ' ἀνθρώπου παρέχηται. τὰ δὲ οὔτ' ἐστὶν, οὔτε δύναται γενέσθαι, οὔτε λόγον ἔχει. ὥσπερ αὐτὸ φύσει μὴ ὄν. τοῦτο γὰρ οὔτε τὸν τοῦ ὄντος, οὔτε τὸν τοῦ γενησομένου δέχεται λόγον. ὀρ- D θῶς τοίνυν κατὰ τὸν Ἱπποκράτην ζῶον αὐτὸ κατὰ γαστρὸς λέγοιτο, καὶ τοῦ σπείραντος αὐτὸ ἐξ ὅλων, καὶ τὴν ὅλου παρέχοντος δύναμιν. οὐ μόνον δὲ ὅτι ἀπὸ παντὸς, καὶ ὅτι ζῶον ἐδήλωσεν, ἀλλ' ἔδειξεν ἐπὶ ποσότητος, ὅτι τὰς τοῦ παντὸς ἀρχὰς ἔχει, καὶ δύναται τὰ ὅμοια τῶν ἀφ' ὧν τὴν ῥίζαν ἔσχεν, λέγων· δίδυμα γὰρ μὲν ὑφ' ἑνὸς λαγνεύματος. ἔχουσι δὲ κόλπους καὶ γόμφους αἱ μῆτραι. ἐνταῦθα γὰρ σαφῶς νοεῖν ἔνεστι δύναμιν τοῦ τὸ καταβληθὲν εἰς τὴν μήτραν σπέρμα, ὅπερ ἦν ζώου φύσις. ὀλίγον γὰρ ὂν τῷ πλήθει πολὺ τῇ δυνάμει γίνεται. καὶ E δείκνυσι τὴν ἀρχηγὸν αἴτιον, καὶ τὴν τῆς ζωότητος οὐσίαν. καὶ ὥσπερ τὸ ἐν τοῖς πυρίταις πῦρ, καὶ τὸ ἐν τιτάνῳ συνεσπαρμένον, οὐκ ἄν τις φήσει μὴ εἶναι πῦρ, ὅτι μὴ καίει. γίνεται γὰρ ἐνεργείᾳ τότε καὶ τὸ πῦρ, ἡνίκα ἂν ὕλης λάβηται, καὶ τῆς ἔξωθεν ἀπὸ τοῦ παντὸς εἰσπνοῆς. οὕτω καὶ τὸ καταβληθὲν εἰς τὰς γυναῖκας σπέρμα, ἀληθεύσει τις ζῶον εἶναι λέγων. καὶ γὰρ τοῦτο δυνάμει μέν ἐστι ζῶον ἤδη· γίνεται δὲ καὶ ἐνεργείᾳ, ἡνίκα προελθὸν ἔξω τῆς μήτρας ἑαυτὸ συνάψει τῷ τὴν ἀρχὴν παρεσχηκότι. μόριον γὰρ καὶ ἀπόσπασμα ὂν τοῦ μεγάλου ζώου τοῦ κόσμου, μένον μὲν ἐν μυχοῖς καὶ φωλεῦον, συγκρίσεως ἐπέχει λόγον, διακριθὲν δὲ καὶ γενόμενον ἔξω τούτου τοῦ βάθους οἷα χάους, ἀσπά- F ζεται τὴν ὁμόφυλον καὶ ὁμοίαν φύσιν ταῖς τῆς ἐνεργείας πράξεσιν· κινεῖσθαι γὰρ ταῖς ἐξ αὐτοῦ κινήσεσιν ἄρχεται. καὶ τὰ φωσφόρα ὄμματα τείνει διὰ παντὸς τοῦ ἡλίου καὶ σελήνης, μιμούμενον φύσιν καὶ τὴν νοῦν ἵστησι τῇ πρὸς τὸ ὅμοιον ἀπεικαζόμενον φορᾷ.

CAPVT II.

Quod in vtero est animal dici, mundi similitudine & Hippocratis sententia.

SEd mundum fuisse animal & propter hanc causam nunc quoque esse quum dixerimus, de homine qui post ipsum mundum secundus est, dicamus. Ante à nobis definitum animal est, quibus de causis quum in vtero puer esset, animalis vsum præberet, dicente ac veluti ex delphico tripode prædiuinante ac prædicante Hippocrate è genere Asclepiadarum; eius enim constitutionem primam ac veluti animalitatem ex integris constituit, quum non aliter ipsum absolutum præbere posse videret, nisi ab ipsis perfectis animal generari acciperet. *Decidit*, inquit, *ab omni corporis parte semen, à salubris salubre, à morbosis verò morbosum.* Ab omni parte, dixit, totum à toto: tantúmque absuit ne animal diceret, vt dicentis contra ipsum quæ mutilata sunt non esse perfecta, crimina soluerit: quum enim nollet dubitari quin animal sit, dixit salubria quidem corpora ipsum vniuersum sic vt nihil desit habentia, integrum semen deponere: impedita verò, cum defectu. Quod difficultatem non habet: quomodo enim, cum ipsum non sit, in generatione sanum fieri poterit? hoc enim vnius eius est, quod ipsum quidem est, nondum verò genitum, sanum autem potentia, ac eam ob causam generationem suscipit. Etenim eorũ, quæ manifestè non sunt, alia sic genita sunt, alia verò possunt: quemadmodum neutrum quoque accidit: itémque semen aliud, vt animal fieri possit habet, tunc verò actu est, quum pro homine præbeatur; aliud verò neque est, neque fieri potest, neque rationem habet, tanquam id ipsum natura non sit: hoc enim neque eius quod est, neque eius quod futurum est, rationem suscipit. Rectè igitur secundum Hippocratem id quod in vtero est, animal dicetur, & ipsum qui ex totis seminat, & vim totius ei præbet. Non solum verò id & ex ipso vniuerso & animal esse declarauit, sed etiam in numero ostendit principia ipsius habere vniuersi, similémque potestatem eorum, è quibus radicem habet, cum inquit: *Gemini ex vnico concubitu fiunt: sinus verò & claustra vteri habent.* Hîc enim apertè intelligere licet hanc vim in vterum semen immissum habere, quòd natura animalis erat: quum enim paruæ molis sit, multum potentiâ fit, & principem causam ostendit, ipsámque animalitatis substantiã. Ac quemadmodum qui in silice aut in calce ignis insitus est, hunc nemo ignem idcirco esse negaret, quia non vrit (tunc enim ignis actu fit, cum materiæ aliquid assumit, & ab ipso vniuerso extrinsecus venientis inspirationis) sic quod in mulieres iniectum semen est, id animal esse verè quispiam dicet: etenim ipsum iam potentia animal est: actu verò tum fit, quum ab vtero prodiens se ipsum coniungit ei quod principium præbuit. Quum enim pars & diuulsum membrum magni animalis, hoc est mundi, sit dum in sinibus conditum est ac latitat, miscellæ rationem retinet: ab hoc autem separatum profundo, quod tanquam chaos est, atque erutum, cognatam similémque naturam ipsis operationibus amplectitur: nam ex se moueri incipit, luciferósque oculos perpetuò, Solis Lunæque naturam imitans, tendit.

CAPVT

CAPVT III.

Animal quod in vtero est naturæ opera edere.

VT igitur immeritò quidam, quod in vtero est animal esse negarūt, ex iis quæ dicta sunt coniectari licet: quæ verò & qualia animal faciat, nunc dicam. Cum igitur animal ab anima, & à natura regatur, itémque nutrimento & spiritu (nutritur enim anima spiritu, humidis verò siccisque nutrimentis natura,) omnibus his quod in vtero est, administrationibus vtens reperiemus, & quæ ad motū animæ attinent, & quæ ad naturæ incrementum. Nam deuorat: & (vt Hippocrati videtur) spirat, ore enim nasóque respirationem desuper fieri scribit: ipsúmque ex Asclepiadis quidam sugere, quæ in vtero sunt, cotylidonas, ac coquere dicunt, siquidem ea quæ deuorata sunt, coctio necessariò sequitur, etsi quàm maximè iā cōfectum ab vtero nutrimentum assumat: apponi verò id, nisi natura suscipiat, non potest: neque assimilari antequam necessariò nutrientem rem ei quæ nutritur, pueri natura assimilet: ac tum opera naturæ præbet, ac recipit, & ad secretionem promptum est, & ad id quod alienum est separandum: hanc enim ob rem bilis, & humores omnes secreto nutrimento fiunt: nō enim ab ea solùm quæ per vmbilicum ad portas in iecur è secundis fertur materia, nutriri putatur, etenim per has quoque vias alitur, maximè verò per eas quæ perfectiores sunt: ac per quascunque defertur, nutrimento fruitur. Neque enim putabis Hippocratē dicentem, *quod antiquius est nutrimentum per abdomen, qua vmbilicus est, inuehi*, ignorasse num id ore nutriatur: etenim de hac quoque via locutus est, vt ante propositum est. Quod verò in vtero ore nutrimentum sumat, testis est post partum protinus mammæ appetitio: neque enim, nisi antea huic viæ assuetus esset, tam citò ad mammam ferretur. In vapores verò & spiritus secretum nutrimentum fundit facileque singulis partibus apponit: mutátque id quod è semine est, in humores: quod ex humoribus, in carnes venásque & neruos, ac arterias & ossa, visceráque & adipem: itémque quod è pauco est, in multum, & quod paruum est, magnum fit, ipsum ad proprios vsque incrementi terminos extendente, terminantéque augendi virtute.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τὸ κατὰ γαστρὸς ζῶον, τὰ τῆς φύσεως ἔργα παρέχειν.

Ὡς μὲν οὖν ἀπεικότως τινὲς εἶπον οὐ ζῶον τὸ κατὰ γαστρὸς, ἐκ τῶν εἰρημένων τεκμήρασθαι. ὅσα δὲ καὶ ποῖα ζῶον ποιεῖ, νῦν φράσω. τῷ γοῦν ζώῳ διοικουμένῳ ὑπὸ ψυχῆς τε καὶ φύσεως καὶ τροφῆς καὶ πνεύματος (τρέφεται μὲν γὰρ ψυχὴ πνεύματι, τροφαῖς δὲ ὑγραῖς καὶ ξηραῖς ἡ φύσις) εὑρεθήσεται δὲ καὶ τὸ ἐν τῇ μήτρᾳ πάσαις ταῖς οἰκονομίαις χρώμενον. καὶ ταῖς πρὸς τὰς τῆς ψυχῆς κινήσεσι, καὶ ταῖς πρὸς τὴν τῆς φύσεως αὔξησιν. καταπίνει τε γὰρ, καὶ ὡς Ἱπποκράτει δοκεῖ διά τε γὰρ στόματι καὶ τῇ ῥινὶ τὴν πνοὴν ἄνωθεν ποιεῖσθαί φησι. τινὲς δὲ καὶ τῶν Ἀσκληπιαδῶν, καὶ θηλάζειν αὐτὸ τὰς ἐν τῇ μήτρᾳ κοτυληδόνας λέγουσί τε καὶ πέττειν, ἕπεσθαι γὰρ ἀνάγκη τοῖς καταποθεῖσι καὶ πέψις, κἂν ὅτι μάλιστα κατειργασμένην ἤδη παρὰ τῆς μήτρας λαμβάνῃ τὴν τροφήν. προστεθῆναι δὲ χωρὶς τῆς δεξαμένης αὐτὸ φύσεως, οὐκ αὖ δυνατὸν οὐδὲ ὁμοιωθῆναι πρότερον. εἰ μὴ ἐξ ἀνάγκης τῷ τρεφομένῳ τὸ τρέφον τῆς τοῦ παιδὸς φύσεως τὴν ὁμοίωσιν ἐργαζομένης. καὶ τὸ περὶ τὰ ἔργα τῆς φύσεως παρέχειν, καὶ ἀναλαμβάνειν. καὶ ἕτοιμον πρὸς διάκρισιν, καὶ διακρίνειν τὸ ἀλλότριον. τοῦτο γὰρ χολαί τε οἱ σύμπαντες χυμοὶ διακριθείσης τῆς τροφῆς γίνονται. μὴ γὰρ δὴ μόνον τὴν διὰ πυλῶν εἰς ἧπαρ διὰ τοῦ ὀμφαλοῦ φερομένην ἐκ τῶν ἐμβρύων ὕλην τρέφειν νομίζετε. τρέφεται μὲν γὰρ καὶ διὰ τούτων τῶν ὁδῶν, μάλιστα καὶ διὰ τῶν τελεωτέρων, καὶ δι' ὧν ἂν κατενεχθείη, ἀπολαύει τροφῆς. μὴ γὰρ δὴ δόξῃς τοῦ Ἱπποκράτους εἰπόντος, ἡ δὲ ἀρχαιοτέρη τροφὴ δι' ἐπιγαστρίου ὀμφαλοῦ, ἀγνοεῖν αὐτὸν μὴ καὶ διὰ στόματος τρέφεσθαι. εἶπε γὰρ καὶ περὶ ταύτης τῆς ὁδοῦ ὡς ἔμπροσθεν προείρηται. μαρτυρεῖ δὲ τὸ καὶ ἐν μήτρᾳ διὰ στόματος τὴν τροφὴν λαμβάνειν τὸ ἅμα τῷ περιτεθῆναι τὴν ὁρμὴν πρὸς τὸν μαστὸν ἔχειν. οὐ γὰρ μὴ προεθισθὲν, χρῆσθαι τῇ ὁδῷ ταχεῖαν οὕτω τὴν πρὸς αὐτὸ ὁρμᾶν ὁδόν. ἀτμίζει δὲ καὶ πνευματοῖ τὴν διακριθεῖσαν τροφὴν, καὶ προστίθησιν ἑκάστῳ μορίῳ ῥᾳδίως. μεταβάλλει δὲ καὶ τὴν ἐκ σπέρματος εἰς χυμούς, καὶ τὴν ἐκ χυμῶν εἰς σάρκας, καὶ φλέβας, καὶ νεῦρα, καὶ ἀρτηρίας, καὶ ὀστέα, καὶ σπλάγχνα, καὶ πιμελήν· καὶ τὴν ἐξ ὀλίγου εἰς πολύ, καὶ τὸ ἐκ μικροῦ εἰς μέγα, τῆς αὐξητικῆς δυνάμεως μέχρι τῶν οἰκείων ὅρων τῆς αὐξήσεως ἐκτεινούσης αὐτὸ καὶ περατούσης.

CAPVT IV.

Quod in vtero est, anima & rationis particeps esse.

QVæ igitur naturæ opera sunt, ea ab iis quæ in vtero sunt fieri satis à nobis demonstratum est: quòd verò & animæ & rationis participia sint, deinceps monstrare conabor. Quum enim sensoria ad animales inuehendas facultates natura molita sit, oculos quidem ad visiuam, aures verò ad audiendum, linguam autem nasúmque, vt per hæc gustandi facultas & olfaciendi vehatur, per manus verò & reliquum contrectans corpus, quæ ad tactum attinet, patet locum vacuum nullum relinqui: sed prædicta loca, etiam quum infans in vtero est, animæ substantiam habebunt, ipsúmque huius domicilium cerebrum ab initio etiam constitutum in intimo capite locatum habent. Eo perspicuum est vnà cum iacto in vterum semine insitam à creatore vniuersi esse animam, vt gubernandi vim corporis haberet.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τὸ κατὰ γαστρὸς, ψυχῆς τε καὶ λογισμοῦ μετέχειν.

Ἃ μὲν οὖν τῆς φύσεως ἔργα ἱκανῶς ἡμῖν ἐδείχθη λαμβάνειν ποιοῦντι τὰ κατὰ γαστρός· ὡς δὲ καὶ ψυχῆς μετέχει καὶ λογισμοῦ, διὰ τῶν ἑξῆς πειράσομαι δεῖξαι. τῶν γὰρ αἰσθητηρίων ὑπὸ τῆς φύσεως μηχανωμένων, εἰς τὸ διαπορθμεύειν τὰς ψυχικὰς δυνάμεις, δι' ὀφθαλμῶν μὲν τὴν ὁρατικήν· δι' ὤτων δὲ, τὴν ἀκουστικήν· γευστικὴν δὲ καὶ ὀσφρητικὴν διὰ γλώττης καὶ ῥινός· καὶ τὴν ἁφὴν δὲ διὰ τῶν χειρῶν, καὶ τῆς λοιπῆς τοῦ σώματος ἐπαφῆς, φανερὸν ὅτι κενὸς οὐ λείπεται τόπος, ἀλλ' ἕξει τὰ προειρημένα χωρία, καὶ κατὰ γαστρὸς ὄντος τοῦ βρέφους, τῆς τῆς ψυχῆς οὐσίας καὶ τὸν ἐγκέφαλον δὲ ὄντα ταύτης οἰκητήριον, ἐξ ἀρχῆς ἔτι συνιστάμενον ἐν αὐτῷ τῷ κύτει τῆς κεφαλῆς ἐγκείμενον ἔχει. δῆλον οὖν κἀν τούτῳ ὡς ἅμα τῇ τοῦ σπέρματος εἰς τὴν μήτραν ἐξακοντίσει, συγκατέσπειρεν ὁ τῶν ὅλων δημιουργὸς καὶ τὴν ψυχὴν, ἵνα τῷ σώματι καὶ τὴν διοικοῦσαν αὐτῷ δύναμιν ἔχῃ,

ἢ γὰρ οὐκ ἴσμεν τοὺς ἔξωθεν δημιουργοὺς τὰς τινῶν ὀργάνων κατασκευὴν ποιουμένους, πρός τινων ἐνεργειῶν πράξεις; τρόπιν μὲν τὸν ναυπηγὸν ὑποβάλλοντα θεῖον τῆς νεὼς ἕνεκα γινομένην. χαράκωμα δὲ τῶν κυμάτων, καὶ τεῖχος ἀσφαλὲς, καὶ ἕρκος τῶν ὑφάλων πετρῶν. κοιλαίνοντα δὲ μακραῖς σύριγξι τὸν αὐλοποιὸν τὴν ὕλην τοῦ χαλκοῦ πρὸς ὑποδοχὴν τῶν ἐμπνεομένων πνευμάτων. τὸν δὲ μουσικὸν ἐκτείνοντα τὰς χορδὰς, πρὸς φθόγγων μελῳδίαν. καὶ τὸν ἐπιμάζοντα ἰατρὸν παιωνικὰ φάρμακα, πρὸς ἄμυναν τῶν παθῶν. καὶ τὸν στρατηγὸν πρὸ τῆς παρατάξεως τακτικὰ προδιδάσκοντα πρὸς ὑπομονὴν τῶν πολεμίων. ὥσπερ οὖν οἱ τὰ τοιαῦτα μηχανώμενοι, τινὸς ἕνεκα τὴν παρασκευὴν ἐργάζονται, οὕτω καὶ ἡ φύσις διαπλάττει τῶν ἐν ἡμῖν ἕκαστον, ὡς ἐσόμενόν τινος ὄργανον. οὕτως τε καὶ ἡ τῶν νεύρων φύσις οὖσα ψυχῆς οἰκητήριον ἐξ ἀρχῆς ἅμα τῷ πνεύματι συμβλαστάνουσα, δηλοῖ τὴν ψυχὴν, ἅμα τῷ σώματι συνισταμένῳ συνίστασθαι. καὶ γὰρ εἰ μήπω ὀφθαλμὸς ὁρᾷ, γλῶττα δὲ γεύεται, οὖς δὲ φωνῶν ἀντιλαμβάνεται· καὶ θερμῶν, ἢ ψυχρῶν, ἢ ὑγρῶν, ἢ ξηρῶν, ἀναίσθητος ἡ ἁφὴ γὰρ καὶ τὴν ἐνέργειαν, ἀλλ᾽ οὖν γε ὑπόκειται φωλεύειν, καὶ δύναται ταῦτα μετ᾽ ὀλίγον τεχθέντος τοῦ βρέφους ἐργάζεσθαι. τολμήσας δ᾽ ἂν εἴποιμι τὴν ἡσυχίαν ἐνέργειαν. τὸ γὰρ ἔτι ἐν μήτρᾳ ὄντος τοῦ παιδίου, μύειν τοῖς βλεφάροις, καὶ τῇ ῥινὶ συνεστάλθαι, καὶ τοῖς ὠσὶν ἀνηκουστεῖν, ἔργον ἐστὶ προσταττούσης ψυχῆς. τὴν γλῶτταν δὲ, οὐκ ἄν τις φήσῃ μὴ γεύεσθαι ἐπὶ τῶν κυουμένων, ἔτι καὶ τῆς ποιότητος ἀντιλαμβάνεσθαι, φανεροῦ τοῦ πράγματος γινομένου διά τι πάθος. πολλάκις γὰρ ἴσμεν ἐναποθνήσκοντα ἐν ταῖς μήτραις παιδία, φαυλότητι τῶν προσφερομένων διὰ στόματος, τὴν τροφὴν ἀποστραφέντα καὶ ἀπαγορεύσαντα. ἐπειπούσης διὰ τῆς ἐν τῇ γλώττῃ γευστικῆς δυνάμεως τῆς φύσεως πρὸς τὴν τοῦ παιδὸς διαμονήν. καὶ τὸ ἀναπνεῖν δὲ ὂν ἔργον τῆς ψυχῆς περιεχόμενα τὰ ἔμβρυα. ἀναπνεῖ γὰρ διὰ στόματος, ὡς καὶ μικρὸν πρόσθεν εἴπομεν. δῆλον ἐκ τοῦ συμπαρεῖναι καὶ τῷ σπέρματι καὶ τὴν ψυχὴν ἅμα τῇ φύσει. ψυχικὸν γὰρ ἐνέργημα, καὶ οὐ φυτικὸν, ἰατρῶν παῖδες οἱ πλεῖστοι τὴν ἀναπνοὴν ὡρίσαντο. παιδαριώδες γὰρ οἴεσθαι παραγραφὴν εἶναι τοῦ μὴ ψυχῆς ἔργον ὑπάρχειν αὐτὴν, τῷ φάναι τὸν καθεύδοντα ἀναπνεῖν ἀπροαιρέτως, οὔσης τῆς ἀναπνευστικῆς καὶ προαιρετικῆς. ὥσπερ γὰρ ἐγρηγορότος τοῦ ζώου τῷ πάσας ὑπάρχειν τὰς ἐνεργείας ἡ ψυχὴ, ὁρᾶται γὰρ καὶ ἀκούει, καὶ διὰ τῶν λοιπῶν αἰσθητηρίων ἐπιτελεῖ, κινεῖται δὲ καὶ τούτων δι᾽ αἰσθήσεως ἀντιλαμβάνεται, καὶ πᾶσαν ὑφίσταται πραγματείαν, τείνασα ἑαυτὴν ἀκτινοειδῶς καὶ παραπείρασα τοῖς ὀργάνοις, δι᾽ ὧν τὰ χρειώδη συντελεῖ. τὸν αὐτὸν τρόπον καὶ νύκτωρ συσταλεῖσα, καὶ σωρευθεῖσα μήτε ὑπὸ τῶν ὁρατῶν ἐνοχλουμένη, μήτε ὑπὸ τῶν ἀκουστῶν διακρινομένη, μήτε ὑπὸ τῶν ὀσφραντῶν ἀναστρεπομένη, μήτε ὑπὸ τῶν ἁφῇ προσαπτόντων ἀλλοιουμένη, μήτε δρόμοις, ἢ περιπάτοις, ἢ ἄλλοις γυμνασίοις διαπονουμένη, μηδὲ ἐν αὐτοῖς γινομένη, τὴν κατὰ ἀναπνοὴν ἐνέργειαν ἀπεργάζεται. ἢ τὴν μὲν φύσιν ἑκοῦσαν, καὶ οὐ παθοῦσαν τὰ δέοντα ποιεῖν πεπιστεύκαμεν, ψυχὴν δὲ τῆς θειοτέρας μοίρας λαχοῦσαν, οὐ παρακολουθεῖ τοῖς ἰδίοις ἐνεργήμασιν. θνητὸν καὶ γεῶδες ἡ φύσις, καὶ διανοίας ἐκτός ἐστιν, ἣ οὔτε λογισμὸν ἔχει, τήν τε θνητὴν μόνην οἶδε περίοδον, τήν τε φθαρτὴν πρᾶξιν εἴληφεν. ἡ ψυχὴ δὲ ἀπόρροια μὲν τῆς πάσης ψυχῆς, καὶ τῆς οὐρανίου χορείας, ἐπιστήμης ἀντιλαμβάνεται. ἀεὶ δὲ ἐπὶ τὴν πρὸς τὸ ὅμοιον ἐπειγομένην ὁδὸν ὑπερβαίνει μὲν γῆν. τὴν ἐν ὕδατι πλάνην ἀποστρέφεται. καὶ ὑπεραναβαίνει τὸν ἀέρα. καὶ πυρὸς ἀνωτέρα γίνεται. καὶ τῆς οὐρανίου θεότητος τυγχάνει. καὶ τὸν ὑπερουράνιον πολλάκις βλέπει τόπον, συμπαρίσταται τῷ τῶν ὅλων δεσπότῃ, περίοδος τῶν ἄνω γίνεται.

A Nam an non ſcimus extrinſecos opifices inſtrumenta quædam ad certas actiones fabricari? vt ſentinam nauis opificẽ, quò parte hac nauis ſubnatet, vallum verò ad violentos fluctus cohibendos, tum tutum parietem ſeptúmque ob ſaxa, quæ ſub mari latitant: tibiæ verò opificem, materiam æneam in longas fiſtulas excauantem ad illabentes ſpiritus ſuſcipiendos: muſicum verò fides extendentem ad ſonos modulandos: medicum autem pœonica medicamenta ad morbos pellẽdos parantem: imperatorem acies ante conflictum inſtruendas perdocentem, ad ſuſtinendũ hoſtem. B Vt igitur qui talia moliuntur, alicuius rei gratia ea parant, ſic quæ in nobis ſunt, ſingula natura effingit, tanquam inſtrumentum certæ rei futurum. Sic quoque neruorum natura, quæ animæ domicilium eſt, à principe parte vnà cum ſpiritu orta, animam conſtitui ſimul cum corporis conſtitutione declarat. Etenim ſi nondum oculus videt, lingua verò guſtat, voces auris ſuſcipit, calidum aut frigidum, humidúmve aut ſiccum tangendi inſtrumenta non ſentiunt, ídque actu, ſed quidem latitare hæc poſita ſunt, verùm paulò poſt infante iam orto agere poſſunt, auderem ipſam quietem actum dicere: compoſitas enim palpebras C tenere, quum adhuc in vtero puer eſt, ac contractum naſum, auréſque non audientes, imperantis animæ opus eſt. Linguam verò iis quæ vtero geruntur, guſtare negaret nemo, itémque qualitatem ſuſcipere, quum res ipſa ex certo affectu perſpicua ſit: ſcimus enim in vteris ſæpè fœtus emori quum vitium per os adhibiti nutrimenti auerſantes renuunt: ſiquidem natura de linguæ facultate, quæ guſtandi eſt, ad conſeruandum fœtum ſolicita eſt, & reſpirare fœtum, quod opus animæ eſt, ore enim, vt paulò ante dictum eſt, reſpirat. Ex eo perſpicuum eſt, quòd anima D ſemini vnà cum natura ineſt: nam animalẽ actionem medicorum ſoboles plurima ipſam reſpirationem ſtatuit, non autẽ naturalem: puerile enim eſt putare eã extra opera animæ præſcribi, quum ſine voluntate reſpirare dormiens dicitur: ſiquidem reſpirandi actio voluntaria eſt. Quemadmodum enim, quum vigilat animal, propterea quòd omnes actiones inſunt (videt enim & audit, ac per reliqua ſenſoria agit,) mouetur anima, & has actiones per ſenſoria perficit, ſéque ipſam per organa, per quæ opportuna peragit, extendens diffundénſque, negotium omne ſuſtinet, E ſic noctu contracta collectáque, neque à viſis rebus turbata, neque ab auditis territa, neque à guſtatis alienata, neque ab olfactis euerſa, neque ab iis, quæ tactui occurrunt alterata, nec curſu, ambulationéve aut alia exercitatione fatigata, neque in his verſans, reſpirationis actionem obit: aut naturam quidem ſponte, & non affectã, quę opportuna ſunt, facere credimus: animam autem diuinius quidpiam ſortitam non operas proprias aſſequi. Quin mortalis natura eſt, atque terreſtris, & intelligentiæ expers, quæ neque rationem habet, & mortalem ſolum circuitum nouit, operámque interitui obnoxiam accipit, anima F autem ab vniuerſis animis, & cœleſti choro delapſa ſcientiam ſuſcipit: ſemper verò viam quæ ad ſimile ducit, ſequens, terrram quidem ſuperat: ab erroribus aquæ ſeſe auertit: tranſcẽdit aërem: fit igne ſuperior, & cœleſtem diuinitatem attingit: ſæpéque trans cœleſtem locum intuetur: rerum omnium domino aſſiſtit: ſuperas res circunſtat:

cunstat: sæpè occurrit iis quibuscum cõmune genus habet: nouit vnde sit, quamuis in corpore sit, ipsúmque rerum omnium partem vniuersis rebus inesse, his in quibus ab illo locata est, vtens oculis. Ne igitur respirationẽ dicant nescia anima fieri, somno languente corpore: ad omnia enim anima magis quàm natura idonea est, vímque maiorem habet. Ergo poterit natura, vigilãte æquè ac dormiente animali, agere: coquit enim in vtroque tempore ac distribuit, secernítque & apponit & auget: anima verò sola vigiliis ea quæ corpori conueniunt, operari; in somno autem similia non poterit? Absurdum verò est, quum iam satis monstratum sit quod in vtero est, id esse animal, nisi ex rebus extrinsecus fides de iis quæ dicta sunt fiat. Mures enim ac vermes in materia, quasi in vtero, fieri videntes, animalia nominamus, ea limo inuoluta spectantes, sed hæc quoque fiunt (arbitror) prouidente eorum præside facultate: ea verò quæ in vtero animalia fiunt, an apertè animalia vocari conueniat, dubitamus? præsertim prædicante hæc Hippocrate. *Quæ non animalia sunt, ab animalibus animalia fiunt, naturæ omnium indociles.* Decuit enim dicere non animalia, aut partes fieri: perfecto autem nomine vsus est, vt animalia simul esse & constitui intelligeremus. Magnificum verò illud, & à controuersia longissimè remotum quasi diuinitus edixit, *naturæ omnium indociles*: vt, si modus à quopiam aut ratio animalis creandi quæratur, in ipsam omnia indoctè gignentem naturam referat. Atqui natura satis est, quæ prorsus haud credentium sententias excludat, & animalia esse negantium: si enim rebus omnibus, vt hæ sint, fines ipsa præbet, certè ei quod vtero geritur, perfectionem vt animal sit, affert. Cur verò non amentia est, quod animal est, id animam simul & corpus dicere, rei autem nomen auferre? Siquidem id haud aliter est, quàm si rei cuipiam ignis inducta forma, quod est, vt vim vrendi habeat, rem quidem quispiam fateatur, nomen autem neget: aut, quum à sole illustrantur tenebræ, factum quidem concedatur, diem verò id nomine esse negetur: aut, si quis humidas res solidásque in vnum coactas nutrire dicat, id verò nutrimentum dici non concedat: aut æs ferrúmve secare, nomen autem gladij fugere, aut sectionem secantis. Verum neque quispiam tenebrosi aëris à Sole illuminati rem ipsam inspiciens, id ipsum diem esse negaret: neque quod ignis vsum habet, id ignem dici: nec quod secantis actionem, huic nomen esse gladio; nec ei quod animatur semen, & animationem suscipit, nomen quispiam auferet.

CAPVT V.

Quod in vteri sinubus adhuc continetur, animal esse.

VT igitur & naturæ & animæ particeps fœtus sit, vtriusque actionum, & quomodo animal sit, & satis demonstrauimus. Reliquum autem est vt quod vteri sinubus adhuc iucumbit, id animal esse monstremus. Si quispiam verò à nobis naturæ rationes quærat, eã omnia à se ipsa doctã, ex séque discentem agere sciat. Neque enim quo pacto vermes in plantis gignuntur, aut ex equis bobúsque vespæ atque apes, facile nos dicere licet, verùm à natura simpliciter fiunt. Nã neque aues docet volare quispiam, neque nos intelli-

A πολλάκις τοῖς αὐτοῖς ὁμοιοειδέσι τυγχάνῃ, οἶδε κἂν ἐν σώματι γίνηται, πόθεν ἐστὶ, καὶ ὅθεν. καὶ ὅτι σύνεστι τοῖς ὅλοις ὁ τῶν πάντων πατὴρ, τούτοις τοῖς ὄμμασιν, ἐν οἷς αὖ καθιδρύσθαι αὐτὴν, χρωμένη μὴ τοίνυν ἀγνοούσης φασκέτωσαν τῆς ψυχῆς γίνεσθαι τὴν ἀναπνοὴν, ὕπνῳ σχολάζοντος τοῦ σώματος. ἱκανώτερον γὰρ πρὸς πάντα φύσεως ἡ ψυχή. καὶ δυναμωτέρα ἤ. καὶ μὲν φύσιν ὁμοίως τῶν ἐγρηγορότων καὶ καθευδόντων, ἐνεργεῖν δύνασθαι. πέττει γὰρ καὶ ἀναδίδωσι· καὶ διακρίνει, καὶ προστίθησι καὶ αὔξει, ἐν ἑκατέρῳ χρόνῳ. ψυχὴν δὲ μόνων ἐγρηγορότων πράττειν, ἃ προσήκει τῷ σώματι. κοιμωμένων δὲ τὰ ὅμοια μὴ δύνασθαι ἤ. ἄτοπον δὲ καὶ τὸ ἱκανῶς δεδειγμένου τοῦ ζῶον εἶναι τὸ κατὰ γαστρὸς, μὴ καὶ ἀπὸ τῶν ἔξωθεν πιστώσασθαι τὰ προειρημένα. μύας τε καὶ σκώληκας ὡς ἐν μήτρᾳ τῇ ὕλῃ ὁρῶντες γινόμενα ὀνομάζομεν ζῶα, ἀποβλέποντες ἰλυσπώμενα, κἀκεῖνα δὲ, οἶμαι, τῆς προνοούσης αὐτῶν δυνάμεως ἐπιστατούσης. ἀμφισβητοῦμεν δὲ αὐτὴν, περὶ τῶν ἐν μήτρᾳ ζωουμένων, εἰ δεῖ σαφῶς ζῶον καλεῖν; καὶ ταῦτα κηρύττοντος Ἱπποκράτους. ζῳοῦται τὰ μὴ ζῶα ἐκ τῶν ζώων, φύσιες πάντων ἀδίδακτοι. δέον γὰρ εἰπεῖν, μὴ ζῶα, ἢ εἰπεῖν, γὰρ τὰ μέρεα. τοῦτο μὲν γὰρ παρέλιπε, τὸ δὲ τοῦ τελείου ὀνόματος κατεχρήσατο, ἵνα ἅμα συνίστασθαι, καὶ ζῶα εἶναι νοῶμεν. φιλοτιμότερον δὲ τὸ ἀμαχώτατον καὶ τὸ φύσιες δὲ πάντων ἀδίδακτοι, προστέθεικεν. ἵν' εἴ τις τρόπῳ ἢ λόγῳ ἀπαιτοίη τῆς ζωώσεως ἐπὶ τὴν πάντα ἀγνοοῦσαν αὐτήν· ἀδιδάκτως ἀναφέρεσθαι φύσιν. καὶ τὸ φύσιες δὴ ἐξαρκεῖ παντάπασι διαγράφεσθαι τῶν ἀπίστων τὰς γνώμας, καὶ τῶν μὴ ζῶον φασκόντων. εἰ γὰρ ἑκάστῳ τῶν ὄντων τὰ τέλη πρὸς τὸ εἶναι παρεχομένη δίδωσι καὶ τῷ κυοφορουμένῳ τὴν τοῦ ζώου εἶναι τελείωσιν. πῶς δ' οὐκ εὐήθες, ψυχὴν μὲν καὶ σῶμα, ζῶον εἶναι φάσκειν, ἀφαιρεῖν δὲ τοῦ ὄντος τοὔνομα. ὅμοιον γὰρ εἰ καὶ τοῦ τὸ πῦρ εἰδοποιοῦντος. ὅπερ ἐστὶ τὸ καίειν ἔχοντος τοῦ πυρὸς, τὸ μὲν ἔργον τις ὁμολογοίη, τὸ δ' ὄνομα μὴ λέγοι. ἢ πάλιν τοῦ ἡλίου φωτίζοντος τὸ σκότος, τὸ μὲν γινόμενόν τις ὁμολογοίη. τὸ δ' ἡμέραν εἶναι τοῦτο, ἀρνοῖτο τοὔνομα. ἢ εἴ τις τῆς ἐξ ὑγρῶν καὶ στερεῶν εἰς τοῦτο σύνοδον τρέφειν λέγοι, τὸ δὲ τροφὴν λέγεσθαι μὴ συντίθοιτο. ἢ τὸ μὲν τέμνον τὸν χαλκὸν ἢ σίδηρον, φεύγειν δὲ τὸ ὄνομα τῆς μαχαίρας. ἢ τὸ τμῆμα τοῦ τέμνοντος. ἀλλ' οὐδὲ τοῦ ζοφώδεις ἀέρος ὑπὸ ἡλίου φωτιζομένου τὸ ἔργον βλέπων εἴποι τις ἂν τὸ τοιοῦτον, μὴ εἶναι ἡμέραν. οὔτε τοῦ πυρὸς τὴν χρείαν τὸ πῦρ μὴ λέγεσθαι. οὔτε τοῦ τέμνοντος τὴν ἐνέργειαν, τὸ μὴ μάχαιραν εἶναι τούτου τὸ ὄνομα. οὔτε τὸ σπέρμα ζωούμενον. καὶ καταλαμβάνον τῆς ζωώσεως ἀφαιρήσεταί τις τὴν προσηγορίαν.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τὸ τοῖς μυχοῖς τῆς μήτρας ἔτ' ἐγκείμενον, ζῶον εἶναι.

ΩΣ μὲν οὖν καὶ φύσεως καὶ ψυχῆς μετέχει τὸ ἔμβρυον, καὶ τὴν ἐφ' ἑκατέρας ἐνέργειαν, καὶ πῶς ἐστι ζῶον, ἀποχρώντως ἐδείξαμεν. λοιπὸν δὲ δείξομεν ζῶον εἶναι τὸ τοῖς μυχοῖς τῆς μήτρας ἔτ' ἐγκείμενον. εἰ δέ τις ἡμᾶς ἀπαιτοίη φύσεως λογισμοὺς, ἴστω πάντα πράττουσαν αὐτὴν αὐτοδιδάκτως τε καὶ αὐτομαθῶς. οὐδὲ γὰρ ὅπως ἐν φυτοῖς σκώληκες γίνονται, ἢ ἀφ' ἵππων καὶ βοῶν οἱ σφῆκες, καὶ μέλιτται, ῥᾴδιον ἡμῖν λέγειν, ἀλλ' ὑπὸ τῆς φύσεως ἁπλῶς γίνεται. οὐδὲ γὰρ τοὺς ὄρνεις πέτεσθαι διδάσκει τις. οὐδὲ τὸ νοεῖν ἡμᾶς ἢ ἀκούειν ἢ βλέπειν.

ἀλλ' ὅμως καὶ τοὺς ὄρνιθας ὁρῶμεν πετομένους, καὶ ἡμᾶς αὐτοὺς, χωρὶς μαθήσεως νοεῖν τε καὶ βλέπειν. ἀπόρρητος γάρ τις καὶ κεκρυμμένη καὶ πολὺ τῆς ἡμετέρας διανοίας βυθιοτέρα, ἡ περὶ τὴν φύσιν δημιουργία. μὴ τοίνυν μηδὲ περὶ τὴν τὰ ἔμβρυα ζωογονίαν ἀπιστῶμεν εἶναι ζῶα. οὐδὲ γὰρ ἐκεῖνα μανθάνει παρά τινος μετὰ τὸ προελθεῖν τι τῶν οἰκείων ἔργων, ἀλλ' ἐνόντα ταῖς μήτραις καταπίνει καὶ πέττει καὶ διακρίνει τὴν ἀναδοθεῖσαν, καὶ προστίθησι τὴν καθαρθεῖσαν, καὶ τὴν περιττὴν ἀπωθεῖται. ἵν' ἐπειδὰν πρὸς φῶς προέλθῃ, τὴν περιττεύουσαν ἐκκρίνει. τό τε γὰρ μηκώνιον καλούμενον περίττωμα ὂν, ἐξ ὅλης τῆς τοῦ ἐμβρύου τροφῆς ἐστιν. καὶ τὸ ἐν τῷ οὐραχῷ ὑγρόν. ἥ τε γὰρ κοιλίη φυσᾶται, φησὶν ὁ παλαιὸς, ἀπὸ τῆς διὰ στόματος εἰσπνοῆς, καὶ τὰ ἔντερα, καὶ εἰς τὸν κύσσαρον ὁδός τις ἐπιγίνεται. κατὰ μικρὸν γὰρ, ἐμπίπτον τὸ περιττὸν εἰς τὸν ἀρχὸν παραγίνεται. κύσσαρον γὰρ τὸν ἀρχὸν εἴρηκε. καὶ μηδεὶς ἡμᾶς παραγέτω διὰ τὴν τοῦ ἀμνίου ὑμένος παράθεσιν, μὴ δύνασθαι διὰ στόματος τρέφεσθαι τὰ ἔμβρυα, ἱκανὴ γὰρ ἡ φύσις διὰ τῶν πόρων εὐπορίαν παρασχεῖν, καὶ ὁδὸν ἐς εὐπρέπειαν οὖσαν αὐτάρκη. φησὶ δὲ Δημόκριτος ἄνθρωπον ἐξ ἀνθρώπου ἐξέσσεσθαι· καὶ κύνα ἐκ κυνὸς, καὶ βοῦν ἐκ βοός. ἀνὴρ εἰδὼς μὲν καὶ τὴν οὐράνιον θεωρίαν. θεωρίας δὲ καὶ τὴν ἐν ἡμῖν φύσιν, οὐχ οἷόν τε ἀγνωμονεῖν χρῆναι λέγειν, μὴ ζῶον τὸ κατὰ γαστρὸς, ὅλον ἐξ ὅλου συνιστάντος αὐτὸ δράσαντος νή * * * καὶ γὰρ οὐδ' ἂν ἔσχεν ἀνθρώπου λόγον τὸ γινόμενον. εἰ μὴ πάντας μὲν ἐν ἑαυτῷ περιεῖχε, τοὺς τελείους λόγους. ἔμελλε δὲ ποιήσειν, οἷα ταῦτα ἀφ' ὧν τὸ σπέρμα κατεσπάρη. ὥσπερ γὰρ ἢ τὰ τῷ ποσῷ, ἢ τὰ τῇ ποιότητι καταβληθέντα σπέρματα ἀναδέχεται τόπους. ἢ περί τε τὰ ὅλα κολοβωτά, ἢ μὴ τοῖς πᾶσιν ἀπηρτισμένα, ἢ μορφὰς ἄλλων ζώων ἔχοντα, τὸν αὐτὸν τρόπον καὶ ὅσα ἐκκαθῆ καὶ διακεκριμένα σπέρματα τυγχάνει, τὸν ἐν τέλει τῶν ζώων ἐπέχει λόγον. τὸ γὰρ λεῖπον παραποδισμὸν τῆς ὅλης φύσεως εἴληφε, καὶ ἐκλείποντα τὰ ἔμβρυα, καὶ διὰ τὸ αὐτὸ τοῦτο μὴ παραποδισθὲν ζῶα ποιεῖται ἐκ σπέρματος. μήτ' οὖν φιλόσοφός τις ὡς ἀμύητος τῶν ἄνω, μήτ' ἰατρὸς τῶν ἀπὸ Ἀσκληπιάδου, ὡς ἀθεώρητος, τῆς ἀνθρώπου τῆς φύσεως ἀποκηρυττέτω, καὶ ἀποξενούτω τὰ ἔμβρυα, ἀλλ' αὐτὸς πολὺ πρότερον ἀναθεωρησάτω ἐπ' ἑαυτόν· καὶ ἢ παρὰ πρεσβυτέρων μαθέτω. ἢ ὑπὸ τῶν γεννησάντων ἀναμιμνησκέσθω, ὡς ἦν ποτε καὶ αὐτὸς ἔμβρυον. καὶ τοίνυν αὐτῷ ἥ τε ὡς ὑπὸ μήτρας πρότερον τελείως ἐν μήτρᾳ ἐσχηματουργῆσθαι, καὶ ὡς ἐκ σπέρματος τοῦ εἶναι γέγονεν ἡ ῥίζα αὐτῷ. καὶ ὡς οὐκ ἔδει ἐλεῖν παρανοίᾳ ἄγειν τὴν φύσιν. ῥᾳδιουργῆσαι γάρ ἐστι τὰ ἐκείνης θέσμια, ἢ τοὺς τῆς γῆς δημιουργουμένους ὑπ' αὐτῆς φάναι ζῶον μὲν ὑπάρχειν τὴν αὐτὴν τῆς γενέσεως, καὶ πάντα ἐσχηκότα, τοῖς αὐτῆς μυχοῖς ἐντεθραμμένον. φάσκειν δὲ μὴ ζῶα τοὺς ἐν μήτρᾳ τεθραμμένους, ἢ ἐκ μὲν πυρῶν, οἱ πυροὶ γεννήσονται καὶ ἐκ τῶν ἄλλων σπερμάτων τὰ ὅμοια, καὶ ἐκ φυτῶν, φυτὰ, τὴν αὐτὴν τοῖς γεννωμένοις φύσιν εἰληφότα. ἄνθρωπος δὲ ὁ θειότερον τῶν ἄλλων καὶ τῶν ὅλων κρεῖττον, ὁ ὅμοιον κατὰ δύναμιν θεῷ, μὴ τὴν αὐτὴν τοῖς σπείρασιν ἀναδέξασθαι θειότητα; ἀλλὰ γὰρ ἤδη καὶ νόμῳ καὶ τοῖς συμβεβηκόσι δείξομεν ζῶα τὰ ἔμβρυα. οἱ τὸ μὲν ζῆν τῇ φύσει τὴν αἰτίαν προστιθέντες. τοῦ δ' εὖ ζῆν μετὰ τῆς ψυχῆς αὐτοῖς τὴν πρόσβασιν ἀναδεξάμενοι νομοθετοῦσι. τοῦτο γάρ εἰσιν οἱ νόμοι, κωλύειν μὲν τὰ κακὰ πράττεσθαι. φυλάττειν δὲ τὰ ἤδη ὄντα καλά.

gere, aut audire viderévе; sed tamen & aues volare videmus, & nos ipsos sine disciplina intelligere atque videre; ineffabilis enim est atque recõdita longéque nostra cogitatione profundior, ipsa per se naturæ operatio. Ne igitur fœtus, qui viuificantur, animari diffidamus; neque enim hi post partum proprias operas ab aliquo discunt, sed in vteris contenti deuorant coquúntque ac expurgant distributum alimentum, apponúntque quod purgatum est ac superuacuum depellunt, vt postquam in lucem prodierint, quod superuacuum est, excernant. Meconium enim vocatum quum excrementum sit, ex toto fœtus nutrimento est, humórque is qui in vracho est. Ventriculus enim (inquit ille antiquus) ea inspiratione quæ ore fit, inflatur, intestináque & in cyssaron via quædam deducitur: paulatim enim quod superuacuum est, incidens, in rectum intestinum peruenit; nam cyssaró rectum intestinum appellauit. Atqui nemo id obiiciat, ideo fœtum ore ali non posse, quia amnium membranam sibi appositam habet: natura enim idonea est, quæ per foramina facultatem viámque ad id, quod conuenit, aptam præbeat. Democritus verò hominem ex homine excuti, canem ex cane, ex boue bouem dicit. Vir qui cœlestem speculationem nouit, naturámque nostram speculatur, non potest tam ignarus esse, vt eum oporteat, quod in vtero est, id animal esse negare, quum totum ex toto, qui ipsum constituit, faciat: * etenim id ipsum quod fit, hominis rationem non haberet, nisi quum omnes in se perfectas rationes contineret, tum omnia facturum esset, qualia sunt, à quibus semen fuit seminatum. Quemadmodum enim iacta semina, quibus vitiosa quantitas, aut qualitas est, eos fœtus excipiunt, quibus pars, aut superest, aut deest, aut formam alienam habent; sic, quæ integra, ac expurgata semina sunt, perfectis animalis rationem retinent: quod enim deest, impedimẽtum totius naturæ accepit, & fœtus haud integros: ac propter id ipsum non impeditum animalia in semine fiunt. Nemo igitur philosophus, vt diuinarum rerum ignarus: non medicus Asclepiadis discipulus, vt speculatione priuatus, à natura hominis fœtus abdicet, atque excludat: sed ipse prius in se speculetur, ac, aut à senioribus discat, aut à parentibus memoria repetat, ipsum quoque olim fœtum fuisse: itaque tum à matre perfectè priùs in vtero formatum, atque radicem essentiæ è semine sumpsisse: ac naturam sine ratione agere non debere. Non aliud enim est, quàm eius iura violare, quum, quæ ab eadẽ è terra creantur, omnia idem principium generationis habẽtia, atque ipsis in sinubus nutrita, animalia esse dicuntur, quæ autem in vtero nutriuntur, non animalia esse. An è tritico triticum, è cæterísque seminibus ea, quæ similia sunt, atque è plantis plantæ gignuntur, omnia eandem cum gignentibus naturam habentia: homo autem cæteris diuinis quidpiam sortitus, & rebus vniuersis melior, Deóque potestate similis, non eandem cum parentibus diuinitatem excipiet? Ac iam quidem, & lege, & per accidentia ipsa, fœtus animalia esse ostendamus. Qui viuere, in naturam, vt in causam, referunt: in ipsos verò legislatores, ab anima tamen occasione sumpta, bene viuere (etenim leges hæ sunt, quæ mala quidem sunt prohibere, ne fiant: custodire autem ea, quæ honesta iã sunt, quæque

quæque aut futura sunt, aut iam instant, asciscere,) ij duabus maximis, quas ipsi tulerunt, legibus, quæ in vtero sunt, animalia esse demonstrarunt; altera ei, qui abortus causa fuisset, pœnam statuente; altera, qui nondum nati erant, hos hæredes institui posse iubente. Videbant enim exactiùs, quàm multi, vt qui Deorum facta imitabantur: legem enim ferre in primis Deorum est: siquidem rerum omnium pater inter Deos omnia lege disposuit. Nam mundus illius imperio mouetur, stellæque errantes, propriis singulæ orbibus, in præscriptum tempus; & Sol ipse, & Luna cursibus desinitis; terra, vt radix, opificis iussu posita est; fusa aqua; expansus est aër; permeat ignis; singula proprias actiones seruantia metu legis propriæ prætereundæ. Leges Cretensibus Iupiter dedit; Lacedæmoniis Pythius ipse; Pallas Atheniensibus. Horum igitur discipuli legislatores Lycurgus, & Solon per hæc, quæ modò dixi, capita duo, firmum nobis de fœtu, ac indubitatum argumentum præbuerunt: nisi enim animalia essent, non in ipsos abortus auctores legibus apertè proposita pœna animaduertissent; quoniam verò animalia esse dicebant, iccirco pœnam instituerunt. Quis perfectus iam ac indubitatus homo ius exigens, causa eius, qui in vtero non homo, ac ne animatus quidem est, vnquam hæreditatem dimittet, ignarus an animal sit, quod in vtero est? Quid igitur animal esse, quod in vtero est, negare contēdis? quis successore vtitur eo, quem nondum esse credimus? quis sibi dominum dicet eum, de quo dubitatio est? Nondum natus erat Pericles Olympius, & iam Græcos omnes ob insomnium terrebat: nondum Pisistratus, & tyrannus erat: Alexander ex Olympiade nondum natus, ab omnibus iam Ammonis filius dicebatur, & regni princeps; Cypselúsque, cum adhuc generaretur, & si Bacchiadis non videbatur, terrente ipsos spectro; Hecuba quoque ante partum formidasse Alexandrum dicitur graui visione perterrita, ac ipsi Phryges omnes ex igne nondum genito calamitates accepisse; itémque Alcmena Herculem procreans, terrorem aduersariis, ac vt diffiderent hostes effecit quum adhuc infantem vtero gereret. Tantum igitur abest, vt fœtus non animal dicatur; vt non modò animal sit, sed etiam humanæ naturæ vim habeat, quamuis adhuc vtero radicitus hæreat. Sed iam ad fœtum ipsum, tanquam animal id formatum, vt nihil ipsi, quo minus homo sit, desit, nostra vertatur oratio. Prodite quæso è sinubus nihil timentes ô fœtus, neque generis demissionem, neque charissimos alienatos, neque opes auferendas. Non vos multorum calumnia, neque horum, qui naturam ipsam iniuria afficiunt, excludit malignitas. Quapropter eos pœnis vos afficietis, vt Pericles, vt Pisistratus, vt Paris, illéque Macedon Alexander, atque Hercules.

ἢ τὰ μέλλοντα ἢ τὰ παρόντα προσποιεῖν, τιθέμενοι τοὺς νόμους δύο τοῖς μεγίστοις ἀπεδείξαμεν εἶναι τὰ ἐν τῇ γαστρὶ ζῶα· ἑνὶ μὲν τῷ προσθεῖναι τιμωρίαν τῷ αἰτίῳ τῆς ἐξαμβλώσεως γενομένῳ, ἑτέρῳ δὲ καὶ δευτέρῳ, τῷ δύνασθαι τοῦ κλήρου μεταλαμβάνειν, καὶ τοὺς μήπω γεγεννημένους. εἰδότες γὰρ ἀκριβέστερον τῶν πλειόνων, ὡς ἂν καὶ θεῶν ἔργα μιμούμενοι. θεῶν γὰρ τὸ νομοθετεῖν πρότερον, εἴπερ ὁ μὲν τῶν ὅλων πατὴρ ἐν θεοῖς πάντα διέταξε νόμῳ, κινεῖται γὰρ καὶ ὁ κόσμος ταῖς ἐκείνου προστάξεσι. καὶ οἱ πλανῆται δὲ τὴν οἰκείαν ἕκαστος σφαῖραν ἐν νενομοθετημένῳ χρόνῳ, καὶ ἥλιος καὶ σελήνη τοὺς ὁρισμένους δρόμους. ἐρρίζωται δὲ ἡ γῆ, τοῖς τοῦ δημιουργοῦ κελεύσμασιν· κέχυται ὕδωρ, καὶ ἀὴρ ἥπλωται, καὶ πῦρ ἵεται, καὶ τὴν ἰδίαν ἐνέργειαν ἕκαστον τηρεῖ, φοβούμενον παραβῆναι τὸν ἴδιον νόμον, ἐνομοθέτησε μὲν καὶ Κρησὶν ὁ Ζεύς, καὶ Λακεδαιμονίοις ὁ Πύθιος, καὶ Ἀθηναίοις ἡ Παλλάς. οἱ οὖν τούτων μαθηταὶ νομοθέται Λυκοῦργος καὶ Σόλων. βεβαίως ἡμῖν δι᾽ ὧν προεῖπον κεφαλαίων δύο, τὴν περὶ τῶν ἐμβρύων ἀναμφισβήτητον παρέχουσιν ὑπόθεσιν. εἰ γὰρ ὅτι μὴ ζῶα ἦν, οὐκ ἂν ἐκόλασαν τοῖς νόμοις φανερῶς τιμωρησάμενοι τοὺς αἰτίους τῆς ἐξαμβλώσεως. ἐπεὶ δὲ ἔφησαν ζῶα εἶναι, τὴν τιμωρίαν ἐπήγαγον. τίς γὰρ τὸν ἤδη τέλειον καὶ ὁμολογούμενον ἄνθρωπον εἰσπράττεται δίκην, ὑπὲρ τοῦ μήτε κατὰ τὴν μήτραν ὄντος ἀνθρώπου, μήτε τὴν ἀρχὴν ἐζωωμένου ποτὲ κλῆρον ἀφίησιν, οὐ γινώσκειν, εἰ ζῶον τὸ ἔμβρυον; πῶς οὖν ἐπισκήπτεις τὸ κατὰ γαστρός, μὴ ζῶον εἶναι λέγων; τίς χρῆται διαδόχῳ τῷ μήπω εἶναι πεπιστευμένῳ; τίς ἐρεῖ τὸν αὐτὸν κύριον τὸν ἀμφισβητούμενον; οὔπω Περικλῆς ἐγένετο ὀλύμπιος, καὶ πᾶσιν ἤδη φοβερὸς τοῖς Ἕλλησι διὰ τὸ ἐνύπνιον ἦν. οὔπω Πεισίστρατος, καὶ τύραννος ἦν· οὔπω Ὀλυμπιὰς Ἀλέξανδρον ἐκύει, καὶ πάντες Ἄμμωνος ἔλεγον ἤδη παῖδα, καὶ βασιλείας ἦρχες· καὶ Κύψελος ἔτι ζωογονούμενος, καὶ εἰ τοῖς Βακχιάδαις οὐκ ἐδόκει, φοβοῦντος αὐτοὺς ἰνδάλματος. λέγεται δὲ ὡς καὶ Ἑκάβη τὸν Ἀλέξανδρον ἐδεδοίκει πρὶν τεκεῖν, ἐκπλήξαντα αὐτὴν γυναιοτέρου θεάματος, ἀλλὰ καὶ πάντες Φρύγες ἐκ τοῦ μήπω γεγεννημένου προσδεχόμενοι τὰς συμφοράς. καὶ Ἀλκμήνη δὲ γεννήσασα τὸν Ἡρακλέα, φοβερὰ τοῖς ἀντιστρατιώταις ἐγίνετο, καὶ τοὺς ἐχθροὺς μὴ θαρρεῖν ἐποίει, τὸν παῖδα κατὰ γαστρὸς ἔχουσα. τοσοῦτον οὖν ἀπεῖχε τοῦ μὴ ζῶα λέγειν τὰ ἔμβρυα, παρ᾽ ὅσον καὶ τοῦ μὴ μόνον ὡς ζῶα, ἀλλὰ καὶ τῆς ἀνθρώπου φύσεως ἀλκιμώτερα, κἂν ἔτι ταῖς μήτραις ᾖ προσερριζωμένα. ἀλλὰ γὰρ ἤδη καὶ πρὸς αὐτά μοι τὰ ἔμβρυα γινέσθω ὁ λόγος, ὡς ἤδη τὴν ἀνθρώπου ἐντελῆ ζωότητα μεμορφωμένα. προΐετέ μοι τῶν μυχῶν μηδὲν πεφοβημένα μήτε γένους πάρεσιν, μήτε φιλτάτων ἀπαλλοτρίωσιν, μήτε κτημάτων ἀφαίρεσιν, οὐδὲν ὑμᾶς ἡ τῶν πολλῶν συκοφαντία, καὶ τῶν αὐτὴν ἀδικούντων τὴν φύσιν πανουργία παραγράψεται, ὅθεν αὐτῶν ὑμεῖς τιμωροὶ καταστήσεσθε, ὡς Περικλῆς, ὡς Πεισίστρατος, ὡς Πάρις, ὡς ὁ Μακεδὼν Ἀλέξανδρος, καὶ ὡς Ἡρακλῆς.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΠΤΑΜΗΝΟΥ.

HIPPOCRATIS DE SEPTIMESTRI PARTV, LIBER.

ΠΡΟΚΕΙΜΕΝΟΝ ΒΙΒΛΙΟΥ.

Ἐκ πόσων τὸν ἀριθμὸν ἡμερῶν γίνονται οἱ ἑπτάμηνοι, καὶ διατί ζωτικοί· τοῦ ἑπταίου ἀριθμοῦ ἐν τοῖς μησίν τε καὶ ταῖς ἡμέραις δύναμις καὶ ἐξοχή· περὶ ὀκταμήνου τε καὶ ἐννεαμήνου, καὶ δεκαμήνου τόκου ἔνια· καὶ περὶ τοῦ τοῦ ἄρσενός τε καὶ τοῦ θήλεος τελειώσεως χρόνου.

PROPOSITVM LIBRI.

Septimestris partus quot dierum numero perficiatur, & cur vitalis; septenarij numeri in mensibus ac diebus vis ac præstantia; de octimestri partu, nonimestri ac decimestri nonnulla; ac de masculi & fœminei fœtus perfectionis tempore.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῶν τοῦ ἑπταμήνου ἐμβρύου ἡμερῶν τε καὶ μηνῶν· διατί περιγινόμενοι οἱ ἑπτάμηνοι καὶ πολλοὶ ἀπόλλυνται.

Οἱ δὲ ἑπτάμηνοι γίνονται ἐκ τῶν ἑκατὸν ἡμερέων καὶ ὀγδοήκοντα, καὶ δύο, καὶ ἡμίσιος καὶ προσεόντος μορίου. ἢν γὰρ τοῦ πρώτου λογίσῃ μηνὸς πεντεκαίδεκα ἡμέρας, τῶν δὲ πέντε μηνῶν ρμ', καὶ ζ', καὶ B ἥμισυ ἡμέρας. ἢν γὰρ ἑξήκοντα μιῆς δεούσης ἡμέρης, ἐγγύτατα δύο μῆνες ἐκτελεῦνται. οὕτως οὖν τούτων ἐόντων, ἐς τὸν ἕβδομον μῆνα περιγίνονται ἡμέραι πλέον ἢ εἴκοσιν, ἥμισυ τοῦ ἐνιαυτοῦ καὶ τῆς ἡμέρης τοῦ μέρεος, παρὰ μέρος ποστοῦ γινομένου. ὁκόταν ἐς τὴν ἀρχὴν τῆς τελειώσεως ἔλθῃ, ταύτην ἁδρυνομένου τοῦ ἐμβρύου, καὶ τὴν ἰσχὺν πουλὺ ἐπιδιδόντος ἐν τῇ τελειώσει μᾶλλον, ἢ ἐν τοῖς ἄλλοις χρόνοις; C οἱ ὑμένες ἐν οἷς τὴν ἀρχὴν ἐτράφη, ὥσπερ καὶ τῶν ἀσταχύων, ὁπότ' ἐξεχάλασαν, πρόσθεν ἀναγκαζόμενοι, ἢ τελείως ἐξαδρυνθῆναι τὸν καρπὸν, τὰ μὲν ἰσχυρότατα καὶ ἁδρότατα τῶν ἐμβρύων βιησάμενα, καὶ διαρρήξαντα τοὺς ὑμένας, ἠνάγκασε τὸν τόκον γενέσθαι. καὶ τὰ μὲν πλεῖστα τουτέων ἀπώλοντο. μικρὰ γὰρ ὄντα, τῇ μεταβολῇ μείζονι χρέονται τῶν ἄλλων. καὶ τὴν τεσσαρακονθήμερον κακοπάθειαν ἀναγκάζονται κακοπαθεῖν, ἐξελθόντα ἐκ τῆς μήτρης. καὶ τῶν δεκαμήνων πολ-

CAPVT I.

A *De partus septimestris diebus ac mensibus; cur vitales septimestres & multi pereant.*

SEPTIMESTRES nascuntur diebus centum & octoginta duobus, ac dimidio, & insuper addita quadam diei particula. Si enim primi mensis dies quindecim supputaueris, quinque verò mensium dies centum quadraginta septem & dimidium (sexaginta namque diebus, vno dempto, ferè duo menses constant) his sic se habentibus, ad septimum mensem supersunt dies plus quàm viginti, quod est anni dimidium, vnà cum aliquantula parte ad diei partem accedente. Quum fœtus ad hoc perfectionis principium deuenerit, & robur increuerit, in perfectione magis quàm cæteris temporibus, membranæ in quibus ab initio nutritus est, elaxantur, vt spicarum membranæ, ad id vi impulsæ, antequam fructus perfectè maturescat, & fructus quidem robustissimi & plenissimi, vi illata membranas dilacerant, partúmque accelerant, & ex his plerique pereunt. Nam quum parui sint, maiore quàm cæteri vtuntur mutatione, & ex vtero expressi per quadraginta dies ex necessitate malè afficiuntur, quod etiam multos decimo mense natos interemit.

interemit. Ex his autẽ, ſeptimo mẽſe natis, ſuperſunt quidam, ex multis pauci, propterea quòd ratio & tempus, quo enutriti ſunt in vtero, effecit, vt ea omnia conſequantur, quorum etiam perfectiſſimi, & qui maximè ſuperſtites euadunt, compotes fiunt, tum etiam quòd permutationem ſenſerunt, priùs à matre in lucem emiſsi, quam octauo menſe ægrotarent. Etenim ſi hos labores ſuperant, ita vt in lucem puer prodeat, is tamen ſupereſſe neque ob commemoratas affectiones, quas octauo menſe, multos quoque decimo natos, interimere affirmo. Multi autem fœtus eius ætatis, quæ eſt ſeptem menſium, quum laxatis membranis in id quod cedit ſecedunt ibíque alimentum capiunt, primis quidem quadraginta diebus, hi quidem magis, alij minùs laborant. Ac propter permutationem ex locis in quibus alebantur, alterationem ſentiunt, & circa vmbilicum vellicantur, alióque migrant, tum etiam propter matris labores. Membranæ nanque dum tenduntur, & vmbilicus vellicatur, dolores matri pariunt, fœtúſque priſtino vinculo exolutus grauior euadit. Pleræque etiam mulieres ex hoc caſu inſuper febre corripiuntur, quædam quoque vnà cum fœtu pereunt: verùm omnes hac febre paucis diebus tentantur.

CAPVT II.

De difficili tum fœtus octimeſtris geſtatione, tum partus dignotione, & prænotione; fidem de partu mulieribus adhibendam eſſe, & abortus fieri quadraginta primis diebus plurimos.

AT verò ſe vteros difficillimè geſtare octauo menſe rectè dicunt. Eſt autem octauus menſis, non ſolùm tempus hoc, verùm etiam dies à ſeptimo menſe, & à nono, & ab ipſo anno accedunt. Verùm dies eodem modo, neque dicunt, neque agnoſcunt mulieres. Ex eo enim decipiuntur, quòd neque eodem modo ſe habent, verùm etiam quòd quandoque plures dies à ſeptimo ad quadraginta accedunt, quandoque verò à nono. Sic enim pro ratione menſis ac temporis in quo mulier conceperit, contingere neceſſe eſt. At menſis octauus minimè ambiguus eſt. Per hunc enim contingit, vt iudicatio difficilis ſit. Mea ſententia pars etiam in vndecim menſibus, menſis eſt, licèt non admodum commemorari debeat; mulieribus autẽ de partu fides habenda eſt. Nam & omnia narrant, ſempérque dicunt, & ſemper proferunt. Neque enim aut opere aut ſemone ſe perſuaderi ſinunt, ſed ex eo, quod ſibi contigiſſe norunt. Etſi verò volentibus aliud dicere licet, quæ tamen decernendi, aut de hac ſententia pronuntiandi victoriæ poteſtatem habent, ſemper proferunt & affirmant ſeptimo menſe, & octauo, & nono, & decimo, & vndecimo, partus in lucem prodire, & ex his octauo menſe natos minimè ſupereſſe. Quin & abortus plurimos primis quadraginta diebus contingere aſſeuerant, & cætera quæ in quadragenariis ac ſingulis menſibus euenire conſcripta ſunt. Quum verò ſeptimo menſe diſruptis membranis fœtus ſedem mutarit, labores, qui circa octauum menſem, & circa ſextum quadragenarium in partu edendo fieri cenſentur, prehendunt. Hoc autem tempore elapſo, quibus *partus* fœliciter ſucceſſurus eſt, inflammationes tum fœtus,

A καὶ ἀποκτείνει. ἔστι δὲ ἀπὸ τούτων τῶν ἑπταμήνων καὶ περιγίνονται, ἐκ πολλῶν ὀλίγα· ὅτι ὁ λόγος καὶ ὁ χρόνος ἐς ὃν ἐτράφη ἐν τῇ μήτρῃ κατέστησεν· ὥστε μετέχειν πάντων, ὧν περ καὶ τὰ τελεώτατα μετέχει, καὶ μάλιστα περιγινόμενα. καὶ ἐξήλλαξε τῆς μητρὸς πρόσθεν κυούσης, ἅτε ἐν τῷ ὀγδόῳ μηνὶ νενοσευμένα. τούτοις γὰρ τοῖς πόνοις ἢν ἐπιγίνωνται, ὥστ' εἰς τοὐμφανὲς ἐλθεῖν τὸ παιδίον, ἀδύνατον περιγενέσθαι, διὰ τὰς πάθας τὰς προειρημένας, ἅς ἐγώ φημι τοὺς ὀκταμήνους ἀποκτείνειν· πολλοὺς δὲ καὶ τῶν δέκα μηνῶν. τὰ δὲ πολλὰ τῶν ἐμβρύων τῶν ἐν αὐτῇ τῇ ἡλικίῃ τῇ ἑπταμήνῳ, B ὅταν οἱ ὑμένες χαλάσι, μετεχώρησαν ἐς τὸ προσδέξαι, καὶ ἐνταῦθα τὴν τροφὴν ποιέεται. τὰς μὲν τεσσαράκοντα ἡμέρας τὰς πρώτας πονοῦντα, τὰ μὲν, μᾶλλον, τὰ δὲ, ἧττον. διὰ δὲ τὴν μεταβολὴν τὴν ἐκ τῶν χωρίων τῶν θρεψάντων, μετεβάλλετο, καὶ αὐτὸ τὸ ὀμφαλοῦ ἔσπασε, καὶ μετεχώρησε· καὶ διὰ τῆς μητρὸς τοὺς πόνους. οἱ γὰρ ὑμένες τεινόμενοι, καὶ ὁ ὀμφαλὸς σπασθεὶς, ὀδύνας ποιεῖ τῇ μητρί. καὶ τὸ ἔμβρυον ἐκ τοῦ παλαιοῦ συνδέσμου ἐκλυθὲν, βαρύτερον γίνεται. πολλαὶ δὲ τῶν γυναικῶν, καὶ ἐπιπυρεταίνουσι τούτων γινομένων. αἱ δὲ καὶ ἀπόλλυνται σὺν τοῖς ἐμβρύοις. χρῶνται δὲ C πᾶσαι ἐν ὀλίγῳ περὶ τούτου.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τοῦ χαλεπώτατα φέρειν τοὺς ὀγδόους τῶν μηνῶν, καὶ τῆς διαγνώσιός τε καὶ προγνώσιος τοῦ τόκου. χρῆναι οὐκ ἀπιστεῖν τῇσι γυναιξὶ περὶ τῶν τόκων· καὶ τοὺς τρωσμοὺς πλείστους ἐν τῇ πρώτῃ τεσσαρακοντάδι γίνεσθαι.

ΦΑσὶ δὲ τοὺς ὀγδόους τῶν μηνῶν, καὶ χαλεπώτατα φέρειν τὰς γαστέρας, ὀρθῶς λέγουσαι. ἔστι δὲ ὄγδοος μὴν, οὐ μόνον χρόνος οὗτος, ἀλλὰ καὶ ἡμέρας πρόσεστι D ἀπὸ τοῦ ἑβδόμου μηνὸς, καὶ τοῦ ἐνάτου, καὶ ἀπὸ τοῦ ἐνιαυτοῦ. ἀλλὰ τὰς ἡμέρας οὐχ ὁμοίως, οὔτε λέγουσιν, οὔτε γινώσκουσιν αἱ γυναῖκες. πλανῶνται γὰρ διὰ τὸ μήτε κατὰ ταὐτὸ γίνεσθαι, ἀλλ' ὅτε μὲν ἀπὸ τοῦ ἑβδόμου μηνὸς, πλέονας ἡμέρας προσγενέσθαι, ἐς τὰς τεσσαράκοντα· ὅτε δὲ ἀπὸ τοῦ ἐνάτου. τότε γὰρ ἀνάγκη γίνεσθαι, ὅκως ἂν τύχῃ ἡ γυνὴ ἐν γαστρὶ λαβοῦσα, τοῦ μηνός τε καὶ τοῦ χρόνου. ὁ δὲ μὴν ὁ ὄγδοος ἀναμφισβήτητός ἐστι. κατὰ τοῦτον γὰρ γίνεται, ὥστε δυσκρίτως ἔχειν. κατ' ἐμὲ, καὶ τὸ μέρος ἐν τοῖς ἕνδεκα μησὶ, μήν ἐστιν, ὥστε τοῦτον οὐ μνημο- E νευτὸν εἶναι. χρὴ δὲ οὐκ ἀπιστεῖν ταῖς γυναιξὶ περὶ τῶν τόκων. λέγουσι γὰρ πάντα, καὶ αἰεὶ λέγουσι, καὶ αἰεὶ ἐρέουσιν. οὐ γὰρ ἂν πεισθείησαν οὔτ' ἔργῳ, οὔτε λόγῳ, ἀλλ' ὅ, τι γνῶναι ἐν τοῖσι σώμασιν αὐτέων γινόμενον. τὰς δὲ βουλομένας ἄλλο λέγειν, ἔξεστιν, αἱ δὲ κρίνουσαι, καὶ τὰ νικητήρια διδοῦσαι περὶ αὐτέου τοῦ λόγου, αἰεὶ ἐρέουσι, καὶ φήσουσι τίκτειν καὶ ἑπτάμηνα, καὶ ὀκτάμηνα, καὶ ἐννεάμηνα καὶ δεκάμηνα, καὶ τουτέων τὰ ὀκτάμηνα οὐ περιγενέσθαι. φήσουσι δὲ καὶ τοὺς τρωσμοὺς πλείστους ἐν τῇ πρώτῃ τεσσαρακοντάδι γίνεσθαι, καὶ τ' ἄλλα τὰ καταγεγραμμένα ἐν τῇ- F σι τεσσαρακοντάσι, καὶ ἐν τοῖσι μησὶν ἑκάστοισιν. ὅταν δὲ τῷ ἑβδόμῳ μηνὶ περιρραγέωσιν οἱ ὑμένες, καὶ τὸ ἔμβρυον μεταχωρήσῃ, ὑπέλαβον οἱ πόνοι οἱ περὶ τὸν μῆνα τὸν ὄγδοον γενεαλογούμενοι, καὶ περὶ τὴν ἕκτην τεσσαρακοντάδα. τούτου δὲ τοῦ χρόνου παρελθόντος, ὁπόσαις μέλλει εὖ εἶναι, αἱ φλεγμοναὶ ἐλύθησαν, καὶ τοῦ ἐμβρύου,

καὶ τῆς μήτρης, ὥστε γαστὴρ μαλαχθῇ, καὶ ὁ ὄγκος ὑποκαταβῇ, ἀπὸ τῶν ὑποχονδρίων, καὶ τῶν κενεώνων εἰς τὰ κάτω χωρία ἐς εὐτρεπίην, τὴν ἐπὶ τοὺς τόκους τροπήν· καὶ τὴν ἑβδόμην τεσσαρακοντάδα, ἐντεῦθέν ἐστι τὸ πλεῖστον τοῦ χρόνου τὰ ἔμβρυα. τὰ γὰρ χωρία αὐτοῖς μαλθακά, καὶ αἱ μετακινήσιες αὐτοῖς εὐπετέστεραι γίνονται καὶ πυκνότεραι. καὶ διὰ ταῦτα καθέστη πρὸς τὸν τόκον εὐλυτώτερα. καὶ πάσης τῆς τεσσαρακοντάδος, ταύτας αἱ γυναῖκες φέρουσι τὰς τελευταίας ἡμέρας εὐπετέστερον τὰς γαστέρας, ἔστ' ἂν ἁρμόσῃ τὸ ἔμβρυον στρέφεσθαι. μετὰ δὲ ταῦτα, αἵ τε ὠδῖνές εἰσι καὶ οἱ πόνοι ἐπίκεινται, ἔστ' ἂν ἐλευθερωθῇ τοῦ παιδίου καὶ τοῦ ὑστέρου.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τὸν ὄγδοον μῆνα ἐπὶ τοῦ τυφλοῦ ἢ χωλοῦ χαλεπώτερον διαγαγεῖν. καὶ τὰ τοιαῦτα ἔμβρυα, ἀλλὰ δὲ μὴ περιγινόμενα. ὁποῖα τὰ ἔμβρυα τοῦ ἐννάτου τε καὶ δεκάτου μηνὸς ζῇ. πόθεν τὸ μέγεθος τοῦ σώματος.

Ὅσαι δὲ τῶν γυναικῶν ἔτεκον πολλὰ παιδία, καί τι αὐτέων ἐγένετο χωλόν, ἢ τυφλόν, ἢ ἄλλο τι κακὸν ἔχον, φήσουσιν ἐπὶ τῶν τουτέων παιδίων τὸν ὄγδοον μῆνα, χαλεπώτερον διαγαγεῖν, ἢ ἐφ' ὧν ἔτεκεν, οὐδὲν κακὸν ἐχόντων. τὸ γὰρ ἔμβρυον τὸ πηρωθέν, ἐν τῷ ὀγδόῳ μηνὶ ἰσχυρῶς ἐνόσησεν, ὥστε καὶ ἀπόστασιν ἐποίησεν ἡ νοῦσος· ὡς καὶ τοῖς ἀνδράσιν αἱ ἰσχυραὶ νόσοι ἐποίησαν. ὅσα δ' ἂν τῶν ἐμβρύων ἐν ἄλλῳ χρόνῳ ἰσχυρῶς νοσήσῃ, ἀπόλλυται πρόσθεν, ἢ αὐτέῳ ἀπόστασιν γενέσθαι· ὅσα δ' ἂν τῶν ὀκταμηνίων ἐμβρύων μὴ σφόδρα νοσήσῃ, ἀλλὰ κατά ἕν τι, ἐκ τῆς μεθόδου κακοπαθήσῃ, τὰς μὲν τεσσαράκοντα ἡμέρας διετέλεσεν ἐν ἀσθενείῃ. τὰ δὲ πλεῖστα, ἐν τῇ μήτρῃ, διὰ τὰς ἀνάγκας τὰς προειρημένας· ἐγένοντο δὲ ὑγιαίνοντα. ὅ, τι δ' ἂν γένηται ἐν τεσσαράκοντα ἡμέραις ταύταις, ἀδύνατον περιγενέσθαι. νοσέοντι γὰρ αὐτέῳ ἔτι ἐν τῇ μήτρῃ, ἐπιγίνονται αἱ μεταβολαί, καὶ αἱ κακοπάθειαι, μετὰ τὸν τόκον. ὅτι δ' ἂν ἀπονοσήσῃ ἐν τῇ μήτρῃ, ἐς τὸν ἔννατον μῆνα ἔλθῃ, καὶ ἐν τουτέῳ τῷ μηνὶ γένηται, περιγίνηται. περιγίνεται μὲν οὐκ ἔλασσον ἢ ἑπτάμηνα, ὀλίγα δὲ καὶ τουτέων ἐκτρέφεται. οὔτε γὰρ τὴν παχύτητα ἴσχει ὥσπερ τὰ τελεώτατα ἔχουσιν, οὔτε πόνοι οἱ ἐν τῇ μήτρῃ, οὐ πάλαι πεπονημένοι εἰσὶν αὐτέοις, ὥστε λεπτὸν γενέσθαι. σωθείη δ' ἂν μάλιστα, εἰ τοῦ ἐννάτου μηνὸς γένοιτο ἐν ἐξόδῳ. ἰσχυρότερον δ' ἂν γένοιτο, καὶ πλεῖστον ἀπέχον τῶν νούσων, τῶν τοῖς ὀκταμηνίοις γινομένων. καὶ γὰρ τὰ ἐν ἑπτὰ τεσσαρακοντάσι τικτόμενα, τὰ δεκάμηνα καλεόμενα, διὰ ταῦτα μάλιστα ἐκτρέφεται, ὅτι ἰσχυρότατά ἐστι καὶ πλεῖστον ἀπέχει τῶν γνωρίμων παιδίων τοῦ χρόνου, ἐν ᾧ ἐκακοπάθησε τὰς τεσσαράκοντα ἡμέρας τὰς νοσουμένας, περὶ τὸν μῆνα τὸν ὄγδοον. σαφηνίζει δὲ περὶ τῶν νοσημάτων καὶ παθημάτων τῶν τοῖς ὀκταμηνίοις γινομένων. καὶ τὰ ἐννεάμηνα λεπτὰ τικτόμενα κατὰ τὸ πλῆθος τοῦ χρόνου ἐγεγόνει καὶ τὸ μέγεθος τοῦ σώματος, ἐκ νόσων κακοπαθείης ἀφιγμένης, οὐχ ὥσπερ τὰ ἑπτάμηνα τίκτεται σεσαρκωμένα, καὶ τὸ πάχος ἔχοντα, εὐτραφέως ἄνοσα διατετελεκότα, ὃν χρόνον ἐν τῇ μήτρῃ διεφέρετο.

tum matris dissoluuntur, adeò vt venter emolliatur, tumórque ab hypocondriis & laterum inanitate in loca inferiora descendat, ad aptam conuersionem, quæ facilem partus progressionem faciat. Et septimo quadragenario plurimo tempore fœtus illic permanent. Nam & loci ipsis molles sunt, & transmotiones ipsis faciliores & frequentiores contingunt, ideóque ad partum expeditiores redduntur. Et ex toto quadragenario, per vltimos hos dies mulieres faciliùs vteros ferunt, quoad fœtum conuerti contigerit. Posteà verò partus dolores & labores incumbũt, donec puero & secundis mulier liberetur.

CAPVT III.

Octauum mensem, fœtum cæcum ac mutilum gerentibus difficiliorem esse; eiusmodi fœtum, non autem alios superesse. Qui fœtus nono mense ac decimo viuant; vnde corporis magnitudo.

QVæ verò mulieres multos pueros pepererunt, in quibus aliquis claudus, aut cœcus, aut alio qui malè affectus fuit, eæ affirmãt se in his gestandis, pueri octauũ mensem molestiùs tulisse, quàm in his quos nullo modo malè affectos pepererunt. Mutilus enim fœtus octauo mense vehemẽter ægrotauit, adeò vt etiã morbus abscessum fecerit, peræquè ac viris morbi grauissimi facere consueuerunt. At fœtus, qui alio tempore vehementer ægrotarint, ij priùs intereunt, quàm ipsis eiusmodi abscessus fiat. Octimestres autem fœtus, qui non valdè ægrotant, sed vna quapiã parte propter digressionem malè affecti sunt, eorum plerique per quadraginta quidem dies, ob commemoratas causas necessarias, in vtero imbecilles sunt, verùm sani euadũt. Qui verò intra hos quadraginta dies natus fuerit, is superesse nequit, cùm huic adhuc in vtero ægrotanti, post partum mutationes, & afflictiones præterea accedant. At qui in vtero ægrotans ad nonum mensem peruenerit, eóque editus fuerit, is quidem superesse poterit. Et supersunt quidem hi non minùs quàm septimestres, quanquam etiam ex his pauci educantur. Neque enim eam habent corpulentiam, quam perfectissimi nacti sunt, & laboribus quos in vtero non ita pridem pertulerunt, conflictantur, ita vt tenues reddantur. Is verò potissimùm fœtus seruatur. qui nono mense iam affecto in lucem editur. Validior autem euadit, plurimúmque abest à morbis, qui octimestribus contingere consueuerunt. Qui enim septimo quadragenario in lucem eduntur, decimestres appellati; hanc ob causam præcipuè educantur, quod validissimi sunt, plurimúmque absunt ab vsitatorum puerorum tempore, in quo circa octauum mensem diebus quadraginta ægrotantes, malè habent. Quin & nonimestres tenues editi in lucem, eorum qui octauo mense nati sunt morbos & affectiones declarant. Quamuis enim pro tẽporis longitudine corporis magnitudo existit, accedente tamen morborum affectione, neque edũtur carnosi, neque vegetam habent corpulentiã, velut septimestres, qui gestationis tempus in vtero sine morbis peregerunt.

CAPVT

CAPVT IV.

De diebus ac menſibus iudiciariis ac decretoriis conceptionis, abortus, partus.

AT verò mulieribus fœtuum cõceptiones, & abortiones, & partiones, eodem tempore iudicantur, quo & morbi, & ſanitas, & mors cunctis hominibus contingunt. Sed iſtorum omnium alia quidem diebus, alia menſibus, alia dierum quadragenariis, alia annuo ſpatio de ſe ſignificationem præbent. In his enim omnibus temporibus multa quidem cuique conferentia, multa quoque aduerſa inſunt. Ex quibus quæ conducunt, ſanitatem & incrementa contraria verò morbos & mortem adferuut. Dies igitur inter alios maximè inſignes ſunt primi & ſeptimi, ac multùm quidem in morbis, multùm etiam in fœtibus poſſunt. Abortiones enim plurimæ his diebus contingunt. Tales verò effluxiones nominantur, non abortus. Reliqui autem dies intra quadrageſimum, minùs quidem inſignes ſunt, multi tamen decernunt. In menſibus verò omnia, quæ in diebus contingunt, eadem ratione. Et ſingulis menſibus bene valentibus mulieribus menſtrua comparent, tanquam peculiarem in corporibus vim menſis habeat. Ex quibus ſanè ſeptimi menſes in prægnantibus, fœtibus perfectionis initium adferunt. Pueris verò vbi ſeptem menſes attigerunt, tum alia eximia in corporibus fiunt, tum eo tempore dentes apparere incipiunt. Eadem quoque eſt ratio dierum iudicatoriorũ, ſi quis fortè ea quæ à me dicta ſunt, quæque cognitionis gratia dicentur, iſtis accommodare velit. Etenim Medicum qui de ægrorum ſalute rectè coniectare volet, animaduertere oportet, vt omnes quidem dies in contemplationem adhibeat, ex paribus verò decimum quartum, & vigeſimum octauum, & quadrageſimum ſecundum. Hic enim terminus pro harmoniæ ratione, & integer perfectúſque numerus à quibuſdam ponitur. Quam verò ob cauſam longum foret in præſentia referre. Ad hunc autem modum per ternarios aut quaternarios contemplari oportet, ternariis quidem omnibus copulatis, quaternariis verò duobus ad duos connexis, & duobus ad duos coniugatis.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν κριτικῶν τε καὶ κρισίμων ἡμερῶν καὶ μηνῶν τῆς συλλήψιός τε, καὶ τοῦ τρωσμοῦ, καὶ τοῦ τόκου.

ΤΑῖς δὲ γυναιξὶν αἱ συλλήψιες τῶν ἐμβρύων, καὶ οἱ τρωσμοί τε, καὶ οἱ τόκοι ἐν τουτέῳ τῷ χρόνῳ κρίνονται, ἐν ᾧπερ αἵ τε νοῦσοι, καὶ αἱ ὑγίειαι, καὶ οἱ θάνατοι τοῖς σύμπασιν ἀνθρώποισιν. ταῦτα δὲ πάντα τὰ μὲν, καθ' ἡμέρας· τὰ δὲ, κατὰ μῆνας ἐπισημαίνει· τὰ δὲ κατὰ τεσσαρακοντάδας ἡμερῶν. τὰ δὲ, καὶ ἐνιαυτόν. ἐν πᾶσι γὰρ τοῖσι χρόνοισι τουτέοισιν, ἔνεστι περὶ ἕκαστον, πολλὰ μὲν ξυμφέροντα, πολλὰ δὲ πολέμια. ἐκ μὲν οὖν τῶν συμφερόντων αἵ τε ὑγίειαι γίνονται, καὶ αἱ αὐξήσιες· ἐκ δὲ τῶν ἐναντίων, αἵ τε νοῦσοι καὶ οἱ θάνατοι. αἱ μὲν οὖν ἡμέραι ἐπισημόταταί εἰσιν ἐν τοῖς πλείστοις, αἵ τε πρῶται καὶ ἑβδομαῖαι· πολλαὶ μὲν, περὶ νούσων, πολλαὶ δὲ, καὶ τοῖς ἐμβρύοις. τρωσμοί τε γὰρ γίνονται καὶ οἱ πλεῖστοι ταύταις ταῖς ἡμέραις. ὀνομάζεται δὲ τὰ τηλικαῦτα, ἐκρύσιες, ἀλλ' οὐ τρωσμοί. αἱ δὲ ἄλλαι ἡμέραι ὅσαι ἐντὸς τῶν τεσσαράκοντα, ἐπίσημοι μὲν ἧσσον, πολλαὶ δὲ, κρίνουσιν. ἐν δὲ τοῖς μησὶ ταῦτά τε καὶ ἐν τῇ ἡμέρῃ γινόμενα ἔνεστι κατὰ λόγον. καὶ καταμήνια γυναιξὶ ταῖς ὑγιαινούσαις φαίνονται καθ' ἕκαστον τῶν μηνῶν, ὡς ἔχοντος τοῦ μηνὸς ἰδίην δύναμιν ἐν τοῖς σώμασιν. ἐξ ὧν δὴ καὶ οἱ ἕβδομοι μῆνες ταῖς ἐν γαστρὶ ἐχούσαις, τὰ ἔμβρυα εἰς τὴν ἀρχὴν καθιστᾶσι τῆς τελειώσεως. τοῖσι δὲ παιδίοις ἑπταμήνοισιν ἐοῦσιν, καὶ ἄλλα διαφέροντα γίνονται ἐν τοῖς σώμασι, καὶ οἱ ὀδόντες φαίνεσθαι ἄρχονται ἐν τουτέῳ τῷ χρόνῳ. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ κρισίμων, ἥνπερ ἴσως καὶ τοῖσδέ τις συγχρέοιτο, ὁκοίας ἔλεξα ἱστορίας τε ἕνεκα εἰρήσθω. σκοπεῖν γὰρ χρὴ τὸν μέλλοντα ἰητρὸν ὀρθῶς στοχάζεσθαι τῆς τῶν καμνόντων σωτηρίας, θεωροῦντα μὲν, περὶ τὰς πάσας. τῶν δὲ ἀρτίων, τὴν τεσσαρεσκαιδεκάτην, καὶ τὴν ὀγδόην εἰκοστὴν, καὶ τεσσαρακοστὴν καὶ δευτέρην. οὗτος γὰρ ὁ ὅρος τίθεται παρὰ τῷ ἁρμονίης λόγῳ περί τινων, καὶ ὁ ἀρτιφυής τε καὶ τέλειος ἀριθμός. δι' ἣν δὲ αἰτίην, μακρότερον ἂν εἴη ἐπὶ τοῦ παρεόντος διεξελθεῖν. θεωρεῖν δὲ χρὴ οὕτως, τριάσι τε καὶ τετράσι. ταῖς μὲν, τριάσι συνημμέναις ἁπάσαις· ταῖς δὲ, τετράσι. δύο μὲν, παρὰ δύο συνημμέναις· δύο δὲ, παρὰ δύο συνεζευγμέναις.

CAPVT V.

De quadragenarij primi, ſecundi, & tertij viribus, ac de morte.

AT verò quadragenariæ primùm quidem in fœtibus iudicant. Qui verò primos quadraginta dies ſuperauerit, is abortiones quæ ex omni cauſa contingunt effugit. Plures autem primis quadraginta diebus, quàm aliis omnibus abortiones fiunt. Quo tempore præterito, fœtus valentiores exiſtunt, & ſingula corporis membra diſcernuntur. Et in maribus quidem valde manifeſta fiunt omnia. In fœminis verò per hoc tempus carnes conſpicuæ ſunt, protuberantias tantùm habentes. Longiore enim tempore ſimilia in ſimilibus ſimiliter ſe habent, & propter familiaritatem ac amicitiam tardiùs diſcernuntur.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῆς ἰσχύος τῆς πρώτης τε, καὶ τῆς δευτέρας, καὶ τῆς τρίτης τεσσαρακοντάδος τε, καὶ θανάτου.

ΑΙ δὲ τεσσαρακοντάδες, πρῶτον μὲν κρίνουσιν ἐπὶ τῶν ἐμβρύων. ὅ,τι δ' ἂν ὑπερβάλλῃ τὰς τεσσαράκοντα ἡμέρας τὰς πρώτας, ἐκφεύγει τοὺς τρωσμοὺς ἐπὶ παντὸς γινομένους. πλέονες δὲ γίνονται ἐν τῇ πρώτῃ τεσσαρακοντάδι τρωσμοὶ, ἢ ἐν ταῖς ἄλλαις ἐούσαις. τοῦδε τοῦ χρόνου παρελθόντος, ἰσχυρότερά ἐστι τὰ ἔμβρυα, καὶ διακρίνεται καθ' ἕκαστα τῶν μελέων τὸ σῶμα. καὶ τῶν μὲν ἀρσένων, σφόδρα διάδηλα γίνεται πάντα· τὰ δὲ θήλεα, ἐς τοῦτον τὸν χρόνον, σάρκες φαίνονται ἀποφύσιας μούνον ἔχουσαι. πλείονα γὰρ χρόνον τὰ ὅμοια ἐν τῷ ὁμοίῳ ὁμοιοῦται, καὶ κρίνεται βραδύτερον, διὰ τὴν συνήθειάν τε καὶ φιλότητα.

καίτοι τά γε ἄλλα ὅταν χωρισθῶσι τῆς μητρὸς, αἱ θυγατέρες τῶν κούρων θᾶσσον ἡβῶσι, καὶ φρονέουσι, καὶ γηράσκουσι διὰ τὴν ἀσθενείην τε τῶν σωμάτων, καὶ τὴν δίαιταν. ἄλλη δὲ τεσσαρακοντὰς, ἐν ᾗ περὶ τὸν ὄγδοον μῆνα τὰ ἔμβρυα ἐν τῇ μήτρῃ νοσεῖ, περὶ ὧν ὁ λόγος λέγεται ὧδε σύμπας. τρίτη δὲ, ἐν ᾗ τὰ παιδία, ὅταν γένηται τὰ κακοπαθήσαντα, ἢν περιφύγῃ τὰς τεσσαράκοντα ἡμέρας, ἐφάνη ἰσχύοντα δῆτα μᾶλλον καὶ φρονέοντα. καὶ γὰρ τὰς αὐγὰς ὁρᾷ σαφέστερον, καὶ τὸν ψόφον ἀκούει, πρόσθεν μὴ δυνάμενα, ὡς ἐπίδοσιν ἔχοντος τοῦ χρόνου τούτου κατὰ τὰ ἄλλα, καὶ κατὰ τὴν φρόνησιν τὴν διὰ τοῦ σώματος. ὃ μὲν γὰρ ἴδιον φρόνημα δῆλόν ἐστιν ἐὸν ἐν τῷ σώματι, ἔν γε τῇ πρώτῃ ἡμέρῃ. ἔν τε γὰρ τοῖς ὕπνοισιν ἐοῦσιν, αὐθέως, ἐπὴν γένωνται, γελῶντα φαίνεται τὰ παιδία, καὶ κλαίοντα. ἐγρηγορότα τε αὐτόματα, αὐθέως γελᾷ τε καὶ κλαίει. πρόσθεν ἢ τεσσαράκοντα ἡμέραι γένοιαντο. οὐδὲ γελᾷ, ψαυόμενά τε, καὶ ἐρεθιζόμενα, πρόσθεν, ἢ αὐτὸς ὁ χρόνος οὗτος γένηται. ἀμβλυώονται γὰρ αἱ δυνάμεις, ἐν ταῖς μύξῃσι. καίγε ὁ θάνατος διὰ τὴν μοιρίην ἔλαχεν. ὥστε παράδειγμα τοῖς πᾶσιν εἶναι, ὅτι πάντα φύσιν ἔχει, ἐκ τῶν αὐτέων ἐόντα, μεταβολὰς ἔχειν διὰ χρόνων τῶν ἱκνουμένων. σαφηνίζεται δὲ ἐν ἑκάστοισι ἄλλο τι τῶν γινομένων καὶ ἀπογινομένων. ἐν δὲ τῷ ἐνιαυτῷ τελευμένῳ, πολλαὶ μὲν νοῦσοι γίνονται, πολλαὶ δὲ ὑγεῖαι, κατὰ λόγον τοῦ χρόνου, πρὸς τοὺς μῆνάς τε καὶ τὰς ἡμέρας ἑκάστας, τοῖς ἑβδόμοις, καὶ τ' ἄλλα πολλὰ γὰρ διαφέροντα τοῖς σώμασι. τοῖσι δὲ παιδίοισιν οἱ ὀδόντες ἐκπίπτουσι, καὶ ἕτεροι φύονται. τὰ γὰρ ἐπὶ σώμασι, τάδε γράψω.

Etſi in cæteris, vbi à matre ſeiunctæ fuerint, puellæ citiùs quàm pueri pubeſcunt, ſapiunt & ſeneſcunt, propter corporum imbecillitatem, & victus rationem. Altera verò eſt quadragenaria, in qua per octauum menſem fœtus in vtero ægrotant, de quibus hæc tota oratio ad hunc modum eſt instituta. Tertia verò, in qua, ſi naſcuntur pueri, licet malè affecti, ſi quadraginta dies euaſerint, valentiores ſanè magiſque intelligentes eſſe videntur. Nam & ſplendorem pleniùs intuentur, & ſtrepitum audiunt, quum antea non poſſent, tanquam hoc tempus plurimùm conferat, tum ad alia tum ad intelligentiam, quæ in corpore ineſſe percipitur. Singularem ſiquidem intelligentiam in corpore ineſſe prima ſanè die conſtat. Nam & in ſomnis pueri ſtatim vbi nati ſunt, & ridere & plorare conſpiciuntur. Quin etiam ſponte vigilantes ſtatim rident ac plorant, etiam priuſquam diem quadrageſimum attigerinr. Neque verò tacti aut irritati ante hoc ipſum tempus rident. Hebetantur enim vires muccorum copia. Quin & mors fatali ſorte contingit. Quod omnibus documento eſt, omnia quæ exiſtunt, ex iiſdem natura conſtare, & mutationes per congruentia tempore obtinere. Quod ex ſingulis manifeſtum fit, quæ partim oriuntur, partim decedunt. Anno voluente multi quidem morbi, multæ etiam ſanitates contingunt, pro temporis ratione quam habent menſes aut dies ſinguli ad ſeptenarios. Quin etiam multa alia eximia in corporibus fiunt, pueris verò dentes excidunt, & alij oriuntur. Quæ autem corporibus accidunt, hæc à me ſcribentur.

ΓΑΛΗΝΟΥ

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΕΠΤΑΜΗΝΩΝ ΒΡΕΦΩΝ.

GALENI DE SEPTIMESTRI PARTV, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ἐκ τῆς κατὰ τὸν Ἱπποκράτην δογμάτων διδάσκει ἐπὶ πόσων ἡμερῶν οἱ ἑπτάμηνοι τελειῶνται.

ARGVMENTVM LIBRI.

Ex Hippocratis ſententia docet, quot dies ſeptimeſtrem partum perficiant.

DE ſeptimeſtri partu eá dicam, quæ per omne tempus cognita ſunt, quum ſeminis in vtero conceptiones à mulieribus diligenter obſeruatas cognoſcere ſtuduerim, quibus ignoratis geſtationis vteri quidem tempus inueniri minimè poteſt. Plurimas equidem ipſarum inter medium terminũ centum nonaginta ducentorum dierum, geſtaſſe fœtum deprehendi diſtinctiùs, aut tardiùs, paucas; nullas planè celerius centeſimo & octogeſimo ſecundo die cum dimidio & quibuſdam horis, vel poſt quartum ſupra ducenteſimum. Iure igitur ortus ſeptimeſtris partus edendi primus terminus eſſe dimidij anni tempus reperiatur; nulla namque celerius partum edidit, ſed tardiùs omnes; quod ſanè tempus centeſimo, & octogeſimo tertio poſt conceptum die, expletur. Atque vnam ſolam mulierem noui, quæ centeſimo, & octogeſimo quarto die exacto, atque expleto partum edidit. Quatuor autem, & viginti horarum interuallum diem appello; ita enim, & annum trecentis, & ſexaginta quinque diebus, & quarta inſuper diei parte conſtare dicunt; menſtruum verò tempus viginti nouem, & dimidio. Nam menſem nominari ſpatium, quod ab vno Lunæ coitu cum Sole vſque ad alterum intercedit, omnibus notum eſt. Huic autem dierum numero adiici etiam quandam particulam, quæ ſit totius diei quingenteſima ſeptuageſima ſexta, demonſtrauit Hipparcus, quæ tamen adeò parua eſt, vt de ea conſiderare ſuperuacaneum ad præſens propoſitum eſſe videatur. Nam propoſita res iam finem habet; quum Hippocrates, & in ſecundo libro epide-

A ΠΕΡΙ δὲ ἑπταμήνων βρεφῶν, ἐρῶ τὰ δι' ὅλου τοῦ χρόνου γνωσθέντα μοι πάνυ φιλοπόνως βουληθέντι γνῶναι τὰς ἀκριβῶς παραφυλαχθείσας ταῖς γυναιξὶ συλλήψεις τοῦ σπέρματος· ὧν ἀγνοουμένων, οὐδ' ὁ τῆς κυήσεως χρόνος εὑρεθῆναι δύναται. τὰς μὲν δὴ πλείστας αὐτῶν εὗρον ἐν τῷ μεταξὺ τῶν ἑκατὸν ἐνενήκοντα καὶ διακοσίων ἡμερῶν κεκυηκυίας. ὀλίγας δ' ἤτοι πρωϊαίτερον ἢ ὀψιαίτερον. οὐδεμίαν οὔτε θᾶττον ἑκατοστῆς καὶ ὀγδοηκοστῆς καὶ δευτέρας ἡμέρας, καὶ ἡμίσεος, καί τινων ὡρῶν. οὔτε ἐξωτέρω τετάρτης ἐπὶ ταῖς διακοσίαις. B ὀρθῶς οὖν περὶ ἑπταμήνου γενέσεως εὕρηται πρῶτος ὅρος εἶναι τῆς ἀποκυήσεως ὁ τοῦ ἡμίσεως ἐνιαυτοῦ χρόνος. οὐδεμία γὰρ ἀπεκύησε τούτου πρωϊαίτερον, ἀλλ' ἐξώτεραι πᾶσαι. συμπληροῦται δ' οὗτος ὁ χρόνος ἐν τῇ μετὰ τὴν σύλληψιν ἑκατοστῇ καὶ ὀγδοηκοστῇ καὶ τρίτῃ. καί τινα μίαν οἶδα γυναῖκα τεκοῦσαν ἑκατοστῆς, καὶ ὀγδοηκοστῆς, καὶ τετάρτης ἡμέρας συμπληρωθείσης. ἡμέραν δ' ὀνομάζω νῦν δηλονότι, τὸν τεττάρων καὶ εἴκοσι ὡρῶν ἀριθμόν. οὕτω γὰρ καὶ τὸν ἐνιαυτὸν ἡμερῶν εἶναι λέγουσι C τριακοσίων ἑξήκοντα πέντε καὶ τετάρτου. καὶ τὸν μηνιαῖον χρόνον, κθ'. καὶ ἡμίσεος. ὅτι δὲ μὴν ὁ ἀπὸ συνόδου σελήνης πρὸς ἥλιον ἄχρι τῆς ἑξῆς συνόδου χρόνος ὀνομάζεται, ἡ γινώσκεται πᾶσιν. προσέρχεσθαι δὴ καὶ ἄλλο τι μόριον Ἵππαρχος ἀπέδειξε, ὃ τῆς ὅλης ἡμέρας εἰς τριακοσιοστόν τε καὶ εἰκοστὸν καὶ δισμυριοεπτάκις χιλιοστόν. ἀλλ' ὅτι γε πρὸς τοῦτο πάνυ σμικρόν. οὐ περιττὸν εἰς τὰ παρόντα μεμνῆσθαι. ὃ γάρ τοι προκείμενον ἤδη πέρας ἔχει, κατὰ μὲν τὸ δεύτερον τῶν ἐπιδη-

μηνῶν, ὅπερ ἐν ὑπομνήματι τῷ Ἱπποκράτους, ἔτι ζητοῦντος αὐτοῦ, πότερον ἑβδομήκοντα καὶ διακοσίαις ἡμέραις οἱ Ἑλληνικοὶ μῆνες ἐννέα τὴν συμπλήρωσιν ἴσχουσι, ὅπερ ἐπὶ τῶν τριακονθημέρους αὐτοὺς ἡγουμένους ὑπάρχειν, οὐκ ἀκριβῶς ἐν τοσαύταις κυΐσκεται, τὰ ἐννεάμηνα παιδία. κατὰ δὲ τῆς περὶ ἑπταμήνου γενέσεως ἀκριβῶς ἤδη πάνθ' εὑρηκότος. ἐν ᾧ δῆλον ὅτι μετὰ τὸ ἥμισυ τοῦ ἐνιαυτοῦ δύναται γεννᾶσθαι τὰ ἑπτάμηνα. τοῖς δὲ καὶ τὴν λέξιν ὅλην ἣν προεθέμεθα ἐν τῷ περὶ ἑπταμήνων βρεφῶν τῆς γενέσεως ἐπιθυμοῦσι νοεῖσθαι, τὴν ἐξήγησιν ὑπογράψω. οἱ δὲ ἑπτάμηνοί φησι γίνονται ἐκ τῶν ἑκατὸν ἡμερῶν καὶ ὀγδοήκοντα καὶ δύο, καὶ προσεόντος μορίου. ἑπταμήνους ἤτοι παῖδας, ἢ τόκους. τὸ δὲ ἐπὶ ταῖς ἑκατὸν καὶ ὀγδοηκονταδύο ἡμέραις μόριον, τὰς πεντεκαίδεκα ὥρας λέγει, μετά τινος, ὡς ἔμπροσθεν ἔφην, μορίου σμικροῦ. ὃ καὶ αὐτὸ μιᾶς ὥρας ἐστὶν, εἰκοστὸν τέταρτον ἔγγιστα. δῆλον γὰρ ὅτι τὰς ἰσημερινὰς ὥρας λέγομεν ἐν ἅπασι τοῖς τοιούτοις. ὧν ἐστι τὸ νυχθήμερον ὀνομαζόμενον ὑπὸ τῶν ἀστρονομικῶν εἴκοσι καὶ τεττάρων, ὡς ἁπάντων αὐτῶν ἴσων ὄντων. ἐπειδὴ τὸ παραλλάττον ἐλάχιστόν ἐστιν, ὥς τινας νομίζειν ὅλως αὐτὸ, μηδ' εἶναι. μέσαι τε γάρ πως εἰσὶ κατὰ τὸ μέγεθος, αἱ κατὰ τὴν ἰσημερίαν ὧραι. τῶν τε μεγίστων ἐν ἑκάστῳ χωρίῳ, καὶ τῶν ἐλαχίστων. οὕτω δὲ καὶ περὶ τοῦ μηνιαίου χρόνου νόειμοι λελέχθαι, καίτοι γε ἀνίσων ὄντων τῶν μηνῶν, ὅγε μέσος μὴν, ὁμαλῶς ἀριθμοῦνται. τοσούτων ἐστὶν ἡμερῶν, ὅσων ἀρτίως εἶπον. οὐ μὴν οὕτως ἔχει κἀπὶ τῶν ἐνιαυτῶν. ἴσοι γὰρ πάντες εἰσὶν, ἐάν τε γὰρ τὴν ἀπὸ τούτου τοῦ μορίου ἐπάνοδον τοῦ ἡλίου λέγει τις ἐνιαυσιαῖον εἶναι χρόνον. ἐάν τε τὴν ἀπὸ τροπῶν, ἐπὶ τροπάς. ἠγνοεῖτο δὲ τῇ ἔμπροσθεν ἀστρονομία, ὁ ἀπὸ τροπῆς ἐπὶ τροπὰς χρόνος ἕτερος ὢν, τῆς ἀπὸ σημείου πάλιν ἐπὶ ταὐτὸ σημεῖον ἀποκαθιστάντος τὸν ἥλιον. ὀνομάζω γὰρ σημεῖον, ὡς οἱ γεωμέτραι καλεῖν εἰσιν εἰθισμένοι, τὸ αὐτὸ τῇ στιγμῇ. μετὰ δὲ τὸ πρῶτον μέρος τῆς ῥήσεως, ὃ νῦν ἐξήγημαι, δεύτερον δὲ κατὰ λέξιν οὕτως ἔχει. ἢν γὰρ τοῦ πρώτου μηνὸς λογίσῃ τὰς πεντεκαίδεκα ἡμέρας. ἢν γὰρ τοῦ πρώτου λογίσῃ μηνὸς πεντεκαίδεκα ἡμέρας, τῶν δὲ πέντε μηνῶν ρμ', καὶ ζ', καὶ ἥμισυ ἡμέρας. ἢν γὰρ ἑξήκοντα μιῆς δεούσης ἡμέρης, ἐγγύτατα δύο μῆνες ἐκτελεῦνται. οὕτως οὖν τούτων ἐόντων, ἐς τὸν ἕβδομον μῆνα περιγίνονται ἡμέραι πλέον ἢ εἴκοσιν, ἥμισυ τοῦ ἐνιαυτοῦ καὶ τῆς ἡμέρης τοῦ μέρεος, τῷ μέρει προσῷ γινομένῳ. τοῦτον δὲ οὕτως ἔγραψεν, ἐπειδὴ βούλεται κἂν πλείω ἢ τὸ ἥμισυ τοῦ σεληνιακοῦ μηνὸς ἡ γυνὴ κυήσῃ, καὶ οὕτως αὐτὸν τὸν χρόνον τούτου ἀριθμεῖσθαι μηνός· καὶ διὰ τοῦτο πέντε μὲν ὁλοκλήρους γίνεσθαι μῆνας, ἐν τῷ μεταξὺ τοῦ τε πρώτου καὶ ἑβδόμου. δύο δὲ ἐλλιπεῖς, τόν τε πρῶτον καὶ τὸν ἕβδομον. οὐ μὴν οὕτως ἐλλιπεῖς ὡς λείπειν αὐτοῦ πλέον, ἢ τὸ ἥμισυ τοῦ μηνός. ἔστι δὲ τὸ ἥμισυ τοῦ μηνὸς, ἡμερῶν ἔγγιστα δεκατεσσάρων καὶ ἡμίσεως, καὶ τετάρτου μιᾶς ἡμέρας. ὥστε εὔδηλον ὅτι τοσούτου χρόνου, καὶ τὸν τοῦ πρώτου μηνὸς εἶναι προσήκει μείζονα, καὶ τὸν τοῦ τελευταίου. ἐὰν μὲν οὖν ποτε τοῦ πρώτου μηνὸς ὁ μετὰ τὴν σύλληψιν χρόνος ἡμερῶν ᾖ πλειόνων εἴκοσιν, οἷον εἰ τύχοι τριῶν καὶ εἴκοσι. τῶν δ' ἑξῆς

mium, adhuc quærat, vtrum nouem lunares menses ducentis, & septuaginta diebus expleantur, eò quòd si triginta diebus constare eos existimemus, exactè talem dierum rationem nouimestres partus non æquent : & in suo de septimestri partu tractatu exquisitè omnia iam inuenerit : in quo docet post dimidium annum in lucem etiam fœtus septimestres edi posse. Si autem qui totam Hippocratis orationem, quam initio tractationis de septimestri partu habuit intelligere velint, eius explanationem subiungam. *Septimestres inquit oriuntur ex cẽtum octogina duobus diebus, addita insuper diei particula.* Septimestres, siue infantes vocat, siue fœtus : particula verò diei, quam diebus centum octoginta duobus adiungendam inquit, quindecim horæ sunt cum ea insuper parua admodum parte, vt prius dixi, quæ ad vigesimam quartam vnius horæ quàm proximè accedit Perspicuum enim est nos æquinoctiales horas in his omnibus intelligere quarum nox diesque viginti quatuor ab astronomis constare dicuntur : hæ enim omnes horææquales inter sese sunt, adeò enim quod mutationem est affert exiguum, vt totum hoc esse nihil quidam arbitrentur : sunt quippe secundum longitudinem mediæ hæ æquinoctiales horæ inter maximas, & minimas in vnaquaque regione. Ita quoque de menstruo tempore dictum esse putes : nam licet menses sint inæquales, medius tamen mensis æqualiter mensuratur, tot enim dierum est quot nunc dixi, quod tamen in annis non sic se habet, omnes enim æquales sunt. Siue enim ab hac parte in eamdem, siue à solstitio in solstitium, reditum Solis annuum tempus quispiam vocet, & antiqua ignoretur astronomia, nullo modo fiet, vt, quæ à solstitio in solstitium facta fuerit reuolutio, diuersus annus sit ab eo, quo Sol à signo quodam in idem signum fuerit restitutus, signum enim appello, quemadmodum sumere geometræ consueuerunt. Post prima hæc Hippocratis verba, quæ exposuimus reliqua autem ad hunc se habent modum. *Si enim primi mensis quindecim dies computaris, quinque verò sequentium centum quadraginta septem, & dimidium : sexaginta enim diebus vno dempto quàm proximè duo menses constituunt : si igitur ita hæc se habeant, in septimum mensem amplius, quàm viginti dies, supersunt ad dimidium anni, quadam diei parte parti accidente.*

Hoc autem ita scripsit, quòd vult, etiam si supra dimidium lunaris mensis fœtum gestarit mulier, sic quoque ipsum id tempus huius mensis debere numerari : atque iccirco quinque integros esse menses, inter primum & septimum medios : deficientes autem duos, primum & septimum: qui autem non sic deficiant, vt amplior eis, quàm dimidia pars desit ; dimidium enim mensis dierum est quatuordecim cum dimidio, & quarta insuper diei parte. Hinc patet quod hoc tempore, & primi mensis, & vltimi, maius esse conueniat. Si igitur primi mensis tempus post conceptum viginti dies excesserit, sitque, verbi causa, dierum viginti, & trium horarum : reliqui verò quinque

que menses centum quadraginta septem dierum, & vnius dimidij sunt, ex vtrisque dierum centum sexaginta septem cum dimidio, tempus efficietur, in quo post quindecim ad minimum dies septimestris fœtus edi poterit: nam vt sexti mensis terminum excedere fœtus reperiatur, hic dimidium mensem ineat, necesse est: sic omnium dierum numerus centum octoginta quinque dierum, & dimidij, & partis diei vnius erit. Sicut igitur, neque citius hoc termino, sic neque tardius ducentis, & quatuor diebus fœtus nasci potest. Si enim his centum & septuaginta cum dimidio, nouem, & viginti addideris, omnes efficientur centum nonaginta nouem cum dimidio. Supponamus autem viginti nouem dies primi mensis esse, ex quo conceptus fœtus est: quinque verò sequentium mensium, centum quadraginta septem, & dimidium: mensis septimi viginti nouem, totum tempus in ducentis & quinque diebus cum dimidio fiet vt vtrique coniuncti longissimi euadant: fœtum hunc non esse vitalem vult. Quoad enim menses lunares, in minore tempore, quam dimidio anno, oriri septimestris infans potest: hoc enim deinceps ostendam. Cum enim septimestris partus in minori tempore quàm dimidio anno, id est ante centum octoginta duos dies, & quindecim horas, vel circiter, nasci vitalis partus vllo modo nequeat, in lunaribus mensibus ante dimidium anni posset: aduerte enim animum. Supponamus sedecim diebus primi mensis fœtum gestasse mulierem, & post quinque menses, sedecim aliis peperisse, vniuersum tempus centum, & septuaginta nouem dierum, & dimidij erit. Sed sicut dixi, neque in minori tempore, quàm dimidio anno, fieri septimestrem partum vitalem vult: neque in minori, quàm dimidio mense vel primo vel septimo gestare vterum mulierem censet, tota autem Hippocratis sententia iam explicata, reliquum ex verbis ipsius, explicabimus. Iubet enim deinceps post primum mensem, centum quadraginta septem dies, & dimidium computare nos debere: & cur tot censeat, causam subiungit, ita inquiens, sexaginta enim diebus vno dempto quàm proximè duo menses constant. Vbi aduertendum est eum non absolutè dixisse nouem & quinquaginta diebus duos menses prorsus absolui, sed addidisse, quam proximè, non enim nouem & viginti dies cum dimidio exactum esse dierum mensis numerum voluit, sed quamproximè: quod vt patet soli & optimi astronomi sciunt, & si alij diebus viginti nouem cum dimidio, mensem circumscribi putent. Sed si quinque mensium dies centum quadraginta septem cum dimidio computaris, primi verò mensis non pauciores quàm quindecim, ad explendum dimidium annum, deessent dies viginti, horæ tres, & paulum quid insuper. Propterea igitur inquit, plusquàm viginti dies, in septimum incidere: cur autem plus addiderit declarauit dicens; quadam diei parte parti adiuncta, diei scilicet partem intelligens, quæ quartæ diei partis dimidia est: quæ quidem trecentis sexaginta quinque anni diebus adiungitur. Parti autem hæc dimidia dies additur; dimidia

A πέντε μηνῶν, ἑκατὸν καὶ τεσσαράκοντα καὶ ἑπτὰ, καὶ ἡμίσεως ἡμέρας μιᾶς, ἔσται μὲν ὁ ἐξ ἀμφοτέρων χρόνος ἡμερῶν ἑκατὸν ἑβδομήκοντα καὶ ἡμίσεως ἡμέρας. ἑπτάμηνον δὲ ἐν αὐτοῖς δυνήσεται κυηθῆναι παιδίον μετὰ πεντεκαίδεκα ἡμέρας ἐλαχίστους, ἐπειδὴ πάντα ἵνα πλέον τοῦ ἕκτου μηνὸς εὑρεθῇ τὸ βρέφος, τὸ ἥμισυ τοῦ μηνὸς ἐπιλαμβάνειν χρὴ τὸ κυούμενον. ὥστ᾽ ἔσται τῶν πασῶν ἡμερῶν, ἑκατὸν ὀγδοήκοντα πέντε καὶ ἡμίσεως μέρους ἡμέρας μιᾶς. ὥσπερ οὖν θᾶττον τῆς προθεσμίας οὐχ οἷόν τε γεννηθῆναι τὸ οὕτως συλληφθὲν παιδίον, οὕτως οὐδὲ ἐξωτέρω τῶν διακοσίων. ἐὰν γὰρ ταῖς ἑκατὸν ἑβδομήκοντα καὶ

B ἥμισυ προστεθεῖς αἱ ἐννέα καὶ εἴκοσιν, αἱ πᾶσαι γενήσονται ἑκατὸν ἐνενήκοντα ἐννέα καὶ ἥμισυ. καὶ τοίνυν ὑποκείσθω τοῦ μὲν πρώτου μηνὸς, ἡμέρας ὀκτὼ καὶ ἥμισυ κεκυηκέναι· τῶν δ᾽ ἐφεξῆς πέντε μηνῶν, ἑκατὸν τεσσαράκοντα, καὶ ἑπτὰ καὶ ἥμισυ· τοῦ δ᾽ ἑβδόμου μηνὸς, ἡμέρας εἰκοσιεννέα, γενήσεται σύμπας ὁ χρόνος ἡμερῶν διακοσίων καὶ τεττάρων, καὶ ἡμίσεως· ἐν μεγίσταις προθεσμίαις ἀμφότεροι γένοιντο, τὸ τοιοῦτον παιδίον οὔπω γόνιμον εἶναι βούλεται. ὅσον μὲν γὰρ ἐπὶ τοῖς σεληνιακοῖς μησὶ δυνατὸν ἦν γενέσθαι τὸ βρέφος ἑπτὰ μηνῶν, ἢ ἐν ἐλάττονι χρόνῳ τοῦ ἡμίσεως τοῦ ἐνιαυτοῦ. δείξω

C γὰρ τοῦτ᾽ ἐφεξῆς. ὅσον ἐπὶ τὸ μὴ δύνασθαι παιδίον ἑπτάμηνον ἐν ἐλάττονι χρόνῳ τοῦ ἡμίσεως τοῦ ἐνιαυτοῦ περὶ τὰς ἑκατὸν ὀγδοήκοντα καὶ δύο ἡμερῶν, καὶ τῶν πεντεκαίδεκα ὡρῶν, ὡς ἔγγιστα, γόνιμον οὐκ ἂν γένοιτο ὁπωσοῦν. ὅσον δὲ ἐπὶ τοῖς σεληνιακοῖς μησὶ, δυνατὸν ἦν καὶ πρότερον αὐτὸ γενέσθαι γόνιμον. ἐφεξῆς ἤδη πρόσεχε τὸν νοῦν. ὑποκείσθω τοῦ πρώτου μηνὸς ἐν ἡμέραις ἑκκαίδεκα κεκυηκέναι τὴν γυναῖκα, καὶ μετὰ τοὺς πέντε μῆνας, ἑκκαιδεκάτην πάλιν ἡμέραν τετοκέναι, γένοιτ᾽ ἂν οὕτως ὁ σύμπας χρόνος, ἡμερῶν ἑκατὸν ἑβδομήκοντα ἐννέα, καὶ ἡμίσεως ἡμέρας μιᾶς. ἀλλ᾽ ὅπερ

D ἔφην, οὔτ᾽ ἐν ἐλάττονι χρόνῳ τοῦ ἡμίσεως τοῦ ἐνιαυτοῦ βούλεται γίνεσθαι γόνιμα ἑπτάμηνα παιδία· οὔτ᾽ ἐν ἐλάττονι ἡμίσεως μηνὸς, ἢ κατὰ τὸν πρῶτον, ἢ κατὰ τὸν ἕβδομον μῆνα κυήσεσθαι τὴν γυναῖκα. γεγυμνωμένης δ᾽ ἤδη σαφῶς ὅλης τῆς γνώμης τοῦ Ἱπποκράτους, ὅσον ὑπόλοιπόν ἐστι τῆς λέξεως ἐξηγήσομαι. κελεύει γὰρ ἐφεξῆς τῷ πρώτῳ μηνὶ τῶν μετ᾽ αὐτὸν πέντε λογίζεσθαι δεῖν ἡμᾶς ἡμέρας ἑκατὸν τεσσαράκοντα ἑπτὰ καὶ ἥμισυ. εἶτα διὰ τί τοσαύτας ἀξιοῖ, προστίθησι τὴν αἰτίαν λέγων οὕτως. ἐν γὰρ ἑξήκοντα μιᾶς δεούσης ἡμέρας ἔγγιστα δύο μῆνες ἐκτελοῦνται. καί μοι μάλιστα ἐνταῦθα πρόσεχε τὸν νοῦν, οὐχ

E ἁπλῶς εἰπόντος αὐτοῦ ταῖς ἐννέα καὶ πεντήκοντα ἡμέραις ἐκτελεῖσθαι δύο μῆνες, ἀλλὰ προσθέντος τὸ ἔγγιστα. βούλεται γὰρ οὐδὲ τὸν τῶν εἴκοσι καὶ ἐννέα καὶ ἡμίσεως ἡμέρας ἀριθμὸν ἡμερῶν ἀκριβῶς εἶναι μηνιαῖον, ἀλλ᾽ ὡς ἔγγιστα. τοῦτο δ᾽ ὡς ἔφησθα οἱ ἄριστοι τῶν ἀστρονόμων ἐπίστανται μόνοι. τῶν ἄλλων οἰομένων ἡμέραις εἴκοσι ἐννέα καὶ ἥμισυ περιγράφεσθαι μῆνας. ἀλλ᾽ ἐὰν λογίσῃ τῶν μὲν πέντε μηνῶν τὰς ἡμέρας ἑκατὸν τεσσαράκοντα ἑπτὰ καὶ ἥμισυ, τοῦ δὲ πρώτου μηνὸς οὐκ ἐλάττους τῶν πεντεκαίδεκα, λείποι δ᾽ ἂν εἰς τὸ συμπληρωθῆναι τὸ ἥμισυ τοῦ ἐνιαυτοῦ, ἡμέραι μὲν εἴκοσι, ὧραι δὲ τρεῖς, καὶ μικρόν τι πρός.

F διὰ τοῦτο οὖν εἶπεν εἴκοσι ἡμερῶν πλέον εἰς τὸν ἕβδομον ἐμπίπτειν μῆνα. καὶ διὰ τοῦτο προσέθηκε πλέον, αὐτὸς ἐδήλωσεν εἰπὼν τῆς ἡμέρας τοῦ μέρους τῷ μέρει προσγιγνομένου. ἡμέρας μὲν οὖν μέρος εἰπὼν τὸ ἥμισυ τοῦ τετάρτου μέρους τῆς ἡμέρας, ὃ ταῖς τριακοσίαις ἑξήκοντα πέντε τοῦ ἐνιαυτοῦ ἡμέραις προσέκειτο. τῷ μέρει δὲ τὸ ἥμισυ τῆς ἡμέρας προσέρχεσθαι. τὸ γὰρ

ἥμισυ μέρος τοῦ ἐνιαυτοῦ, ἡμερῶν ἐστὶν ἑκατὸν ὀγδοήκοντα δύο καὶ ἡμίσεως, καὶ ἔτι ὀγδόου μέρους ἡμέρας. τῷ οὖν ἥμισυ τῆς ἡμέρας μέρει τοῦ ὀγδόου προστεθειμένου, γένοιτο ἂν ὁ τῆς ἡμίσεως ἐνιαυτοῦ χρόνος ἡμερῶν ὀγδοήκοντα δύο καὶ ἡμίσεως, καὶ ὀγδόου μιᾶς ἡμέρας, ὅπερ ἔμπροσθεν ἔφην, ὥρας εἶναι πεντεκαίδεκα πάσας. συνήγοντο δὲ τοῦ τε πρώτου μηνὸς, καὶ τῶν μετ᾽ αὐτοῦ πέντε μηνῶν, ἑκατὸν ἑξήκοντα δύο καὶ ἥμισυ. τούτων οὖν ὑπερέχουσιν αἱ τοῦ ἡμίσεως τοῦ ἔτους ἡμέραι ἑκατὸν ὀγδοήκοντα δύο καὶ ἥμισυ καὶ ὄγδοον, ταῖς εἴκοσι ἡμέραις καὶ ἔτι ὀγδόῳ μέρει μιᾶς ἡμέρας. διόπερ εἰπὼν Ἱπποκράτης εἰς τὸν ἕβδομον μῆνα γίνεσθαι πλείους τῶν εἴκοσι ἡμερῶν, προσέθηκε τὴν αἰτίαν ἐν τῷ φάναι, τῆς ἡμέρας τοῦ μέρεος τῷ μέρει προσγιγνομένου. τουτέστι τοῦ ὀγδόου μέρους τῷ ἥμισυ προστιθεμένου, πλέον ἢ εἴκοσιν ἡμέρας ἐμπίπτειν εἰς τὸν ἕβδομον μῆνα.

A enim anni pars centum & octoginta duobus cum dimidio die conſtat, octaua inſuper diei parte adiuncta. Si igitur dimidiæ diei parti octaua etiam pars addatur, dimidij anni tempus octoginta dierum & dimidij efficietur, octaua inſuper diei parte *adiuncta*: quod quindecim horas explere prius diximus. Si itaque & primi menſis & quinque ſequentium centum ſexaginta duo dies cum dimidio colligantur, dimidij quidem anni dies centum & octoginta duo cum dimidio, & adhuc octaua diei parte, id tempus diebus viginti & inſuper octaua diei vnius parte ſuperabunt. B Vnde dicens Hippocrates pluſquam viginti dies, in ſeptimum menſem incidere, cauſam adiecit inquiens, parte diei parti addita, hoc eſt, octaua diei parte diei dimidio adiuncta fieri, hinc conſtat, pluſquam viginti dies, in menſem ſeptimum incidere.

GALENO

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΟΚΤΑΜΗΝΟΥ.

HIPPOCRATIS DE OCTIMESTRI PARTV, LIBER.

ΠΡΟΚΕΙΜΕΝΟΝ ΒΙΒΛΙΟΥ.

Διατί οὐ πάντη περιγίνονται τὰ ὀκτάμηνα· τὰ δεκάμηνα συχνότατα· πῶς τὸ ἔμβρυον ἀσφαλέστερον τρέφεται· περὶ τοῦ ὀμφαλοῦ ἔνια· περὶ τῶν καταμηνίων καθάρσεως, καὶ περὶ τοῦ ἐνδεκαμήνου τόκου.

PROPOSITVM LIBRI.

Octimestris partus cur minimè vitalis; decimestris frequentissimus; fœtus quomodo securius edatur; de vmbilico quædam; de menstruis purgationibus, & de vndecimo partus mense.

A

CAPVT I.

Cur octimestris partus non vitalis, sed decimestris; de multiplici fœtus periculo; ac partum in caput procumbentem securiorem esse.

DE octimestri partu, fieri nō posse asseuero, vt duas continenter consequentes afflictiones pueri perferre queant, proindéque octimestres minimè superesse. Hic etenim accidit, vt ea quæ in vtero est, & ea quæ in partu fit afflictione consequenter laborent, proptereáque octimestris nullus est superstes. Quin & decimestres nuncupatos, septem dierum quadragenariis potissimùm, in lucem edi sentio, maximéque vt educentur, conuenire. Et perfectissimus fœtus est primis quadraginta diebus, si verò plures accesserint, perit. Quum enim multa pro tempore assumere coguntur, eos multum ægrotare necesse est, ex quibus mors consequitur. Puer autem quum partus instat, laborare incipit, & in vitæ periculum venire, quum in vtero vertitur. Producuntur siquidem omnes capite sursum, in lucem verò prodeunt in caput multi, ac multò securiùs liberant, quàm in pedes eduntur. Neque enim corporis flexiones puerum in caput procedentem impediunt. Verùm vbi in pedes erumpit, obturamenta magis contingunt. Quin & conuersiones in vtero, aliud creant periculum, & puerorum vmbilici iam sæpè circa colla implicati conspecti sunt.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Διατί οὐ περιγίνονται τὰ ὀκτάμηνα, ἀλλά γε τὰ δεκάμηνα· περὶ πολλῶν τῶν τοῦ ἐμβρύου κινδύνων, καὶ τὰ ἐπὶ τὴν κεφαλὴν συγκαμπτόμενα ἀσφαλέστερα εἶναι.

ΠΕΡΙ δὲ ὀκταμήνου γενέσιος φημὶ, δύο τὰς ἐφεξῆς κακοπαθείας γενομένας, ἀδυνάτους εἶναι ποιέειν φέρειν τὰ παιδία, καὶ διὰ τοῦτο οὐ περιγίνεσθαι τὰ ὀκτάμηνα· συγκυρεῖ γὰρ αὐτοῖς ἐφε-B ξῆς κακοπαθεῖν, τήν τε ἐν τῇ μήτρῃ γενομένην κακοπαθείην, καὶ τὴν ὅταν ὁ τόκος γένηται, καὶ διὰ τοῦτο τῶν ὀκταμήνων οὐδὲν περιγίνεται. ἐπεὶ καὶ τὰ δεκάμηνα καλεόμενα, λέγω ἐν ἑπτὰ τεσσαράκοντα ἡμέραις, μᾶλλον τίκτεσθαι· καὶ μάλιστα προσήκει ἐκτρέφεσθαι· καὶ τελεώτατόν ἐστιν ἐν ταῖς πρώταις τεσσαράκοντα ἡμέραις. ἐπὴν δὲ γένηται πλείω, ἀπόλλυται. ἀναγκάζεται γὰρ πολλὰ μεταλαμβάνοντα ἐν ὀλίγῳ χρόνῳ πολλὰ νοσεῖν, ἐξ ὧν οἱ θάνατοι γίνονται. ἄρχεται δὲ πονέειν τὸ παιδίον πρὸς τοῦ τόκου γινόμενον, καὶ κινδυνεύειν ἀπολέσθαι, ὅταν ἐν τῇ μήτρῃ στρέφηται. φύεται γὰρ πάντα ἄνω τὴν κεφαλὴν ἔχοντα. τίκτεται δὲ πολλὰ ἐπὶ κεφαλήν· καὶ ἀσφαλέστερον ἀπαλλάσσει, τῶν ἐπὶ πόδας C τικτομένων. τὰ γὰρ συγκαμπτόμενα τοῦ σώματος ἐπὶ κεφαλὴν οὔπω κωλύει ἰόντος τοῦ παιδίου. ἀλλὰ μᾶλλον ὅταν ἐπὶ πόδας ὁρμήσῃ, τὰ ἐμφράγματα γίνονται. αἱ γὰρ στροφαὶ ἐν τῇ γαστρὶ, καὶ ἄλλος κίνδυνος. καὶ οἱ ὀμφαλοὶ πολλάκις ἤδη τῶν παιδίων ἐφάνησαν περὶ τοὺς τραχήλους.

ἢν γὰρ κατὰ τὸ μέρος ὁποῖον πότερον ἂν τύχῃ ὁ ὀμφαλὸς τῇ μήτρῃ περιτεταμένος, μᾶλλον ταύτῃ τὸ παιδίον τῆς κεφαλῆς τὴν περιαγωγὴν τοῦ ὀμφαλοῦ στρεφομένου ποιήσεται, ἢ περὶ τὸν αὐχένα. ἢν δὲ κατὰ τὸν ὦμον τὴν περιβολὴν τοῦ ὀμφαλοῦ ἀντιτείνειν, τούτου δὲ γινομένου, καὶ τὴν μητέρα ἀνάγκη πονῆσαι μᾶλλον, καὶ τὸ παιδίον, ἢ ἀπολέσθαι, ἢ χαλεπώτερον ἐξελθεῖν. ὥστε ἤδη καὶ πολλὰ ἔνδον, τὴν ἀρχὴν τῆς νόσου τῶν παιδίων ἦλθεν ἔχοντα. ἐξ ὧν τὰ μὲν, ἀπώλετο· τὰ δὲ νοσήσαντα περιεγένετο.

A Ad quamcunque enim partem vmbilicus in vtero se extenderit, per hanc, dum vmbilicus vertitur, puer caput potiùs circumaget; quàm si circa ceruicem conuoluatur. Quòd si ad humerum vmbilici iniectio obnitatur, tunc etiam matrem magis laborare, & puerum aut interire, aut difficiliùs exire necesse est. Quare multi iam pueri morbi initium intus obtinentes, in lucem prodiere, ex quo alij quidem perierunt, alij verò morbum trahentes superfuerunt.

ΚΕΦΑΛΑΙΟΝ Β'.

B

Τὰ ἔμβρυα ἀπὸ τοῦ τόκου μείζω γίνεσθαι· περὶ τῆς κινδυνώδεος τῶν τροφῶν τε καὶ τῶν χωρίων, καὶ τῶν ἀμφιεσμάτων μεταλλαγῆς· τὸν τοῦ παιδίου ὀμφαλὸν τῇ μήτρῃ προσέρχεσθαί τε καὶ ἀναστομοῦσθαι· ἔξω διὰ τῆς μήτρας ξυμμύειν, καὶ τἄλλα ἀνοίγνυσθαι.

Ὁκόσα δ' ἂν εὐπορήσῃ, καὶ ἀσφαλέως, καὶ ἐς τοὐμφανὲς ἐξίῃ, ἀνεθέντα ἐξαίφνης ἐκ τῆς ἀνάγκης τῆς ἐν τῇ γαστρὶ, παχύτερα καὶ μέζω παραυτίκα ἢ κατὰ λόγον ἐγένετο. οὐκ αὐξήματος, ἀλλ' οἰδήματος γενομένου· ἐξ ὧν δὴ πολλὰ ἀπώλετο. ἢν γὰρ μὴ συνίζῃ τὸ οἴδημα θᾶσσον, ἢ τριταῖον, ἢ ὀλίγῳ πολυχρονιώτερον, νοῦσοι γίνονται ἐπ' αὐτέου. ὥστε τροφαὶ καὶ ἀναπνοαὶ σφαλεραὶ μεταλλασσόμεναι. ἢν τι γὰρ νοσερὸν ἐπάγωνται, κατὰ τὸ στόμα, καὶ κατὰ τὰς ῥῖνας ἐπάγονται. καὶ ἀντὶ τοῦ τοσαῦτα εἶναι τὰ ἐσιόντα ὅσα ἐξαρκέει, καὶ μὴ περιγίνεσθαι, πολλῷ πλέω εἰσέρχεται. ὥστε ἀναγκάζεσθαι ὑπὸ τοῦ πλήθεος τῶν ἐσιόντων, καὶ ὑπὸ τῆς διαθέσιος, ἧς διάκειται τὸ σῶμα τοῦ παιδίου, ἤδη τὰ μὲν κατὰ τὸ σῶμά τε καὶ τὰς ῥῖνας πάλιν ἐξιέναι· τὰ δὲ κατὰ τὸ ἔντερον καὶ τὴν κύστιν κάτω περαιοῦσθαι, πρόσθεν οὐδενὸς τουτέων οὕτως γινομένων. καὶ ἀντὶ πνευμάτων τε καὶ χυμῶν, οὕτω συγγενέων. οἷς δ' ἀνάγκη ἐν τῇσι μήτρῃσι γίνεσθαι συνηθείην τε ἔχοντα καὶ εὐμενείην, πᾶσι ξένοις χρῆται ὠμοτέροισι καὶ ξηροτέροισι, καὶ ἧσσον ἐξανθρωπισμένοισιν, ἐξ ὧν ἀνάγκη πόνους γίνεσθαι πολλούς· πολλοὺς δὲ καὶ θανάτους. ἐπεὶ καὶ τοῖς ἀνδράσι πολλάκις αἱ μεταλλαγαὶ τῶν χωρίων τε καὶ τῶν διαιτημάτων, τὰς νόσους ποιέουσιν. ὁ δ' αὐτὸς λόγος ἐστὶ, καὶ περὶ τῶν ἐσθημάτων. ἀντὶ γὰρ τοῦ σαρκὶ καὶ χυμοῖς ἠμφιέσθαι χλιεροῖς τε, καὶ ὑγροῖς, καὶ συγγενέσι, τοιαῦτα ἀμφιέννυνται τὰ παιδία οἷάπερ οἱ ἄνδρες. ὁ δὲ ὀμφαλὸς, δι' οὗ αἱ εἴσοδοι εἰσι τοῖσι παιδίοισι, μοῦνον τοῦ σώματος τῇ μήτρῃ προσέρχεται. διὰ τουτέων καὶ κοινωνεῖ τῶν ἐσιόντων. τὰ δ' ἄλλα ξυμμύει· καὶ οὐκ ἀνεστομωμένα ἐστὶ πρόσθεν, ἢ ἐν ἐξόδῳ ᾖ τὸ παιδίον ἐκ τῆς γαστρός. ὁκόταν δὲ ἐν ἐξόδῳ ᾖ, τὰ μὲν ἄλλα ἀναστομοῦται· ὁ δὲ ὀμφαλὸς λεπτύνεταί τε καὶ ξυμμύει, καὶ ἀποξηραίνεται. ὥσπερ δὲ τοῖς ἐκ τῆς γῆς φυομένοις, οἱ καρποὶ ἁδρυνόμενοι ἀποκρίνονται καὶ ἀποπίπτουσι κατὰ τὴν διάφυσιν· οὕτω καὶ τοῖσι παιδίοισι ἁδρυνομένοισί τε καὶ τελείοις γινομένοις, ὁ μὲν ὀμφαλὸς ξυνέμυσε, τὰ δὲ ἄλλα ἀνεστομώθη. ὥστε εἰσδέχεσθαί τε τὰ ἐσιόντα, καὶ ἐξόδους ἔχειν κατὰ φύσιν, ἧσιν ἀνάγκη τοὺς ζῶντας χρέεσθαι. ἕκαστα γὰρ χωρίζεται ῥέποντα, κατὰ τὰς συλλοχίας. κρατιστεύει δὲ τὰ τῷ ἡλίῳ ξυντροφώτατα.

CAPVT II.

A partu pueros maiores fieri, de alimentorum, locorum, & vestimentorum mutatione periculosa; vmbilicum fœtus vtero adhærere ac patere, extra vterum conniuere ac claudi, & reliquas partes patere.

AT verò qui facilem & tutum exitum nacti, de repente sublata vi, quam in vtero pertulerunt, in lucem exierunt, ij crassiores & maiores statim quàm ratio postulet euaserunt. Quod cum iis non incremento, sed ex corporis laxo C tumore contingat, ex his sane multi perierunt. Nisi enim tumor citiùs quàm tertio die, aut paulo longiore tempore subsidat, ex eo morbi oriuntur. Quin & lubricæ sunt alimenti & respirationis permutationes. Nam si quid morbosum inuehunt, per os, & nares inducunt. Et vt tantum alimenti assumatur quantum satis sit, ac minimè superet, multò plura ingeruntur, ita vt pro ingestorum copia, & pro corporis pueri affectu, alia quidem tum per os, tum per nares rursus exire cogantur, alia verò per intestinum & D vesicam infernè transmitti, quum nihil tale antea contingeret. Quin & loco spirituum & tam cognatorum humorum, cum quibus familiaritatem ac amicitiam in vtero intercessisse necesse est, externis omnibus vtitur, crudioribus, siccioribus, & ad vsum humanum minus accommodatis, ex quibus multos suboriri dolores, plerisque etiā mortes necesse est, quandoquidem & plerumque viris, tum locorum, tum victuum mutationes, morbos pariunt. Eadem etiam de vestibus est ratio. Pro eo enim quod carne & succis vestiebantur, tepidis, & liquidis ac cognatis; iisdem quibus viri vestibus, induuntur pueri. Vmbili- E cus autem, per quem pueris alimenti ac spiritus ingressus patet, solus ex reliquis corporis partibus *matri* adhærescit, per quas vias eorum, quæ ingrediuntur, participes fiunt, cum reliquæ clausæ sint, nec priùs apertæ quam puer exitum ex vtero tentarit. Quod quum fit, tum reliqua quidem omnia patent, vmbilicus verò extenuatur, conniuet, & exiccatur. Quemadmodum enim in his, quæ ex terra oriuntur, fructus turgescentes ad interstitium, ex quo enati sunt, secernuntur ac decidunt: sic etiam adultis pueris & perfectis, vmbilicus quidem clauditur, reliqua F verò aperiuntur, tum vt ea quæ ingrediuntur, suscipiant, tum exitus secundum naturam habeant, qui ad vitæ vsum sunt necessarij. Secedunt enim singula, quæ sensim repentia in modum collectæ cohortis coarceruata fuerunt. Sunt autem validissimi fœtus, qui sole maximè nutriti sunt.

CAPVT

A

CAPVT III.

De decimestri & vndecimestri partu, menstruam purgationem breuissimam esse trium dierum, à qua purgatione fieri conceptionem.

DEcimestres autem & vndecimestres partus septem quadragenariis eduntur, eodem modo quo & dimidio anno septimestres. Plæræque enim mulieres post menstruas purgationes necessariò concipiunt, quum ab his liberatæ fuerint. Mulieri igitur tempus menstruum, in quo purgatio ipsa procedet concedendum, quod vt breuissimum tres dies implet. Plærisque autem etiam multò plures. Sunt etiam & alia multa, quæ in viris conceptiones impediunt & morantur. In his istud vel maximè in considerationem adhibendum, quòd nouilunium, quum dies vnus existat, propè trigesima mensis pars est. Duo autem dies ferè decimam qnintam mensis partẽ constituunt, tres verò dies decimã mensis partẽ, cæteráque ad horum rationem consideranda, quódque nec minori spatio mensium solutio contingere potest, neque fœtuum conceptio fieri. Ex his igitur omnibus necesse est plærasque mulieres circa plenilunium & vlteriùs vtero concipere, ita vt sæpè videantur ducenti triginta dies vndecimum mensem attingere. Hi siquidem dies septem quadragenarios complent. Quum enim vltra plenilunium mulier concipit, hoc totum vndecimum mensem attingere necesse est, vt siquidem ad extremum circuitum perueniat.

ΚΕΦΑΛΑΙΟΝ Γʹ.

Περὶ δεκαμήνου τε καὶ ἑνδεκαμήνου τόκου, ὅτι τὴν καταμηνίων κάθαρσιν τριῶν ἡμερῶν βραχυτάτην εἶναι, καὶ μετ᾽ αὐτὴν τὰς γυναῖκας ἐν γαστρὶ λαμβάνειν.

ΟΙ δὲ δεκάμηνοι τῶν τόκων, καὶ ἑνδεκάμηνοι, ἐκ τῶν ἑπτὰ τεσσαρακοντάδων τὸν αὐτὸν τρόπον γίνονται. καὶ ἐκ τοῦ ἡμίσεος τοῦ ἐνιαυτοῦ οἱ ἑπτάμηνοι. ταῖς γὰρ πλείσταις τῶν γυναικῶν, ἀναγκαῖόν ἐστιν ἐν γαστρὶ λαμβάνειν, μετὰ τὰ καταμήνια, ἢν ὑγιὴς ᾖ. ἡ λύσις τοίνυν τῇ γυναικὶ χρόνον δοῦναι τοῦ μηνὸς ἐν ᾧ αὐτῇ ἡ κάθαρσις ἔσται. καὶ ὁ χρόνος οὗτος ᾗσιν ἐλάχιστος γίνεται, τρεῖς ἡμέραι, ταῖς δὲ πλείσταις, καὶ πολὺ πλείονες. ἔστι δὲ καὶ ἄλλα πολλὰ κωλύματα καὶ τοῖς ἀνδράσιν, ἐξ ὧν βραδύνεται ἡ σύλληψις. χρὴ δὲ ἐν τοῖς μάλιστα καὶ τόδε λογίζεσθαι· ὅτι ἡ νουμηνίη, ἡμέρη μία ἐοῦσα, ἐγγύτατα τριηκοστημόριόν ἐστι τοῦ μηνός. αἱ δὲ δύο ἡμέραι, σχεδὸν πεντεκαιδεκατημόριον τοῦ μηνός· αἱ δὲ τρεῖς ἡμέραι, δεκατημόριον τοῦ μηνὸς, καὶ τἄλλα κατὰ λόγον τουτέων, καὶ οὐχ οἷόν τε ἐν τοῖς ἐλάσσοσί τε μορίοις μᾶλλον γίνεσθαι, οὔτε τὴν λύσιν τῶν καταμηνίων, οὔτε τὴν σύλληψιν τῶν ἐμβρύων. ἐκ τούτων οὖν ἁπάντων, ἀναγκαῖόν ἐστι ταῖς πλείσταις τῶν γυναικῶν, περὶ διχομηνίην ἐν γαστρὶ λαβούσαις, καὶ πορρωτέρω· ὥστε πολλάκις δοκεῖν ἐπιλαμβάνειν τοῦ ἑνδεκάτου μηνὸς, τὰς ὀγδοήκοντα καὶ διηκοσίας. τοῦτο γάρ ἐστιν, ἑπτὰ τεσσαρακοντάδες. ὅτι γὰρ ἢν ἔξω τῆς διχομηνίης ξυλλαμβάνῃ ἡ γυνὴ, τοῦτο πᾶν ἀναγκαῖόν ἐστι τοῦ ἑνδεκάτου μηνὸς ἐπιλαμβάνειν, ἵνα περ ἐς τελευταίην περίοδον καταστῇ.

B

C

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΟΣΦΡΗΣΕΩΣ ΟΡΓΑΝΟΥ.

GALENI DE INSTRVMENTO ODORATVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὸ τῆς ὀσφρήσεως ὄργανον ἐν ταῖς προσθίαις τοῦ ἐγκεφάλου κοιλίαις τίθεσθαι.

ARGVMENTVM LIBRI.

Odoratus Instrumentum in anterioribus cerebri ventriculis situm esse.

A

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐστιν ἡ ὄσφρησις, καὶ ὅτι τὸ τῆς ῥινὸς σῶμα οὐκ ἔστι τὸ τῆς ὀσφρήσεως ὄργανον.

ΟΣΦΡΗΣΙΝ ὀνομάζουσιν οἱ Ἕλληνες, οὐ μόνον τὴν διάγνωσιν τῶν ὀσμῶν, ἀλλὰ καὶ τὴν δύναμιν, ἧς τοῦτο ἔργον ἐστίν· ὥσπερ γε καὶ τὴν γεῦσιν, οὐ τὴν διάγνωσιν μόνον τῶν γευστῶν, ἀλλὰ καὶ τὴν δύναμιν αὐτῶν· καὶ κατ᾽ ἄμφω δὲ τὰ σημαινόμενα, τὸ τῆς ὀσφρήσεως ὄργανον ἓν ἂν εἶναι λέγοιτο, δι᾽ οὗ ποιεῖται τῶν ἰδίων αἰσθητῶν τὴν διάγνωσιν ἡ δύναμις, ἀνάλογον B ὀφθαλμῷ καὶ γλώττῃ. δοκεῖ δὲ εἶναι τοῦτο, κατὰ τὴν πρώτην ἐπιβολὴν τῆς διανοίας, ἡ ῥίς. ἐν γοῦν τῷ διὰ τοῦ στόματος εἰσπνεῖν, στεγνώσαντες αὐτὴν ὁπωσοῦν, οὐδενὸς τῶν ὀσφρητῶν ἀντιλαμβανόμεθα, καθάπερ γε κἀπειδὰν ἀνοίξαντες τοὺς μυκτῆρας εἰσπνέωμεν, εὐθέως αἰσθανόμεθα. πότερον οὖν ὁ ὑπαλείφων ἔνδοθεν ἑκάτερος τῶν κατὰ τὴν ῥῖνα πόρων ὑμήν, ἢ χιτὼν (ἀμφοτέρως γὰρ ὀνομάζουσιν αὐτὸν) αἰσθάνεται τῶν ὀσφρητῶν. οὐ γὰρ δὴ τό γε ὀστοῦν αὐτὸ τῆς ῥινός, ἤ τι τῶν ἔνδον τοῦδε, τῶν ὀσμῶν ἐστιν ὄργανον ἄξιον ἐπισκέψεως. ἂν γοῦν πληρώσῃς τοὺς πόρους, ἤτοι οὖν μύρων τῶν εὐωδῶν, C ἢ τινος ἄλλου σφοδρὰν ὀσμὴν ἔχοντος, οὐκ αἰσθήσῃ, πρὶν εἰσπνεῦσαι. διὸ καὶ δοκεῖ τισιν, ἡ μὲν ῥὶς πόρος εἶναι τῶν ὀσφραντῶν, αὐτὸ δὲ τὸ τῶν ὀσμῶν αἰσθανόμενον σῶμα, προσωτέρω που τετάχθαι. καὶ διὰ τοῦτο ἀναγκαῖόν ἐστιν τὰ συνεχῆ τοῖς πόροις τῆς ῥινὸς ἐπίστασθαι σώματα, πρὸς τῆς ἀνατομῆς διδαχθέντας· ἠγνοηκότων δ᾽ οὐ πάντων αὐτά, διηγήσασθαι βέλτιον ὅπως κατεσκεύασται.

CAPVT I.

Quid sit odoratus, & quod ipsum nasi corpus non sit odorandi instrumentum.

ODORATVM Græci nominant, non solum odorum dignotionem, sed etiam vim ipsam, cuius odorandi officium est; quemadmodum & gustum nō solùm gustabilium dignotionem, sed & facultatem ad quam hæc pertinent: vnum tamen in vtraque significatione odoratus instrumentum, per quod facultas propria sensibilia dignoscit, esse putandum est, quod oculo & linguæ proportione respondeat. Hoc igitur primo mentis intuitu nasus esse videtur: quandoquidem si occlusis naribus spiritum ore adducimus, odorem nullum sentimus: sin autem spiritum apertis naribus attrahimus, odor sensum protinus mouet. An igitur membrana siue tunica, (nam vtroque modo nominant) quæ naribus substernitur, odores dignoscat, dignum inquisitione videtur: siquidem non os nasi, aut quidquam intra os, odoratus instrumentum est. Si quis igitur sibi nares aut odoramentis, aut alia re vehementer olente impleat, non ante odorem percipiet, quàm spiritum attraxerit: quam ob causam quibusdam nasus semita quidem olentium rerum videtur, at ipsum corpus quod odores sentit, superius esse alicubi locatum. Quare necesse est corporum, quæ nasi spiraminibus continua sunt, cognitionem habere ab ipsa anatome edoctos: sed quoniam non omnibus hæ partes cognitæ sunt, satius est quonam modo constitutæ sint, exponere.

CAPVT II.

Nasi constitutio, & earum partium quae ipsius foraminibus adiacent.

QVum nasus igitur in se septum quoddã per media loca deductum habeat, duoque foramina satis conspicua, hæc inquam, quæ cernuntur & in singulis naribus singula sunt, sciendum est eorũ vtrumque supra media nasi loca in duas partes esse diuisum: quarum altera pars oris intima peruadit: altera alta, vt ab initio ferebatur, ad ipsum cerebrum scandit, quod & ipsum processus duos ad hæc ipsa loca spectantes habet, eósque oblongos & cõcauos, qui ex anterioribus cerebri ventriculis ortum habent, & ad eam caluariæ partem, vnde nasus oritur, descendunt: quo loco ossa coli similia, quasi colatoria dixeris, posita sunt: quorum quæ vtilitas sit, satis ex ipso nomine declaratur. Crassa autem meninx, quæ ossibus modò nominatis substernitur, minutis est peruia foraminibus: per quæ primùm quæ crassiora cerebri superuacua sunt transmittuntur (quæ cæteráque similia post Aristotelem, solemus excreméta nominare.) Nam quæ vapori similia sunt, in sublime lata per caluariæ suturas excernuntur: quæ verò crassa sunt, vt mucus, prona feruntur: primúmque per crassam meningem, deinde per ossa coli similia traiecta, tandem in ipsas nares incidunt. Sed tamen dum hæc ita defluunt, pars eorum in os per ea foramina, quæ à naribus, ipsum transire diximus, interdum delabuntur. Muccúsque qui crassior est, præsertim si & glutinosus sit in duas partes sic diuisus, vt altera in eas vias quæ ad os pertinent, interdum iufluat, altera in nares vtrinque excernitur, è naribus, per efflatum vehementem: ex ore, per screatum. Nasi autem foraminibus, quæ recta sunt, & ad ossa colo similia ascendunt: itémque iis quæ obliqua, vt in os ipsum, traducta sunt: exanguis tunica crassior, quàm membrana, substernitur: quæ ei tunicæ continua est, quæ totam oris circunferentiam interiorem, linguámque complectitur: & præterea fauces & laryngem & asperam arteriam, & gulam ambit. In quam tunicam, quæ vna est & sibi vndique continua, & in omnibus memoratis partibus eandem substantiæ speciem habere cernitur, quanquam non æqualem crassitiem, nerui quidam à cerebro orti distribuuntur, & ij quidem exiles, exceptis iis, qui in linguam inseruntur, quibus natura satis crassitudinis dedit; propterea quòd partem hanc acutiori sensu præditam esse oportuit, quippe quam natura gustus instrumentum esse voluit: Similem ob causam nerui etiam crassiores iis, quos lingua recepit, oculis dati sunt: post quos auribus, & ori ventriculi, quandoquidem & ipsum sensu exquisito pollere oportuit, vt quum sermo de eo haberetur, demonstratum est: vt igitur oculus visus est instrumentum, auris auditus, lingua gustus, sic ventriculus cibi & potionis appetendæ instrumentum constitutus est, præsertim eius os. Vim verò tangendi valdè hebetem in sensibilium dignotione natura creauit: nec eam certo loco seclusit (quod in iis omnibus fecit, de quibus modò dictum est) sed in vniuersum corpus distribuit: itaque ei neruos minores dedit, eosdémque duros, qui maxima ex parte à spinali medulla ortum habent,

ΚΕΦΑΛΑΙΟΝ Β'.

Η τῆς ῥινός τε καὶ τῶν σωμάτων τοῖς αὐτῆς πόροις συνεχῶν κατασκευή.

ΚΑὶ τοίνυν ῥινὸς ἐχούσης μέσον διάφραγμα, καὶ πόρους ἀξιολόγους δύο, τούτους δὴ τοὺς φαινομένους, ἕνα καθ' ἑκάτερον μυκτῆρα, χρὴ γινώσκειν ἀνωτέρω τῶν μέσων τῆς ῥινὸς ἑκάτερον αὐτῶν δίχα σχιζόμενον. ἥκει δὲ τῶν μερῶν, τὸ μὲν ἕτερον, εἰς τὸ τοῦ στόματος ἔνδον, τὸ δ' ἕτερον ὄρθιον, ὡς ἐξ ἀρχῆς ἐφέρετο, πρὸς αὐτὸν ἀναβαίνει τὸν ἐγκέφαλον. εἰσὶ γὰρ αὐτῶν καὶ δύο κατὰ τοῦτο ἀποφύσεις παραμήκεις τε καὶ κοῖλαι, τὴν ἀρχὴν μὲν ἐκ τῶν προσθίων ἔχουσαι κοιλιῶν, καθήκουσαι δὲ ἐπ' ἐκεῖνο τοῦ κρανίου τὸ μέρος, ὅθεν ἡ ῥὶς ἄρχεται. κατὰ τοῦτο καὶ ἡ τῶν ἠθμοειδῶν ὀστῶν ἐστι θέσις, ὧν τὴν χρείαν ἱκανῶς ἐνδείξασθαι τοὔνομα, καὶ ἥ γε μῆνιγξ ἡ παχεῖα, καθὸ ψαύει τῶνδε τῶν ὀστῶν, ὀπαῖς λεπταῖς τέτρηται. διὰ ταύτης γέ τοι πρώτης διηθεῖται τὰ παχύτερα, τῶν τοῦ ἐγκεφάλου περιττῶν (ἔθος δ' ἐστὶν ἀπ' Ἀριστοτέλους ἀρξάμενον ὀνομάζεσθαι τὰ τοιαῦτα πάντα περιττώματα) τὰ μὲν γὰρ ἀτμωδέστερα κατὰ τὰς ῥαφὰς ἀναθεῖ, καὶ ταύτην κένωσιν. ὅσα δὲ τούτων παχέα καθάπερ ἡ βλέννα καὶ ἡ κόρυζα, κάταντη φέρεται, πρώτην μὲν τὴν παχεῖαν μήνιγγα διεξερχόμενα, μετ' ἐκείνην δὲ, διὰ τῶν ἠθμοειδῶν ὀστῶν ἠθούμενα, κἄπειθ' οὕτως ἐμπίπτοντα τοῖς πόροις τῆς ῥινός. ἐν δὲ τῇ διὰ τούτων πορείᾳ, μέρος ἐστὶν ὅτε καταρρεῖ τῶν καταφερομένων εἰς τὸ στόμα, διὰ τῶν εἰρημένων ἐκ τῆς ῥινὸς εἰς αὐτὸ συντρήσεων. καὶ τάς γε παχυτέρας βλέννας, καὶ μάλισθ' ὅσαι γλίσχραι, κατὰ μὲν τὸ ἕτερον αὐτῶν ἐνίοτε πέρας ἐμπεπλωκυίας ταῖς εἰς τὸ στόμα συντρήσεσιν, κατὰ δὲ τὸ ἕτερον ἐν τοῖς τῆς ῥινὸς οὖσι πόροις ἑκατέρωθεν ἐκκενούμενον, ἐκφυσήσει μὲν βιαιοτέρᾳ χρησάμενον, διὰ μυκτήρων, διὰ χρέμψεως δὲ, διὰ τοῦ στόματος. ὑπαλείφει δ' ἄναιμος χιτὼν, ὑμένος παχύτερος, αὐτούς τε τῆς ῥινὸς τοὺς εὐθεῖς πόρους, ἀναφερομένους ἄχρι τῶν ἠθμοειδῶν, καὶ πρὸς τούτοις τοὺς ἄλλους τοὺς λοξούς, οὓς εἰς τὸ στόμα τελευτᾶν ἔφην. ἔστι δὲ συνεχὴς ὁ χιτὼν οὗτος, καὶ αὐτῷ τῷ τὴν τοῦ στόματος ὅλου περιγραφὴν ἔνδοθεν ὑπαλείφοντι, καὶ γλῶτταν ἀμφιεννύντι, καὶ πρός γε τούτοις φάρυγγά τε, καὶ λάρυγγα, καὶ τραχεῖαν ἀρτηρίαν, καὶ στόμαχον. εἰς δὲ δὴ τὸν χιτῶνα τοῦτον, ἕνα μὲν ὑπάρχοντα καὶ συνεχῆ, καὶ τὸ τῆς οὐσίας εἶδος τὸν αὐτὸν ἐν ἅπασι τοῖς εἰρημένοις φαινόμενον, οὐ μὴν ἴσον γε τὸ πάχος ἐν ἅπασιν αὐτοῖς ἔχοντα, διασπείρεταί τινα τῶν ἐξ ἐγκεφάλου νεύρων μικρὰ, πλὴν τῶν εἰς τὴν γλῶτταν ἰόντων, ἱκανὸν ὡς γὰρ ἐκεῖνα πάχος· διότι ἀκριβεστέρας αἰσθήσεως δεῖ τῷ μορίῳ τῷδε, γεύσεως αἰσθητικῷ γεγενημένῳ. ταῦτ' ἄρα καὶ τοῖς ὀφθαλμοῖς ἔτι παχύτερα τῶν εἰς τὴν γλῶτταν ἰόντων, ἡ φύσις ἔνειμεν νεῦρα, καὶ μετ' αὐτοὺς ὠσὶ καὶ στόματι κοιλίας, ἐπειδὴ καὶ τοῦτο αἰσθητικώτατον ὑπάρχειν ἐχρῆν, ὡς ἐν τοῖς περὶ αὐτοῦ δέδεικται λόγοις. ὀφθαλμὸς μὲν οὖν ὄργανον ὀπτικὸν, καὶ οὖς ἀκουστικὸν, καὶ γλῶττα γευστικὸν, ὀρέξεως δὲ σιτίων καὶ πομάτων ἡ γαστήρ ἐστιν ὄργανον, καὶ ταύτης μάλιστα τὸ στόμα. παχυμερεστάτην δὲ εἰς διάγνωσιν ἡ φύσις ἐποίησεν τὴν ἁπτικὴν δύναμιν, οὐκ ἔτι τήν ταύτην γε καθ' ἓν ἀποκεκριμένην χωρίον ὡς ἑκάστην τῶν εἰρημένων, ἀλλ' εἰς ὅλον ἐκτεταμένην τὸ σῶμα, καὶ διὰ τοῦτο καὶ νεύρων αὐτῇ μικροτέρων ἔνειμεν πλῆθος, καὶ τούτων σκληρῶν ἐκ νωτιαίου μυελοῦ τῶν πλείστων ἀρχομένων,

εἰς δὲ τὰ προειρημένα μόρια, ἀκριβεστέρας αἰσθήσεως δεόμενα, καὶ μείζω καὶ μαλακώτερα νεῦρα κατέφυσεν, ἐξ ἐγκεφάλου πάντα βλαστάνοντα. φωτοειδέστατον μὲν οὖν ἐποίησεν τὸ τῆς ὄψεως ὄργανον, ὡς ἂν καὶ μόνον αὐγῆς καὶ φωτὸς αἰσθανόμενον, ἀεροειδὲς τὸ τῆς ἀκοῆς αἰσθητὸν ἐσόμενον καὶ τοῦτο τῶν κατὰ τὸν ἀέρα ψόφων. οὕτω δὲ καὶ τὸ τῶν χυμῶν διαγνωστικὸν ὄργανον τὴν γλῶτταν, ἐκ τῆς ὑγροτέρας ἰδέας τοῦ σώματος ἡ φύσις εἰργάσατο. μεταξὺ δὲ ἀέρος τε καὶ ὑγροῦ καὶ πυρός, τὸ τῆς ὀσφρήσεώς ἐστιν αἰσθητόν, οὔτ᾽ οὕτω λεπτομερὲς ὑπάρχον, ὡς ὁ ἀήρ, οὔτ᾽ οὕτω παχυμερές, ὡς ὑγρόν. ὅσον γὰρ ἀποῤῥεῖ τῶν σωμάτων ἑκάστου, τοῦτ᾽ ἔστι τῶν ὀσφρητῶν ἡ οὐσία, μαθεῖν δ᾽ ἔστι μάλιστα ἐπὶ ῥόδων αὐτῶν, καὶ τῶν οὕτως ἁπαλῶν, ἃ διὰ ταχέων ἑαυτῶν ἐλάττω τε ἅμα, καὶ ξηρότερα γίνεται· φανερῶς ἐνδεικνύμενα τὴν ὑγροτέραν μοῖραν ἐκ τῆς οὐσίας αὐτῶν διαφορεῖσθαι.

in partes verò, quas supra nominaui, quæ exquisitiori sensu indigebant neruos & maiores, & molliores inseruit, eosdémque omnes à cerebro deductos. Cernendi igitur instrumentum natura lucidissimum fecit, vt quod lucem tantum & splendorem sentire debebat: quod autem ad auditum attinet, aëris similem constituit, siquidem ad sonos, qui vehuntur aëre recipiendos dicauerat: sic & quod sapores dignoscit, quod linguam appellamus, ex humidiori corporis substātia molita est: aliquid verò, quod inter naturam aëris, & humoris est; in odorandi sensum cadit, quod neque ita tenue est, vt aër, neque ita crassum, vt humor: id enim, quod à rerum corporibus exhalat, odoris substantia est, quod ex rosis maximè, similibúsque, quæ sic tenera sunt, cognoscere licet, quorum omnium corpora celeriter minora, & sicciora redduntur: ex quo apertè intelligitur ex earum rerum substantia partem humidiorem in halitum digeri.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Οὐδὲ τὸ τῆς ῥινὸς ὀστοῦν, οὐδὲ τὸν ἔσωθεν αὐτῆς χιτῶνα, οὐδ᾽ ἄλλο τι τῶν τῆς ῥινὸς μορίων εἶναι τῆς ὀσφρήσεως ὄργανον.

Ζητήσωμεν οὖν ἤδη τὸ τῆς ὀσφρήσεως ὄργανον, ἀρξάμενοι μὲν ἀπὸ τῆς τῶν συνεχῶν κατασκευῆς τοῖς μυκτῆρσι μορίων, ἑξῆς δὲ τούτοις ἐπισκεψάμενοι τὰ τῆς ἐνεργείας ἴδια συμβεβηκότα. ἐπεὶ τοίνυν τοῖς κατὰ τὴν ῥῖνα πόροις ὑποτέτακται τοῖς ὀστοῖς ὁ χιτὼν ἐκεῖνος, ὃν καὶ τῇ φύσει καὶ τῇ συνεχείᾳ τὸν αὐτὸν ἔφαμεν εἶναι τῷ κατά γε τὸ στόμα, καὶ τὴν γλῶτταν, καὶ τὴν φάρυγγα, πλήν γε ὅτι λεπτομερής ἐστιν, ἢ τοῦτο αἰσθητήριον εἶναι χρὴ νομίζειν ὀσμῶν, ἢ τὸ τῆς ῥινὸς ὀστοῦν. οὐδὲν γὰρ ἄλλο τρίτον ἐνταῦθα μόριόν ἐστιν, ἀλλὰ τῷ μὲν τῆς ῥινὸς ὀστῷ, μὴ ὅτι τῆς ὀσφρητικῆς, ἀλλ᾽ οὐδὲ τῆς ἁπτικῆς αἰσθήσεως μέτεστιν. ὁ δ᾽ ὑποτεταμένος ἔνδον χιτών, ὁμοιότατος μὲν ὑπάρχει, τῷ κατὰ τὸν οὐρανίσκον τε καὶ τὴν ὑπερῴαν, καὶ ταύτῃ γε ἀδύνατον αὐτῷ πλεονεκτεῖν ἐκείνων εἰς ἀκρίβειαν αἰσθήσεως, ἠδύνατο μέντοι μεγέθει μόνων νεύρων πλεονεκτῆσαι, καθάπερ ἡ γλῶττα. φαίνεταί γε μὴν οὐδὲ ταῦτα, οὐ τὸ πλέον ἔχων, ἀλλ᾽ ὅσον ἀναγκαῖον εἰς αἴσθησιν ἁπτικήν, τοσοῦτον νεύρων μετειληφώς. καὶ μὲν δὴ καὶ αὐτοῦ τοῦ χιτῶνος ἡ φύσις, οὐ κατὰ τὴν τῶν αἰσθητηρίων οὐσίαν ἐστίν, ὥσπερ αἱ λοιπαί· τὸ μὲν γὰρ τῆς ὄψεως ὄργανον φωτοειδές· τὸ δὲ τῆς ἀκοῆς, ἀεροειδές· ὥσπερ τὸ τῆς γεύσεως ὑγρὸν καὶ σπογγοειδές· τὸ δὲ τῆς ἁφῆς, σκληρὸν καὶ γεῶδες· προπαρασκευασθέντος ἑκάστου τῶν ὀργάνων ὑπὸ τῆς φύσεως εἰς ὁμοιότητα τῶν αἰσθητῶν. ἐχρῆν οὖν καὶ τὸ τῶν ὀσμῶν αἰσθητήριον, ἀτμοειδὲς ὑπάρχειν, οὐ σκληρὸν καὶ γεῶδες, ὁποῖόν ἐστιν ὁ κατὰ τοὺς μυκτῆρας χιτών, πρὸς τῷ τοιοῦτος εἶναι, μηδὲ νεύρων ἀξιολόγων τυχών. ἃ πάντα ἂν ἔτυχε καὶ παρὰ τῆς γλώττης, ὡς ἂν καὶ τρίτην ἔχων τάξιν ἐν τοῖς αἰσθητικοῖς ὀργάνοις εἰς διάγνωσιν οὐσίας λεπτομεροῦς. τὸ μέν γε τῆς ὄψεως νεῦρον, εἰς τοσοῦτον ἥκει μεγέθους, ὥστε τοῦ καθιόντος εἰς τὸ στόμα τῆς γαστρός, μεῖζον εἶναι πολύ· καίτοι οὐκ εἰς ὅλον διανεμόμενον τὸν ὀφθαλμόν, ἀλλ᾽ ἐπὶ μόνον ἧκον τὸ κρυσταλλοειδὲς σῶμα (τοῦτο γὰρ ἐδείχθη τὸ κυριώτατον ὄργανον τῆς ὄψεως.) ὅ γε μὲν ἀκουστικὸς πόρος, βραχύτατον ἔχων τὸ ἔνδον πέρας, ὃ τοῦ νεύρου ψαύει, παρὰ καὶ τούτου κατὰ τὴν τοῦ μεγέθους ἀναλογίαν εἴληφε νεῦρον. οὐ μὴν οὐδὲ ἡ γλῶττα μικρῶν μετέσχεν τῶν ἐξ ἐγκεφάλου νεύρων.

CAPVT III.

Neque ipsum os nasi, neque interiorem eius tunicam, neque vllam naribus attinentem partem odoratus esse instrumentum.

Sed iam odoratus instrumentū quæramus: primúmque constitutionē partium quæ naribus cōtinuæ sunt, cōsideremus: deinde propria actionis accidentia. Quum igitur in vtroque nasi meatu tunica ossibus obducta sit: quā & eiusdem naturæ & continuam cum ea esse diximus, quæ os linguámque & fauces ambit, quanquam eò differat, quòd tenuior est: aut hæc instrumentum odoris sentiendi statuenda est, aut os ipsum nasi, quandoquidē pars tertia nulla relinquitur. Sed ossi non modò non odorandi, sed ne tangendi quidē, sensus datus est: tunica verò, quæ intus sternitur, vt ei simillima est, quæ cœlum capitis & palatum ambit, sic eandem superare sensus acumine non potest, poterat tamen sola neruorum magnitudine præstare, vt lingua: at nec ea re præstare cernitur, sed neruorū tantùm adepta est, quantū ad sensum tactus necessarium erat. Item natura eius tunicæ, substantiæ earum rerum quæ odoratum mouent non respondet: at reliquæ respondent: quandoquidem videndi instrumētum splendidum est: audiendi autem, aëreum; sicuti gustandi humidū & spongiosum est; quod verò ad tactum attinet, durū ac terrestre est: cū natura in fabricādis cuiusque sensus instrumentis similitudinē sensibilium secuta sit. Itaque & odoratus instrumentum vaporis simile esse oportebat, non durum, & terrestre, vt tunica, quæ naribus indita est, quæ non solum talis est, sed etiam neruis iustæ magnitudinis caret, quos certè habuisset, & in ea re linguæ prælata esset, cum in ordine instrumentorum sensus, tertium locum ad dignoscendam tenuem substantiam teneat. Neruus enim opticus ad id magnitudinis peruenit, vt eo multò maior sit, qui ad os ventriculi deductus est, quamuis nō in oculum totum distributus sit, sed crystallinum corpus tantùm attingat (hoc enim, vt aliàs demonstrauimus, præcipuū cernendi instrumentū est.) Auditus autē foramen, cuius interior terminus valdè exiguus est, qui neruum excipit, tantū nerui & ipsum accepit, quantum magnitudinis suæ ratio ferebat. Nec verò linguæ nerui à cerebro orti exiles tributi sūt.

Ergo nec id instrumentum, quod ab odore mouetur, gracilem à natura neruum accepisset, vt is, qui in narium tunicas distributus est: atque hoc idem vaporis simile esse necesse est, talis enim est odorum substantia. Ex quibus rebus efficitur, vt ipsi quoque in inuestigando odoratus instrumento; à naribus abducamur, si quæstionem quidem ad iudicandum à constitutione partium sumamus: si verò rem à propriis actionis accidentibus inuestigare volumus, nullum odoris sensum, nisi spir tu naribus attracto, moueri videbimus, quamquam ipsæ nares quandoque vapore etiam vehementer olente repletæ sint. Si quis igitur in cubiculo admodum angusto bitumen, casiámve, aut mirrham, thúsve, aut styracem in suffitum colliquet, vt vndique circunfusum aërem odore vehementi repleat, mox eundem sic naribus excipiat, vt attrahere per interualla longa conetur, hic rei veritatem intelliget. Siquidem tantummodo, dum spiritum adducet, odorē sentiet: interiectis autem temporibus, cum spiritum cōtinebit, odorem nullum percipiet, quanquam nares olenti vapore repletæ sunt: huc idem eueniet, si in ipsas aliquid vehementis odoris instilles, nam ita quoque solo attracti spiritus tempore odorem percipies. His de causis pars corporis, quæ odores dignoscit, alia esse videtur, eáque interius in corpore posita, non quæ tam in promptu est, & in summo corpore locata, vt tunica, quæ naribus indita est. Pectus igitur (vt ex sermone, qui de respiratione habitus est, intelleximus,) à musculis quibusdā dilatatur: eodémque tempore motus pulmonis consequitur: ita aërem trahi continui ratione necesse est & per asperam arteriam, & per fauces, & ore, & naribus: quare videndum est, cum nasi tunica non odoratus instrumentum sit, an ei, quæ palatum ambit, hoc delatum munus sit: mox idem de faucibus, & aspera arteria quærendum est. Palati igitur tunica sanè haud erit odoratus instrumentum: quandoquidem obstructis naribus, aut digito sic compressis, vt claudantur, spiritu autem ore adducto, nullus odoris sensus mouetur: eandem ob causam nec faucium, nec asperæ arteriæ, id officium esse putandum est.

CAPVT IV.

Quibus argumentis odorabilium sensum in anterioribus cerebri ventriculis moueri compererit.

SEd iam restat vt de reliqua foraminum parte consideremus, quæ per ossa colo similia ad ipsum cerebrum ascendit, quæ & ipsa cæterarum similitudinem in constitutione secuta est: nam ea tunica quæ hanc meatuum partem succingit, substantiam cum inferiori tunica eandem habet, eandémque neruorum tenuitatem, accidentium verò ratio diuersa est. Licet enim cerebro, dum in adducendo spiritu per sua quasi germina quædam agit pectúsque dilatat, aliquid & ipsi ad suos ventriculos attrahere: nec enim ei impossibile est, quum alia moueat, sibi motum quemdam, cúmque exiguū præbere, modò in se ipsum, modò ex se ipso, ita vt tum compressius sit quum sese contrahit, fusius verò quum se ex omni parte dilatat: quum autem in se ipsum colligitur, tunc extrinsecus aër continui ratione sequatur, idémque repulsus effletur, quum cerebrū diffunditur.

ἐοίκασιν οὐδὲ τὸ τῶν ὀσμῶν αἰσθητήριον ἔχειν ἄν ποτε ἰσχνὸν, ὁποῖόν ἐστι τὸ κατὰ τὸν τῆς ῥινὸς χιτῶνα. καὶ μὴν δὴ καὶ ἀτμοειδὲς ἀναγκαῖον ὑπάρχειν αὐτό. τοιαύτη γὰρ ἡ τῶν ὀσμῶν οὐσία. ταύτῃ μὲν οὖν καὶ ἡμᾶς ἀπάγει τῶν κατὰ τοὺς μυκτῆρας χωρίων, ἀπὸ τῆς κατασκευῆς τὴν ἔνδειξιν τοῦ ζητουμένου λαμβάνοντας. ἐφεξῆς ἀπὸ τῶν ἰδίων τῆς ἐνεργείας ἐπισκεπτομένοις φαίνεται οὐδεμία γιγνομένη διάγνωσις ὀσμῶν, ἄνευ τῆς εἰσπνοῆς. καίτοι γ' ἐνίοτε πεπληρωμένων τῶν πόρων τῆς ῥινὸς ἀτμοῦ σφοδροτάτου ἔχοντος δύναμιν. ἐὰν οὖν τις ἐν οἴκῳ σμικροτάτῳ θυμιάσας ἄσφαλτον, ἢ κασίαν, ἢ σμύρναν, ἢ λιβανωτὸν, ἢ στύρακα, καὶ πληρώσας ὀσμῆς ἰσχυροτάτης αὐτὸν, εἰσελθὼν ἀποπειρᾶται τοῦ διὰ πολλοῦ χρόνου ποιούμενος τὴν εἰσπνοήν, εἴσεται τοῦ λεγομένου τὴν ἀλήθειαν. ἐν μὲν τῷ τῆς εἰσπνοῆς χρόνῳ μόνῳ τῆς ὀσμῆς αἰσθανόμενος, ἐν δὲ τῷ λοιπῷ παντὶ, μηδεμίαν ἔχων αὐτῆς διάγνωσιν, καίτοι γε πεπληρωμένων τῶν πόρων τῆς ῥινός. οὕτω δὲ κἂν ἐνστάξῃς εἰς τοὺς μυκτῆρας ὁτιοῦν ἔχον ἰσχυρὰν ὀδμὴν, ἐν ἐκείνῳ μόνῳ τὴν διάγνωσιν αὐτοῦ λήψῃ, καθ' ὃν εἰσπνέομεν. ἔοικεν οὖν ἕτερόν τι μόριον εἶναι τὸ τῶν ὀδμῶν διαγνωστικὸν, ἔνδον που τεταγμένον ἐν βαθυτέρῳ τοῦ σώματος, οὐ πρόχειρον οὕτως, οὐδ' ἐκτὸς, ὡς ὁ κατὰ τὴν ῥῖνα χιτών. ἀλλ' ὡς ἐν τοῖς περὶ τῆς εἰσπνοῆς λόγοις ἐμάθομεν, ὡς ὁ μὲν θώραξ ὑπό τινων μυῶν διαστέλλοιτο, συνέποιτο δὲ ὁ πνεύμων αὐτῷ, κἄπειτα ἐξ ἀνάγκης τῷδε κατὰ τὸ συνεχὲς ὁ ἔξωθεν ἀὴρ, διά τε τῆς τραχείας ἀρτηρίας, καὶ τῆς φάρυγγος, καὶ τοῦ στόματος, καὶ τῆς ῥινός. εἴπερ οὖν ὁ κατὰ τὴν ῥῖνα χιτὼν οὐκ ἔστι τῆς ὀσφρήσεως ὄργανον, ἑξῆς ἐπισκεπτέον ἡμῖν περὶ τοῦ κατὰ τὸν οὐρανίσκον, εἶθ' ἑξῆς φάρυγγός τε καὶ τραχείας ἀρτηρίας. ὁ μὲν δὴ κατὰ τὸν οὐρανίσκον χιτὼν, οὐκ ἂν εἴη τὸ τῆς ὀσφρήσεως ὄργανον. εἴ γε τοῖς ἐμφράξασι μὲν τοὺς μυκτῆρας, ἢ καὶ σφίγξασι διὰ τῶν δακτύλων τὰ τῆς ῥινὸς πτερύγια, καὶ κλείσασιν ἀμφοτέρους τοὺς πόρους, ἀναπνέουσι δὲ ἐν τῷδε διὰ τοῦ στόματος, οὐδεμία τῶν ὀσμῶν αἴσθησις γίνεται. διὰ ταῦτα καὶ τὴν φάρυγγα καὶ τὴν τραχεῖαν ἀρτηρίαν, οὐχ ὑποληπτέον ὑπάρχειν αὐτό.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἐξ ὧν ἀναλογιζόμενος τὴν τῶν ὀσφρητῶν αἴσθησιν ἐν ταῖς προσθίαις τοῦ ἐγκεφάλου κοιλίαις γίγνεσθαι ἐπίστευον.

ΛΕίπει τοίνυν ἐπισκέψασθαι περὶ τοῦ λοιποῦ πέρατος τῶν κατὰ τὴν ῥῖνα πόρων, ὃ διὰ τῶν ἠθμοειδῶν ὀστῶν ἐπὶ τὸν ἐγκέφαλον ἀναφέρεται· ἀλλὰ κἀνταῦθα, τὰ μὲν τῆς κατασκευῆς ὅμοια, χιτὼν ὑπαλείφων τὸν πόρον, ὡσαύτως ἔχων τῷ κάτω κατὰ τὴν οἰκείαν οὐσίαν, καὶ τὴν τῶν νεύρων ἰσχνότητα, τὰ δὲ ἀπὸ τῶν συμβεβηκότων ἕτερα. κατὰ γάρ τοι τὴν εἰσπνοὴν, ἐγχωρεῖ τὸν ἐγκέφαλον αὐτὸν ἐνεργοῦντα, καὶ διαστέλλοντα τὸν θώρακα διὰ τῶν οἰκείων ἀποβλαστημάτων, ἐπισπᾶσαί τι καὶ πρὸς τὰς ἑαυτοῦ κοιλίας, οὐ μὴν ἀδύνατον τοῦτο, ἀλλὰ κινοῦντι βραχυτάτην ἑαυτοῦ παρέχεσθαι κίνησιν, εἰς ἑαυτόν τε καὶ ἐξ ἑαυτοῦ, πιλούμενον μὲν ἡνίκα εἰς ἑαυτὸ συνάγεται, χεόμενον δὲ ὁπόταν ἀποτείνηται πάντῃ· συνακολουθεῖν δὲ αὐτῷ κατὰ τὸ συνεχὲς, ἐπειδὰν εἰς ἑαυτὸ συνάγηται τὸν ἔξωθεν ἀέρα, καθάπερ γε καὶ αὖτ' ἐκπνεῖσθαι πάλιν, ἐπειδὰν χέηται.

ταῦθ' ἡμῶν σκοπουμένων ποτὲ, κατά τινα τύχην συνέβη βεβλαμμένον ἄνθρωπον ἐκ κορύζης τε καὶ καταῤῥόου πολυχρονίου τὴν αἰσθητικὴν ὄσφρησιν, ἐπὶ τὴν τοῦ μελανθίου βοήθειαν ἀφικέσθαι. κόπτεται δὲ ἀκριβῶς τοῦτο, χάριν τοῦ χνοώδες γενέσθαι, καὶ ἔπειτα μιχθὲν ἐλαίῳ παλαιῷ, τρίβεται μετ' ἐκείνου πάλιν ἐπιμελῶς, εἶτα πληρώσας ὁ θεραπευόμενος ὕδατος τὸ στόμα, καὶ τὴν κεφαλὴν ἀναπνεύσας, ἐπὶ πλεῖστον ἐγχεόμενον διὰ τῶν μυκτήρων τὸ φάρμακον, εἰσπνέων ἕλκει σφοδρότερον. ἐπὶ δὲ τριῶν ἐφεξῆς ἡμερῶν ὁ νεανίσκος χρησάμενος τῷ βοηθήματι, μεγάλως ὤνατο. φιλοτιμότερον δὲ εἰσπνεύσας τῇ τετάρτῃ τῶν ἡμερῶν, ἰσχυρᾶς ᾔσθετο δήξεως ἐν τῷ βάθει τῆς κεφαλῆς, καὶ μάλιστ' αὐτῆς κατὰ βραχὺ μειουμένης, παντάπασιν ἐπαύσατο κατὰ τὴν ὑστεραίαν. ἐδόκει τοιγαροῦν ἡμῖν ἀνενεχθῆναί τι τοῦ μελανθίου κατὰ τὰς τοῦ ἐγκεφάλου κοιλίας, ὃ προσιζῆσαν, ἤτοι τοῖς χοροειδέσι πλέγμασιν, ἴσως δὲ καὶ αὐτῷ τῷ ἐγκεφάλῳ παρασχεῖν τὴν ὀδύνην. ὁμολογεῖν δὲ φαίνεται τοῖσδε, καὶ τὸ δεῖν ἀτμοειδῶς πως εἶναι τὸ τῶν ὀσμῶν ἴδιον ὄργανον, καὶ διὰ ταῦθ' ἕνεκα τοῦ βεβαίως πεισθῆναι, καὶ ἄλλῳ τινὶ καὶ ἄλλῳ, καὶ πολλοῖς ἐφεξῆς οἰκέταις ἐνεχεάμην τοῦ φαρμάκου, σφοδρῶς ἀναπνεῦσαι κελεύσαντες. ἐξ ὧν ἔνιοι μὲν οὐδ' ὅλως, ἔνιοι δὲ ἀμυδρῶς, εἰσὶ δ' οἳ καὶ σαφῶς ᾔσθοντο δήξεως, ἐν τῷ βάθει τῆς κεφαλῆς. ἡμεῖς μὲν οὖν ἔκ τε τούτων ἀναλογιζόμενοι, καὶ τῶν ἄλλων τῶν προειρημένων ἐν ταῖς προσθίαις κοιλίαις τοῦ ἐγκεφάλου τὴν τῶν ὀσφρητῶν αἴσθησιν ἐπιστευόμεν γίγνεσθαι. προσήρχοντο δὲ ἡμῖν ἐξ ἐπιμέτρου πίστεις οὐ σμικραί· πρώτη μὲν ἡ τῶν πταρμῶν, ὠφελούντων ἐναργῶς τῷ βάρει τῆς κεφαλῆς, ὅταν ὑπὸ ἀτμῶν παχέων ὁ ἐγκέφαλος ἐμπλησθῇ· δευτέρα δ' ὅτι πληροῦταί τε καὶ θερμαίνεται κατὰ τὰς τῆς ἀναπνοῆς ἐπισχέσεις ὁ ἐγκέφαλος, ὡς ὀλίγον ὕστερον ἐρῶ· εἰκὸς οὖν ἐστι δεῖσθαι, τῆς μὲν ἐκπνοῆς αὐτῶν, ἕνεκα τοῦ τὰ λυποῦντα κενῶσαι, τῆς δ' εἰσπνοῆς ἀναψύξεως χάριν· ἔτι τε τρίτον, τοῖς ἐγκεκαυμένης, ἢ καὶ ἄλλως ὁπωσοῦν θερμῆς τῆς κεφαλῆς, αἰσθανόμεθα τήν τε τῶν ῥόδων ὀσμήν, καὶ τινῶν ἄλλων ὅσα προσηνῶς ἐμψύχει, ἐπιφανῶς ἰᾶσθαι τὴν θέρμην. οὐ μὴν ἀλλὰ καὶ τὸ κατὰ μηδένα τρόπον ἐγχωρεῖν ἐν τῷ ῥινὸς χιτῶνι τὴν αἴσθησιν γίνεσθαι τῶν ὀσμῶν· ὃ γὰρ εἶχε μόνον βραχὺ τὸ πιθανὸν ὑπ' Ἀριστοτέλους εἰρημένον, ἐξεταζόμενον ηὑρίσκετο ψεῦδος.

Quum hæc igitur nos olim nobiscum cogitaremus, fortè contigit vt quidam cui odorandi sensus à diuturna tum grauedine tum destillatione læsus esset, ad nigellam remedij causa confugeret: quam vt ratio medicamenti postulat, quum contudisset diligenter & in puluerem liquasset, veterique oleo immiscuisset, iterum eandem cum eo humorem minutissimè triuit; mox aquam ore excepit, & supino capite nõ minimam medicamenti partẽ sibi naribus instillatã adducto spiritu vehemẽtius attraxit: eodémque modo triduũ medicamento vtens, magnum ex eo iuuenis ille adiumẽtum cepit Quarto autẽ die quum eodem medicamento sic vsus esset vt spiritũ violentius quã ante attraheret, grauem in intimo capite morsum percepit: qui tamen quum sensim leniretur, postera die prorsus sedatus est. Qui euentus mihi argumento fuit nigellæ paulùm vsque ad cerebri ventriculos esse attractum, quod aut membranæ quæ secundarum modo, quibus inuoluuntur fœtus, intexta est, aut fortasse ipsi cerebro inhærens, dolorem intulit: atque hoc idem illius rei consensu approbatum apparet, quòd vaporis quodammodo simile proprium odoratus instrumentum esse oportet. Ex quibus rebus ego commotus aliis quibusdam, aliísque aliàs, multísque deinceps famulis eodem medicamento in nares instillato, eos spiritum vehementer trahere iussi: quorum alij nullum, alij leuem, alij grauem morsum altè in capite senserunt. Ex quibus rebus cæterísque de quibus ante disputatum est quum ratiocinaremur, sensum odoris in ventriculis cerebri anterioribus fieri existimauimus. Ad erant autem insuper argumenta multa quæ huic rei fidem non exiguam afferebant, primum quidem quoniam is quem grauedo capitis ob repletum crassis vaporibus cerebrum opprimebat euidens à sternutamentis adiumentum cepit: alterum verò quoniam ipsum cerebrum in retentione spiritus impletur & calefit, vt paulò post dicam: æquum est igitur cerebrum nunc spiritum trahere, vt refrigerium capiat, nunc eundem reddere, vt noxia à se expellat; quibus tertium quoque argumentum adiunctum est, quòd ij quibus caput in Sole exustũ est, aut modo quodã alio incalescit, odore rosarũ aut si qua alia sunt quæ naribus admota nõ iniucundè refrigerent, haud dubiam sibi medelã accipiunt. Sed & illud aderat, quod ad eandem fidem faciendam concurreret, quòd odoris sensus in narium tunica moueri nullo modo potest: id enim quod paulum probabilitatis ab Aristotele acceperat, quum exquireretur, falsum inuentũ est.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Πρὸς τὸν Ἀριστοτέλη περὶ τῶν ἐπιθημάτων τῶν τῆς ῥινὸς πόρων οὓς ἐν τῇ τῶν ὀσμῶν αἰσθήσει ἀνοίγνυσθαί φησι.

ΟΠως οὖν ἀκριβεστέρα γένοιτο παντὸς τοῦ δόγματος ἡ βάσανος, ἀρξώμεθα τῶν προειρημένων κεφαλαίων ἀπὸ τοῦ τελευταίου. τί δή ποτε γὰρ εἰσπνεόντων ἡ τῶν ὀσμῶν αἴσθησις γίγνεται; κατ' ἄλλον δὲ οὐδένα χρόνον, εἴπερ ἐν τοῖς τῆς ῥινὸς πόροις ἡ γένεσις αὐτῆς ἐστιν, ἐπισκεπτομένοις ἡμῖν ἓν τοῦτο μόνον ηὑρίσκετο πιθανόν, ὡς μὴ κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν τοῦ τῆς ῥινὸς χιτῶνος, ἀλλὰ διὰ βάθους συχνοῦ τὸ τῆς ὀσφρήσεως ὄργανον τετάχθαι, πόρων μὲν τινων ἐπ' αὐτὸ τεινόντων, οὐ μὴν ἀνεῳγμένων γε διὰ παντός, ἀλλ' ἐπιθήματά

CAPVT V.

Aduersus Aristotelem de operculis foraminum nasi, quæ aperiri in odorum sensu existimauit.

VT igitur totum eius in ea re decretum diligenti inquisitione exploretur, à secundo capite superiùs posito differentes exordiamur. Mihi igitur cogitanti, quid causæ sit, si in naris tunica odorum sensus positus est, cur tantummodo, dum spiritum trahimus odorem percipiamus, reliquo autem tempore odoris sensu careamus? illud tantum probabile repertum est, instrumentum odoratus non in summa superficie tunicæ narium, sed multò interiùs in ea esse locatum sic vt foramina quædam ad ipsum pertinentia habeat, quæ non semper aperta sint, sed operculis quibusdam

quibusdam membranæ similibus tenuibúsque tegantur: quæ opercula ab impetu attracti spiritus reserentur, vt ad eam partem, in qua vis odoris dignoscendi posita est, proprium eius sensibile perueniat. Tale est, quod Aristoteles sentire videtur & eo libro, quem de anima secundum scripsit, & eo quem de sensu & sensibilibus, qui liber idem de sensu & sensoriis, vt ita dicam, inscribitur: sic enim instrumenta sensus appellare Aristoteles solet. In secundo igitur de anima hæc ab eo scripta sunt: *Sic & odoratus instrumentum in aliis operculo caret, vt oculi: in aliis quæ aërem recipiunt, operculo tegitur, quod respirante animali ex dilatatione venarum & foraminum abducitur.* In volumine verò de sensu, & sensoriis. *Sed in iis, inquit, quæ respirant, spiritus id quod veluti operculum incumbit, abducit, ratione cuius non sentiunt, nisi respirent: in iis verò, quæ non respirant, id operculum non est, vt in oculis accidit: nam animantes quædam palpebras habent, quæ nisi abducantur, cernere nequeunt: non nullæ, quibus oculi duri sunt palpebris carent, vt nullo egeant, quod eas abducat, sed tantum protinus cernant, quantum earum natura patiatur.* Hæc Aristoteles, qui locum quærere, in quo primum odoris sensus positus sit, nulla ex parte tentauit: eáque quæ de foraminibus apertis, quanquam non intelligentiam fugiunt, vt quædam à quibusdam dicta, non tamen locum habere in nasi meatibus possunt. In palpebris igitur motus animalis voluntate cietur, & ob eam rem nobis licet, quoties volumus, & componere, & abducere: in odorandi verò sensu non ita se res habet: apertio enim, quam dixit, foraminum attracti spiritus accidens est, non opus nostrum. Sed quonam modo accidat, deinceps videndum. Quamquam æquum erat Aristotelem rationis parentem, suam opinionem stabilire: non absolutè pronunciare, nobísque relinquere, vt quænam eius sententia fuisset, veluti vaticinaremur, cum nihil ipse dilucidè dixisset, nec eam, quam in scriptis posuit, foraminum constitutionem declarasset, in tunicáne narium, an loco quodam alio, hæc sua odoratus foramina esse arbitraretur. Quæ non in naribus esse ex eo patet, quòd si ita esset, ea impetus aëris foris irruentis aperiret, etiam sine vllo attracto spiritu: hoc autem non fieri perspicuum esse potest, si quis aut motum aëris in cubiculo odore admodum vehementi, repleto moliatur, aut eodem in loco nares vento objiciat, aut naribus instrumenta quædam caua admoueat, quibus aër potest impelli: ea calami sunt, & vesicæ vtrinque foratæ, quibus cornicula inhæreant: attamen his omnibus aërem impellentibus nullus odoris sensus excitatur. Nec verò id quenquam dicere licet, talem nasi tunicæ foramina habere motum, qualem cordis ventriculi habent, qui cum dilatantur, ora vasorum aperiuntur, quibus in cor materiæ inuehuntur: aut enim dicendum est motum foraminum nobis volentibus cieri, aut sine voluntatis imperio: vt cor ipsum mouetur. Si igitur ea foramina nostra voluntate mouentur, licebit sine vllo etiam attracto spiritu eadem dilatare, indéque odorem percipere: sin autem naturalis motus eorum sit, nihilominùs hoc idem licere perspicuum est: at nunquam nisi adducto spiritu, odorem sentimus: ex quo apertum relinquitur foramina, vt ait,

A τινα ἐχόντων ὑμενώδη λεπτά. τούτων δ᾽ ἐν ταῖς εἰσπνοαῖς ὑπὸ τῆς ῥύμης τοῦ πνεύματος ἀνοιγομένων, οὕτως ἀφικνεῖσθαι τὸ αἰσθητὸν ἐπὶ τὸ διαγνωστικὸν αὐτοῦ μόριον. ἔοικε δέ τι τοιοῦτον καὶ Ἀριστοτέλης ἔν τε τῷ δευτέρῳ περὶ ψυχῆς, κἀν τῷ περὶ αἰσθήσεως καὶ αἰσθητῶν. ἐπιγράφεται δὲ τοῦτο καὶ δι᾽ ἕτερον τρόπον ὧδε. περὶ αἰσθήσεως καὶ αἰσθητηρίων, ἐπειδὴ τὰ τῶν αἰσθήσεων ὄργανα καλεῖν οὕτως ἔθος ἐστὶν καὶ Ἀριστοτέλει. κατὰ μὲν οὖν τὸ δεύτερον περὶ ψυχῆς ταυτὶ γέγραπται, οὕτως μὲν οὖν καὶ τὸ ὀσφραντικὸν ὄργανον, τοῖς μὲν, ἀκάλυφές ὥσπερ τὸ ὄμμα· τοῖς δὲ τὸν ἀέρα δεχομένοις ἔχει ἐπικάλυμμα, B ὃ ἀναπνεόντων, ἀποκαλύπτεσθαι, διευρυνομένων τῶν φλεβῶν καὶ τῶν πόρων. ἐν δὲ τῷ περὶ αἰσθήσεως καὶ αἰσθητηρίων, τάδε φησί. ἀλλὰ τοῖς μὲν ἀναπνέουσι, τὸ πνεῦμα ἀφαιρεῖ τὸ ἐπικείμενον, ὥσπερ πῶμά τι, διὸ οὐκ αἰσθάνεται μὴ ἀναπνέοντα. τοῖς δὲ ἀναπνέουσιν, ἀφήρηται τοῦτο, καθάπερ ἐπὶ τῶν ὀφθαλμῶν, τὰ μὲν ἔχει βλέφαρα τῶν ζώων, ὧν μὴ ἀνακαλυφθέντων, οὐ δύναται ὁρᾶν. τὰ δὲ σκληρόφθαλμα, οὐκ ἔχει, διόπερ οὐ προσδεῖται οὐδενὸς τοῦ ἀνακαλύψοντος, ἀλλ᾽ ὁρᾷ ἐκ τοῦ δυνατοῦ ὁρᾶν αὐτῷ εὐθύς. αὗται μὲν αἱ τοῦ Ἀριστοτέλους ῥήσεις, οὐδ᾽ ὅλως ἐπιχειρήσαντος ζητῆσαι μό- C ριον, ἐν ᾧ πρώτως τὴν τῶν ὀσμῶν αἴσθησιν ἔχομεν. ἀλλὰ καὶ τὸ λεγόμενον ὑπ᾽ αὐτοῦ περὶ τῶν ἀνακαλυπτομένων πόρων, ἀδύνατον μὲν οὐκ ἔστιν ὥσπερ ἔνια τῶν λεγομένων ὑπό τινων, οὐ μὴν δυνατόν γε συστῆναι κατὰ τοὺς πόρους τῆς ῥινός. ἐπεὶ μὲν γε τῶν βλεφάρων ἡ κίνησις κατὰ τὴν ἡμετέραν ἐπιτελεῖται προαίρεσιν. καὶ διὰ τοῦτο ἔξεστιν ἡμῖν ὁπότε βουλώμεθα, καὶ κλείειν αὖθις καὶ ἀνοίγειν, ἐπὶ δὲ τῆς τῶν ὀσμῶν αἰσθήσεως, οὐχ ὧδ᾽ ἔχει. συμβεβηκὸς γάρ ἐστιν ταῖς εἰσπνοαῖς τὸ κατὰ τὴν ἄνοιξιν τῶν πόρων, οὐχ ἡμέτερον ἔργον. πῶς οὖν συμβήσεται, σκεπτέον ἐφεξῆς. καίτοι γε δίκαιος ἦν ὁ Ἀριστοτέλης ὁ πατὴρ τοῦ D λόγου, κατεσκευακέναι μὲν τὴν ἑαυτοῦ δόξαν, οὐκ ἀποφηνάμενος ἁπλῶς, ἡμῖν ἐπιτρέψας περὶ τῆς ἐκείνου γνώμης ἀπομαντεύσασθαι, μηδὲν εἰπόντος σαφές, ὥστε οὐδὲ κατασκευὴν, ἣν λέγει τῶν πόρων ἐδήλωσεν, εἴτ᾽ ἐν τῷ χιτῶνι τῶν μυκτήρων, εἴτ᾽ ἐν ἄλλῳ τινὶ μέρει βούλεται τούτους δὴ τοὺς ὀσφρητικοὺς πόρους ὑπάρχειν. ἀλλ᾽ ὅτι γε μὴ κατὰ τοὺς μυκτῆρας, ἐνθένδε δῆλον. εἰ γὰρ οὕτως ἔχοιεν, ἡ φορὰ τοῦ προσπίπτοντος ἔξωθεν ἀέρος ἀνοίγνυσιν αὐτούς, ἐὰν καὶ χωρὶς τῆς εἰσπνοῆς ἐμπίπτῃ τὸ πνεῦμα. ὅτι δὲ οὐκ ἐργάζεται, σαφῶς ἔνεστι θεάσασθαι. πρῶτον μὲν αὐτῷ τεχνησάμενον κίνησιν ἀέρος ἐν οἴκῳ σμικρῷ E μεστῷ σφοδροτάτης ὀσμῆς, δεύτερον δὲ καὶ πρὸς ἄνεμον τρέψαντα τοὺς μυκτῆρας ἐν τούτῳ τῷ χωρίῳ, καὶ τρίτον ἐπιθέντα κατὰ τῶν μυκτήρων ἕν τι τῶν ὀργάνων τῶν δυναμένων ὠθεῖν ἀέρα. καλαμίσκοι δ᾽ εἰσὶ τοιοῦτοι, καὶ κύστεις εὐθύτρητοι, καὶ πρὸς ἑαυτὰς ἔχουσαι κέρατα. ἀλλά τοι τούτων πάντων κινούντων ἀέρα, διάγνωσις οὐδεμία γίγνεται τῆς ὀσμῆς. οὐ μὴν τοῦτ᾽ ἔστιν εἰπεῖν, ὡς τοιαύτη κίνησίς ἐστι τῶν κατὰ τὸν χιτῶνα πόρων, οἵα τῶν τῆς καρδίας κοιλιῶν. ὧν διαστελλομένων, ἀνοίγνυσθαι συμβαίνει τὰ στόματα τῶν εἰσαγόντων τὰς ὕλας ἀγγείων. ἤτοι γὰρ κατὰ τὴν ἡμετέραν προαίρεσιν ἔνεστιν ὑποθέσθαι τὴν F κίνησιν γίνεσθαι τῶν πόρων, ἢ χωρὶς προαιρέσεως, οἵα καὶ τῆς καρδίας ἐστί. εἰ μὲν οὖν κατὰ τὴν ἡμετέραν προαίρεσιν, δεήσει καὶ χωρὶς τῆς εἰσπνοῆς διαστέλλειν αὐτοὺς, καὶ αἰσθέσθαι τῆς ὀσμῆς. εἰ δὲ φυσικῶς ᾖ, εὔδηλον ὅτι καὶ οὕτως ἄνευ τῆς εἰσπνοῆς. ἀλλὰ μὴν οὐδέποτε χωρὶς τῆς εἰσπνοῆς αἰσθανόμεθα. φανερὸν οὖν ὅτι τοῖς αἰσθητικοῖς τῶν ὀσμῶν πόροις,

οὔτε κατὰ προαίρεσιν, οὔτε ἄνευ προαιρέσεώς ἐστιν οἰκεία, κίνησις ἡ διοικοῦσα τὸ ὀζόμενον. οὐ μὴν οὐδὲ τῶν ἀναπνευστικῶν πόρων κίνησις διαστεῖλαι δυνήσεται τοὺς ὀσφρητικοὺς πόρους· αὐτὸς μὲν γὰρ ὁ θώραξ, ἐν τοῖς περὶ τούτων λόγοις ἐπιδέδεικται διαστελλόμενος ὑπὸ μυῶν· ὁ πνεύμων δ᾽ αὐτὸς συνεπόμενός τε πάντη, καὶ συνδιαστελλόμενος τῇ πρὸς τὸ κινούμενον ἀκολουθίᾳ. τούτῳ δ᾽ ἀκολουθῶν ὁ ἔξωθεν ἀήρ, οὐκ ἔτι ἐξ ἀνάγκης διαστελλομένων τῶν παραπεμπόντων αὐτὸν σωμάτων, οὔτε τοῦ στόματος, οὔτε τῆς ῥινός, οὔτε τοῦ φάρυγγος. ἀναπεπταμένων γὰρ αὐτῶν μόνον, διὰ μείζονος, ἧς ἔμπροσθεν εἶχον εὐρύτητος, ἐπικταμένων οὐ δεῖ. δῆλον οὖν ἐστιν ἐκ τῶν εἰρημένων, ὡς ἡ τῶν ἀναπνευστικῶν ὀργάνων κίνησις, οὐ δύναται τοὺς λεπτοὺς ἐκείνους πόρους τῶν κατὰ τοὺς μυκτῆρας χιτώνων ἀνοιγνύναι. ὥστ᾽ ἐκ τῆς φορᾶς τοῦ ἀέρος ἀνοιχθήσονται μόνης, ἣν ὡς ἔφην, ἐγχωρεῖ καὶ χωρὶς τῆς εἰσπνοῆς ἐπιτεχνήσασθαι. εἰ δέ τις φαίη τῶν δι᾽ ἀναισθησίαν εἰκῇ πολλὰ φθεγγομένων, ἐν τῷ τῆς εἰσπνοῆς χρόνῳ τοὺς πόρους ἀνοίγνυσθαι μόνον, καὶ ἡμεῖς ἀναμνήσομεν αὖθις αὐτόν, ὡς ἐν τοῖς ἔμπροσθεν εἰρημένοις ἐξελήλεγκται τοῦτο, κατ᾽ ἐκεῖνο τοῦ λόγου τὸ μέρος, ἡνίκα ἤτοι καθ᾽ ὁρμὴν τοῦ ζώου τὴν ἄνοιξιν αὐτῶν ἔφαμεν, ἢ φυσικήν τινα εἶναι. κατὰ προαίρεσιν μὲν οὖν οὐκ ἔστιν. ἐφ᾽ ἡμῖν γὰρ ἂν ἦν ὁπότε μὲν βουληθείημεν ἀνοίγειν αὐτούς, καὶ χωρὶς τῆς εἰσπνοῆς, οὐ μὴν οὐδὲ φυσική, καθάπερ ἡ τῆς καρδίας. οὐ γὰρ ἂν οὐδ᾽ οὕτω κατὰ τὸν τῆς εἰσπνοῆς χρόνον ἐγίνετο διὰ παντός, ἀλλ᾽ ἰδίαν εἶχε τάξιν κινήσεως. ἐνίοτε μὲν εἰς ταὐτὸν τῷ τῆς εἰσπνοῆς ἀφικνουμένῳ χρόνῳ, πολλάκις δὲ τῷ τῆς ἐκπνοῆς, ἢ ἐπισχέσεως ὅλης τῆς ἀναπνοῆς. εἰ τοίνυν οὔτε ἐξ αὐτῶν, οὔθ᾽ ὑπὸ τῆς τῶν ἀναπνευστικῶν ὀργάνων κινήσεως οἱ πόροι τοῦ κατὰ τὴν ῥῖνα χιτῶνος ἀνοίγνυνται, λείπεται πρὸς τῆς τοῦ πνεύματος ῥύμης, εἰς τοῦθ᾽ ἥκειν αὐτούς, ἣν, ὡς ἔφην, οἷόν τ᾽ ἐστὶν τεχνήσασθαι, καὶ χωρὶς τῆς εἰσπνοῆς. εἰ δέ τις ἀπορεῖ, διά τινα αἰτίαν ὑπὸ τῆς τοιαύτης κινήσεως, εἰ σφοδροτάτη γένοιτο, μηδὲν ὀσμῆς μέρος εἰς τὸν ἐγκέφαλον συνελαύνεται, καίτοι τρημάτων ὄντων εἰς τοσοῦτον εὐρέων, ὡς καὶ τὰς παχυτάτας βλέννας ἐγκεφάλου δι᾽ αὐτῶν φέρεσθαι, διδάξομεν αὐτόν, ὡς οὐδὲ εἰς τὸν λάρυγγα, καὶ τὸν πνεύμονα φέρεταί τι κατὰ τὰς εἰρημένας κινήσεις, τοῦ κατὰ τοὺς μυκτῆρας ἀέρος, ἐπειδὴ φθάνουσιν οἰκείου πεπληρῶσθαι πνεύματος. ὁπότ᾽ οὖν οὐδ᾽ εἰς τοὺς μεγάλους πόρους οὐδὲν ἔξωθεν ἐμπίπτει πνεῦμα, χωρὶς τῆς τῶν ὀργάνων διαστολῆς, εἰκὸς δή που μηδ᾽ εἰς τοσοῦτον λεπτοὺς εἶναι, ὡς τισι τῶν ἀμελῶς ἀνατεμνόντων μηδ᾽ εἶναι δοκεῖ. ἀμέλει κἂν εἰς τὸν μυκτῆρα καθεὶς αὐλίσκον ἀκριβῶς στεγνώσεις τὸν πόρον, οὐ δυνήσεται πνεῦμά τι ἐνεῖναι, πρὶν ἀνοῖξαι τὸ στόμα. διανοιχθέντος δ᾽ αὐτοῦ, τὸ κατὰ τὴν ὑπερῴαν ἐμπίεστον πνεῦμα πρὸς τοὐκτὸς ἀποχωροῦν ἀκολουθοῦν ἐπιτρέπει τῷ συνεχεῖ. μὴ τοίνυν ἀξίου μηδ᾽ εἰς τὸν ἐγκέφαλον ἀνέρχεσθαί τι κατὰ τὰς εἰρημένας ἐμπτώσεις εἰς τὴν ῥῖνα τοῦ πνεύματος. ἄχρι γὰρ ἂν ἡ κατ᾽ αὐτὸν εὐρυχωρία φθάνει πεπληρωμένη πρὸς ἑτέρου πνεύματος, οὐχ οἷόν τ᾽ ἐστὶν ἐπεισελθεῖν ἄλλο, πρὶν διαστῆναι τὸν ἐγκέφαλον, ὅπερ εἰσπνεόντων μὲν οἷόν τ᾽ ἐστὶ γενέσθαι. διαστέλλεται γὰρ πρότερον, ἵν᾽ ἕλξῃ, κἄπειθ᾽ οὕτω εἰσδέχεται τὸν ἔξωθεν ἀέρα. χωρὶς δὲ τῆς ἐξ ἑαυτοῦ διαστολῆς, οὐκ ἐνδέχεται παραδέξασθαι πνεῦμά τι αὐτόν, οὐδ᾽ εἰ βιαίως ὠθοῖτο, εἰ δ᾽ ὥσπερ καὶ βούλοιτό τις, βιαίως ὠθούμενον ἐμπίπτει. ἀλλ᾽ οὐδὲ τοῦτο δυνατὸν εἶναι πολύ.

odores dignoscentia neque animali volēte, neque sine eiusdem voluntate, proprium motum habere, quo eorum ostiola reserentur. Nec verò motus instrumentorum, quæ respirationi accommodata sunt, illos odorandi meatus dilatare poterunt: pectus enim (vt cùm sermo de instrumentis respirationi seruientibus haberetur, demonstratum est,) à musculis dilatatur: pulmo autem ex omni parte consequitur, vnáque cum pectore continui ratione dilatatur, cuius item motum aër extrinsecus sequitur: corpora verò aërem vehentia, siue sit os, siue nares, siue guttur, non dilatari necesse est: quādoquidem his, vt tantummodo pateant, opus est, non vt maiorem latitudinem sibi assumant. Ex quo intelligitur tenuia illa tunicę narium foramina motu instrumentorum, quæ ad ducendum spiritum natura aptauit, aperiri non posse: vt reliquum sit, eosdem solo aëris impetu reserari, quem vt dictum est, moliri etiam non attracto spiritu possumus. Quòd siquis eorum, qui ob stuporem multa temerè pronunciant, foramina eo tantum tempore aperiri dicat, quo spiritum trahimus, is à nobis admonebitur, vt ea meminisse velit, quę supra, dum hoc idem redargueremus, disputata sunt, eo orationis loco, vbi illa foramina aut animalis voluntate, aut quodam naturali motu, aperiri diximus: quorum neutrum fieri apertum est. Nam si animalis voluntate aperirentur, nostræ potestatis esset, quoties vellemus, ea aperire, etiam nullo spiritu adducto: idem verò, si naturæ opera fieret, qualis motus cordis est, non semper cum adducto spiritu contingeret, sed proprium sui motus ordinem haberet, vt in idem tempus nunc cum accepto spiritu concurreret, nunc cum eodem reddito, nunc cum tota respiratione retenta. Si igitur neque per se, neque cum motu instrumentorum, quæ ad ducendum spiritum accommodata sunt, illa tunicę narium foramina aperiuntur, reliquum est id spiritus impetu fieri, quem vt dixi, sine inspiratione mouere possumus. Siquis autem dubitet, quid causæ sit, cur tali motu, etiam si valdè violentus sit, nulla tamen odoris pars in cerebrum impellatur: quanquam tam lata extant foramina, vt à cerebro mucus etiam crassissimus per ea transfluat: nos eum docebimus in tali aëris per nares impulsu neque in guttur quicquam, neque in pulmonem propelli, quandoquidem ea à proprio repleta spiritu præoccupantur. Quum igitur ne in amplas quidem vias quicquam externi aëris illabatur, nisi instrumenta dilatentur, consentaneum est, nec in ea illabi foramina, quæ tam angusta sunt, vt quibusdam oscitanter dissecantibus ne quidem existere videantur. Si in alterum igitur nasi foramen fistulam immiseris, vt id ad vnguem obstruas, nullus spiritus inire ante poterit, quàm os aperueris: quo aperto, spiritus is, qui palato continebatur, cum foràs effunditur eum, qui continuus est, sequela quadam secum trahit. Ne arbitreris igitur in eiusmodi spiritus per nares impetu quicquam in cerebrum impelli: quandiu enim alter spiritus cerebri anfractus locáque vacua occupat, tandiu nulli alteri vllus est ineundi locus prius, quàm cerebrum dilatetur: id quod fieri nobis spiritum trahentibus potest: primum enim dilatatur, vt attrahat, deinde sic aërem foris in se recipit: at idem cerebrum spiritum recipere, nisi dilatetur, non potest, ne si quidem is violenter impulsus sit. Quòd si aliquis velit spiritum vi impulsum ingredi: nunquam tamen is multus esse poterit,

aër

aër enim, vt ſcimus, vi comprimitur, idémque vndique funditur, cum horum alterutrum pati contra naturam ſuam cogitur, vt nulla eiuſmodi violenta cauſa cum à loco, quem iam occupat, dimouere valeat: nec verò, cum idem compreſſus in anguſtiorem locum cogitur, aut fuſus in ampliorem extenditur, magnam ad vtramuis partem efficit mutationem, ſed exiguo & proceſſu & receſſu comprimitur idem, & funditur. Quam ob cauſam nihil in cerebrum impellitur, quamuis vehementer ſpiritum plenis naribus comprimas: tunica verò, quæ illas ambit, in qua illa odoratus foramina exquirenda poſuimus, ſe ab aëre foris violenter irruente verberari haud dubiè ſentit: itaque ea foramina ex tam vehementi aëris in nares impetu reſerari oporteret, & ſimul, ac aperta eſſent, odoris ſenſum moueri: at non mouetur: ergo ea eſſe non poſſunt. Sed nec probabile eſt, naturam tale quidquam fruſtra machinatam eſſe: nam ſi foramina quædam ad odores percipiendos conſtituiſſet, non ea impoſitis operculis occluſiſſet: vt nec ea occluſit, quæ in auribus extant. Melius enim eſt omnem ſenſum aptum eſſe, qui proprium ſenſibile ſemper dignoſcat, non tantummodo, dum ſpiritum trahimus. Nec natura propterea oculis operimenta dedit, quia melius eſſet eos non perpetua in actione teneri, ſed quia molles erant, & ob eam rem lædi ab incurſantibus rebus facile poterant: à quibus vt defenderetur, natura palpebras ipſis, quaſi quædam propugnacula, dedit. Sed nonne & ab ipſo Ariſtotele dictum eſt, naturam animantibus iis, quorum oculos exterior tunica dura protegit, ideò palpebras non dediſſe, quod eos non facile lædere eſſet, & ipſi per ſe nullum vel munimentum, vel tegumentum, vel operculum in eo animalium genere deſiderarent? At nos iure deſideramus, egemúſque, & ob cauſam proximè expoſitam, & ſomni gratia: quiſquam enim in aëre lucido dormire, niſi tectis oculis, non poteſt. Itaque illis ipſis animalibus: quæ palpebris carent, vt locuſtæ, gammari, paguri, cancri, natura ſinus quoſdam tribuit, qui inſtante ſomno quaſi cubicula quædam oculos totos reciperent: qui mox inde, cum cernendi voluntas ſubiret, eruerentur, vnáque cum ceruicibus ſuis in ſublime extollerentur, quarum in ſummis partibus oculi tanquam in ſede ſua collocati ſunt: quæ in excelſis animalium partibus poſita eſt. Sed hæc, cæteráque ſimilia in libris, quos de vſu partium ſcripſimus, ſatis explicata ſunt: quæ ſiquis colligat, is & palpebrarum vtilitatem cognoſcet, & naturam in id ſemper eſſe intentam, vt ſenſus in ſuis actionibus retineantur. Quòd ſi maioris vtilitatis causâ eos certo tempore ceſſare neceſſe eſt, in nullam ea de re noſter ſermo difficultatem incurrit: nam quæ ſimul eſſe non poſſunt, ea ne dij quidem omnes, ſi vellent, coniungere poſſent. Quidquid enim ſuapte natura fieri nequit, id diis etiam ipſis impoſſibile eſt. Ne mireris igitur, cur natura, cum ſenſus ſemper agere velit, his tamen per ſomnos quieſcere mandet: eo enim tempore ſomnum, rem ab his actionibus diuerſam, mauult. Sed hic locus non eſt, vt ſomni naturam aperiam: naturalia enim & opera quæque, & affectus, aliis in locis explicata ſunt. Dum igitur ſimul dormit, (ſiue ſomnus naturale ſit opus, ſiue actio, id quod iudicare non facile eſt) ſenſus ipſi non adeò

A θλίβεται μὲν γὰρ βιαίως ὡς ἴσμεν ὁ ἀήρ, καὶ πάλιν τείνεται πανταχόθεν παρὰ τὴν ἑαυτοῦ φύσιν, ἑκάτερον τούτων ἀναγκαζόμενος πάσχειν, ὡς μηδεμιᾶς τε τοιαύτης αὐτὸν αἰτίας βιαζομένης, ἢ τῆς ἣν κατείληφε χώρας. οὐ μὴν οὐδ᾽ ὅτε πιλούμενος εἰς ἐλάττω συνέρχεται τόπον, ἢ χεόμενος ἐπὶ πλέον ἐκτείνεται, μεγάλην ἐργάζεται τὴν ἐφ᾽ ἑκάτερα μεταβολήν, ἀλλὰ καὶ συστέλλεται, καὶ χεῖται, βραχὺ παραχωρῶν ἐφ᾽ ἑκάτερα. διὰ τοῦτο γοῦν οὐδὲν εἰς αὐτὸν ἐμπίπτει, κἂν σφοδρῶς ἐκθλίβῃ τις ἀνεῳγμένων τῶν μυκτήρων. ὁ δὲ κατ᾽ αὐτοὺς χιτών, ἐν ᾧ τοὺς αἰσθητικοὺς πόρους ὑποτιθέμεθα, B φανερῶς αἰσθάνεται πληττόμενος ὑπὸ τοῦ προσπίπτοντος ἔξωθεν ἀέρος βιαίως, ὥστε ἀνοίγνυσθαι τοὺς πόρους ἐχρῆν ἐν ταῖς τοσαύταις ἐμπλώσεσιν εἰς τὴν ῥῖνα τοῦ ἔξωθεν ἀέρος, ἀνοιχθέντων δὲ ἕπεσθαι τὴν αἴσθησιν τῶν ὀσμῶν. εἴπερ οὖν οὐχ ἕπεται, τοὺς εἰρημένους πόρους ἀδύνατον ὑπάρχειν, οὐ μὴν οὐδὲ πιθανὸν τὴν φύσιν ἐπιτεχνήσασθαί τι τοιοῦτον μηδενὸς ἕνεκα. εἰ γὰρ ἐπεποιήκει τινὰς αἰσθητικοὺς πόρους ὀσμῶν, οὐκ ἂν ἐπέφραξεν αὐτούς, ὥσπερ οὐδὲ τοὺς κατὰ τὰ ὦτα. βέλτιον γάρ ἐστι διὰ παντὸς ἑκάστην αἴσθησιν διαγνωστικὴν εἶναι τῶν ἰδίων αἰσθητῶν, οὐκ ἐν χρόνῳ μόνῳ τῷ τῆς εἰσπνοῆς. οὐδὲ C διὰ τοῦτο τοῖς ὀφθαλμοῖς ἐποίησεν ἡ φύσις ἐπιθέματα, διότι βέλτιον ἦν αὐτοὺς μὴ διὰ παντὸς ἐνεργεῖν, ἀλλὰ διὰ τὸ αὐτοὺς εἶναι μαλακούς, καὶ διὰ τοῦτο ὑπὸ τῶν προσπιπτόντων ῥᾳδίως βλάπτεσθαι, ἀφ᾽ ὧν ἵνα φρουρῶνται, ἡ φύσις αὐτοὺς τοῖς βλεφάροις ὠχύρωσεν οἷόν τισι προβλήμασι. ἀμέλει καὶ αὐτὸς ὁ Ἀριστοτέλης εἴρηκεν, ὡς ἐν τοῖς σκληρὸν ἔχουσι ζώοις τὸν ἔξωθεν χιτῶνα τῶν ὀφθαλμῶν, ἡ φύσις οὐκ ἐποίησε βλέφαρα, διότι δυσπαθεῖς εἰσιν, καὶ αὐτὰ καθ᾽ ἑαυτὸ οὐδὲν οὔτε προβλημάτων, οὔτε στεγασμάτων, οὐδὲ καλυμμάτων ἐπὶ τούτων χρῄζουσι τῶν ζώων; ἀλλ᾽ ἡμεῖς τε χρῄζομεν δεόντως, ἕνεκά τε τῶν εἰρημένων, κἀπειδὰν ὕπνου καιρὸς D ἥκῃ. ἀδύνατον γὰρ ἐν ἀέρι φῶς ἔχοντι, καθυπνῶσαί τινα, χωρὶς τοῦ σκεπασθῆναι τοὺς ὀφθαλμούς. οὕτω γοῦν καὶ αὐτοῖς ἐκείνοις τοῖς ζώοις, οἷς οὐκ ἔστι βλέφαρα, καράβοις, καὶ ἀστακοῖς, καὶ παγούροις, καὶ καρκίνοις, ἡ φύσις ἐποίησεν κοιλότητάς τινας, οἷον θαλάμους ὑποδεχομένους ὅλους τοὺς ὀφθαλμούς, ἐπειδὰν ὑπνοῦν ἐθέλωσιν, ὡς ὅταν γε χρῆσθαι βουληθῶσιν αὐτοῖς, ἐξαίρουσιν ὅλους ὀρθίους, ἅμα τοῖς αὐχέσιν ἐφ᾽ ὧν βεβήκασιν, εἰς τὴν οἰκείαν ὀφθαλμοὺς καθιστῶντες χώραν, ἥπερ ἐστὶν ἐπὶ τῶν ὑψηλοτάτων ἐν τοῖς ζώοις E μορίων. εἴρηται δὲ περὶ τῶν τοιούτων ἁπάντων αὐτάρκως, ἐν τοῖς περὶ χρείας μορίων, ἅπερ εἴ τις ἀναλέξεται, γνώσεται μὲν καὶ τῶν βλεφάρων τὴν χρῆσιν. γνώσεται δὲ καὶ ὡς ἀεὶ τῇ φύσει πρόκειται ταῖς αἰσθήσεσιν ἐνεργεῖν. εἰ δέ ποτε ἄλλου τινὸς ἕνεκα χρησιμωτέρου, κατά τινα καιρὸν ἡσυχάζειν ἀναγκαῖον αὐταῖς ἐστιν, οὐδὲν τοῦτό γε ἀπόρημα τῷ λόγῳ. τὰ γὰρ μὴ δυνάμενα μετ᾽ ἀλλήλων ὑπάρχειν, οὐδ᾽ ἂν οἱ πάντες θεοὶ ζεῦξαι βουληθῶσιν, οἷοί τε αὐτοῖς ἐργάσασθαι τοῦτο. ὅσα γοῦν ἀδύνατα τῇ σφῶν αὐτῶν φύσει, καὶ θεοῖς ἐστιν ἀδύνατα. μὴ τοίνυν θαύμαζε τὸ πῶς ἡ φύσις ἀεὶ βουλομένη F τὰς αἰσθήσεις ἐνεργεῖν, ἡσυχάζειν ἐπιτρέπει κατὰ τοὺς ὕπνους. βούλεται γὰρ ἐν τῷδε τὸν ὕπνον, ἀλλ᾽ ὅτι μᾶλλον. οὐ μὴν οὐδ᾽ ἐν καιρῷ μοι νῦν ἐστιν ἐξηγεῖσθαι φύσεως ὕπνου. λέλεκται γὰρ ἐν ἑτέροις ὑπὲρ ἑκάστου τῶν φυσικῶν ἐν ἡμῖν ἔργων τε καὶ παθημάτων. εἴτ᾽ οὖν ἔργον ἐστὶ φυσικὸν, εἴτε πάθος ὁ ὕπνος, οὐδὲ γὰρ οὐδὲ τοῦτο εὐδιαίτητον, ἀδύνατο αὐτῷ τὰς αἰσθη-

σεις ἀκριβῶς αἰσθανομένας φυλάττειν. οὔτ' οὖν ὅτι κατὰ τοὺς ὕπνους ἐνεργεῖν ὁμοίως οὐ δυνάμεθα ταῖς αἰσθήσεσιν, διὰ τοῦθ' ὁ λόγος ἐστὶ ψευδὴς, ἄμεινον εἶναι φάσκων διὰ παντὸς ἑκάστην αἴσθησιν ἐνεργεῖν, τοῦ διαλείπειν. οὔθ' ὅτι φυλαττόμενοί τινα τῶν ἐμπιπτόντων τε καὶ προσπιπτόντων ἔξωθεν, ἀναγκαζόμεθα κλείειν τὰ βλέφαρα, διὰ τοῦτ' ἐστὶν μὴ ὁρᾶν τηνικαῦτα. βέλτιον γὰρ εἴπερ οἷός τε ἦν ἀβλαβεῖς αὐτοὺς φυλάττεσθαι, καὶ τοῦθ' ἡμᾶς ὁρᾶν. ἐπεὶ δ' οὐχ οἷόν τε ἐνεργαζομένην ἀναγκαζόμεθα κλείειν τὰ βλέφαρα. ταυτὶ μὲν οὖν εἰρήσθω μοι περὶ βλεφάρων χρείας. ἀπὸ γὰρ πολλῶν ὀλίγα, μηκύνειν γὰρ οὐ καιρός. μεταφερώμεθα ἤδη τὸν λόγον ἐπὶ τοὺς ὀσφρητικοὺς πόρους, οἷς Ἀριστοτέλης φησὶν ἐπιθέματα γεγονέναι πρὸς τῆς φύσεως, οὔτε χρείαν τινὰ εἰπὼν τῆς τοιαύτης κατασκευῆς, οὔτ' ἀπόδειξιν ὑπάρχειν. οὐ μόνον γὰρ ἂν οὐδενὸς ἕνεκα χρηστοῦ τοιοῦτοι γεγόνασιν οἵους Ἀριστοτέλης αὐτοὺς εἶναι λέγει, ἀλλὰ καὶ βλάβην ἐργάζονται μεγάλην ἐν τῷ πλείονι χρόνῳ τῆς ζωῆς πηρῶντες ἡμῶν τὴν ὀσφρητικὴν αἴσθησιν, ὅπερ οὔτε κατὰ μίαν τῶν ἄλλων ὁρᾶται γεγονός. ἐγρηγορότων γὰρ ἐνεργοῦσιν ἅπασαι διὰ παντὸς, ὅταν γε εὐπορῶσι τῶν οἰκείων αἰσθητῶν. ὅτι μὲν οὖν τὰ καλύμματα τῶν ὀσφρητικῶν πόρων, ἄδηλός ἐστιν, καὶ ἀναπόδεικτος ὑπόθεσις, οὐδ' ὑφ' ἑνὸς τῶν ἐναργῶν μαρτυρουμένη, δεδειχέναι μοι δοκῶ.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Ὅπως οἱ πταρμοὶ τὰ τῆς κεφαλῆς ἰῶνται βάρη, καὶ περὶ τῆς ἰδίας τοῦ ἐγκεφάλου κινήσεως.

ΣΚεψώμεθα δ' ἐφεξῆς ὅπως οἱ πταρμοὶ, τὰ τῆς κεφαλῆς ἰῶνται βάρη. γίνονται μὲν γὰρ ἐπὶ προηγησαμέναις μεγίσταις ἐκπνοαῖς, ἐκφυσήσεως ἑπομένης τάχιστα. ὀνομάζω δὲ ἐκφύσησιν τὴν ἀθρόαν ἐκπνοήν. εἰ δέ γε μηδὲν ἐξ ἐγκεφάλου δι' αὐτῶν ἐκενοῦτο, πρὸς τὸ μὴ παύσασθαι τὰ βάρη τῆς κεφαλῆς, ὑπὸ τῶν πταρμῶν πολλάκις, ἔτι καὶ συνεπληροῦτο ἂν μᾶλλον ὑπὸ τῆς ἀθρόας ἔξω τοῦ πνεύματος φορᾶς, καὶ προσέτι τῆς ὑπ' αὐτοῦ γινομένης πληγῆς. οὕτως οὖν φαίνεται, καὶ ἐπὶ ταῖς μεγάλαις φωναῖς διατιθεμένη. καὶ μὲν δὴ καὶ πάθη τινὰ τῶν κατὰ τὸν ἐγκέφαλον συνισταμένων, οἷα μάλιστά ἐστι τὰ ληθαργικὰ, καὶ καρώδη, καὶ διὰ τῶν πταρμικῶν οὐχ ἥκιστα θεραπεύεται φαρμάκων. ἅμα γε καὶ πρὸς τὸν ἥλιον ἀποβλέποντες ἐρεθιζομένων ἡμῶν πρὸς πταρμὸν, ὡς ἂν οἶμαι χεομένων ὑπ' αὐτῶν τῶν ἀτμοειδῶν κατὰ τὸν ἐγκέφαλον πνευμάτων. καθαιρέζουσι δὲ καὶ βλέννας ἀθρόας ἐξ ἐγκεφάλου παχείας, καὶ γλίσχρας οἱ πταρμοὶ τῇ τοῦ πνεύματος ἔξω φορᾷ συνεκβάλλοντες. οὐ μὴν εἰκὸς φέρεσθαι μὲν ἔξω τι πνεῦμα, κατὰ τοὺς πταρμοὺς ἐξ ἐγκεφάλου, μηδὲν δὲ εἴσω μηδέποτε. καὶ ταῦτα μὲν τῶν πόρων ὑπαρχόντων πολλῶν, κατά τε τὸ καλούμενον ἠθμοειδὲς ὀστοῦν, καὶ τὴν ὑπαλείφουσαν ἐκ τῶν ἄνω μερῶν αὐτοῦ μήνιγγα. καὶ μὴν καὶ τῷ βλάπτεσθαι παραχρῆμα, καὶ πληροῦσθαι, καὶ βαρύνεσθαι τὴν κεφαλὴν ὑπὸ τῶν ἰσχυρῶν ὀσμῶν, ἐνίοτε καὶ παραφροσύναις ἁλίσκεσθαι, σημεῖόν ἐστι τοῦ φέρεσθαί τι τῆς οὐσίας αὐτῶν εἰς τὸν ἐγκέφαλον. οὐ γὰρ δὴ κατά γε τὴν τῆς ποιότητος κοινωνίαν μόνην, ἀθρόως ἂν οὕτως καὶ σφοδρῶς ἐλύπει το.

A agere possunt, vt bene sentiant: ex quo intelligitur, quanquam per somnos non æquè, atque per vigilias, sensibus agere possumus, non tamen falsum esse, quod dictum est, sensum omnem melius esse in perpetua actione teneri, quàm eam intermittere: nec quamuis à quibusdam rebus foris incursantibus cauentes, oculos claudere interdum cogimur, tamen satius est nos eo tempore non cernere: melius enim, si oculi sine noxa seruari possent, vt per id temporis etiam cerneremus: sed, quoniam id fieri nequit, iccirco cogimur palpebras occludere. Hæc in præsenti de vtilitate palpebrarum dicta sint. Pauca quidem B è multis: nam hîc plura dicere tempestiuum non est. Redeamus igitur ad illa odoratus foramina, quibus Aristoteles ait naturam opercula quædam dedisse, neque tamen, quæ vtilitas ab ea re animali præbeatur, exposuit, neque rem esse demonstrauit. Talia igitur foramina, qualia ab Aristotele dicta sunt, nedum vllius sunt vtilitatis, sed etiam per longa vitæ spatia magnum animalibus detrimentum afferunt: quando quidem eorum vitio odorandi sensu sumus orbati: quod nulli ex reliquis sensibus contigisse videmus: qui omnes, dum vigilamus, in continuis actionibus C versantur, si modò propria sensibilia habeant, à quibus moueantur. Odoratus igitur foraminum opercula ab Aristotele posita rem esse & incertam, & demonstratione carentem, & quam nulla euidens fides testificetur, equidem mihi demonstrasse videor.

CAPVT VI.

Quo pacto sternutamenta grauedini medeantur, ac de proprio cerebri motu.

NVnc verò videndum est, quonam modo grauedini capitis sternutamenta medeantur: id D quod ea ratione fieri arbitror, quoniam ex præcedentibus magnis expirationibus, consequente autem celerrimè efflatu, sternutamenta mouentur: efflatum voco expirationem confertim concitatam. Si autem nihil per sternutamenta ex cerebro educeretur, ea grauedinem capitis non modò non leuarent, verùm etiam à spiritu tum foràs confertim ruente, tum etiam verberante, caput magis & plenum & graue redderetur: vt ex magnis vocibus fieri cernimus. Quin & morbi quidam ex iis, qui cerebrum occupant, vt lethargici & soporosi: à sternutatoriis medica- E mentis, non minimam curationem recipiunt: itémque ab iis, quæ directo in solem aspectu euocantur: quod ex eo fieri arbitror, quia cerebri spiritus vapori similes à sole funduntur. Mucum etiam ex cerebro crassum, & glutinosum sternutamenta detrahunt, quem vnà cum spiritu foràs impulso educunt. Non igitur rationi consentaneum est, vt quum spiritus aliquis è cerebro per sternutamenta extrà feratur, idem tamen nullus vnquam ingrediatur, præsertim quum & ossibus coli similibus, & cerebri membranæ, quæ iisdem in superiori parte substernitur, insunt multa foramina. Ad hæc, quòd F validi odores caput statim lædant, & impleant, & grauent, & in delirium interdum prouocent, argumentum est non nihil substantiæ eorum cerebrum tentare: quandoquidem non ob solam communicatam qualitatem in tam subitos támque vehementes affectus incurreret.

Eadem-

Eadémque ratione idem ab odore roſarum iuuari conſentaneum eſt, cum à ſolis exuſtione laborat: atque hoc idem adiumentum ab aëre frigido naribus attracto nihilominus capit, cum ad eundem modum affectum eſt: contra verò à valdè calido idem grauiter lædi videmus. Adde quòd, cum reſpiratio tota eam ob cauſam à cerebro moueatur, vt cordis calor in quadam moderatione ſeruetur, æquum eſt ipſum cerebrum hanc ipſam reſpirationem ſibi primum parare: ſiquidem ſuaptè natura iis rebus facillimè obnoxium eſt, quæ immoderatè aut calfaciunt, aut refrigerant. Quid igitur? an cerebro natura motum nullum ingenitum ad hanc vtilitatem dedit, quo ſpiritum trahat, vt ſeſe ventilet, atque refrigerium captet: rurſus autem eundem reddat, vt & cætera excrementa, & pituitoſa, atque mucoſa effundat? nam (vt in libris, quos de facultatibus naturalibus conſcripſimus, demonſtratum eſt,) partes corporis omnes, & eam facultatem habent, qua, quod alienum eſt, expellant: & eam, qua, quod ſibi conuenit, attrahant: quæ in vẽtriculo & in vtero facilè apparent. Num igitur natura ventriculo vim vtramque dedit, alteram, qua id attrahat, quod bonum eſt, alteram, qua id expellat, quod malum: eaſdem verò ſoli cerebro deeſſe voluit, quam ob cauſam pati cogatur, vt ea excrementa, quæ in ventriculis eiuſdem colliguntur, ſolo pondere expreſſa defluant, & ſenſim delabentia tandem in ipſas nares incidant? Id igitur credendum non eſt, præſertim cum ſupini tota nocte cubamus: impediret enim ne apoplexia, aut carus, aut morbus comitialis oppletis cerebri ventriculis fierent, vt eos quibus cranium perforatur ſæpius ſtatim carus inuadit, ſi contingat, vt, qui operanti medico miniſtrant, cerebri ventriculos immoderatè comprimant: ſed quid inquam ventriculos.

A κατὰ τὸν αὐτὸν γοῦν τρόπον, εἰκός ἐστι καὶ τὸν ὑπὸ ἐκκαύσεως πονούμενον ἐγκέφαλον ὀνήσασθαι πρὸς τῆς τῶν ῥόδων ὀσμῆς. οὐδὲν δὲ αὐτὸν ἧττον ῥόδων ὀνίνησιν τηνικαῦτα, καὶ ὁ ψυχρὸς ἀὴρ εἰσπνεόμενος, ὥσπερ καὶ ὁ πάνυ θερμὸς, ἱκανὸς φαίνεται βλάπτων. καὶ μέντοι τῆς ἀναπνοῆς ὅλης ὑπὸ ἐγκεφάλου γινομένης ἕνεκα τοῦ φυλάττεσθαι τῆς ἐν τῇ καρδίᾳ θερμασίας τὴν συμμετρίαν, εὔλογον δή που πρώτην ταύτην ποιεῖσθαι αὐτῷ, ἑτοιμότατον βλάπτεσθαι πεφυκότι πρὸς τῶν ἀμέτρως, ἤτοι θερμαινόντων, ἢ ψυχόντων. πῶς οὖν τινα πρὸς τοῦτο κίνησιν ἡ φύσις ἔδωκεν αὐτῷ σύμφυτον, ἐν μὲν

B ταῖς εἰσπνοαῖς, ῥιπίζουσαν τε καὶ σφύζουσαν, ἐν δὲ ταῖς ἐκπνοαῖς, ἀποχέουσαν μὲν ἐνίοτε τὸ φλεγματῶδες, καὶ βλένναν, καὶ κόρυζαν; ἐδείχθη δὲ ἡμῖν κἀν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἅπαντα τὰ τοῦ σώματος μόρια, τήν τε τῶν ἀλλοτρίων ἐκκριτικὴν ἔχοντα δύναμιν, καὶ τὴν τῶν οἰκείων ἑλκτικήν. ὃ φαίνεται δ' ἐναργῶς ἐπί τε γαστρὸς τοῦτο, καὶ μητρῶν. ἆρ' οὖν ἡ φύσις, τῇ μὲν γαστρὶ δυνάμεις ἔδωκεν, ἕλκουσαν μὲν ἑτέραν τὸ χρηστὸν, ἐκκρίνουσαν δὲ ἄλλην τὸ μοχθηρὸν, ἐγκέφαλος δὲ μόνος οὐκ ἔχει ταύτας; ἀλλὰ μένει τὰ κατὰ τῆς κοιλίας αὐτοῦ περιττώματα,

C τῷ βάρει μόνῳ κάτω φερόμενα, κατὰ βραχὺ δ' ἐκπίπτει ποτὲ εἰς τὰς ῥῖνας; οὔκουν οἴεσθαι χρὴ, καὶ μάλισθ' ὅταν ὕπτιοι τύχωμεν, ὅλης νυκτὸς κατακείμενοι. φθάσει γὰρ ἀποπληξία τις, ἢ κάρος, ἢ ἐπιληψία, συνιστᾶσα τῶν κοιλιῶν αὐτοῦ πληρωθεισῶν. ἀνατετραμμένοις γοῦν πολλάκις παραχρῆμα καρώδεις γίνονται, τῶν ὑπηρετουμένων τοῖς χειρουργοῦσιν ἀμετρότερον ἐνίοτε θλιψάντων τὰς κατὰ τὸν ἐγκέφαλον κοιλίας, καίτοι τί λέγω κοιλίας.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΜΥΩΝ ΚΙΝΗΣΕΩΣ ΒΙΒΛΙΟΝ Α'.

GALENI DE MOTV MVSCVLORVM LIBER PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΠΡΩΤΩι ΒΙΒΛΙΩι.

Μίαν εἶναι καὶ μόνην τὴν τῶν μυῶν ἐνέργειαν, τὰς δὲ κινήσεις πολλάς, καὶ περὶ τῶν κατὰ τὰς κινήσεις συμπτωμάτων αἰτιῶν.

ARGVMENTVM PRIMI LIBRI.

Vnicam esse musculorum actionem, plures motus; ac de accidentium causa quæ in motu contingunt.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐστι μῦς, καὶ πῶς διαφέρεται ὁ τένων τε καὶ τὸ νεῦρον, καὶ ὁ σύνδεσμος, καὶ ὅθεν ἡ ἀρχὴ τῆς αἰσθήσεως, καὶ τῆς κινήσεως τῷ μυΐ.

ΟΡΓΑΝΑ κινήσεως τῆς καθ' ὁρμὴν οἱ μύες εἰσίν, οὕτω δή τι πολὺ πλῆθος ὄντες, ὡς οὐδ' ἀριθμῆσαι ῥᾴδιον αὐτούς. καὶ γὰρ καὶ συμφύονταί τινες ἀλλήλοις, ὡς δοκεῖν εἷς εἶναι, καί τις εἷς ὢν εἰς πολλοὺς τελευτήσας τένοντας, οὐχ εἷς ἔτι μόνος, ἀλλ' ὅσοι περ οἱ τένοντες εἶναι δοκεῖ. διὰ τοῦτ' οὖν καὶ ὅτι πολυειδεῖς εἰσι τοῖς σχήμασιν, εἰς ἀνόμοιά τε καταφύονται μόρια, δυσφώρατον ἔχουσι τὸν τῆς κινήσεως τρόπον. εἴη δ' ἂν οὐ μικρὸν οὐδὲ τὸ κατὰ διαφέροντας τόπους, καὶ πολλάκις ἐναντίους ἐμφύεσθαι τοῖς κινουμένοις μορίοις αὐτούς. οἱ μὲν γὰρ ἄνωθεν, οἱ δὲ κάτωθεν, οἱ δ' ἐκ τοῦ πρόσθεν, ἢ ὄπισθεν, ἢ ἔνθεν, ἢ ἔνθεν ἐμβάλλουσιν. ἀλλὰ καὶ τμηθεὶς ἅπας μῦς ἐγκάρσιος, μὴ πάνυ λεπτῇ, μηδ' ἐπιπολῆς τῇ τομῇ, βλάπτει μέν τινα πάντως τῶν τοῦ μορίου κινήσεων εἰς ὃ κατεφύετο. τῷ δ' εἶναι πολυειδεῖς τὰς βλάβας, καὶ ταύτῃ δυσφώρατος αὐτῶν ὁ τῆς κινήσεως τρόπος. αὐτίκα τῶν κατὰ σκέλη μυῶν, ἄλλοτ' ἄλλου τμηθέντος, ἢ κάμπτειν, ἢ ἐκτείνειν, ἢ ἐπαίρειν, ἢ καθιέναι, ἢ ἐπιστρέφειν ἀδυνατοῦσι τὸ κῶλον. τὰ δ' αὐτὰ, καὶ φλεγμοναὶ, καὶ σκίρροι, καὶ σήψεις, καὶ θλάσεις αὐτῶν, καὶ σκληρότητες οὐλῶν ἐργάζονται, κατά τε τὰ σκέλη, καὶ τὰς χεῖρας οὐχ ἥκιστα. καὶ γὰρ τῶν ἐν αὐταῖς μυῶν πασχόντων, τινὲς μὲν ἐπαίρειν, ἢ ἐκτείνειν, ἢ κάμπτειν, ἢ καθιέναι τὰς χεῖρας οὐκ ἔτι δύνανται, τινὲς δ' ἑκατέρωσε περιάγειν, ἢ ἐπιστρέφειν ὀπίσω.

CAPVT PRIMVM.

Quid sit musculus, quidve differant tendo, neruus, & ligamentum, ac de ortu sensus, & motus musculi.

INSTRVMENTA motus voluntarij musculi sunt, quorum sanè adeò ingens multitudo est, vt ne numerare quidem eos facilè sit. Nam & naturâ ita quidã coalescunt inter sese, vt videãtur vnus esse; & quum vnus aliquis in multos desinit tendones, non vnus ampliùs solus, sed tot, quot sunt tendones esse videntur. Idcirco, & quia multiplici sunt figura, & in dissimiles inseruntur partes, modum motus difficulter comprehensibilẽ habent. Erit autem ne id quidem paruum, videlicet ipsos musculos innasci partibus, quæ mouẽtur, in diuersa loca, & sępenumero contraria: alij enim deorsum, alij sursum, nonnulli ex anteriori parte, vel posteriori, aut hinc, aut illinc inseruntur. Quinetiam omnis musculus sectus per transuersum nõ valdè tenui neque superficiali sectione, nocet quidem omninò quibusdam motibus partis, in quam inserebatur. Sed quia multiplicia sunt nocumenta, & hoc etiam pacto modus ipsorũ motus difficulter cõprehendi potest. Siquidẽ musculi, qui in cruribus sunt, quum alius aliàs scissus fuerit, vel flectere, vel extendere, vel extollere, vel demittere, vel cõuertere mẽbrũ statim nequeũt. Eadẽ, & phlegmone, & scirrhi, & putredines, & contusiones eorũ, & durities cicatricũ efficiunt, & in cruribus, & in manibus maximè: etenim ex musculis manuũ patientibus quidã tollere, vel extendere, vel flectere, vel demittere eas nõ amplius possunt; quidam verò in vtramq; partem circũducere, vel cõuertere retrò.

Eadem

Eadem tendonibus patientibus fiunt. Vocant autem eos recentiores aponeuroses musculorum, quoniam, vt puto, musculos in eos vident finire. Mixta autem quædam eorum natura est, & media inter ligamentum & neruum; ligamentum enim propriè non communiter appellatum, est corpus neruosum, ex osse quidem omninò ortum habens, insertum autem in os, aut in musculum; constat etiam nomen ei ab vsu esse inditum; Neruus autem, & tonus, ex cerebro; aut spinæ medulla oriuntur; nuncupatur autem ab ipsis actionibus vnum instrumentum duobus nominibus, eo quod nutare, seu flectere; & tendere, natum est. Substantia verò corporis eorum ea est, ac si intelligas stipatum, & densatum, ideóque duriusculum factum cerebrum. Est etiam & spinalis medullæ corpus simile cerebro compacto, & ob id duro facto; nam & ipsius cerebri posterior pars, quæ medullæ spinali continuatur, durior est anteriori; &, quicunque neruorum molliores sunt, hi nihil à medulla spinæ differre tibi videbuntur. Medulla tamen, quæ in aliis ossibus est, non talis visitur, sed humida, & propemodum fluxilis, maximè verò ipsius mollem substantiam assimilare pinguedini posses; quapropter nec exoriri ex hac medulla neruum aliquem inuenies, neque mollem, neque durum; quin nec cerebri, & medullæ spinalis tegumentis operta est; nec præterea arteriæ atque venæ intexunt eam; itaque nullo pacto cerebro, & medullæ spinali similis est; nec ipsi vlla communicatio cum musculis. Sed cum cerebro, & medulla spinæ, omnibus musculis non parua communicatio est; nam aut à cerebro, aut à medulla spinæ, neruum accipiant, necesse est; qui visu quidem paruus, sed facultate minimè paruus. Cognosces autem ex affectibus; nam incisus, oppressus, contusus, laqueo interceptus, scirrhis affectus, & corruptus, aufert musculo omnem motum, & sensum. Quin & neruo inflammato non pauci conuulsione correpti sunt, & mente alienati; quorum quidam sic affecti, quum sapientiorem medicum nacti essent, neruo inciso, statim conuulsione, & mentis alienatione liberati sunt: sed postea musculum, in quem neruus insertus erat, insensilem, atque inutilem ad motum habuerunt. Adeò certè magna quædam vis est in neruis, supernè à magno principio affluens: non enim ex se ipsis eam, neque connatam habent. Cognoscere etiam potes hinc maximè, si incideris quemcunque istorum neruorum, aut spinalem ipsam medullam, quantum enim superius est incisione, continuum cerebro, id quidem adhuc conseruabit principij facultates; omne autem, quod inferius est, neque sensum, neq; motum vlli præbere poterit. Nerui itaque riuorum in morem à cerebro, ceu ex quodam fonte deducunt musculis facultates, quos quum primùm attigerint, scinduntur multipliciter in aliam subinde, atque aliam sectionem, tandémque in tenues, & membraneas fibras toti soluti totum sic musculi corpus intertexunt. Ligamenta verò, per quæ musculi ossibus colligantur & coalescunt, & membranas circa ipsos gignunt, & quasdam intrò propagines in ipsam carnem musculorum mittunt; quam veluti quendam locum intellige multis riuis irriguum, vno quidem prædicto neruo; duobus verò aliis, altero sanguinis calidi, & tenuis, & vaporosi; altero frigidioris, & crassioris;

A ταῦτα δ' αὐτὰ καὶ τῶν τενόντων παθόντων γίνεται. καλοῦσι δ' αὐτοὺς ἀπονευρώσεις μυῶν οἱ νεώτεροι. ὅτι, οἶμαι, τοὺς μῦς εἰς αὐτοὺς ὁρῶσι τελευτῶντας. μικτὴ δέ τις ἡ φύσις αὐτῶν ἐστι, καὶ μέση συνδέσμου τε καὶ νεύρου. σύνδεσμος γάρ ἐστιν ὁ γε κυρίως ἰδίως οὐ κοινῶς ὀνομαζόμενος, σῶμα νευρῶδες ἐξ ὀστοῦ μὲν ὁρμώμενον πάντως, διαπεφυκὸς δὲ ἢ εἰς ὀστοῦν, ἢ εἰς μῦν. καὶ δῆλον ὡς ἀπὸ τῆς χρείας αὐτῷ τοὔνομα, νεῦρον δὲ καὶ τόνος ἐξ ἐγκεφάλου, ἢ νωτιαίου φύεται. κέκληται δ' ἀπ' αὐτῶν τῶν ἐνεργειῶν, δυοῖν ὀνόμασιν ἓν ὄργανον, ὅτι νεύειν καὶ τείνειν πέφυκεν. ἡ
B δ' οὐσία τοῦ σώματος αὐτῶν, ὡς εἰ νοήσαις πεπιλημένον τε καὶ πεπυκνωμένον, καὶ διὰ τοῦτο σκληρότερον γεγονότα τὸν ἐγκέφαλον. ἔστι δὲ καὶ τὸ τοῦ νωτιαίου σῶμα παραπλήσιον ἐγκεφάλῳ πεπιλημένῳ τε, καὶ διὰ τοῦτο σκληρῷ γεγονότι. καὶ γὰρ καὶ αὐτοῦ τοῦ ἐγκεφάλου, τὸ ὀπίσω μέρος τὸ τῷ νωτιαίῳ συνεχές, σκληρότερον τοῦ πρόσω, καὶ ὅσα τῶν νεύρων ἐστὶ μαλακώτερα, ταῦτα οὐδὲν δόξει σοι νωτιαίου διαφέρειν. οὐ μὴν ὅ γ' ἐν τοῖς ἄλλοις ὀστοῖς μυελὸς τοιοῦτος, ἀλλ' ὑγρὸς καὶ ῥυτὸς ὀλίγου δεῖν. μάλιστα δ' ἂν αὐτοῦ τὸ μαλακὸν εἰκάσαις πιμελῇ. οὔκουν οὐδ' ἐκφυόμενον
C εὑρήσεις τοῦ μυελοῦ τούτου νεῦρον οὐδέν, οὔτ' οὖν μαλακόν, οὔτε σκληρόν. ἀλλ' οὐδὲ τοῖς ἐγκεφάλου τε καὶ νωτιαίου σκεπάσμασιν ἐσκέπασται, οὐδ' ἀρτηρίαι, καὶ φλέβες διαπλέκουσιν αὐτόν, ὥστε κατ' οὐδὲν ἐγκεφάλῳ καὶ νωτιαίῳ προσέοικεν, οὐδ' ἐστὶν αὐτῷ κοινωνία πρὸς μῦς οὐδεμία. πρὸς ἐγκέφαλον δὲ καὶ νωτιαῖον, ἅπασι μυσὶν οὐ σμικρὰ κοινωνία. δέονται γὰρ ἢ παρ' ἐγκεφάλου νεῦρον, ἢ παρὰ νωτιαίου λαβεῖν. καὶ τοῦτο τὸ νεῦρον, ἰδέσθαι μὲν μικρόν, οὐ μὴν τὴν δύναμιν μικρόν, ἐπιγνώσῃ δὲ τοῖς παθήμασι. καὶ γὰρ καὶ τεμνόμενον, καὶ θλιβόμενον, καὶ θλώμενον, καὶ
D βρόχῳ διαλαμβανόμενον, καὶ σκιρρούμενον, καὶ σηπόμενον, ἀφαιρεῖται τοῦ μυὸς ἅπασαν κίνησίν τε καὶ αἴσθησιν, ἀλλὰ καὶ φλεγμαίνοντος ἐσπάσθησάν τε, καὶ παρέπαισαν οὐκ ὀλίγοι. καί τινες τῶν οὕτως ἐχόντων, ἰατροῦ σοφωτέρου τυχόντες τεμόντος τὸ νεῦρον, αὐτίκα μὲν ἐπαύσαντο τοῦ σπᾶσθαί τε καὶ παραπαίειν. ὕστερον δὲ τὸν μῦν εἰς ὃν ἐνέβαλε τὸ νεῦρον, ἀναίσθητόν τε καὶ ἀχρεῖον εἰς τὰς κινήσεις ἔσχον. οὕτως ἄρα μεγάλη τις δύναμις ἐν τοῖς νεύροις ἐστίν, ἄνωθεν ἀπὸ τῆς μεγάλης ἀρχῆς ἐπιρρέουσα. οὐ γὰρ δὴ ἐξ αὐτῶν γε, οὐδὲ σύμφυτον αὐτὴν ἔχει. γνοίης
E δ' ἐν τῷδε μάλιστα, εἰ τέμῃς τῶν νεύρων τούτων ὁποιονοῦν, ἢ τὸν νωτιαῖον αὐτόν. ὅσον μὲν γὰρ ἀνωτέρω τῆς τομῆς συνεχὲς ἐγκεφάλῳ, τοῦτο μὲν ἔτι διασώσει τὰς τῆς ἀρχῆς δυνάμεις. τὸ κατωτέρω δὲ πᾶν, οὔτ' αἴσθησιν, οὔτε κίνησιν οὐδενὶ χορηγεῖν δυνήσεται. λόγον οὖν ὀχετῶν ἔχοντα τὰ νεῦρα, καθάπερ ἔκ τινος πηγῆς τοῦ ἐγκεφάλου τοῖς μυσὶ παράγονται τὰς δυνάμεις, ἐπειδὰν πρῶτον αὐτοῖς ὁμιλήσῃ, σχίζεται πολυειδῶς, ἄλλην ἐπ' ἄλλῃ σχίσιν, καὶ τέλος εἰς λεπτὰς καὶ ὑμενώδεις ἶνας ὅλα λυθέντα, πᾶν οὕτω τοῦ μυὸς σῶμα διαπλέκει. οἱ δ' αὖ σύνδεσμοι, καθ' οὓς τοῖς ὀστοῖς
F οἱ μύες συνδοῦνται καὶ συμφύονται, τούς θ' ὑμένας τοὺς ἀμφ' αὐτοὺς γεννῶσι, καί τινας εἴσω διαφύσεις εἰς αὐτὴν τὴν σάρκα τῶν μυῶν πέμπουσιν, ἣν ὥσπερ τινὰ χώραν μοι νόει πολλοῖς ὀχετοῖς ἀρδευομένην. ἑνὶ μὲν τῷ πρόσθεν εἰρημένῳ τῷ νεύρῳ, δύο δ' ἄλλοις, τῷ μὲν αἵματος θερμοῦ, καὶ λεπτοῦ, καὶ ἀτμώδους, τῷ δὲ ψυχροτέρου τε, καὶ παχυτέρου.

καλεῖται δ' αὐτῶν, ὃ μὲν ἀρτηρία, ὃ δὲ φλέψ. οὗτοι μὲν οὖν οἱ ὀχετοὶ τὴν ἀρχὴν ἀπὸ καρδίας καὶ ἥπατος ἔχοντες, τὸ σῶμα τῶν μυῶν ἀρδεύουσι, καὶ διὰ τούτοις οὐκέτι χώρα τις ἁπλῶς, ἀλλ' ἤδη φυτὸν ὁ μῦς γίνεται. διὰ δὲ τὸν τρίτον ὀχετὸν τὸν ἀπὸ τῆς μεγάλης ἀρχῆς, οὐ φυτὸν, ἀλλ' ἤδη κρεῖττον φυτοῦ, προσλαβὼν αἴσθησίν τε καὶ κίνησιν τὴν καθ' ὁρμὴν, οἷς τὸ ζῶον τοῦ μὴ ζώου διαφέρει. διὰ ταύτας οὖν τὰς δυνάμεις ὄργανον ψυχικὸν ὁ μῦς ἐγένετο, καθάπερ δι' ἀρτηρίαν, καὶ φλέβα φυσικόν. καὶ γὰρ οὖν καὶ τῶν κινήσεων, αἱ μὲν ἀρτηρίας τε, καὶ φλεβὸς φυσικαί τε, καὶ χωρὶς ὁρμῆς, αἱ δὲ τῶν μυῶν ψυχικαί τε, καὶ μεθ' ὁρμῆς. εἴτε δὲ μετὰ προαιρέσεως λέγοις τὰς τῶν μυῶν γίνεσθαι κινήσεις, ἢ ἑκουσίως, ἢ μετὰ βουλήσεως, οὐδὲν διοίσει. ἑνὸς γὰρ ἐν ἅπασι τούτοις ἐστοχάσθαι χρὴ, τοῦ διορίσασθαι τὴν κίνησιν αὐτῶν ἀπὸ τῆς τῶν ἀρτηριῶν τε, καὶ φλεβῶν κινήσεως, ὥστε εἰ καὶ μὴ ἱκανὸς εἴης ἐν ὀνόμασιν ἐνδείξασθαι τὴν διαφορὰν, αὐτάρκως ὃ βούλει δηλώσεις. τί δή ποτε δ' οὐκ αἰσθήσεως ὄργανον εἴπαμεν εἶναι τὸν μῦν, ἀλλὰ κινήσεως μόνης, καίτοι γ' ἀμφοτέρων ὁμοίως αὐτῷ μέτεστι; ἢ ὅτι κίνησις μὲν οὐκ ἂν γένοιτο τοῖς ζώοις οὐδεμία καθ' ὁρμὴν, ἄνευ τῶν μυῶν; ὥστε ἴδιον αὐτῆς ὄργανον ὁ μῦς· αἴσθησις δὲ ὑπάρχει τοῖς αἰσθητικοῖς μορίοις ἅπασι, καὶ χωρὶς μυῶν. ὅ,τι γὰρ ἂν αὐτῶν μετάσχοι νεύρου, τοῦτο πάντως αἰσθάνεται. τί μὲν οὖν ὁ μῦς ἐστιν, εἴρηται σαφῶς ὅτι τῆς κινήσεως καθ' ὁρμὴν ὄργανον. εἴρηται δὲ καὶ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως αὐτῷ, καὶ δι' ὧν, ὡς ἀπ' ἐγκεφάλου τε, καὶ διὰ νεύρων. εἴρηται δὲ καὶ ὅπως εἰς αὐτὸν ταῦτα σχίζεται, καὶ ὅπως οἱ σύνδεσμοι.

vocatur autem ipsorum alter, arteria; alter, vena. Isti igitur riui principium à corde, & hepate habentes, corpus musculorum irrigant, quorum gratia non ampliùs locus quidam nomine absoluto, sed iam quasi planta musculus fit: iam verò propter tertium riuum, qui à principio magno deducitur, non planta, sed quoddam præstantius planta redditur, assumpto sensu, & motu voluntario, quibus animal à non animali differt. Propter has igitur facultates instrumentum animale, musculus factus est; quemadmodum propter arteriam, & venam, naturale: etenim motus, qui ex arteria, & vena procedunt, naturales sunt, & voluntatis expertes; qui autem à musculis, animales, & voluntarij. Siue autem consultò dicas musculorum fieri motus, siue spontaneos, aut cum voluntate, nihil refert: vnum enim in omnibus his coniectari oportet, quomodo videlicet discernas motum ipsorum à motu arteriarum, & venarum. Itaque etiam si nequeas in nominibus ostendere doctrinam, abundè satis, quod vis, significabis. Cur igitur non sensus instrumentum esse musculum diximus, sed motus duntaxat, quanquam planè vtriusque similiter ipse sit particeps? an quia motus quidem nullus vtique fieri posset animalibus voluntarius absque musculis? Quare proprium ipsius instrumentum musculus est. Sensus autem inest omnibus sensilibus partibus, etiam sine musculis; quæcunque enim ipsarum particeps sit nerui, ea omninò sentit. Quid igitur sit musculus, clarè dictum est, nempe motus voluntarij instrumentum. Dictum est etiam, vnde principium motus sit ipsi, & per quæ; puta à cerebro, & per neruos. Dictum præterea, & quemadmodum in ipsum hi distribuantur, & quemadmodum ligamenta.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τοῦ τένοντος, καὶ πῶς τοῦ νεύρου, καὶ τοῦ συνδέσμου μετέχει.

Λείπει δ' αὖ ἔτι περὶ τῆς τῶν τενόντων φύσεως εἰπεῖν, πρὸς τὸ μηδὲν ἀσαφὲς ὑπολείπεσθαι τοῖς ἑξῆς λόγοις. ὅτι μὲν οὖν ἐστι μικτή τις ἡ φύσις ἐστὶ τῶν τενόντων, ἔκ τε τῶν συνδέσμων, καὶ τῶν νεύρων. εἴρηται μὲν οὖν καὶ τοῦτο πρόσθεν, ἀλλ' ὁ λογισμὸς αὐτοῦ παραλέλειπται, νῦν δὲ προσκείσεται. σκληρότερός ἐστιν ὁ τένων νεύρου τοσοῦτον, ὅσον συνδέσμου μαλακώτερος, ἀλλὰ καὶ τὸν ὄγκον τοῦ σώματος τηλικοῦτος, οἷος ἐξ ἀμφοῖν μάλιστα γεγονέναι, καὶ σύνδεσμος μὲν ἅπας ἀναίσθητος, νεῦρον δὲ ἅπαν αἰσθητικόν. ὁ δὲ τένων, οὔτ' ἀναίσθητος, ὅτι καὶ νεύρου μετέχει, οὔθ' οὕτως αἰσθητικὸς, ὡς τὸ νεῦρον, οὐ γάρ ἐστι νεῦρον μόνον. εἰς ὅσον οὖν μέτεστιν αὐτῷ συνδέσμου φύσεως, εἰς τοσοῦτον ἤμβλυνται τὸ τῆς αἰσθήσεως ἀκριβές. ἀλλὰ κἀκ τοῦ φύεσθαι μὲν ἐκ τῆς τελευτῆς τοῦ μυὸς τὸν τένοντα, καταφύεσθαι δὲ εἰς τὴν κεφαλὴν αὐτοῦ, τό τε νεῦρον καὶ τοὺς συνδέσμους, εἶτ' εἰς ὅλον διασπείρεσθαι τὸν μῦν, εὔλογον ἐξ ἀμφοῖν γεγονέναι τὸν τένοντα. σαφέστερον δ' ἂν μάθοις αὐτὸ, διὰ τῆς ἀνατομῆς. ἐναργῶς γὰρ ὄψει, τὴν μὲν ἀρχὴν, ἣν καλοῦσι κεφαλὴν μυὸς νευρωδεστέραν, τὰ δὲ μέσα σαρκωδέστερα, ἵνα περ αἱ καλούμεναι κοιλίαι τῶν μυῶν εἰσιν. ἐντεῦθεν δ' αὖθις ἀεὶ καὶ μᾶλλον ἐπὶ νευρωδέστερος γίνεται, κατὰ τὴν αὐτὴν τῇ πρόσθεν ἀναλογίαν. καὶ τέλος εἰς τοσοῦτον μᾶλλον νευρῶδες φαίνεται τὸ κάτω πέρας, εἰς ὅσον περ καὶ κατὰ τὴν κεφαλήν. τὸ δὲ νεῦρον, τὸ καθῆκον εἰς αὐτὸν,

CAPVT II.

De Tendone, & quo pacto nerui & ligamenti naturæ particeps sit.

Reliquum autem adhuc est de natura tendonum dicere, quò nihil obscurum relinquatur sermonibus, qui deinceps sequuntur. Quòd igitur mixta quædam natura tendonum sit ex ligamentis, & neruis, dictum quidem & hoc ante; sed ratiocinatio eius omissa est, nunc verò adiungetur. Tendo tantò durior est neruo, quantò ligamento mollior; quin & mole corporis talis, vt qui ex ambobus maximè factus sit. Et ligamentum quidem omne insensile; neruus autem omnis sensu præditus; tendo verò neque insensilis, quia etiam nerui est particeps; nec ita sensilis vt neruus, non enim neruus est tantùm. Quatenus igitur particeps est ligamenti naturæ, eatenus hebetatur acrimonia sensus. Quinetiam, quia nascitur quidem tendo ex fine musculi; inseruntur autem in caput ipsius, & neruus & ligamenta, deinde in totum musculum disperguntur, rationabile est ex ambobus tendonem esse factum. Clarius autem id scire possis per dissectionem. Euidenter enim videbis principium quidem, quod vocant caput musculi, magis neruosum, media verò carnosiora, vbi ventres (vt vocant) musculorum sunt; inde rursus eadem, qua prius, proportione multo semper neruosior efficitur; tandem eo magis neruosus apparet finis inferior, quo etiam apparet in capite. Neruus autem perueniens ad ipsum, in

in prima quidem insertione in pauciores distribuitur portiones; illis rursus in alias scissis, hisque iterum sectis in alias, eo vsque tandem scissura procedit, vt in membraneas, & valde tenues fibras desinat; rursus hæ particulæ inuicem coëunt, ac neruos mole quidem prioribus maiores, cæterùm numero pauciores generant; qui in fine musculi, & numero, & magnitudine pares iis, qui initio primo locantur, euadunt. Quoniam verò rursus tendo nascitur multò maior neruo, qui in musculum descendit, manifestum est, quòd non solum ex neruo factus est, verùm etiam aliquid ex natura ligamentorum assumpsit, nec sanè hoc modicum; multis enim locis sexcupla, multis etiam decupla crassitudine neruum superat. Et meritò sanè tantus & talis factus est, vt qui & ligamenti, & nerui vsum exhibiturus erat; alligat enim musculum subiectis ossibus, in quæ inseritur, & hac quidem ratione nihil differt à ligamento; sentit autem, & mouetur, qua ratione nerui est particeps. Maior autem factus est neruo, quippe qui os moturus sit; inseritur enim vt plurimum omnis tendo in ossis terminum, cartilagine illitum. Sed non est hic terminus quilibet, nec ipse tendo quiuis; verùm ipse quidem dilatatus inuoluitur circa superiorem partem ossis, quæ vocatur caput: sic enim quum ipse trahitur à musculo, erat contracturus os subiectum, connatum sibi; vinculo enim tuto quodam erat opus musculo cum osse à se mouendo, nec erat aliud ad hoc aptius, ligamento, neruus autem, qui à cerebro procedit, via quædam existens facultatis motricis, vt eam communem faciat, simul extensus est, & commixtus ligamento; & ita tendo factus est ex vtrisque.

CAPVT III.

Qui Musculi per Tendones in os inserantur, qui tendone careant, ac quos motus vtrique edant.

OMnis igitur tendo in os omninò inseritur; non tamen omnis musculus in tendonem desinit. In nullo enim musculorum mouentium linguam nascitur tendo; nullum enim os lingua erat motura, sed vocem editura articulatam, & sapores diiudicatura, & masticationi, atque deglutitioni adiumento futura. Quòd si cui uidetur cor similiter habere, hic non diligenter considerauit musculi corpus: alioquin cognosceret ipsum à musculo multùm differre, & crassitudine, & conformatione, & contextu, duritiéque, quin etiam & operibus nequaquam conueniunt, hoc enim ad duplicem, & compositum motum, qui perpetuò ex diastole, & systole, consistit, faciendum minimè indiget voluntate animalis; musculis verò, neque motus similes sunt, citráque voluntatem nunquam fieri possent. Sunt enim quædam ligamenta in ventriculis cordis, ad vnguem similia tendonibus, de quorum vsu alibi dicemus, intelligatur autem nunc nomen ligamenti, secundum communem significatum. At labra oris exacta planè compactione cutis, & musculi facta, absque osse mouentur. Similiter & ipsi oculi motum habent voluntarium à musculis; nullum autem os cum eis mouetur.

κατὰ μὲν τὴν πρώτην ἔμφυσιν, εἰς ὀλίγας νενέμηται μοίρας. ἐκείνων δ' αὖθις εἰς ἑτέρας τεμνομένων, καὶ τούτων τεμνομένων αὖθις εἰς ἄλλας, καὶ μέχρι τοσούτου τῆς σχίσεως προϊούσης, ὥστ' εἰς ὑμενώδεις, καὶ πάνυ λεπτὰς ἶνας τελευτῆσαι, καὶ πάλιν ἐκ τούτων τῶν μορίων συνιόντων πρὸς ἄλληλα, καὶ ποιούντων νεῦρα, μείζονα μὲν τὸν ὄγκον τῶν ἔμπροσθεν, ἐλάττονα δὲ τὸ πλῆθος, ἐν τῇ τελευτῇ τοῦ μυὸς, ἴσα τὸν ἀριθμὸν καὶ τὸ μέγεθος ταῦτα τοῖς κατὰ τὴν πρώτην ἀρχὴν γίγνεται. ἐπεὶ δ' αὖθις ὁ τένων φύεται, πολὺ μείζων τοῦ καθήκοντος εἰς τὸν μῦν νεύρου, δῆλον οὖν, ὡς οὐκ ἐκ τοῦ νεύρου μόνον ἐγένετο, ἀλλά τι καὶ τῆς τῶν συνδέσμων τῆς φύσεως προσέλαβε, καὶ οὐκ ὀλίγον γε τοῦτο. πολλαχόθι μὲν γὰρ ἑξαπλάσιος, πολλαχόθι δὲ καὶ δεκαπλάσιος τῷ πάχει τοῦ νεύρου φαίνεται. καὶ προσηκόντως ἄρα τοιοῦτός τε, καὶ τηλικοῦτος ἐγένετο, μέλλων γε καὶ τὴν τοῦ νεύρου, καὶ τὴν τοῦ συνδέσμου χρείαν παρέξειν. συνδεῖ μὲν γὰρ τὸν μῦν, τοῖς ὑποκειμένοις ὀστοῖς εἰς ἃ καταφύεται, καὶ ταύτῃ μὲν οὐδὲν διαφέρει συνδέσμου. αἰσθάνεται δὲ καὶ κινεῖται, καὶ ταύτῃ πάλιν νεύρου μετέχει, μείζων δὲ ἐγένετο τοῦ νεύρου, μέλλων γε κινήσειν αὐτὸς τὸ ὀστοῦν. καταφύεται γὰρ ὡς τὸ πολὺ πᾶς τένων, εἰς ὀστοῦ μὲν πέρας περιειλημμένον χόνδρῳ, οὐ μὴν τὸ τυχόν γε τούτου πέρας, οὐδ' ὡς ἔτυχεν αὐτὸς, ἀλλ' αὐτὸς μὲν πλατυνθεὶς, ἑλίττεται περὶ τὸ ὀστοῦ τὸ ἄνω, ὃ καλεῖται κεφαλή. οὕτως γὰρ ἔμελλεν ὑπὸ τοῦ μυὸς ἑλκόμενος ὁ τένων αὐτὸς, συμφυὲς ὂν αὐτῷ τὸ ὑποκείμενον ὀστοῦν συνεφέλκεσθαι. δεσμοῦ μὲν γὰρ ἀσφαλοῦς τινος ἔδει τῷ μυῒ, πρὸς τὸ κινηθησόμενον ὀστοῦν ὑφ' ἑαυτοῦ, καὶ οὐδὲν ἦν ἐπιτηδειότερον συνδέσμου εἰς τοῦτο. τὸ δὲ νεῦρον τὸ ἀπ' ἐγκεφάλου, ὁδός τις ὂν δυνάμεως κινητικῆς, ἕνεκα τοῦ μεταδοῦναι ταύτης, συμπαρεξετάθη τε καὶ συνανεμίχθη τῷ συνδέσμῳ, καὶ οὕτως ἐξ ἀμφοῖν ὁ τένων ἐγένετο.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τίνες οἱ μύες ἐπὶ τοῖς τένουσι εἰς ὀστοῦν καταφύονται, καὶ τίνες οὐκ ἔχουσι τένοντας, καὶ τίνας κινοῦσιν ἑκάτεροι κινήσεις.

ΑΠας μὲν οὖν τένων εἰς ὀστοῦν καταφύεται τοὐπίπαν, οὐ μὴν ἅπας γε μῦς εἰς τένοντα τελευτᾷ. τῶν γ' οὖν τὴν γλῶτταν κινούντων μυῶν, οὐδενὶ τένων φύεται, οὐδὲ γὰρ ἐδεῖτο κινεῖν οὐδὲν ὀστοῦν ἡ γλῶττα, μέλλουσά γε καὶ φωνὴν διαρθρώσειν, καὶ χυμοὺς διακρίνειν, καὶ τῇ μασήσει τε, καὶ τῇ καταπόσει συνεργήσειν. εἰ δέ τῳ δοκεῖ καὶ ἡ καρδία παραπλησίως ἔχειν, οὐκ ἀκριβῶς οὗτος κατεσκέψατο σῶμα μυός, ἢ πάντως ἂν ἔγνω πολὺ διαφέρουσαν αὐτὴν καὶ πάχει, καὶ διαπλάσει, καὶ πλοκῇ, καὶ σκληρότητι μυός. καὶ μὲν δὴ καὶ τοῖς ἔργοις οὐδὲν ἐοίκασιν. ἡ μὲν γὰρ ἐν τῇ διπλῇ, καὶ συνθέτῳ κινήσει διὰ παντὸς ἐκ διαστολῆς καὶ συστολῆς συγκειμένῃ, μηδὲν τῆς ὁρμῆς τοῦ ζώου πρὸς τὸ γίγνεσθαι δεομένῃ. τοῖς μυσὶ δ' οὔθ' αἱ κινήσεις ὅμοιαι, καὶ χωρὶς ὁρμῆς οὐκ ἂν γίγνοιντο. σύνδεσμοι μὲν γάρ τινές εἰσιν ἐν τῇ κοιλίᾳ τῆς καρδίας, ἀκριβῶς ἐοικότες τένουσιν, ὑπὲρ ὧν τῆς χρείας ἑτέρωθι λέγομεν. ἀκουέτω δὲ νῦν τοὔνομα, κατὰ τὸ κοινὸν τοῦ συνδέσμου σημαινόμενον. ἀλλὰ τά γε χείλη τοῦ στόματος, ἀκριβεῖ συγχύσει δέρματος καὶ μυὸς γεγονότα, χωρὶς ὀστοῦ κινεῖται. ὡσαύτως δὲ καὶ οἱ ὀφθαλμοί, κινοῦνται μὲν καθ' ὁρμὴν καὶ αὐτοὶ ὑπὸ μυῶν, οὐδὲν δ' αὐτοῖς ὀστοῦν συγκινεῖται.

καὶ μὴν καὶ τὸ δέρμα, τὸ κατὰ τὸ μέτωπόν τε, καὶ τὰς ὀφρῦς, καὶ τὰ πλεῖστα μέρη τοῦ προσώπου, τῶν ὀστῶν ἀτρεμούντων κινεῖται καθ᾽ ὁρμήν. τοσόνδε μέντοι τὸ διαφέρειν ἐστὶ τῷ δέρματι τούτῳ καὶ τοῖς ὀφθαλμοῖς, καὶ τοῖς χείλεσιν, ὅτι τῷ μὲν αὐτὶ τούτου ὑποτέτακται μυώδης φύσις λεπτή, τοὺς δ᾽ ὀφθαλμοὺς μᾶλλον οἱ μύες κινοῦσιν. ἡ δὲ τῶν χειλῶν φύσις, δέρματος κραθέντος μυῒ γέγονε. εἰ δὲ καὶ ὁ στόμαχος τῆς γαστρὸς, ὃν οἰσοφάγον ἐκάλουν οἱ παλαιοὶ, αὐτός τε μῦς ἐστι, καὶ τὰ τοῦ μυὸς ἔργα τοῖς ζώοις ὑπηρετεῖ, εἴη ἂν καὶ οὗτος ὁ μῦς, οὔτε εἰς τένοντα τελευτῶν, οὔτε ὀστοῦν συγκινῶν. ὁ μέντοι κατὰ τὸν τράχηλον τῆς τὸ οὖρον ὑποδεχομένης κύστεως, τήν τε οὐσίαν τοῦ σώματος ἀκριβῶς ἔοικε μυῒ, καὶ τοὔργον αὐτῷ μυός. ὥσπερ οὖν καὶ ὁ κατὰ τὴν ἕδραν, εἴτ᾽ οὖν ἕνα μόνον ἐκεῖνον τὸν μῦν, εἴτε πλείους συμφυεῖς χρὴ νομίζειν. κινεῖται δ᾽ οὐδ᾽ ὑπὸ τούτων οὐδὲν ὀστοῦν, ὥσπερ οὐδ᾽ ὑπὸ τῶν εἰς τοὺς ὄρχεις, καὶ τὸ αἰδοῖον καθηκόντων. ἐν κεφαλαίῳ δὲ κατὰ πάντων τῶν μυῶν λεκτέον, ὅτι κινήσεως τῆς καθ᾽ ὁρμὴν ὄντες ὄργανα, ποτὲ μὲν ἑαυτοὺς μόνους κινοῦσι συστέλλοντες, ὡς οἱ τῆς ἕδρας τε καὶ τῆς κύστεως. ποτὲ δὲ καὶ τὸ δέρμα πρὸς τὴν ἑαυτῶν ἀρχὴν ἑλκόμενοι συνεπισπῶνται, καθάπερ οἱ κατὰ τὰ χείλη, καὶ τὸ μέτωπον, καὶ ὅλως οἱ κατὰ τὸ πρόσωπον. ἐκ τούτων μὲν οὖν, οὐδεὶς ἀποφύεται τένων. οἱ δ᾽ ἄλλοι πάντες μύες, ὅσοι μὲν ὀστᾶ κινοῦσιν εἰς τένοντας τελευτῶσι τοὐπίπαν, ἢ μείζους, ἢ ἐλάττους. ὅσοι δ᾽ ἄλλο τι τούτων τοῖς μὲν εἰσὶ τένοντες, τοῖς δ᾽ οὔ. κινοῦσι δὲ ἄλλο τι, καὶ οὐκ ὀστοῦν, οἵ τε τῶν ὀφθαλμῶν, καὶ οἱ τῆς γλώττης, καὶ οἱ τῶν ὀρχεών τε, καὶ τοῦ αἰδοίου, καὶ οἱ τῆς φάρυγγος, καὶ οἱ κατὰ τὸν λάρυγγα μάλιστα, καλεῖται δ᾽ οὕτω τὸ ἄνω πέρας τῆς τραχείας ἀρτηρίας, ὅπερ καὶ κεφαλὴν ὀνομάζουσι βρόγχου τε καὶ φάρυγγα. οἱ μὲν οὖν τῶν ὀφθαλμῶν, ὑμενώδεσι μὲν, ἀλλ᾽ ἰσχυραῖς ἀπονευρώσεσιν, εἰς τὸν σκληρὸν καὶ νευρώδη χιτῶνα τὸν παρακείμενον τῷ ῥαγοειδεῖ καθήκουσιν. οἱ δὲ τοῦ αἰδοίου τε καὶ τῶν ὄρχεων, οὐδεμίαν ἀπονεύρωσιν ποιησάμενοι, τοῖς σαρκώδεσι σφῶν αὐτῶν μορίοις ἐμφύονται. τῶν δὲ κατὰ τὴν φάρυγγα, καὶ τὸν λάρυγγα μυῶν, τοῖς μὲν ἀμυδραί τινες ἀπονευρώσεις, τοῖς δὲ οὐδ᾽ ὅλως εἰσί. κινήσεως δὲ τρόπος ἄλλος ἄλλοθι φαίνεται. κατὰ μέν γε τὴν γλῶτταν, οὐκ ἔστιν ἥν τινα κίνησιν οὐκ ἂν ἴδοις. ἄνω τε γὰρ καὶ κάτω, καὶ πρόσω, καὶ ὀπίσω, καὶ τῇδε κἀκεῖσε φαίνεται περιφερομένη, καὶ τὰ μὲν οἷον ἀνακλωμένη τε, καὶ ἀναπτυσσομένη, τὰ δὲ καὶ κυκλοτερῶς πάντη περιφερομένη. κατὰ δὲ τοὺς ὀφθαλμοὺς, τέτταρες μὲν εἰσὶν εὐθεῖαι κινήσεις ἄνω καὶ κάτω, καὶ εἰς δεξιὰ, καὶ ἀριστερά. δύο δ᾽ ἄλλαι περιστρεφομένων ἐν κύκλῳ. δύο δὲ τῶν κατὰ τοὺς κροτάφους μυῶν, ἐρειδόντων μὲν γὰρ ἀλλήλοις τοὺς ὀδόντας, τείνονταί τε, καὶ κυρτοῦνται, κεχηνότων δὲ χαλῶνται καὶ προστέλλονται. καὶ μὴν καὶ ἡ τοῦ κατὰ τὸν βραχίονα μυὸς μεγάλου κίνησις ἱκανῶς ἐπιφανὴς, ἐν μὲν τῷ κάμπτειν κατ᾽ ἀγκῶνα, κυρτουμένου τε καὶ εἰς ἑαυτὸν συνιόντος, ἐν δὲ ταῖς ἐκτάσεσι, χαλωμένου τε καὶ προστελλομένου. τὰς δ᾽ αὐτὰς κινήσεις ὁ τοῦ πήχεως μῦς ὁ μέγας ἐναργῶς ἐντὸς ἔχει φαινόμενος, ἐν μὲν τῷ κατακάμπτειν τοὺς δακτύλους κυρτούμενός τε, καὶ συντεινόμενος, ἐκτεινόντων δὲ καὶ αὐτὸς ἐκτεινόμενός τε καὶ χαλώμενος, καὶ προστελλόμενος. οὕτως δὲ καὶ οἱ ἄλλοι μύες ὀλίγου δεῖν ἅπαντες, οἱ κατὰ τὰ κῶλα, διττὰς ἔχοντες φανοῦνται κινήσεις, εἰ γυμνώσεις αὐτοὺς τοῦ δέρματος. οἱ μὲν γὰρ εἰρημένοι, καὶ χωρὶς τοῦ γυμνῶσαι, διὰ μέγεθος. ἐν τοῖς ἰσχνοῖς γὰρ καὶ μυώδεσι σώμασιν,

A Præterea & cutis, quæ in fronte, & superciliis est, tum plurimæ partes faciei, ossibus quiescentibus, motu mouentur voluntario. Ea tamen doctrina est inter hanc cutem, & oculos, & labra, quod illi quidem pro musculo subiecta est natura musculosa tenuis; oculos autem magis musculi mouent; labrorum verò natura, cute admixta musculo, fit. Quòd si etiam stomachus ventriculi, quem œsophagum vocabant veteres, musculus est & ipse, & musculi officia animalibus ministrat, erit vtique & hic musculus, neque in tendonem desinens, neque os simul mouens. At qui in ceruice vesicæ suscipientis B vrinam est, & substantia corporis omninò musculo similis est, & actione; quemadmodum sanè, & qui in sede, siue illum vnum solum musculum, siue plures vnitos existimare oportet; mouetur autem ab his os nullum, quemadmodum ne ab illis quidem, qui in testes, & penem descendunt. In summa de omnibus musculis dicendum, quòd motus voluntarij sunt instrumenta; tum quandoque se ipsos duntaxat mouent contracti, vt musculi sedis, & vesicæ; quandoque verò & cutem, ad principium suum dum trahuntur, simul attrahunt, velut ij qui in labris, C & fronte, & omninò in facie sunt; ab his itaque nullus nascitur tendo. Cæteri omnes musculi, quicunque ossa mouent, in tendones omninò, vel maiores, vel minores, terminantur; qui verò aliud quidpiam, quàm os mouent, horum quibusdam sunt tendones, quibusdam verò non. Mouent autem aliud quiddam, non os, musculi oculorum, linguæ, testium, & penis, item & pharyngis, tum qui maximè sunt laryngis; vocatur ita superior terminus asperæ arteriæ, quod & caput appellant bronchi, & larynga. Musculi igitur oculorum membraneis quidem, sed validis aponeurosibus in duram, & neruosam tuni- D cam adiacentem rhagoidi perueniunt. Penis autem, & testium, nulla aponeurosi facta, carneis ipsorum partibus innascuntur. Porrò musculorum, qui in pharynge, & larynge sunt, quibusdam obscuræ quædam aponeuroses, quibusdam omninò non sunt. Motus autem modus alibi existit. In lingua quidem motum omnem videre possis: sursum enim & deorsum, ante & retrò, sinistrorsum, & dextrorsum, apparet circumferri; & partim quidem quasi replicata, & explicata, partim verò etiam circulariter vndique circumducta. Sed in oculis qua- E tuor quidem sunt recti motus, sursum, & deorsum, dextrorsum, & sinistrorsum, duo autem alij circulares. Duo etiam musculorum circa tempora; firmantibus enim dentes, inuicem tenduntur, atque curuantur; hiantibus verò laxantur, & porriguntur. Quin etiam motus magni musculi in brachio satis perspicuus, dum flectendo cubitum curuatur & in se ipsum coit; in extensionibus autem laxatur, & exporrigitur. Eosdem motus, & musculus magnus interna parte cubiti euidenter habet apparentes; in flectendis quidem digitis curuatur contra- F hitúrque; extendentibus verò ipse quoque extenditur, & laxatur, & porrigitur. Sic etiam & alij musculi penè omnes, qui in artubus sunt, duplices motus videbuntur habere, si eos denudaueris cute; namque prædicti etiam non denudati apparent propter magnitudinem. In macilentis autem, & musculosis corporibus, complu-

complurium musculorum motus euidenter apparent priùs, quàm cutis adimatur. Sed musculus, qui in sede est, proprium quendam motum, quoniam & figuram diuersam possedit, contractis crumenis similem. Cæterùm septum transuersum simile est tali cuipiam rei, nisi quòd non perforatum est. Huius igitur motum euidenter videbis diuiso quidem peritonæo, distractis autem subiectis visceribus; aliorum autem musculorum, qui in thorace, & toto abdomine sunt, sufficit cutem tantum auferre. Accidit autem illis, qui sunt in abdomine contrarium ac iis, qui in artubus, & facie locum obtinent; hi enim, cum tenduntur, & ad principium retrahuntur, curuantur; illi autem, dum tenduntur, exporriguntur; curuantur verò, dum laxantur.

A οἱ πλεῖστοι τῶν μυῶν ἐναργῶς φαίνονται κινούμενοι, πρὶν γυμνωθῆναι τοῦ δέρματος. ἰδίαν δὲ τινα κίνησιν, ὅτι καὶ τὸ σχῆμα διάφορον, ὁ κατὰ τὴν ἕδραν ἐκτήσατο μῦς τοῖς συσπαστοῖς βαλαντίοις ἀνάλογον. ἀτὰρ οὖν καὶ τὸ διάφραγμα, τοιούτῳ τινὶ προσέοικε, πλὴν ὅτι μὴ διατέτρηται. τούτου μὲν οὖν τὴν κίνησιν ἐναργῶς κατόψῃ, διελὼν μὲν τὸ περιτόναιον, περιστείλας δὲ τὰ ὑποκείμενα σπλάγχνα. τῶν δ' ἄλλων τῶν κατά τε τὸν θώρακα, καὶ τὸ σύμπαν ἐπιγάστριον μυῶν, ἀρκεῖ τὸ δέρμα μόνον ἀφελεῖν. συμβέβηκε δ' αὖθις κατ' ἐπιγάστριον ἐναντίον παρὰ τοὺς ἐν τοῖς κώλοις τε, καὶ κατὰ τὸ πρόσωπον μῦς. B ἐκεῖνοι μὲν γὰρ ἡνίκα ἐκτείνονταί τε, καὶ πρὸς τὴν ἀρχὴν ἀνασπῶνται, κυρτοῦνται. οὗτοι δὲ τεινόμενοι μὲν προστέλλονται. κυρτοῦνται δὲ χαλώμενοι.

CAPVT IV.

Vnius Musculi vnum esse per se motum; duos autem per accidens.

VTrum igitur (id enim à principio propositum erat considerare) tot modi motus insunt musculis, quot etiam apparent, & in dissectionibus, & priùs quàm denudes partes; an multò quidem pauciores sunt, apparent autem multi? Nam vt alia omittam, absurdum videtur non vnum motum musculis omnibus inesse; tanquam si & arteriarum alium alius motum quispiam existere dicat; semper enim natura videtur per similia instrumenta similiter operari. Quocirca sex inesse motus omnibus musculis (quod iam quidam dixerunt) euidenter redarguitur; nullus enim musculorum, qui in cruribus, & manibus sunt, habet tertium quendam motum diuersum ab extensione, & contractione; quemadmodum nec temporales musculi, euidenter enim & horum vtrique duo sunt motus. Si autem totum membrum in sex loca musculi transferunt, nullum hinc sanè dubium, quin per singulos eorum duplex sit motus. Si enim vnus musculus totum membrum moueret, necesse esset, quot sint membri, tot esse & musculi motus; quoniam verò non solum sex, sed & multò plures in vnoquoque membro musculi sunt, nihil profectò mirum alium ab alio musculo, ipsi membro fieri motum. Sed puto linguam eos decepisse, qui eiusmodi dixerunt, ratos vnum musculum ipsam existere. Quòd si verè vnus musculus esset, euidenter vtique demonstraretur vnius musculi multos esse motus, nunc autem (non enim vnus est, sed multi musculi ipsam mouent;) contrarium puto conclusum iri, videlicet non multos vniuscuiusque musculi esse motus; alioqui frustra esset eorum multitudo, si per vnum omnes effici possibile esset. At vterque oculorum, aiunt, quatuor rectos obtinet motus. Rectè (ô viri) etenim & musculi recti quatuor; esset autem vnus in vtroque si omnes mouere idoneus esset. Vt igitur, si vnus esset, concluderetur quatuor esse motus, sic, quoniam tot numero sunt, quot motus, ab vno quoque ipsorum vnum fieri concludetur, quemadmodum & eorum, qui circumuertunt ipsum, vtriusque vnum. Atqui apud vos ipsos, inquiunt, in confesso est, etsi non plures, duos saltem per singulos musculos motus fieri; quomodo igitur ratio vnum esse vult? Est autem hoc nihil absurdum; motus enim, vt actio, vnus in singulis, contrarius verò per accidens;

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Μίαν εἶναι ἑνὸς τοῦ μυὸς κίνησιν, δύο δὲ κατὰ συμβεβηκός.

ΠΟτερον οὖν (τοῦτο γὰρ ἐξ ἀρχῆς προὔκειτο σκοπεῖσθαι) τοσοῦτοι τρόποι κινήσεως ὑπάρχουσι τοῖς C μυσὶν, ὅσοι περ καὶ φαίνονται κατά τε τὰς διαιρέσεις, καὶ πρὶν γυμνῶσαι τὰ μέρη, ἢ πολὺ μὲν ἐλάττους εἰσὶ, φαίνονται δὲ πολλοί. τά τε γὰρ ἄλλα καὶ τὸ μὴ μίαν πᾶσι τοῖς μυσὶν ὑπάρχειν κίνησιν ἄτοπον, ὥσπερ εἰ καὶ τῶν ἀρτηριῶν ἄλλῃ ἄλλης κίνησιν ἔφασκέ τις ὑπάρχειν. ἀεὶ γὰρ φαίνεται, διὰ τῶν ὁμοίων ὀργάνων ὁμοίως ἐνεργεῖν ἡ φύσις. τὸ μὲν οὖν ἓξ ὑπάρχειν κινήσεις ἅπασι τοῖς μυσὶν, ὅπερ ἤδη τινὲς ἔφασαν, ἐναργῶς ἐξελέγχεται. τῶν γὰρ κατὰ τὰς χεῖρας, καὶ τὰ σκέλη μυῶν, οὐδεὶς ἐκτάσεως καὶ συστολῆς, τρίτην τινὰ ἔχει κίνησιν ἑτέραν, ὥσπερ οὐδ' οἱ κροταφῖται μύες. ἐναρ- D γῶς γὰρ καὶ τούτων ἑκατέρῳ δύο κινήσεις εἰσίν. εἰ δὲ τὸ κῶλον ὅλον εἰς ἓξ τόποις μεταφέρουσιν οἱ μύες, οὐδὲν τοῦτό γε ἀπόρημα πρὸς τὸ μὴ οὐ καθ' ἕκαστον αὐτῶν διττὴν εἶναι τὴν κίνησιν. εἰ μὲν γὰρ εἷς μῦς ἐκίνει τὸ κῶλον ὅλον, ἀναγκαῖον ἂν ἦν ὅσαι περ αἱ τοῦ κώλου, τοσαύτας εἶναι καὶ τὰς τοῦ μυὸς κινήσεις. ἐπεὶ δ' οὐ μόνον ἓξ, ἀλλὰ καὶ πολὺ πλείους εἰσὶν ἑκάστῳ τῶν κώλων οἱ μύες, οὐδὲν δή που θαυμαστὸν, ἄλλην ὑπ' ἄλλου τῷ κώλῳ γίνεσθαι κίνησιν. ἀλλ' οἶμαι τὴν γλῶτταν ἐξαπατῆσαι τοὺς τὰ τοιαῦτα ἀποφηναμένους, οἰηθέντας ἕνα μυν αὐτὴν ὑπάρχειν. καὶ εἰ ὄντως E εἷς ἦν μῦς, ἐναργῶς ἂν ἀπεδείκνυτο πολλὰς εἶναι κινήσεις ἑνὸς μυός. νῦν δὲ οὐ γάρ ἐστιν εἷς, ἀλλὰ πολλοὶ κινοῦσι μύες αὐτὴν, τοὐναντίον οἶμαι περανθήσεσθαι τὸ μὴ πολλὰς ἑκάστου μυὸς εἶναι τὰς κινήσεις. ἢ μάταιον ἂν εἴη τὸ πλῆθος αὐτῶν, εἰ δι' ἑνὸς ἁπάσας ἀποτελεῖσθαι δυνατὸν ἦν. ἀλλ' ἑκάτερος φασὶ τῶν ὀφθαλμῶν τέτταρας εὐθείας κινεῖται κινήσεις, ὀρθῶς ὦ τᾶν. καὶ γὰρ καὶ μύες εὐθεῖς τέτταρες. ἦν δ' ἂν εἷς καθ' ἑκάτερον, εἰ πάσας κινεῖν ἐπεπεφύκει. ὡς οὖν εἴπερ ἦν εἷς ἐφαίνετο τέτταρας εἶναι τὰς κινήσεις, οὕτως ἐπεὶ τοσοῦτοι τὸν ἀριθμόν εἰσιν, ὅσαι περ αἱ κινήσεις, ὑφ' ἑνὸς ἑκά- F στου αὐτῶν μίαν γίνεσθαι περανθήσεται, καθάπερ καὶ τῶν περιστρεφόντων αὐτὸν ἑκατέρου μίαν. καὶ μὴν καὶ πρὸς ἡμῶν αὐτῶν, φασὶν, ὡμολόγηται, κἂν εἰ μὴ πλείους, δύο γοῦν καθ' ἕκαστον μυῶν φαίνεσθαι κινήσεις. πῶς οὖν ὁ λόγος μίαν εἶναι βούλεται; ἔστι δὲ τοῦτο οὐδὲν ἄτοπον. ἡ μὲν γὰρ, ὡς ἐνέργεια, κίνησις μία καθ' ἕκαστον. ἡ δ' ἐναντία, κατὰ συμβεβηκὸς.

ἐνεργεῖ μὲν γὰρ ἕλκων ἐφ' ἑαυτὸν τὸ κινούμενον μόριον, οὐκ ἐνεργεῖ δ' ὅταν εἰς τὸν ἐναντίον τόπον ὑπ' ἄλλου μυὸς ἀπάγηται, καὶ διὰ τοῦτ' οὐδὲν τῶν κινουμένων μορίων ἑνὶ κέχρηται μυΐ, ἀλλ' εἰ μὲν ἄνωθέν τις ἐμφύοιτο, πάντως ἄλλος ἀντεμφύεται κάτωθεν. εἰ δ' ἐκ τῶν δεξιῶν, πάντως ἄλλος ἐκ τῶν ἀριστερῶν. ἕκαστον γὰρ τῶν κινουμένων μορίων, οἷον ὑφ' ἡνίων τινῶν τῶν μυῶν εἰς τἀναντία διειλημμένων, ἐναλλὰξ ἔχει τὸν μὲν ἐκτεινόμενον αὐτὸν, τὸν δὲ χαλώμενον. ὁ μὲν οὖν ἐκταθεὶς, ἕλκει πρὸς ἑαυτὸν, ὁ δὲ χαλασθεὶς, ἕλκεται σὺν τῷ μορίῳ, καὶ διὰ τοῦτο κινοῦνται μὲν κατ' ἀμφοτέρας τὰς κινήσεις ἀμφότεροι. τὸ δ' ἐνεργεῖν, τείνεσθαι τὸ κινούμενόν ἐστιν, οὐχ ἕπεσθαι. ἕπεται δὲ, ὅταν αὐτὸς ἀργῶν, ὥσπερ καὶ ἄλλο τι τῶν τοῦ κώλου μορίων μεταφέρεται. ἆρ' οὖν ἤδη τολμῶμεν ἀποφαίνεσθαι μὲν, μίαν ἁπάντων μυῶν ξύμφυτον κίνησιν εἶναι, ἢ μηδέπω, πρὶν ἂν ἡμῖν ὁμολογήσῃ πάντα τὰ κατ' αὐτοὺς φαινόμενα; ἐμοὶ μὲν οὖν τοῦτο μακρῷ δοκεῖ βέλτιον ὑπάρχειν. τίνα τοίνυν τὰ κατ' αὐτοὺς φαινόμενα, λέγωμεν ἑξῆς μηδὲν παραλιπόντες. ἓν μὲν δὴ καὶ πρῶτον, οὗ μέρος εἴρηταί πως ἤδη κατ' ἀρχὰς, ὅτι διατεμνομένων αὐτῶν ὅλων ἐγκαρσίων, ἀπόλλυται τελέως κίνησίς τις ἐν τοῖς ὑποτεταγμένοις μορίοις, ἐντεμνομένων δὲ παραβλάπτεται. τὸ δὲ τῆς βλάβης ποσὸν τῷ ποσῷ τῆς τομῆς ἕπεται, μᾶλλον μὲν ἀπολλυμένης τῆς κινήσεως ἐν ταῖς μείζοσι διαιρέσεσιν, ἧττον δὲ ἐπ' ἐλάττοσι. τὰ δ' αὐτὰ νόμιζέ μοι πάντα, καὶ ἐπὶ τῶν τενόντων εἰρῆσθαι. καὶ γὰρ οὖν καὶ τούτους, εἰ μὲν ὅλους διατέμοις, παραλύσεις τῆς κινήσεως τῶν μορίων. εἰ δὲ ἐντέμοις, παραβλάψεις τοσοῦτον, ὅσον ἐνέτεμες. εἰ μὲν οὖν ἅπασα κίνησις ἀπόλοιτο τοῦ μέρους, ἑνὸς τμηθέντος μυὸς, ἐφαίνετ' ἂν οἶμαι, πασῶν τῶν κινήσεων ἐξηγεῖσθαι τὸν ἕνα τοῦτον μῦν. εἰ δ' αὖθις μία μόνη κίνησις ἀπόλοιτο, ἑνὸς τμηθέντος μυὸς, ἐφαίνετ' ἂν οἶμαι ταύτης μιᾶς μόνης, ἦν ὁ τμηθεὶς ἡγεμών. ἐπεὶ δὲ οὔτε μίαν μόνην, οὔτε πάσας ἀπόλλυσθαι συμβέβηκεν, ἀλλὰ πάντως δύο φαίνεσθαι δόξειεν ἂν ὑφ' ἑνὸς μυὸς γίνεσθαι κινήσεις δύο. ἀλλ' ἐπεὶ καὶ ὁ ἐκ τῶν ἐναντίων μερῶν τεταγμένος μῦς, ἢ τένων τμηθεὶς, τὰς αὐτὰς δύο κινήσεις ἀπόλλυσιν, αὖθις ἂν κἀκεῖνον ἴσως κατὰ τὸν αὐτὸν λόγον κύριον ἐροῦμεν τῶν αὐτῶν δυοῖν κινήσεων, ὧν καὶ ἐπιτροπεύουσιν, ἢ βλάπτουσιν ὁμοίως, ὥστε κἂν εἷς ὁστισοῦν τῶν μυῶν ἀπόλλυται τῶν ἐναντίων κίνησιν συναπόλλυσθαι, ποιεῖν δὲ οὐχ ὁμοίως πεφύκασιν, ἀλλ' ἑκάτερος τὴν ἑτέραν μόνην. ἀνάγκη γὰρ τούτων θάτερον ἀληθὲς ὑπάρχειν, ὁπότερον δὲ, πειρατέον ἀποδεῖξαι, πρότερόν γε σαφέστερον εἰπόντες, ὅτι τῶν διαδεχομένων ἀλλήλας κινήσεων, ἀνάγκη τῆς ἑτέρας ἀπολλυμένης, καὶ τὴν λοιπὴν συναπόλλυσθαι. ἔστω γὰρ ἀπολωλέναι τὴν ἐκτείνειν πεφυκυῖαν τὸ μόριον κίνησιν, οὐκοῦν καμφθήσεται μὲν τὴν πρώτην, μενεῖ δὲ ἐν τούτῳ διὰ παντὸς, ἐκταθῆναι μὲν οὐκ ἔτι δυνάμενον, ὅτι τῆς ἐκτεινούσης ἐστέρηται κινήσεως. ὅτι δὲ ἐκταθῆναι μηκέτι δύναται, διὰ τοῦτο οὐδὲ ἔτι καμφθῆναι, κάμπτεται γὰρ τὸ φθάνον ἐκτετάσθαι κατὰ ταῦτα δὲ καὶ τὴν κάμπτειν πεφυκυῖαν τὸ μόριον κίνησιν, εἴπερ ἀπολέσθαι συμβῇ, ἐκταθήσεται μὲν τήν γε πρώτην, ἀκίνητον δὲ τοῦ λοιποῦ γενήσεται, μηκέτι δυνηθὲν ἐλθεῖν ἐπὶ τὴν κάμψιν, ἧς προηγουμένης ἕπεται τὸ ἐκτείνεσθαι. τοῦτο μὲν δὴ παντὸς ἀληθὲς μᾶλλον εἶναι φαίνεται, τὸ συναπόλλυσθαι τὰς διαδεχομένας ἀλλήλας ἐναντίας κινήσεις.

A siquidem operatur trahens ad se ipsum partem, quæ mouetur; non operatur autem, quum in contrarium locum ab alio musculo abducitur. Ideóque nulla pars, quæ mouetur, vno vtitur musculo; sed si quidem desuper aliquis innascatur, omninò alius parte inferna contrà innascitur; & si ex dextris, omninò alius ex sinistris. Vnaquæque enim partium, quæ mouentur à musculis, veluti à quibusdam habenis in contrarium distracta, vicissim habet alterum ipsum intensum, alterum laxatum; intensus igitur trahit ad se, laxatus autem trahitur cum parte: & propter hoc mouen- B tur ambo in vtroque motu. Agere autem est, eum qui mouet, intendi, non sequi; sequitur, quum ipse ociosus transfertur, sicut quæuis alia membri pars. Nunquid igitur audemus dicere, vnum omnium musculorum connatum esse motum, an non prius, quàm nobis omnia, quæ in ipsis apparent, confessa fuerint? mihi id longè melius esse videtur. Quæ igitur sunt, quæ in ipsis apparent, deinceps dicamus, nihil omittentes. Vnum itaque & primum (cuius pars iam in principio quodammodo dicta est) quod abscissis quidem ipsis totis per transuersum, motus penitus perit in subiectis partibus, incisis C autem læditur; læsionis autem quantitas, quantitatem sectionis sequitur, magis quidem pereunte motu in maioribus diuisionibus, minus autem in minoribus. Hæc eadem de tendonibus quoque mihi dicta esse puta: etenim & hos si quidem totos absciderís, dissolues motus partium; si verò incideris, tantum lædes, quantum incidisti. Si itaque motus omnis periret partis vno inciso musculo, concluderetur vtique omnium motuum hunc vnum musculum ducem esse; si verò rursus vnus duntaxat motus periret vno inciso musculo, conclude- D retur, opinor, huius solius ducem esse, qui esset incisus, sed quia neque vnum solùm, neque omnes perire accidit, sed omninò duos, concludi videbit vtique ab vno musculo duos fieri motus. Sed quia & musculus ex contrariis partibus locatus, aut tendo sectus, eosdem duos motus amittit, rursus vtique & illum fore secundum eandem rationem dominum eorumdem duorum motuum dicemus, quos tuetur, aut lædit pari modo. Quare, etiam si vnus quiuis musculorum pereat, contrariorum motio simplex peribit; facere autem non similiter ambo nati sunt, sed vterque alteram solum, E namque necesse est horum alterum verum esse; vtrum autem sit, conabimur ostendere, quum priùs clariùs dixerimus, quòd motuum, qui sibi inuicem succedunt, necesse est altero pereunte, & reliquum simul perire. Finge enim eum motum periisse, qui natus est partem extendere; igitur flectetur quidem primum, manebit autem in hoc statu semper, quòd non ampliùs extendi possit, quæ motu extensorio priuata est, quia autem extendi non amplius potest, idcirco nec flecti quidem, flectitur enim, quæ antea extensa fuit. F Similiter motum, qui natus est flectere partem, si accidat perire, extendetur quidem ea primum, sed immobilis in posterum fiet, quum non amplius ad flexionem venire potuerit; qua præcedente extensio sequitur. Id igitur omnium est verissimum, videlicet motus contrarios sibi inuicem succedentes simul corrumpi.

Quam-

Quamobrem rectè se habet quæstio, vtrum duo motus ab vtrisque musculis fiant, an vnus quidem ab vtroque? tum ne simul reliquus cum altero pereat.

CAPVT V.

Internos musculos flexionis, Externos extensionis auctores esse.

QVo igitur pacto id distinguetur? diuersis symptomatibus. Vt enim communia sunt demonstratiua alicuius communis, quantum est in ipsis, ideóque incertum erat, quod proprium erat in vtroque, sic quæ diuersa sunt, & demonstrationem propriam vtriusque musculorum actionis, & veritatem manifestam facient. At propria in vtroque musculorum hæc insunt. Eo quidem, qui intus est, abscisso, extensa pars in hac figura perpetuò manet; eo autem qui foris, flexa non amplius extenditur. Quòd si tuis manibus capiens flectas extensam, vel extendas inflexam, vtrumque quidem ipsorum facilè efficies, dimissa autem pars, statim in pristinum statum restituetur. Quid igitur ex his demonstratur? Nempe flexionem venire à musculis qui intus sunt: extensionem autem ab iis qui foris sunt. Quapropter si externus vulneratus amiserit actionem, internus verò maneat adhuc agens, flectitur pars, tanquam is, qui natus est ipsam flectere, illæsus existat. Si verò qui intus est abscindatur, contrarium fit: extenditur quidem membrum, sed non amplius flectitur. Cur autem in vtraque figura permanet pars immobilis? an quia motus inuicem succedentes corrumpi accidit? Nam musculus flectere natus, si sanus sit, primùm quidem flectit; secundò autem, & tertiò non amplius flectere potest, nisi parte rursus extensa; extensæ enim flexio est. Qui natus est extendere, eadem ratione semel quidem extendit; secundò autem, vel tertiò non ampliùs poterit, nisi pars denuò flectatur, flexæ enim extensio est. Quòd si tu tunc amissam vulnerati musculi actionem imitatus extendas tuis manibus flexam, videbis saluum esse motum ei flectendæ idoneum: nihil enim tua opera indigens sua sponte flectetur, à musculo intus constituto operante tracta; non tamen vnquam ab vllo musculo extendetur, sed semper tua opera ad hoc indigebit; veluti si eum, qui intus est, vulneraueris, extendetur quidem semper pars absque tua opera, non tamen flectetur ab vllo musculo, sed præterea motum abs te requiret. Manifestum igitur ex dictis, quòd flectere quidem officium est musculorum internorum; extendere autem externorum. Perspicuum autem est, quòd tensio, & in se ipsos contractio, insita musculis est actio; extensio autem, & laxatio, oppositorum intensorum, & ad se ipsos trahentium. Discas autem id ex aliis apparentibus non paucis, vt ex hoc primo didicisti. Auicularum crura ab animali exempta tractans, extendere tuis digitis tendones, qui in ipsis sunt, conare: priùs quidem internos, deinde externos; cernes enim illis tractis flecti membrum, tractis verò his extendi. Quinetiam, si crure adhuc toti corpori adhærente capto, eiusdem mortui animalis vtrumque tendonem, aut musculum velis vicissim extendere,

A καὶ διὰ τοῦτο ὀρθῶς ἔχει ζητῆσαι, πότερον δύο κινήσεις ὑπ' ἀμφοτέρων γίνονται μυῶν, ἢ μία μὲν ὑφ' ἑκατέρου, συναπόλλυται δ' ἡ λοιπὴ τῇ ἑτέρᾳ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τὸ κάμπτεσθαι μὲν ὑπὸ τῶν ἐντὸς μυῶν, ἐκτείνεσθαι δὲ ὑπὸ τῶν ἐκτός.

ΠΩς οὖν τοῦτο διορισθήσεται; τοῖς διαφέρουσι συμπτώμασιν. ὡς γὰρ τὰ κοινὰ κοινοῦ τινος ἦν, ὅσον ἐφ' ἑαυτοῖς B ἐνδεικτικὰ, καὶ διὰ τοῦτο ἄδηλον ἐγίνετο τὸ καθ' ἑκάτερον ἴδιον, οὕτω τὰ διαφέροντα τήν τε ἔνδειξιν ἰδίαν ἑκατέρου τῶν μυῶν τῆς ἐνεργείας ποιήσεται, καὶ δῆλον τὸ ἀληθές. ἴδια δ' ἐφ' ἑκατέρου τῶν μυῶν, τάδε γίνεται. τοῦ μὲν ἐντὸς διακοπέντος, ἐκταθὲν τὸ μέρος, ἐν τούτῳ τῷ σχήματι διὰ παντὸς μένει· τοῦ δ' ἐκτὸς καμφθὲν, οὐκέτ' ἐκτείνεται. καὶ εἰ λαβόμενος ταῖς χερσὶ σαυτοῦ, κάμπτοις τὸ ἐκτεταμένον, ἢ ἐκτείνοις τὸ κεκαμμένον, ἑκάτερον μὲν αὐτῶν ῥᾳδίως ἐργάσῃ. ἐαθὲν δὲ παραχρῆμα τὸ μόριον, εἰς τὴν ἐξ ἀρχῆς κατάστασιν ἀχθήσεται. τί τοίνυν ἐκ τούτων ἀποδείκνυται; τὸ κάμπτεσθαι C μὲν ὑπὸ τῶν ἐντὸς μυῶν, ἐκτείνεσθαι δὲ ὑπὸ τῶν ἐκτός. καὶ διὰ τοῦτο εἰ μὲν ὁ ἐκτὸς τρωθεὶς ἀπολέσειε τὴν ἐνέργειαν, ὁ δ' ἐντὸς ἐνεργῶν ἔτι μένει, κάμπτεται τὸ μόριον, ὡς ἂν τοῦ κάμπτειν αὐτὸ πεφυκότος ἀβλαβοῦς ὑπάρχοντος. εἰ δ' ὁ ἐντὸς διακοπείη, τὸ ἔμπαλιν γίνεται. ἐκτείνεται μὲν τὸ κῶλον, κάμπτεται δ' οὐκέτι. διὰ τί δ' ἐν ἑκατέρῳ τῷ σχήματι, καταμένει τὸ μόριον ἀκίνητον; ἢ ὅτι ἀπόλλυσθαι συμβέβηκε τὰς διαδεχομένας ἀλλήλας κινήσεις; ὅτε γὰρ κάμπτειν πεφυκὼς μῦς ὑγιὴς μὲν ὢν, τὸ μὲν πρῶτον ἔκαμψε, δεύτερον δὲ καὶ τρίτον οὐκέτι κάμπτειν δύναται, μὴ παραλαβὼν αὖθις ἐκτεινόμενον τὸ D κῶλον. τοῦ γὰρ ἐκτεταμένου ἡ κάμψις. ὅ, τε ἐκτείνειν πεφυκὼς, κατὰ τὸν αὐτὸν λόγον, ἅπαξ μὲν ἐκτείνει, δεύτερον δὲ ἢ τρίτον, οὐκέτι δυνήσεται, μὴ παραλαβὼν αὖθις κεκαμμένον τὸ μόριον. τοῦ γὰρ κεκαμμένου ἡ ἔκτασις. εἰ δὲ σὺ τηνικαῦτα τὴν ἀπολωλυῖαν τοῦ τετρωμένου μυὸς ἐνέργειαν μιμησάμενος, ἐκτείναις ταῖς σαυτοῦ χερσὶ τὸ κεκαμμένον, ὄψει σωζομένην τὴν κάμπτειν αὐτὸ πεφυκυῖαν κίνησιν. οὐδὲ γὰρ ἔτι σου δεηθὲν, αὐτόματον καμφθήσεται ὑπὸ τοῦ κατὰ τὰ ἔνδον μέρη, τεταγμένου μυὸς ἐνεργοῦντος ἑλκόμενον. οὐ μὴν ἐκταθήσεταί γε οὐδέποτ' ὑπ' οὐδενὸς μυὸς, ἀλλ' ἀεί σου πρὸς τοῦτο E δεηθήσεται. καθάπερ εἰ τὸν ἐντὸς τρώσεις, ἐκταθήσεται μὲν ἀεὶ χωρίς σου τὸ μόριον, οὐ μὴν καμφθήσεταί γε ὑπ' οὐδενὸς μυὸς, ἀλλ' εἰς τοῦτο τῆς παρά σου δεηθήσεται κινήσεως. δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὡς τὸ μὲν κάμπτειν, τῶν ἐντὸς ἔργον ἐστὶ μυῶν, τὸ δὲ ἐκτείνειν τῶν ἐκτός. οὐκ ἄδηλον δ' ὅτι τὸ μὲν τείνεσθαί τε καὶ εἰς ἑαυτοὺς συνέλκεσθαι, σύμφυτος ἐνέργεια τοῖς μυσὶ, τὸ δ' ἐκτείνεσθαι, καὶ χαλᾶσθαι τῶν ἀντιτεταγμένων ἐνταθέντων τε, καὶ πρὸς ἑαυτοὺς ἑλκυσάντων γίνεται. μάθοις δ' ἂν αὐτὸ, καὶ δι' ἑτέρων φαινομένων, οὐκ ὀλίγων οἷα ἔμαθες, καὶ τοῦδε πρώτου. τῶν ὀρνιθείων μεταχειρισάμενος σκε- F λῶν, ἀφῃρημένων δηλονότι τοῦ ζώου, τείνειν τοῖς αὐτοῦ δακτύλοις ἐπιχείρει τοὺς ἐν αὐτοῖς τένοντας, πρότερον μὲν τοὺς ἐντὸς, ἔπειτα δὲ καὶ τοὺς ἐκτός. ὄψει γὰρ ἐπὶ μὲν τοῖς, καμπτόμενον τὸ κῶλον, ἐπὶ δὲ τοῖς, ἐκτεινόμενον. ἀλλὰ καὶ εἰ προσκείμενον ὅλῳ τῷ σώματι τὸ σκέλος ἐπὶ τοῦ τεθνεῶτος τούτου τοῦ ζώου λαβὼν, ἑκατέρους τῶν τενόντων, ἢ τῶν μυῶν ἐθέλοις τείνειν,

ἐν μέρει καὶ οὕτως ἂν ἴδοις. ἐπὶ μὲν τοῖς ἐντὸς καμπτόμενον τὸ κῶλον, ἐπὶ δὲ τοῖς ἐκτὸς ἐκτεινόμενον. ἀλλὰ καὶ εἰ μῦν ὅλον ἐγκάρσιον ἐθέλοις διατεμεῖν, εἴτ' ἐπὶ τεθνεῶτος, εἴτε καὶ ζῶντος ἔτι τοῦ ζώου, τῶν μερῶν αὐτοῦ, τὸ μὲν ἄνω, τὸ δὲ κάτω φερόμενον, ἐναργῶς ὄψει πρὸς τὸ ἴδιον πέρας ἑκάτερον ἑλκόμενον. καὶ τοῦτο καθ' ὁποῖον ἂν μέρος τὸν μῦν ὅλον ἐγκάρσιον διατέμοις, ἐναργῶς ὄψει γιγνόμενον. ᾧ δῆλον, ὅτι πᾶν μόριον αὐτοῦ, σύμφυτον ἔχει τὴν κίνησιν τὴν εἰς ἑαυτὸ σύνοδον. καὶ γὰρ οὖν καὶ εἰ τὴν ἄνωθεν ἀρχὴν μόνην ἀποτέμοις τοῦ μυός, ὅλος ἐπὶ τὸ πέρας ἐνεχθήσεται. καὶ εἰ τὴν κάτω τελευτήν, ἐπὶ τὴν κεφαλὴν ἀνασπασθήσεται. καὶ εἰ ἑκατέρωθεν ἀποτέμοις αὐτόν, οἷον σφαιρούμενον ὄψει, καὶ συντρέχοντα πρὸς τὸ μέσον ἐξ ἀμφοῖν τῶν περάτων. οἶδα μὲν οὖν ὅτι καθ' ἕκαστον τῶν εἰρημένων ἱκανῶς ἀποδείκνυται τὸ προκείμενον.

etiam hoc pacto cernas per internos quidem membrum flecti, per externos vero extendi. Præterea, si totum musculum per transuersum abscindere velis, siue in animali mortuo, siue adhuc viuente, partem eius aliam sursum, aliam deorsum ferri euidenter videbis, ad suum terminum vtramque tractam; idque si quauis in parte totum musculum per transuersum absciderіs, fieri euidenter videbis; quo manifestum est, quòd omnis eius pars connatum habet motum, in se ipsam scilicet coitionem. Etenim, & si principium supernum solùm absciderіs musculi, totus ad caudam feretur; si finem inferiorem, ad caput retrahetur; si vtrinque absciderіs, eum quasi conglobatum videbis, & concurrentem ad medium ex vtrisque finibus. Scio ergo, quod per vnumquodque dictorum satis demonstratur, quod erat propositum.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ τῆς βλάβης, τῆς ἀπὸ τῶν νοσωδῶν παθημάτων κινήσεως, καὶ περὶ τῆς κινήσεως τῆς χειρός.

Ἀλλὰ καὶ διὰ τοὺς ἔργον πεποιημένους, ἰατρούς τε καὶ φιλοσόφους περὶ ἁπάσης ἀπορεῖν ἐνεργείας εὕρεσιν. οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὰ μετὰ ταῦτα λεχθησόμενα σύμπαντα προσκείσεται. σκιρρωθέντος δὴ μυός, ἢ τένοντος οὑτινοσοῦν τῶν μὲν ἐντὸς τοῦ κώλου τεταγμένων, καμφθὲν τὸ μέρος οὐκ ἔτι ἐκτείνεται. τῶν δὲ ἐκτὸς ἐκταθέν, οὐκ ἔτι κάμπτεται, ἔμπαλιν ἢ κατὰ τὰς τρώσεις εἶχεν. ἐπὶ μὲν γὰρ ἐκείνων εἰς τἀναντία τοῦ τρωθέντος ἀνεσπᾶτο τὸ μέρος, ἐνταῦθα δὲ ἐπ' αὐτὸ τὸ πεπονθὸς ἕλκεται. φαίνεται δὲ δὴ καὶ τοῦτο μὲν, οὐχ ὅτι μαχόμενον τοῖς ἔμπροσθεν, ἀλλὰ καὶ μεγάλως μαρτυροῦν. τὸ γὰρ σκιρρωθὲν ἅπαν ὑπὸ τοῦ παρὰ φύσιν ὄγκου τείνεται. τοῦτ' οὖν αὐτῷ πρὸς τοῦ παθήματος φαίνεται γινόμενον, ὅπερ ἐρρωμένῳ πρὸς τῆς ὁρμῆς, πλὴν ὅτι πρὸς τῆς ὁρμῆς μὲν ἑκούσιος ἡ κίνησις, πρὸς δὲ τοῦ παθήματος ἀκούσιος. οὔκουν οὐδ' ὑπὸ τῶν σῶν χειρῶν, οὐδὲν τῶν οὕτω πεπονθότων ἀντισπασθῆναι πρὸς τἀναντία δύναται, καθάπερ ἐπὶ τῶν τρώσεων εἶχεν. ἀντιτείνει γὰρ ὁ σκίρρος, ἀντὶ δεσμοῦ τῷ μυῒ γιγνόμενος. ὡς εἴπερ ἦν δυνατὸν ὑπὸ τῶν ἡμετέρων χειρῶν εἰς τὸν ἀντικείμενον τόπον ἀχθῆναι τὸ μόριον, οὐδὲν ἂν ἐκώλυεν, αὐτὸ καὶ πρὸς τῶν ἀντιτεταγμένων ἀπάγεσθαι μυῶν, ὡς κινεῖσθαί τε κἀκείνοις τὴν κατὰ φύσιν κίνησιν ἱκανοῖς. ἅπερ δ' ἐπὶ τῶν σκίρρων, ταῦτα κἀπὶ τῶν φλεγμονῶν ὁρᾶται γιγνόμενα. καὶ γὰρ καὶ μύες, καὶ τένοντες φλεγμήναντες πολλάκις, ἐφ' ἑαυτοῖς τείναντες τὸ κῶλον, ἀκίνητον εἰργάσαντο. καὶ σκληρότης δ' οὐλῶν, οὐδὲν ἧττον τῶν προκειμένων παθῶν, πολλάκις ἐπέδησεν αὐτό. φαίνεται γοῦν ταῦτ' αὐτῷ συμβαίνειν ἅπαντα, καὶ τούτων οὐδὲν ἧττον τὰ λεχθησόμενα, μετὰ τοῦ καὶ πολλὰς ἄλλας ἀπορίας διαλύεσθαι. θαυμαστὸν γὰρ ἐδόκει, καὶ σχεδὸν ἀδύνατον ἕνα τρόπον κινήσεως ἐχόντων ἁπάντων τῶν μυῶν, ἓν κῶλον τὴν χεῖρα, ποτὲ μὲν ἐκτείνεσθαι, ποτὲ δὲ κάμπτεσθαι, ποτὲ δ' ἑκατέρωσε περιάγεσθαι, καὶ ποτὲ μὲν ἀνατείνεσθαι, ποτὲ δὲ κάτω καθίεσθαι, ποτὲ δ' εἰς τοὐπίσω πρὸς τὴν ῥάχιν ἐπιστρέφεσθαι. ἀλλ' οὐκέτι θαυμαστὸν οὐδὲν τῶν τοιούτων φαίνεται, γνόντων ἡμῶν τὸ μὲν ἀνατείνεσθαι, καὶ καθίεσθαι τὴν χεῖρα, τοῦ κατὰ τὸν ὦμον ἄρθρου, καὶ τῶν κινούντων αὐτὸν μυῶν, ἐνέργειαν εἶναι, τὸ δ' ἐκτείνεσθαι, καὶ κάμπτεσθαι τοῦ κατ' ἀγκῶνα πήχεως. τὸ δ' ἐπὶ τὸ πρηνές, ἢ τὸ ὕπτιον στρέ-

---

CAPVT VI.

De motus læsione ex morbosis affectibus, ac de Motibus manus.

VErùm & propter medicos & philosophos, qui de omni actionis inuentione dubitare contendunt, non solùm hæc, verùm etiam quæ postea dicenda sunt omnia, adiungentur. Scirrho enim genito in musculo, aut quocunque tendone, eorum quidem, qui parte membri interna constituti sunt, pars flexa non ampliùs extenditur; eorum verò, qui foris sunt, extensa non amplius flectitur; contrario modo, quàm in vulneribus se habebat; in illis enim in contrariam partem vulneratæ, pars retrahebatur, hîc autem ad ipsam passam trahitur. Videtur autem & hoc non modò non repugnare iis, quæ antea dicta sunt, verùm etiam mirificè attestari Omne enim, quod scirrhum contraxerit, à tumore præter naturam tenditur. Hoc certè ipsi à morbo accidere videtur, quod bene valenti ab impetu voluntario; nisi quod ab hoc motus est spontaneus, ab illo verò non spontaneus. Quare ne tuis quidem manibus vllum eorum, quæ ita affecta sunt, ad contraria retrahere queas, quemadmodum in vulneribus fieri solebat; contra enim tendit scirrhus, vice ligamenti musculo factus. Quare, si possibile esset manibus nostris in oppositum locum duci partem, nihil vtique prohiberet eam, & à musculis oppositis abduci, vtpote qui & ipsi naturalem motum obire possint. Quæ autem in scirrhis, eadem in phlegmone fieri cernuntur. Nam & musculi, & tendones phlegmonem patientes membro ad se ipsos tracto, sæpe motu ipsum priuarunt. Item durities cicatricum nihilominus, quàm præpositi affectus, frequenter ipsum impediuit. Videntur certè & hæc omnia ipsis accidere & his non minùs ea, quæ dicentur, simúlque multæ aliæ ambiguitates soluuntur. Mirum enim videbatur, & ferè impossibile, quum vnum modum motus omnes musculi habeant, vnum membrum, nempe manum, aliquando extendi, aliquando verò flecti; interdum in vtramque partem circumduci; & modò sursum tendi, modò deorsum demitti; & interim retrò ad spinam verti. Verùm non ampliùs mirum aliquid huiuscemodi videbitur, quum nobis exploratum iam sit, tendi quidem sursum, & demitti manum, articuli qui in humero est, & musculorum ipsum mouentium actionem esse, extendi autem, & flecti, brachij ad vlnam; volui ad pronum, aut supinum,

pinum, brachij ad radium. Quòd autem spinam tangat, & motus in manus in tali actione à quatuor articulis simul motis fit, hoc modo, demisso quidem brachio, flexa autem vlna; circunducto verò radio in pronum, conuerso autem carpo. Verùm omnes sanè per musculos agentes fiunt: atque impræsentiarum non est dicendi tempus, à quo quis fiat; nam & in dissectione musculorum, & in tractatione de vsu partium, item in anatomicis administrationibus dicetur, tum numerus omnium, tum motus partium, qui à singulis ipsis fit. Quòd autem ad propositum confert, id hic tractatus repetit, nihil mirum esse, quomodo quum vnus modus sit motus ipsis musculis, adeò variè membra figuret. Nam quòd vnusquisque trahit ad se ipsum partem, in quam inseritur, alter ex dextris ad sinistra circumagere, alter ex sinistris ad contraria poterit; sic & alius flectit, alius extendit. Quid igitur mirum est, quum multi musculi per multos articulos simul agant, admodum variam membrorum esse figuram? Nam qui in caput brachij inseruntur, sursum tendunt ipsum; cubiti os verò extendunt, qui in cubito sunt foris in ipsum ancona finientes; radium verò ad pronum, qui intus in cubito sunt, quasi obliquum circumducunt; carpum extendunt, qui in cubito sunt, in ipsum extrinsecus desinentes; porrò vnusquisque digitorum ab internis tendonibus flectitur. Quòd si digiti omnes sint flexi, tota figura manus iis, qui in pancratio ipsam protulerint, similis potissimum fiat. Si autem brachium quidem sursum tensum fuerit mediocriter, cubitus verò exactè ad supinum sit extensus, radium verò musculi in cubito foris constituti reflectant; & carpus vnà cum digitis extensus sit, figura totius manus similis extendentibus eam causa recipienda aliquid fiet. Quod quum ita habeat, si cæteris seruatis solùm supinum submutes, constituásque medium inter exactè supinum, & pronum, totam formam manus talem efficies, qualis maximè fit iaculantibus, quum telum iecerint, vt inquit Hippocrates. Sic quoque & in singulis figuris totius manus non difficile est inuenire singulorum articulorum constitutionem; modò illius memineris, quòd vnusquisque musculorum, dum tenditur, ad se ipsum trahit partem in quam inseritur. Hoc enim pacto omnia manus opera luctantibus, sagittas euibrantibus, fabricantibus, & quodcunque aliud agentibus inuenies à musculis, qui in ipsa sunt, perfici. Hoc igitur iam mihi videtur clarum esse, nec pluribus verbis indigere.

A φέσθαι, τοῦ βραχίονος πρὸς τὴν κερκίδα. τὸ δὲ τῆς ῥάχεως ἅπτεσθαι, καὶ ἡ κατὰ τὴν τοιαύτην ἐνέργειαν κίνησις τῆς χειρὸς, ὑπὸ τῶν τεττάρων ἄρθρων ὁμοῦ κινουμένων γίνεται. οὕτω καθιεμένου μὲν τοῦ βραχίονος, καμπτομένου δὲ τοῦ πήχεως, περιαγομένης δὲ τῆς κερκίδος ἐπὶ τὸ πρηνὲς, ἐπιστρεφομένου δὲ τοῦ καρποῦ πάλιν. ἀλλὰ πᾶσαί γε διὰ μυῶν ἐνεργούντων γίνονται, καὶ οὐ νῦν καιρὸς λέγειν ὑπὸ τίνος τίς. ἔν τε γὰρ τῇ τῶν μυῶν ἀνατομῇ, κἂν τῇ περὶ τῆς χρείας μορίων, ἔτι δὲ ταῖς ἀνατομικαῖς ἐγχειρήσεσι λεχθήσεται, τό τε πλῆθος ἁπάντων, καὶ ἡ δι᾽ ἕκαστον αὐτῶν τοῖς μορίοις B ὑπάρχουσα κίνησις. ὅπερ δὴ εἰς τὰ προκείμενα συντελεῖ, τοῦθ᾽ ὑπέμνησεν ὁ λόγος, τὸ μηδὲν θαυμάζειν, πῶς εἷς τρόπος κινήσεως τοῖς μυσὶν ὑπάρχων, οὕτω πολυειδῶς σχηματίζει τὰ κῶλα. τῷ γὰρ ἕκαστον ἐφ᾽ ἑαυτὸν ἕλκειν τὸ μέρος, εἰς ὃ καταφύεται, ὁ μὲν ἐκ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερὰ περιάγειν, ὁ δὲ ἐκ τῶν ἀριστερῶν, ἐπὶ τἀναντία δυνήσεται· οὕτω δὲ καὶ κάμπτει μὲν ἕτερος, ἐκτείνει δὲ ἄλλος. ὅταν δὲ καὶ οἱ πολλοὶ μύες, κατὰ πολλὰ τῶν ἄρθρων ἐνεργῶσιν ἅμα, τί θαυμαστόν ἐστι, καὶ διὰ τοῦτο, πολλὴν ποικιλίαν γίνεσθαι τῶν ἐν τοῖς κώλοις σχημάτων; οἱ γὰρ, οἶμαι, εἰς C τὴν κεφαλὴν τοῦ βραχίονος ἐμβάλλοντες, ἀνατείνουσιν αὐτὸν, τὸν πῆχυν δὲ ἐκτείνουσιν οἱ κατὰ τὸν πῆχυν, ἐκτὸς εἰς αὐτὸν τελευτῶντες τὸν ἀγκῶνα. τὴν κερκίδα δὲ ἐπὶ τὸ πρηνὲς, οἱ κατὰ τὸν πῆχυν ἐντὸς, οἷον λοξὴν περιάγουσι. τὸν καρπὸν δὴ ἐκτείνουσιν οἱ κατὰ τὸν πῆχυν, εἰς αὐτὸν ἐκτὸς τελευτῶντες. ἕκαστος δὲ τῶν δακτύλων, ὑπὸ τῶν ἐντὸς τενόντων κάμπτεται. εἰ δὴ ἕκαστος τῶν δακτύλων καμφθῇ, τὸ σχῆμα τῆς χειρὸς γένοιτο μάλιστα, τοῖς ἐν παγκρατίῳ προτετακῶσιν αὐτὴν ὅμοιον. εἰ δὲ ὁ μὲν βραχίων ἀναταθείη συμμέτρως, ὁ δὲ πῆχυς ἀκριβῶς ἐκταθείη ἐπὶ τὸ D ὕπτιον, τὴν κερκίδα δὲ οἱ κατὰ τὸν πῆχυν ἐκτὸς τεταγμένοι μύες ἀνακλάσωσιν, ὁ δὲ καρπὸς ἅμα τοῖς δακτύλοις ἐκταθείη, τὸ σχῆμα τῆς ὅλης χειρὸς οἷον τοῖς ἐκτείνουσιν αὐτὴν, ἕνεκα τοῦ δέξασθαί τι, γένοιτ᾽ ἄν. τοιούτου δὴ ὄντος αὐτοῦ, τὰ μὲν ἄλλα φυλάξας, μόνον δὲ ὑπαλλάξας τὸ ὕπτιον, καὶ καταστήσας ἐν τῷ μέσῳ τούτου ἀκριβῶς, ὑπτίου καὶ τοῦ πρηνοῦς, τὸ σύμπαν εἶδος τῆς χειρὸς ἐργάσῃ τοιοῦτον, οἷον μάλιστα γίνεται τοῖς τοξεύουσιν, ἐπειδὰν τὸν ἰὸν βάλωσιν, ὥς φησιν Ἱπποκράτης. οὕτω δὲ καὶ καθ᾽ ἕκαστον τῶν ἄλλων τῆς ὅλης χειρὸς σχημάτων, οὐ χαλεπὸν ἐξευρεῖν ἑκάστου τῶν ἄρ- E θρων τὴν κατάστασιν, εἰ μόνον ἐκείνου μνημονεύοις, ὅτι τεινόμενος ἕκαστος τῶν μυῶν, ἐφ᾽ ἑαυτὸν ἕλκει τὸ μόριον, εἰς ὃ καταφύεται. πάντα γὰρ οὕτως εὑρήσεις τὰ τῆς χειρὸς ἔργα, παλαιόντων, καὶ τοξευόντων, καὶ τεκταινομένων, καὶ πᾶν ὁποῖον ἄλλο πραττόντων, ὑπὸ τῶν κατ᾽ αὐτὴν μυῶν ἐπιτελούμενα. τοῦτο μὲν οὖν ἤδη μοι δοκεῖ σαφὲς ὑπάρχειν, καὶ μηκέτι λόγου πλείους δεῖσθαι.

CAPVT VII.

Non omnem Motum fieri actione musculorum, nec omnem Immobilitatem quiete.

QVod autem nondum dictum est, & idcirco obscurum adhuc est, dicendum deinceps, videlicet neque omnem manus motum actione fieri musculorum; neque omnem immobilitatem quiete. Nam & motum aliquem possibile est inuenire omnibus musculis, qui in ea sunt,

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Μήτε πᾶσαν κίνησιν ἐνεργείᾳ γίνεσθαι τῶν μυῶν· F μήτε πᾶσαν ἀκινησίαν ἡσυχίᾳ.

Ὃ δ᾽ οὔτ᾽ εἴρηταί πω, καὶ διὰ τοῦτ᾽ ἀσαφές ἐστιν ἔτι, λεκτέον ἐφεξῆς, τὸ μήτε πᾶσαν κίνησιν τῆς χειρὸς ἐνεργείᾳ γίνεσθαι μυῶν, μήτε πᾶσαν ἀκινησίαν, ἡσυχίᾳ. καὶ γὰρ κίνησίν τινα δυνατὸν εὑρεῖν, ἀργούντων ἁπάντων τῶν κατ᾽ αὐτὴν μυῶν, καὶ τιν᾽ ἡσυ-

χίαν, ἐνεργούντων πάνυ πολλῶν. λεγέσθω δὲ πρότερον ὑπὲρ τῆς κινήσεως. ἵνα δὲ ᾖ σαφὴς ὁ λόγος, ἀναμνησθῶμεν πρῶτον μὲν ἐπὶ τοῦ παντὸς σώματος. δυεῖν οὖν τούτοιν κινήσεων ἀλλήλαις μὲν παρακειμένων, οὐχ ὁμοίως δὲ γινομένων, καλεῖται δ' αὐτῶν ἡ μὲν κατάκλισις, ἡ δὲ κατάπτωσις, καὶ γίνεται δηλονότι καθ' ὁρμὴν μὲν τὸ κατακλίνεσθαι, τὸ καταπίπτειν δ' ἀκουσίως. τὸ μὲν οὖν κατακλίνεσθαι, μυῶν ἐνεργείᾳ συντελεῖται, καὶ διὰ τοῦτο ἔργον ἑκούσιόν ἐστι τοῦ ζώου· τὸ δὲ καταπίπτειν, οὔτ' ἔργον, ἀλλ' ἀκούσιον πάθημα, καὶ μυὸς οὐδενὸς ἐνεργοῦντος δεῖται. μόνον γὰρ ἀρκεῖ πάντας ἐκλῦσαι τοὺς μῦς τῆς τάσεως, ἐπιτρέψαντας τῷ βάρει τοῦ σώματος, ᾗ ῥέπει φέρεσθαι. ταύτῃ μὲν τὸ καταπίπτειν τοῦ κατακλίνεσθαι διήνεγκε, ταύτῃ δὲ καὶ τὸ καταφέρεσθαι, τὴν χεῖρα τοῦ καθίεσθαι. καταφέρεται μὲν γὰρ ἁπάντων ἀργούντων τῶν ἐν αὐτῇ μυῶν, ὑπὸ τοῦ συμφύτου τοῖς σώμασι βάρους κατασπωμένη, καθίεται δὲ τῶν κατὰ μασχάλην μυῶν πρὸς ἑαυτοὺς ἑλκόντων τὸν βραχίονα. τρίτη τοίνυν αὕτη κίνησις εὑρέθη τῶν μυῶν, παρὰ τὰς δύο, τὰς ἔμπροσθεν εἰρημένας. ἐκείνων γὰρ ἡ μὲν ἑτέρα καθ' ἣν ἐνεργοῦσιν, εἰς ἑαυτοὺς ἦν σύνοδος, ἡ δ' ἑτέρα καθ' ἣν ἀργοῦσιν, ὑπὸ τῶν ἀντικειμένων ἐκτεινόμενοι μυῶν, οὐκ ἦν μὲν αὐτοῖς σύμφυτος, κατὰ δέ τι συμβεβηκὸς ἐγίνετο. ἡ δὲ νῦν προστεθεῖσα, κατ' οὐδὲν ἐκείναις ἔοικεν. οὔτε γὰρ συστέλλεται κατ' αὐτὴν, οὔτ' ἐκτείνεται μῦς οὐδείς. τί γὰρ οὖν οὐδὲ κινεῖται τὸ παράπαν; καὶ μὴν οὐκ ἐνδέχεται τοῦ κώλου παντὸς κάτω φερομένου, μόρια ὄντα τοῦ κώλου, τὸν μῦν ἀκίνητον μένειν. ἀλλὰ κινεῖται μὲν, οὐ μὴν ἐκτείνεταί γε, οὐδὲ συστέλλεται τηνικαῦτα. τίς οὖν ὁ τρόπος αὐτῷ τῆς κινήσεως; οἷος καὶ τοῖς ὀστοῖς δηλονότι. οὐδὲ γὰρ ταῦτ' ἐκτεινόμενα, καὶ συστελλόμενα, συμπεριφέρεται τοῖς κώλοις, ἀλλ' ὥσπερ εἰ καὶ τῶν ἀψύχων τι σωμάτων προσδήσας αὐτοῖς ἔτυχες. ἐπεὶ τοίνυν τῶν κινήσεων ἡ μὲν σύντασις, ἐνέργεια τοῦ μυός ἐστιν, ὡς ἂν ὀργάνου ψυχῆς. ἡ δ' ἔκτασις, ὡς ὀργάνου μὲν, οὐ μὴν ἐνέργειά γε, ἀλλ' ἁπλῶς κίνησις. ἡ δὲ νῦν προστεθεῖσα τρίτη κίνησις, οὐδ' ὡς ζῶσιν ὑπάρχει τοῖς μυσὶν, ἀλλ' ὡς τοῖς ἀψύχοις τε, καὶ τελέως ἐξ ἑαυτῶν ἀκινήτοις, ἐπὶ τὴν λοιπὴν καὶ τετάρτην μεταβάντες κίνησιν, ἐπισκεψώμεθα καὶ τὸν ταύτης τρόπον. ἀντίστροφός τις γὰρ ἔοικεν ὑπάρχειν τῇ τρίτῃ. κατὰ μὲν γὰρ τὸν τρίτον τρόπον τῆς κινήσεως, ἀργεῖν οἱ μύες ἀπεδείχθησαν, καίτοι κινούμενοι. κατὰ δὲ τὸν τέταρτον, ἐνεργεῖν ἀποδειχθήσονται, καίτοι μηδαμῶς κινεῖσθαι φαινόμενοι. ἐννοήσωμεν γὰρ ἀνατεταμένην τὴν χεῖρα, κἄπειτ' ἐν τούτῳ τῷ σχήματι φυλαττομένην, εἶτ' ἐρώμεθα ἑξῆς ἡμᾶς αὐτούς. τί δή ποτ' οὐ καταφέρεται τῷ βάρει ῥέπουσα, κἄπειτ' ἀποκρινώμεθα, διότι τῶν ἀνατεινόντων αὐτὴν μυῶν, ἡ τάσις διαμένει. πρὶν οὖν ταύτης ἐκλυθῆναι τελέως, οὐχ οἷόν τε μετακινηθῆναι τὴν χεῖρα. παυσαμένων μέντοι τῆς τάσεως, εἰ μὲν μηδεὶς ἄλλος ταθείη μῦς, ἀλλ' ἀργοὶ μένοιεν ἅπαντες, ᾗ τὸ βάρος αὐτὴν ἄγει, ταύτῃ κατενεχθήσεται. εἰ δέ τις ἄλλος ταθείη μῦς, ἵνα περ ἐκεῖνος ἕλκῃ, ταύτῃ κινηθήσεται. δῆλον οὖν, ὡς ἐν τῷ τεταμένην φυλάττειν τὴν χεῖρα, τῶν εἰς τοῦτο αὐτὴν καταστησάντων μυῶν ἡ τάσις διασώζεται. ἆρ' οὖν ἐνεργεῖν μὲν, καὶ τείνεσθαι, κινεῖσθαι δ' αὐτοὺς οὐ λεκτέον; καὶ μὴν εἰ τοῦτ' εὐλαβησόμεθα λέγειν, οὐδ' ἐνεργεῖν αὐτοὺς ῥητέον. ἄτοπον γὰρ ὅτι μὲν ἐνεργοῦσιν ὁμολογεῖν κατὰ τὴν σύμφυτόν τε, καὶ οἰκειοτάτην ἐνέργειαν·

ceſſantibus ab actione, & quandam quietem quàm plurimis agentibus. Dicatur autem priùs de motu; ſed, vt clarior ſermo ſit, recordemur primùm in omni corpore horum duorum motuum, qui quidem inter ſe ſunt affines, ſed non ſimiliter fiunt; vocatur autem alter ipſorum reclinatio, alter decidentia; & reclinare quidem fit voluntariè, decidere autem non ſponte; reclinare igitur muſculorum actione perficitur, & ideò opus eſt ſpontaneum animalis; decidere autem non eſt opus, ſed affectus præter voluntatem, & muſculo nullo agente indiget: ſufficit enim ſolum omnes muſculos à tenſione quieſcere permittentes grauitati corporis, quò vergat, ferri. Hac quidem ratione decidere & reclinare differunt; eadémque & deorſum ferri manum, & demitti. Deorſum enim fertur ceſſantibus muſculis omnibus, qui in ea ſunt, & corporibus ab innata grauitate deorſum tractis; demittitur autem, muſculis, quæ in ala ſunt, ad ſe ipſos trahentibus brachium. Tertius igitur hic motus inuentus eſt muſculorum præter duos antea dictos; illorum enim alter, ſecundum quem agunt, in ſe ipſos erat contractio, alter verò, ſecundum quem ceſſant, dum ab oppoſitis muſculis extenduntur, non erat quidem ipſis inſitus, ſed ſecundum aliquod accidens factus erat; at qui nunc inuentus eſt, nulla in re illis ſimilis eſt, neque enim in ipſo contrahitur neque extenditur vllus muſculus: Nunquid igitur, nec penitus mouetur? atqui fieri non poteſt, vt quum totum membrum deorſum feratur, muſculus, qui eſt pars membri, immobilis maneat, quare mouetur quidem tunc, non tamen extenditur, neque contrahitur. Quis igitur modus ipſi motus? qualis videlicet & oſſibus, neque enim hæc extenſa, & contracta ſimul circunferuntur cum membris, ſed ita mouentur, ac ſi aliquod inanime corpus ipſis alligares. Quoniam igitur ex motibus contractio quidem muſculi eſt tanquam inſtrumenti animæ actio; extenſio autem tanquam inſtrumenti quidem, non tamen actio, ſed ſimpliciter motus, qui modò propoſitus eſt tertius motus, neque vt viuentibus quidem muſculis ineſt omninò, ſed vt inanimatis, ac penitus ex ſe ipſis immobilibus. Ad reliquum, & quartum motum tranſgreſſi conſideremus etiam modum ipſius, qui oppoſitus quodam modo tertio eſſe videtur. Tertio enim modo motus, muſculi demonſtrati ſunt quieſcere, quamuis moueantur; quarto autem demonſtrabuntur agere, quamuis moueri nequaquam videantur. Fingamus enim manum ſurſum tenſam eſſe, & deinde in hac figura ſeruari; poſt interrogemus iterum nos ipſos, cur iam non deorſum feratur grauitate vergens; ac deinde reſpondeamus, quòd muſculorum eleuantium ipſam tenſio permanet, prius igitur quàm hæc exoluatur perfectè, non eſt poſſibile manum tranſmoueri, ceſſantibus tamen à tenſione, ſi nullus alius muſculus tendatur, ſed omnes quieſcant, quò grauitas eam ducit, eò deferetur: ſi autem aliquis alius muſculus tenſus, quò ille trahet, illuc mouebitur. Manifeſtum igitur, quòd dum manus tenſa ſeruatur, tenſio muſculorum, qui ipſam conſtituerunt in eo ſtatu conſeruatur. Nunquid igitur dicendum eſt, eos agere quidem & tendi, ſed non moueri? Atqui, ſi hoc verebimur dicere, non agere quidem eos dicendum, abſurdum enim eſt fateri eos agere ſecundum innatam, & maximè propriam actionem; moueri

moueri autem eos negare. Atqui non apparent moueri, cur igitur non oportet etiam contraria ponere, etiam si quàm maximè ardua, & distinctu difficilis eorum sit pugna? Si enim argumentandi cupidi in contraria argueremus, malè faceremus; quum autem non simus de numero eorum, qui ideò mouent dubitationes, vt nihil inueniatur, sed de iis potiùs, qui vndique diligenter idcircò considerant, vt exactè inueniatur, oportet alacriter omne, quod in controuersiam venit, in medium proferre, nihil formidantes. Quia namque musculi agunt, ideò eos moueri dicimus; quia verò nec totum membrum, cuius pars sunt, neque ipsi singillatim apparent moueri, propter hoc rursus non audemus fateri eos moueri. Quam igitur quispiam solutionem dubitationis inueniat? vtrum eam, quam afferunt, qui supponunt motus tonicos appellatos, an aliquam aliam meliorem? An ne de hoc quidem temerè pronunciemus priùs, quàm accuratè considerauerimus, quidnam tandem dicant? mihi multò quidem melius ei videtur esse.

A ὅτι δὲ κινοῦνται, οὐκέθ' ὁμολογεῖν, καὶ μὴν οὐ φαίνονται κινούμενοι. τί γὰρ καὶ οὐ χρὴ τὰ ἐναντία τιθέναι, κἂν ὅτι μάλιστα χαλεπὴ, καὶ δυσδιαίρετος αὐτῶν ἡ μάχη γίνεται; εἰ μὲν γὰρ ἀπορίας ἐρῶντες, ἐπεχειροῦμεν εἰς τἀναντία, κακῶς ἂν ἐδρῶμεν. ἐπεὶ δὲ οὐ τῶν, ἵνα μηδὲν εὑρεθῇ, διὰ τοῦτο ἀπορίας ἐσμὲν κινούντων, ἀλλὰ τῶν, ἵν' ἀκριβῶς εὑρεθῇ, διὰ τοῦτο πανταχόσε περισκεπτομένων ἑτοίμως, χρὴ πᾶν τὸ ἀντίπιπτον εἰς τὸ μέσον ἐκφέρειν, μηδὲν ὑποστελλομένους. διότι μὲν γὰρ ἐνεργοῦσιν οἱ μύες, διὰ τοῦτ' αὐτοὺς κινεῖσθαι λέγομεν. διότι δ' οὔθ' B ὅλον τὸ κῶλον, οὗ μέρος εἰσὶν, οὔτ' αὐτοὶ κατὰ μόνας φαίνονται κινούμενοι, διὰ τοῦτ' αὐτοὺς πάλιν οὐ τολμῶμεν ὁμολογεῖν κινεῖσθαι. τίνα οὖν ἄν τις λύσιν ἐφεύροι τῆς ἀπορίας; πότερον ἣν οἱ τὰς τονικὰς καλουμένας ὑποθέμενοι κινήσεις, ἤ τινα ἑτέραν βελτίονα, ἢ μηδὲ περὶ τούτου προπετῶς ἀποφαινόμεθα, πρὶν ἀκριβῶς διασκέψασθαι, τί ποτε καὶ λέγουσιν. ἐμοὶ μὲν πολὺ τοῦτο δοκεῖ βέλτιον εἶναι.

CAPVT VIII.

De Motu tonico, ac quo pacto contractio fit corporis musculi, & animalis facultatis.

ATque iam ita agamus, & primum (vt certè illi docent) sic sermo procedat. Intelligamus trahi aliquod corpus inanimatum, vt puta lapidem, aut lignum, ab aliquo; rursus consideremus ab altero quodam ad contraria hoc idem iterum retrahi, vincere tamen robore priorem tractum, & propter hoc sequi illum corpus, multò autem minus, quàm si à nullo in contrarium traheretur; tertiam autem constitutionem huiusce-modi corpori afferamus, quando videlicet æquis viribus in contraria tenditur. Non igitur prima quidem constitutio mouit ipsum vno motu, quantò vires mouentis poterant, & in tantam coëgit distantiam progredi, in quantam id, quod mouet, potuit ducere; secunda autem tantò minorem distantiam priore effecit, quantò alterum mouentium in contrarium attraxit id quod mouetur; tertia constitutio, quantum alter motuum trahebat prorsum, tantum alter retrahens retrorsum in eodem loco corpus manere coëgit, non vt penitus immobile. Manet enim & hoc in eodem perpetuò, sed non similiter illi; hoc quia nequaquam mouetur; illud, quia dupliciter, velut qui aduersus cursum fluuij natat. Hic enim, si viribus æqualis sit vehementiæ cursus, in eodem semper permanet loco, non tanquam is, qui nullo pacto mouetur, sed prorsum proprio motu fertur tantum, quantum externo retrorsum rapitur. Nihil autem obfuerit rem ita obscuram pluribus exemplis explicari. Sit aliqua auis in sublimi, quæ in eodem loco manere videatur; vtrum dicendum est hanc immobilem esse, ceu si suspensa supernè fuerit, an moueri ad superiora tantum, quantum grauitas corporis eam deorsum duxerit? Mihi sanè hoc verius esse videtur; nam si ipsam priuaueris anima, vel vigore musculorum, celeriter ad terram deferri cernes; quò manifestum connatam lationem grauitati corporis deorsum, æqualem ad superiora lationi, vigore animi esse. Vtrum igitur in

C

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς τονικῆς κινήσεως, καὶ πῶς ἡ συστολὴ ἀπὸ τοῦ σώματος τοῦ μυὸς, καὶ ἀπὸ τῆς ψυχικῆς δυνάμεως γίνεται.

ΚΑὶ δὴ ποιῶμεν οὕτως, καὶ πρῶτον μὲν, ὥσπερ ἐκεῖνοι διδάσκουσιν ὁ λόγος προΐτω. νοήσωμεν ἕλκεσθαί τι σῶμα τῶν ἀψύχων, οἷον ξύλον, ἢ λίθον ὑπό του, αὖθις δ' αὖ νοήσωμεν ὑφ' ἑτέρου τινὸς ἐπὶ τἀναντία ταὐτὸ τοῦτο πάλιν ἀντισπᾶσθαι, κρατεῖν μέντοι τῇ ῥώμῃ τὴν προτέραν ὁλκὴν, καὶ διὰ τοῦθ' ἕπεσθαι μὲν ἐκείνῃ τὸ σῶμα. πολὺ δ' ἧττον, ἢ εἰ πρὸς D μηδενὸς ἀνθείλκετο. τρίτην δὴ κατάστασιν τῷ τοιούτῳ σώματι προσφέρωμεν, ὅταν ἰσοσθενῶς εἰς τἀναντία τείνηται. οὐκοῦν ἡ μὲν πρώτη κατάστασις ἐκίνησεν αὐτὸ μίαν κίνησιν, ὅσην ἡ τοῦ κινοῦντος ἰσχὺς ἠδύνατο, καὶ εἰς τοσαύτην ἠνάγκασε προελθεῖν διάστασιν, εἰς ὅσην οἷόν τ' ἦν ἄγειν τὸ κινοῦν. ἡ δὲ δευτέρα, τοσοῦτον ἐλάττονα τῆς πρόσθεν τὴν διάστασιν ἀπέδειξεν, ὅσον θάτερον τῶν κινούντων εἰς τὸ ἐναντίον ἀπέσπασε τὸ κινούμενον. ἡ δὲ τρίτη κατάστασις, ὅσον ἡ ἑτέρα τῶν κινήσεων εἷλκε πρόσω, τοσοῦτον ἀντισπώσης εἰς τοὐπίσω τῆς ἑτέρας, ἐν ταὐτῷ τόπῳ τὸ σῶμα μένειν ἠνάγκασεν, οὐχ ὡς τὸ παντελῶς E ἀκίνητον. μένει γὰρ καὶ τοῦτ' ἐν ταὐτῷ διὰ παντὸς, ἀλλ' οὐχ ὁμοίως ἐκείνῳ. τὸ μὲν γὰρ ὅτι μηδ' ὅλως κινεῖται, τὸ δὲ ὅτι διττῶς, ὥσπερ καὶ ὁ πρὸς ῥοῦν ποταμῶν νήχων ἐναντίως. καὶ γὰρ οὗτος, ἐὰν ἰσοσθενὴς εἴη τῇ τοῦ ῥοῦ σφοδρότητι, κατὰ τὸν αὐτὸν ἀεὶ διαμένει τόπον. οὐχ ὡς μηδ' ὅλως κινούμενος, ἀλλ' ὅτι πρόσω τοσοῦτον ὑπὸ τῆς οἰκείας διαφέρεται κινήσεως, ὅσον ὑπὸ τοῦ ἔξωθεν ὀπίσω φέρεται. οὐδὲν δὲ χεῖρον, οὕτω σαφὲς πρᾶγμα διὰ πλειόνων ἐξετάζεσθαι παραδειγμάτων. ἔστω τις ὑψηλὸς ὄρνις ἐν ταὐτῷ τόπῳ φαινόμενος μένειν, πότερον ἀκίνητον εἶναι τοῦτο λεκτέον, ὥσπερ εἰ καὶ κρεμάμενος ἄνωθεν ἔτυχεν, ἢ κινεῖσθαι F τὴν ἐπὶ τὰ ἄνω κίνησιν εἰς τοσοῦτον, εἰς ὅσον ἦγαγεν αὐτὸν κάτω τὸ τοῦ σώματος βάρος. ἐμοὶ μὲν τοῦτο ἀληθέστερον εἶναι δοκεῖ. στερήσας γοῦν αὐτὸν τῆς ψυχῆς, ἢ τοῦ τῶν μυῶν τόνου, ταχέως ἐπὶ τὴν γῆν ὄψει καταφερόμενον. ᾧ δῆλον, ὅτι τὴν σύμφυτον τῷ τοῦ σώματος βάρει κάτω ῥοπὴν, εἰς ἴσον ἀντεσήκου τῇ κατὰ τὸν τῆς ψυχῆς τόνον ἄνω φορᾷ. πότερον οὖν ἐν

ταῖς τοιαύταις ἁπάσαις καταστάσεσι, ποτὲ μὲν κάτω, ποτὲ δὲ ἄνω τὸ σῶμα φέρεται τἀναντία πάσχον ἐν μέρει, διὰ δὲ τὸ ταχείας τε, καὶ ὀξυῤῥόπους γίνεσθαι τὰς μεταβολὰς, καὶ κατὰ βραχυτάτων διαστημάτων φέρεσθαι τὰς κινήσεις, ἐν ταὐτῷ φαίνεται τόπῳ μένειν, ἢ ὄντως ἕνα διὰ παντὸς τοῦ χρόνου κατέχει τόπον, οὐ τοῦ παρόντος καιροῦ διελθεῖν· ἐν γὰρ τοῖς φυσικοῖς περὶ κινήσεως λόγοις, τὰ τοιαῦτα ἐρευνᾶσθαι δικαιότερον· ἀλλ' ἀρκεῖ πρός γε τὰ παρόντα τοῦτο ἐξευρῆσθαι, τὸ γίνεσθαί τι, καὶ τοιοῦτον εἶδος ἐνεργείας, ὃ καλεῖν μὲν, εἴτε τονικὸν, εἴτ' ἄλλως ὡς ἂν ἐθέλῃς, οὐ διοίσει. γινώσκειν δ' οἷόν ἐστι, κάλλιον ὑπὲρ τοῦ μὴ δοκεῖν ἀργοὺς εἶναι τοὺς μῦς, ἀνατεταμένης τῆς χειρός. τέτταρες οὖν αἱ πᾶσαι διαφοραὶ τῶν κατὰ τοὺς μῦς εἰσι κινήσεων. ἢ γὰρ συστέλλονται, ἢ ἐπεκτείνονται, ἢ μεταφέρονται, ἢ τεταμένοι μένουσιν. ἔστι δὲ τοῦ αὐτοῦ γένους ἡ τετάρτη διαφορὰ τῇ πρώτῃ, ἀμφότεραι γὰρ ἐνέργειαι μυός. ἐπεὶ δὲ τὸν νεκρὸν μῦν, ᾧ μηκέτι μέτεστι τοῦ ψυχικοῦ τόνου, διατεμόντες ἐγκάρσιον ὅλον, ἐπὶ τὰ πέρατα συνελκόμενον ὁρῶμεν, δόξειεν ἂν οὐκ ἀλόγως ἔργον τῆς τοῦ σώματος αὐτοῦ κατασκευῆς τοῦθ' ὑπάρχειν. καὶ μὴν εἰ τὸ σῶμα τοῦ μυὸς εἰς αὑτὸ συνέλκεσθαι πέφυκε, τίς ἔτι χρεία τῆς ψυχικῆς δυνάμεως κινούσης αὐτὸν, εἰ μή τι πρὸς τὸ παραχωρεῖν ἀλλήλοις τῶν κινήσεων τοὺς μῦς; ἡ παρὰ τῆς ψυχῆς δύναμις χρήσιμος. εἰ γὰρ ὃ ποιεῖν ἑκάτερος ἐπεφύκει, τοῦτ' ἔδρα διὰ παντὸς, οὐδὲν ἂν ἐκώλυε παθήματι τῷ καλουμένῳ τετάνῳ συνέχεσθαι τὸ σῶμα. τί γὰρ ἄλλο ἐστὶ τέτανος, ἢ ὅταν εἰς τἀναντία πρὸς τῶν ἀντιτεταγμένων μυῶν ἀκουσίως ἀντισπᾶται τὰ μόρια; τοῦ δὲ μὴ γίνεσθαι τοῦτο, τὴν τῆς ψυχῆς ἴσως ἄν τις αἰτιάσαιτο δύναμιν. καὶ φαίη κελεῦσαι τοῖς μυσὶν ἄγειν σχολὴν, ὅταν τοὺς ἀντικειμένους αὐτῷ δέῃ κινεῖσθαι, ἀλλ' εἰ τοῦθ' ὁμολογήσαιμεν, πρῶτον μὲν τοὐναντία τοῖς πρόσθεν ἐροῦμεν. οὐ γὰρ ἔτι τὸ κινεῖσθαι τοῖς μυσὶ παρὰ τοῦ ψυχικοῦ τόνου δώσομεν, ἀλλὰ τὸ μὴ κινεῖσθαι. πολλά τε τῶν φαινομένων κατ' αὐτοὺς ἕξομεν ἐναντιούμενα. καὶ πρῶτόν γε, καὶ μέγιστον, τὸ τοῦ καθήκοντος εἰς τὸν ἐντὸς μῦν νεύρου τμηθέντος, ἐκτεινόμενον αὐτίκα τὸν μῦν ἐκεῖνον ὁρᾶσθαι, καὶ διὰ παντὸς ἐν τούτῳ μένοντα. χρὴ γὰρ εἴπερ ἡ μὲν συστολὴ σύμφυτος αὐτοῦ τῷ σώματι, τὸ δὲ, ἐκτείνεσθαι τῆς ψυχῆς κελευούσης ἐγίνετο, τὴν ἔκτασιν ἀπόλλυσθαι μᾶλλον, ἢ τὴν συστολήν, ἡνίκα πρὸς τὴν ἀρχὴν κοινωνίας ἀπέσχισται μῦν τμηθέντα. νυνὶ δ' ἔμπαλιν ἔχει, συστέλλεται μὲν, οὗ τὸ νεῦρον ἄτμητον, ὁ δ' ἐναντίως ἐκτείνεται. ἐχρῆν δὲ, οὐ μόνον τοῦ τμηθέντος τὸ νεῦρον ἀπόλλυσθαι τὴν ἔκτασιν, ἀλλὰ καὶ τοῦ μὴ τμηθέντος ἄμφω διασώζεσθαι τήν τ' ἔκτασιν, καὶ τὴν συστολήν. εἴπερ γε τὸ μὲν ἐκτείνεσθαι παρὰ τοῦ νεύρου, τὸ δὲ συστέλλεσθαι παρ' ἑαυτῶν ἔχουσιν οἱ μύες. τίνα οὖν καὶ ταύτης τῆς ἀπορίας ἕξομεν λύσιν; ἐξ αὐτῆς τῶν πραγμάτων τῆς διαφορᾶς χρὴ κἀνταῦθα τὸ διάφορον εὑρεῖν, τῆς τε τοῦ σώματος τῶν μυῶν κινήσεως, καὶ τῆς χρωμένης αὐτῶν δυνάμεως. τίς οὖν ἡ διαφορὰ τμηθέντος τοῦ ἔξω μυὸς, ἢ τένοντος, κάμπτεσθαι παραχρῆμα τὸ μόριον, κἂν μὴ προαιρούμεθα κάμπτειν αὐτὸ ὑπό τινος καμφθέν. οὐδὲ γὰρ τοῦτο χρὴ παραδραμεῖν, ὑπὸ τοῦ σώματος αὐτοῦ δηλονότι τῶν ἐντὸς μυῶν εἰς ἑαυτοὺς πεφυκότων συντρέχειν. εἰ γὰρ οὐ τῆς ἡμετέρας ὁρμῆς ἡ κάμψις τοῦ μορίου, πῶς ἂν ὑπὸ τῆς ψυχικῆς γίνεσθαι λέγοιτ' ἂν δυνάμεως; ἵν' οὖν γνῷς, τίς ἐστιν ἡ τῆς δυνάμεως ἴδιος κίνησις,

omnibus huiuſmodi conſtitutionibus, aliàs deorſum, aliàs ſurſum corpus feratur contraria viciſſim patiens, quòd autem celeres, & momentaneæ fiunt mutationes, & motus in breuiſſimis ſpatiis ferantur, in eodem loco manere videatur, an verè vnum locum perpetuò obtineat, non eſt præſentis temporis diſſerere, nam in naturalibus de motu diſputationibus eiuſmodi ſcrutari eſt æquius: ſed ſufficit in præſenti hoc inuentum eſſe, quòd ea actionis ſpecies fiat, quam ſiue tonicam, ſiue aliter appellare velis, nihil intererit, quam cognoſcere cuiuſmodi ſit, eſt ſatius, ne muſculi videantur eſſe otioſi, quum manus ſurſum eſt tenſa. Quatuor igitur omninò doctrinæ motuum ſunt in muſculis; nam aut contrahuntur, aut extenduntur, aut transferuntur, aut tenſi manent: eſt autem eiuſdem generis quarta doctrina cum prima, ambæ enim actiones muſculi ſunt. Quum autem muſculum mortuum, qui non eſt amplius particeps animalis vigoris, totum incidentes per tranſuerſum, ad ſuos fines contrahi conſpiciamus, videbitur vtique non immeritò hoc eſſe officium conſtitutionis corporis ipſius. Atqui, ſi corpus muſculi in ſe ipſum contrahi natum eſt, quis vſus adhuc erit animalis facultatis ipſum mouentis, niſi ad hoc, vt muſculi mutuò motibus cedant? Nam ſi quod vterque facere natus erat, id ageret perpetuò, nihil certè prohiberet corpus obnoxium ſemper eſſe affectui, qui tetanus nuncupatur; quid enim aliud tetanus eſt, quàm quum partes inuitæ in contraria retrahantur à muſculis oppoſitis? Vt autem id non fiat, aliquis fortè facultatem animæ cauſetur; dicátque iubere ipſam muſculis ocium agere, cum oppoſitos ipſis moueri oporteat. Verùm, ſi id fatebimur, primùm quidem contraria iis, quæ antea dicta ſunt, dicemus: non enim amplius muſculos moueri ab animali vigore, ſed potius non moueri concedemus; tum multa, quæ in ipſis apparent, habebimus ſibi ipſis aduerſantia. Primum ſanè, & maximum, quòd neruo perueniente ad muſculum, qui intus eſt, abſciſſo, ſtatim muſculus ille extenſus videtur, ac ſemper in extenſione manere. Oportet enim, ſi modò contractio quidem connata eſt eius corpori, extenſio autem anima iubente fiebat, extenſionem perire potius, quàm contractionem, quando is, cui neruus abſciſſus eſt, muſculus à communione cum principio eſt ſeiunctus: nunc verò contrario modo ſe habet, contrahitur ſiquidem ille, cui non eſt abſciſſus neruus, qui autem illi eſt contrarius, extenditur. Oportebat autem non ſolum eius, cui neruus abſciſſus eſt, extenſionem perire, ſed & eius cui non eſt abſciſſus, ambo conſeruari, & extenſionem, & contractionem; ſi modò extendi quidem à neruo, contrahi verò à ſe ipſis, muſculi habent. Quomodo igitur & huius dubitationis ſolutionem habebimus? Ex ipſa rerum diuerſitate oportet, & hîc diſcrimen inuenire, & motus corporis muſculorum, & facultatis, quæ ipſis vtitur. Quod igitur eſt diſcrimen? Abſciſſo muſculo externo, aut tendone ſtatim partem flecti, tametſi flectere ipſam nolimus. At à quo flectitur? (neque enim id præterire oportet) ab ipſo ſcilicet muſculorum internorum corpore in ſe ipſum natura confidente. Quòd ſi flexio partis non eſt voluntatis noſtræ, quonam pacto fieri dicatur ab animali facultate? Vt igitur diſcas, quis ſit facultatis proprius motus,

iubeto hominem conari partem læsam impensiùs flectere, videbis sanè euidenter ipsam flecti. Rursus iubeto exoluere voluntarium motum flectendi, videbis certè iterum eam extendi, quousque primam flexionem resumat, ad quam deducta est absque voluntario conatu. Ex his enim, quæ apparent, euidenter intelligi potest, quòd in exactam, & perfectam flexionem nunquam corpus musculi ex se ipso peruenire posset, nisi ab animali facultate adiuuaretur. Frustra igitur fortè quispiam dicet, corpus musculorum eâ naturâ, vt contrahi possit, factum esse, quum ab anima id ipsum perfectiùs, ac meliùs efficiat. Sed, qui hoc dicet, vnus ex iis est, qui de nullo pronunciare, sed de omnibus dubitare, vt ipsi loquuntur, solent; quem libenter percunctarer, an partem, quæ nata est extendi, putet aptissimum instrumentum potentiæ, cuius officium est cogere, an contra. Equidem ne excogitare quidem possum, quonam pacto quis instrumentum ineptius ad motum construxisset, quàm si ipsum ad contraria voluntati mouentis vergẽs fecisset; quòd si hoc est ineptum, contrarium profectò est aptissimum, omne quod ex se ipso inclinat, quò moturum velit. Quum igitur facultas animalis festinet musculum ad proprium principium trahere, structura ad hoc apta ipsi fuit. Hoc quidem tale est.

A κάμπτειν ἐπὶ πλέον τοῦ ἔμπροσθεν πειρᾶσθαι, κέλευσον δὲ κεκοιλωμένον μόριον. ὄψει γὰρ ἐναργῶς αὐτὸ καμπτόμενον. αὖθις οὖν ἐκλῦσαι τὴν τοῦ κάμπτειν ὁρμὴν κέλευσον, ὄψει γὰρ αὐτὸ πάλιν ἐκτεινόμενον μέχρι τοῦ τὴν πρότερον ἀπολαβεῖν καμπὴν, εἰς ἣν ἠνέχθη χωρὶς ὁρμῆς. ἐκ γὰρ τούτων τῶν φαινομένων ἐναργῶς ἔστι μαθεῖν, ὡς εἰς ἀκριβῆ καὶ τελείαν καμπὴν, οὐκ ἄν ποτε ἀφίκοιτ᾽ ἐξ αὐτοῦ σῶμα τοῦ μυὸς, μὴ βοηθούμενον ὑπὸ τῆς ψυχικῆς δυνάμεως. μάτην οὖν φήσει τις ἴσως, τὸ φύσιν ἔχον συστέλλεσθαι τὸ σῶμα τῶν μυῶν ἐγένετο ἀπὸ τῆς ψυχῆς τελεώτερον αὐτὸ, καὶ κάλλιον B ἐργαζομένης. ὁ δὴ τοῦτ᾽ ἐρῶν, εἷς τίς ἐστι τῶν τῆς ἀπειρίας τε καὶ ἀοριστίας, ὡς αὐτοὶ καλοῦσιν ἐραστῶν, ὃν ἡδέως ἂν ἐροίμην, εἰ τὸ πεφυκὸς ἐκτείνεσθαι δὴ μόριον, ἐπιτηδειότατον ὄργανον ἡγεῖται τῆς συνάγειν ἔργον ἐχούσης δυνάμεως, ἢ τὸ ἐναντίον. ἐγὼ μὲν γὰρ, οὐδ᾽ ἐπινοῆσαι εὑρεῖν, πῶς ἀφυέστερον εἰς κίνησιν ὄργανόν τις κατεσκεύασεν, ἢ εἰ πρὸς τἀναντία ῥέπον αὐτὸ τῆς τοῦ κινοῦντος ὁρμῆς ἐποίησεν. εἰ δὲ τοῦτ᾽ ἀφυὲς, τοὐναντίον ἅπαν τὸ νεῦον ἐξ ἑαυτοῦ, πρὸς ὃ τὸ κινῆσον βούλεται, εὐφυέστατον. τῆς οὖν ψυχικῆς δυνάμεως ἕλκειν ἐπὶ τὴν ἰδίαν ἀρχὴν τὸν μῦν σπευδούσης, ἡ κατασκευὴ πρὸς τοῦτ᾽ ἐπιτήδειος C αὐτῷ γέγονε. τοῦτο μὲν τοιοῦτόν ἐστιν.

CAPVT IX.

Cur contractio corporis musculi magis propria dicatur esse, quàm extensio; ac de Symptomatis, quæ in contractione, & extensione musculorum apparent.

Illud verò quis iustiùs quærat dubitétque, curnam omninò proprium motum dixerimus esse corpori musculi, extremam contractionem, quum & post perfectam extensionem contrahatur, & post extremam contractionem extendatur? Aut enim neutrum ipsi motum proprium esse dicendum, sed casu aliquo fieri; aut vtrosque similiter proprios esse existimandum est. An quòd pluriinùm quidem recedit à perfecta extensione, parum verò à perfecta contractione, idcirco magis propria ei contractio putanda est: Quum enim duo sint (vt sic dixerit aliquis) in figuris excessus, videlicet summa extensio, & perfecta contractio; si non magis proprium esset corpori musculi contrahi, quàm extendi; mediam amborum figuram exactè sumeret, sempérque ad eam dimissus tenderet; nunc verò non apparet, accedit enim propiùs ad perfectam membri flexionem, quàm extensionem. Verùm, si hoc concedatur, ac dicatur, vt sanè æquum est concedi, & dici (apparet enim ita habere,) adhuc videtur mihi considerandum esse, cur extrema flexione membri voluntaria facta, quum ipsam soluerimus, parum discedere musculus appareat, paulatimque quodammodo extendi; id enim haudquaquam erat necesse, siquidem natura ipsius corporis ad contractionem vergit. Quas verò ad hoc rationes adducere possimus, in medio ponatur considerandum veritatis amatoribus; vt si quidem rectè demonstrauerimus, neque ipsi falli appareant, totum iam propositum inuentum esse dicamus, sin id minus, saltem, quum plurima quidem partim iam inuenerimus, partim verò alia diligenter simus perscrutati, alius quis, & alius, quòd deest, inueniat. Vt autem futurus sermo sit dilucidus, aliqua similitudine est opus, quam non modò intelligere potes,

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Διὰ τί ἡ συστολὴ ἰδία τῷ σώματι τοῦ μυὸς λέγεται ἢ ἔκτασις, καὶ περὶ τῶν ἐν τῇ συστολῇ, καὶ τῇ ἐκτάσει τῶν μυῶν, φαινομένων συμπτωμάτων.

Ἐκεῖνο δ᾽ ἄν τις εὐλογώτερον ζητήσειέ τε, καὶ ἀπορήσειε, τί δή ποθ᾽ ὅλως ἰδίαν ἔφαμεν εἶναι κίνησιν τῷ σώματι τοῦ μυὸς, ἐσχάτην τὴν συστολὴν, εἴ γε καὶ μετὰ τὴν τελείαν ἔκτασιν συστέλλεται, καὶ μετὰ τὴν τελείαν συστολὴν ἐκ- D τείνεται; ἢ γὰρ οὐδ᾽ ἑτέραν αὐτῷ κίνησιν οἰκείαν εἶναι λεκτέον. ἀλλὰ κατά τι σύμπτωμα γίνεσθαι, ἢ ἀμφοτέρας ὁμοίως οἰκείας ὑπάρχειν ἡγητέον, ἢ ὅτι πλεῖστον μὲν ἀποχωρεῖ τῆς τελείας ἐκτάσεως, ὀλίγον δὲ τῆς τελείας συστολῆς, διὰ τοῦτο οἰκειοτέραν αὐτοῦ τὴν συστολὴν ἡγητέον. ὄντων γὰρ δυοῖν ὑπερβολικῶν, ὡς ἂν εἴποι τις, σχημάτων ἄκρας ἐκτάσεως, καὶ τελείας συστολῆς, εἰ μηδὲν μᾶλλον οἰκεῖον ἦν τῷ σώματι τοῦ μυὸς τὸ συστέλλεσθαι τοῦ ἐκτείνεσθαι, τὸ μέσον ἀκριβῶς ἀμφοῖν ἐλάμβανε σχῆμα. καὶ διὰ E παντὸς εἰς τοῦτ᾽ ἤρχετ᾽ ἂν ἀφεθεὶς, νυνὶ δ᾽ οὐ φαίνεται. προσέρχεται γὰρ ἐγγύτερον τῆς τελείας τοῦ κώλου κάμψεως, ἤπερ τῆς ἐκτάσεως. ἀλλὰ κἂν τοῦτο δοθῇ τε καὶ ῥηθῇ, ὥσπερ οὖν δίκαιον δίδοσθαι ταὐτὸ καὶ λέγεσθαι, φαίνεται γὰρ οὕτως ἔχον. ἔτι μοι δοκεῖ σκεπτέον εἶναι, τί δή ποτε τῆς ἐσχάτης καμπῆς τῷ κώλῳ γινομένης καθ᾽ ὁρμὴν, ἐπειδὰν ἐκλύσωμεν ταύτην, ὀλίγον ἀποχωρῶν ὁ μῦς φαίνεται, καὶ πρὸς βραχύ πως ἐκτεινόμενος. ἐχρῆν γὰρ μηδ᾽ ὅλως, εἴπερ ἡ τοῦ σώματος αὐτοῦ φύσις ἐπὶ τῷ συστέλλεσθαι ῥέπει. τινῶν οὖν εἰς τοῦτο λογισμῶν εὐπορήσομεν, ἐν μέσῳ κείσθω σκο- F πεῖν τῆς ἀληθείας ἐρασταῖς. ἵν᾽ εἰ μὲν ἀποδεικνύντες ὀρθῶς τε μηδαμῶς σφαλλόμενοι φαίνοιντο, πᾶν ἤδη τὸ προτεθὲν εὑρῆσθαι λέγωμεν. εἰ δὲ μὴ, ἀλλὰ τῶν γε πλείστων, τῶν μὲν εὑρημένων ἤδη, τῶν δ᾽ ἐμμελῶς ἠπορημένων, ἄλλος τις καὶ ἄλλος τὸ λοιπὸν ἐξεύρῃ. ἵνα δὲ ὁ μέλλων λόγος ᾖ μοι σαφὴς, δέομαί τινος εἰκόνος, ἣν οὐ μόνον σοι νοῆσαι δυνατὸν,

ἀλλὰ καὶ κατασκευάσαι βουληθέντι. δύο γὰρ ὀστᾶ λαβὼν οὗ βούλει ζώου, κατ' ἄρθρον ἀλλήλοις συμβάλλοντα δύο σειρὰς ἐκ νεύρων πλειόνων πλεξάμενος, ἤτοι κατακόλλησον ἀκριβῶς, πρὸς οἷς ἂν ἐγὼ κελεύσω μέρεσι τῶν ὀστῶν, ἢ προσδῆσον. κελεύω δὲ κολλᾷν, ἢ προσδεῖν, ἵνα περ οἱ μύες τοῖς ὀστοῖς ἐνεφύοντο. διττοῦ δὲ ὄντος τρόπου τῆς ἐμφύσεως ἅπασι τοῖς μυσὶν, οὐδὲν χεῖρον, ἑκάτερον αὐτῶν μιμήσασθαι διὰ τῆς εἰκόνος. ἐγχειρητέον οὖν σαφῶς ἑρμηνεῦσαι τὸν διττὸν τοῦτον τρόπον. οὐδὲ γὰρ ὀρθῶς ἄν τις αὐτὸν μιμήσαιτο, μὴ ἀκριβῶς ἐκμαθών. ἀρχὴ δ' ἂν ἥδε γίγνοιτο τῷ λόγῳ δικαιοτάτη, τῶν συμβαλλόντων ἀλλήλοις ὀστῶν, ἵν' ἄρθρον γένηται. τὸ μὲν ἕτερον αὐτῶν ἐστι, τὸ κινούμενον, θάτερον δὲ οἷον ἕδρα τις ὑπηρεῖσθαι τῷ κινουμένῳ, καθάπερ ὁρᾷς τοὺς τῶν θυρῶν στρόφιγγας ἔχοντας, ὥστ' ἐξ ἀνάγκης τῷ μένοντι μὲν ἡ κοιλότης, τῷ κινουμένῳ δ' ἡ κυρτότης ὑπῆρξε. καλεῖται δ' ἡ μὲν κοιλότης, κοτύλη τε καὶ γλήνη. ἡ δ' αὖ κυρτότης, κεφαλή τε καὶ κόνδυλος. τοσοῦτον δ' ἡ κοτύλη τῆς γλήνης βαθυτέρα, ὅσον ἡ κεφαλὴ τοῦ κονδύλου προμηκεστέρα. ἑκάτερον γὰρ ἑκατέρῳ, καθάπερ στρόφιγγι χώραν ἐπιτηδείαν ἡ φύσις παρεσκεύασεν. ἐπεὶ δὲ οὕτω καλῶς εἶχε τὰ κινησόμενα, πολὺ κάλλιον αὐτῆς ἔτι καὶ τεχνικώτερον συνῆψε τὰ κινήσοντα. τὰ γὰρ τῶν κινήσεων ὄργανα, τοὺς μῦς ἐξέφυσε μὲν τῶν ὑπερκειμένων ὀστῶν, ἐν οἷς αἱ κοτύλαι. κατέφυσε δὲ εἰς τὰς κεφαλὰς τῶν ὑποκειμένων, ἅπερ ἔμελλε κινεῖσθαι. καὶ διὰ τούτων ἐκτεινομένων ἀνασπωμένων τῶν κεφαλῶν, συναναςπᾶσθαι πᾶν τὸ κῶλον. ἐπεὶ δὲ ὁ μὲν αὐτῶν μεῖζον, ὁ δὲ ἔλαττον ὀστοῦν ἔμελλε κινήσειν, ἀνάλογον τοῖς ὄγκοις τῶν κινηθησομένων ὀστῶν, τὸ μέγεθος τῶν κινησόντων ἐδημιούργησε μυῶν, ὥστε εὐλόγως οἱ μὲν ἐξ αὐτῶν τῶν κεφαλῶν, ἢ κονδύλων τῶν ὑπερκειμένων ὀστῶν ἐξέφυσαν. οἱ δὲ μικρὸν τούτων κατωτέρω, πλησίον τῆς κοτύλης, ἢ γλήνης, οὐ πάνυ τι. μικροὶ γὰρ ἂν οὕτω παντάπασιν ἐγίνοντο, καὶ ἀδύνατοι κινεῖν τὸ ὑποκείμενον ὀστοῦν. αὕτη μὲν ἡ φύσις τῶν τ' ἀλλήλοις συνταττομένων ὀστῶν κατ' ἄρθρα, καὶ τῶν κινούντων αὐτὰ μυῶν. μιμήσαιο δ' ἂν αὐτὴν ὀρθῶς εἰ τὴν σειρὰν ἐξάψας θατέρου τῶν ὀστῶν, καθὸ μέρος ὁ μῦς ἐξεφύετο, καθάψῃς αὐτῆς τὸ λοιπὸν πέρας εἰς τὴν κεφαλὴν θατέρου τῶν ὀστῶν. ἵνα περ ὁ μῦς κατεφύετο, δυοῖν τούτοις στοχαζόμενος. ἑτέρου μὲν, τοῦ τὸ πάχος τῆς σειρᾶς ἱκανὸν εἶναι κινεῖν, καὶ ὀχεῖν τὸ ὑποτεταγμένον ὀστοῦν, ἑτέρου δὲ τοῦ κατὰ τὰς ὑπερβολὰς τῶν σχημάτων, μηδ' ὅλως τετάσθαι τὴν σειράν. ἀλλ' οὕτως ἔχειν, ὡς εἰ καὶ κατὰ τῆς γῆς ἔρριπτο μηδενὸς ἐξημμένη. δύο οὖν ἔστωσαν αἱ σειραὶ τὰς χώρας τῶν ἀντιτεταγμένων μυῶν, τῶν ἐκτείνειν καὶ κάμπτειν τὸ κῶλον πεφυκότων κατειληφυῖαι, τηνικαῦθ' ἑκατέρας παντελῶς ἐλευθερουμένης τῆς ἐντάσεως, ἡνίκα ἔσχατον ἔχει τὸ κῶλον σχῆμα. ἡ μὲν ἐκτὸς, ὅταν ἀκριβῶς ἐκτεταμένον ᾖ, ἡ δ' ἐντὸς ἐπειδὰν κεκαμμένον. τούτων ὧδε κατασκευασθέντων, πρόδηλον ὅτι τῶν σειρῶν ἑκατέρα, πρὸς μὲν τῶν ἡμετέρων ἑλκομένη χειρῶν εἰς ἐσχάτην ἔκτασιν, ἢ κάμψιν ἄγει τὴν τῶν ὀστῶν σύνταξιν. αὗται δὲ καθ' ἑαυτὰς ἀφεθεῖσαι, μέσον σχῆμα τῆς τῶν ὀστῶν συνθέσεως ἐνεργήσασαι, τοῦ λοιποῦ μένουσιν ἡσυχάζουσαι. προσέχειν δὲ δεῖ τὸν νοῦν, μὴ παρέργως αὐτῷ τῷ σχήματι. τὸ μέσον γὰρ ἀκριβῶς τοῦτό ἐστιν ἐσχάτης ἐκτάσεως καὶ συστολῆς. εἰ μέντοι τὴν ἑτέραν τῶν σειρῶν ἐπιτέμοις μὲν κατά τι, μὴ διατέμοις δ' ὅλην, βραχὺ παντελῶς ἐπὶ θάτερα τοῦ μέσου σχήματος, μεταστήσεις τῶν ὀστῶν τὴν σύνταξιν.

verùm etiam, si vis, comparare. Duo enim ossa capiens cuiusuis animalis, ad articulum inter se coniuncta, duas catenas ex pluribus neruis connectens, aut conglutinato accuratè, in quibus ego partibus ossium iussero, aut alligato. Iubeo autem conglutinare, vel alligare, quo loco musculi ossibus inserebantur. Quum autem sit duplex modus insertionis omnibus musculis, nihil obest, quominus vtrumque ipsorum per similitudinem imitemur. Conandum est igitur clarè interpretari duplicem hunc modum; non enim rectè quis ipsum imitetur, nisi exactè nouerit. Principium autem hoc orationi iustissimum fuerit. Quum ossa inuicem coëant, vt articulus fiat, alterum quidem ipsorum est, quod mouetur; alterum verò veluti sedes quædam ei, quod mouetur, est subfirmatum; quomodo cernis ostiorum cardines se habere. Quare necessariò manenti quidem cauitas, ei verò, quod mouetur, deuexitas adest. Vocatur autem cauitas, & cotyle, & præterea glene, deuexitas verò, caput & condylus. Tantò autem cotyle, quam glene, est profundior, quantò caput condylo est longius, vtrumque enim vtrique, velut cardini, locum aptum natura comparauit. Quum verò hoc modo bene haberent, quæ mouendæ erant, multò adhuc aptiùs, atque artificiosiùs eis coniunxit, quæ motura erant. Nam musculos instrumenta motuum produxit quidem ex superiacentibus ossibus, in quibus sunt cotylæ; inseruit autem in capita subiacentium, quæ erant mouenda; & per hos intensos capitibus sursum tractis, simul cum eis totum membrum sursum trahitur. Quum autem alter ipsorum maius, alter verò minus os erat moturus, magnitudinem musculorum, qui moturi sunt, creauit proportione parem moli mouendorum ossium. Quare alij quidem iure ex ipsis capitibus, aut condylis superiacentium ossium sunt exorti; alij verò paulo his inferius iuxta cotylem, aut glenen, sed non multum; parui siquidem hoc pacto penitus fuissent, nec potuissent mouere subiectum os. Hæc quidem natura est ossium coniunctorum inter sese articulos, & musculorum ipsa mouentium. Imitari autem eam rectè possis, si catenam ex altero ossium appendens ea parte, qua musculus enascebatur, applices eius alium finem in caput alterius ossium, quò musculus inserebatur, duo hæc obseruans, nempe vt crassities catenæ satis sit mouendo, ac vehendo ossi subiecto; tum ne in excessibus figurarum catena sit tensa, sed ita se habeat, quasi humi iaceret à nullo appensa. Sint igitur duæ catenæ, quæ loca occuparunt oppositorum musculorum, qui extendere, & flectere membrum nati sunt, vtraque tunc penitus liberata à tensione, quando membrum extremam habet figuram, altera quidem externa, cum exactè est extensum; altera autem interna, cum flexum. His ita structis manifestum, quòd catenarum vtraque à manibus nostris tracta, in extremam extensionem, aut flexionem, ducit ossium constructionem; ipsæ verò per se ipsas dimissæ, mediam figuram compositionis ossium vbi effecerint, postea quiescunt. Adhibere autem mentem oportere præcipuè huic ipsi figuræ; media enim exactè hæc est inter extensionem, & contractionem. Si tamen alteram catenarum incideris quidem in aliquo, non autem abscideris totam, parum omninò ad alteram partem mediæ figuræ transferes ossium constructionem: quòd,

A quòd si penitus abscideris, impensiùs, non tamen ita, vt ad vltimam veniat figuram; extremæ namque figuræ non aliter fieri videntur, nisi quum catenas manibus trahas ad proprium principium. Eadem hæc accidere, & in musculis euidenter cernuntur; quippe quum musculus catenæ proportione respondeat, anima verò manui mouenti ipsam; neutra enim catenarum absque manu ad extremam figuram constructionem ossium deducere potest, neque vllus musculorum absque animali impetu extremam flexionem, aut summam extensionem partis efficere, priuatis autem musculis quidem animali impetu, catenis verò

B manu, mediam videbis figuram ossium inter se mutuò fieri. Quòd si incideris musculum externum, flecti membrum vltra mediam figuram videbis, quemadmodum si catenam externam incidisses: pari modo si musculum internum incideris, extendi partem plus medio videbis. Quænam igitur causæ sunt, tum horum, tum aliorum omnium affectuum, qui musculis accidunt? Principium quidem omnium vnum est, videlicet musculos perfectam habere contractionem in excedentibus figuris, quemadmodum in catenis habebat; reliquæ autem omnes hanc consequuntur. Principium autem hinc pariter ostendemus,

C non enim ex hypothesi quadam nobis incerta sumendum est ipsum, sed ex quodam symptomate, quod euidenter apparet in omnibus musculis. Quidnam autem est id? cuius certè ante meminimus, quòd musculus tantùm contrahitur, quum tendo abscissus à membri capite fuerit, quantum motu voluntario incitatus, in extremam flexionem duxerit membrum; ostenditur enim manifestè huiusmodi apparere musculum suapte natura in extremam contractionem progredi, quantum in structura corporis est positum. Quum enim solutus fuerit continuitate, quam habet cum osse ob-

D nitente, tunc, quasi vinculis solutus, & perfectè liber factus, suam ipsius naturam ostendit, quandiu verò à musculo ex opposito constituto pars retrahitur, qui & ipse eandem naturam habet, vt statim ad extremam contractionem festinet, alter musculus ab altero æqualiter priuatur coitu in se ipsum; atque ita accidit oppositorum in membris musculorum vtrumque in dimidio contractionis lædi. Porrò, quòd vterque quidem sua natura in extremam contractionem semper festinet, alligati autem sint è partibus oppositis capiti vnius

E ossis; omninò necesse est membrum æquipollentibus motibus interceptum, neutrum sequi. Neutrum autem sequi idem est, ac si mediam haberet figuram extremorum; illorum enim vtrumque fiebat altero ipsorum præualente, extensio quidem, externo: flexio verò, interno. Æquipollens igitur motus ipsius corporis musculorum fit quando neuter totum animalem habet auxiliarem, non æquipollens verò, quum alter solus dominatur. Quare necesse est, vincat contractio illius musculi, qui ab animali facultate adiuuetur. Trium igitur apparentium causas inuenimus, ab

F vno principio profecti, quod ne ipsum quidem ex hypothesi nostra, sed ex euidenter apparentibus, sumpsimus. Quòd enim musculi videntur accipere extremam contractionem, quum soluti fuerint vinculo, quo ad capita membrorum sunt alligati, palàm nobis factum est, eos sua natura quidem, quantum ad structuram eorum pertinet, perfectè contrahi, sed propter

A Εἰ δὲ καὶ διατέμοις ἅπασαν ἐπὶ πλέον μὲν, οὐ μὴν ὥστ' εἰς ἔσχατον ἐλθεῖν σχῆμα. τὰ γὰρ δὴ ἔσχατα σχήματα, μετὰ τοῦ ταῖς χερσὶν ἐπὶ τὴν ἰδίαν ἀρχὴν ἕλκειν τὰς σειρὰς, οὐκ ἄλλως φαίνεται γιγνόμενα. τὰ δ' αὐτὰ ταῦτα συμπτώματα, κἀπὶ τῶν μυῶν ἐναργῶς ὁρᾶται, ἀνάλογον μὲν ἔχοντος τῇ σειρᾷ τοῦ μυὸς, τῇ κινούσῃ δ' αὐτὴν χειρὶ τῆς ψυχῆς. οὔτε γὰρ ἄνευ τῆς χειρὸς οὐδετέρα τῶν σειρῶν εἰς ἔσχατον σχῆμα τὴν τῶν ὀστῶν ἀγαγεῖν δύναται σύνταξιν, οὔτ' ἄνευ τῆς ψυχικῆς ὁρμῆς οὐδέτερος τῶν μυῶν, οὔτ' ἐσχάτην καμπὴν, οὔτ' ἔκτασιν ἄκραν ἐργάσασθαι τοῦ μο-

B ρίου. στερήσας δὲ τοὺς μὲν μῦς τῆς ψυχικῆς ὁρμῆς, τὰς δὲ σειρὰς τῆς χειρὸς, τὸ μέσον ὄψει σχῆμα τῶν ὀστῶν πρὸς ἄλληλα γιγνόμενον. εἰ δὲ τέμοις τὸν ἐκτὸς μῦν, καμπτόμενον ἐπὶ πλέον, τοῦ μέσου σχήματος ὄψει τὸ κῶλον, ὥσπερ εἰ τὴν ἐκτὸς σειρὰν ἔτεμες. οὕτω δὲ καὶ εἰ τὸν ἐντὸς μῦν τέμοις ἐκτεινόμενον ἐπὶ πλέον τοῦ μέσου, θεάσῃ τὸ μόριον. τίνες οὖν αἰτίαι καὶ τούτων, καὶ τῶν ἄλλων ἁπάντων τῶν κατὰ τοὺς μῦς παθημάτων; ἀρχὴ μὲν ἁπασῶν μία, τὸ τοὺς μῦς τελείαν ἔχειν συστολὴν ἐν τοῖς ὑπερβολικοῖς σχήμασιν, ὥσπερ ἐπὶ τῶν σειρῶν εἶχεν. αἱ δ' ἄλλαι πᾶσαι, ταύτῃ ἀκολουθεῖ.

C τὴν οὖν ἀρχὴν αὐτόθεν ἀποδείξομεν. οὐ γὰρ ἐξ ὑποθέσεώς τινος ἡμῖν ἀδήλου ληπτέον αὐτὴν, ἀλλ' ἔκ τινος ἐναργῶς φαινομένου κατὰ τοὺς μῦς ἅπαντας συμπτώματος. τίνος τούτου, τοῦ μικρῷ πρόσθεν εἰρημένου, τοῦ συστέλλεσθαι τὸν μῦν εἰς τοσοῦτον, ὅταν ὁ τένων ἀποτμηθῇ τοῦ κώλου τῆς κεφαλῆς, εἰς ὅσον ὅταν ὑπὸ τῆς προαιρέσεως κινούμενος, εἰς τὴν ἐσχάτην καμπὴν ἀγάγῃ τὸ κῶλον. ἐνδείκνυται γὰρ ἐναργῶς τὸ τοιοῦτον φαινόμενον, εἰς ἐσχάτην πεφυκότα συστολὴν ἔρχεσθαι τὸν μῦν, ὅσον ἐπὶ τῇ κατασκευῇ τοῦ σώματος. ὅταν γὰρ ἀφαιρεθῇ τῆς πρὸς τὸ ἀν-

D τιτεῖνον ὀστοῦν συνεχείας, τόθ' οἷον ἐκ δεσμοῦ λυθεὶς, καὶ τελέως ἐλεύθερος γενόμενος, ἐνεδείξατο τὴν ἑαυτοῦ φύσιν. ἕως δὲ ὑπὸ τοῦ κατ' ἀντικρὺ τεταγμένου μυὸς ἀνεσπᾶτο τὸ μόριον, ἔχοντος δηλονότι κἀκείνου τὴν αὐτὴν φύσιν, ὡς δὴ σπεύδειν ὑπὸ τὴν ἐσχάτην συστολὴν τὸ ἴσον, ὁ ἕτερος μῦς ὑπὸ θατέρου, τῆς εἰς ἑαυτὸν ἀπεστέρητο συνόδου, καὶ οὕτω συνέβαινε τῶν ἀντιτεταγμένων ἐν τοῖς κώλοις μυῶν ἑκάτερον, τὸ τῆς συστολῆς ἥμισυ βλάπτεσθαι. τὸ γὰρ πεφυκέναι μὲν ἀμφοτέρους εἰς ἐσχάτην ἀεὶ συστολὴν ἐπείγεσθαι, προσδεδέσθαι δ' ἐκ τῶν ἀντικειμένων μερῶν ἑνὸς

E ὀστοῦ κεφαλῆς, πάντως ἀναγκαῖον ἦν ἰσοσθενέσι κινήσεσι διειλημμένον τὸ κῶλον, ἕπεσθαι μηδετέρᾳ. τὸ μηδετέρᾳ δ' ἕπεσθαι, ταὐτὸν ἦν τὸ μέσον ἔχειν σχῆμα τῶν ἐσχάτων. ἐκείνων γὰρ ἑκάτερον ἐγίνετο, τῆς ἑτέρας αὐτῶν κρατούσης. ἡ μὲν ἔκτασις, τῆς ἐκτὸς, ἡ δὲ κάμψις, τῆς ἐντός. ἰσοσθενὴς μὲν οὖν ἡ τοῦ σώματος αὐτῶν τῶν μυῶν γίνεται κίνησις, ὅταν μηδετέρα σύμμαχον ἔχῃ τὸν ψυχικὸν τόνον. ἀνισοσθενὴς δὲ, ὅταν ἡ ἑτέρα μόνη κρατῇ, ὥστε ἀναγκαῖον νικᾶν ἐκείνου τοῦ μυὸς τὴν συστολὴν, ὁπότερος ἂν ὑπὸ ψυχικῆς βοηθῆται δυνάμεως. τριῶν μὲν δὴ φαινομένων αἰτίας

F εὑρήκαμεν, ἀπὸ μιᾶς ἀρχῆς ὁρμηθέντες, ἣν οὐδ' αὐτὴν ἐξ ὑποθέσεως ἡμετέρας, ἀλλ' ἐξ ἐναργοῦς ἐλάβομεν φαινομένου. διὰ γὰρ τὸ φαίνεσθαι τὴν ἐσχάτην συστολὴν λαμβάνοντας τοὺς μῦς, ὅταν ἀπολυθῶσι τοῦ πρὸς τὰς κεφαλὰς τῶν κώλων δεσμοῦ, δῆλον ἡμῖν ἐγένετο πεφυκέναι μὲν αὐτοὺς, ὅσον ἐπὶ τῇ κατασκευῇ, συστέλλεσθαι τελέως, δι' ἄλλο δέ τι

κωλύεσθαι, τί δ' ἦν τὸ κωλῦον ζητοῦντες, προσεχῶς μὲν τὸν δεσμὸν εὕρομεν. οὗ γὰρ ἀποκοπέντος εἰς ἔσχατον συνεστέλλοντο, τοῦτο τοῦ μὴ συστέλλεσθαι πρότερον αἴτιον ἐτιθέμεθα. τὸν δεσμὸν δ' οὐχ ἁπλῶς ὅτι δεσμός ἐστι, διὰ τοῦτο κωλῦον θ' εὕρομεν συστέλλεσθαι τοὺς μῦς, ἀλλ' ὅτι καταφύεται εἰς ὀστοῦ κεφαλὴν, εἰς τἀναντία μέρη τεινομένην. καὶ διὰ τοῦτο εὐπορήσαμεν αἰτίας δευτέρου φαινομένου, τοῦ τὸ μέσον σχῆμα λαμβάνειν τὰ κῶλα, μηδετέρου τῶν μυῶν ὑπὸ τῆς ψυχικῆς δυνάμεως κινουμένου. τρίτον δ' ἦν ἐπὶ τούτοις φαινόμενον τὸ κάμπτεσθαι, καὶ συστέλλεσθαι, ἢ ἐκτείνεσθαι τηνικαῦτα τὸ κῶλον, ὅταν τὸν μὲν τὸν ἕτερον μόνον ἡ προαίρεσις κινῇ. νικᾶσθαι γὰρ ἐν τούτῳ τὸν ἕτερον, καὶ συνεκτείνεσθαι βιαίως ἀναγκάζεσθαι τῷ σύμπαντι κώλῳ. φέρε δὴ πρὸς τούτοις, καὶ τῶν ἄλλων ἁπάντων φαινομένων εἴπωμεν τὰς αἰτίας, ἵν' εἰ μὲν ὁμολογοῖεν ἀλλήλαις πιστεύωμεν, καὶ διὰ τοῦτο τοῖς ὑπὲρ αὐτῶν λογισμοῖς. εἰ δέ πῃ καὶ διαφέροιντο κἂν καθ' ἓν ὁτιοῦν, πάντας ὁμοίως ὑποπτεύοιμεν. ἔστω δὴ πρὸς τοῖς εἰρημένοις, πρῶτον μὲν τόδε τὸ φαινόμενον, τμηθέντος μὲν τοῦ ἔξω μυὸς, ἐπέκεινα μὲν τοῦ μέσου σχήματος κάμπτεται τὸ κῶλον, οὐ μὴν εἰς ἔσχατόν γε, καίτοι τάχ' ἂν ἴσως δόξειεν εὔλογον εἶναι μηκέτι ἀντισπῶντος εἰς τἀναντία τοῦ ἐντὸς μυὸς μηδενὸς, εἰς ἐσχάτην ἰέναι δεῖν αὐτὸν συστολὴν, ἀλλ' ὁ γινώσκων οὕτως ἐπιλέλησται τοῦ κατὰ τὸ κῶλον βάρους, ἀντιβαίνοντος τῇ παντελεῖ τοῦ μυὸς συστολῇ. καὶ γὰρ ἐπὶ τῆς διὰ τῶν σειρῶν εἰκόνος, ὁμοίως ἐμφαίνεται γινόμενον. οὐδὲ γὰρ ἐκείνων τῆς ἐκτὸς τμηθείσης, εἰς ἐσχάτην ἠδύνατο ἐλθεῖν ἡ λοιπὴ συστολὴν, πρὶν ἀποτμηθῆναι τὸ κινούμενον ὑπ' αὐτῆς ὀστοῦν. ἕως δ' ἦν συνεχὲς, ἀντέσπα πρὸς ἑαυτὸ τὴν σειράν. ὁμοίως κἀπειδὰν τὸν ἐντὸς μῦν διατέμοι τις ἐν τῷ μεταξὺ τοῦ μέσου σχήματος, καὶ τῆς ἐσχάτης ἐκτάσεως, τὸ κῶλον καθίσταται. τελέως γὰρ ἐκτείνειν αὐτὸ χωρὶς τῆς ψυχικῆς ὁρμῆς ἀδύνατος ὁ ἐκτὸς μῦς, ὥστε καὶ ταῦτα τὰ φαινόμενα τοῖς τ' ἔμπροσθεν εἰρημένοις, καὶ ἀλλήλοις ὁμολογεῖ.

ΚΕΦΑΛΑΙΟΝ Ι

Τοῖς εἰρημένοις, τὰ τῷ Ἱπποκράτει γεγραμμένα, περὶ τῶν σχημάτων κατὰ τὰ ἐν ταῖς κινήσεσι μόρια, θαυμαστῶς ὁμολογεῖν.

Ἔτι δὲ ὅσα περὶ πάντων τῶν κατὰ τὰ μόρια σχημάτων Ἱπποκράτει τε γέγραπται πάλαι, καὶ νῦν οὕτως ἔχειν φαίνεται. ἆρ' οὐ θαυμαστῶς ὁμολογεῖ, καὶ ταῦτα; πρῶτον μὲν ὅτι κάμψαντες τελέως ὁτιοῦν μόριον, ἢ ἐκτείναντες ἐσχάτως ὀδυνώμεθα. δεύτερον δὲ ὅτι τὸ μέσον τούτων σχῆμα, τὸ ἀνωδυνώτατόν ἐστι. τρίτον δ', ὅτι μεταβολῆς ταχείας ἐπὶ τοῖς ἐσχάτοις σχήμασιν ὀρεγόμεθα. τέταρτον δὲ, ὅτι μέχρι πλείστου τὸ μέσον σχῆμα φυλάττομεν, οὐδεμιᾶς ἐπιθυμοῦντες μεταβολῆς. πέμπτον δὲ, ὅτι καὶ τοῦτό ποτε μεταβάλλειν ἐπιθυμοῦμεν. ἕκτον δὲ, ὅτι πᾶν σχῆμα δύσφορον τοῖς ἐσχάτως ἀσθενέσιν. αἱ μὲν γὰρ ὑπερβολαὶ τῶν σχημάτων, εὐλόγως ὀδυνηραὶ, τοῦ μὲν ἑτέρου τῶν μυῶν ἐνεργοῦντος, τοῦ δ' ἑτέρου παρὰ φύσιν ἐκτεινομένου. τὸ μέσον δὲ τούτων σχῆμα, καὶ τῆς ἐνεργείας, καὶ τῆς ἀμέτρου τάσεως ἀμφοτέροις ἀναπαῦον, εἰκότως ἥδιστον, ὥστε καὶ τῆς μεταβολῆς, τῶν μὲν ὀδυνηρῶν σχημάτων ταχείας δεόμεθα, τῆς δ' ἀνωδύνου

aliud quiddam impediri: quid autem esset, quod impediret, quærentes, proximam causam, vinculum inuenimus; quo enim abscisso in extremum contrahebantur, hanc causam priorem, cur non contraherentur, posuimus. Vinculum autem non simpliciter, quia vinculum est, idcirco prohibere inuenimus, quo minus musculi contraherentur, sed quia inseritur in caput ossis, quòd in contrarias partes tenditur, eóque assecuti sumus causam eius, quod secundo loco apparet, videlicet quòd membra mediam figuram accipiunt, quum neuter musculorum ab animali facultate mouetur. Tertium erat adhæc apparens, videlicet flecti, & contrahi, aut extendi tunc membrum, quum alterum duntaxat musculum voluntas mouet; vinci enim interim alterum, atque violenter cogi, vt simul cum toto membro extendatur. Age igitur præter hæc, & aliorum omnium, quæ apparent, causas recenseamus, vt si sibi ipsis consentaneæ fuerint, credamus ob id rationibus, quæ de ipsis afferuntur; sicubi verò dissideant, vel in vno quouis, omnes similiter suspectas habeamus. Sit itaque præter dicta primum quidem hoc euidens. Abscisso namque externo musculo, vltra quidem mediam figuram deflectitur membrum, non tamen ad extremam; quanquam forte videbitur æquum esse, quum nullus ampliùs retrahat in contraria musculum internum, oportere eum in extremam venire contractionem. Sed qui ita sentit, oblitus est grauitatis, quæ membro inest; quæ perfectæ contractioni musculi resistit. Nam & in similitudine, quam fecimus per catenas, similiter apparet accidere, neque enim illarum abscissa externa, reliqua contractio in extremum poterat venire priùs, quam abscinderetur os, quod ab ipsa mouetur, quandiu autem continuum erat, retrahebat ad se ipsum catenam. Igitur quum etiam musculum internum quis totum secuerit, membrum consistit in eo situ, qui est inter mediam figuram, & extremam extensionem; musculus enim externus non potest penitus extendere ipsum, absque animali impetu. Quare & hæc apparentia iis, quæ antea dicta sunt, & sibi inuicem sunt consentanea.

CAPVT X.

Consentire iis, quæ dicta sunt, quæcunque scripsit Hippocrates de figuris partium, quæ fiunt in motu.

Præterea, quæ ab Hippocrate scripta sunt olim de omnibus figuris, quæ in partibus sunt, nunc quoque ita se habere videntur. Nonne mirificè hæc concordant? primùm quidem, quòd flectentes penitus quamcunque partem, aut extendentes, summè dolemus; secundum verò, quòd media istarum figura minimè dolorem affert; tertium, quia mutationem celerem in extremis figuris appetimus; quartum, quòd diutissimè mediam figuram seruamus, nullam cupientes mutationem; quintum, quòd hanc quoque mutare aliquando desideramus; sextum, quòd omnis figura molesta est summè imbecillis. Nam figurarum excessus meritò dolorem afferunt, nempe cum alter musculorum agat, alter præter naturam extendatur; media verò istorum figura, & ab actione, & à nimia tensione vtrosque inhibens, meritò est iucundissima. Quare & mutationem figurarum quidem, quæ dolorem afferunt, celerem optamus; eius verò, quæ dolore caret, tardam.

dam. At cur omninò ipsam mutare desideramus, quamuis sine dolore sit? quia in hac etiam figura tensionem quandam musculi sustinent, minorem tamen quàm in omnibus aliis; eam autem dolore carere dicimus, non quia nullius penitus doloris sit particeps, sed quia minimi, & eius fermè insensibilis propter paucitatem; atque ipsam mutari tum cupimus, dum paulatim congestus fit sensilis. Quòd autem, & in hac figura tensionem quandam musculi habeant, si eorum meminimus, quæ antea diximus, non ampliùs demonstratione egemus. Tendi enim eos diximus à membris, in quæ inseruntur, ob eámque causam liberatos ab illa tensione, quum tendo est sectus, contractionem secundum naturam promptè resumere. Nunquam igitur vllus musculus sine tensione est, ne quum in mediis quidem figuris consistit; sed quòd hanc quidem, vt exiguam contemnimus, aliàs verò, vt vehementes, ac violentas non ferimus, hanc quidem eligimus, illas verò fugimus. Quum autem imbecilli summè fuerimus, vt in stomachicis, & cardiacis syncopis, tunc nec breuem tensionem ferimus, neque mediam figuram toleramus; quo fit, vt quamuis impotentes simus ad motus, tamen aliàs alio proijciamus partes, aliquam quidem consequi figuram dolore carentem optantes, sed nihil tale prorsus inuenire potentes. Vt igitur, siquis nostrum cogatur lapidem aliquem non magnum ex collo suspensum circumferre, robustus quidem absque molestia ferat; imbecillus autem redditus, statim tanquam onus deponere desideret: eodem modo, & musculorum quisque quasi quendam lapidem gestans appensum os, donec quidem validus est, contemnit, plerumque ne tantillum quidem grauitatem eius sentiens; quum autem imbecillus fuerit, tunc sentit, & ægrè fert, & quasi quoddam onus excutere cupiens, aliàs aliam figuram appetit. Omnia igitur, quæ musculis accidunt, omnibus conuenire videntur, & communi principio omnia hærere; quo demonstrati sunt ex se quidem ipsis festinare semper in extremam contractionem, sed non posse hanc consequi, quòd tum oppositos in contraria trahentes habeant, tum grauitatem ossium annexam.

βραδείας. διὰ τί δὴ ὅλως μεταβάλλειν αὐτὸ δεόμεθα, καίτοι γε ἀνώδυνον ὄν; ὅτι κἀν τούτῳ τάσιν τινὰ ὑπομένουσιν οἱ μύες, ἀλλ᾽ ἧττον μὲν ἢ ἐν τοῖς ἄλλοις ἅπασιν. ἀνώδυνον δὲ οὕτω αὐτὸ λέγομεν, οὐχ ὡς οὐδὲ ὅλως ὀδύνης μετέχον, ἀλλ᾽ ὡς ἐλαχίστης τε ταύτης, καὶ σχεδὸν ἀναισθήτου διὰ βραχύτητα, καὶ τότ᾽ αὐτὸ μεταβάλλειν ἐπιθυμοῦμεν, ὅταν ἀθροισθεῖσα κατὰ βραχὺ, γένηταί ποτε αἰσθητή. τοῦ δὲ ὅτι κἀν τούτῳ τῷ σχήματι τάσιν τινὰ ἔχωσιν οἱ μύες, εἰ μεμνήμεθα τῶν ἔμπροσθεν λόγων, οὐκέτ᾽ ἀποδείξεως χρήζομεν. τείνεσθαι γὰρ ἔφαμεν αὐτοὺς πρὸς τῶν κώλων εἰς ἃ καταφύονται, καὶ διὰ τοῦτο ἐλευθερωθέντας ἐκείνης τῆς τάσεως, ἐν τῷ τμηθῆναι τὸν τένοντα, τὴν κατὰ φύσιν συστολὴν ἑτοίμως ἀπολαμβάνειν. οὐδὲ ποτ᾽ οὖν ἔξω τάσεως οὐδεὶς μῦς, ὅτε οὐδὲ ἐν τοῖς μέσοις σχήμασιν, ἀλλὰ τὸ ταύτης μὲν καταφρονεῖν ὡς βραχείας, τὰς δὲ ἄλλας ὡς σφοδρὰς, καὶ βιαίους μὴ φέρειν. τοῦτο μὲν αἱρούμεθα, τὰ δὲ ἄλλα φεύγομεν. ὅταν δὲ ἀσθενεῖς ἐσχάτως γενηθῶμεν, ὥσπερ ἐν στομαχικαῖς καὶ καρδιακαῖς συγκοπαῖς, τότ᾽ οὐδὲ τὴν βραχεῖαν φέροντες τάσιν, οὐδὲ τοῦ μέσου σχήματος ἀνεχόμεθα, καὶ διὰ τοῦτο, καίτοι ἀδύνατοι πρὸς τὰς κινήσεις ὄντες, ὅμως ἄλλοτ᾽ ἄλλῃ διαῤῥίπτομεν τὰ μόρια, ποθοῦντες μέν τινος ἀνωδύνου σχήματος ἐπιτυχεῖν, οὐδὲν δὲ τελέως τοιοῦτον εὑρεῖν δυνάμενοι. ὡς οὖν αὖ τις ἡμῶν ἀνάγκην εἶχεν, ἐξηρτημένου τοῦ τραχήλου λίθον τινὰ μὴ μέγαν περιφέρειν, ἐῤῥωμένος μὲν ὢν ἀλύπως ἔφερεν, ἄῤῥωστος δὲ γενόμενος, εὐθὺς ἂν ὡς ἄχθος ἀποθέσθαι προὐθυμεῖτο. κατὰ ταῦτα καὶ τῶν μυῶν ἕκαστος, οἷον τινα λίθον βαστάζων τὸ ἐξηρτημένον ὀστοῦν. ἔστ᾽ ἂν μὲν ἐῤῥωμένος ᾖ, καταφρονεῖ, μηδ᾽ αἰσθανόμενος τὰ πολλὰ, μηδ᾽ ἐπὶ βραχὺ τοῦ βάρους. ὅταν δὲ ἀῤῥωστήσῃ, τηνικαῦτ᾽ αἰσθάνεται, καὶ δυσφορεῖ, καὶ οἷον τι ἀποσείσασθαι ἄχθος ἐπιθυμῶν, ἄλλοτ᾽ ἄλλου σχήματος ὀρέγεται. πάντ᾽ οὖν πᾶσιν ὁμολογεῖν φαίνεται τὰ κατὰ τοὺς μῦς συμπτώματα, καὶ τῆς κοινῆς ἀρχῆς ἐξέχεσθαι πάντα, καθ᾽ ἣν ἀπεδείχθησαν ἐξ ἑαυτῶν μὲν εἰς ἐσχάτην ἀεὶ συστολὴν ἐπειγόμενοι, μὴ δυνάμενοι δὲ ταύτης τυχεῖν, ὅτι τοὺς ἀντιτεταγμένους ἀντισπῶντας ἔχουσι, καὶ τὸ τῶν ὀστῶν βάρος ἐξηρτημένον.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΜΥΩΝ ΚΙΝΗΣΕΩΣ ΒΙΒΛΙΟΝ Β'.

GALENI DE MOTV MVSCVLORVM LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΔΕΥΤΕΡΩι ΒΙΒΛΙΩι.

Περὶ τῶν κατὰ τὰς κινήσεις μεταβαλλομένων σχημάτων, καὶ περὶ τῆς φυσικῆς κινήσεως, καὶ τῆς καθ' ὁρμήν.

ARGVMENTVM SECVNDI LIBRI.

De figuris quæ per motum variantur, ac de motu naturali & voluntario.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐστι μέσον ἁπλῶς τῶν μορίων σχῆμα, τί δὲ μή, καὶ τί μὲν ἕκαστος ὁ μῦς ἐνεργεῖ.

ΕΠΕΙ δὲ τὰ πρόσθεν ἡμῖν, καὶ οἷον στοιχεῖα τῆς τῶν μυῶν κινήσεως ἀποδέδεικται, προσθῶμεν αὖθις ἤδη τὰ λείποντα, ὥστε μηδὲν ἔτ' ἐνδεῖν, ἀλλ' ἱκανὸν γενέσθαι τὸν ἅπαντα ταῦτα ἀναλεξάμενον ἀκριβῶς, πᾶν ὅτι ἂν περὶ μυὸς προβληθῇ, ῥᾳδίως ἐξευρίσκειν. ἀρξώμεθα οὖν αὖθις ἀπὸ τῶν κατὰ τὰ μόρια σχημάτων, εἰς ἅπερ ἐτελεύτησεν ὁ πρότερος λόγος. καὶ πρῶτόν γε τὸ μέσον σχῆμα προχειρισάμενοι λέγωμεν, ὡς ἐν τούτῳ διττὴν ἀνάγκη κατάστασιν ὑπάρχειν τοῖς μυσίν. ἑτέραν μὲν τὴν ἔμπροσθεν εἰρημένην, ἣ μηδέτερος τῶν ἀντιτεταγμένων ἐνεργεῖ μυῶν. ἑτέραν δὲ τὴν νῦν ῥηθησομένην, καθ' ἣν ὁμοίως ἐνεργοῦσιν ἀμφότεροι. ὑπάρχει δ' ἡ μὲν προτέρα, τοῖς ἐλινύουσιν ὡς Ἱπποκράτης ὠνόμασεν. ἡ λοιπὴ δέ, ὅταν μήτ' ἐκτείνειν, μήτε κάμπτειν τὸ κῶλον ἐπιτρέπωμέν τινι, μηδ' εἰ πάνυ σφόδρα βιάζοιτο. γίνεται δ' αὕτη τῶν ἀντιτεταγμένων μυῶν τὴν τονικὴν καλουμένην ἐχόντων ἐνέργειαν. οὕτω δὲ κἂν εἰ τοῦ μέσου σχήματος ἑκατέρωθεν καταστήσῃς τὸ κῶλον, ὁμοίως ἀμφοτέροις ἐνεργεῖν δυνήσῃ τοῖς μυσίν. ὅταν δ' εἴς τι τῶν ὑπερβολικῶν σχημάτων ἀγάγῃς αὐτό, οἱ ἕτεροι μύες, ἱκανοὶ εἰς τὴν τοιαύτην ἐνέργειαν. οὐκ ἄδηλον οὐδ' ὅτι καθ' ἕκαστον τῶν εἰρημένων σχημάτων, ποτὲ μὲν μᾶλλον, ποτὲ δ' ἧττον τὴν τονικὴν ἐνέργειαν ἐνεργήσουσιν οἱ μύες, καὶ

CAPVT PRIMVM.

Quæ sit media simpliciter membrorum figura, quæ non, & quam quisque musculus edat.

QVVM autem prima nobis, ac veluti elementa musculorum motus demonstrata sint, addamus ipsis iam quæ desunt, vt nihil ampliùs desideretur, sed possit, qui hæc omnia accuratè legerit, facilè omne, quod de musculo propositum fuerit inuenire. Rursus igitur incipiamus à figuris, quæ in partibus sunt, in quibus superior liber desiit. Ac primum quidem mediam figuram proponentes dicamus, quòd in hac necesse est duplicem constitutionem inesse musculis, alteram quidem antea dictam, qua neuter oppositorum musculorum agit; alteram verò, quæ nunc dicetur, in qua similiter vtrique agunt. Existit autem prior quidem quiescentibus, vt Hippocrates nominabat; reliquæ verò, quum neque extendere neque flectere membrum alicui permittimus, ne si maximam quidem vim afferat: fit autem hæc oppositis musculis actionem tonicam nuncupatam habentibus. Sic autem, & si prope mediam figuram vtrinque membrum constitueris, æquè vtrisque musculis agere poteris: quum autem ad aliquam earum, quæ excedunt, figurarum duxeris ipsum, cæteri musculi satis esse possunt actioni eiusmodi. Non obscurum autem est ne id quidem, quòd in singulis dictis figuris aliàs magis, aliàs minùs, tonicam actionem musculi obeunt; tum

quòd

quòd media figura cum tali actione neutra earum quæ excedunt est inferior. Ne igitur mediam figuram simpliciter carere dolore dicamus, sed quæ in quiete sit; media namque figura cum intensione vtrorumque musculorum, æquè ac extremæ, dolorem affert. Quum verò in ipsa quiete, media figura partim simpliciter sit, partim non simpliciter, simpliciter quidem media omnium membri earum excedunt figurarum; non simpliciter autem, quæ alterius oppositionis solius est. Quæ quidem simpliciter media est, sine defatigatione, vt Hippocrates appellauit, duntaxat fuerit; nulla tamen aliarum exactè est sine defatigatione. Demonstratio autem eius, quod dicitur, fieri possit manifesta, quum priùs nos statuerimus, & quæ simpliciter sit media figura, & quæ non sit eiusmodi. Fiet autem sermo, quò clarior sit, in manu tanquam exemplo. Quum igitur in ea extremæ figuræ quatuor sint, prona, supina, summa extensio, ac flexio summa, quæ quidem simpliciter media est, omnium istarum est media; quæ autem non simpliciter media est, vnius est media vtriusuis oppositionum; alia enim est extensionis extremæ, & flexionis; alia verò supinæ, & pronæ, media est. Figura igitur supina manus est, quum concaua quidem eius pars sursum est, deuexa autem deorsum; prona verò huic contraria; media autem ambarum, quum intrinsecus quidem sit concauum, extrinsecus autem deuexum; quúmque subiectus quidem est paruus digitus aliis, os verò cubiti, ossi radij. Hæc certè media figura potest quidem extensa perfectè manu, potest etiam flexa constare; quemadmodum sanè & alterius oppositionis media figura potest quidem constare, quum supina est manus; potest etiam, quum est prona: terminus autem illius figuræ est vlna rectum angulum faciens ad brachium, & propter hoc ipsam appellant angularem. Media itaque simpliciter ex concursu ambarum dictarum mediarum figurarum fit; aliæ verò mediæ, quatuor quidem erunt vniuersæ, sed nulla ipsarum simpliciter media totius membri erit, sed vnius duntaxat oppositionis; aut enim extensionis, & contractionis solùm erit media, aut supinæ, & pronæ. At quoniam vtraque ipsarum duplex fit iuncta vicissim excessibus reliquæ oppositionis, sic necesse est, quatuor omninò fiant. In vnaquaque autem ipsarum aliud quidem commune est omnium, aliud verò proprium cuiusque. Commune quidem, quòd omninò vnum aliquod genus musculorum agit, reliqua verò tria tenduntur quidem per accidens, non autem agunt. Proprium verò cuiusque, angularis quidem, & pronæ est, vt agant quidem ij musculi, qui intrò conuertunt os radij, alij autem omnes quiescentes tendantur; cæterum angularis quidem, sed supinæ est proprium, vt, qui extra circunducunt, agant, reliqui verò quiescentes tendantur: eodem autem modo, & in media inter pronam, & supinam, cum summa quidem extensione soli extendentes, vt agant, est proprium, cum flexione verò soli flectentes, cum cæteri omnes ociosi quidem sint, sed tendantur.

ὡς τὸ μετὰ τοιαύτης ἐνεργείας μέσον σχῆμα, τῶν ὑπερβολικῶν οὐδετέρου λείπεται. μὴ τοίνυν ἁπλῶς τὸ μέσον ἀνώδυνον εἶναι λέγωμεν, ἀλλὰ τὸ ἐν ταῖς ἐλινύσι. τὸ γὰρ μετὰ τῆς ἑκατέρων τῶν μυῶν τάσεως μέσον σχῆμα, τοῖς ἐσχάτοις ὁμοίως ὀδυνηρόν. ἐπεὶ δὲ ἐν αὐταῖς ταῖς ἐλινύσι μέσον σχῆμα, τὸ μὲν ἁπλῶς ἐστι, τὸ δ' οὐχ ἁπλῶς. ἁπλῶς μὲν τὸ πάντων τῶν ὑπερβολικῶν τοῦ κώλου σχημάτων μέσον, οὐχ ἁπλῶς δὲ τὸ τῆς ἑτέρας ἀντιθέσεως μόνης. τὸ μὲν ἁπλῶς μέσον, ἀκάματον ἂν ὡς Ἱπποκράτης ἐκάλεσεν εἴη μόνον, οὐ μὴν τῶν γε ἄλλων οὐδὲν ἀκριβὲς ἀκάματον. ἀπόδειξις δὲ τοῦ λεγομένου γένοιτ' ἂν σαφὴς, διελομένων πρότερον ἡμῶν, τό θ' ἁπλῶς μέσον σχῆμα, καὶ τὰ μὴ τοιαῦτα. γενήσεται δ' ὁ λόγος, ἵν' ᾖ σαφὴς, ἐπὶ χειρὸς, ὡς ἐπὶ παραδείγματος. ὄντων οὖν ἐν αὐτῇ σχημάτων ἐσχάτων τεττάρων, πρηνοῦς, ὑπτίου, τοῦ κατ' ἔκτασιν ἄκραν, τοῦ κατὰ κάμψιν. τὸ μὲν ἁπλῶς μέσον, ἁπάντων ἐστὶ τούτων μέσον, τὸ δ' οὐχ ἁπλῶς μέσον, ὁποτερασοῦν τῶν ἀντιθέσεων. ἄλλο μὲν γὰρ ἐκτάσεως ἄκρας, καὶ καμπῆς, ἄλλο δὲ ὑπτίου, καὶ πρηνοῦς τὸ μέσον. ὕπτιον μὲν οὖν ἐστι σχῆμα χειρὸς, ὅταν τὸ κοῖλον μὲν αὐτῆς μέρος ἄνωθεν ᾖ, τὸ δὲ κυρτὸν κάτωθεν. πρηνὲς δὲ, τὸ ἐναντίον τούτῳ. μέσον δ' ἀμφοῖν, ὅταν ἔσωθεν μὲν ᾖ τὸ κοῖλον, ἔξωθεν δὲ τὸ κυρτόν. ὑποκείμενος δ' ὁ μὲν μικρὸς δάκτυλος τοῖς ἄλλοις, τὸ δὲ τοῦ πήχεως ὀστοῦν, τῷ τῆς κερκίδος. τοῦτ' οὖν τὸ μέσον σχῆμα, δύναται μὲν ἐκτεταμένης τελέως τῆς χειρὸς, δύναται δὲ καὶ κεκαμμένης γίγνεσθαι. ὥσπερ οὖν καὶ τὸ τῆς ἑτέρας ἀντιθέσεως μέσον σχῆμα, δύναται μὲν ὑπτίας τῆς χειρὸς, δύναται δὲ καὶ πρηνοῦς οὔσης ὑπάρχειν. ὅρος δὲ ἐκείνου τοῦ σχήματός ἐστιν, ὁ πῆχυς ὀρθὴν ἐργαζόμενος γωνίαν πρὸς βραχίονα, καὶ διὰ τοῦτο, καὶ αὐτὸ καλοῦσιν ἐγγώνιον. τὸ τοίνυν ἁπλῶς μέσον, ἐκ τῆς ἀμφοτέρων τῶν εἰρημένων μέσων σχημάτων συνόδου γίνεται, τὰ δ' ἄλλα μέσα, τέτταρα μὲν ἔσται τὰ σύμπαντα. γενήσεται δ' αὐτῶν οὐδὲν ἁπλῶς ὅλου τοῦ κώλου μέσον, ἀλλὰ μιᾶς ἀντιθέσεως μόνης. ἢ γὰρ ἐκτάσεως, καὶ συστολῆς μόνον ἔσται μέσον, ἢ ὑπτίου τε, καὶ πρηνοῦς. ἐπεὶ δὲ ἑκάτερον αὐτῶν διττὸν γίνεται ζευγνύμενον ἐν μέρει ταῖς ἐκ τῆς λοιπῆς ἀντιθέσεως ὑπερβολαῖς, ἀναγκαῖον οὕτω τὰ πάντα γίνεσθαι τέτταρα. καθ' ἕκαστον δ' αὐτῶν τὸ μὲν τι κοινόν ἐστιν ἁπάντων, τὸ δ' ἴδιον ἑκάστου. κοινὸν μὲν τὸ πάντως ἐνεργεῖν ἕν γέ τι γένος μυῶν. τὰ δ' ἄλλα τρία, τείνεσθαι μὲν κατὰ συμβεβηκὸς, ἐνεργεῖν δὲ μή. τὸ δ' ἴδιον ἑκάστου, τοῦ μὲν ἐγγωνίου τε, καὶ πρηνοῦς, ἐνεργεῖν μὲν τοὺς ἐπιστρέφοντας ἔσω τὸ τῆς κερκίδος ὀστοῦν. τοὺς δ' ἄλλους πάντας ἀργοῦντας τείνεσθαι. τοῦ δ' ἐγγωνίου μὲν ὑπτίου δὲ, τοὺς μὲν ἔξω περιάγοντας ἐνεργεῖν, τοὺς δὲ ἄλλους ἀργοῦντας τείνεσθαι. κατὰ ταῦτα δὲ κἀν τῷ μέσῳ πρηνοῦς τε, καὶ ὑπτίου. μετὰ μὲν ἄκρας ἐκτάσεως, τοὺς ἐκτείνοντας μόνους ἐνεργεῖν, μετὰ δὲ κάμψεως, τοὺς κάμπτοντας μόνον. τῶν ἄλλων ἁπάντων ἀργούντων μὲν, τεινομένων δέ.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ τῆς τέχνης τῆς φύσεως περὶ τὴν τῆς χειρὸς διάρθρωσιν.

Δεῖται δὴ ὁ λόγος, ἵν᾽ ᾖ σαφὴς, ἐγνῶσθαι πρότερον ὑπὸ τίνων τε μυῶν, καὶ τίνα τρόπον ἐχόντων, καὶ ποῖον ἄρθρον κινούντων, αἱ τέτταρες αὗται τῆς χειρὸς ἐπιτελοῦνται κινήσεις. ἔστιν οὖν βραχίων, μόριον τῆς ὅλης χειρὸς τὸ μέγιστον. ὅροι δὴ αὐτοῦ, κάτωθεν μὲν τὸ κατὰ τὸν ἀγκῶνα ἄρθρον. ἀγκῶνα δὲ καλοῦμεν ᾧ ποτιστηριζόμεθα, φησὶν Ἱπποκράτης. ἄνωθεν δὴ αὖ πάλιν, τὸ κατ᾽ ὦμον. ἕτερον δὲ μόριον τῆς ὅλης χειρὸς οὐ σμικρότατον ἐφεξῆς τοῦ βραχίονος ὁ πῆχυς καλούμενος. ὁρίζεται δὲ καθ᾽ ὃ μὲν τῷ βραχίονι συνεχής ἐστιν ὑπὸ τοῦ κατὰ τὸν ἀγκῶνα ἄρθρου, καθ᾽ ὃ δὲ τῷ καρπῷ, πρὸς τούτου πάλιν. ἐν μὲν οὖν τῷ βραχίονι μέγα, καὶ περιφερὲς ἓν ὀστοῦν ἐστιν, ὀνομαζόμενον ὡσαύτως τῷ μορίῳ. κατὰ δὲ τὸν πῆχυν δυοῖν ὀστῶν ὄντων, τὸ μὲν ὁμώνυμόν ἐστι τῷ παντὶ μορίῳ, τὸ δ᾽ ἕτερον κερκὶς ὀνομάζεται. διαρθροῦται δ᾽ ἄμφω πρὸς τὸ τοῦ βραχίονος πέρας τὸ κάτω, πῆχυς μὲν, ἵνα περ ἡ μέση τῶν κονδύλων τοῦ βραχίονός ἐστι χώρα, κερκὶς δὲ τὸν ἔξω κόνδυλον τοῦ βραχίονος αὐτοῦ περιβέβηκεν εἰς γλήνην τελευτῶσα· καὶ δῆτα περὶ τοῦτον, οἷον ἄξονά τινα στρεφομένη, τὰς τῆς χειρὸς ἐπιστροφὰς οἰακίζει, εἴσω μὲν αὐτῆς περιαγομένης τὸ πρηνὲς σχῆμα τῆς χειρὸς, ἔξω δὲ τὸ ὕπτιον ἕπεται. τὸ δ᾽ ἐκτείνειν, καὶ κάμπτειν τὴν χεῖρα τῆς τοῦ πήχεως πρὸς τὸν βραχίονα διαρθρώσεως ἔργον ἐστίν. ἀκριβὴς δὲ συνθέσεως ὀστῶν, οὐκ οἶδ᾽ εἴ τινι τῶν ἄλλων ἄρθρων ὑπάρχει τοσαύτη. τοῦ μὲν γὰρ βραχίονος τὸ κάτω πέρας πλατυνθὲν, ὁρίζεται κονδύλοις, ὁ δ᾽ αὖ πῆχυς, ἀποφύσεις δύο καμπύλας ποιησάμενος ἀντιτεταγμένας ἀλλήλαις. καὶ μέσην αὐτῶν κοιλότητα τῷ σίγμα γράμματι παραπλησίαν ἐργασάμενος, ταύτῃ τῇ κοιλότητι περιλαμβάνει τὴν μέσην τῶν κονδύλων τοῦ βραχίονος χώραν, ἐοικυῖαν ἀκριβῶς ταῖς κατὰ τὰς τροχιλίας καλουμέναις. περιφερομένης οὖν τῆς κοιλότητος τοῦ πήχεως, περὶ τὴν κυρτότητα τοῦ βραχίονος ἐκτείνεσθαί τε, καὶ κάμπτεσθαι τῷ παντὶ κώλῳ συμβαίνει. τοῦ δὲ μηδ᾽ ἑτέρωσε παραχωρεῖν, ἀλλ᾽ ἀεὶ μένειν ἀκριβῆ τὴν διάρθρωσιν, αἱ τῆς μέσης κοιλότητος ὀφρύες αἴτιαι, σφίγγουσαι τὰς ἀποφύσεις τοῦ πήχεως. ὅταν μὲν οὖν ἡ πρόσθιος ἀπόφυσις τῆς κινήσεως ἐξηγεῖται, κάμπτεται τὸ κῶλον, ἐκτείνεται δὲ, ὅταν ἡ ὄπισθεν. ὅρος δὲ τῆς μὲν καμπῆς, τὴν πρόσθεν ἀπόφυσιν ἑδρασθῆναι πρὸς τῷ τοῦ βραχίονος ὀστῷ, τῆς δ᾽ ἐκτάσεως τὴν ὀπίσθιον. ἐπεὶ δὲ καὶ τὸ τοῦ βραχίονος ὀστοῦν κυρτὸν ἦν, καὶ τοῦ πήχεως τῶν ἀποφύσεων ἑκατέρα παραμήκης, καὶ διὰ τοῦτο κίνδυνος ἦν θᾶττον, ἢ δεῖ συμβαλλόντων ἀλλήλοις τῶν ὀστῶν, κωλυθῆναι τὴν τοῦ κώλου κίνησιν, ἐξέγλυψεν ἡ φύσις ἑκατέρωθεν τὸ τοῦ βραχίονος ὀστοῦν, εἰς τοσοῦτον ἐγκαταβαινόντων ταῖς κοιλότησιν αὐτοῦ τῶν κορωνῶν τοῦ πήχεως, εἰς ὅσον ἐσχάτην ἔκτασίν τε, καὶ καμπὴν ἡ χεὶρ ἕξειν ἔμελλεν. ἐπεὶ δὲ μεῖζον ἦν τὸ ὄπισθεν κορωνὸν τοῦ πήχεως, πολὺ βαθυτέραν τὴν ταύτῃ κοιλότητα τοῦ βραχίονος ἐποίησεν, ὥστε διὰ τὸ ταύτῃ βάθος, λεπτὸν ἱκανῶς γίγνεσθαι τὸ τοῦ βραχίονος ὀστοῦν, ὅσον ἐστὶ μεταξὺ τῶν κοιλοτήτων. οὐ μὴν διέτρησέ γε αὐτὸ καίτοι λεπτὸν ὄν, ἵνα μὴ χαλαρὸν πάντῃ καὶ ἀσθενὲς τὸ ἄρθρον, μήτε τῶν μυῶν αἱ κινήσεις ἄμετροι. εἰ δέ γε διετρήθη, κάμπτειν μὲν αὖ εἰς τοὐπίσω τὴν χεῖρα δυνατὸν ἦν· ὅσα δὲ ἐκτεταμένοις αὐτῆς

CAPVT II.

De Arte naturæ in manus dearticulatione.

VT autem perspecta claráque sit oratio, scire priùs oportet, à quibus musculis, & quomodo se habentibus, & qualem articulum mouentibus, quatuor isti manus motus perficiantur. Est igitur brachium, pars totius manus maxima; termini autem ipsius infernè quidem articulus, qui in flexu cubiti est (cubitum autem vocamus, cui innitimur, vt inquit Hippocrates) supernè autem rursus humeri articulus. Altera autem pars totius manus oblonga, nec minima post brachium est, quam vlnam appellant; terminatur autem, & finitur qua brachio quidem continua est, per articulum qui in flexu cubiti est; quà autem carpo, conuertitur rursus per ipsum. In brachio sanè vnum os apparet magnum, nec non rotundum, nominatum eodem nomine, quo pars. In vlna verò quum duo sint ossa, alterum quidem eiusdem nominis est cum tota parte, alterum radius appellatur; dearticulantur autem ambo ad brachij oram inferiorem, vlna quidem, vbi medius locus condylorum brachij est, radius verò externum brachij ipsius condylum amplectitur in glenen desinens, atque circum ipsum veluti axem quendam dum vertitur, manus conuersiones regit, intrò quidem dum circumagit, prona figura manus, extra verò, supina sequitur; extendere autem, & flectere manum, dearticulationis vlnæ ad brachium est actio. Exacta autem adeo ossium compositio, nescio si cui aliorum articulorum tanta insit: brachij enim ora inferior dilatata, nodis circumscribitur, vlna verò contra processus duos flexus faciens sibi inuicem oppositos, mediámque ipsorum cauitatem C litteræ similem efficiens, hac cauitate amplectitur medium locum condylorum brachij, similem ad vnguem nuncupatis trochlearum rotulis. Quum igitur cauitas vlnæ circumfertur circa deuexitatem brachij, extendi atque flecti accidit toti membro. Vt autem in neutram partem inclinet, sed semper exacta dearticulatio maneat, supercilia mediæ cauitatis causæ sunt, coarctantes vlnæ apophyses. Quum igitur anterior apophysis motus dux est, flectitur membrum, extenditur autem, quum posterior; terminus verò, flexionis quidem, vt anteriorem apophysim affirmet ad os brachij, extensionis verò, vt posteriorem. Quum verò, & brachij os curuum sit, & vlnæ apophyseon vtraque oblonga, & ob hoc periculum esset citiùs, quàm oporteat, ossibus inuicem congredientibus, ne membri motus prohiberetur, exculpsit natura vtrinque brachij os, in cuius cauitates tantum vlnæ coronæ sese demittunt, quatenus extremam extensionem, & flexionem manus esset habitura. Quum autem maior esset posterior vlna corone, multò profundiorem eo loco cauitatem brachij fecit; vt propter profunditatem hoc loco tenue admodum os brachij fit, quod est inter cauitates; non tamen perforauit ipsum, quamuis tenue esset, ne laxus vndique minusque firmus esset articulus, neque musculorum motus nimij. Si verò perforatum fuisset, flectere quidem retrò manum liceret: quæ autem

autem extensa ipsa firmiter agimus, hæc omnia longè peius fierent; & vtrorumque musculorum tensiones essent vtique cum magno dolore, quum posteriores quidem ab animali facultate plus tendantur, quàm sint nati contrahi; anteriores verò eousque extendantur, vt periculum sit eos diuelli. Talis profectò ars naturæ ad dearticulationem exactam est.

CAPVT III.

De musculis manum mouentibus; ac quo pacto in omni, præter quàm in media figura, contorqueantur.

QValis autem situs musculorum ipsam mouentium sit (quorum causa, & dearticulationis mentionem fecimus,) deinceps dicatur. Duo quidem in partibus anterioribus brachij: duo verò in posterioribus orti sunt, validis aponeurosibus vlnæ inserti. Incipiunt autem maiores quidē eorum à capite brachij, minores verò multò inferius, feruntúrque omnes quatuor rectà ad vlnam, & inseruntur in hunc ipsum maximè locum, vnde oriri incipiūt corωnæ. Posterior sanè pars, ipse ancon est, quem Athenienses quidem olecranū, Dores verò cubitum nuncupant. Anterior verò, vt dictum est, quà anterioris corωnes exortus est. Ab his igitur musculis parte anteriore brachij, & posteriore sitis, vlnam attrahentibus, extensio, & flexio fit. Quatuor autem alij principia quidem habent ex vlna ex vtraque parte curuitatis ad gibberum, duo quidem extrinsecus, duo verò intrinsecus. Omnes autem quum sint obliqui, ossi radij inseruntur, ad finem quidem ipsius inferiorem (vbi dearticulatio est ad carpum) magni, in medio verò parui; qui etiam ipsi, dum tenduntur, ad principia simul attrahunt radium; & per hūc totam manum, pronam quidem interni, supinam externi efficiunt. Quum igitur sic habeat natura musculorum mouentium dearticulationes, quæ in gibbero sunt, demōstremus iam propositum, quòd in quatuor differentiis figurarum non simpliciter mediarum, vnum quidē genus musculorum semper agit; omne autem aliud quiescit quidem ab actione, verùm extenditur. Primùm igitur proponamus eam, quæ etiam tūc primum dicta est, quam angularem, & pronam vocabamus; in qua de musculis quidem mouentibus radium non est opus longiori sermone, quòd videlicet, qui quidem intus sunt operantur; qui autem foris, ociosi extenduntur. Sed de musculis vlnam mouentibus verbis pluribus est opus, nam prima imaginatione videbuntur habere exactè mediam constitutionem, quòd & angularis media est figura, non tamen res ita habet. Si enim vt angularem, ita etiam figuram mediam inter supinam, & pronam tota manus haberet, tunc verè media constitutio adesset ipsis, sed quoniam eiusmodi non habet, necesse est, & hos musculos, & alios omnes inuerti, quantum tota manus discedit à figura secundum naturam, quantum autem musculi distorquentur, tantum puto, circa deuexitates ossium quasi fracti, & flexi tenduntur, & laborant. Nam media simpliciter figura, præterquam quòd nullum musculum habeat neque agentem, neque qui violenter moueatur, ne aliud quidem eorum, quæ in membris sunt distorquet; vnde ipsi, & hoc tanquam præter cætera maximum attestatus est Hippocrates:

ἑδραίως ἐνεργοῦμεν, ταῦτά τε σύμπαντα χεῖρον ἂν ἐγίνετο μακρῷ, καὶ τῶν μυῶν ἀμφοτέρων αἱ τάσεις, ἦσαν ἂν ὀδυνηραὶ κομιδῆ. τῶν μὲν ὄπισθεν ὑπὸ τῆς ψυχικῆς δυνάμεως τεινομένων, ὡς διασπασθῆναι πλέον, ἢ πεφύκασι συστέλλεσθαι, τῶν δ' ἔμπροσθεν εἰς τοσοῦτον ἐκτεινομένων, ὡς κινδυνεῦσαι διασπασθῆναι. τοιαύτη μὲν ἡ τῆς φύσεως τέχνη περὶ τὴν τῆς διαρθρώσεως ἀκρίβειαν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν τὴν χεῖρα κινούντων μυῶν, καὶ πῶς ἐν παντὶ πλὴν ἐν τῷ μέσῳ σχήματι, περιστρέφονται.

ΟΙα δέ τις ἡ τῶν κινούντων αὐτὴν μυῶν θέσις, ὧν ἕνεκα καὶ τῆς διαρθρώσεως ἐμνημονεύσαμεν, ἑξῆς λεγέσθω. δύο μὲν ἐν τοῖς πρόσω τοῦ βραχίονος, δύο δ' ἐν τοῖς ὄπισθεν πεφύκασιν, ἰσχυραῖς ἀπονευρώσεσιν ἐμφυόμενοι τῷ πήχει. ἄρχονται δὲ οἱ μὲν μείζους αὐτῶν, ἀπὸ τῆς κεφαλῆς τοῦ βραχίονος, οἱ δ' ἐλάττους πολὺ κατωτέρω, καὶ φέρονται πάντες οἱ τέτταρες εὐθὺ τοῦ πήχεως, ἐμφύονταί τε κατὰ τοῦτον αὐτὸν μάλιστα τὸν τόπον, ὅθεν ἄρχεται φύεσθαι τὰ κορωνά. τὸ μὲν οὖν ὀπίσω μέρος, αὐτὸς ὁ ἀγκών ἐστιν, ὃν οἱ Ἀθηναῖοι μὲν ὠλέκρανον, οἱ Δωριεῖς δὲ κύβιτον ὀνομάζουσι. τὸ πρόσω δ', ὥσπερ εἴρηται, καθὸ τῆς ἔμπροσθέν ἐστι κορώνης ἡ ἔκφυσις. ὑπὸ τούτων μὲν οὖν τῶν μυῶν, ὀπίσω τε, καὶ πρόσω βραχίονος τὸν πῆχυν ἐπισπωμένων, ἔκτασίς τε, καὶ κάμψις γίνεται. τέτταρες δ' ἄλλοι, τὰς μὲν ἀρχὰς ἔχουσιν ἐκ τοῦ πήχεως ἑκατέρωθεν τῆς εἰς τὸν ἀγκῶνα κυρτότητος. δύο μὲν ἔξωθεν, δύο δ' ἔσωθεν, ἅπαντες δ' ὄντες λοξοί, τῷ τῆς κερκίδος ὀστῷ καταφύονται. κατὰ μὲν τὸ κάτω πέρας αὐτῆς, ἵνα περ ἡ πρὸς τὸν καρπὸν διάρθρωσις, οἱ μεγάλοι, κατὰ δὲ τὸ μέσον, οἱ μικροί. τεινόμενοι δὲ καὶ οὗτοι πρὸς τὰς ἀρχάς, συνεπισπῶνται τὴν κερκίδα, καὶ διὰ ταύτης ὅλην τὴν χεῖρα, πρανῆ μὲν οἱ ἐντός, ὑπτίαν δ' οἱ ἐκτὸς ἐργάζονται. οὕτως οὖν ἐχούσης τῆς φύσεως τῶν κινούντων τὰς κατὰ τὸν ἀγκῶνα διαρθρώσεις μυῶν, ἀποδείξωμεν ἤδη τὸ προκείμενον, ὡς ἐν ταῖς τέτταρσι διαφοραῖς τῶν οὐχ ἁπλῶς μέσων σχημάτων. ἓν μὲν ἑκάστοτε γένος ἐνεργεῖ μυῶν, τὸ δ' ἄλλο πᾶν, ἀργεῖ μέν, ἐκτείνεται δέ. πρῶτον οὖν προχειρισώμεθα τὸ καὶ τότε πρῶτον ῥηθέν, ὅπερ ἐγγώνιόν τε καὶ πρανὲς ἐκαλοῦμεν. ἐν ᾧ περὶ μὲν τῶν τὴν κερκίδα κινούντων μυῶν, οὐδὲν δεῖ λόγου πλείονος, ὡς οἱ μὲν ἐντὸς ἐνεργοῦσιν, οἱ δ' ἐκτὸς ἀργοῦντες ἐκταθήσονται. περὶ δὲ τῶν τὸν πῆχυν κινούντων μυῶν, ἀνάγκη πλείονος δεηθῆναι λόγου. κατὰ μὲν γὰρ τὴν πρόχειρον φαντασίαν, δόξουσιν ἔχειν τὴν μέσην κατάστασιν ἀκριβῶς, ἐπεὶ καὶ τὸ μέσον σχῆμα τὸ ἐγγώνιον, οὐ μὴν τό γ' ἀληθὲς οὕτως ἔχει. εἰ μὲν γὰρ ὥσπερ ἐγγώνιον, οὕτω καὶ μέσον ὑπτίας, καὶ πρανοῦς ἡ σύμπασα χεὶρ εἶχε σχῆμα, τότ' ἂν ὄντως ἡ μέση κατάστασις αὐτοῖς ὑπῆρχεν. ἐπεὶ δ' οὐκ ἔχει τοσοῦτον ἀνάγκη διαστρέφεσθαι, καὶ τούτους τοὺς μῦς, καὶ τοὺς ἄλλους ἅπαντας, ὅσον ἐξίσταται τοῦ κατὰ φύσιν σχήματος ἡ σύμπασα χείρ. ὅσον δ' οἱ μύες διαστρέφονται, εἰς τοσοῦτον οἶμαι περὶ τὰς κυρτότητας τῶν ὀστῶν, οἷον κλώμενοί τε, καὶ καμπτόμενοι, τείνονταί τε, καὶ πονοῦσι. τὸ μὲν γὰρ ἁπλῶς μέσον σχῆμα, πρὸς τῷ μηδένα μῦν ἔχειν, μήτ' ἐνεργοῦντα, μήτε κινούμενον βιαίως, οὐδὲ διαστρέφει τι τῶν κατὰ τὸ κῶλον. ὅθεν αὐτῷ καὶ τοῦθ' ὡς μέγιστον τῶν ἄλλων ἐμαρτύρησεν Ἱπποκράτης.

τὰ δ᾽ ἄλλα πάντα, τὰ μὲν μᾶλλον, τὰ δ᾽ ἧττον διεστραμμένους ἔχει, καὶ τοὺς μῦς ἅπαντας, καὶ τοὺς τένοντας, καὶ τὰ νεῦρα, καὶ πρὸς τούτοις ἔτι τὰς φλέβας, καὶ τὰς ἀρτηρίας. ἅπαντα γὰρ ταῦτα, τὰ μὲν ἔξωθεν τῶν κώλων, τὰ δ᾽ ἔσωθεν πέφυκεν. ὡς οὖν πέφυκεν, οὕτως ἔχοντα ταῦτα φυλάττει τὸ μέσον ὑπτίου, καὶ πρηνοῦς σχῆμα. τούτων δ᾽ ἑκάτερον ἱκανῶς ἅπαντα διαστρέφει. τὸ μὲν γὰρ πρηνὲς, ὑπὲρ οὗ πρώτου πρόκειται λέγειν, τῶν ἐκτὸς τοῦ πήχεως μυῶν τὴν ὑπτίαν, ὅταν ἐνεργῶσιν ἐργαζομένων αὐτὴν τοσαύτην ποιεῖται τὴν διαστροφὴν, ὥστε τὰς μὲν κεφαλὰς αὐτῶν ἔξωθεν εἶναι τοῦ κώλου, τὰς δὲ κοιλίας ὀνομαζομένας, ἄνωθεν, τὰς δ᾽ ἐμφύσεις ἐντός. εἰ δὲ καὶ βιαιότερον ἔτι περιστρέφοις τὴν χεῖρα, τὸν ἕτερον αὐτῶν μῦν τὸν μείζονα τὸν εἰς τὴν τελευτὴν τῆς κερκίδος ἐμφυόμενον, οὕτως ὄψει κεκαμμένον περὶ τὸ κῶλον, ὥστε τῶν μερῶν αὐτοῦ, τὰ μὲν ἐκτὸς, τὰ δ᾽ ἐντὸς, τὰ δ᾽ ἄνωθεν, τὰ δ᾽ ἐν τοῖς κάτω φαίνεσθαι τὴν μὲν κεφαλὴν ἐκτὸς, τὴν δὲ κοιλίαν ὀνομαζομένην, ἄνωθεν. τὸ δ᾽ ἐπέκεινα ταύτης ἐντὸς, κάτωθεν δὲ τὴν ἔμφυσιν. οὕτως ἄρα βιαίως κέκλασταί τε, καὶ κέκαμπται. οἱ δ᾽ ἄλλοι μύες οἱ κατὰ τὸν βραχίονα, δι᾽ ὧν ἐκτείνειν, καὶ κάμπτειν τὴν χεῖρα δυνάμεθα, πολὺ μὲν ἧττον τούτων τε, καὶ τῶν ἄλλων τῶν κατὰ τὸν πῆχυν. ἀπολαύουσι δ᾽ οὖν τι καὐτοὶ τῆς διαστροφῆς. τὰ δ᾽ αὐτὰ, κἀν τοῖς ὑπτίοις σχήμασι γίγνεται. καὶ γὰρ οὖν κἀν τούτοις, οἱ μὲν ἐν τῷ πήχει μύες ἐς ἔσχατον πονοῦσιν, οἱ δ᾽ ἐν τῷ βραχίονι συμπονοῦσιν. ὅταν δὲ τὸ μέσον ὑπτίου, καὶ πρηνοῦς ἐργασάμενοι σχῆμα, τελέως ἐκτείνωμεν, ἢ κάμπτωμεν τὴν χεῖρα, τότε πονοῦσι μὲν ἱκανῶς οἱ κατὰ τὸν βραχίονα μύες, συμπονοῦσι δ᾽ αὐτοῖς οἱ κατὰ τὸν πῆχυν. μόνον οὖν σχημάτων τὸ μέσον ἁπλῶς, ᾧ μηδὲν ὑπερβολῆς μέτεστι κατὰ μηδετέραν ἀντίθεσιν, ἀνώδυνον ἀκριβῶς ἐστι. τὰ δ᾽ ἄλλα πάντα τὰ τέτταρα, τὰ μὲν ἧττον, τὰ δὲ μᾶλλον. ἅπαντα δ᾽ οὖν ὀδυνηρά. καθ᾽ ἕκαστον δ᾽ αὐτῶν πάλιν, εἰς ὅσον ἀποχωρῶν τῆς ἐσχάτης καταστάσεως, ἄγεις ἐπὶ τὴν μέσην τὸ κῶλον, εἰς τοσοῦτον ἧττον ὀδυνηρὸν ἐργάσῃ τὸ σχῆμα. τελέως δὲ ἀνώδυνον οὐδὲν, πρὶν ἐπὶ τὸ μέσον ἀκριβῶς ἐλθεῖν. ὥστε ἐκ τῶν εἰρημένων, καὶ τοῦτ᾽ ἤδη πρόδηλον, ὡς ἐν τῷ μέσῳ τούτῳ σχήματι μόνῳ πάντων σχημάτων, ὑπάρχει τελέως ἀναπαύειν τοὺς μύας ἅπαντας. τὰ δ᾽ ἄλλα πάντα, τὰ μὲν ἧττον, τὰ δὲ μᾶλλον, ἕν γέ τι γένος ἐνεργοῦν ἔχει μυῶν.

cæteræ verò omnes, aliæ magis, aliæ minus, inuersos habent, & musculos omnes, & tendones, & neruos, & ad hæc etiam venas, & arterias, omnia enim hæc partim extra membra, partim intrinsecus existunt. Vt igitur nata sunt, ita se habentia hæc, seruant figuram mediam inter supinam, & pronam. Harum autem vtraque admodum omnia contorquet; prona namque (de qua primum propositum est dicere,) quæ fit supina, dum musculi vlnæ externi agunt, tantam facit tensionem, vt ipsorum quidem capita extra membrum sint; ventres autem nominati, supernè; insertiones verò intus. Quòd si violentiùs adhuc manum circumuertas, alterum eorum musculum maiorem, qui in finem radij inseritur, adeò videbis fluxum esse circum membrum, vt eius partium, aliæ foris, aliæ intus, aliæ supernè, aliæ deorsum appareant, caput quidem extra; venter autem nominatus supernè; quod autem vltra hunc est, intus; inferius verò, insertio; adeò violenter fractus est & flexus. Alij verò musculi, qui in brachio sunt, per quos extendere, aut flectere manum possumus, multò quidem minùs his, cæterísque, qui in vlna sunt, habent tamen aliquid, & ipsi contorsionis. Eadem & in supinis figuris fiunt: etenim & in his musculi quidem, qui in vlna sunt, summè laborant; qui autem in brachio sunt, simul laborant, sed quum mediam inter supinam, & pronam efficientes figuram, perfectè extendimus, aut flectimus manum, tunc laborant quidem valdè musculi, qui in brachio sunt; simul autem cum ipsis laborant qui in vlna sunt. Sola igitur figurarum simpliciter media, cui nullius excessus participatio est in neutra oppositione, exactè caret dolore, cæteræ verò omnes quatuor partim minus, partim verò magis, omnes tamen sunt dolorificæ. Vnamquamque autem ipsarum, quantum discedens ab extrema constitutione ducis membrum ad mediam, tanto minùs dolorificam efficies figuram. Omninò autem nulla doloris erit expers priùs, quàm ad mediam planè accesserit. Quare ex dictis, & hoc iam manifestum est, quòd huic mediæ figuræ soli omnium figurarum inest musculos omnes perfectè quiescentes præbere, aliæ autem omnes partim minùs, partim verò magis, vnum certè aliquod genus musculorum agens habent.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἐν τοῖς κοιμωμένοις, πολλὰς εἶναι πολλάκις τῶν μυῶν ἐνεργείας.

Οὔκουν οὐδ᾽ οἱ κοιμώμενοι πάντες ἀργοὺς παντάπασιν ἔχουσιν ἅπαντας τοὺς μῦς, ἀλλ᾽ ὅσοι διὰ μέθην, ἢ κάματον, ἢ ἀρρωστίαν δυνάμεως ἅπαντα τοῦ σώματος τὰ μόρια τελέως ἐκλύσαντες, εἰς τὸ μέσον αὐτὰ σχῆμα τοῖς μυσὶν ἀγαγεῖν ἐπέτρεψαν, οὗτοι μόνοι τελέως ἡσυχάζοντας ἔχουσι τοὺς μῦς. οὐ μὴν οὐδ᾽ ἐν τοῖς ἐσχάτοις σχήμασιν, οὐδὲν μόριον ἔχειν οὐδεὶς δύναται κοιμώμενος. ἰσχυρᾶς γὰρ σφόδρα, καὶ συντόνου τῆς τῶν μυῶν ἐνεργείας εἰς τὰ τοιαῦτα χρῄζομεν. ὅσα δὲ ἐν τῷ μεταξὺ τῶν ἐσχάτων τε, καὶ τοῦ μέσου σχήματος, ἐν τούτοις τοὐπίπαν ὑπνοῦμεν. ἐν ᾧ γὰρ ἂν τῶν τοιούτων καταστήσας τὸ κῶλον τοῖς τονικῶς ἐνεργοῦσιν ἀμφ᾽ αὐτὸ μυσὶν, ἐπιτρέψῃς τὴν φυλακὴν τοῦ σχήματος, ὧδε φυλάττουσιν,

CAPVT IV.

In dormientibus multas esse sæpe musculorum actiones.

Non igitur ne dormientes quidem omnes penitus ociosos musculos habent; sed quicunque propter ebrietatem, aut defatigationem, aut infirmitatem virium, omnes corporis partes omninò exoluentes, in mediam eas figuram musculis reducere permiserunt, hi tantum perfectè musculos quiescentes habent. Non tamen in extremis figuris vllam partem quiuis potest habere, dum dormit, valida enim, & vehementer intensa actione musculorum ad huiusmodi indigemus. Quæcunque autem in medio sunt inter extremas, & mediam figuram, in his vt plurimùm somnum capimus, in quacunq; enim talium constitues membrum, musculis circa ipsum tonicè agentibus custodiam figuræ commiseris, sic seruant adeo,

vt

vt sedentes sæpe quidem dormiuerint, & nonnulli deambulantes. Et hoc equidem audiens, antea non credebam; quum autem fuit opus aliquando per totam noctem iter facere, experientia rem ipsam edoctus, coactus sum credere; fermè enim stadium integrum dormiendo, & somnia videndo peregi; nec prius excitatus sum, quàm in lapidem impegerim, & id est profectò, quod non permittit dormientibus iter facere longum, quia non possunt exactè læuem viam nancisci. Id igitur solis expertis credibile est. Cætera autem omnibus euidenter quotidie apparent, quæ in iis, qui dormiunt sedendo, accidunt. Et ipsorum quoque discumbentium pauci omninò exactam figuram in vnaquaque parte habent. Qui autem in manibus aliquid seruant, hi quidem, & valdè tonicam actionem ostendunt, manent enim eorum digiti exactè flexi circa paruum sæpe corpus, aurum, aut lapidem, aut aliquem nummum. Quod autem inferiori maxillæ accidit, nonne & id manifestum est? non enim discedit à superiore, nisi si ebrius aliquis, aut valde ignauus, aut summè defessus dormiat. Et ipse quoque stertor propter huiusmodi fieri solet, relaxata quidem inferiore maxilla, supino autem iacente homine: etenim & id ipsum, videlicet supinum iacere, signum est resolutionis; ob eámque causam vtique, & Hippocrates vtrumque damnat, & supinum iacere, & hiare dormientem; decubitus autem in alterum laterum laudat. Cognoscere autem maximè posses, quanta actio huiuscemodi decubitibus insit, si corpus hominis mortuum sic inclinaueris; non enim non minimo quidem tempore manebit; sed supinum, aut pronum statim fiet, quocunque grauitate verget. Itaque & supinum iacere, & hiare non absque actione stertendi, aut exolutionis, aut ebrietatis, aut ignauiæ, sunt signa. Ideò rursus Hippocrates quum omnes partes iubeat luxatas, & contritas, in figuris dolore carentibus chirurgia pertractare, cuiusmodi, inquit, in inferiori maxilla hominis mediocriter hiantis; qualis enim in manu angularis est figura, talis est in inferiori maxilla mediocris hiatus, hæc enim est extremarum media. Extremæ igitur inferioris maxillæ figuræ sunt, tum quæ maximè hiantibus, tum quæ dentes inuicem firmantibus fit; quarum illa quidem à musculis, qui in mento, & collo sunt, deorsum trahentibus; altera autem ab iis, qui intra maxillam ex palato oriuntur, & iis qui temporales vocantur, perficitur; nisi fortè, & musculi masticatorij nuncupati, qui sunt ad latera inferioris maxillæ, actionem adiuuant; hoc enim alibi discutiemus. Verùm mediocriter hiando media figura fit, omnibus dictis musculis quiescentibus; cæterùm & morientibus sponte sua ad hanc maxilla inferior meritò accedit; omnes enim musculi actione priuantur. Manifestum igitur, quòd dum dormiunt non aperto ore, actio musculorum retrahentium maxillam conseruatur; multi verò extensas, aut flexas ad vnguem manus habentes, vel etiam crura, dormiunt, seruantes etiam in his actionem tonicam. Sed fortè longior sum; quum liceat in memoriam reducere, quæ maximè in promptu sunt. Quis enim nostrum officium esse negabit scilicet effluxiones superfluitatum per musculos custodiri? Meatuum enim excretoriorum finibus ceu portis quibusdam custodes præsunt musculi præualidi,

A ὥστε καὶ καθήμενοι πολλάκις ἐκοιμήθησάν τινες, καὶ περιπατοῦντες ἔνιοι. καὶ τοῦτο ἐγὼ μὲν ἀκούων, ἔμπροσθεν οὐκ ἐπίστευον. ὡς δὲ δεῆσαν ποτε δι' ὅλης νυκτὸς ὁδοιπορῆσαι, τῇ πείρᾳ τἀληθὲς ἔμαθον, ἠναγκάσθην πιστεῦσαι. σχεδὸν γάρ τι στάδιον ὅλον διῆλθον κοιμώμενός τε, καὶ ὄναρ θεωρῶν, καὶ οὐ πρότερον ἐπηγέρθην, πρὶν προσπταῖσαι λίθῳ. καὶ τοῦτ' ἔστιν ἄρα τὸ μέχρι πλείονος οὐκ ἐπιτρέπον ὁδοιπορεῖν τοῖς ὑπνώττουσι, τὸ μὴ δύνασθαι λείας ἀκριβῶς ἐπιτυγχάνειν τῆς ὁδοῦ. τοῦτο μὲν δὴ τοῖς πειραθεῖσι μόνοις πιστόν, τὰ δ' ἄλλα πᾶσιν ἐναργῶς ὁσημέραι φαίνεται, τὰ κατὰ τοὺς ἐν τῷ καθῆσθαι κοιμωμένους. B καὶ αὐτῶν δὲ τῶν κατακεκλιμένων, ὀλίγοι παντελῶς τὸ μέσον ἀκριβῶς σχῆμα καθ' ἕκαστον τῶν μορίων ἔχουσιν, ὅσοι δ' ἐν ταῖς χερσί τι φυλάττουσιν, οὗτοι μὲν καὶ πάνυ τὴν τονικὴν ἐνέργειαν ἐπιδείκνυνται. μένουσι γὰρ ἀκριβῶς αὐτῶν οἱ δάκτυλοι κεκαμμένοι περὶ σμικρὸν πολλάκις σῶμα χρυσίον, ἢ λίθον, ἢ νόμισμά τι. τὸ δὲ τῆς κάτω γένυος, ἆρ' οὐ καὶ αὐτὸ πρόδηλον; οὐ γὰρ ἀφίσταται τῆς ἄνω, πλὴν εἰ μεθύων τις, ἢ πάνυ ῥάθυμος, ἢ κεκμηκὼς ἐσχάτως κοιμῷτο. καὶ αὐτὸ δὲ τὸ ῥέγχειν διὰ τὰ τοιαῦτα φιλεῖ γίγνεσθαι. χαλασθείσης μὲν τῆς κάτω γένυος, ὑπτίου δὲ κατακειμένου τοῦ ἀνθρώπου. C καὶ γὰρ οὖν καὶ αὐτὸ τοῦτο τὸ ὕπτιον κατακεῖσθαι, σημεῖόν ἐστιν ἐκλύσεως. ταῦτ' ἄρα καὶ Ἱπποκράτης ἄμφω μέμφεται, τό θ' ὕπτιον κατακεῖσθαι, καὶ τὸ χάσκειν κοιμώμενον. τὰς δ' ἐπὶ θάτερον τῶν πλευρῶν κατακλίσεις, ἐπαινεῖ. γνοίης δ' ἂν μάλιστα, πόση τις ἐνέργεια ταῖς τοιαύταις κατακλίσεσιν ὑπάρχει, νεκρὸν ἀνθρώπου σῶμα κατακλίνας οὕτως. οὐδὲ γὰρ τὸν ἀκαρῆ μενεῖ χρόνον, ἀλλὰ καὶ ὕπτιον, ἢ πρηνὲς αὐτίκα γενήσεται, καθότι ἂν τύχῃ τῷ βάρει ῥέψαν. οὐκοῦν καὶ τὸ ὕπτιον κατακεῖσθαι, καὶ τὸ χάσκειν οὐκ ἄνευ τοῦ ῥέγχειν, ἢ ἐκλύσεως, ἢ μέθης, ἢ ῥαθυμίας σημεῖα. διὰ τοῦτο πάλιν ὁ Ἱπποκράτης, D ἅπαντα τὰ μόρια κελεύων ἐν τοῖς ἀνωδύνοις σχήμασιν ἐξαρθρήσαντά τε, καὶ συντριβέντα χειρουργεῖν. ἐπὶ τῆς κάτω γένυος φησιν, ὅσον μετρίως χάσκοντος τοῦ ἀνθρώπου. οἷον γὰρ ἐπὶ χειρὸς σχῆμα τὸ ἐγγώνιον, τοιοῦτον ἐπὶ τῆς κάτω γένυος τὸ μετρίως χάσκειν. τοῦτο γὰρ τῶν ἐσχάτων τὸ μέσον. ἔσχατα μὲν οὖν ἐστι τῆς κάτω γένυος σχήματα, τό τε μέγιστον χαινόντων γιγνόμενον, καὶ τοὺς ὀδόντας ἐρειδόντων ἀλλήλοις. ὧν τὸ μὲν ὑπὸ τῶν κατὰ τὸν ἀνθερεῶνα, καὶ τὸν τράχηλον μυῶν ἑλκόντων τὸ κάτω, θάτερον δ' ὑπό τε τῶν ἔνδον τῆς γένυος, τῶν ἐκ τῆς ὑπερῴας φυομένων, καὶ τῶν E κροταφιτῶν καλουμένων, ἀποτελεῖται. εἰ μή τι ἄρα καὶ οἱ μασητῆρες καλούμενοι μύες, οἱ κατὰ τὰ πλάγια τῆς κάτω γνάθου συνεπιλαμβάνονται τοῦ ἔργου. τοῦτο μὲν γὰρ ἑτέρωθι διαιρήσομεν. ἀλλά τό γε μετρίως χάσκειν, μέσον τῶν σχημάτων γίνεται πάντων τῶν εἰρημένων ἀργούντων μυῶν. ἀτὰρ οὖν καὶ τοῖς ἀποθνήσκουσιν αὐτομάτως εἰς τοῦθ' ἡ γένυς ἔρχεται κατὰ λόγον. ἅπαντες γὰρ αὐτοῖς οἱ μύες, τῆς ἐνεργείας στερίσκονται. δῆλον οὖν ὡς ἐν τῷ κοιμᾶσθαι μὴ κεχηνότας, διασώζεται τῶν ἀνασπώντων τὴν γένυν μυῶν ἡ ἐνέργεια. πολλοὶ δ' ἀνατεταμένας, ἢ κεκαμμένας, οἱ ἀκριβῶς τὰς χεῖ- F ρας ἔχοντες, καὶ τὰ σκέλη κοιμῶνται, σώζοντες κἀν τούτοις τὴν τονικὴν ἐνέργειαν. μακρολογῶ δ' ἴσως, ἐνὸν ὑπομνῆσαι τὰ προχειρότατα. τίς γὰρ ἀντιλέξει τὸ μὴ οὐχ ἡμέτερον ἔργον ὑπάρχειν, τὸ διὰ μυῶν φρουρεῖσθαι τὰς τῶν περιττωμάτων ἐκροάς; ἐφεστήκασι γὰρ ἐπὶ τοῖς πέρασι τῶν κατ' αὐτὰς ὀχετῶν, οἷον ἐπὶ πύλαις τισὶ φρουροὶ μύες εὔρωστοι

μηδὲν ἐπιτρέποντες ἔξω φέρεσθαι, πρὶν κελεῦσαι τὸν λογισμόν. ἀλλὰ καὶ τούτους ἐπὶ τῶν κοιμωμένων ὁρῶμεν, τὸ σφέτερον ἔργον ἀμέμπτως ἐκτελοῦντας. καὶ τὸ μεθεῖναί τι τῶν περιττωμάτων ἀκουσίως, ἢ παραλυθέντων γὰρ τῶν μυῶν τούτων, ἢ τοῦ λογισμοῦ κακοπραγοῦντος, ὡς ἐν φρενίτισιν, ἢ καὶ τοῦ λογισμοῦ, καὶ τῶν μυῶν βαρυνομένων, ὡς ἐν μέθαις. δεῖ γὰρ ἤτοι τὸν λογισμὸν μὴ προεστατεῖν, ἢ τοὺς μῦς ἐνεργεῖν μὴ δύνασθαι, ἢ ἀμφοτέρους ἅμα βεβλάφθαι. προπετὴς οὖν ἀπόφασίς ἐστιν, ἠρεμεῖν τοῖς κοιμωμένοις τὴν ψυχήν, πλὴν εἰ τὴν ἠρεμίαν οὐ τὴν τελέαν ἡσυχίαν, ἀλλ' οἷον παῦλαν τινα τῆς συντονίας λέγοιεν. εἰ γὰρ τοῦτο, καλῶς τε λέγουσι, καὶ ὁμολογοῦμεν αὐτοῖς, οὐ γὰρ ἀναίσθητοι παντάπασίν εἰσιν οἱ ὑπνώττοντες, ἀλλὰ δυσαίσθητοι. ἢ διὰ τί καλεσάντων ὑπακούουσι, καὶ φωτὸς εἰσκομισθέντος ἐξανίστανται, καὶ ἁψαμένων αἰσθάνονται; εἰ δέ μοι τὸν μεθύοντα λέγοις, καὶ μηδ' ὅπου γῆς ἐστιν εἰδότα, καὶ τὸν ὑπὸ ῥαθυμίας Ἐπιμενίδου βαθύτερον κοιμώμενον, οὗτοι καὶ πρὶν κοιμᾶσθαι, πλησίον ἀναισθησίας ἦσαν. καὶ μᾶλλον ἂν ἐπιτρέψαιο φυλακὴν οὑτινοσοῦν ἀνδρὶ δραστηρίῳ κοιμωμένῳ, ἢ τοῖς τοιούτοις ἐγρηγορόσιν. ἀλλ' ὅμως καὶ οὗτοι διασώζουσι πολλὰς τῶν ψυχικῶν ἐνεργειῶν.

nihil permittentes extra ferri prius, quàm ratio iusserit; quin & hos in dormientibus videmus suum officium absque vitio perficere. Et emittere aliquid superfluitatum inuitè, aut resolutis musculis fit, aut ratione deprauata, vt in phreniticis; aut etiam ratione, & musculis grauatis, vt in ebrietatibus; oportet enim aut rationem non præesse, aut musculos agere non posse, aut vtraque simul esse læsa. Temeraria igitur sententia est, quæ asserit, animam dormientium quiescere, nisi cessationem hanc non perfectam quietem, sed quasi intermissionem quandam vigoris dicant; nam si hoc dicant, bene dicunt, ipsisque assentimur; non enim sensus expertes penitus sunt dormientes, sed difficulter sentientes; cur enim vocantes subaudiunt, & lumine importato exurgunt, & tangentes sentiunt? Quòd si mihi ebrium dicas, nec vbi terrarum sit, scientem, & eum qui præ ignauia, Epimenide profundius dormiat, isti & priùs, quàm dormirent, prope sensus expertes erant; & magis vtique custodiam cuiuscunque rei permitteres viro frugi, & strenuo dormienti, quàm huiuscemodi vigilantibus; verumtamen, & isti conseruant multas actiones animales.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τὰς κινήσεις ἁπάσας, καὶ τὰ πάντα σχήματα ἐν τοῖς ὕπνοις, πλὴν τὰ ἁπλῶς μέσα, εἶναι τῆς ψυχῆς, καὶ μὴ τῆς φύσεως ἔργα, καὶ τί διαφέρει τὸ καθ' ὁρμὴν τοῦ κατὰ φύσιν.

Οὐκοῦν πιστὸς ὁ λόγος, ὁ τὰς τοῖς κοιμωμένοις τε καὶ κεκαρωμένοις γινομένας ἐνεργείας φυσικὰς ἁπάσας εἶναι λέγων. οὐ γὰρ ἀληθὲς ἐν τῷ καθόλου τὸ τοιοῦτο. τί γὰρ αὖ, ὅτι μεταφέρουσι καὶ κινοῦσι παντοίως τὰ κῶλα; τί δ' ὅτι φθέγγονται κοιμώμενοι, μὴ καὶ ταῦτα φύσεως ἔργα φήσουσιν; ἀλλ' οὐ παρακολουθοῦμεν αὐτοῖς τῇ διανοίᾳ γινομένοις, ἐρεῖ τις ἴσως. οὐδὲ γὰρ τῇ τῶν βλεφάρων κινήσει διὰ παντός, οὐδ' ὅταν δημηγορῇς, ἢ ῥητορεύῃς, ἢ διαλέγῃ προσέχεις τῇ διανοίᾳ ταῖς τῶν μορίων ἁπάντων κινήσεσιν, οὐδ' ὅταν Ἀθήναζε βαδίζεις ἐκ Πειραιῶς πάσαις ταῖς ἐπὶ μέρους ἐνεργείαις τῶν σκελῶν, οἱ μέν γε φροντισταὶ πολλάκις ἔλαθον αὑτοὺς τὴν ὁδὸν διανύσαντες, καὶ παρελθόντες τὸ χωρίον, ἐφ' ὃ τὴν ἀρχὴν ὥρμησαν. ἆρ' οὖν τὸ βαδίζειν, οὔτε ψυχῆς ἔργον, οὔτε καθ' ὁρμὴν γίνεται; ὁμοίως γὰρ ἡμᾶς ἔοικεν ἥτε νῦν διαλανθάνειν βάδισις, ἥτ' ἐν τοῖς ὕπνοις, κίνησις μὲν τῶν κινουμένων μορίων· ἐνέργεια δὲ τονικὴ τῶν μὴ κινουμένων. ὥσθ' ἣν ἂν αἰτίαν ἐπὶ τῶν ἐγρηγορότων εἴπῃς τοῦ μὴ παρακολουθεῖν πολλάκις ταῖς κατὰ μέρος ἐνεργείαις, ταύτην ἐπὶ τοὺς κοιμωμένους τε, καὶ κεκαρωμένους μεταφέρειν, καὶ μηκέτι θαυμάζειν, πῶς πολλὰ τῶν καθ' ὁρμὴν ἔργων, καὶ τούτοις γίγνεται. τὸ δ' ἀποροῦντα τῆς αἰτίας, ἑτοίμως ἀποφαίνεσθαι μηδὲν τῶν τοιούτων ἔργων γίγνεσθαι καθ' ὁρμήν, ὅρα μὴ προπετὲς ᾖ. εἰ μὲν οὖν μηδὲν κριτηρίῳ σαφεστέρῳ τὰ τοιαῦτα κρίνεσθαι δύναται, πότερα προαιρέσεως, ἢ φύσεώς ἐστιν ἔργα; τί δ' ἄλλο, ἢ τὸ μηδὲν δεῖν ὑπὲρ αὐτῶν ἀποφαίνεσθαι περαίνεται. καὶ δίκαιον ἀπορητικοὺς γίνεσθαι μᾶλλον ἐπί γε τῶν τοιούτων, ἢ προπετῶς δογματίζειν. εἰ δ' ἔχομεν ἐναργέστατον κριτήριον τῶν καθ' ὁρμὴν ἔργων, ὥσπερ οὖν ἔχομεν, ἀποφαινώμεθα θαρροῦντες, οὐ μόνον ἕκαστον τῶν εἰρημένων, ἀλλὰ καὶ τὴν ἀναπνοὴν αὐτὴν γίνεσθαι καθ' ὁρμήν, ἄχρι γ' ἂν ὑποπίπτειν καὶ αὐτὴ φαίνεται τῷ κρι-

CAPVT V.

Motus ac figuras omnes præter simpliciter media, quæ in somno fiunt, animæ non naturæ actiones esse; ac quid differat Voluntarium à naturali.

Non igitur probabilis est oratio quæ asserit actiones, quæ fiunt dormientibus, & profundiori somno oppressis, omnes naturales esse: non enim in vniuersum verum est hoc; nonne transferunt, & mouent variè membra? nonne etiam dormientes loquuntur? an & hæc naturæ opera dicent? At (dicet fortasse quispiam) non assequimur mente ea fieri. Neque sanè palpebrarum motui semper; neque quum concionem habes, aut oras, aut disputas, adhibes mentem omnium partium motibus, neque quum Athenas adis ex Pyreo, omnibus particularibus crurum actionibus, nam cogitabundi sæpius imprudenter peregerunt iter, aut etiam præterierunt locum, ad quem principio proficiscebantur. Vtrum igitur ambulatio neque animæ actio est, neque motu voluntario fit? æquè enim nos, & ambulatio præsens videtur latere, & quæ in somnis accidit, motus quidem partium, quæ mouentur; actio autem tonica earum, quæ non mouentur. Quare quam causam in vigilantibus dixeris, quod sæpe non animaduertunt sigillatim actiones, hanc etiam, & ad dormientes, & grauius oppressos transferre licet, nec ampliùs admirari, cur multa opera voluntariò, & his fiant; sed causa ignorantiæ promptè pronunciare, nullum talium operum voluntariò fieri, vide ne temerarium sit. Quòd si nullo certiore iudicio huiuscemodi iudicari queant, vtrum voluntatis, an naturæ sint actiones: Quid aliud concluditur, quàm nihil oportere de his pronunciare? atque æquum potius est de huiusmodi dubitare, quàm temerè decernere. Sed si habemus euidentissimum iudicium de voluntariis actionibus, sicut certè habemus, pronunciemus confidenter non solùm quodque dictorum, verùm etiam respirationem ipsam motu voluntario fieri, nimirum quum & ipsa subiici iudicio videatur.

deatur. Quid igitur est, quo iudicamus opera voluntaria? Multa tibi confido, non vnum iudicium me daturum, omniáque sibi inuicem consentanea. Etenim si quæ fiunt, sedare potes, quum vis; & quæ non fiunt, facere, id est motus voluntarius. Si præterea citiùs, aut tardiùs, crebriùs, aut rariùs, ea faciendi potestatem habes, nonne omnibus modis manifestum est actiones eas parere voluntati? Arteriæ certè motum, & cordis, neque cohibere, neque excitare, neque crebriorem, neque rariorem, neque tardiorem, neque velociorem, voluntas facere potest; idcirco ne animæ quidem opera huiuscemodi esse dicunt, sed naturæ. Motum autem crurum in his omnibus ratio regit; nam & sedare dum fit, & rursus excitare quiescentem, & velociorem, & tardiorem, & rariorem, ac frequentiorem efficere potest. Hæc eadem, & respirationis motu fiunt, quæ actio quidem est diaphragmatis, & musculorum thoracis, vt in iis, quæ de causis respirationis scripsimus, demonstratur; animæ autem non naturæ est opus, siquidem mouere musculos, animæ officium est. Non est autem æquum, in quibus causam non reperimus, in ipsis discedere ab iis, quæ euidenter apparent; euidentia certè sunt iudicia actionum voluntariarum; causam autem non reperimus in iis, quorum particulares actiones non assequimur. Qui igitur euidentibus fidem abrogat, sensus est expers; qui verò de dubiis promptè pronuntiat, temerarius est; qui autem propter obscuritatem, quæ his inest, ea quæ etiam clara sunt, habet suspecta, de numero eorum est, qui dubitationibus oblectantur: porrò qui non modò suspecta habet, verùm etiam, quæ clara sunt, propter obscuritatem dubiorum studet euertere, extremè fatuus est. Ne igitur spontè sensum nobis ipsi adimamus, neque dubitationis æmuli, aut fatui, aut aliud eiusmodi quiduis simus; sed quod tum rectum est, tum modestis hominibus conuenit, quod quidem euidens est, promptè accipiamus; quod autem est dubium, per ocium quæramus. Euidens igitur est voluntatem respirationi dominari; dubium verò, quam ob causam plerasque actionum voluntariarum mente non assequamur. Eo itaque supposito, quod est euidens, ad vestigandam causam transeamus, non contendentes omninò quicquam in ea, nec asserentes adhuc nos inuenisse veram causam, tametsi ea dictis antea longè est probabilior. Cæterùm (vt ego arbitror) nemo adhuc causam dixit; sed dubitatione sola (cuius iam mentionem feci) adscripta causam se putauerunt inuenisse. Quorum sanè institutum est laudandum, siue inuenerint, siue inuenire studuerint, sed nos ipsos quoque non decet pigros esse ad inueniendum ea, quæ restant.

A τηρέω. τί τοίνυν ἐστὶν, ᾧ κρίνομεν τὰ καθ' ὁρμὴν ἔργα; πολλά σοι νομίζω δώσειν, οὐχ ἓν κριτήριον, ἅπαντα ἀλλήλοις ὁμολογοῦντα. καὶ γὰρ εἰ τὰ γινόμενα παῦσαι προαιρούμενος δύναιο, καὶ εἰ μὴ γινόμενα ποιῆσαι, καθ' ὁρμήν ἐστιν. εἰ τοίνυν πρὸς τούτοις, καὶ τοῦ θᾶττον, ἢ βραδύτερον αὐτὰ γίνεσθαι, καὶ τοῦ πυκνοτέρου, ἢ ἀραιοτέρου ἐξουσίαν ἔχοις, ἆρ' οὐ παντοίως φανερὸν δουλεῦσαι τοὔργον τῇ προαιρέσει; ἀρτηρίας μὲν οὖν κίνησιν, καὶ καρδίας, οὔτε παῦσαι, οὔτ' ἐπεγεῖραι, οὔτε πυκνοτέραν, οὔτ' ἀραιοτέραν, οὔτε θᾶττον ποιῆσαι ἡ προαίρεσις δύναται, διὰ τοῦτο οὐδὲ ψυχῆς ἔργα τά γε τοιαῦτα εἶναί φα- B σιν, ἀλλὰ φύσεως ὑπάρχειν. τὴν δὲ τῶν σκελῶν κίνησιν, εἰς πάντα ταῦτα ὁ λογισμὸς ῥυθμίζει. καὶ γὰρ καὶ καταπαῦσαι γινομένην, καὶ πάλιν ἐπεγεῖραι ἠρεμοῦσαν, καὶ θᾶττονα, καὶ βραδυτέραν, καὶ ἀραιοτέραν, καὶ πυκνοτέραν ἐργάζεσθαι δύναται. τὰ δὴ αὐτὰ ταῦτα, καὶ περὶ τὴν τῆς ἀναπνοῆς γίνεται κίνησιν, ἐνέργειαν μὲν οὖσαν τῶν φρενῶν, καὶ τῶν τοῦ θώρακος μυῶν, ὡς ἐν τοῖς περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων ἀποδείκνυται. ψυχῆς δὲ ἔργον οὐ φύσεως ὑπάρχουσαν, εἴπερ τὸ κινεῖν τοὺς μῦς ψυχῆς ἔργον ἐστίν. οὐ δίκαιον δὴ ἐν οἷς ἀποροῦμεν, αἰτίας ἀφίστασθαι τῶν ἐναργῶς γιγνωσκομένων. ἐναργῶς μὲν C οὖν γιγνώσκεται τὰ κριτήρια τῶν κατὰ προαίρεσιν ἐνεργειῶν. ἀποροῦμεν δὲ αἰτίας ἐν οἷς οὐ παρακολουθοῦμεν τοῖς κατὰ μέρος ἔργοις. ὁ μὲν οὖν τοῖς ἐναργέσιν ἀπιστῶν, ἀναίσθητος, ὁ δὴ ὑπὲρ τῶν ἀπόρων ἑτοίμως ἀποφαινόμενος, προπετής. ὁ δὲ διὰ τὴν ἐν τούτοις ἀσάφειαν ὑποπτεύων καὶ τὰ σαφῆ τῶν τῆς ἀπορίας ἐραστῶν ἐστιν. ὁ δὴ οὐ μόνον ὑποπτεύων, ἀλλὰ καὶ ἀνατρέπειν ἀξιῶν τὰ σαφῆ, διὰ τὸ τῶν ἀπόρων ἀσαφὲς, ἀβέλτερος ἔσχατος. μὴ τοίνυν ἡμεῖς ἑκόντες, μήτ' ἀναίσθητοι γιγνώμεθα, μήτ' ἀπορίας ζηλωταὶ, μήτ' ἀβέλτεροι, μήτ' ἄλλο μηδὲν τῶν τοιούτων, ἀλλ' ὅσαπερ D ὀρθῶς τε ἔχει, καὶ μετρίοις ἀνθρώποις προσήκει, τὸ μὲν ἐναργὲς ἑτοίμως λαμβάνωμεν, τὸ δὴ ἄπορον κατὰ σχολὴν ζητῶμεν. ἐναργὲς μὲν οὖν τὸ τῆς ἀναπνοῆς δεσπόζειν τὴν προαίρεσιν. ἄπορον δὲ τὸ διά τινα αἰτίαν, οὐ παρακολουθοῦμεν τῇ διανοίᾳ πολλαῖς τῶν καθ' ὁρμὴν ἐνεργειῶν. θέντες οὖν ἤδη τὸ ἐναργὲς, ἐπὶ τὴν τῆς αἰτίας ζήτησιν μεταβῶμεν, μηκέτ' ἐν αὐτῇ πάντως διατεινόμενοι, μηδὲ τὴν ἀλήθειαν φάσκοντες εὑρηκέναι πω, κἂν ὅτι μάλιστα τῶν ἔμπροσθεν εἰρημένων ᾖ πιθανωτέρα. καίτοι οὐδὲ εἴρηκέ τις, ὡς ἐγὼ νομίζω τὴν αἰτίαν, ἀλλὰ τὴν ζήτησιν μόνον τῆς ἀπο- E ρίας γράφοντες, ἣν ἐγὼ νῦν δὴ πέπαυμαι λέγων, αἰτίαν ᾠήθησαν εὑρηκέναι. χρὴ μὲν οὖν ἀποδέχεσθαι κἀκείνους, εἴθ' εὗρον, εἴθ' εὑρεῖν ἐσπούδασαν. χρὴ δὲ μηδ' αὐτοὺς ὀκνεῖν ἐξευρίσκειν τὰ λείποντα.

CAPVT VI.

Quo pacto respiratio, & cæteræ actiones quas mente non assequimur, voluntariæ sint.

PRincipium autem inueniendi ea hoc faciemus, multos videlicet homines interdum actiones quasdam egisse, quarum paulò post penitus sunt obliti; vt qui per metum, aut ebrietatem, aut aliquid aliud generis eiusdem egerunt, nihil ampliùs eorum, quæ egerint, dum in illis constitutionibus erant, recordantur. Causa autem, vt mihi videtur est, quòd non intenti actionibus tota mẽte fuerint. Pars enim animæ imaginatrix, quæcunque

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Πῶς ἡ ἀναπνοὴ, καὶ τἆλλαι ἐνέργειαι, αἷς τῇ διανοίᾳ οὐ παρακολουθοῦμεν, κατὰ προαίρεσιν ὑπάρχουσι.

TOῦ δὲ εὑρεῖν αὐτὰ, τὴν δὲ τὴν ἀρχὴν ποιησόμεθα, τὸ F πολλοὺς ἀνθρώπους ἐνίοτε πράξεις τινὰς πράξαντας, ὀλίγον ὕστερον ἐπιλελῆσθαι τελέως αὐτῶν, οἷοι ὅσοι διὰ φόβον, ἢ μέθην, ἤ τι τοιοῦτον ἕτερον, οὐδὲν ὧν ἐν ἐκείναις ταῖς καταστάσεσιν ὄντες ἔπραξαν ἔτι γινώσκουσι. αἴτιον δέ μοι δοκεῖν ἐστὶ τὸ μὴ προσεχόντως παντὶ τῷ νῷ περὶ τὰς πράξεις αὐτοὺς ἐσχηκέναι. τὸ γάρ τι φανταζόμενον τῆς ψυχῆς, ὅ,τι ποτ'

ἂν ᾖ, ταὐτὸ τοῦτο καὶ μνημονεύειν ἔοικεν. ἂν μὲν οὖν ἐναργεῖς τοὺς τύπους τῶν πραγμάτων ἐν ταῖς φαντασίαις λάβῃ, διασώζει μέχρι παντὸς, καὶ τοῦτο μὲν τὸ μνημονεύειν ἐστίν. ἂν δ' ἀμυδροὺς, καὶ παντάπασιν ἐπιπολῆς, οὐ διασώζει, καὶ τοῦτ' ἔστι τὸ ἐπιλελῆσθαι. καὶ διὰ τοῦτ' ἐν θυμοῖς, καὶ φροντίσι, καὶ μέθαις, φρενίτισι, καὶ φόβοις, καὶ ὅλως τοῖς ἰσχυροῖς τῆς ψυχῆς παθήμασιν, οὐδενὸς ὧν ἂν πράξωσιν εἰς ὕστερον ἔτι μέμνηνται. τί δή ποτε οὖν θαυμαστὸν, κἀν τοῖς ὕπνοις, ἀμυδρῶς ἐνεργούσης τῆς ψυχῆς, ἀμυδρὰς καὶ τὰς φαντασίας γίνεσθαι, καὶ διὰ τοῦτ' οὐδὲ μονίμους; τί δὲ θαυμαστὸν, εἰ καὶ κατὰ τὰς ἐγρηγόρσεις, ἢ φροντίζοντός τι τοῦ λογισμοῦ, καὶ παντὸς ὀλίγου δεῖν περὶ τὸ φρόντισμα τεταμένου παντελῶς μικρά τις αὐτοῦ μοῖρα περὶ τὴν βάδισιν ἔχουσα, τὸν τῆς πράξεως τύπον ἀμυδρῶς ἀπομάττεται, καὶ διὰ τοῦτ' ἐπιλαθομένη παραχρῆμα, μηδ' εἰ καθ' ὁρμὴν ἐπράχθη τοὔργον ἔτι μέμνηται; ὡς γὰρ εἰ μηδ' ὅλως ἐμνημονεύομεν, οὐκ ἂν οἷοί τ' ἦμεν ὑπὲρ οὐδενὸς διασκέπτεσθαι τῶν γεγονότων, οὕτως ἐν οἷς μὴ μνημονεύομεν, οὐκ ἴσμεν ὁποῖά ποτ' ἦν. φυλάττεσθαι γὰρ αὐτὰ τῇ μνήμῃ χρὴ πρότερον, ἵν' ὁποῖ' ἄττα τὴν φύσιν ἐστὶν, ἑξῆς ἐπισκεψώμεθα. θαυμαστὸν οὖν οὐδὲν ἐμοὶ γοῦν φαίνεται τὸ τῆς ὁρμῆς ἐνεργούσης περὶ τὴν ἀναπνοὴν ἐν τοῖς ὕπνοις, ἐπειδὰν ἐξαναστῶμεν οὐκ ἔχειν ἡμᾶς εἰπεῖν εἰ κατὰ προαίρεσιν ἀναπνέομεν, ἀλλ' ὅμοιον τῷ καὶ τοὺς πόδας, καὶ τὰς χεῖρας ἐν τοῖς ὕπνοις κινήσαντι, καὶ φθεγξαμένῳ τι, κἄπειτα ἐπιλελησμένῳ, ἄνευ προαιρέσεως λέγειν γίνεσθαι τήν τε τῶν κώλων κίνησιν, καὶ τὴν φωνήν. καὶ γὰρ δὴ καὶ οἱ παραπαίοντες λαλοῦσί τε, καὶ βαδίζουσι, καὶ πάσας τὰς καθ' ὁρμὴν κινοῦνται κινήσεις. ἀλλ' οὐδ' οὗτοι παυσάμενοι τῆς παρανοίας, ὧν ἔπραξαν ἔτι μέμνηνται. τρισκαίδεκα γοῦν ἡμέραις οἶδά τινα παραπαίσαντα τόνδε τὸν τρόπον. ᾤετο μὲν Ἀθήνησιν οὐκ ἐν Ῥώμῃ κατακεῖσθαι. συνεχῶς δὲ τὸν συνήθη παῖδα καλῶν, ἐκέλευεν οἱ τὰ πρὸς τὸ γυμνάσιον ἐπιτήδεια κομίζειν, καὶ μικρὸν διαλιπὼν, ὦ οὗτος ἔφη, πρὸς τὸν Πτολεμαῖον λέγω. βούλομαι γὰρ ἐν αὐτῷ διὰ μακροῦ λούσασθαι, καί που καὶ ἀνεπήδα μεταξὺ, καὶ ἀμφιεσάμενος ἂν εὐθὺς τῆς αὐλείου θύρας ἵετο. καὶ κατεχόντων δὲ τῶν ἔνδον, καὶ κωλυόντων ἐξιέναι, διὰ τί κωλύετε, πρὸς αὐτοὺς ἀνεπυνθάνετο. οἱ δὲ (οὐδὲ γὰρ ἦν ἕτερον λέγειν, ἢ αὐτὰ τἀληθῆ) πεπυρέχθαι τε ἂν ἔφασαν αὐτὸν, καὶ πυρέττειν ἔτι. ὁ δὲ καὶ πρὸς ταῦτα πάνυ κοσμίως ἀπεκρίνατο. γινώσκειν γὰρ καὶ αὐτὸς ἔλεγεν, ὡς ἔτι λείψανον αὐτῷ πυρετοῦ, παντελῶς δ' εἴη μικρὸν τοῦτο, καὶ μηδὲν ὕποπτον βαλανείῳ βλαβῆναι. γεγονέναι γὰρ ὅλον αὐτῷ τὸν πρόσθεν πυρετὸν ἐξ ὁδοιπορίας. ἢ οὐ μνημονεύεις, ἐπιστραφεὶς ἔλεγε πρὸς τὸν παῖδα, ὡς συντόνως ὡδοιπορήσαμεν χθὲς ἀπὸ Μεγάρων Ἀθήναζε; τοιαῦτα λέγων, καὶ τοιαῦτα ποιῶν αἱμορραγίας διὰ ῥινῶν ἀθρόας αὐτῷ γενομένης, καὶ μετ' αὐτὴν ἱδρῶτος, ὑγίαινε μὲν αὐτίκα μάλα, τῶν δ' ἔμπροσθεν οὐδενὸς ἔτ' ἐμέμνητο. πότερον οὖν (τοῦτο γάρ ἐστιν ὃ ἐξ ἀρχῆς προὐθέμεθα δεῖξαι) τὸ διαναστῆναι, καὶ περιφθέγξασθαι, καὶ ἀποπατῆσαι, καὶ οὐρῆσαι, ταῦτα γὰρ ἅπαντα ἐν πάσαις ἔπραττεν ἐκείναις ταῖς ἡμέραις ὁ ἄνθρωπος, οὐκ ἔστι τῶν κατὰ προαίρεσιν ἔργων, ἢ τοῦτο μὲν ἄτοπον; εἰ γὰρ μὴ ταῦτα κατὰ προαίρεσιν, οὐδ' ἄλλο οὐδέν. οὐκ ἐμέμνητο δ' αὐτῶν, ὥσπερ οὐδὲ τῶν ἐν ταῖς μέθαις πραχθέντων, οἱ νήψαντες ἔτι μέμνηνται.

A ea sit, hæc eadem, & recordari videtur; si itaque insignes impressiones rerum in imaginationibus acceperit, conseruat perpetuò, atque id quidem est memoria tenere; sin verò obscuras, & penitus superficiarias, non conseruat, & hoc est obliuisci; & ob hanc causam in ira, curis, ebrietatibus, timoribus, phrenitidibus, & omninò in vehementibus animi affectibus, nullius eorum, quæ egerint, in posterum ampliùs meminerunt. Quid igitur mirum est in somnis etiam, obscurè agente anima, obscuras etiam imaginationes fieri, ideóque nec stabiles? quid etiam mirum, si in vigiliis ratio-B ne quidem aliquid meditante, & tota ferè circa curam intenta, parua quædam eius admodum pars circa ambulationem occupata impressionem actionis facit obscuram; & idcirco statim oblita, ne quidem, num spontaneo motu opus factum sit, ampliùs meminit? Vt enim si nullo pacto recordaremur, non vtique possemus de vlla re præterita considerare: sic in quibus non meminimus, nescimus, qualiánam essent; conseruari enim ea prius memoria oportet, vt qualiánam sint natura, deinde consideremus. Nihil igitur mirum mihi certè videtur, si C motu voluntario respirationem in somnis agente, postquam expergefacti fuerimus, non possimus dicere, an secundum voluntatem respiremus; sed simile profectò accidit, quod illi, qui & pedes, & manus in somnis mouerit, & aliquid sit loquutus; postea illorum oblitus, dicat fieri absque voluntate, & membrorum motum, & vocem. Nam & qui mente errant, loquuntur, & vadunt, & omnes motus voluntarios obeunt, sed ne hi quidem, quum ad ingenium redierint, amplius meminerunt, quæ egerint. Noui enim quendam per tredecim dies delirasD se hoc pacto; putabat quidem se Athenis, non Romæ, iacere; crebro autem familiarem puerum vocans, iubebat sibi, quæ ad gymnasium pertinebant, afferri, & pauca intermissione facta; heus (inquit) ad Ptolemæum dico, decreui in gymnasio diu lauari; ac nonnunquam etiam exiliebat interea, atque indutus ibat recta ad ostium aulæ, ac quum retinerent eum, qui intus erant, exiréque prohiberent, cur prohiberetur, ab eis percontabatur; hi verò (nihil enim licebat aliud dicere, quàm ea, quæ erant vera) febricitasse eum dicebant, & adhuc febricitare; ipse autem, & ad hæc valdè modestè respondebat; scire enim & E ipse dicebat, quòd adhuc reliquiæ sibi febris restabant, sed eas penitus esse exiguas, nec metuendum ne à balneo læderetur, ortam enim sibi totam præsentem febrem ex itinere; an non recordaris, conuersus ad puerum, dicebat, quòd laboriosè heri iter fecimus à Megaris Athenas? Talia quum diceret, ac faceret, fluxu sanguinis per nares repentè copioso sibi facto, & post ipsum sudore, statim quidem conualuit, sed eorum, quæ ante sibi acciderant, nullius ampliùs recordabatur. Vtrum igitur (hoc enim est, quod à principio F proposuimus ostendere,) surrexisse, & locutum fuisse, & aluum exonerasse, & minxisse (hæc enim omnia in omnibus illis diebus homo faciebat,) non sint actiones voluntariæ, an id quidem absurdum? nam si hæ non sunt voluntariæ, ne vlla alia quidem erit. Non autem eorum recordabatur quemadmodum ne sobrij quidem eorum, quæ ebrij fecerunt, ampliùs meminerunt.

Quid

Quid igitur mirum ita se habere & in respiratione, vt fiat quidem ipsa ex voluntate, sed quum aliàs quidem diligentiùs adhibeamus mentem, aliàs verò negligentiùs segniusque, idcirco recordemur quidem actionum, quibus mentem adhibuimus; obliuiscamur autem eorum, quæ secus se habent? Quoniam verò, cuius rei penitus obliti fuerimus, hanc ne actam quidem aliquando fuisse putamus, consequens est, vt an cum voluntate acta sit, ne quidem recordemur. Quòd autem totum opus respirationis voluntate, & spontè ab anima fiat, declarauit seruus barbarus; qui quum vehementi ira concitatus mortem sibi consciscere decreuisset, prostratus humi, respiratione que cohibita, longo quidem tempore immobilis erat; postea verò paulùm volutatus, hoc pacto mortuus est. Quòd si non liceret vsquequaque respirationem cohibere, ne idcircò quidem aliquis negaret, quin ipsa secundum voluntatem fieret. Apparent enim eorum operum, quæ motu voluntario fiunt, alia quidem libera esse, alia verò affectibus corporis seruire. Priora itaque perpetuò absque impedimento à nobis fiunt, posteriora verò non perpetuò, sed in tempore quodam, & cum mensura; nam ire ad aliquem, & alloqui, & capere aliquid, & recipere, absolutè libera sunt; deijcere verò, & mingere, corporis affectuum sunt remedia. Atqui nonnulli tacuerunt quidem annum integrum, & eo ampliùs, idque spontè sua, deiectionem verò, vel vrinam retinere, non modò annis, sed ne mensibus quidem, quinimò nec diebus paucis, nemo potuit, adeò enim vrgent, ac sæpe angunt, vel multitudine grauantia, vel acrimonia mordentia, vt quidam ne in locum quidem consuetum abire valuerint. Simile igitur & his est & respirationis opus, imò multò magis vrget, ac celeriorem necessitatem habet: etenim periculum est, ne quis moriatur, nisi respirauerit; atque extremè molestum est suffocari. Nihil igitur mirum, si penitus retinere ipsam arduum sit: neque enim omnes ad moriendum sunt procliues, etiamsi infinitis malis conflictentur, neque qui eò progrediuntur, abire è vita summo cum dolore volunt. Neque igitur quispiam eo, quòd tacere quidem, si velimus, vsquequaque possumus, respirationem verò retinere non possumus, idcircò voluntarium quidem opus esse vocem; minimè autem, sed naturalem quiddam, respirationem existimet. Hoc certè arbitror clarè demonstratum fuisse.

τί δὴ θαυμαστὸν οὕτως ἔχειν, καὶ ἐπὶ τῆς ἀναπνοῆς, γίνεσθαι μὲν αὐτὴν κατὰ προαίρεσιν, ἀλλά ποτε μὲν προσεχόντων τοῦ νοῦ ἐπιμελέστερον, ποτὲ δὲ ἀργότερόν τε, καὶ ῥαθυμότερον· διὰ τοῦτο μεμνῆσθαι μὲν ἡμᾶς τῶν κατὰ τοῦ προσέχειν τοῦ νοῦ γιγνομένων ἐνεργειῶν, ἐπιλανθάνεσθαι δὲ τῶν ἑτέρως; ἐπεὶ δὴ οὗ γὰρ ἂν ἐπιλαθώμεθα τελέως, τοῦτ' οὐδὲ ἐπεπράχθαι ποτὲ νομίζομεν, ἀκόλουθόν ἐστι, μηδ' εἰ κατὰ προαιρέσεως πεπράχθη μνημονεύειν. ὅτι δὴ ὅλον ὑπὸ ψυχῆς γίνεται καθ' ὁρμὴν τὸ τῆς ἀναπνοῆς ἔργον, ἔδειξεν οἰκέτης βάρβαρος, ὃς ἐπειδὴ θυμωθεὶς, εἵλετο τεθνάναι, καταβαλὼν ἑαυτὸν ἐπὶ γῆς, καὶ τὴν ἀναπνοὴν ἐπισχὼν, μέχρι πολλοῦ μὲν ἀκίνητος ἦν· ὕστερον δὲ βραχὺ κυλινδηθεὶς, οὕτως ἀπέθανεν. εἰ δὲ καὶ μὴ δυνατὸν ἦν μέχρι παντὸς ἐπισχεῖν τὴν ἀναπνοὴν, οὐκ ἂν οὐδὲ διὰ τοῦτό τις ἀπέγνω, τοῦ μὴ κατὰ προαίρεσιν αὐτὴν γίγνεσθαι. φαίνεται γὰρ τῶν καθ' ὁρμὴν ἔργων, τὰ μὲν ἐλεύθερα πάντα, τὰ δὲ τοῖς τοῦ σώματος παθήμασι δουλεύοντα. τὰ μὲν οὖν πρότερα, διὰ παντὸς ἀκωλύτως ὑφ' ἡμῶν γίγνεται, τὰ δεύτερα δὴ οὐ διὰ παντὸς, ἀλλ' ἐν χρόνῳ τινὶ, καὶ κατὰ μέτρου. τὸ μὲν γὰρ βαδίσαι πρός τινα, καὶ διαλεχθῆναι, καὶ λαβεῖν τι, καὶ δέξασθαι, τελέως ἐλεύθερα. τὸ δὴ ἀποπατῆσαι, καὶ οὐρῆσαι, τῶν τοῦ σώματος παθημάτων ἐστὶν ἰάματα. καὶ τοίνυν ἐσιώπησαν μέν τινες ἐνιαυτὸν ὅλον, ἢ πλέονα χρόνον, οὕτω προελόμενοι. ἀποπάτημα δὴ, ἢ οὖρον ἐπισχεῖν, οὐχ ὅπως ἔτεσιν, ἀλλ' οὐδὲ μησὶν, οὐδ' ἡμέραις ὀλίγαις οὐδεὶς δύναται. οὕτω γὰρ ἐπείγει, καὶ ἀνιᾷ πολλάκις, ἢ τῷ πλήθει βαροῦντα, ἢ τῇ δριμύτητι δάκνοντα, ὥστ' οὐδ' εἰς τὸν εἰθισμένον τόπον ἐξαρκέσαι τινὲς ἀπελθεῖν ἠδυνήθησαν. ὅμοιον δὲ τούτοις ἐστὶ, καὶ τὸ τῆς ἀναπνοῆς, καὶ πολὺ μᾶλλον ἔπειγον, καὶ συντομωτέραν ἔχον τὴν χρείαν. καὶ γὰρ ἀποθανεῖν κίνδυνος μὴ ἀναπνεύσαντα, καὶ ἀνιαρὸν ἐσχάτως τὸ ἀποπνίγεσθαι. θαυμαστὸν οὐδὲν οὖν εἰ τελέως αὐτὴν ἐπισχεῖν, χαλεπόν. οὔτε γὰρ ἀποθνήσκειν ἕτοιμοι πάντες, οὐδ' ἂν μυρίοις συνέχωνται κακοῖς, οὔτ' ἂν ἐπὶ τοῦθ' ὁρμήσασιν, ἀνιαρῶς ἐξιέναι βούλονται. μὴ τοίνυν τις ἐκ τοῦ σιωπᾶν μὲν ἡμᾶς προελομένους ἕως παντὸς δύνασθαι, τὴν δ' ἀναπνοὴν ἀδυνατεῖν ἐπισχεῖν, προαιρέσεως μὲν ἔργον εἶναι τὴν φωνὴν, ἀπροαίρετον δὲ καὶ φυσικὸν, τὴν ἀναπνοὴν νομιζέτω. τοῦτο μὲν δή μοι δοκῶ σαφῶς ἀποδεδεῖχθαι.

CAPVT VII.

Ratio inueniendi Mediam figuram in omni motu.

QVod autem reliquum est, toti sermoni de mediis figuris deinceps addere æquum est. Vt enim in manibus, quod appellatur angulare, quod exactè medium summæ extensionis, & flexionis est, omnis prorsus doloris est expers, sic videri posset, & in cruribus se habere; non tamen ita est, sed quod in his dolore caret, consistit inter mediam figuram, & extensionem extremam. Causa autem consuetudo est; plurimùm enim extensis cruribus vtimur, huius enim gratia facta sunt, vt totum corpus ab his sustineretur, stantibus, & ambulantibus nobis; & priùs etiam, quàm ipsis vtamur, in fasciis extensa formata sunt, ideóque & in somnis, & alioqui discumbentibus, extensa magis, quàm flexa sunt. Quinetiam multò magis

ΚΕΦΑΛΑΙΟΝ Ζʹ.

Πῶς ἐν τῇ πάσῃ κινήσει, τὸ μέσον σχῆμα εὕρηται.

ΤΟ δὲ λοιπὸν τῷ παντὶ λόγῳ περὶ τῶν μέσων σχημάτων, ἑξῆς προσθεῖναι δίκαιον. ὡς γὰρ ἐπὶ τῶν χειρῶν τὸ καλούμενον ἐγγώνιον μέσον ἀκριβῶς ἄκρας ἐκτάσεως, καὶ καμπῆς ὂν, ἀνωδυνώτατόν ἐστιν, οὕτω δόξειεν ἂν ἔχειν κἀπὶ τῶν σκελῶν, οὐ μὴν ἔχει γ' οὕτως, ἀλλ' ἐν τῷ μεταξὺ τοῦ μέσου σχήματος, καὶ τῆς ἄκρας ἐκτάσεως, τὸ ἐν τούτοις ἀνώδυνον. αἴτιον δὲ τὸ ἔθος, τὰ πολλὰ γὰρ ἐκτεταμένοις τοῖς σκέλεσι χρώμεθα. καὶ γὰρ τούτου χάριν ἐγένετο, τοῦ πᾶν ὀχεῖσθαι τὸ σῶμα πρὸς αὐτῶν ἑστώτων τε ἡμῶν, καὶ βαδιζόντων. καὶ πρὶν δὴ ἐνεργεῖν δι' αὐτῶν, ἐν τοῖς σπαργάνοις ἐκτεταμένα διεπλάσθη. ταῦτ' ἄρα κἂν τοῖς ὕπνοις, καὶ ἄλλως κατακειμένοις ἐκτέταται μᾶλλον, ἢ κέκαμπται, ἀλλὰ καὶ πονούμενα πολὺ μᾶλλον

ἐν ταῖς ἐσχάταις κάμψεσιν, ἢ ταῖς ἐκτάσεσιν. οἱ πολλοὶ δὲ ἄγειν ὅλως εἰς ἐσχάτην καμπὴν δυνάμεθα τὸ σκέλος, μὴ ταῖς χερσὶ συνεργήσαντες, ἀλλ' οἷον χωλὸν εἰς ταύτην τὴν ἐνέργειαν ἔχομεν ὑπὸ ἀηθείας, καὶ μόνοις γε ῥᾳδίως κάμπτεται τοῖς ὀρχησταῖς, ἢ παλαισταῖς, οἷς γὰρ καὶ μόνοις εἴθισται τελέως κάμπτεσθαι. τοσοῦτον οὖν τοῦ μέσου σχήματος ἐπὶ τὴν ἔκτασιν προέβη τὸ τελέως ἀνώδυνον, ὅσον ὑπὸ τοῦ πολυχρονίου τῶν κώλων ἔθους ἠναγκάσθη. ταῦτ' οὖν τὰ δύο σκοπῶν ἐφ' ἁπάντων τῶν ἄρθρων, τήν τε φύσιν, καὶ τὸ ἔθος, ἐξευρήσεις οὕτως τὸ μέσον τε, καὶ ἀνώδυνον. ἔοικε δ' ἐς ταὐτὸ συμβαίνειν πανταχῆ τὸ μὲν ἔθος τῇ φύσει. καὶ καλῶς εἴρηται φύσις ἐπίκτητος, τὸ δ' ἀνώδυνον σχῆμα, τῷ μέσῳ. καὶ γὰρ ἐπὶ τῶν σκελῶν, ταὐτὸν τὸ ἀνώδυνον καὶ μέσον, ἄν γε τὸ μέσον τῶν ὑπαρχουσῶν τοῖς κώλοις κινήσεων, καὶ μὴ τελέας ἐκτάσεως, καὶ καμπῆς μέσον ποιήσῃς. εὑρήσεις γὰρ ὅσον ἀπολειπόμεθα τοῦ κάμπτειν ἐσχάτως, τοσοῦτον ἀποχωροῦν ἀνώδυνον σχῆμα πρὸς τὴν ἔκτασιν. ἐν τῷ καθόλου τοίνυν, ἐφ' ἁπάντων τῶν ἄρθρων τὰς ἐσχάτας κινήσεις ἐπισκεψάμενος, ἐξευρήσεις τὸ μέσον τε, καὶ ἀνώδυνον σχῆμα. ὡς γὰρ ἐπὶ τοῦ κατ' ὀλέκρανον ἄρθρου τὸ καλούμενον ἀγκώνιον, ἐπὶ δὲ τοῦ κατὰ γόνυ τὸ πλησιαίτερον τῆς ἐκτάσεως, οὕτως ἐπὶ τῆς ῥάχεως τὸ πλησιαίτερον τῆς καμπῆς, ἐπὶ δὲ τοῦ κατὰ καρπὸν ἄρθρου τὸ ἀκριβῶς εὐθύ. τὴν μὲν γὰρ ῥάχιν ἐπιπλέον κυρτήν, ἢ καμπύλην δυνάμεθα ποιεῖν, τὸν καρπὸν δ' ἀνακάμπτομεν, καὶ κάμπτομεν, ἴσως πρὸς ἑκάτερον μέρος εὐθέος. κατὰ λόγον οὖν τοῦτο μὲν τὸ ἀκριβῶς εὐθύ, μέσον ἀκριβῶς ὑπάρχον τῶν ἐσχάτων κινήσεων, ἀνωδυνώτατόν ἐστι. τῇ ῥάχει δ' οὐκέτι τὸ εὐθὺ μέσον, ἀλλὰ τὸ κυρτὸν ἐπ' ὀλίγον. ἐπλεονέκτει γὰρ ἡ εἰς τοῦτο κίνησις, ὅθεν ὀρθοὶ μᾶλλον πονοῦμεν τοῖς κατὰ ῥάχιν μορίοις, ἢ καθεζόμενοί τε, καὶ κατακείμενοι. δεῖται γὰρ ἑστώτων μὲν τετάσθαι, κατακειμένων δέ, καὶ καθεζομένων, οὐδὲν κωλύει κεκυρτῶσθαι. ταῦτ' ἐφ' ἁπάντων τῶν ἄρθρων διασκεψάμενος, εὑρήσεις ὁμολογοῦντα πάντα τὸν λόγον ἑαυτῷ. καὶ γὰρ ὅσοι μύες χωρὶς ἄρθρων εἰσίν, κἀν τούτοις ἡ μέση κατάστασις ἀνώδυνος, ὥσπερ ἐφ' ἕδρας ἔχει, καὶ κύστεως, καὶ γλώττης. τό τε γὰρ εἰς ἔσχατον σφίγγειν τὴν ἕδραν, καὶ τὸ διοίγειν ἐπὶ μέγιστον, ὀδυνηρά. τό τ' ἐκτείνειν ἐπὶ μήκιστον τὴν γλῶτταν ἢ κάμπτειν, ἢ ὁπωσοῦν ἄλλως ἀμέτρως περιάγειν. ῥᾷστον οὖν καὶ τούτοις ἐξευρίσκειν τὸ μέσον ὑπερβολῶν, ὅπερ καὶ ἀνώδυνόν ἐστι. καὶ πάντες ἄνθρωποι παρ' ὃν ἀναπαύονται χρόνον τῶν κατὰ τὸν βίον ἐνεργειῶν, τὸ μέσον τε, καὶ ἀνώδυνον ἐν ἅπασι τοῖς μορίοις ἴσχουσι σχῆμα. οὕτως ὑπὸ τῆς δικαίας φύσεως ἀναγκαζόμενοι, φησὶν Ἱπποκράτης. ἐν μὲν δὴ τῇ γλώττῃ κατὰ συζυγίαν, ἅπαντες οἱ μύες πεφύκασιν ἄνωθέν τε, καὶ κάτωθεν, κἀκ τῶν δεξιῶν, κἀκ τῶν ἀριστερῶν, ὥστ' οὐδὲν θαυμαστὸν εἰς τὰς ἐναντίας ἀπάγεσθαι τὸ μόριον κινήσεις ὑπὸ τῶν ἀντιτεταγμένων. ἐπὶ δὲ τοῦ κατὰ τὴν ἕδραν μυός, καὶ τοῦ κατὰ τὴν κύστιν, καὶ τοῦ κατὰ τὰς φρένας (εἷς γάρ ἐστι καθ' ἕκαστον τούτων κυκλοτερής, οὐδενὸς ἀντιτεταγμένου μυός) ὅθεν εἰς τὰς ἐναντίας ἄγεται τὰ μόρια κινήσεις, οὐκέθ' ὁμοίως εὔπορον, οὐδ' ἐκ τοῦ προχείρου δῆλον, ἀλλ' ὧδε σκόπει.

laboramus in extremis flexionibus, quàm extensionibus: multi autem deducere omninò ad extremam flexionem crus non possumus sine manuum opera, sed veluti mutilum ad eam actionem præ insolentia habemus; solisque saltatoribus, & luctatoribus facilè flectitur, quibus etiam solis perfectè flecti solitum est. Tantum igitur à media figura ad extensionem progressum est quod perfectè caret dolore, quantum à diuturna consuetudine membrorum est coactum. Hæc igitur duo considerans in omnibus articulis, naturam videlicet, & consuetudinem, inuenies medium, & dolore carens. Videtur autem in idem conuenire vbique consuetudo quidem cum natura, vnde pulchrè dictum est, ipsam esse naturam acquisititiam; figura verò dolore carens, cum medio; etenim in cruribus idem est, quod est sine dolore, & medium, siquidem medium motuum, qui insunt membris, neque perfectæ extensionis, & flexionis medium feceris, inuenies enim quantum absumus à flexione extrema, tantum discedere figuram dolore carentem ad extensionem. In vniuersum igitur in omnibus articulis extremos motus considerans inuenies mediam figuram, & doloris expertem. Vt enim in articulo ad cubitum, ea quæ vocatur angularis; in articulo verò ad genu, quæ propior est extensioni, sic in spina, ea quæ propior est flexioni; in articulo verò ad carpum, quæ exquisitè recta est, spinam enim plus curuam, aut flexam facere possumus, brachiale autem reflectimus, & flectimus æquè ad vtramque partem recti. Iure igitur, quæ quidem exactè recta (quæ media omninò est extremorum motuum) absque vllo dolore penitus est. Sed spinæ recta haud media est, sed aliquantum curua, plus enim habet motus ad hanc; quapropter recti magis laboramus particulis spinæ, quàm sedentes, aut iacentes, opus est enim stantibus quidem tensam esse, iacentibus verò atque sedentibus nihil prohibet curuatam esse. Hæc in omnibus articulis diligenter considerans inuenies omnem rationem sibi ipsi consentaneam. Etenim, quicunque musculi sine articulis sunt, etiam in his media constitutio absque dolore est, sicuti in ano se habet vesica, & lingua, nam & summè constringere anum, & maximè dilatare, dolorem inducunt: item extendere quàm longissimè linguam, vel flectere, vel quomodocunque aliter præter modum circumducere, haud absque dolore fiunt. Facillimum igitur in his inuenire medium excessuum, quod etiam sine dolore est. Atque omnes homines, quo tempore cessant ab actionibus vitæ necessariis, mediam figuram, & dolore carentem in omnibus partibus habent, ita à iusta natura coacti, vt Hippocrates ait. In lingua quidem per coniugationem omnes musculi orti supernè, & infernè, & à dextris atque sinistris: quare nihil mirum, si in contrarios motus pars deducatur à musculis oppositis. In musculo verò, qui est ad anum, & eo qui est ad vesicam, & qui in phrenibus est, res aliter habet, vnus enim est in singulis his rotundus sine vllo opposito musculo, vnde perspicuum est in contrarios deduci motus has partes non æquè facilè, neque in promptu esse, sed sic tibi persuade.

CAP.

A

CAPVT VIII.

Musculum qui est ad anum, & qui est ad vesicam, retentioni excrementorum per se inseruire, excretioni per accidens.

MVsculi quidem qui est ad vesicam & anum, officium est non excernere excrementa alimenti, sed retinere. Qua in re multi statim errauerunt, putantes causa excernendi excrementa musculos hos factos esse; neque potuerunt animaduertere, quòd resolutis ipsis excernuntur quidem, verùm nobis inuitis; quinetiam propter malam chirurgiam exciso sæpe vltra modum ani musculo, nobis inuitis effluit hàc stercus, nempe (opinor) instrumentis, quæ effluere prohibent, non manentibus. Non igitur simpliciter neque primùm musculus hic, excretionis instrumentum est; sed ne animali perpetuò id accidat, quod quum excisus fuerit ac resolutus, accidit, hunc musculum custodem intempestiui exitus excrementorum natura præfecit; quamobrem non modò non agit quicquam ipse ad excretionem, sed ne permittit quidem agentibus. Quæ igitur sunt huius actionis instrumenta? plura quidem particularia, sed duplicia genere; eorum enim alia animæ, alia naturæ sunt; atque animæ quidem instrumenta motu voluntario semper agunt, instrumenta verò naturæ sine motu voluntario. Diaphragma quidem, & omnes musculi epigastrij, instrumenta animæ sunt, intestinorum autem omnium structura vnà cum ventriculo, naturæ. Verùm de actione horum alibi dictum est. De musculis autem nunc dicemus, quoniam præsens sermo ipsorum motus enarratio est. Musculi itaque omnes epigastrij quum agentes tenduntur, premunt intrò naturæ instrumenta; hæc autem, si diaphragma ipsis cedat, in illarum locum abeuntia, musculorum violentiam exoluunt; si autem resistant, tunc ceu à duabus manibus pressa, extrinsecus à musculis, intrinsecus à diaphragmate, ea quæ continentur in cauitatibus ipsorum, propelluntur. Ad hoc autem adiuuat multum diaphragmatis obliquitas, alterum quidem finem ad cartilaginem pectoris parte anteriore habens, alterum verò ad spinam lumborum. Quòd igitur excrementa intestinorum exprimantur, à musculis vtrinque agentibus id accidit, extrinsecus quidem ab iis, qui in epigastrio sunt, intrinsecus verò à diaphragmate, quòd autem infra subeat, quod premitur, obliquitas septi transuersi causa est; quo tempore musculus ani est ociosus. Quúmque plures sint musculi in ventre, omnésque tendantur in egerendo, magis quidem, qui in hypochondriis sunt; minùs verò, qui infra tenduntur; contra quàm in meiendo habet, magis enim tunc, qui inferiùs, minùs verò, qui in hypochondriis, agunt. Simul autem cum ambobus extenduntur musculi seruientes respirationi; non quòd mictionis, aut excretionis sint instrumenta, id enim à ratione alienissimum est; sed quia diaphragmatis tensionem oportebat æqualem esse tensioni musculorum ventris; erat autem impossibile quum ipsum vnus musculus sit, cum multis, & magnis certare; periculúmque in hoc, ne victum in amplum spatium thoracis euerteretur. Idcircò

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὡς οἱ κατὰ τὴν ἕδραν, καὶ κατὰ τὴν κύστιν μύες εἴργειν τὰς ἐκκροὰς τῶν περιττωμάτων πεφύκασιν, ἐκκρίνειν δὲ οὐ δύνανται, πλὴν κατὰ συμβεβηκός.

ΤΟῦ μὲν κατὰ τὴν κύστιν τε, καὶ τὴν ἕδραν μυὸς ἔργον ἐστὶν, οὐ τὸ ἀποκρίνειν τὰ περιττώματα τῆς τροφῆς, ἀλλὰ τὸ κατέχειν. ἐσφάλησαν δὴ εὐθὺς ἐν αὐτῷ τούτῳ πολλοὶ, νομίζοντες ἐκκρίσεως ἕνεκα περιττωμάτων, τοὺς μῦς τούτους γεγονέναι, μηδ' ὅτι παραλυθέντων αὐτῶν ἐκκρίνεται μὲν, ἀλλ' ἀκουσίως, νοῆσαι δυνηθέντες. ἀτὰρ καὶ διὰ μοχθηρὰν χειρουργίαν, ἐκτμηθέντος πολλάκις ἀμέτρως τοῦ κατὰ τὴν ἕδραν μυὸς, ἀκουσίως ἐκρεῖ ταύτῃ κόπρος, ὡς ἂν οἶμαι τῶν ἐκρεῖν κωλυόντων ὀργάνων μὴ μενόντων. οὔκουν ἁπλῶς οὐδὲ πρῶτον ἐκκρίσεως ὄργανον ὁ μῦς οὗτος, ἀλλ' ἵνα μὴ τοῦθ' ὅπερ ὅταν ἐκτμηθῇ τε, καὶ παραλυθῇ γίνεται. διὰ παντὸς συμβαίνῃ τῷ ζώῳ, φύλακα τῆς ἀκαίρου τῶν περιττωμάτων ἐξόδου, τὸν μῦν τοῦτον ἡ φύσις ἐπέστησεν, ὥστ' οὐχ ὅπως οὐκ ἐνεργεῖ τι πρὸς τὴν ἔκκρισιν αὐτὸς, ἀλλ' οὐδ' ἐπιτρέπει τοῖς ἐνεργοῦσι. τίνα τοίνυν ἐστὶ τὰ τῆς ἐνεργείας ταύτης ὄργανα; πλείω μὲν κατὰ μέρος, διττὰ δὲ τῷ γένει. τὰ μὲν γὰρ αὐτῶν ψυχῆς, τὰ δὲ φύσεώς ἐστι. καὶ τοίνυν ἐνεργεῖ τὰ μὲν τῆς ψυχῆς ὄργανα, καθ' ὁρμὴν ἀεὶ, τὰ δὲ τῆς φύσεως, χωρὶς ὁρμῆς. αἱ μὲν δὴ φρένες, καὶ οἱ κατ' ἐπιγάστριον ἅπαντες μύες, τὰ τῆς ψυχῆς ὄργανα. τῶν δ' ἐντέρων ἁπάντων ἡ σύνταξις ἅμα τῇ γαστρὶ, τὰ τῆς φύσεως. ἀλλὰ περὶ μὲν τῆς τούτων ἐνεργείας, ἐν ἑτέροις εἴρηται. περὶ δὲ τῶν μυῶν νῦν ἐροῦμεν, ἐπειδὴ τῆς τούτων κινήσεως ὁ παρὼν λόγος ἐξήγησίς ἐστιν, οἱ κατὰ τὸ ἐπιγάστριον μύες ἅπαντες ὅταν ἐνεργοῦντες τείνωνται, θλίβουσιν εἴσω τὰ τῆς φύσεως ὄργανα. τὰ δὲ ἢν μὲν εἴκωσιν αἱ φρένες, εἰς τὸν ἐκείνων ἀναχωροῦντα τόπον ἐκλύει τὴν βίαν τῶν μυῶν· ἢν δ' ἀνθιστῶνται, καθάπερ ὑπὸ δυοῖν πιεζόμενα χειρῶν, ἔξωθεν μὲν ὑπὸ τῶν μυῶν, ἔσωθεν δὲ τῶν φρενῶν, ἐκθλίβοιτ' ἂν τὰ ἐν ταῖς κοιλότησιν αὐτῶν περιεχόμενα. προσσυμμαρεῖ δὲ εἰς τοῦτο μεγάλως, ἡ λοξότης τῶν φρενῶν, τὸ μὲν ἕτερον τῶν περάτων, πρὸς τῷ κατὰ τὸ στέρνον χόνδρῳ πρόσω κείμενον ἐχουσῶν, τὸ δ' ἕτερον ὀπίσω κατὰ τὴν ῥάχιν τῆς ὀσφύος. τὸ μὲν ἐκθλίβεσθαι τὰ τῶν ἐντέρων περιττώματα, ὑπὸ τῶν ἑκατέρωθεν ἐνεργούντων γίνεται μυῶν, ἔξωθεν μὲν τῶν κατ' ἐπιγάστριον, ἔσωθεν δὲ τῶν φρενῶν· τοῦ δ' ὑπιέναι κάτω τὸ θλιβόμενον, ἡ λοξότης αἰτία τοῦ διαφράγματος. ἀργεῖ δὲ ὁ κατὰ τὴν ἕδραν μῦς τηνικαῦτα. πλεόνων δὲ ὄντων κατὰ τὴν γαστέρα μυῶν, καὶ πάντων τεινομένων ἐν ταῖς ἀποπατήσεσι, μᾶλλον μὲν οἱ πρὸς τοῖς ὑποχονδρίοις, ἧττον δὲ οἱ κάτω τείνονται, ἔμπαλιν ἢ ἐν ταῖς οὐρήσεσιν ἔχει. μᾶλλον γὰρ ἐπ' ἐκείνων, οἱ κάτω, ἧττον δὲ οἱ ὑπὸ τοῖς ὑποχονδρίοις ἐνεργοῦσι. συνεκτείνονται δὲ ἀμφοτέροις, οἱ κατὰ τὰς ἀναπνοὰς μύες, οὐκ οὐρήσεως ἢ ἀποπατήσεως ὄργανα. τοῦτο μὲν γὰρ ἐσχάτως ἄλογον. ἀλλ' ἐπειδὴ τῶν φρενῶν τὴν τάσιν, ἴσην ἐχρῆν εἶναι τῇ τάσει τῶν κατὰ τὴν γαστέρα μυῶν, ἦν δ' ἀδύνατον ἕνα μῦν οὖσαν αὐτὰς, πολλοῖς καὶ μεγάλοις ἁμιλλᾶσθαι, καὶ κίνδυνος ἐν τούτοις νικηθείσας εἰς τὴν εὐρυχωρίαν ἀνατραπῆναι τοῦ θώρακος. διὰ

τοῦτο οἱ κατὰ τὰς πλευρὰς συντείνονται μύες, σφίγγοντες πανταχόθεν αὐτόν. χαλαρὸς γὰρ ὁ θώραξ, ἑτοίμως εἴκει ταῖς φρεσὶν ὠθουμέναις, ὡς ἔνεστι γνῶναι, τείνοντας μὲν τοὺς κατὰ τὴν γαστέρα μῦς, καὶ μάλιστ' αὐτῶν τοὺς κάτωθεν, ἐκλύσαντας δὲ τοῦ τόνου τοὺς κατ' αὐτὸν ἅπαντας. ὅλη γὰρ ὀλίγου δεῖν, ἡ γαστὴρ ταῖς τοιαύταις καταστάσεσιν εἰς τὴν τοῦ θώρακος εὐρυχωρίαν ὠθεῖται, σὺν αὐταῖς ταῖς φρεσίν. ἵν' οὖν μὴ γίγνοιτο τοῦτο, καὶ ἡ τῆς διαχωρήσεως ἐνέργεια διαφθείροιτο, πᾶς ὁ θώραξ πανταχόθεν ἰσχυρῶς σφίγγεται. καὶ δῆλον ἐξ ἁπάντων ἤδη τῶν εἰρημένων, ὡς οἱ ταῖς ἐκροαῖς τῶν περιττωμάτων ἐφεστῶτες μύες, εἴργειν μὲν αὐτὰ πεφύκασι, καὶ τοῦτ' ἔργον αὐτῶν ἴδιον. ἐκκρίνειν δ' οὐ δύνανται, πλὴν εἰ κατὰ συμβεβηκός, ὅταν ἐνεργοῦντες παύσωνται. ὥσπερ οὖν ἐν τοῖς ἄλλοις ἅπασι μορίοις, τῶν ἐναντίων κινήσεων ἐναντίοι τινὲς ἐξηγοῦνται μύες, οὕτως ἔχει κἀνταῦθα. τὸ μὲν γὰρ κατέχειν τὰ περιττώματα, τῆς τούτων τῶν μυῶν ἐνεργείας γίγνεται, τὸ δ' ἐκκρίνεσθαι, τῇ τε τῶν κατ' ἐπιγάστριον, καὶ διαφράγματος.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῆς τοῦ διαφράγματός τε, καὶ τῶν ἄλλων ἀναπνοῆς μυῶν κινήσεως.

Οὗτοι μὲν ἀνάλογον ἔχουσι τοῖς ἐπὶ τῶν ἄλλων μορίων ἀντιτεταγμένοις μυσίν. ἐπὶ δὲ τοῦ διαφράγματος, οὐκ ἔθ' ἁπλῶς εἰπεῖν οἷόν τε τοὺς ἀντιτεταγμένους μῦς. ὡς μὲν γὰρ ἐκκρίσεως περιττωμάτων ὄργανον, τούς τε ἐπέχοντας αὐτὰ πρώτους, καὶ μάλιστα καθ' ἕτερόν τινα τρόπον ἀντιθέσεως τοὺς καθ' ἐπιγάστριον ἔχει. ὡς δ' ἀναπνευστικόν, πῇ μὲν ἔχει, πῇ δ' οὐδ' ὅλως ἔχει. τῆς μὲν γὰρ ἐκπνοῆς, οὐδείς ἐστιν ὅλως δημιουργὸς μῦς, ἀλλ' ἔοικε τοῦτ' ἔργον τοῦ θώρακος. μᾶλλον δὲ τὸ πάθημα τῇ πρόσθεν ὑφ' ἡμῶν ὀνομασθείσῃ καταπτώσει. ἐκφύσησις δέ ἐστιν ἀθρόα τοῦ πνεύματος ἔξω φορά, κατὰ τὴν τῶν μεσοπλευρίων μυῶν ἐνέργειαν γιγνομένη. τῆς δ' ἐκφυσήσεως οἱ κατὰ τὰς πλευρὰς μύες ἔνδον ἅπαντες δημιουργοί. καὶ τοῦτ' αὖ πάλιν ἔοικε τοὔργον τοῦ θώρακος, τῇ πρόσθεν ὀνομασθείσῃ, κατακλίσει μὲν ἐπὶ τοῦ παντὸς σώματος, καταθέσει δ' ἐφ' ἑκάστου τῶν μορίων, ἐναντίας δ' οὔσης, τῇ μὲν ἐκπνοῇ τῆς εἰσπνοῆς, τῇ δ' ἐκφυσήσει, τῆς σφοδρᾶς εἰσπνοῆς (ὄνομα γὰρ ἴδιον οὐκ ἔχει) τὴν μὲν προτέραν ἀντίθεσιν, αἱ φρένες μόναι δημιουργοῦσι. τὴν δ' ἑτέραν οἱ μεσοπλεύριοι, σὺν τοῖς ἐπὶ τὸν θώρακα καθήκουσι μυσίν, ἀπὸ τῶν ὠμοπλατῶν τε, καὶ τοῦ τραχήλου. δέονται δ' αὐτῆς, μάλιστα μὲν αὐληταί, καὶ σαλπιγκταί, καὶ κήρυκες, ὅταν τὸν καλούμενον πόδα μέλλωσιν ἐρεῖν, οὐχ ἥκιστα δὲ καὶ τοὺς ἀσκοὺς ἐμφυσῶντες, ἢ τοιοῦτον ἕτερον ὄργανον. ἁπλῶς δ' εἰπεῖν, ὅσοι μέχρι πλείστου τὸν θώρακα μεταστῆσαι, διαστεῖλαί τε, καὶ συστεῖλαι βούλονται, ὥστε δικαιότερον ἄν τις τοὺς ἔξωθεν τοῦ θώρακος μῦς τοῖς ἐν τοῖς μεσοπλευρίοις ἔνδον ἀντιτετάχθαι φήσειεν ἄν, οὐ ταῖς φρεσίν. εἴ γε δὴ μεγίστη μὲν ἡ εἰσπνοή, διὰ τοὺς ἐκτός, μεγίστη δὲ ἐκπνοή, διὰ τοὺς ἐντὸς μεσοπλευρίους γίγνεται. ἀποδείκνυται δὲ καὶ τούτων, καὶ τῶν ἑξῆς μελλόντων ῥηθήσεσθαι περὶ τῶν κατὰ τὸν θώρακα μυῶν, τὰ μὲν ἐν τοῖς περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων, τὰ δ' ἐν τοῖς περὶ φωνῆς, τὰ δ'

A musculi, qui sunt inter costas, simul tendunt, vndique eum constringentes (laxus enim thorax promptè cedit diaphragmati quum pellitur, vt licet colligere,) tendentes quidem musculos ventris, & maximè ipsorum inferiores; exoluentes autem à vigore omnes, qui in ipso sunt. Totus enim fermè venter in huiusmodi constitutionibus in amplum thoracis spatium pellitur vnà cum ipso diaphragmate. Ne igitur hoc fieret, néue egestio ipsa labefactaretur, totus thorax vndique validè constringitur. Atque ex omnibus iam dictis clarum fit, quòd qui musculi effluxibus excrementorum B præsident, coërcere quidem ipsa suaptè natura possunt, idque officium ipsorum est proprium; excernere autem nequeunt, nisi secundum accidens, quum agere desierint. Vt igitur in aliis omnibus partibus contrariorum motuum contrarij quidem musculi sunt duces, hîc quoque sic habet; retentio enim excrementorum istorum musculorum est actio; excretio autem, eorum qui in epigastrio sunt, & diaphragmate.

C CAPVT IX.

De motu septi transuersi, & cæterorum musculorum respirationis.

HI quidem proportione respondent musculis, qui in aliis partibus sunt oppositi; sed diaphragmati non licet simpliciter dicere musculos esse oppositos; quatenus enim est instrumentum excernendi superflua, tum cohibentes ipsa primos, tum maximè alio quodammodo oppositionis eos, qui in epigastrio sunt habet; quatenus autem respirationi seruit, partim quidem habet, partim autem nequaquam; expirationis enim nullus musculus omninò est opifex, sed hoc opus thoracis, aut potius affectus hic, decidentiæ à nobis antea nominatæ est similis. Efflatio autem est spiritus latio simul ac confertim ducta forâs, quæ per musculorum intercostalium actionem fit; efflationis enim musculi omnes, qui intus ad costas sunt, opifices sunt; & hoc rursus opus thoracis simile est, prius nominatæ quidem in toto corpore reclinationi, depositioni verò in singulis partibus. Quum autem expirationi contraria sit inspiratio; efflationi verò vehemens inspiratio E (nomine enim proprio caret,) priorem quidem oppositionem solum diaphragma efficit; alteram verò intercostales cum musculis, qui ad thoracem perueniunt, & scapulis, & collo. Indigent autem ipsa maximè quidem tibicines, & tubicines, ac præcones, quum nuncupatum pedem sunt decantaturi; præcipuè verò, & qui vtres inflant, vel aliud eius generis instrumentum; & vt simpliciter dicam, qui plurimum thoracem transmutare, dilatando, ac contrahendo ipsum, volunt. Quare iustiùs vtique quispiam musculos thoracis externos iis, qui costarum parte interna sunt, oppositos esse dixerit, non diaphra- F gmate; siquidem maxima quidem inspiratio per externos; maxima verò expiratio per internos intercostales efficitur. Demonstrantur autem tum horum, tum deinceps de musculis thoracis dicendorum, alia in iis libris, quos de respirationis causis conscripsimus, alia in iis, quos de voce prodidimus; alia in iis, quos

de

de respirationis vsu scripsimus. Verùm in præsentia quidem, quod superest, est absoluendum. Peculiare sanè quiddam diaphragmati præter alios musculos accidit tum ex situ, tum etiam ex figura; quum agere desierit, laxiúsque fuerit, nunc quidem ipsius deuexitas versus spinam vergit, nunc verò ad ventrem; multò tamen promptiùs versus spinam fertur, estque in omnibus figuris hominis (vna excepta prona) superius quidem diaphragma, inferiùs verò spina constituitur; quare meritò ad eam vergit, tum quòd grauatur quidem ab iis, quæ anteriori parte superiacent, ex posteriori verò mollissimum, & leuissimum omnium viscerum habet pulmonem; verumtamen ipsius deuexitas aliquando excidit in anteriora, tum in figura prona, tum quum agunt quidem musculi, qui costis intersunt, quiescunt autem, qui sunt in ventre; quo manifestum est, quòd tunc attolli ventrem contingit, quod crebrò gymnastici post exercitationes facere solent. Quòd si vt musculi intercostales ita & ventris musculi egerint, nominant eiusmodi spiritus cohibitionem. Necesse autem est interim clausam esse superiorem oram laryngis, si enim dum prædicti musculi agunt, pateat, efflatio est; sin verò vnà cum ipsis, & musculi, qui in pharynge, & larynge sunt, tensi fuerint, non ampliùs efflatio id est, sed iam vox efficitur. Duplex igitur quum sit tensio omnibus musculis, vna quidem, quum agentes in se ipsos coëunt; altera verò, quum à musculis oppositis extenduntur: priorem quidem diaphragma in inspirationibus non violentis habet; alteram verò, quæ bifariam fit (quemadmodum; & antea dictum est) aliàs quidem musculis ventris agentibus, aliàs verò intercostalibus, & his etiam solis. In expirationibus autem non violentis, quas certè vel maximè expirationes vocamus, separantes eas ab efflationibus, neutram ipsarum habet; sed qualem cæteris omnibus diximus adesse constitutionem, quæ in medio extremorum motuum consistit, talem duplicem diaphragma tantùm accipit versus spinam in aliis quidem figuris spectantes, in pronis autem solis, versus ventrem. Verùm musculi costarum, & ventris deuexi quidem perpetuò sunt assimilati subiectorum instrumentorum figuris: sed quum quiescunt, huiusmodi admodum sunt; quum autem agunt, intrò cedunt, minúsque curui fiunt, quum cæteri ferè omnes musculi, qui alias partes mouent, contrario modo habeant, nam quiescentes quidem recti; quum verò agunt, curui fiunt. Causa porrò differentiæ ipsorum non est obscura. Quum enim quibusdam ipsorum dura, & renitens substantia ossium fit subiecta, quibusdam verò amplum quoddam spatium cedat, iure fit, vt musculi quidem omnes, qui ossibus incumbunt, dum contrahuntur, tantum in profunditatem, & latitudinem augescentes, quantum de longitudine deperditur, eminentiorem omnem corporis molem habeant, quibus verò, dum tenduntur versus principium, mollities sedis cedit, his maior pars corporis occultatur. Non igitur mirum est, si quum omnes ferè musculi, qui in membris sunt, dum agunt, deuexi fiant, soli, qui in thorace atque epigastrio insunt, intrò compellantur; soli enim subiecta spatia laxa cedentiáque habent. Ventre certè eo vsque

A ἐν τοῖς περὶ χρείας ἀναπνοῆς. ἀλλὰ τό γε νῦν ἔτι, ὃ συνεχὲς τῷ λόγῳ περαντέον. ἴδιον γάρ τι τῷ διαφράγματι παρὰ τοὺς ἄλλους μῦς συμβέβηκεν, ἔκ τε τῆς θέσεώς τε, καὶ τοῦ σχήματος περιεσχημένον, ἐπειδὰν ἐνεργοῦν παύσηται, καὶ γένηται χαλαρώτερον, ἔστιν ὅτε μὲν, ὡς ἐπὶ τὴν ῥάχιν ἀνακλίνειν τὸ κυρτὸν, ἔστιν ὅτε δὲ, ὡς ἐπὶ τὴν γαστέρα, πολὺ μὲν ἑτοιμότερον, ὡς ἐπὶ τὴν ῥάχιν. ἔστι δὲ κατὰ πάντα τὰ σχήματα τἀνθρώπου, πλὴν ἑνὸς τοῦ πρηνοῦς, ἄνωθεν μὲν τὸ διάφραγμα, κάτωθεν δὲ ἐργάζεται τὴν ῥάχιν, ὥστ' εὐλόγως ἐπὶ ταύτην ῥέπει, καὶ ὅτι βαρύνεται μὲν B πρὸς τῶν ἔμπροσθεν ἐπικειμένων. ἐκ δὲ τῶν ὄπισθεν μερῶν τὸ μαλακώτατόν τε καὶ κουφότατον, ἁπάντων ἔχει τῶν σπλάγχνων τὸν πνεύμονα· ὅμως μὴν ἐκπίπτει ποτ' αὐτοῦ τὸ κυρτὸν τοῖς πρόσω κατά τε τὸ πρηνὲς σχῆμα, κἀπειδὰν ἐνεργῶσι μὲν οἱ κατὰ τὰς πλευρὰς μύες, ἀργῶσι δὲ οἱ κατὰ τὴν γαστέρα, καὶ δῆλον ὡς ἐξαίρεσθαι συμβαίνει τηνικαῦτα τὴν κοιλίαν. ἐπιτηδεύουσιν αὐτὸ ποιεῖν συνεχῶς οἱ γυμναστικοὶ μετὰ τοὺς πόνους. ἂν δὲ ὥσπερ οἱ κατὰ τὰς πλευρὰς οὕτως ἐνεργήσωσι, καὶ οἱ κατὰ τὴν γαστέρα τὸ τοιοῦτον ὀνομάζουσι πνεύματος κατάληψιν, ἀνάγκη δὲ ἐν τούτῳ κεκλεῖσθαι C τὸ ἄνω πέρας τοῦ λάρυγγος. εἰ γὰρ ἀνοιχθείη τῶν εἰρημένων ἐνεργούντων μυῶν, ἐκφύσησις ἐστιν. εἰ δὲ αὖ σὺν αὐτοῖς, καὶ οἱ κατὰ τὴν φάρυγγα, καὶ λάρυγγα ταθεῖεν, οὐκ ἔτ' ἐκφύσησις τὸ τοιοῦτον, ἀλλ' ἤδη φωνὴ γίγνεται. διττῆς οὖν ὑπαρχούσης τάσεως ἅπασι τοῖς μυσί, τῆς μὲν ὅταν ἐνεργοῦντες εἰς ἑαυτοὺς συντρέχωσι, τῆς δὲ ὅταν ὑπὸ τῶν μυῶν ἀντιτεταγμένων ἐκτείνωνται. τὴν μὲν προτέραν αἱ φρένες ἐν ταῖς ἀβιάστοις εἰσπνοαῖς ἴσχουσι, τὴν δὲ ἑτέραν διττῶς γιγνομένην, ὡς καὶ πρόσθεν ἐρρέθη, ποτὲ μὲν τῶν κατὰ τὴν γαστέρα ἐνεργούντων μυῶν, ποτὲ δὲ τῶν κατὰ τὰς πλευρὰς μόνων, καὶ τούτων ὧδε ἐν ταῖς ἀβιάστοις ἐκπνοαῖς, ἃς δὴ καὶ D μάλιστα καλοῦμεν ἐκπνοάς, ἀφορίζοντες αὐτὰς τῶν ἐκφυσήσεων οὐδετέραν αὐτῶν ἴσχουσιν, ἀλλ' οἵαν τοῖς ἄλλοις ἅπασι τὴν ἐν τῷ μέσῳ τῶν ἐσχάτων κινήσεων ἔφαμεν γίνεσθαι κατάστασιν· τοιαύτην διττὴν αἱ φρένες μόνον λαμβάνουσιν. ἐπὶ μὲν τὴν ῥάχιν ἐν τοῖς ἄλλοις σχήμασιν, ἐν δὲ τοῖς πρηνέσι μόνοις, ἐπὶ τὴν γαστέρα ῥέπουσαι. τοῖς μέντοι κατὰ τὰς πλευράς τε, καὶ τὴν γαστέρα μυσί, κυρτοῖς μὲν εἶναι διὰ παντὸς ὑπάρχει τοῖς τῶν ὑποκειμένων ὀργάνων ὁμοιουμένοις σχήμασιν. ἀλλ' ἐπειδὰν μὲν ἀργῶσιν, ἱκανῶς E εἰσι τοιοῦτοι. ἐνεργοῦντες δὲ προστέλλονταί τε, καὶ ἧττον γίγνονται κυρτοὶ τῶν ἄλλων σχεδὸν ἁπάντων μυῶν, ὅσοι τὰ μόρια κινοῦσιν ἔμπαλιν ἐχόντων. εὐθεῖς μὲν γὰρ ἀργοῦντες, ἐνεργοῦντες δὲ γίνονται κυρτοί. ἡ δὲ αἰτία τῆς διαφορᾶς αὐτῶν, οὐκ ἄδηλος. ἐπεὶ γὰρ ὑποβέβληται τοῖς μὲν τισιν αὐτῶν, σκληρά τε καὶ ἀντίτυπος ἡ τῶν ὀστῶν οὐσία, τοῖς δὲ εὐρυχωρίαις τις εἴκουσα, κατὰ λόγον οἱ μὲν ἐπὶ τοῖς ὀστοῖς πεφυκότες ἅπαντες, ἐν τῷ συστέλλεσθαι τοσοῦτον εἰς βάθος τε, καὶ πλάτος ἐπιδιδόντες, ὅσον ἀφαιροῦσι τοῦ μήκους, προπετῆ τὸν ὄγκον ἅπαντα τοῦ σώματος ἴσχουσιν. ὅσοις δὲ ἐν τῷ τείνεσθαι F πρὸς τὴν ἀρχὴν τὸ μαλακὸν τῆς ἕδρας ὑπείκει, τούτοις κατακρύπτεται τὸ πλέον αὐτῶν τοῦ σώματος. οὐκοῦν ἔτι θαυμαστὸν οὐδέν, εἰ πάντων σχεδόν τι τῶν ἐν τοῖς κώλοις μυῶν κυρτουμένων ὅταν ἐνεργῶσιν, οἱ κατὰ τὸν θώρακά τε, καὶ τὸ ἐπιγάστριον μόνοι προστέλλονται. μόνοι γὰρ εἰκούσας ἔχουσι τὰς ὑποκειμένας εὐρυχωρίας. ἀμέλει πληρωθείσης εἰς το-

σωθὲν τῆς γαστρὸς, ὡς τείνεσθαι μετ᾽ ὀδύνης, οὐκέτι προστέλλονται, ὃ γὰρ τοῖς ἄλλοις διὰ παντὸς ὑπάρχει, τὸ τῆς ὑποκειμένης ἕδρας ἀντίτυπον, τοῦτ᾽ ἐν τῷ πεπληρῶσθαι τὴν γαστέρα, τοῖς κατ᾽ ἐπιγάστριον προσγίνεται. πληροῦται δὲ δηλονότι, τοῖς θ᾽ ὑπερεμπλησθεῖσι, καὶ ὑδεριῶσι, καὶ ὅσαι κύουσιν. οἷς δ᾽ ἡ γαστὴρ κενὴ, τούτοις πρὶν ἐνεργεῖν, κυρτοὶ παραπλησίως τοῖς ὑποκειμένοις ὀργάνοις οἱ μύες. πρὸς γὰρ τὰς ἐκείνων ἐκτείνονται κυρτότητας, ἐνεργοῦντες δὲ, προστέλλονται, πιέζονται γὰρ ῥαδίως τὰς ὑποκειμένας κοιλότητας. καὶ τοίνυν καὶ οἱ κατὰ τὸν θώρακα μύες, ἐν ταῖς μεταξὺ χώραις τῶν ὀστῶν πεφυκότες, πρὶν μὲν ἐνεργεῖν ὅμοιον ταῖς ὅλαις πλευραῖς ἔχουσι σχῆμα. κυρτοὶ μὲν ἔξωθεν, κοῖλοι δ᾽ ἔνδοθεν ὑπάρχοντες. ὅταν δὲ ἐνεργῶσι θλίβοντες, πρῶτον μὲν καὶ μάλιστα τὸν ὑποκείμενον ἐν αὐτοῖς ὑμένα τὸν ὑπεζωκότα καλούμενον. δι᾽ αὐτοῦ δὲ, καὶ τὸν πνεύμονα, μαλακὸν καὶ χαῦνον ὑπάρχοντα, τοσοῦτον εἴσω χωροῦσιν, ὅσον εἴκουσαν ἔχουσι τὴν οὐσίαν τῶν ὑποκειμένων ὀργάνων. ταῦτ᾽ ἐν τῷ καθόλου τις ἐγνωκὼς περὶ μυῶν κινήσεως, ἅπαντα τὰ κατὰ μέρος ἐξευρίσκειν δυνήσεται.

repleto, vt quum dolore distendatur, non amplius intrò cedunt, quod enim aliis perpetuò inest, renitentia videlicet subiectæ sedis, id dum repletus est venter, musculis epigastrij accidit, repletur videlicet, & iis qui supra modum sunt repleti, vt aqua intercute laborantibus, & iis quæ vtero gerunt. Quibus verò venter est vacuus, his musculi prius, quàm agant, sunt curui, quomodo subiecta instrumenta, ad illorum enim curuitates extenduntur; quum verò agunt, intrò cedunt, premunt enim facilè subiectas cauitates. Quin & musculi, qui in thorace sunt in locis inter ossa mediis, priùs quidem, quàm agant, figuram similem totis costis habent, curui quidem extrinsecus, caui verò intrinsecus, quum autem agunt, prementes primùm quidem, & maximè membranam ipsis subiectam, succingentem nuncupatam, per ipsam verò, & pulmonem, qui mollis est, & laxus, tantùm intrò cedunt, quantum substantiam subiectorum instrumentorum cedentem habent. Hæc quum in vniuersum quis de musculorum motu tenuerit, particularia omnia inuenire poterit.

GALENO

GALENO ASCRIPTVS LIBER DE MOTIBVS MANIFESTIS, ET OBSCVRIS.

CAPVT I.

De Facultate, & primis instrumentis Motus.

ASSERIT Galenus, illos quorum proprium est anatomen meditari per hoc, quòd dicunt motus liquidos qui animaduertuntur in corporibus animalium, sensui manifestos intelligere; veruntamen quo membro fiant penitus ignoramus; & quamuis hoc videamus, qualiter fiant non scimus: ideò de his doctrinam oportet nos hîc agere, & eorum causas inquirere. Principium autem inquisitionis de motibus liquidis est, vt primò inspiciamus, an sint actiones membrorum, & an ex eo, quòd sint passiones ab eis. Et per actiones, intelligo motus agentes imprimentes; & per passiones, motus intelligo, qui fiunt à motore agente, quando ipse mouet aliquid aliud. Et tu poteris vnico exemplo duorum horum motuum naturã intelligere: Nam motus manuum, & pedum, distendendo, & contrahendo, vel inclinãdo, & mouẽdo ad vtramque partem, quæ quidem ossibus eorum interiacent, iuncturis efficiuntur. Manuum autem fit iunctura, quæ est in cõpositione ossis adiutorij, & hæc quidem iunctura vocatur mabit; & iunctura, quæ est in compositione duorum focilium, est cum ossibus; & iunctura ossiũ basium, quæ interiacẽt duobus focilibus, & pectini, & vocatur rasceta; & iuncturis digitorum. Pedũ verò motus fiunt iunctura genuum, & calcaneorum, & digitorum. Et si quis desiderat motus iuncturæ humeri numerare cum motibus manus, & iuncturæ motus coxæ cum motibus pedis, non intromittit in significatione diuersitatem per hoc, vel varietatem: verumtamen sufficit in hac significatione, vt dicatur, quòd summitas, siue pomum ossis adiutorij, in iunctura cõponitur humeri cum pyxide ossis scapulæ; & quòd summitas ossis adiutorij inferior, composita in iũcturam abit cum duobus brachij focilibus; sicut duæ summitates duorũ focilium, ab inferiori cum ossibus paruis rascetæ componuntur. Similiter in pedibus iuncturæ ex compositione ossium, quæ sunt in eis, erunt. Quòd si res in hoc ita se habet, anatomici verum in hoc dixerunt, quòd motus manuum, & pedum fiunt ossibus non tamen ab eis, quoniã hæc quidem est actio lacertis mouentis ea. Prouenit ergo ex hoc, vt motus lacerti sit actio lacerti; & motus ossium sit passio eorũ; & passio eius quod fit, & actio eius quod agit, simul existant. Discrepant tamen in eo, quòd agens est principiũ sui motus à se ipso, & patiens est principiũ sui motus ab alio. Sicut ergo quãdo lacertus agit, mouet quidẽ primò vnũ duorũ ossiũ compositorum in iunctura, & est illud os, quod continuatur cum adiutorio; deinde mouet secundò ipsam iuncturam mouendo os; ita anatomen considerantes inuestigauerunt an oporteat dici, quòd lacertus ipse primò, aut recipit etiam virtutẽ motus ab aliquo alio. Vt autem viderunt, quòd vnicuique lacertorum continuantur arteria, & vena, & tertium quiddam, id est, neruus, vnicuique eorum intendentes vnumquodque sigillatim vinculo constrinxerunt, considerantes in ipsa constrictione, an motus impediretur lacertorum, aut mobiles permanerent. Postquam autem motum lacertorum strictis arteriis, & venis in suo manentem statu deprehenderunt, ipsúmque strictis neruis impediri, quòd ad lacertos quidem virtus digeritur à neruis aliqua, per quam fit actio eorum, iudicauerunt. Deinde iuxta hanc viam inquisiuerunt diligenter, an hæc actio sit neruis ex sua natura, & substantia, an supra neruos aliquod membrum sit, quod neruis virtutem motus exhibeat, sicut lacertis exhibere viderunt. Adhærentes autem neruis, eósque præcidentes, sectionem eorum superiorem in sua sensus & motus habitudine persistere deprehenderunt; inferiorem autem, à loco sectionis sensu priuari, & motu. Ex hoc itaque quod eis apparuit, virtutem motus etiam neruis ab alio membro eis superiori transmitti, coniectarunt. Prospicientes igitur primam neruorum originem, eámque indagantes, quosdam eorum oriri à spinali medulla, quosdam à cerebro, deprehenderunt. Abscindentes itaque spinalẽ medullã, deprehenderunt, quòd ab inferiori parte sectionis non transmittitur virtus ad neruos quidem, à quibus virtus oritur, quæ priùs trãsmittebatur ante abscissionem; & à superiori verò sectione, quæ est super abscisionem, quæ prius transmittebatur virtus, transmittitur; ac tunc iudicauerunt virtutem quidem motus ad neruos à cerebro transmitti. Deinde postmodum inquisiuerunt, an sit hoc, quoniam illa virtus sit innata substantiæ suæ propria, an à corde sibi transmittitur; neque ad hoc in isto loco necessitas vrget, quum nos inueniamus vtique neruos exhibere lacertis virtutem motus à cerebro procedentem. Primùm igitur membrum, ac præcipuum, vniuersa quidem membra corporis animalis mouẽs motu voluntario, est cerebrum; cætera verò, quæ quidem cerebro interiacent, & vltimo membro quod mouetur, mouent se secundum ordinem ita, vt vnumquodque eorum mouens, ac motum existat. Restat ergo, vt cerebrum moueat tantùm, nec aliud moueat ipsum. Similiter fit, vt manus ac pedes moueantur tantùm. Et iam declaraui in tractatibus, quibus inuestigaui de virtute ordinante, de virtutibus animæ, quòd cerebrum eget hepate, & corde ad conseruandum substantiam suam; & quòd non transmittitur ab illis virtus, qua fit motus voluntarius. Hîc autem non est aliquid, quod nos cogat, vt probationem ad hoc inducemus, quum sufficiat in

hoc tractatu conclusione propositionis illius vti duntaxat; quia non memoraui, quod apparet in anatomia, vt exponerem per hoc, quod virtus ordinatiua transmittitur per neruos à cerebro ad lacertos; verùm vt à me intelligeretur sufficienter, in quo differant motus, & actio: quoniam significatio, quam significat nomen motus, generalior est; & significatio, quam significat actio, specialior est; quum nos appellemus actionem, motum agentem; & passionem, motum ab alio prodeuntem.

CAPVT II.

De motu respirationis, qui notior est visus veteribus.

ET sermo iste, in quo nos sumus, est quo intendo inuestigare de vnoquoque motu, quod sit membrum, quod ab eo patitur; & quod mēbrum operetur ipsum, verbi gratia de anhelitu; quia melius est, vt ponā sermonem meū de ipso, vt exempli causa lucescat, quum nō conferatur ex exempli quidem ratione duntaxat, verùm cum ipso exemplo non est vtique modica pars, de qua inuestigare proponimus. Videmus enim manifestè, quòd anhelamus; & hæc quidē actio animalis est composita ex aëris inspiratione ab exteriori ad interius, & expiratione è conuerso; & apparet etiam quòd id, quod mouetur in cauitate pectoris in anhelitu facili suauiter, concutitur inferius duntaxat; in anhelitu verò magno non solùm mouentur inferiora, verùm etiam mouentur loca lateribus omnibus vicina. Discordes etiam fuerunt medici in motu anhelitus, an sit etiam ex lacertis, vt sunt alij motus voluntarij, aut aliter. Et quidam iudicauerunt, quòd hæc actio naturalis sit, sicut pulsus arteriarum, & cordis; alij verò iudicauerunt actionem esse voluntariam; alij autem, quòd sit actio composita. Et hæc quidem inquisitio magis ad dialecticam, quàm ad medicinam spectat. Inquisitio autem, quæ dignior est in operibus medicinæ, est qua quidem inuestigatur, quo instrumento mouetur clibanus, id est cauitas pectoris, per quam fit anhelitus, quoniam hic quidem dilatatur, prout apparet in anatomia. Apparet quoque in anatomia, quòd hic clibanus ex ossibus, quæ costæ vocantur, & ex lacertis componitur interiacentibus. Meritò ergo anatomiam considerantes dixerunt, quòd illud membrum, quod diaphragma vocatur, est vna pars istius clibani, nec tamen illud omnino; & hoc quidem vsque ad tempus magistrorum nostrorum homines arbitrati sunt, quòd membrum istud instrumentis anhelitus nobilius existat. In nostro verò tempore factum eius patuit ex eo, quod de operatione huius membri declarauit, quòd scilicet mouet partes clibani dumtaxat inferiores, quemadmodum illud, quod mouet superiores eius, est lacertus à collo descendēs. Mouet quoque id, quod interiacet, lacertus quidem, qui inter latera constituitur; nisi quia hic lacertus quidem non dilatat clibanum tantùm, verùm etiam ipsum cōstringit, quum vnusquisque eorū habeat duas tunicas positione diuersas. Lacerti namque descendentes à loco, qui est supra collū, dilatant, & distendūt clibanū tantū. Et vidi sæpe plures homines in facto neruorum, qui mouent huiusmodi lacertos, quos prædiximus, quandoquidē vinculo cōstringebātur absque clibani ruptura, quòd vinculum illud eos motu clibani penitus priuabat, & discipulos meos instruxi qualiter hoc ipsū, quod declaraui intelligerent. Et sententia illorum, qui dicunt, quòd anhelitus est motus voluntarius, vel actio voluntaria, nullum argumētum inducit, quòd maioris quàm hæc, existat roboris ad probandum veritatem eorum; quoniam motus clibani impeditur statim, & animal extinguitur subitò ore aperto cupiens anhelitum, quum nequeat clibanū mouere. Vnumquodque horum fuit ab antiquis inuentum; & quædam præter illa, quæ ipsi inuenerunt, postmodum reperi.

CAPVT III.

Comparatur cognitio aliorum obscurorum motuum, & liquidorum quorumdam ad antiquorum cognitionem; & ponitur excusatio tractationis illius.

ET quodlibet horum antiquitus reputabatur ignotum, quoniam de ipso nihil anatomiā inspicientes tetigerunt, cui posset aliquis acquiescere, vel quo posset esse contentus, nedū sufficienter probarent. Vtinā autem aliquis motuū, & aliqua actionum harum, quæ reputabantur esse ignota, reperiretur à quo membro animalis prodirent; & qualiter ab agente causa, quādo quidem agit; multa quippe horum, quæ vltimo comperi, penes me prius erant ignota, quemadmodum de motu clibani retuli; Et in tractatu quidem tertio de motu pectoris, & pulmonis quædam; siquidem mei docuerunt me doctores ad tempora sua, quibus adieci postmodum in libro, quem de difficultate spirandi edidi, quod adinueni, postquam à magistris meis didici. Confessus sum etiam in libro de iuuamentis membrorum ignorantiam meam, quam habui de motu palpebrarum superiorum; deinde verò narraui postmodum, qualiter hoc fiat, in tractatu decimo libri mei de cura anatomiæ. Eodem quoque modo ignorabā esse duorum neruorum ex vtraque parte arteriarum constitutorum, qui falso, & sine ratione vocantur apoplectici, quum fuerit in eis ingressa malitia, qualiter vox impeditur; demum quippe cum labore maximo, ac difficultate comperi hoc, quum nullus quicquam de ipsis tractauerit sufficienter. Et hæc quidem significatio erat incognita; demum facta est nunc nota, qua reperi neruos mouentes lacertos epiglottidis à duobus neruis duabus arteriis vicinis, qui apoplectici vocantur, oriri. Ignorabatur quoque cur ex spondylis dorsi medulla spondyli primi si secundū latum tota abscindatur, donec extrema non sese contingant, vox impediatur illius animalis. Et similiter si vnus spondylus locum deserit; quia spinæ medulla comprimitur fortiter. Inueni quoque hæc, & alia, quæ reputabant illi, qui fuerunt ante me, ignota de anhelitu, & voce; & eorum inuentio fuit ex eo, quod in anatomia apparebat. Et reperi quoque lacertum, qui vtramque mouet genam, quum priùs fuisset ignotus. Nec intelligo quidē in hoc loco per vtramque genam duo mandibularum ossa, sicut Hippocrates intellexit hac appellatione in libro suo de articulis, quem quidem è contrario nempe vocauerunt; sed intelligo per vtramque genam, corpora, quæ duas continent mandibulas, quæ recipiunt, quod os implet de humiditatibus, & cibariis aut vento, prout in illo, qui vtres inflat, videtur. Specierū item lassitudinis, actio diuersitatis earum per anatomiam fuit reperta; quando in quibusdam, qui laborabant hac passione, vel membri quod lassatur, sensus impeditur, vel in quibusdam motus, vel vtrumque simul. Et in pluribus eorum nunquam in hac specie locus putabatur esse dubitationis, quoniam quidem non dubitatur, quòd in neruis, qui vadunt ad membra, in quibus accidit ægritudo, quando ingreditur malitia, noceat sensui, & motui. Duæ verò species aliæ non putabantur, donec reperi, secundum quē modum erāt in mēbris corporis, in quibus accidit illud, & non in aliis; quoniam hoc quidem nullatenus accidit in omnibus membris, ob hoc quòd non reperitur in omnibus membris neruus, qui sensum

ſenſum tribuat, & motum lacerto, qui eſt in membro patiente, præterquam neruus, qui ſenſum tribuit cuti, membrum ſcilicet illud includenti.

CAPVT IV.

De motu virgæ.

ET iam narraui omnia iſta, quæ apparent ex iſtis rebus in libro meo de anatomia. Et qui indagat de iſtis rebus, remouet hæſitationem earum; & patet eſſe eius per hoc, quod apparet in anatomia. Et quædam harum rerum magis congruit, vt per dialecticam diſcurrantur, niſi quia cum hoc ad hoc anatomia iuuamur. Vtpotè linguæ proxilitas, donec emineat ori; & ſatyriaſis, quæ accidit in pueris; & in quibuſdam eſt velocior, quando intuentur, quam amant, aut imaginantur eam; quia cauſa augmenti ex vtroque modo eſt difficilis, ſiue ex voluntate fiat hominis ſiue naturaliter ſine voluntate, & in omnibus motibus, qui fiunt ex voluntate, nihil obſcurius, & dubitabilius hoc. Quoniam in pueris ego video, nedum in aliis, quando ipſi volunt aliquod membrum ex membris ſuis replicare, aut diſtendere, aut in partem declinare, hoc quidem faciunt ex voluntate, & hoc quidem ipſi faciunt per lacertum, qui deſtinatur illi motui, & attribuitur, licet ipſi quidem lacertum illum ignorent, & non ipſi tantùm, ſed etiam multi medicorum. Et illud eſt quoniam inuenio membra corporis moueri per lacertum, cui Creator, qui nos creauit, & formauit, & in omni tempore præſens eſt nobis, prudenter indidit potentiam mouendi. Quando igitur aliquem volumus motuum, mouet lacertum, quem ad hunc formauit, & creauit. Et declaraui in opere meo de partium vſu, quòd creauit nos non ſolùm prudens ſcire quid oportebat melius agere, imò cum prudentia habuit potentiam, qua quidem nihil de hoc, quod melius & competentius prouidit eſſe, defuit agendum; & bonitatem, ac largitatem, in qua nulla fuit auaritia creandi quod melius eſt. Nec perſcrutari poſſumus opus Creatoris neque quale ſit vere ſcire, & quale inſit corporibus animalium; veruntamen non eſt quidem licitum dicere eum non viuere, vel non agere; imò vtique eſt ſummè prudens, & potens, ac benignus, ſicut iam declarauimus. Et ſi notum eſt & publicum, quod in omnibus corporibus eſt animalium, ſicut quidam putant, verbum iſtud inducit ad hoc, quòd duæ ſunt corporibus animalium animæ; quarum vna creatur naturaliter, & formatur omnibus membris, & eſt præpoſita omnibus quidem voluntatibus eius, ex quibus actiones procedunt per motum lacertorum, qui deputantur illis actionibus propriè: alia verò eſt anima, qua voluntas ineſt actionum. Quidam tamen hoc reſpuentes non fuerunt contenti hoc; & ab ipſo fugerunt, dicentes, quòd anima, qua quidem voluntas exiſtit, eſt illa, quæ per ſe, & ſuam eſſentiam, vniuerſa corporis membra imaginatur, vt quod voluerit de actionibus compleatur. Et huiuſmodi quidem dicti apparet peremptio, propterea, quòd ſi nobis eſſet hæc anima, ignoraremus cum ignorantia actionũ inuenire, an illi quidem lacerti ſint, aut non ſint Et ex eo, quod competit ei, quod diximus, non ſolum eſt verum in animis hominum, verùm etiam in animalibus remotioribus intellectu, hoc eſt in brutis, vt ſunt aſini, oues, porci; adeò quidem, vt animas habeant in ſumma potentia, & prudẽtia, & bonitate, ac largitate, iuxta quod expoſcit natura corporum eorum, aut creatura exigit. Et ſi nos quoque cętera dimiſerimus animalia, & ſimus homine contenti, cui quorundam animaliumcomparatione intellectus attribuitur propriè infra illa, videbimus, quod vt in actionibus, quæ fiunt à voluntate conſiſtit, nec in aliis liquet actionibus, & non nobilioribus, atque præcipuis. Cõgruit igitur, vt dicatur, quòd nõ eſt actio quidem nobilior homini, nec conuenientior rationali, quam ratiocinari, ac loqui; & hoc quidẽ erit cum diſtinctione, quàm lingua agit in voce expedita, ab epiglottide diſtincta. Quum lacertos habeat lingua quorũ quidam ipſam ſurſum attrahunt ad partem palati ad oris ſuprema; alij verò in contrariã eius partem trahunt eam, donec ad inferiorem deponant mandibulã; lacertos quoque alios habet quamplures, qui ad vtramque partem declinant. Neque aliquis eſt puerorũ neque adultorũ, & eorumdẽ, qui anatomiam inſpiciũt, qui lacertos linguæ nouerint, quando voluerit aliquod nominum pronuntiare, v.g. ſi dicat Petrus, quòd valeat prius excogitare, & intelligere, quo lacerto, & quo motuum, illud nomen proferat. Conuenit igitur, & competit, vt muſculus, cui libido fuerit irrogata, ſecundũ hãc rationẽ incurrat ſatyriaſim, quando libidinem autumat, & imaginatur, per aptitudinem rei ad hoc. Et quod membrorũ corporis immutatio imitatur animæ immutationẽ, non in motibus tantum, ſed in alteratione coloris erit inſtar huiuſmodi. Et ante modos huiuſmodi alterationũ, quædam ſunt alterationes, quæ fiunt calore, & frigore & ex hoc eſt, quòd ſæpe contingit diminutio ei, quem arripit timor ſubitus, vel horror, vel anguſtia. Et ex hoc arguerunt quidam, dicentes, quòd animæ quidem non ſunt aliquid per ſe exiſtens, aduenìens copori, vt poſſibile ſit abſque corporibus exiſtere, verùm animæ ſunt quid ex corpore. Et quoniam hi inueſtigauerunt de loco quid ſit, diuerſi facti ſunt diuerſitate non modica. Quidam enim dixerunt, quod eſt ſpiritus; & quidam ipſorum dixerunt, quòd eſt alia materies de commixtione elementorum, quam vnuſquiſque eorum profitetur, aut ex compoſitione eorum: & quidam nempe exiſtimauerunt, quòd virtus eſſet ſubſtantiæ, quæ vnicuique animali tribuitur; & quidam putauerunt ipſi eidem animali eſſentiam ſibi propriam Verùm ſubſtantiæ, quæ ſentiunt, & mouentur voluntate, ſunt illæ, quæ animalia nuncupantur, operatio verò eorũ, quæ operantur ex eis ſecũdum epithetũ ſubſtantiæ, quẽ habẽt ex commixtione elementorũ. Et iam ſententias in libro noſtro de Elemẽtis cæteras deteximus ſecundum ſententiam Hippocratis, quum vera ſit iſtorum ſententia, qui dixerũt, quod ſubſtantia generationi, & corruptioni ſubiecta, qualitatibus quatuor calida, frigida, ſicca, & humida, & non aliis, immutatur. Inquirere autẽ de anima an eius ſubſtantia ſit corporea, neque ceſſet quando corpus accidit alicuius rei animalis deſcẽdere in ea; aut ſit aliquid corpori continuũ, quod cum corpore accidit; aut ſpermatis ſit virtus, & potentia aliqua, cui conueniant quidem cum creatione corporis accidentia animæ: relinquo hoc illis qui de ſe exiſtimant, quòd hoc ſciunt verè. Satyriaſis autem virgæ ſcio manifeſtè, quòd ſit voluntate, & fortaſsè imaginatione tantùm Similiter ſcio ab ore cuiuſlibet hominis egredi linguam, quando hanc actionẽ vult. Cauſæ autẽ propinquæ, hac appellatione appellantur à peritis, & ſapientibus viris in hoc caſu, & ſubtilis ſpeculationis. Meritò autem dixerunt, quòd earum cauſæ duæ ſunt ſimplices, & vna compoſita. Cauſæ duæ ſimplices ſunt, quod ab arteriis ſpiritus ad iſta duo membra deſtinantur, cum ſint rara, & poroſa interius, ſcilicet virga virilis, & lingua; vel à ſe habent vt erigantur, & dilatentur; & vtriuſque erectio ſequitur, & comitatur ſpiritum intra venas exiſtentem vſque ad exteriora vtriuſque; & pori, qui ſunt inter vtramque, neceſſitate vacuitatis implẽtur. Sic enim

virgæ virilis impletio fit ab imaginatione, & voluntate; & distensio quidem vehemens habitudine, & valida, prout dicunt, & testantur medici considerantes anatomiam, lacertis aliquibus attribuitur paruis, & spiritibus, qui continentur in arteriis. Et eodem modo fit in lingua, quando erigitur, & dilatatur, ei quidem continuè spiritus immittuntur, cum eo etiam, quòd aliqui lacerti in ea habitudine distenduntur. Veritati quidem huiusmodi dicti attestatur, quòd arteriæ in lingua, & virga virili confixæ maiores, quàm in cæteris membris existunt. Cauebo ergo eum, qui verbum meum hoc audit, ne scilicet oberret & abhorreat verbum meum, existimando, quòd arteriæ, spiritum quidem duntaxat continent, sicut Erasistratus existimauit; sed sæpiùs dixi, quod in arteriis sanguis subtilis continetur calidus cum substanita quidem aërea; & extrema venarum orificia sunt adeo stricta, quòd id quod ab eis egreditur, spiritus est tantùm. Et poteris quidem prænoscere, quid de duobus dictis propinquius existat veritati. Et magis elegi verbum illius qui dixit, quòd distensio virgæ virilis non est minor causa, quàm illius, qui dixit, quòd ab arteriis quidem spiritus destinantur ad virgam virilem, & linguam per id, quod narrabo. Quod est, quia præsumet aliquis, & anticipabit dicere, quòd vnumquodque membrum, suo ipsius intendit commodo, & reparationi; & hoc quidem non solùm est sufficiens, sed, & verum; sed quod dicitur, quod membrum alterius intendat commodo, modum & quantitatem naturæ excedit, quum hoc quidem in hominibus cunctis non reperiatur, nedum in brutis. Et hoc quidem declarauimus sufficienter in libro nostro de facultatibus naturalibus. Et quod hoc affirmat, & asserit, est, quòd stomachus nequaquam cibaria digerit, vt per hoc intendat omnia membra animalis reparare; neque hepar quoque cibum immutat hac intentione, & immutat à stomacho progressum ad ipsum, vt conuertat in sanguinem, & ad cætera membra mittat: similiter quoque à corde non quidem pulsus actio prodit pro alio membro, sed pro suo commodo. Quod autem dictum est verisimilius sententiæ naturali, vt dicatur, quòd vnumquodque membrum attrahit sibi quod conuenit, vt ex ipso nutriatur; deinde illud immutat quod attraxit, & retinet & assimilat sibi; & expellit à se, quod est sibi diuersum. Quod verò dicitur quòd vnumquodque membrum non intendit quidem reparationi suæ, sed quidquid operatur, operatur vt præstet obsequium aliis membris, nō est verū. Quum ergo hoc sit vnum de iis, quæ in libro nostro de facultatibus naturalibus declarauimus, oportet vt principiū repletionis accidat quidem membris, quæ implentur, non ex arteriis, sicut quidam dixerunt, verùm ipsamet membra cum habeant erigi, & propriè dilatari, attrahunt spiritus ab arteriis, & implentur ex eis.

CAPVT V.

De motu linguæ.

Virga verò virilis augetur manifestè & fit magna, suscipiendo augmentum non solum in longitudine, verùm etiam in circuitu. Sed linguam videmus in longitudine distendi, quando ab ore educitur, non tamen augeri in omne corpus suum, quemadmodum virga virilis. Similiter quoque non videtur ob ore vniformiter egredi, quando fortius homo, quàm potest, os suum aperiit, aut quando penitus extat apertum, aut quando inter duas habitudines mediocriter se habet. Quoniam in ipso, cuius est os apertum fortiter, ac valde plus quàm possit, inuoluitur in inferiori labio in tantum, quod si conetur quantum potest eam eleuare, non valebis eam adaptare, vt ad figuram attingat mediocrem propter hoc, quòd mandibula quidem inferior concomitabitur eam, donec claudatur os; quoniam actio in aperiendo os & in claudendo, est huius mandibulæ tantùm, superiori quidem mandibula quiescente. Et maximè quando aliquis quæsierit linguam eleuare sursum cum conatu, donec exteriùs inuoluatur super labium superius, eam concomitatur mandibula inferior, donec concurrant labia, & os claudatur: & hoc fit, quia vinculum linguæ ex parte inferiori anterius; deinde post ipsum est extremitas linguæ absoluta, qua fit propriè distinctio vocis, vt fiat pronunciatio, & loquutio. Et hæc extremitas est, quæ egreditur exterius ab ore, quum oris apertio quidem fiat, quando mandibula inferior inferius attrahitur, & lingua mandibulæ sigillatur, quum sit ei ex parte inferiori tota continuata. Oportet igitur, vt non extrahatur extremitas linguæ sursum in illa habitudine, quum vinculum ab inferiori attrahat ipsam, & prohibeat. Et secundum hanc rationem, si aliquis quæsierit violenter linguam suam sursum eleuare, videbit mandibulam suam inferiorem sequi eam, & appropinquare mandibulæ superiori; & attinget hoc quoque conclusionem oris. Qúmque iam præmisimus hoc, concludemus sermonem nostrum, sicut oportet conclusione sua; & narrabimus hæsitationem, quæ accidit nobis de esse linguæ. Et dignum fuit, & meritò accidit nobis, quum non inueniamus causam, propter quam lingua prolixatur, donec ab ore quidem exeat; nec responsio quam videmus, egreditur ab illa ambiguitate. Scimus enim, quòd lacertus mouens linguam, sumit principium ex partibus tunicæ nodi gutturis, & ossis, quod assimilatur lambda literæ. Ideo oportebat tunc necessariò, vt, si lingua attrahatur ad illas partes, ascendat interdum per lacertos, qui continuantur ei desuper; & humilietur per lacertum, qui continuatur ei deorsum, quando ipse ad se attrahit; & declinet interdum, deuiando ad aliquam partium per lacertum, qui circundat quidem in duas partes. Quum ergo anatomiam inspicientes in hoc conueniant, quòd nullus motus obedit voluntati, nisi motus lacerti tantum; nec aliquis lacertus linguæ continuatus distendit eam, donec adducat eam extra os; tunc meritò in titubationem incidimus quando scire volumus qualiter actio fiat linguæ. Et si motus aliquis posset in corporibus animalis inueniri, qui voluntate fieret absque aliquo lacerto, non incideret in hanc quæstionem aliquid ambiguitatis.

CAPVT VI.

De motu vomitus, & deglutitionis.

Oportet ergo id sedula inquisitione inquirere, quoad veritatem consequamur. Et inspiciamus si forte inueniantur in aliis quoque membris motus voluntates animalis imitantes; & non solùm voluntates eius, verùm id, quod imaginamur existimando, sicut in virga fit virili; quia impletur corpus rarefactum vento velocitèr, ac leuiter; deinde ad tantum attingit motum, quòd impletione sui crescit. Et tu poteris scire manifestiùs ex animali quod ruminat, quòd motus voluntarius non est solius lacerti; quia hoc animal postquam implet ventrem suum herbis, aut alio nutrimento, redit in idem, & erigit ipsum paulatim ex eo, quod transglutiuit ad os suū,

vt

vt molat ipsum, & terat actione ruminationis. Quidam etiam hominum intendunt euomere, quod potauerunt, præter conatum vehementem volentes expellere facilè, ac velociter, vt non oporteat eos caput conquassare, sicut alij faciunt, & non egeant membrorum prouocatione, quibus euomitur, neque eorum distensione. Et manifestum est hoc procedere ex eis, quia instructi sunt in hac actione plus, quàm alij; & consueuerunt omni die, quando exeunt à balneo euomitare, & sumunt potum ante cibum. Quod si aliquis dixerit, quòd œsophagus obedit voluntati in huius actionibus; & si dixerit, quòd stomachus obsequitur voluntati; & si dicat, quòd vterque ei obsequitur; nihil in hoc casu refert, in quo sumus inter hæc, nisi quia alio modo, quàm oportet inquiritur, quum intenderimus inuestigare de motu membrorum; & non sumus quidem contenti perspicere, ex quibus membris illi fiant motus, quin consideremus cum hoc, secundum quem modum fiat actio illorum. Et video manifestè in lingua, & in generationis instrumentis, illa eadem membra, quæ mouentur; & cum hoc quoque video scientia manifesta, quòd actio linguæ, quæ accidit quando ducitur ab ore, voluntati quidem obsequitur; actio verò generationis instrumentorum non fit à voluntate tantùm, sed sæpiùs sine voluntate obsequendo ei, quod anima format, & imaginatur. In animali quoque ruminante; & in euomente facilè, meritò quisquis fuerit quæsiuit, an illa actio fuerit solius œsophagi, vel stomachi, & similiter habitudo in voluntate. Iam oppositi sunt homines in hoc. Et quidam eorum actionem eius attractioni stomachi attribuunt. Et quidam eorum attribuunt eam compressioni quidem œsophagi, qua comprimitur id quod discurrit per ipsum, & coarctatur. Qui autem in sermone suo distinxit, & perscrutatus est breuiter actionem membrorum, dixit quòd œsophagus ex duabus componitur tunicis; vna intrinseca, quæ quidem obedit stomacho, per quam ipse attrahit, quod deglutitur, sicut quod per manum trahit aliquis; alia verò extrinseca impellit comprimendo circumquaque rem, quæ deglutitur, donec ad stomachum perueniat, quemadmodũ coqui faciunt, quando manibus suis comprimendo id, quod cõtinent intestina, emungunt. Et quidam viderunt, quòd vtraque tunica œsophagi agit in deglutiẽdo, nisi quia maior virtus, ac dignior in hac actione, quã quæ est in interiori tunica; & exterior ei facilè suffragatur. Et iam quidem declaraui in libro meo de facultatibus naturalibus, quòd præcipua virtus, & maior, & dignior, quæ ad deglutiendum operatur, est quidem tunicæ intrinsecæ œsophagi; actio autem, quæ est in tempore vomitus, quæ est contraria deglutitioni, fit quidem per aliam tunicam, scilicet externam. Oportet ergo, vt ponamus causam in maiori parte, virtutem stomachi expultricem, quæ non est voluntaria, sed naturalis; & fortassis causa illius operationis virtus est voluntaria; & fortè virtus naturalis in illa habitudine, virtuti suffragatur voluntariæ facilè, & modicum. Sed quando vomitat homo sine voluntate cibum, quando eleuatur ad orificium stomachi, sicut accidit pueris dormientibus, oportet quidem existimare, quòd causa illius actionis est virtus expultrix; & hæc virtus etiam inuenitur in intestinis, & vesica manifestè, & matrice, & inuenitur etiam non minùs in cæteris membris animalis omnibus; nisi quia in istis occultiùs inuenitur adeò, vt probatione indigeat. Et iam adinuenimus in eis probationes, & fundauimus in libro nostro de facultatibus naturalibus.

CAPVT VII.

De motu deÿciendi, & mingendi.

ET vt quidam vomitus fit à virtute naturali sola, & quidam vel totus, vel maxima pars ipsius, fit prorsus à virtute voluntaria, ita reperitur in euacuatione per inferiorem regionem, id est per anum; & in euacuatione, quæ fit per vrinam quando mingitur, duplici quidem actione. Fortassis enim fiet hoc ab aliquo lacerti vsu, qui congruit ei, extrinsecus condensando, & comprimendo anum; vel fortè absque illius lacerti ope fiet ab intestinis, vt egrediatur stercus, vel à vesica vrinâ, & hoc fiet in dormiente. Et prouenit hoc etiam propter vigiliam nimiam, vel propter multam materiam, quam quidem continent illa loca, vel propter materiæ punctionem, vt demum dimittatur absque voluntate, & illa loca non comprimantur à lacerto, neque in illa quidem habitudine quicquam habeant de actione voluntaria, nisi tantùm vnicam, scilicet relaxationis actionem, & circularium impedimentum lacertorum, qui continent quidem extrema lacertorum illorum, qui ne fiat absque voluntate purgatio, solùm virtutem prohibent naturalem in eo qui permanent in suo cursu naturali. Quod si quidem accidat lacertis illis laxatio, aut incidantur penitus, donec sectio prorsus appareat, & deiectio quidem, & vrina tunc progreditur prorsus absque voluntate. Et iam quidam in hoc loco litigium induxerunt, vt vincere videantur, non ex eo, quòd sequeretur inde commodum, interrogantes, an actionis lacerti laxatio, comprimentis orificia meatuum, & impedimentum eius de actione æstimetur voluntaria, & dixerunt quòd actio quidem lacerti sit per distensionem eius, & contractionem, & non per relaxationem. Congruit itaque in hoc capitulo sententia eorum, qui sentiunt, quod rerum virtutes æstimandæ sunt; quum in eis iam conueniat inquirere de nominibus. Restat autem, vt concordes simus, quòd lacerti quando meatuum extremitates comprimunt, non egreditur quicquam ab eis; quando verò ab ea actione cessant, quod in illis extitit meatibus, egreditur. Meritò igitur dicit obiector, quòd illud, quod egreditur quidem ab illis meatibus, quando relaxatio vincit, illi quidem lacerto contingit actio non voluntaria, quæ fit per virtutem tantùm naturalem; & quod egreditur ab eis, eo in sua manente complexione, quando suffragatur lacertus illis conueniens instrumentis extrinsecus, actio fit voluntaria: verè erit secundum primam intentionem, vel viam, vel semitam primam, vel qualiter voluerit nominare. Et si quidem intendit voluntate sua, illorum lacertorum impedire, vel laxare actionem, ipsis sua natura non permanentibus, illud quod egreditur actio voluntaria per secundam intentionem, & viam secundam, non primam appellatur.

CAPVT VIII.

De membris, quæ mouentur motu voluntario.

ET sub hoc occupationis genere multa continentur alia dubia; imò quidem, si dignius est verum dicere, sub hoc capitulo omnia, quæ quidem accidunt, & arcentur à nostra voluntate, continentur. Quoniam ambulare, currere, calcitrare, & cæteræ quæ pedibus actiones perpetrantur, voluntariæ

dicuntur actiones, per intentionem primam; similiter actiones, quæ manibus aguntur, voluntariæ dicuntur. Vox, & locutio dicuntur esse à voluntate, prima quidem intentione; manuum autem & pedum quies, & cessatio à sermone, dicuntur actiones voluntariæ, intentione quidem, & sententia secunda. Quoniam sicut quando membra nostra volumus mouere, est illud, quod volumus, actio voluntaria: ita idem etiam quando volumus ea mouere, erit quidem, quod volumus, & hoc sequetur præcisionem consilij apud homines in aliqua actionum voluntaria. Nec hoc quidem currit in sermone duntaxat hominum, verùm reperitur ad instar hoc in sermone Dei sublimis viro comminantis, tempore necessitatis præsenti amico non subuenienti, in hunc modum dicentis. Nunquid tu præsens fuisti, ac amico quidem tuo in mortis articulo iam constituto non subuenisti, deinde me fraudulenter adiisti? egredere à meo sancto altari. Et quidam hominum non admittunt hunc sermonem & existimant quidem, quòd non est appellanda causa illius, quod accidit, nisi quidem actio imprimat aliquid in accidentia illius rei, quæ accidit. Et cogitur, qui hoc dicit verbum, dicere, quòd qui se, ne in exercitum magnum vadat ex regis edicto ad pugnam, & ad supponendum se periculo, occultat, nullam pœnam meretur; quoniam pugnantes illius exercitus si ceciderint, ipse cadet inter eos ratione cadentium, non quia ipse occultauit se ab eis. Et determinaui inter eos, qui dicebant verbum hoc, & inter illos, qui aliud verbum dicebant, hoc modo discordiam magnam, & validam Et iam orta fuerat sæpius inter medicos, & philosophos discordia, atque altercatio, vtrum priuatio, vel non factio esset quidem causa accidentiæ rei, quæ accidit. Et doctores legum, & reges, eos qui discedunt à pugna & eam subterfugiunt voluntariè, acriùs puniunt, quàm illos, qui post victoriam hostium fugiunt. Illi enim qui existimant, quòd non est aliquid priuatum causa accidentis rei, non possunt ratione defendere se in aliquo contra illum, qui dixit, quod illi, qui subterfugiunt pugnam timore cædis, vel mortis, iustè puniuntur: sed contenti sunt hoc verbum dicere, & ipsum sæpius iterare, & successiuè, quum non possint declarare atque ostendere, quod nequit aliquis ei sufficienter probare, quòd priuatum licet esse causam eius, quod accidit in præsenti. Et quidam medicorum intendentes hoc fundamentum obseruare, fundauerunt se per ipsum existimantes, quòd egressus egestionis, & vrinæ, quando fit absque voluntate lacerti, qui est super orificia meatuum, actio est naturalis, & non voluntaria, neque de actionibus animalibus prorsus. Sed qui sophistarum relinquit altercationes & contrarietates, & intendit in eis quæ in arte iuuant medicinæ, concedit, qui vult actiones istas appellare qualitercunque; & intendit inspicere qualiter ea, quæ iuuant, & vtilia sunt, duntaxat inueniãtur, quod est qualiter hæ fiant actiones. Exempli causa, quòd in stomacho, & intestinis virtus viget naturalis, expellens quidem id, quod eis nocet quantitate sua, vel qualitate noxia; & expellit etiam cum hoc interceptum in eis, licet non sit nocuum, quando non iuuat; & hoc quidem in membris in sua manentibus natura, quando consequitur ex hoc, quod continetur commodum per temperãtiam. Et fortasse aliquid intendunt expellere membra in tempore non idoneo, & non opportuno; & imitatur ipsa lacertus, qui comprimit, & coarctat illorum orificia meatuum, vt quid expellat, donec transiliat, & egrediatur; & similiter quando tempus accedit, quo sentitur ille exitus superfluitatum, ille quidem lacertus relinquitur, ac remittitur; demum quiescit ab actione sua, de quo sermo præcessit. Nec huius negotii fecimus mentionem, nisi ob id, quod sermo se ingessit ex continuo, non quidem principaliter ex prima intentione, quæ proposito, quod intendebam, necessaria existeret præsenti. Nec est quidem absurdum cum eo, quod præcessit rememorari, quod sum narraturus. Quod est, quia qui videt ophthalmiam patientem insuetus hoc videre, oculi eius primò replentur humiditate, & si diutius inspiciat, ophthalmiam quoque incurrit & ipse, quia oculi formidantes ægritudinem, debilitantur ex illa, & euanescit virtus illorum essentialis adeo, vt aliquid ab oculis admittat vicinis, qui sibi continuantur quando fuerit in eis superfluus humor, atque prauus. Et iam quidem hoc innuit Hippocrates, & similia ex eo, quòd corpori communicat cogitatio, & compatitur in accidentibus, sermone quem scripsit in libro humorum huiusmodi. Et fortassè quidem videt homo serpentem subito, & in colore suo accidit pallor. Et fortassè quis incedens super apicem pinnaculi, aut montis excelsi timet, & pedes eius tremunt. Similiter quoque homo videt alium mingentem, aut egerentem, aut pandiculationes agentem, & ad hoc prouocatur idem operari, quasi in membris ipsis visio sit intellectus, & inspectio. Et manifestiùs hoc declaratur, ac liquidius sicut dixi in actionibus, quæ fiunt in lacertis, quoniam illas actiones agunt pueri, nedum adulti, quando voces imitantur, quales alios audiunt proferentes, quum ignorent ipsi lacertos linguam mouentes, adeò vt incidant vocem incisione locutionem formante; similiter accidit inspiratio, & expiratio, anhelante lacertum quo hoc operatur ignorante. Non est ergo mirandum linguam quidem moueri à lacerto voluntate duntaxat, sed in ea virtutem esse, qua quidem perpendit, quod appetit intellectus, adeò, vt moueat se ipsam motu, vt ab ore quid educatur competenti. Et iam quidem prædixi quomodo hoc fiat, scilicet linguæ raritate ac poris eius, sicut in virga virili. Sed quia pori virgæ virilis ampliores existunt, augmentum virgæ virilis immensum, multam aëris comitatur substantiam; linguæ verò pori modici, ideóque non accidunt in ea raritates multæ, vel magnæ. Et huius generis quidem est, quod de dolore quæritur: quid namque est, quòd illud quod quidem incurrit occupatus ex aliquo, & negotiosus in loco, in quo est, apostema est minus. Quando ergo euacuatur, cum eo quoque quod ab eo non desistit augmentatur. Quidam autem dixerunt, quòd pars animæ disponens, & ordinans, qua fit ordinatio, quia causa motus existit voluntari, & sensuum omnium membrorum sensibilium, quando cogitatione detinetur, & occupatur alicuius rei, retardat præuentionem. Et quidam dixerunt, quod in ipsis membris est quædam virtus: quãdo ergo illa pars ad angustiam peruenit ordinatam animæ, & debilitatur, & euanescit, etiã laxatur, res autẽ debilitata, & euanescens habet necesse, vt contra id, quod nocet ei, validius insurgat. Et hoc quidem excogitauit vir quidam philosophus, cuius philosophia, atque prudentia pura quidem, & non turbata fuit, neque inuidia ducebatur, veritatem secutus non verbo tantùm, sed etiam opere. Percussionem sustinuit is in femore, ex qua sibi contigit apostema. Factum est ergo per hoc, in quo dubitauit; & illud fuit, quoniam mirabatur plurimum, qualiter languor eius noctu magis intendebatur, quum etiam maioribus vteretur remediis in tenebris, & pedes eius tunc magis otiabantur, quam in luce, & totum corpus eius erat opertum, & calefactum. Et ipse dixit, quòd sicut releuatum

leuatum fuit, illud quidem non fuit, nisi quia non erat de nocte alio negotio occupatus videndi, vel audiendi, neque aliquid agendi, neque in aliquo prospiciendi, neque cogitandi; sed eius cogitatio conuertebatur in apostema coxæ duntaxat. Et dixit, quòd acciderat ei apostema priùs semel in oculis suis, & dolebat noctu vehementiùs; & illud est, quoniam sicut quandò oculus sanus aspicit alium oculum ægrotum, & intendit circa ægritudinem cogitare, & imaginari, etiam ipse oculus ægrotat. Sic ita non est mirandum, vt cogitatio operetur, ac imaginatio illud: & quamuis sit in ægritudine femoris, quia dispositio eius, licet admodum sit modica, tunc tamen ægritudo intenditur, & augetur. Harum autem rerum veritatem licet non attingamus perfecta probatione, quod tamen de eis dicimus firmè, est sufficiens; & possibile est, vt non sit sufficiens tantùm, sed verum.

CAPVT IX.

De motu palpebrarum.

ET iam tempus ad aliam speciem motuum liquidiorum redeūdi, ac si sit conuersio eius quod narrauimus. Quoniam sicut quædam membra reguntur in virtutibus naturalibus, & motus in eis apparent animales, vel actionibus permixti naturalibus, sic inuenio alia membra, quasi voluntatem sequentia; & voluntas ei prædominatur dominio manifesto. Et quum hoc inuenio, quòd permiscentur eis motus naturales, sicut motus palpebrarum; quoniam quidem hæc actio erit in pluribus hominibus absque voluntate; & non reperies aliquem ferè, qui sic arceat palpebras suas, vt non moueat eas, & apertis permaneat oculis, vsque dum velit eos claudere, & claudat, nisi raro.

CAPVT X.

De motu clibani pectoris in tussi, risu, & sternutatione.

ET iam inuenimus quoque in motu clybani pectoris totius in tempore tussis, risus, ac sternutationis, locum ambiguitatis. Et hoc quidem est, quoniam istud membrum animalis mouetur vtique semper per lacertum; & initium motus lacerti mouentis ipsum procedit à fundamento neruorum & origine illorum, adeò quòd homo si intenderet illis neruis, & illos amputaret omnes incontinenti præpediretur anhelitus illius animalis. Et si quis voluerit forti conatu tussi resistere, vt fortassis valeat anhelitum arcere, ac continere propter tussim paululum, si fortis fuerit virtus in arcendo, & comprimendo anhelitum suum dominando ei, diuturniori tamen tempore non poterit resistere quin deficiat, & vincatur, donec, siue velit, siue nolit tussiat. Similiter fit in sternutatione, quoniam nequit actor eius ipsam comprimere, quando violenter inuadit. Eodem quoque modo hoc quidem inuestigatur, & anhelitus. Et quidam existimauerunt, quòd anhelitus esset actio naturalis non voluntaria, ob id quidē quia viderunt eā in soporato, & apoplectico. Et iam sufficienter quidem exposuimus de anhelitu in tractatu secundo libri nostri de motu musculorū; & librum nostrum inspicienti competit quod ibi diximus de anhelitu, ad tussim reducere, & sternutationem. Risus autem incitatus ex eo, quòd superficialia tanguntur loca sub axillis, & volæ pedum, non quidem sub hoc capitulo comprehenditur; neque video quidem ad cognoscendam causam, propter quam si tanguntur huiusmodi loca, huiuscemodi tactu moueantur motu huiusmodi, velut quando aliquid videtur risibile, vel auditur, secundum aliquam semitam penitus; nec ad cognoscendam causam; propter quam, quando similia viderimus istis, vel audierimus, corpus prorumpit in motum risus, etsi velimus arceri ab eo, & continere quanto possumus conamine soliciti. Tussis verò, sternutationis, oscitationis, singultus, pandiculationis habitudinem narraui quidem in causis accidentium.

CAPVT XI.

De motu œsophagi in deglutiendo.

COntentus sum autem impræsentiarum ponere quidem exemplum ad inquisitionem aperiendam de actionibus ambiguis, de quibus hæsitatur, quomodo fiat Et iam aliquid ex hoc narraui in tractatu secundi libri mei de anatomia viuorum animalium. Nunc autem narrabo modum in alia specie animaliū, causa quidem exercitij, quum sciam inter omnia nihil esse vtilius ei, qui voluerit acquirere secundùm habitudinem, & modum in arte medica; quàm vt in pluribus exercitetur exemplis; quum in transitu eius, quod deglutitur ab œsophago plures discordes sint, oportet ad inquirendum diligenter intendere, qualis rei veritas reperiatur. Et primò narrabo ex anatomia totam formam œsophagi qualis sit, deinde post modum omnia alia membra, quæ sibi continuantur. Et primum eorum quæ sibi continuantur, & dignius omnibus est stomachus. At quidem si aliquis dicat œsophagum ipsius esse partem, non verebitur hoc dictum neque verecundabitur. Secundū autē ab iis, quæ continuantur œsophago, est nodus gutturis, demum lingua, atque os. Et illud est, quoniam vna tunicarum œsophagi scilicet interior in sua natura neruosa, cuncta, quæ sunt in ore & nodo gutturis inuoluit. Et videtur maniste (quando id quod deglutitur ad stomachum per œsophagum transmittitur) de suo loco nodus gutturis moueri primò, & ad partem gutturis eleuari; quando autem quod deglutitum est residet in fundo stomachi, nodus gutturis statim subtrahitur, donec ad pristinum locum redeat. Et ex hoc quidem; quod apparet in hoc capitulo, nobis aperitur initium inquisitionis; & oritur quæstio, an nodus gutturis tres habeat partes, quæ sint, nomen non habens, peltalis, & cymbalaris; & an nodus gutturis in aliquo suffragetur, semetipsum erigendo ad deglutiendum nutrimentum; an quidam moueatur motu aliquo, quem agit, & operatur deuoratio. Postquam autem cogitauit ille, qui magnæ fuit inuestigationis in inquisitione huiusmodi actionis, quod antecedit deuoratio transitum eius quod deglutitur in ore, & gutture indagauit, an in motu nodi gutturis sit aliquod instrumentorum, quod actionem operetur illum scilicet transitum nutrimenti in ore, & gutture; an non sit ad hanc causam possibile, vt nodus gutturis attrahatur sursum, sed sequatur necessariò motum membrorum, quibus fit transitus nutrimenti in œsophago. Deinde, nescio qua discordia quidam sint quibusdam contrarij. Et duæ illarum sectarum antiquiores, à veritate fuerunt remotiores, quæ iudicarunt quod nodi gutturis eleuatio, atque erectio motum quidem lingua contingit, qui mouet eam, immittendo quod deglutitur, donec ipsum ad œsophagum perducit. Et qui fuit ex illis in anatomia profundior, ipse quidem existimauit, quod lingua, quando magis flectitur in deglutiendo, sursum attrahit duos lacertos; & attrahunt sursum illi duo lacerti nodum gutturis per attractionem suam, quoniam inter radicem linguæ, & nodum gutturis infiguntur, propterea quidem continuantur cartilagini,

quæ ſcuto aſſimilatur. Et aſſertores huius verbi exiſtimant, quòd duæ duorum lacertorum extremitates horum deſinant in cartilaginem. Quum omnes ergo, qui profitentur anatomen, in hoc quidem conueniunt, quòd cuiuſque lacerti corpus, quando operatur, & agit, verſus caput ſuum retrahitur, non eſt ergo mirandum, ſi quando lingua incuruatur in initio deuorationis omnino illorum lacertorum verſus caput, eorum corpora vnumquodque duorum ſurſum contrahit, loca eorum iuxta linguam, & ſecum quoque cartilaginem ſurſum ſcuto ſimilem. Quum ergo reſiduæ cartilagines duæ nodi gutturis, huic continuentur cartilagini, totus iccirco nodus gutturis eleuatur atque erigitur. Quòd ſi res, ſicut exiſtimauerunt, quòd apparebat in anatomia, ſe haberet; verbum quod dixerunt, omnibus quæ dixerant, abundantius eſſet. Sed quia duo lacerti, qui cartilagini quidem continuantur, ſcuto ſimili, non continuantur vtique cum lingua, ſed capitum eorum origo exiſtit à duobus oſſis lateribus, quod lambda literæ Græcæ aſſimilatur, eorum patet error, qui quidem exiſtimauerunt, quòd cartilago nodi gutturis aſſimilata ſcuto mouetur, ſiquidem motu linguæ per attractionem duorum lacertorum, quos prædiximus, ſurſum. Et quamuis etiam cùm hoc quòd exiſtimauerunt, verum exiſteret, quod apparebat in anatomia, non quidem cum cartilagine ſcutea ſurſum quidem attracta duæ cartilagines reſiduæ de cartilaginibus nodi gutturis attraheretur, quum in eis diſtinctiones eſſent manifeſtæ valde inter quaſdã cartilagines ad inuicem. Quòd ſi quidem in animali mortuo intendas illos duos lacertos ſurſum trahere, videbis, & cartilaginem vnicam ſurſum trahi parum, & non videbis ipſum mouere nodum gutturis totum per motum eius. Et hoc apparet in cæteris lacertis nodi gutturis, quoniam vnuſquiſque eorum mouet quidem cartilaginem illam, quæ continuatur cum eo duntaxat, motu facili valde. Et manifeſtior quidem modus, quo deprehenditur error huius ſententiæ, eſt quod in animali viuo apparet. Quoniam ſi tu duobus illis intendas lacertis, & amputes illos, deinde labia coniungas vulneris, & vinculo conſtringas, & dimittas animal agere quodlibet, videbis poſt modicum temporis ipſum deglutire cibum ſuum, & potum, & mouebit nodum gutturis ſui ſicut priùs; neque hoc faceret, ſi fortè lacertus, qui ipſum mouet, amputaretur. Et quòd non prolongetur ſpatium temporis inter inciſionem illius lacerti quam facis, & quod de hoc dixi oportet videre. Et ergo vt animal, quod incidis, & ſcarificas, prius affligas fame vel ſiti; & quod de hoc dixi eſt ſuperfluum, quod ad illud, quod neceſſe habetur cum eorum ignorantia; quum quidem eſſe duorum capitum duorum lacertorum ſolùm ſufficiat ad errorem huiuſmodi ſententiæ & conſilii detegendum. Quoniam quidem hos duos lacertos infixos eſſe video in duobus lateribus oſſis lambda literæ aſſimilati: & duos alios lacertos video à ſummo vniuſcuiuſque laterum illius oſſis oriundos, inde verſus linguam tendentes, duobus quidem lacertis continuatos ad nodum gutturis diſcurrentibus. Et videtur mihi quòd decepti ſunt, & errauerunt in anatomia ſimiarum; quoniã in hoc quidem animali reperiuntur duo capita duorum lacertorum ſuperiorum iuncta duobus duorum lacertorum capitibus inferiorũ ita vt ſe contingant, quando animal carnoſum extitit, & delicatum: & hoc erit præ anguſtia duorum laterum oſſis lambdoidis, & ſubtilitate vtriuſque. In animali verò cuius latera huius oſſis fuerint lata, tu quidem capita iſtorum duorum lacertorum videbis ad inuicem ſeiuncta manifeſtè, & maximè quando animal extitit magnum, vt taurus, & ſimilia. Et inter illa capita, diſtantia quoque longitudinis eſt ſenſibilis in omnibus animalibus dentatis. Studeas igitur exerceri quidem primò in huiuſmodi ſpeciebus animalis, vt inter capita lacertorum horum, de quibus fuit locutus, bene diſtinguas: deinde hoc idem in equis, & in cæteris habentibus vngues, coneris. Quando igitur hoc feceris, poteris inter vtrumque bene diſtinguere. In ſimiis etiam facilè; & maximè quidem ſi priùs exercueris in ſimiis, quorum capita capitibus canum aſſimilantur. Et quando fuerit animal antiquius, & maturius, anatomiam omnium lacertorum melius perſcrutaberis. Poſt autem quàm perfectè deprehendimus, & verè ſcimus, quòd huiuſmodi verbi profeſſores, quod perſcrutati ſumus, errauerunt in eo, conſideremus igitur, an ab alia re, quæ ſit in ore de membris, ſit cauſa attractionis, & erectionis nodi gutturis tempore deglutitionis; & aperiam inſpectionem inquirens ſecundo, quum inter ipſum, & œſophagum ſit communicatio non modica per tunicam quidem interiorem, in qua ſubſtantia carnis eſt modica valdè; deinde ceſſat in ea caro otiari paulatim, donec ea priuetur penitus; & fit in modum pelliculæ ſpiſſæ, qua totus nodus tegitur gutturis, & os, & cum ea tegitur ſuperior pars linguæ. Et iam vidi ſemel quoſdam brutorum animalium medicos, ac chirurgos volentes in œſophagum infundere quædam, quæ infunduntur animalibus, & tenebatur eius lingua cum mandibula fortiter inferiori ita, quòd commouebatur; & memini quorundam, quæ infunduntur hominibus, quando apoplexiam incurrunt. Nos quoque intendimus faucibus oris quidem, & ponimus quædam in eis cibaria humida liquida; & in radicem linguæ immitto, & infundo, quod eſt in vaſe in œſophagum; & video quòd nodus gutturis tunc eleuatur. Et ex hoc patet manifeſtè, quòd eleuatio nodi gutturis eſt accidens ineuitabile tranſitus eius, quod tranſit per œſophagum. Et fortaſsè ponimus in œſophago grana modica rotunda, quoquidem deglutiantur narcotica, & quædam pharmacica, & quædam quidem, quæ alia opera faciunt retenta cum extremitate lingua, vel interius expulſa, ne prohibeat digitos noſtros, quibus intromittunt grana, donec ad principium perducantur œſophagi: neque tamen ex hoc huiuſmodi veritas patet verbi, verùm etiam ex hoc quòd non eſt poſſibile, vt alius excogitetur modus, quàm iſte, quem dixerunt quidam in lacertis, quo liceat linguæ quando mouetur ad ſe nodum gutturis attrahere. Et illud eſt, quoniam quum radix linguæ, & duo lacerti deſcendant ad ipſam à duobus locis, quæ prædiximus, oportuit illis duobus lacertis linguam, neque aliquid aliud moueri; quoniam verbi illius, quod auctor aſſerebat, quòd poſſibile quidem erat nodum gutturis illis duobus attrahi lacertis ſurſum deſcendentibus ad cartilaginem ſcuteam, error detectus eſt, & patuit falſitas. Cum ergo ſit hîc quidem exiſtimare alium modum quo poſſit hoc ſtare præter hunc, manifeſtè patet hoc eſſe falſum; neque aliquis aliud poterit dicere. Similiter etiam nullus poterit dicere, niſi quòd motus nodi gutturis erit cum tranſitu eius, quod in œſophago, non cum actione linguæ, quum actio quidem linguæ tranſitum eius, quod in œſophago deglutitur, antecedat; deinde quieſcit, & præpeditur tempore, quo cibus in œſophagum tranſit. Reſtat ergo nobis indagare cauſam, propter quam mouetur nodus gutturis cum tranſitu rei iniectæ in œſophago à principio vſque ad finem, donec incipiat eius motus, quando iniectum inchoat in œſophago tranſire, & quieſcit quando quieſcit illud, & reſidet. Et res etiam patet, & manifeſta

feſta eſt ei, qui non exercuit cogitationem ſuam multo exercitio, quod non poteſt eſſe, quin ſit vno duorum modorum: ſiue quod nodus gutturis innatum habeat intellectum, quo moueat ſeipſum, quum videat hoc eſſe ſibi melius, ac dignius, ſiue, quòd eleuetur per attractionem. Quum ergo per primum dictum ſit abſurdum, reſtat vt ſecundum ſit verum, ſcilicet, quòd nodus gutturis eleuetur, quando trahit ipſum œſophagus. Et approbat hoc eſſe verum, & atteſtatur naturalis, quo declarauimus, quòd in omni membro virtus eſt attractrix, qua quidem id, quod eſt ſimile, attrahit ſibi, & aſſimilat; quemadmodum in vnoquoque ipſorum eſt virtus expultrix ad id, quod eſt contrarium ei, & odit. Quod ſi eſt verum, eſt quod declarauimus, quòd deſiderium eſt actio oris ſtomachi, & quòd œſophagus attrahit, quemadmodum res manus, quod competit ei, & deſiderat, quod eſt in gula. Tunicæ verò alterius pellicula, quæ currit, & inueſtit in circuitu ſecundum latitudinem, vtilis eſt quidem, & ſuffragatur, quando ſtomachus quidem ad euomendum aliquid mouetur. Similiter pellicula quædam, quæ eſt in inteſtinis omnibus inueſtit in circuitu in latum; nec aliqua pellicula in eis exiſtit, quæ aliter, quàm hoc modo inueſtiat, quoniam natura non aptauit ad attrahendum aliquid conueniens, ſed educendum quod in ſtomacho ſuperfluit, ſicut explicaui in libro meo de facultatibus naturalibus. Probationes ergo ſecundum hanc viam apud eum, qui cogitationem ſuam circa virtutes actionum exercuit naturalium, ſunt veriores, & magis vrgentes, & ad credendum digniores, quàm argumenta, quæ ſunt præmiſſa. Ille autem cui non eſt inſitum à natura, nec eſt aptus ad intelligendum ſubtilia; nec cogitationem ſuam circa doctrinam eorum, quibus verè comprehenditur cognitio, à pueritia exercuit, nec poſtea in ſcientia rerum naturalium intentionem ſuam diu appoſuit; probationes, quæ fiunt ſenſui manifeſtæ ſecundum modum illarum, quas ſuperiùs narrauimus, non erunt ei firmiores, & magis vigentes: non enim proſpexit, & ſciuit, quòd natura nil operatur fruſtra, & incaſſum. Et quia vna tunica, ſcilicet interior œſophagi, ſola videtur habere ſollicitudinem apparentem in œſophagi actione, non reputo quemquam ad tantam deueniſſe ignorantiam, vt dicat, quòd ſtomachus attrahat id, quod competit ei per pelliculam, quæ diſponitur circulariter in latum; & expellat per pelliculam in lineæ longitudinem; niſi quis in hac vita nihil de hoc excogitauit; ſed acquieſcat quidem ei, quod nouit ſenſu, donec ipſum verè comprehendat; veluti quidam oſtendere volens cuidam volenti hanc viam in gallo, quod pellicula quæ diſponitur in latum, quæ eſt in tunica œſophagi exteriori, quando amputatur amputatione in longum, videtur illud animal traiicere. Et manifeſtum eſt, quòd hac vtique anatomia debemus vti in gallo fame priùs afflicto; & illud eſt, quoniam poſtquam fueris vſus hac abſciſſione ſecundum rectitudinem facta in longum, quum non in aliquo ſibi conſeruandum vitam efficiat, ipſe quidem comedit, & bibit priùs, quàm locus vulneratus inflammetur, & doleat, & tunc abſtinebit ab eſu, & potu. Et non ſic quidem declaratur ei, cuius hæc fuerit via ſua ſcilicet de tunica œſophagi; cuius villi tranſeunt, vt linea in longum, & non quia cum interiore parte nodi gutturis continuetur; hoc quidem modo factum, in quo ſumus, magis declarabitur, quàm illo modo, quem prædiximus. Neque declarabitur ei, cuius fuerit hæc via ſua, id quod accidit quibuſdam piſcibus, ſcilicet chamæ, & illi qui vocatur ſonedis, quod ſtomachus vniuſcuiuſque illorum, quando intenſa fame conatur aliquod animal minus eo capere, & euadit illud, ſæpius inuenitur erectus vſque ad os ſuum; & hoc quidem, quia in his animalibus appetitus valde intenditur, & ſuperat.

ΓΑΛΗΝΟΥ ΤΟΜΙΟΝ ΕΚ ΘΕΜΙΣΤΙΟΥ ΕΝ ΤΗ ΠΑΡΑΦΡΑΣΕΙ ΤΗΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

GALENI FRAGMENTVM EX THEMISTIO IN PARAPHRASI QVARTI DE PHYSICA AVSCVLTATIONE.

De motu, tempore, ac imaginatione.

QVOD igitur tempus ſine motu non ſit, perſpicuum eſt. Sine motu autem non eo modo quo cenſet Galenus, accipiendum eſt, quod motu agitari tempus intelligimus, ſic enim putat Ariſtotelem dicere. Sed quum motus notitiam temporis notitia conſequatur, quid ergo fruſtra certat, ac ſi contradicere contenderet? Nam & quæ immobilia ſunt, inquit, moti intelligimus, vt mundi polos, & terræ centrum, & tamen hæc ſine motu

Περὶ κινήσεώς τε καὶ χρόνου, καὶ τῆς φαντασίας.

ΔΗΛΟΝ οὖν ὡς οὐκ ἔστι χρόνος ἄνευ κινήσεως. ἄνευ κινήσεως δὲ οὐχ ὃν τρόπον οἴεται Γαληνός. ὅτι κινούμενοι νοοῦμεν τὸν χρόνον. οὕτω γὰρ ὑπολαμβάνει λέγειν Ἀριστοτέλην. ἀλλ' ὅτι τῇ τῆς κινήσεως ἐννοίᾳ, συνήρτηται ἡ τοῦ χρόνου, τί οὖν μάτην ἤλη πρὸς τὸ δῆθεν ἀντιλέγειν ἐπιχειρῶν; καὶ γὰρ τὰ ἀκίνητα, φησί, κινούμενοι νοοῦμεν οἷον τοὺς πόλους τοῦ κόσμου, καὶ τὸ κέντρον τῆς γῆς, καὶ ὅμως οὐκ ἔστι ταῦτα

μετὰ κινήσεως. ἐχρῆν γὰρ καὶ ἀκοῦσαι διαῤῥήδην λέγοντος Ἀριστοτέλους. ἅμα γὰρ μετὰ κινήσεως αἰσθανόμεθα καὶ χρόνου. πλεῖστον δὲ δήπου διαφέρει, ἢ διὰ τοῦτο κινήσεώς τι τὸν χρόνον ὑπολαμβάνειν, διότι τῇ τῆς κινήσεως ἐπινοίᾳ συνήρτηται, ἢ διὰ τοῦτο ὅτι κινούμενοι νοοῦμεν τὸν χρόνον. ἀλλ' οὗτος μὲν ἐν πολλοῖς τοιοῦτος.

A sunt. Etenim Aristotelem apertè dicentem audire oportebat. Nam vnà cum motu & tempus sentimus. Plurimùm autem differt, aut ideo motus aliquid tempus existimare, quòd ad motus intelligentiam consequatur; aut ideo quòd nos moti illud tempus intelligamus. Verùm hic sanè in pluribus huiusmodi.

ΕΞ ΑΥΤΗΣ ΤΗΣ ΤΟΥ ΘΕΜΙΣΤΙΟΥ παραφράσεως.

B

ΓΑΓΗΝΩ δὲ οὐ προσεκτέον, οἰομένῳ τὸν χρόνον ἀφορίζεσθαι δι' αὑτοῦ. πολλὰ γὰρ ἐξαριθμησάμενος σημαινόμενα τοῦ προτέρου τε καὶ ὑστέρου, τὰ μὲν ἄλλα οὐκ ἐφαρμόζειν φησὶ τῷ ὁρισμῷ, τὸ κατὰ χρόνον δὲ μόνον· ὥστε εἶναι τὸν χρόνον ἀριθμὸν τῆς κινήσεως κατὰ χρόνον.

EX EADEM PARAPHRASI Themistij.

GALENO autem assentiendum non est, qui tempus per se ipsum putat determinari. Quū enim multa quæ prius ac posterius significant enumerauerit, cætera quidem definitioni haud conuenire dicit, ídque solùm secundum tempus, vt tempus sit motionis numerus secundum tempus.

C

ΕΚ ΜΙΚΑΗΛΟΥ ΕΦΕΣΙΟΥ περὶ ἐνυπνίων.

ΑΙΤΙΟΝ δὲ τοῦ συμβαίνειν ταῦτα τοῦτ' ἔστι, τοῦ φαίνεσθαι μὲν, μὴ ἀπατᾶσθαι δέ, ἢ καὶ φαίνεσθαι καὶ ἀπατᾶσθαι. ἁρμόζει γὰρ ἐν ἀμφοτέροις ὁ λόγος. ὅτι οὐκ ἀπὸ τῆς αὐτῆς δυνάμεως κρίνει ὁ νοῦς, καὶ ἡ αἴσθησις. ἀλλ' ὅταν ἡ μὲν ὄψις κινῆται, ἢ ἡ φαντασία, καὶ νοσῇ· ὁ δὲ νοῦς ὑγιαίνει. καὶ εἴρηται περὶ τούτων πολλὰ, καὶ καλὰ τῷ Γαληνῷ. ἐν τούτοις γὰρ κατακολουθεῖ τῷ Ἀριστοτέλει.

EX MICAELO EPHESIO, de insomniis.

CAVSA autem propter quam hæc accidunt, hæc est; quod appareant quidem, non autem decipiamur, aut quod appareant, & decipiamur (in vtrisque enim sermo cōuenit) quòd non ab eadem facultate & mens, & phantasia iudicat. Sed quando aspectus quidem, aut phantasia mouetur & ægrotat, mens autem sana est. Ac de his multa eáque pulchra à Galeno dicta sunt; in his enim Aristotelem sequitur.

GALENI

GALENI DE MOTV THORACIS, ET PVLMONIS.

ARGVMENTI LIBRI.

Pulmonem vacui consequentia à thorace moueri. Fragmentum fortaßè eorum trium librorum, quorum meminit octauo de Anat. administr. capite secundo.

QVOD quidem thorax moueatur, manifestum nobis fit, & tangentibus manibus, & oculis videntibus. Quæritur autem, an vtique motus aliquis sit pulmonis, vel non. Demonstratum igitur est nullum innatum habere motum, sed semper indigere thorace ad motum. Si enim nullam est inuenire dispositionem, in qua thorace immobili manente moueatur pulmo, sed etiam in aliquibus thoracis motibus pereuntibus, simul pereat pulmonis motus, non vtique ineptè æstimabit quis, indigere pulmonem thorace, ipsúmque esse principem motus. Ex eo verò, quòd neque ligationem aliquam, neque aliam non fallacem apprehensionem habet thorax, qua vtens trahat pulmonem, quando dilatatur, sed absoluti sunt vndecumque inuicem (pendet enim pulmo apud inferiora thoracis, sicut vas in tecto idoneè continente A ipsum,) difficilis, & difficilè excogitabilis fit causa motus eius. Quare igitur nos, inquantum possumus, eius causas dicamus. Dilatato quidem thorace cõdilatatur omnino pulmo, à consequentia quæ ad id, quod euacuatur, attractus, sicut in fistulis, quæ in aquam mittuntur, est videre: si enim mulseris ore aërem, attrahes aquam, per longã valdè multoties viã præter naturam sursum allatam: tantam enim habet vim consequentia, quæ ad id, quod euacuatur. Et super quid aliud est idonea ad replendum, id, quod est in medio organorũ: & si immobilis maneat pulmo, quod in magnis vulnerationibus accidit, apparet tamen euidenter ab extra aër ad vacua thoracis attrahi propter leuitatem potens: quare eo anticipante comprehendere regionem dilatationis, rationabiliter pulmo quiescit. B Qualiter autem moueretur, causa mouente ipsum pereunte? erat autem ipsa in non perueniendo in medio aliquid: sic enim est thorax pulmoni princeps motus.

GALENO ASCRIPTVS LIBER DE RESPIRATIONIS VSV.

CAPVT I.

Caloris vitalis cum flamma comparatio, & vtrum maior flamma minorem extinguat; & an id minus fiat, quod ex alio generatur.

CALOREM vitalem, qui est in corde, dicit Aristoteles nutriri à sanguine, pingui & vnctuoso existente, eodem modo, quo flamma nutritur ab oleo: Et eiusdem caloris extinctionem, quemadmodum & flammæ, dupliciter fieri. Nam sicut flamma extinguitur dupliciter, siue consumpto oleo, siue addita ei maiore flamma, similiter calor vitalis extinguitur in morte animalis, aut defectu puri, & pinguis sanguinis vt in consumptis, aut aquoso sanguine repletis; aut accessu caloris maioris, vt in febrientibus. Inuestigans autem Aristoteles, quare maior flamma extinguat minorem flammam ei appositam, dicit maiorem flam- A mam consumere nutrimentum minoris flammæ vsque adeo citò, vt non possit æquè citò nutrimentum succedere. Dico autem maiorem flammam trahere ad se minorem causa similitudinis vsque adeo citò, vt non possit æquè citò minor flamma attrahere aliam flammam, ex eo à quo nutritur sibi succedente. Nutritur autem flamma non solùm à pinguedine aliqua, imò etiam ab aëre vicino; & fit nutritio non vt quidem putant per alterationem nutrimenti, neque per assimilationem eius ad id, quod nutritur, sed per attractionem partium nutrimenti, similium ei quod nutritur; id enim à quo nutritur ignis, necesse est vt in se habeat igneas partes. Quod autem ignis nutritur ex aëre, probant ex eo, quia si inter terram fodiatur specus ampla angusti oris, B & magna lignorum congeries intromissa incendatur immisso igne, obstruso quidem foramine, necesse est ligna eodem momento omnino extingui. Exit enim ignis per poros terræ superiectæ & non potest aër intrare ad reparationem

ignis exeuntis, tum quia aër obstrusior est igne, nec æquè mobilis est, vt ignis; tum quia necesse est plus aëris influere, quàm sit ignis affluens, qui reparandus est ex eo, pro eo quòd non ex toto aëre, sed ex solis igneis partibus, quæ sunt in aëre fit ignis; fitque ex plurimo aëre multo minor ignis: nam & similiter in omni nutritione fit ex multo nutrimento res modica per digestionem. Velociter etiam quicquid fit ex alio, minus est eo à quo generatur, quòd tamen plerique negant: nam sicut, inquiunt, ex modica aqua fit multus fumus, similiter quoque ex modica aqua fit multus aër, ita quoque ex modico aëre fit multus ignis. Dico autem quòd fumus non fit ex sola aqua, sed habet plurimum aërem, in quo disseminatæ sunt aqueæ particulæ, quod est videre hoc modo. Nam quando bullit aqua in vase ad ignem, ignis quidem transit per poros vasis ad aquam, faciens illam tumescere & ampullas eleuari; fiúntque ampullæ ex directo ignis, qui est sub vase: sícque ad mediam aquam transit ignis ascendens in aërem, attrahítque secum aqueas particulas, cum quibus aëri admiscetur; feruntúrque aqueæ particulæ sursum, donec deseruntur à calore inferiori aëre, quem frigidum esse constat, vt ostensum est aliàs. Amplius autem nubes, quum sit fumus, congelata quidem fit nix, quemadmodum pluuia congelata fit grando; nix autem plurimum habet aërem quemadmodum spuma; & est alba vtraque propter aërem sibi commixtum, quem Aristoteles esse album ostendit; sed hæc hactenus. Quoniam auté flamma in continuo fluxu est, & continuè generatur alia & alia flamma, succedítque posterior flamma in locum prioris, imò in modum fluuij, putant quidam priorem flammam sursum ascendentem extingui ab aëre. Dico autem eam admisceri aëri, disseminaríque in eo per minutas particulas: nam & similiter disseminata fuerat priùs, non solùm in eo, à quo generata est, imò etiam & in aëre vicino, præsertim quum multò plus nutrimenti habeat flamma ex aëre, quàm ex aliquo alio. Sicut autem flamma in continuo motu est, & in modum fluuij alia alij succedit, & ita calor continuè effluit à corde ad venas, & per venas ad totum corpus, & inde continuè effluit extra corpus: nam & vestes non ob aliud calefaciunt, quàm quia retinent calorem continuè euaporantem à corpore per poros. Sunt autem pori venæ subtilissimæ, per quas effluit calor, & etiam sudor, qui nihil aliud est quàm aqua sanguini admixta: quandoque poris amplius dilatatis effluit ipse sanguis. Quod autem pori sint venæ subtilissimæ, inde patet, quòd quælibet vena producit ex se aliam venam minorem, & aliam iterum minorem, vsque dum diuisio perueniat ad capillares venas. Accidit autem poros per frigiditatem, aut aliquo viscoso fumo oppilari; & tunc calor multiplicatur in venis, non enim sufficienter euaporare potest; tum propter angustiam pororum, tum quia fugit interius propter frigiditatem sibi contrariam, quæ est exterius. Dicit enim Aristoteles vltimam digestionem cibi fieri in corde, sanguinémque in ventribus cordis generari. Dicit quoque Aristoteles, primum & vniuersale instrumentum omnium sensuum est cor, non autem cerebrum, vt quidam asserunt; hoc autem est indicium, quòd impossibile est dolorem fieri in aliqua parte corporis, quin fiat passio in corde; & si multus fuerit dolor facit syncopen cordis; nam omnes partes corporis colligationem habent ad cor per medias venas, & arterias, & neruos.

CAPVT II.

De vasorum ortu & propagatione; de partibus sensu vacuis, & præditis; ac de partium multarum vsu.

A Duobus igitur ventriculis cordis procedunt magna vena, & arteria ad supremum spondylum colli. Nam magna vena, quæ dicitur caua, procedit à dextro ventre cordis; & primo transit ad gibbum hepatis, & inde per dorsum ad caput. Magna verò arteria, quæ dicitur aorta, quando procedit à sinistro ventre cordis, primo transit ad quintum spondylum dorsi, qui cæteris spondylis vicinior est cordi; vnde quando œsophagus spondylis innititur, declinat quidem in quinto spondylo dorsi, & in alteram partem dans locum magnæ arteriæ. Prædicta vena & arteria venientes ad caput, coniunguntur duabus pelliculis cerebri, & etiam pelli, quæ per omnes spondylos protenditur, & tegit spinalem medullam. Dicunt autem anatomici duplici pelle tegi spinalem medullam, quemadmodum & cerebrum. Ab his verò pellibus cerebri, & spinalis medullæ procedunt omnes nerui corporis. Nihil igitur de corpore sensibile est præter venas, & arterias, & pelliculas, & neruos, quum sit ex eis vnum quoddam continuum cum corde: alia verò membra insensibilia sunt, vt ossa, & ligamenta ossium. Quorum duplex est genus: nam eorum quibusdam colligantur ossa ad se inuicem, aliis verò colligantur ad musculos. Sunt autem & cartilagines omnes insensibiles quemadmodum & ossa: nam & plerumque ab ossibus procedunt, & si non omnes. Sunt autem maximæ duæ cartilagines corporis, altera quidem, ex qua constat trachæa arteria, & altera, quæ procedit ab osse pubis; & maxima pars virgæ virilis, & colli matricis. Sunt etiam insensibiles omnes pinguedines, & medullæ, & ipsum cerebrum, & est etiam caro pulmonis insensibilis; circundatur autem tribus pelliculis, quarum duæ procedunt à vena & ab arteria, quæ à duobus ventribus cordis procedunt, & hæ duæ pelliculæ sunt sensibiles; tertia verò procedit à trachæa arteria, quæ est insensibilis; quemadmodum ipsa trachæa arteria, à qua procedit, fitque per hanc inspissatio aëris ad cor secundum fistulas ipsius, quæ à trachæa arteria procedunt. Similiter autem hepar, & splen insensibilia sunt, quemadmodum & pulmo, exceptis etiam quibusdam venis, neruis, & pellibus, quæ in eis sunt, quæ procedunt ad pulmonem, & hepar, & splenem, dilatantúrque in eis. Sunt autem glandulæ omnes insensibiles, quemadmodum & pinguedines, quum sint de genere pinguedinis; quamuis quædam videantur sensibiles propter pelliculas sibi insertas. Sunt autem tam pinguedines, quàm glandulæ omnes in corpore ad fomentum, & conseruationem caloris naturalis: quamuis enim calor à corde ad totum corpus procedat, sunt tamen quædam corporis partes magis susceptibiles caloris, quàm cæteræ. Pinguedo enim, quæ superposita est hepati, & spleni, & intestinis, calefacit ea, facítque nutrimentum digeri in eis. Vnde quum cuidam pugili pinguedo hæc in palestra rupta esset, & postmodum liuida facta, à medico erepta esset, cœpit pugil supra modum frigoris esse impatiens, & consueta cibi digestio in ventre mutata est. Glandulæ autem quæ à radice linguæ sunt, non solùm generant saliuam, sed etiam digerunt sanguinem in venis, quæ ad meningas cerebri coniunguntur. Quum enim meninges cerebri constent ex subtilissimis venis, quæ à crassis venis colli procedunt, non potest sanguis venulas meningum subire, nisi fuerit plurimùm digestus. Item glandulæ sunt in mesentorio caloris

caloris causa, attrahentis succum cibi ab intestinis ad venam hepatis. Item testiculi, & mammillæ glandulosæ sunt ad generandum sperma & lac. Adiacent etiam collo vesicæ glandulæ, caloris causa attrahentis vrinam à renibus, & insuper sperma digerentis. Quidam etiam inter glandulas annumerant renes, qui vrinam attrahunt à vena, quæ est in gibbo hepatis: quamuis Aristoteles dicat non ob aliud renes esse in corpore, quàm vt per eos excoletur vrina: nam vasa duo deferentia vrinam à gibbo hepatis terminantur ad duos renes; & rursus ex alia parte renum oriuntur alia vasa vrinalia procedentia vsque ad vesicam, perforata intra vesicam foraminibus pluribus, atque subtilibus, per quæ fluit vrina vesicæ; & hæc quidem foramina in mortuo animali non apparent, pro eo quòd frigiditate obtusa sunt.

CAPVT III.

An calor cordis & arteriarum ab aëre solo nutriatur.

DIco autem calorem, qui est in sinistro ventre cordis, & in arteriis, non solùm nutriri ab aëre influente per fistulas pulmonis, imò etiam ab aëre influente per poros corporis; quod probatur ex eo, quod addidit in passione quadam, quæ dicitur suffocatio matris, in qua nulla fit manifesta inspiratio aëris. Dico autem in hac passione cor comprimi à matrice sursum eleuata; modicúmque calorem remanere in eo, quod nutritur à modico aëre influente per poros. Nam & similiter plura animalia viuunt, non habentia cor neque pulmonem, quorum calor vitalis quum sit modicus, nutritur ab exteriori aëre influente per poros; hæc autem sunt parua animalia, vt muscæ, & similia; & etiam in piscibus polypodes, & alij omnes, qui sanguinem non habent: quamuis etiam de cæteris piscibus sanguinem habentibus dubitetur, quomodo spirent intra aquam. Constat autem maiores pisces spirare aërem extra aquam; quos etiam pulmonem habere manifestum est. Minores verò pisces, qui loco pulmonis branchias habent, spirant intra aquam, spirántque aërem, qui modicus est intra aquam, per poros branchiarum, qui sunt proportionales fistulis pulmonis: quemadmodum enim fistulæ pulmonis, ita similiter & pori branchiarum vsque adeo angustantur in ea parte, quæ terminatur ad cor, vt non capiant aquam, sed aërem solum, qui per poros excolatur ab aqua, transiens ad cor. Quòd autem aër sit intra aquam probatur ex eo, quòd quando congelatur aqua, fit minor, propter aëris expressionem: vnde Aristoteli visum est, quòd pisces, qui branchias habent loco pulmonis non attrahant aërem, sed aquam attrahant ad refrigerandum calorem cordis. Nam & similiter de habentibus pulmonem dicit Aristoteles, quod attrahunt aërem ad refrigerandum calorem cordis, cùm ostensum sit aërem inspiratum præstare nutrimentum calori cordis. Hippocrates autem in libro de generatione animalium dicit aërem inspiratum refrigerare pariter, ac nutrire calorem cordis. Aristoteles quoque in quodam loco affirmat, quòd omne nutrimentum influens, refrigerat id quod nutrit, & addit etiam quòd deficiente nutrimento, fiat caloris augmentum ratione vacuitatis; & hoc ostendit per simile eius, quod accidit in ventre & matrice, quæ postquam sunt vacua, calidiora fiunt, quàm quando plena fuerint. Huius autem causam determinauimus in libro quem de spermate edidimus. Et hoc quidem hactenus.

CAPVT IV.

Principium motus in corde & à spiritu; de oppilatione, somno, epilepsia, apoplexia.

HIs igitur præmissis, postmodum scire oportet, quum in corpore sint vena, & pellis, & neruus, quæ sunt receptacula sanguinis, & spiritus, & pellis quidem mediam habet naturam inter neruum, & venam; & manifestum est, quòd ad omnem pelliculam coniungitur aliqua vena, quæ in ipsa pelle diuiditur in multas subtiles venulas, subtilem sanguinem capientes. Habet autem & neruus venulas, ideo & fingi potest in longum; sed habet eas plurimùm subtiles, solum capientes spiritum. Dico etiam quòd instrumenta omnia sensuum continentur pelliculis, fiúntque sensus in ipsis pelliculis; vt est videre in oculo, cuius pelliculæ plenæ sunt humore aqueo, & originem habent à cerebri pelliculis; fitque visus non in crystallino humore oculi, vt Aristoteli visum est; sed in pelliculis oculi. Quarum duæ procedunt à duabus pelliculis cerebri; & tertia à neruo, qui opticus id est visibilis dicitur; procedítque ab ipsis pelliculis. Est autem præter has pelliculas tres, quædam alia quarta, quæ in oculo, quæ alba est, & continet omnes alias, procedítque à pellicula, quæ tegit cranium, & est insensibilis: est autem hæc pellicula in piscibus valde dura, & ferè in modum ossis. Similiter autem & pellicula plena aëre locata est intra aurem, in qua fit auditus. Et pelliculæ plenæ spongiosa carne locatæ sunt intra nares, in quibus fit olfactus. Et omnes hæ pelliculæ originem habent à pelliculis cerebri. Idem quoque oportet intelligi & de pelliculis linguæ, in qua fit gustus. De tactu autem dicit Aristoteles, quòd fit in carne totius corporis. Dico autem quòd non fit in carne, sed in pelliculis carni commixtis: manifestum est enim reticulatam carnem esse pelliculis valde subtilibus, quæ à crassis venis procedunt, & ab eis deportant subtilem sanguinem ad nutrimentum carnis. Probat autem Aristoteles, quòd principium motus, quemadmodum & sensus, est in corde, pro eo quòd omnis motio fit cum vi & conatu. Vim autem facit contentio spiritus; origo autem spiritus est in corde; deinde ex contentione spiritus, fit in omni conatu inflatio venarum, & neruorum; & etiam pellium cerebri, & spinalis medullæ, & præcipuè diaphragmatis. Constat enim vires corporis omnes esse ex neruorum tensione; causa autem tensionis nerui nulla est alia, quàm spiritus neruum inflans. Sed quia origo spiritus est à corde, oportet priùs diaphragma inflari, & postmodum venas, deinde duplicem pellem spinalis medullæ, & ipsius cerebri, vltimò verò neruos. Spiritum autem voco non solùm vaporem sanguinis, sed etiam aërem inspiratum, qui ei admiscetur; transit enim aër inspirans à pulmone ad ambos ventres cordis, & inde per venas & pelles vsque ad neruos. In omni igitur conatu fit per contentionem anhelitus, conclusio spiritus inter diaphragma, & in ipsis fistulis pulmonis, quæ procedunt à trachæa arteria, post quam fit aëris inspiratio; & idem spiritus comprehensione diaphragmatis transmittitur per fistulas pulmonis ad ventres cordis, & inde ad venas, & pelles, & neruos. Contingit autem oppilationem fieri in loco, in quo vena, & arteria procedentes à corde, transeuntes per col-

lum, coniunguntur ad pelliculas cerebri, & ſpinalis medullæ, ex humore, aut fumo multo, aut paruo, & tantùm craſſo, aut ſubtili; fitque ibi oppilatio per anguſtiam venularum, quæ procedunt ab illis venis, diſſeminantúrque in pelliculis cerebri, & ſpinalis medullæ. Dico autem ex hac oppilatione fieri ſomnum: quandoque epilepſiam, & quandoque etiam apoplexiam. Fit autem apoplexia, ex humore plurimo, & craſſo. Epilepſia ex humore non tanto, neque adeo craſſo; & quandoque ex ſolo fumo craſſo, aſcendente à ſtomacho, aut pede, aut aliquo membro alio: in his quidem videtur aura ſubtilis, & frigida aſcendere ad caput. Somnus autem fit ex multo fumo ſubtili, faciente diuturniorem, ſed minorem, & facilè ſolubilem oppilationem; vnde quidam in ſomno ſentiunt, & mouentur, & etiam loquuntur, & imaginantur ſomniantes: nam & ſimiliter imaginantur quidam in epilepſia, & etiam in ſyncope, quæ eſt paſſio cordis. Fit autem quibuſdam in epilepſia ſpuma circa os, dum ſpiritus, qui fertur à corde in venas ſurſum, occurrit humori facienti oppilationem, & ei admixtus ſpuma fit. Eſt enim ſpuma admixtio aëris, & aquæ, aut humoris; ideoque alba eſt, vt aër; & ephialtes quædam epilepſia, quæ fit in ſomno, fit autem ex mixtione tanquam epilepſia; ideoque non in vigilante, ſed in dormiente. Vt enim prædictum eſt, ſomnus & epilepſia fiunt in eodem loco; & ex ſimili cauſa: vnde Ariſtoteles dicit epilepſiam eſſe ſomnum quendam; verum ephialtes longo tempore perdurans in epilepſiam conuertitur. Amplius autem dicit Ariſtoteles, quòd quibuſdam venis colli compreſſis fit homo inſenſibilis; & ſimilis dormienti; vnde & antiqui venas illas vocauerunt carotidas, propterea, quòd in eis fit caros, quod eſt inſenſibilitas, & immobilitas totius corporis. Compreſſio diaphragmatis, quæ fit in reſpirando, cauſa eſt prolationis vocum, quando vuula, quæ eſt in gutture, ſupponitur trachææ arteriæ ita, vt reſpiratio fiat per anguſtum. Spiritus enim exiens per anguſtum, quando colliditur vuulæ ſibi oppoſitæ, facit ſonum, alioquin fit reſpiratio ſine ſono, quando ſpiritus liberum habet exitum; eſt enim diaphragma, reſpirationis origo, & vocis, & omnium virium corporis. Eſt autem & ipſa vuula principium vocis, quia ſenſibilis, ac mobilis, quemadmodum diaphragma. Et inſuper efficit vires corporis, quemadmodum & ipſum diaphragma: nam in omni conatu fit oppilatio omnimoda trachææ arteriæ ſuppoſitæ vuulæ, vt compreſſione diaphragmatis, ſpiritus qui eſt in fiſtulis pulmonis, non poſſit ſurſum per os exire; ſed tranſmittitur ad cor, & à corde ad venas, & inde ad pelles cerebri, & ſpinalis medullæ, à quibus nouiſſimè tranſmittitur ad neruos; quorum tenſio vires corporis efficit; tenduntur autem modico ſpiritu os ſubeunte, & inflante.

CAPVT V.

Quòd pulmo motus & ſenſus ſit expers, & aſpera arteria; an diaphragmatis motus ſit voluntarius; de vſu pulmonis; & aërem ignis eſſe pabulum.

PVlmo autem eſt immobilis per ſe ipſum, & inſenſibilis, quemadmodum & ipſa trachæa arteria, vnde & in peripneumonia non ſentitur dolor, ſed grauitas ſola, mouetur autem pulmo cum diaphragmate, eo quòd colligationem habet ad ipſum quibuſdam pelliculis, & inſuper ex eo, quia dilatatione diaphragmatis maior exiſtit capacitas inter diaphragma, quàm neceſſe eſt impleri ex aëre inſpira-

A to, & inflante fiſtulas pulmonis, quæ in diaphragmate continentur. Quæritur autem de motu diaphragmatis, vtrum ſit voluntarius. Si enim eſt voluntarius, quomodo igitur fit in dormiente; ſi autem non eſt voluntarius, quo modo ergo poteſt voluntariè retineri? nam & quidam leguntur tandiu continuiſſe, donec extincti ſunt. Dico autem motum diaphragmatis voluntarium eſſe, fieri quidem voluntariè per neruos, nihilominus etiam fieri propter aliam cauſam. Nam quum calor continuè effluat à corde, neceſſe eſt continuè influere aërem ad cor, qui inflat pulmonem, & propter hoc totum diaphragma, pro eo quod pulmone inflato neceſſe eſt

B capacitatem diaphragmatis augeri. Non ſolùm autem inflatio pulmonis, quæ fit ab aëre inſpirato, cauſa eſt vt diaphragma dilatetur, imò etiam, quia aër inſpiratus tranſit à pulmone per cor ad venas diaphragmatis, procedentes à corde, in quo eſt origo venarum omnium, non ſolùm pulſantium, imò etiam & aliarum, vt alibi oſtenditur. Non ſolùm autem venæ diaphragmatis inflantur ſpiritu, imò etiam aliæ venæ remotiores à corde, vt in forti conatu eſt videre: nam & venas pellium cerebri ab eadem cauſa accidit inflari, vt apparet in habentibus fractum cranium, ſi anhelitum contineant: nam &

C ſpiritus, qui neruos ingreditur, procedit à corde ad neruos per intermedias venas; quod probatur ex eo, quod quibuſdam venis colli compreſſis, fit homo abſque omni ſenſu, & motu. Non ſolum autem pulmo miniſtrat cordi aërem ad nutrimentum caloris vitalis, imò etiam communit, & conſeruat calorem, qui eſt in corde; cuius ſimile eſt in cinere videre, qui ſuperponitur igni ad conſeruandum ipſum. Habet autem pulmo, quemadmodum & cinis, plurimam raritatem, per quam habet ignis moderatam reſpirationem, & moderatam aëris influxionem; fitque inſpiratio, & reſpiratio per fiſtulas, proceden-

D tes à trachæa arteria, ad cor terminatas, quæ ſunt pelles circumtegentes pulmonem. Manifeſtum eſt enim, quod ad conſeruationem ignis neceſſarius eſt aër, non vt quidam putant propter refrigerationem, ſed nutrimenti cauſa: eſt enim aër nutrimentum ignis; omne autem nutrimentum ſimile fit ei, cuius eſt nutrimentum: aër enim influens per poros cineris, ignitur, ad reſtaurationem euaporationis ignis; aër enim per digeſtionem fit ignis. Digeſtionem voco ſeparationem ignearum aëris partium ab aliis partibus: eſt enim aër corpus diſſimilium partium, habens caliditatis, & frigiditatis particulas in ſe ipſo;

E vnde nec aër eſt elementum, ſed, ſicut alibi oſtenſum eſt, duo tantùm ſunt elementa, calidum, & frigidum. Dico etiam quòd ex aëre fit aqua, euaporatione ignearum partium. Nam quum omnium fluminum origo ſit à montibus, dicit Ariſtoteles non ſolùm vapores aqueos aſcendere infernè per venas quaſdam ad crepidinem montium, & inde diſtillare, ſed etiam in ipſis venis montium aërem per frigiditatem in aquam conuerti. Manifeſtum etiam, quòd nec aqua eſt elementum, nec aër; fit enim ex aqua glacies, expreſſione aëris, qui in ea erat; vnde minor eſt glacies, quàm fuerit aqua, propter aëris eductionem: nam & omne metallum maius fit,

F ſi liquefiat, quàm fuerit prius; ignis enim ſubiens liquefacit aquam, quæ in poris metalli congelata eſt. Sunt autem pori in metallo adeò anguſti, vt non poſſit aër, ſed ſolus ignis ſubire. Rurſus autem oportet ſcire, in omni nutritione, id quod nutritur, attrahere, & congregare particulas ſibi ſimiles, quæ diſſeminatæ ſunt in eo, à quo fit nutrimentum, pro

eo,

eo, quod naturaliter ſimile ad ſuum ſimile tendit. Fit autem digeſtio nutrimenti per calorem, pro eo, quòd calor, vt ait Ariſtoteles, aggregat ſimilia, & diſgregat diſſimilia. Quemadmodum enim in ventilatione adunatur per commotionem granum ſeorſum à palea, ita etiam ſimiliter in nutrimento fit per calorem commotio omnium partium, & in ipſa commotione ſimiliter in nutrimento ſimilium ad ſe inuicem adunatio. Facit autem calidum commotionem, pro eo quòd in continuo motu eſt, vt eſt videre in aqua bulliente. Amplius autem calor inſpiſſat nutrimentum, dum continua ſua euaporatione partes aqueas ſecum trahit. Deinceps autem oportet ſcire ſolùm diaphragma eſſe principale inſtrumentum reſpirationis, pulmonem autem fiſtulis plenum recipere multitudinem inſpirati aëris in fiſtulis ſuis; & ob hoc receptaculum ſpiritus appellatur. Subeunte igitur aëre inflatur pulmo, & rurſus paulatim detumeſcit, aëre paulatim tranſmiſſo ad cor, ad nutrimentum caloris qui eſt in corde. Vnde quia colligitur multus aër in pulmone, qui ſufficit aliquandiu ad nutrimentum caloris cordis, inde eſt, quòd aliquis poteſt aliquando abſque ſpiratione perdurare, & aliquando abſque interpolatione vocem protrahere. Inſuper autem, & aër breui aliquando tempore permanens in pulmone calido exiſtente, ibíque digeſtus efficitur competentius nutrimentum caloris cordis. Dicit enim Ariſtoteles, quòd piſces, qui branchias loco pulmonis habent, attrahunt interius aquam, ad refrigerandum calorem vitalem cordis. Dico autem calorem vitalem nutrimento indigere, non autem refrigeratione; nutrimentum verò ignis nullatenus eſt aqua, ſed aër. Sunt enim in prædictis piſcibus pori quidem branchiarum ad cor adeò ſubtiles, quod non capiunt, niſi aërem ſolum, per quos tranſit aër, qui eſt aquæ commixtus. Dicit autem Ariſtoteles aërem non eſſe intra aquam, perſuadens hoc ex eo, quòd quum aër leuior ſit, aquæ ſupernatat, non autem admiſcetur ipſi. Eſt autem ſibi ipſi contrarius, quum alibi dicat glaciem fieri ex aqua per expreſſionem aëris, qui eſt in ea. Verùm piſces pulmonem habentes multo plus habent caloris, quàm cæteri piſces, vt delphini, & phoca, & canis, & cete, omnia & ſimilia. Quoniam igitur multus calor, qui eſt in eis multo indiget aëre ad ſui nutrimentum, inde eſt, quòd ſpirant extra aquam.

CAPVT VI.

Vt fit reſpiratio; pororum ortus & dilatatio; cordis tres ventres, de pulmonis, hepatis, lienis, meſaræi, menſenterij, & cordis attractrice facultate.

SCire autem oportet, quòd trachæa arteria veniens ad pulmonem, facit circa eum pellem plenam fiſtulis pluribus, ac ſubtilibus, quæ terminantur ad ventrem ſiniſtrum cordis; habéntque foramina ſubtiliſſima, per quæ capiunt aërem ſolùm, non autem ſanguinem; fitque per hæc foramina inſpiratio aëris ad ſiniſtrum ventrem cordis; ſanguis autem, qui eſt in ſiniſtro ventre cordis, non poteſt per ea affluere propter eorum anguſtiam. Ampliùs autem vena, & arteria procedentes à duobus ventribus cordis, perueniunt ad pulmonem, & faciunt circa eum pelles duas, plenas venis, & arteriis pluribus, ac ſubtilibus. Quoniam autem in conatu fit concluſio ſpiritus, non ſolùm in fiſtulis pulmonis, A ſed etiam in venis & neruis, contingit quandoque terminos venarum ex multo ſpiritu dilatari, ſpiritúque exeunte trahere ſecum ſanguinem; éſtque ſanguis hoc modo exiens ſpumoſus, propter ſpiritum ſibi admixtum. Accidit etiam eadem cauſa ſudorem exire per poros corporis. Eſt autem ſudor, ſanguini aqua admixta. Pori verò ſunt venæ ſubtiliſſimæ, quæ à craſſis venis procedunt. Contingit autem poros ex multo, aut feruido ſpiritu vſque adeò dilatari, vt etiam exeat ſanguis per eos, fiátque ſudor ſanguineus. Miror autem plurimum ſuper eo, quod dicit Ariſtoteles ſe vidiſſe poros cordis in pulmone, per quos fit aëris inſpiratio, & expiratio, cùm ſint B incomprehenſibiles propter ſuam paruitatem, quemadmodum & pori veſicæ, per quos ingreditur vrina; maximè quum per frigiditatem obſtruantur huiuſmodi pori in mortuo animali. Dicit enim tres eſſe ventres cordis quum ſit patens viſui eſſe tantum duos, ab vno enim procedit magna vena, & ab alio magna arteria; in paruis etiam animalibus vnum tantum eſſe, à quo procedit magna arteria. Poſtmodum autem ſcire oportet, quòd pulmo, quum ſit ſpongioſus, & calidus, habet vim attractricem; attrahítque aërem ad ſe, ad refrigerandum calidum cordis, quemadmodum cucurbitula igne intromiſſo; C exit enim ignis per poros cucurbitulæ, & neceſſe eſt aërem ingredi. Idem quoque eſt videre in hepate, quod ſpongioſum eſt, & calidum; attrahítque ſuccum cibi ab inteſtinis per medias venulas cuiuſdam pellis, quæ media eſt per inteſtina, & cauam venam hepatis, & continuata eſt vtriſque; dicuntur autem venulæ illæ meſaraicæ, ſiue meſentericæ; pellis in qua ſunt, meſenterium, ſiue meſaræum appellatur; & protenditur à medio ventre per inteſtina. Dicit enim Ariſtoteles meſenterium vicem radicis obtinere; ſicut enim radix attrahit nutrimentum à terra, ita & meſenterium ab inteſtinis nutrimentum D corporis animalis. Cor etiam, in cuius cauitate plurimus eſt calor continuè effluens attrahit continuè à fiſtulis pulmonis, attrahit etiam ſuccum cibi à caua vena hepatis, quia, vt ait Ariſtoteles, in corde perfectè digeſtus ſanguis fit. Rurſus autem cor attrahit ab inteſtinis ſuccum cibi aliunde, quàm per hepar, id eſt per mediam arteriam; arteria enim, quæ protenditur à corde per dorſum, & coniungitur meſenterio, non tranſit per hepar, quum dicat Ariſtoteles, *In hepate nulla eſt omninò arteria.*

CAPVT VII.

E *De ſanguine tum venæ, tum arteriæ; de liquido & craſſo; ſe ſale, & vino; an meatus ſit ſanguinis à vena ad arteriam.*

EST autem ſanguis arteriæ liquidior, quàm venæ; & præ nimia ſua aquoſitate non coagulatur, quemadmodum ſanguis, qui eſt in vena. Huius autem hæc eſt cauſa, quòd hepar venæ ſuppoſitum maximam habet vim attrahendi; attrahítque ſuccum cibi multum, ac craſſum ab inteſtinis; ideóque in vena multus eſt ſanguis, ac craſſus, qui citò coagulatur, euaporante aqua. E contrario verò ſanguis F arteriæ modicus eſt, & aquoſus, pro eo, quòd arteria habet vim attrahendi debilem ex ſolo proprio calore, & etiam ex corde. Dicit enim Ariſtoteles, quòd in quibuſdam animalibus ſanguis ipſius venæ liquidus eſt, & non poteſt coagulari, vt in ceruo, & lepore; ſúntque huiuſmodi animalia timida, pro eo, quòd habent ſanguinem frigidum,

& aquosum. Rursus autem quædam animalia habent sanguinem valdè crassum, ac terrestrem, qui coagulatur statim, vt taurus; cuius etiam sanguis venenosus est. Et huiusmodi quidem animalia habent pinguedinem quandam terrestrem, quæ sepum dicitur; & sunt plurimùm ossea; & sunt etiam calida, & audacia: nam sanguis terrestris plurimum calidus est, pro eo, quòd est receptaculum amoris; sed prius contingit calorem in eis egisse, vt est videre in calce, & cinere, similiter & sale. Nam sal genus terræ est, éstque sal terra incensa; quod probat Aristoteles ex eo, quòd quibusdam calamis incensis, & incineratis fiat sal, si mixtus fuerit aquæ, & eadem aqua bulliat ad ignem. Vinum etiam quanto fortius est, tanto terrestrius est; quod probatur ex eo, quòd quantò fortius est, tantò ponderis plus habet, adeò etiam quòd supernatat oleum in eo. Amplius autem vinum, & liquores alij, varios sapores habent ex terra sibi admixta; vnde in quadam regione vinum suspensum ad ignem in vtribus, indurescit in modum salis, euaporante aqua. Dicit etiam Aristoteles, quòd in sanguine crasso inueniuntur neruuli quidam; & quantò crassior est sanguis, tantò plures insunt: in liquido autem sanguine nulli possunt inueniri. Dicit etiam Aristoteles, quòd homines liquidioris sanguinis, sunt timidi, sed boni sensus, ex eo, quòd molles carnes habent, súntque patibilia maximè in eis instrumenta sensus. Videndum autem est deinceps, vtrum aliquis meatus sit à vena ad arteriam; quod quidem probatur ex eo, quòd si scinditur vena, aut arteria, effluit omnis sanguis, tam qui est in venis, quàm qui est in arteriis. Quæritur autem quomodo sanguis intret arteriam, si verum est, vt plurimi putant, totum succum cibi, ex quo fit sanguis, transire ad venam hepatis. Aiunt igitur quidam, quòd quum vena, & arteria habeant in corpore parietem communem fistulas quasdam habentem, sunt quidem in medio illarum fistularum quidam meatus angusti, per quos excolatur sanguis; & meatus illi in mortuo animali non apparent, quoniam per frigiditatem sunt obstructi. Dico etiam mesaraicum, per quod transit succus cibi ab intestinis per totum corpus, non solùm continuari venis hepatis, imò etiam arteriæ cuidam procedenti à dorso, & non transeunti per hepar, sicut testantur omnes, qui de anatomia scripserunt: ex quo manifestum est, succum cibi non omninò transmitti ad venam hepatis, imò etiam partim ad arteriam. Ampliùs autem vena, & arteria simul in toto corpore sunt, præterquàm, vt ait Aristoteles, in hepate, & splene; iunguntúrque ad inuicem quibusdam pelliculis, in quibus sunt venulæ subtiles, per quas ab arteria ad venam excolatur liquidus sanguis. Scire etiam oportet, quòd non solùm à vena hepatis, imò etiam ab arteria sunt meatus quidam ad renes. Dico autem, quod ab omnibus venis, & arteriis corporis mittitur vrina, quemadmodum & sudor; nam quemadmodum vrina, ita quoque sudor nihil aliud est, quàm aqua sanguini admixta. Dico etiam, quòd quemadmodum hepar, ita quoque & splen attrahit succum cibi ab intestinis per medium mesenterium, cui continuata est vena splenis, quemadmodum & hepatis vena; vnde splen, vt ait Aristoteles, rectè hepar sinistrum potest appellari. Item à corde protenditur vena ad splenem, quemadmodum ad hepar, per quam cor attrahit sibi succum cibi à splene, quemadmodum ab hepate. In splene autem, vt ait Aristoteles, nulla est arteria, quemadmodum nec in hepate. Dico autem, quòd in cauo hepatis, & splenis inueniuntur, tam arteriæ, quàm venæ; in gibbo autem hepatis solæ inueniuntur venæ, quę conueniunt ad cauã venam; in gibbo verò splenis, nec vena est, nec arteria. Miror autem, quamplurimos antiquorũ ignorasse vsum splenis in corpore humano; alios autem opinatos nosse, penitus errasse. Solus verò Aristoteles in libro de particulis animalium diligẽter supra hoc scripsit; qui fuit solius veritatis vindex.

ΓΑΛΗΝΟΥ

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΧΡΕΙΑΣ ΑΝΑΠΝΟΗΣ ΒΙΒΛΙΟΝ.

GALENI DE VSV RESPIRATIONIS LIBER LEGITIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὴν τῆς ἀναπνοῆς χρείαν εἶναι, τὴν τῆς ἐμφύτου θερμασίας φυλακὴν, καὶ τὴν τοῦ ψυχικοῦ πνεύματος θρέψιν.

ARGVMENTVM LIBRI.

Respirationis vsum esse, calorem innatum conseruari, & spiritum animalem nutriri.

CAPVT I.

Propositum libri, ac Opiniones veterum de vsu respirationis.

QVisnam est vsus respirationis? quod enim non *vulgaris* ea sit, hinc apparet, quod ne momentum quidem temporis ea deperdita sufficere possimus; ex quo manifestum est ad nullam particularem actionem, sed ad ipsam vitam, eam pertinere. Quemadmodum enim si iis, quæ ad ambulandi munus comparata sunt, priuati fuerimus, ambulandi damnum percipimus; &, si iis, quæ ad videndum vtilia sunt, priuati fuerimus, non videmus: ita etiam, si iis, quæ ad vitam necessaria sunt, priuemur, morimur. Quod est igitur illud tam ingens à respiratione nobis commodum? Num animæ ipsius generatio est, vt Asclepiades ait? An generatio quidem non est, verum corroboratio quædam, vt Nicarchi Praxagoras? An innati caloris refrigeratio quædam, vt Philistion, & Diocles dicebant? An & nutritio, & refrigeratio, vt Hippocrates? Aut horum quidem nihil est, verùm arteriarum expletionis gratia respiramus, velut Erasistratus putat? Tot enim fermè extiterunt sectæ de vsu respirationis, etiam si aliquæ ex relatis non videantur differre, velut eorum, qui dicunt innatum calorem corroborari à respiratione, & qui dicunt eundem ventilari: nihil enim diuersum dicunt hi ab iis, qui refrigerari tradunt. Atqui dictionem non adeo, sed sententiã, spectare oportet, quæ sanè in omnibus

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὑπόθεσις τοῦ βιβλίου, καὶ περὶ τῆς χρείας ἀναπνοῆς αἱ τῶν παλαιῶν αἱρέσεις.

A ΤΙΣ ἡ τῆς ἀναπνοῆς χρεία; ὅτι γὰρ οὐχ ἡ τυχοῦσα, φανερὸν, ἐκ τοῦ μηδὲ βραχύτατον ἡμᾶς χρόνον ἀρκεῖν δύνασθαι, ἀπολλυμένης αὐτῆς. ἐξ οὗ καὶ δῆλον, ὅτι πρὸς οὐδεμίαν τῶν κατὰ μέρος ἐνεργειῶν, ἀλλ' εἰς αὐτὴν τὴν ζωὴν διαφέρει. B ὥσπερ γὰρ, ὅσα γέγονε πρὸς τὸ βαδίζειν, τούτων στερηθέντες, εἰς τὸ βαδίζειν βλαπτόμεθα. καὶ ὅσα πρὸς τὸ βλέπειν χρήσιμα, τούτων στερηθέντες οὐ βλέπομεν. οὕτως ὅσα πρὸς τὸ ζῆν ἀναγκαῖα, τούτων στερηθέντες ἀποθνήσκομεν. τί ποτε οὖν τηλικοῦτόν ἐστι, τὸ παρὰ τῆς ἀναπνοῆς ἡμῖν χρηστόν; ἆρα γε τῆς ψυχῆς αὐτῆς ἐστι γένεσις, ὡς Ἀσκληπιάδης φησὶν, ἢ γένεσις μὲν οὐχὶ, ῥῶσις δέ τις, ὡς τοῦ Νικάρχου Πραξαγόρας; ἢ τῆς ἐμφύτου θερμασίας ἀνάψυξίς τις, ὡς Φιλιστίων τε, καὶ Διοκλῆς ἔλεγον; ἢ καὶ θρέψις, καὶ ἔμψυξις, ὡς Ἱπποκράτης; ἢ τούτων μὲν οὐδὲν, ἐπιπληρώσεως δὲ ἕνεκεν ἀρτηριῶν, ἀναπνέομεν, ὡς Ἐρασίστρατος οἴεται; C σχεδὸν γὰρ τοσαῦται γεγόνασιν αἱρέσεις περὶ χρείας ἀναπνοῆς, εἰ καί τινες τῶν εἰρημένων, δοκοῖεν μὴ διαφέρειν, ὥσπερ ἥ τε τῶν λεγόντων, ῥώννυσθαι τὴν ἔμφυτον θερμασίαν ὑπὸ τῆς ἀναπνοῆς, καὶ ἡ τῶν ῥιπίζεσθαι. διαφέρουσι γὰρ οὐδὲν αὗται, τῆς λεγούσης ἐμψύχεσθαι, πλὴν οὐ τὴν λέξιν χρὴ, ἀλλὰ τὴν διάνοιαν σκοπεῖν, ἥτις ἐν ἁπά-

σαίς ἐστι μία. τὴν γὰρ ψύξιν, οὐκ αὐτὴν δήπου δι' αὐτὴν, ὥσπερ οὐδὲ τὴν ῥίπισιν, ἢ τὴν ῥῶσιν, ἀλλ' ὅτι φυλάττουσι τὴν ἔμφυτον θερμότητα, διὰ τοῦτο εἶναί φησι χρησίμους. καὶ εἰ τοῦτό ἐστι τὸ κοινὸν ταῖς τρισὶ δόξαις, ἡ φυλακὴ τῆς ἐμφύτου θερμασίας, χαλεπὸς ὁ περὶ πασῶν αὐτῶν ὁ λόγος, καὶ δυσδιαίρετος, ὅτι ψυχῆς οὐσίαν οὐκ ἴσμεν. εἴπερ οὖν ἐνέργεια μὲν ψυχῆς ἡ ζωὴ, μεγάλα δ' αὕτη φαίνεται πρὸς τῆς ἀναπνοῆς ὠφελεῖσθαι, μέχρι πόσου τὸν τρόπον τῆς ὠφελείας ἀγνοεῖν εἰκός ἐστιν ἡμᾶς; μέχρις ἂν οἶμαι, τὴν οὐσίαν τῆς ψυχῆς ἀγνοῶμεν. ἀλλ' ὅμως τολμητέον τε, καὶ ζητητέον τὸ ἀληθές. εἰ γὰρ καὶ μὴ τύχοιμεν αὐτοῦ, πάντως δήπου πλησιαίτερον, ἢ νῦν ἐσμεν, ἀφιξόμεθα. καὶ πρῶτόν γε δύο κεφάλαια πασῶν τῶν εἰρημένων αἱρέσεων ποιησάμενοι, πότερον αὐτῶν ἀληθέστερόν ἐστιν, εὑρεῖν πειραθῶμεν. ἐοίκασι γὰρ, αἱ μὲν, εἰς τὴν οὐσίαν ἀποβλέπειν τοῦ εἰσπνεομένου ἀέρος, αἱ δὲ, εἰς τὴν ποιότητα. τὸ μὲν οὖν γεννᾶσθαι λέγειν τὴν ψυχὴν, καὶ τὸ τρέφεσθαι, καὶ τὸ τὰς ἀρτηρίας ἐπιπληροῦσθαι, τὴν οὐσίαν ἐστὶ μόνον αἰτιωμένων, τὸ δὲ ῥιπίζεσθαι, καὶ ῥώννυσθαι, καὶ ψύχεσθαι, τὴν ποιότητα. καθ' ὃν, οἶμαι, λόγον, καὶ σιτίον, ὁ μὲν ὡς γλυκὺ προσφερόμενος, ἢ αὐστηρὸν, ἢ θερμὸν, ἢ ψυχρὸν, τὴν ποιότητα μόνον. ὁ δ' ὡς τρέφον, εἰς τὴν οὐσίαν ἀποβλέπων αἱρεῖται. τοῦτ' οὖν πρῶτον διορισόμεθα, πότερον αὐτῆς τῆς οὐσίας χρῄζομεν τοῦ κατὰ τὴν εἰσπνοὴν ἐρχομένου ἀέρος, ἢ τῆς ποιότητος, ἢ ἀμφοτέρων.

vna exiſtit; refrigerationem enim ipſam non propter ſe ipſam, veluti neque ventilationem, aut corroborationem, commodas perhibent, ſed quòd inſitum calorem conſeruant. Atque ſi hoc tres hæ opiniones habeant commune, nempe inſiti caloris conſeruationem, difficilis planè de omnibus ipſis tractatio oboritur, & quæ ægrè diſcerni poſſit, propterea, quòd animæ ſubſtantiam ignoramus. Si quidem igitur actio animæ eſt vita, atque ipſa à reſpiratione magnopere iuuari videtur, quandiu vtilitatis modum ignorare nos veriſimile eſt? Quouſque ſanè animæ ſubſtantiam ignorauerimus, vt ego planè opinor. Attamen audendum eſt, & veritas inueſtiganda; quam etiam ſi non aſſequamur, omnino tamen propiùs, quàm nunc ſumus, ad eam perueniemus. Et primum vtique omnibus ſupra relatis ſententiis in duo capita coactis, vtrum tandem ipſorum verius eſt, inuenire conabimur, videntur enim aliæ quidem ex eis ad aëris, qui inſpiratur, ſubſtantiam reſpicere, aliæ verò ad qualitatem. Qui igitur animam generari dicunt, & nutriri, & arterias expleri, ſubſtantiam ſolùm cauſantur: qui verò ventilari, & roborari, ac refrigerari, qualitatem. Iuxta quam rationem etiam, qui cibum vt dulcem, aut auſterum, aut calidum, aut frigidum exhibet, qualitatem ſolam reſpicit: qui verò vt nutrientem, is ſubſtantiæ reſpectu eum offert. Hoc igitur primum determinabimus, vtrum ſubſtantia aëris, qui per inſpirationem aduenit, indigeamus, an qualitate, an vtriſque.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τὴν τῆς ἀναπνοῆς χρείαν ἐν τῇ τοῦ ἀέρος οὐσίᾳ μὴ μόνον εἶναι.

Ἐπεὶ τοίνυν εἰσπνεύσαντες μὲν, τῆς μὲν οὐσίας εὐποροῦμεν, πνιγόμεθα δὲ οὐδὲν ἧττον, ἢ εἰ μηδόλως εἰσεπνεύσαμεν, ἐμφαίνεσθαι δοκεῖ, τὸ μὴ δεῖσθαι τῆς οὐσίας. ἀλλὰ πρὸς τοῦθ' ὁ Ἐρασίστρατός φησιν, ὅτι μηδ' ἕλκειν δύναται τὸν ἐκ τοῦ πνεύμονος ἀέρα, κατὰ τὴν τῆς ἀναπνοῆς ἐπίσχεσιν, ἡ καρδία. φυλάττεσθαι γὰρ, τῶν ἀναπνευστικῶν ὀργάνων, τὸν ἴσον ὄγκον τῆς διαστάσεως, ἐν ταῖς τοιαύταις καταστάσεσιν. εἴπερ οὖν εἵλκυσέ τι μέρος ἀέρος ἡ καρδία, κενὸς ἂν ὁ τοῦ καταληφθέντος ἐγένετο τόπος. τοῦτο δὲ ἐγένετο ἀδύνατον. ἵν' οὖν μὴ γένηται ἀδύνατον, οὐδὲ μεταλήψεσθαί φησι, τὴν ἀρχήν. δεῖ γὰρ, ἵνα τι μεταληφθῇ, μὴ μόνον εἶναι τὸ ἕλξον, ἀλλὰ καὶ τὸ μεταδῶσον, οὐ μεταδίδωσιν δὲ ὁ θώραξ, τὸν ἴσον ὄγκον τῆς διαστάσεως φυλάττων, οὐδ' οὖν οὐδ' ἡ καρδία δύναται μεταλαμβάνειν. ἀλλ' ἐπιχειρεῖ μὲν, ὡς ἔμπροσθεν, ἀνύει δ' οὐδέν. κἀντεῦθεν τὸ πνίγεσθαι. ἐπεὶ τοίνυν, ἵν' ἑλκύσῃ τι τοῦ ἀέρος ἡ καρδία, συγχωρεῖν χρὴ τὸν θώρακα, συγχωρεῖ δ' ἡνίκα μεταβάλλῃ τὴν διάστασιν, μεταβάλλει δ' εἰσπνεόντων, ἢ ἐκπνεόντων, τηνικαῦτα ἡ καρδία μεταλήψεται. ταυτὶ μὲν ὁ Ἐρασίστρατος. οἱ δ' ἀντιλέγοντες αὐτῷ, πρῶτα μὲν, οὐδ' ἀποδεῖξαί που, μηδ' ὅλως παρεσπάρθαι τοῖς σώμασί που κενὸν, ἀλλ' ὅτι μὴ ἀθρόον, ὑπομιμνήσκουσιν. ἔπειτα δὲ, εἰ καὶ τοῦτο συγχωρηθείη, τὸ μηδ' ὅλως ἐν τῷ κόσμῳ μηδαμοῦ παραπεπλέχθαι κενὸν, ἀλλὰ τοί γ' οὐκ ἀδύνατον εἶναί φασι, τὴν αὐτὴν οὐσίαν, χεομένην τε καὶ πάντῃ τεινομένην, μείζονα τὸν πρόσθεν τόπον ἐπι-

CAPVT II.

Reſpirationis vſum non eſſe in ſola aëris ſubſtantia.

QVandoquidem igitur, poſtquam inſpirato aëre ſubſtantia eius abundamus, nihilominus ſuffocamur, quàm ſi nihil omnino inſpiraſſemus, apparere videtur ſubſtantia eius nobis non opus eſſe. Verùm ad hoc Eraſiſtratus inquit, quòd neque cor ipſum aërem ex pulmone trahere poteſt, ſi reſpiratio cohibeatur; in huiuſmodi enim conſtitutionibus æqualem organorum reſpirationis molem ſecundū dimenſionem ſeruari. Si igitur aliquam aëris partem attraheret cor, vacuus relinqueretur attracti locus, id quod impoſſibile exiſtit; ne itaque impoſſibile fiat, neque ab initio inquit eum tranſumi; oportet enim ſi aliquid tranſumendum eſt, non ſolùm eſſe quod trahat, ſed & quod tribuat; non tribuit autem thorax æqualem dimenſionis molē ſeruans: neque igitur cor ipſum tranſumere poteſt, ſed conatur quidem, vt antea, perficit autem nihil, atque inde conſequitur ſuffocatio. Quandoquidē igitur, vt ex aëre quid attrahat cor, thoracē id permittere neceſſe eſt; permittit autem, quum dimenſionem tranſmutat; tranſmutat autē inſpirantibus nobis, aut expirantibus; & tunc ſanè cor tranſumet. Atque hæc quidē Eraſiſtratus. Cæterùm, qui ei contradicunt, primùm quidē, quòd neque demonſtrauerit alicubi, quod vacuū omnino nō ſit in corporibus diſperſum, ſed quod non ſit aceruatim diſperſum, cōmemorant. Poſtea verò, etiā ſi hoc cōcedatur, quod neque in mundo vſquam vacuum ſit admixtum, attamē nō impoſſibile eſſe aiunt eandē ſubſtantiam fuſam, & penitus tēſam, maiorē, quàm antea, locū occupare.

re. Et tertium, quod cum euidentibus sermo ipsius pugnet: videmus etenim cor in respirationis cohibitione aërem ex pulmone attrahere, id quod ad cordis distensionem consequitur; neque enim possibile est ex Erasistrati sententia distendi, & nihil attrahere, vacuus namque sic fieret locus; si verò non distenditur, manifestum est, quòd neque mouetur: atqui apparet ipsum moueri, contrarium itaque primi consequitur, nimirum cor in respirationis cohibitione aërem attrahere. Ad hæc verò Erasistrati sectatores rursus, tum de fusione simúlque contractione contendunt, omninò contaria statuere conantes, tum de vacui complexu, tum quòd cor à pulmone quidem, tum nihil trahat, verùm à magna arteria, cui priùs ipsum suppeditabat: quidam verò, neque distendi, neque contrahi cor dicunt, sed veluti concuti. Porrò, quæ ab Asclepiadis sectatoribus dicta sunt, visa sunt mihi meritò relinquenda esse, vtpotè manifestè absurda, & iustas reprehensiones ab ipso Asclepiade adepta. Duplex igitur necessariò aduersum illos fit contradictio, vt contra eos quidem, qui ab arteria aërem attrahi asserunt membranas agnatas id impedire (quemadmodum ipse Erasistratus inquit) dicamus; contra eos verò, qui concuti solum cor perhibent, præter id, quod euidentius est, loqui indicemus, apparet enim quòd partim distendatur, ac partim contrahatur: pariter autem vtrisque dicamus, omnium arteriarum motum, æqualiter fieri, tum circa respirationem, tum iuxta eiusdem cohibitionem. Quæstio igitur de fusione substantiæ in infinitam sermonis longitudinem apud vtrosque euagatur. Ad hoc verò, quod à magna arteria cor aërem trahere non potest propter agnatas membranas, respondentes inquiunt Erasistratum de naturali administratione hæc dixisse, non de violenta, atque ea quæ fit præter naturam. Quum enim necessarium sit cor distensum attrahere, tunc ex pulmone quidem id facere, quum habeat, quod inde trahat; minimè verò à magna arteria accipere, quum membranæ id fieri prohibeant: quum verò destituitur pulmone nihil suppeditante, tunc sanè ex magna arteria ipsum reuellere, membranis violenter præbere coactis. Cæterùm de motu arteriarum, quòd tum circa respirationem, tum iuxta eiusdem cohibitionem, similiter fiat, nihil miri esse aiunt Erasistrati sectatores; in tantum enim eum solummodo discrepare à naturali dispensatione, quòd non à pulmone, sed à magna arteria, cor spiritum trahens, eundem rursus ad illam remittit; atque ob hoc ipsum animal suffocari inquiunt, quòd pulmonis influxu sit priuatum. Atque hæc sunt, quæ ab vtrisque contradicuntur. His accedit amplius, quod nondum est relatum, iam verò priuatim, & seorsum ab aliis, dicetur, quod mihi valdè efficax, vtpote euidentissimum existens, videtur: quid sit tandem, quod circa respirationis cohibitionem prohibeat cor aërem ex pulmone trahere, contrahi verò thoracem, hoc ipsum pati à natura aptum. Si enim instrumentum esset, quod neque distendi, neque considere posset, fortassis sensum aliquem haberet, quod ab Erasistrato dicitur; quando verò iuxta illius ipsius traditionem contrahi potest, quid prohibet etiam nunc in tantum considere ipsum, in quantum à corde euacuatur?

λαμβάνειν. καὶ τρίτον, ὅτι τοῖς ἐναργέσιν ὁ λόγος αὐτοῦ μάχεται· βλέπομεν γάρ, ὡς ἕλκει κατὰ τὰς ἐπισχέσεις τῆς ἀναπνοῆς, ἡ καρδία, τὸν ἐκ τοῦ πνεύμονος ἀέρα. τοῦτο δ' ἕπεται τῷ διαστέλλεσθαι τὴν καρδίαν. οὐδὲ γὰρ ἐνδέχεται καθ' αὐτὸν, διαστέλλεσθαι μὲν, μηδὲν δ' ἕλκειν· κενὸς γὰρ ἂν οὕτω γένοιτο τόπος. εἰ δ' οὐ διαστέλλεται, δῆλον ὡς οὐδὲ κινεῖται. ἀλλὰ μὴν φαίνεται κινουμένη, τὸ ἐναντίον ἄρα τοῦ πρώτου περαίνεται, τὸ τὴν καρδίαν ἕλκειν ἐν ταῖς ἐπισχέσεσι τῆς ἀναπνοῆς, τὸν ἀέρα. πρὸς δὲ ταῦθ' οἱ Ἐρασιστράτειοι πάλιν ἀμφισβητοῦσι, περί τε χύσεως καὶ συστολῆς, τὰ ἐναντία σκευάζειν πειρώμενοι· καὶ περὶ τῆς κενοῦ παραπλοκῆς. καὶ ὡς ἡ μὲν καρδία, παρὰ μὲν τοῦ πνεύμονος, οὐδὲν ἕλκει τηνικαῦτα· παρὰ μέντοι τῆς μεγάλης ἀρτηρίας, ᾗ πρόσθεν ἐχορήγει. τινὲς δὲ, οὐδὲ διαστέλλεσθαι, ἢ συστέλλεσθαι λέγουσιν αὐτὴν, ἀλλ' οἷον κραδαίνεσθαι. τὰ μὲν γὰρ ὑπὸ τῶν περὶ τὸν Ἀσκληπιάδην εἰρημένα, κάλλιον εἶναί μοι δοκεῖ παραλιπεῖν, ἄτοπά τε φανερῶς ὄντα, καὶ τῶν προσηκόντων ἐλέγχων ὑπὸ Ἀσκληπιάδου τετυχηκότα. διττὴν οὖν ἀνάγκη, πρός γε τούτους γενέσθαι τὴν ἀντιλογίαν. πρὸς μὲν τοὺς, παρὰ τῆς ἀρτηρίας ἕλκεσθαι τὸν ἀέρα λέγοντας, ἀντιλέγοντας, τὴν διὰ τῶν ὑμένων ἐπίφυσιν, κωλύουσαν, ὡς αὐτὸς ὁ Ἐρασίστρατος εἴρηκε. πρὸς δὲ τοὺς κραδαίνεσθαι μόνον, ὅτι παρὰ τὸ φαινόμενον λέγουσι. φαίνεται γὰρ ἐν μέρει διαστελλομένη τε καὶ συστελλομένη. κοινὴ δ' αὖ πρὸς ἀμφοτέρους, τὴν πασῶν τῶν ἀρτηριῶν κίνησιν ὁμοίως γινομένην, κατά τε τὴν ἀναπνοὴν καὶ τὴν ἐπίσχεσιν. ἡ μὲν οὖν περὶ χύσεως οὐσίας ζήτησις, εἰς τὸ ἀπέραντον μῆκος λόγου ἑκατέροις ἐκπίπτει. πρὸς δὲ τὸ μὴ δύνασθαι παρὰ τῆς μεγάλης ἀρτηρίας ἑλκύσαι τι τὴν καρδίαν, διὰ τὴν τῶν ὑμένων ἐπίφυσιν, ἀπολογούμενοι, φασὶ, περὶ τῆς κατὰ φύσιν οἰκονομίας, ταῦτα εἰρηκέναι τὸν Ἐρασίστρατον, οὐ περὶ τῆς βιαίου, καὶ παρὰ φύσιν. ἐπειδὴ γὰρ ἀναγκαῖόν ἐστι διαστελλομένην ἑλκύσαι τὴν καρδίαν, ὅταν μὲν ἐκ τοῦ πνεύμονος ἕλκειν ἔχῃ, παρὰ τῆς μεγάλης ἀρτηρίας μὴ λαμβάνεσθαι, κωλυόντων τῶν ὑμένων. ὅταν δ' ἀπορῇ τῆς ἐκ τοῦ πνεύμονος χορηγίας, τηνικαῦτα ἐκ τῆς μεγάλης ἀρτηρίας ἀντισπᾶν, βιαζομένην τοὺς ὑμένας. περὶ δὲ τῆς τῶν ἀρτηριῶν κινήσεως, ὁμοίως ἔν τε ταῖς ἀναπνοαῖς, καὶ ταῖς ἐπισχέσεσι γινομένης, οὔ φασι χρῆναι θαυμάζειν οἱ Ἐρασιστράτειοι, τοσοῦτον γὰρ μόνον παραλλάττειν αὐτὴν, τῆς ἐν τῷ κατὰ φύσιν διοικήσεως, ὅτι μὴ παρὰ τοῦ πνεύμονος, ἀλλὰ παρὰ τῆς μεγάλης ἀρτηρίας, ἡ καρδία, τὴν ὁλκὴν τοῦ πνεύματος ποιησαμένη, πάλιν εἰς ἐκείνην πέμπει, καὶ δι' αὐτό γέ φασιν πνίγεσθαι τὸ ζῶον. ὅτι τῆς παρὰ τοῦ πνεύμονος ἐστέρηται χορηγίας. τὰ μὲν δὴ πρὸς ἑκατέρων ἀντιλεγόμενα, τοιαῦτα τετύχηκεν ὄντα. καὶ πρὸς τούτοις ἔτι, τὸ μήπω μὲν εἰρημένον, νῦν δὲ ἰδίᾳ, καὶ χωρὶς τῶν ἄλλων, εἰρησόμενον, ὅτι μοι δοκεῖ περαίνειν ἐναργέστατον μόνον. ἐν μὲν γὰρ δὴ ταῖς ἐπισχέσεσι τῆς ἀναπνοῆς, τί τὸ κωλῦόν ἐστιν, ἕλκειν μὲν τὴν καρδίαν ἐκ τοῦ πνεύμονος ἀέρα, συστέλλεσθαι δὲ τὸν θώρακα, πεφυκότα γε τοῦτο πάσχειν. εἰ μὲν γὰρ μήτε διαστῆναι, μήτε συνιζῆσαι δυνάμενον ὄργανον ἦν, ἴσως ἄν τινα νοῦν εἶχε τὸ πρὸς Ἐρασιστράτου λεγόμενον. ἐπειδὴ δὲ κατ' αὐτὸν ἐκεῖνον συστέλλεσθαι δύναται, τί κωλύει καὶ νῦν εἰς τοσοῦτον συνιζάνειν, καὶ νῦν αὐτὸν, εἰς ὅσον ὑπὸ τῆς καρδίας ἐκκενοῦται;

τά τε γὰρ ἄλλα, καὶ διὰ μυῶν ὑπὸ τῆς τοῦ ζώου προαιρέσεως κινεῖσθαί φησιν ὁ Ἐρασίστρατος τὸν θώρακα, κἂν ὁποίῳ χαλεπὸν, θλίψῃ πανταχόθεν αὐτὸν τοῖς μυσὶ, μετὰ τοῦ κωλῦσαι τὴν ἄνωθεν κένωσιν, ὅπερ ἐν ταῖς καλουμέναις τοῦ πνεύματος καταλήψεσι, κἂν ταῖς ἀποπατήσεσι γίνεται. πανταχόθεν γὰρ, ἐν ταῖς τοιαύταις ἐνεργείαις, θλίβομέν τε τὸν θώρακα, καὶ συστέλλομεν, βιαίως κλείσαντες τὸν ἄνω πόρον τῆς τραχείας ἀρτηρίας, ὡς μηδὲν δι' αὐτῆς κενοῦσθαι, ὡς εἴγε μὴ μόνον θλίψαιμεν, ἀλλὰ καὶ τοῦτον ἀνοίξαιμεν, ἀθρόος ἐκτὸς ὁ ἀὴρ μετά τινος φέρεται ψόφου, καὶ καλεῖται τὸ τοιοῦτον, ἐκφύσησίς τις, ἀπὸ τῆς ἀψόφου μόνον ἐκπνοῆς, διαφέρουσα πλήθει, καὶ τάχει, κενώσεως. ἵνα γὰρ εἰσπνευσθεὶς ἀὴρ, ἀθρόως αὖθις ἀντιπνευσθῇ, τάσεως πολλῆς πανταχόθεν ἐδέησε τῷ θώρακι. τὸ μὲν δὴ τῆς τάσεως, κοινὸν τρισὶν ἐνεργείαις. τὸ δὲ ἀνεῷχθαι τὸν ἄνω πόρον, ἴδιον τῆς ἐκφυσήσεως. οὐδὲν μὲν οὖν χαλεπὸν, οὐδ' ὅταν ἐπέχωμεν τὴν ἀναπνοὴν, θλίβειν πανταχόθεν τὸν θώρακα, κλείσαντας τὸν ἄνω πόρον, οὕτως γὰρ οὐχ ὅπως ἀντιπράττειν, ἀλλὰ καὶ συνεργεῖν ἑλκούσῃ τῇ καρδίᾳ δυνήσεται. καὶ φανερῶς ἐξελήλεγκται ψεῦδος ὂν, τὸ πρὸς Ἐρασιστράτου λεγόμενον, ὡς οὐχ οἷόν τέ ἐστι τὴν καρδίαν μεταλαβεῖν ἐκ πνεύμονος ἀέρα, κατὰ τὰς ἐπισχέσεις τῆς ἀναπνοῆς. ἔστι γὰρ ἑκάστῳ τὴν πεῖραν ἐφ' ἑαυτοῦ λαβεῖν, μυριάκις εἰσπνεύσαντα, πλεῖστον θλίβειν πανταχόθεν τὸν θώρακα, καὶ μηδὲν ἀντεκπνέοντα. φανήσεται γὰρ, σφύζουσα μὲν ἐν τούτῳ ἡ καρδία, πνιγόμενος δ' ὁ ἄνθρωπος, καὶ τοσοῦτόν γε μᾶλλον, καὶ θᾶττον πνιγόμενος, ὅσον πλεῖον εἰσέπνευσεν, ὅπερ καὶ αὐτὸ μετρίως ἐνδείκνυται, μὴ τῆς οὐσίας, ἀλλὰ τῆς ποιότητος τοῦ πνεύματος δεῖσθαι τὴν καρδίαν. εἰ γὰρ ἡ καρδία τῆς οὐσίας ἐδεῖτο, μειζόνως ἂν, ἐκ τῆς ἀπορίας αὐτῆς, ἤπερ ἐκ τῆς αὐτῆς πορίας, αἱ βλάβαι συνέπιπτον. οὐ μὴν φαίνεταί γε τοῦτο γιγνόμενον, ἀλλ' ὅταν εὐπορῇ πλείστου πνεύματος, ἀνιᾶται τηνικαῦτα μάλιστα. τρίτον ἐπὶ τούτοις, οὐ τὸ τυχὸν γνώρισμα, τὸ, τὴν ἴασιν, τοῖς οὕτω πνιγομένοις, ἐκπνοὴν εἶναι. χρὴ δὲ μᾶλλον εἰσπνοὴν εἶναι, εἴπερ δι' ἔνδειαν οὐσίας ἀέρος ἐπνιγόμεθα. τρία δὴ ταῦτα, φανερῶς καταβάλλει τὸν Ἐρασιστράτου λόγον, ἓν μὲν δὴ καὶ πρῶτον, τὸ δύνασθαι τὴν καρδίαν ἕλκειν ἀέρα κατὰ τὰς τῆς ἀναπνοῆς ἐπισχέσεις. οὐδὲν γὰρ ἐφαίνη πρὸς τοῦτο ἀντιπράττων ὁ θώραξ. ἕτερον δὲ δεύτερον, τὸ τηνικαῦτα πνίγεσθαι μᾶλλον, ἡνίκα εἰσπνεύσομεν πλέον. καὶ τρίτον, τὸ μηδ' εἰ πάνυ σφόδρα θλίβομεν τὸν θώρακα πανταχόθεν, ἐν ταῖς ἐπισχέσεσι τῆς ἀναπνοῆς, δαπανᾶσθαι τὸν ἀέρα πρὸς τῆς καρδίας, ἀλλ' ὀρέγεσθαι τὸ ζῶον ἐκπνεῦσαι, καὶ τοῦτ' εἶναι τὸ τῆς πνίξεως ἄκος. ἐκ τούτων μὲν δὴ φανερῶς περαίνεται, τὸ μὴ δι' ἔνδειαν οὐσίας ἀέρος, ἀλλὰ δι' ἄλλο τι πνίγεσθαι τὰ ζῶα. πρὸς δὲ τὰς ὑπολοίπους τῶν εἰρημένων ἀμφισβητήσεων, αὖθις μεταβάντες, ἐπισκεψώμεθα πρότερον, οἳ λέγουσιν ἀληθέστερα, καὶ πρώτην γε πάλιν ἐξ αὐτῶν, μεταχειρισόμεθα τὴν περὶ τῆς κινήσεως τῶν ἀρτηριῶν. οἱ γάρ τοι τοῖς Ἐρασιστρατείοις ἀμφισβητοῦντες, ἀλλοιοῦσθαί φασι χρῆναι τὴν κίνησιν τῶν ἀρτηριῶν παρὰ τὸν τῆς ἐπισχέσεως καιρὸν, εἴτε κραδαίνεσθαι τὴν καρδίαν μόνον, ἄν τε καὶ καταστέλλεσθαι ὑπόθηται, κραδαινομένης μὲν γὰρ, παντάπασιν ἀκινήτους χρὴ ἐγγίνεσθαι, μηδὲν λαμβανούσας παρ' αὐτῆς. διαστελλομένης δὲ, καὶ συστελλομένης, διπλοῦν φαίνεσθαι δεῖ τὸν σφυγμόν. ἐν μὲν γὰρ δὴ τῷ κατὰ φύσιν ἔχειν τὸ ζῶον, συστελλομένη μὲν,

Præter alia enim & per muſculos pro animantis voluntate moueri thoracem Eraſiſtratus ait. Et in hoc nihil difficultatis eſt, ſi ipſe thorax vndequaque à muſculis comprimatur, ſimúlque etiam euacuatio, quæ ſupernè fit, cohibeatur: id quod in ſpiritus detentionibus, & egeſtionibus contingit, vndequaque enim eiuſmodi actionibus thoracem premimus, & contrahimus, ſuperiorem aſperæ arteriæ meatum vi claudentes, vt ne quid per ipſam euacuetur. Quòd ſi non ſolùm non premamus, ſed & ipſum meatum aperiamus, plurimus aër cum quodam ſtrepitu foris fertur, atque appellatur huiuſmodi res, efflatus quidam ab expiratione, quæ circa ſtrepitum fit, copia & velocitate motus tantummodo differens; etenim vt inſpiratus aër aceruatim rurſus reſpiraretur, multa vndequaque tenſione thoraci opus fuit. At verò tenſio ipſa tribus actibus communis exiſtit; apertio verò ſuperni meatus propria eſt ipſi efflatui. Itaque nihil difficultatis eſt etiam quum reſpirationem cohibemus, vndequaque premere thoracem, ac ſupernum claudere meatum; ita enim nedum non obſiſtere, imò operationem trahentis cordis coadiuuare, poterit. Et apertè coarguitur falſum eſſe, quod Eraſiſtratus dixit, quòd impoſſibile ſit cor ex pulmone aërem tranſumere circa reſpirationis cohibitionem. Licet enim vnicuique experimentum à ſe ipſo accipere ita, vt ſexcẽties inſpirationẽ faciat, plurimúmque vndequaque thoracem premat, & nihil rurſus expiret; apparebit enim nihilominus in ipſo cor quidem pulſare, ſuffocari autem hominem, atque ideo magis, ac citiùs, quo plus inſpirauit; quod ipſum etiam mediocriter indicat non ſubſtantia, ſed qualitate ſpiritus, cor opus habere. Si namque cor ſubſtantia opus haberet, magis vtique ex penuria ipſius, quàm ex abundantia nocumenta acciderent; atqui hoc fieri non conſpicitur, ſed, quum maximè ſpiritu redundat, tunc præcipuè affligitur. Tertium inſuper non vulgare ſignum eſt, quòd, qui hoc modo ſuffocantur, per expirationem ſanantur; oportebat autem magis inſpirationem eſſe, quod ſanaret, ſi ob penuriam ſubſtantiæ aëris ſuffocaremur. Tria ſanè hæc manifeſtè confutant Eraſiſtrati ſermonem; vnum quidem, ac primum, quòd cor aërem trahere poteſt circa reſpirationis cohibitiones, nihil enim in hoc obſtare viſus eſt thorax; alterum autem ſecundum quòd tunc magis ſuffocamur, quum plus inſpirauimus; & tertium, quòd neque tametſi valdè vehementer thoracem vndequaque comprimimus circa reſpirationis cohibitiones, aër à corde conſumitur, ſed expetit animal expirare, id enim eſt ſuffocationis medela. Ex his quidem perſpicuè conſequitur non ob inopiam ſubſtantiæ aëris, ſed propter aliud quippiam animalia ſuffocari. Porro ad reliquas ex prædictis ambiguitatibus rurſus tranſgredientes, conſiderabimus priùs, qui dicant veriora: ac primùm ſanè eam tractabimus, quæ eſt de motu arteriarum. Equidem ij, qui contra Eraſiſtrateos ambigunt, motum arteriarum mutari oportere aiunt circa cohibitionis tempus, ſiue concuti ſolum, ſiue etiam contrahi cor ſupponamus: ſi enim concutitur, omninò immobiles fieri oportet, quum nihil ab ipſo accipiant; ſi verò diſtendatur, ac contrahatur, duplũ apparere oportet pulſum. Cum enim naturali modo habebat animal, vbi cõtrahebatur cor, ſpiritum,

ſpiritum in arterias mittebat, hæ verò vbi implebantur, diſtendebantur; vbi verò diſtendebatur cor ex pulmone attrahebat, hæ verò tunc dum vacuantur contrahuntur. At verò circa cohibitionis tempus, vbi diſtenditur, ab arteriis trahit, atque omnibus ſanè manifeſtum eſt, quòd recurret ſpiritus, qui prius per ipſas ex corde fuit delatus: atque ita, ſi par fuerit priori, parem etiam faciet diſtentionem arteriarum: ſi verò paucior, minorem omninò faciet, quàm antea, diſtentionem; atque ipſam nimirum circa id tempus faciet, quo priùs contrahebantur; id verò nihil aliud eſt, quàm duplicari motus arteriarum. Atque hoc ita fieri non apparet: quare manifeſtum eſt falſas eſſe ſuppoſitiones. Amplius autem, & hoc interrogant, an nihil ex arteriis euacuetur circa cohibitionis tempus. Antea equidem cùm ſecundum naturam animal ſpirabat, ipſe Eraſiſtratus omne id euacuari opinatur, quod ad ipſas à corde eſt demiſſum; manifeſtum eſt autem, quod extra corpus excernebatur, vel quomodocunque aliter euacuabatur. Nunc autem quid tandem dicent? num pertranſire quidem ita velociter ipſum per arterias, velut etiam antea, non tamen, vel minimum eius euacuari? Et quo modo poſſibile eſt ſimul quidem euacuari, non tamen rurſus attrahi ex ambiente, quando cor ab arteriis attrahit, vbi diſtenditur, neque verò hoc ipſum dicere licet. Atqui, ſi omnino poſſibile eſt, quum cor diſtenditur, attrahi quicquã ab arteriis extrorſum, ex ſuperfluo thorax, & pulmo ſunt facti: neque enim hoc dici poteſt, quòd minus trahere ex arteriis, quàm ex pulmone quando incumbentibus etiam membranis nihil minus trahere poteſt. Manifeſta autem fiunt ex pulſuum magnitudine; atque vnicuique patet, quòd multo magis traheret, ſi non in magnæ arteriæ oſculo membranæ innatæ eſſent. In vniuerſum autem, ſi neque cor, neque vlla aliqua arteria ſpiritu in reſpirationis cohibitione caret, id quod ex ipſorum diſtentionibus, quæ eandem, vt prius, molem, conſeruant, fit manifeſtum, ſuffocatio tamen excipit euidenter, palàm fit, quòd non inopia ſubſtantiæ ipſius aëris animalia ſuffocet. Patétque iam etiam Aſclepiadis opinionem vnà cum Eraſiſtrati eſſe confutatam; ſimiliter item Praxagoræ, & Philotimi, & ſi quis alius, nutricationis ſolius, ipſius animalis ſpiritus gratia nos reſpirare dixit. Cæterùm rationabiliter, & ex præmeditato in ſermone adiectum eſt, ſolius. Neque enim quòd impoſſibile ſit nutriri animalem ſpiritum à reſpiratione indicat hic ſermo, ſed quòd ſuffocatio reſpiratione cohibita, non propter nutrimenti animalis ſpiritus defectũ, ipſis animalibus contingat, adeſt enim ipſis plurimus in pulmone ſpiritus; atque aliàs longius tempus requiritur ad hoc, vt animal propter nutrientis ſpiritus inopiã pereat. At verò cum Aſclepiade de anima ſermonibus non tantum hæc, ſed alia etiam alibi à nobis dicta pugnant: demonſtratum enim illis eſt, quòd animæ ſubſtantia, etiam ſi vna ſit, per omnem tamen vitam ad multum tempus duret. At iuxta Aſclepiadem, neque numerare poſſibile eſt, quot ſubſtantias habeat; ſi quidem ſanè, quæ paulo ante erat, nunc penitus periit; alia autem nunc eſt paulò poſt & ipſa interitura, generabitur verò rurſus altera; quod impoſſibile & abſurdum eſſe, illic clarè à me eſt demonſtratum.

A τὸ πνεῦμα ταῖς ἀρτηρίαις ἔπεμπεν, αἱ δὲ πληρούμεναι, διεστέλλοντο· διαστελλομένη δὲ ἥδε, εἷλκεν ἐκ τοῦ πνεύμονος. αἱ δὲ τηνικαῦτα κενούμεναι, συνεστέλλοντο, κατὰ δὲ τὸν ἐπισχέσεως καιρὸν, ἐπεὶ διαστελλομένη περὶ τῶν ἀρτηριῶν ἕλκει, παντί που δῆλον, ὅτι πάλιν δρομήσει, τὸ δι᾽ αὐτῶν, πρότερον ἐκ τῆς καρδίας ἐκπεπεμμένον πνεῦμα. καὶ οὕτως, εἰ μὲν ἴσον εἴη τῷ πρόσθεν, ἴσην καὶ ποιήσεται τὴν διαστολὴν ἀρτηριῶν. εἰ δὲ μεῖον, ἐλάττονα πάντως ἢ πρόσθεν, ποιήσεται διαστολὴν, καὶ αὐτὴν δηλονότι κατὰ τὸν καιρὸν ἐκεῖνον ποιήσεται, καθ᾽ ὃν συνεστέλλετο πρότερον, τοῦ- B το δὲ, οὐδέν ἐστιν ἄλλο, ἢ διπλασιασθῆναι τὰς κινήσεις τῶν ἀρτηριῶν, οὐ μὴν φαίνεται οὕτως γινόμενον, ᾧ δῆλον ὅτι ψευδεῖς αἱ ὑποθέσεις εἰσίν. ἔτι δὲ καὶ τοῦτο ἐπανερωτῶσιν. εἰ μηδὲν ἐκ τῶν ἀρτηριῶν κενοῦται περὶ τὸν τῆς ἐπισχέσεως καιρόν. ἔμπροσθεν μὲν γὰρ ἡνίκα ἔπνει κατὰ φύσιν τὸ ζῶον, αὐτὸς ὁ Ἐρασίστρατος, οἴεται πᾶν ἐκκενοῦσθαι τὸ παρὰ τῆς καρδίας ἐκπεμπόμενον αὐταῖς. δῆλον ὡς ἐκτὸς τοῦ σώματος ἐκρίνετο, ἢ πῶς ἄλλως ἐκενοῦτο. νυνὶ δὲ, τί ποτε φήσουσιν; ἆρα διεξέρχεσθαι μὲν οὕτως ὠκέως αὐτὸν, διὰ τῶν ἀρτηριῶν ὥσπερ καὶ πρόσθεν οὐ μὴν ἐκκενοῦσθαι τὸ βραχύτατον αὐτοῦ. C καὶ πῶς ἐνδέχεται· ἀλλὰ κενοῦσθαι μὲν, οὐ μὴν ἕλκεσθαι αὖθις ἐκ τοῦ περιέχοντος, ὅταν ἡ καρδία παρὰ τῶν ἀρτηριῶν ἀνέλκῃ διαστελλομένη; οὐδὲ τοῦτο εἰπεῖν ἐγχωρεῖ. καὶ μὴν εἴπερ ὅλως ἐστὶν ἀδύνατον ἐν τῷ διαστέλλεσθαι τὴν καρδίαν, ἕλκεσθαί τι παρὰ τῶν ἀρτηριῶν ἔξωθεν, ἐκ τοῦ περιττοῦ, θώραξ καὶ πνεύμων ἐγένετο. οὐδὲ γὰρ τοῦτό ἐστιν εἰπεῖν ὡς ἔλαττον ἂν εἷλκεν ἐκ τῶν ἀρτηριῶν, ἢ τοῦ πνεύμονος. ὅπου τῶν ὑμένων ἐπικειμένων, ἕλκειν οὐδὲν ἧττον, δύναται. δηλοῦνται δὲ ταῦτ᾽ ἐκ τοῦ μεγέθους τῶν σφυγμῶν. παντί που δῆλον, ὡς πολὺ μᾶλλον εἷλκεν ἄν. εἰ μὴ δ᾽ ἐπεφύκεισαν ὑμέ- D νες ἐν τῷ στόματι τῆς μεγάλης ἀρτηρίας. τὸ δ᾽ ὅλον, εἰ μήθ᾽ ἡ καρδία, μήτε τις τῶν κατὰ μέρος ἀρτηριῶν, ἀπορεῖ πνεύματος, ἐν ταῖς τῆς ἀναπνοῆς ἐπισχέσεσιν, ὡς δηλοῦσιν αὐτῶν αἱ διαστολαὶ, τὸν ἴσον ὄγκον τὸν πρόσθεν, διασώζουσαι, τὸ πνίγεσθαι δὲ δέχεται σαφῶς, δηλοῦν, ὡς οὐχὶ τῆς οὐσίας αὐτῆς τοῦ ἀέρος ἔνδεια πνίγει τὰ ζῶα. δήλη μὲν ἤδη καὶ ἡ Ἀσκληπιάδου ἐξεληλεγμένη δόξα, μετὰ τῆς Ἐρασιστράτου. δήλη τε καὶ ἡ Πραξαγόρου, καὶ Φιλοτίμου, καὶ εἴ τις ἕτερος, ἕνεκα θρέψεως μόνης τοῦ ψυχικοῦ πνεύματος, ἀναπνεῖν ἡμᾶς φησι. πρόσκειται δ᾽ ἐν τῷ λόγῳ τὸ, μόνης, εὐλόγως. E οὐδὲ γὰρ, ὡς μὴ ἐνδέχεται τρέφεσθαι τὸ ψυχικὸν πνεῦμα, πρὸς τῆς ἀναπνοῆς, ἀπέδειξεν ὁ λόγος. ἀλλ᾽ ὡς τὸ πνίγεσθαι τοῖς ζώοις, ἐπεχομένης τῆς ἀναπνοῆς οὐ διὰ τὴν ἀπορίαν τοῦ ψυχικοῦ πνεύματος γίγνεται. πάρεστι γὰρ αὐτοῖς δαψιλὲς ἐν τῷ πνεύμονι τὸ πνεῦμα· καὶ ἄλλως χρόνου μακροτέρου δεῖται, τὸ, δι᾽ ἔνδειαν τοῦ τρέφοντος πνεύματος, ἀπόλλυσθαι. μέλλον Ἀσκληπιάδῃ δὲ, οὐδὲ ταῦτα μόνον, ἀλλὰ καὶ τὰ δι᾽ ἑτέρων ἡμῖν εἰρημένα, πρὸς τοὺς περὶ ψυχῆς αὐτοῦ λόγους μάχεται. δείκνυται γὰρ ἐν ἐκείνοις, ὡς ἡ τῆς ψυχῆς οὐσία, κἂν μὴ μία ᾖ διὰ παντὸς τοῦ βίου μέχρι χρόνου συχνοῦ διαμένει. κατὰ F δὲ τὸν Ἀσκληπιάδην, οὐδὲ ἀριθμῆσαι δυνατὸν ὅσας ἔχει. κἂν μὲν γὰρ ὀλίγον πρόσθεν οὖσα, νῦν οἴχεται τελέως. ἄλλη δ᾽ ἐστὶν ἡ νῦν οὖσα. μικρὸν δ᾽ ὕστερον, οἰχήσεται μὲν αὕτη, γενήσεται δ᾽ ἑτέρα. ὡς ἐστὶν ἀδύνατον, καὶ ἄτοπον, δι᾽ ἐκείνων ἀποδέδεικται.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τίς τῆς ἀναπνοῆς χρεία.

Εἴτοι νῦν, ἤτοι τῆς οὐσίας αὐτῆς τοῦ ἀέρος, ἢ τινος ἑτέρου ἐνδείᾳ ποιότητος, ἀποθνήσκει τὰ ζῶα πνιγόμενα, δέδεικται θάτερον ἀδύνατον. ἀπολείπεται θάτερον, ἐνδείᾳ ποιότητός τινος, ἐν ταῖς ἐπισχέσεσι τῆς ἀναπνοῆς, πνίγεσθαι τὰ ζῶα. τί γοῦν ἐστιν αὐτὴ, σκεπτέον. ἐπεὶ τοίνυν, ὅταν ἐν τοῖς κατὰ τὴν καρδίαν, καὶ τὸν θώρακα τόποις, ἀθροισθῇ θερμασία πλείων τῆς κατὰ φύσιν, ὡς ἐν τοῖς καυσώδεσι πᾶσι συμπίπτει νοσήμασιν, εὐθὺς, καὶ πλέον τοῦ συνήθους ἀναπνεῖν ὀρεγόμεθα. δόξειεν ἂν, ἐμψύξεως ἕνεκα ἡ ἀναπνοὴ γίνεσθαι. ἀλλὰ πάλιν εἰ κατεψυγμένων τῶν αὐτῶν τούτων ὀργάνων, ὥς ἔν τε τοῖς βουλίμοις καλουμένοις, κἀπειδάν τις ἰσχυρῷ ὁμιλήσῃ κρύει, μὴ ὅτι ψύχειν τὴν ἐν ἡμῖν θερμασίαν, ἀλλὰ καὶ θερμαίνειν, δι' ὀλίγου δεῖν, ἅπασαν ἐψυγμένην, ὅμως εἰσπνεῖν ὀρεγόμεθα. δόξει ἐναντιοῦσθαι, τὴν ἀναπνοὴν ἐμψύξεως ἕνεκα γίνεσθαι. καί τοί τινες ἀντιλαμβανόμενοι, δεῖσθαι ἀεί φασιν ἐμψύξεως τὴν ἐν τοῖς ζώοις θερμασίαν. ἀλλ' ὅταν μὲν αὐξηθῇ, πλείονος. ἐλάττονος δὲ, ὅταν ἀρρωστοτέρα γίνηται. καὶ τὰς τοιαύτας διαθέσεις, οὐ γὰρ οὕτως ἐναντιοῦσθαι τῷ δόγματί φασιν, ἀλλὰ καὶ μαρτυρεῖν οἴονται. χαλεπὸν τοίνυν αὐτὸ τοῦτο πρότερον γίνεται, καὶ δυσδιαίτητον, ὅταν ἀπὸ τῶν αὐτῶν φαινομένων, τὰς ἐναντίας ἐνδείξεις ἔχωνται. μεταστῆσαι γὰρ οὐδετέρους οἴονται. τοὺς μὲν, ὡς ἐμψύξις ἐστὶν ἡ χρεία τῆς ἀναπνοῆς, εἰ θερμαινομένων τῶν ἀναπνευστικῶν ὀργάνων, ἔλαττον ἀναπνέομεν. τοῖς δ' οὐδαμῶς, ὅσον ἐπὶ τούτοις, ἐμψύχεσθαι δεόμεθα. λέγοντος γοῦν, φασὶν, Ἱπποκράτους ἐν προγνωστικῷ. ψυχρὸν δ' ἐκπνεόμενον, ἔκ τε τῶν ῥινῶν, καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται. τὴν τοιαύτην τις ἐννοησάτω διάθεσιν, οἷά τίς ποτέ ἐστιν. εὑρήσει γὰρ, οἶμαι, κατεψυγμένων ἱκανῶς τῶν ἀναπνευστικῶν ὀργάνων, γινομένην αὐτήν. ἐχρῆν οὖν, φασὶ, μηδόλως ἀναπνεῖν τοὺς οὕτω διακειμένους, ὡς ἂν τὸ τῆς ἐμψύξεως δεόμενον οὐκ ἔχοντας. ὡς γὰρ, εἰ μηδὲν ὅλως εὐθὺς ἐξ ἀρχῆς ἐγίνετό τι, τὸ δεόμενον ἐμψύξεως, οὐκ ἂν ἦν οὐδεμία χρεία τῆς ἀναπνοῆς. οὕτως εἰ πρόσθεν ἦν, οἴχεται δὲ νῦν, οὐ δεησόμεθα. πρὸς δὴ ταῦτα, φασὶν, ἡ διὰ τῆς ἀναπνοῆς κίνησις ἐξάπτει ῥιπίζουσα. τὸ δὲ, ὅτι μὴ ταὐτόν ἐστι τῷ πρόσθεν, οὐ μικροῦ μοι δοκεῖ δεῖσθαι λόγου. πρόσθεν μὲν γὰρ ἔλεγον ἐμψύχεσθαι, νῦν δὲ ἐξάπτεσθαι. ἐναντίον δὲ δήπου τὸ ἐμψύχεσθαι, τῷ ἐξάπτεσθαι. τὸ μὲν γὰρ σβέννυσι, τὸ δὲ, ἐξάπτει τὴν θερμότητα. καὶ τὸ μὲν, ἵνα μὴ καυθῇ τὸ δεχόμενον αὐτῆς σῶμα. τὸ δὲ, ἵνα μὴ καταψυχθῇ, γίνεται, πλὴν εἰ κατὰ συμβεβηκὸς, καὶ τὸ ψυχρὸν ἐξάπτειν λέγοιεν. οὕτως δ', οὐ τὴν χρείαν τῆς ἀναπνοῆς, ἀλλὰ τὴν ποιητικὴν αἰτίαν εἴρηκεν. ἔστι γοῦν ἄμεινον, ἐπὶ τὸ κοινὸν τῶν τοιούτων αἱρέσεων μεταβάντας, ἐκεῖνο πρότερον διασκέψασθαι. κινδυνεύουσι γὰρ ἅπαντες, ὅσοι περὶ τῆς ἐμφύτου θερμασίας εἰρήκασί τι, τὴν μὲν σωτηρίαν αὐτῆς ὀνειρώττειν, οὐ δύνασθαι δὲ, ἀκριβῶς καὶ διηρθρωμένως ἐξηγήσασθαι τὸ σφέτερον νόημα, καὶ διὰ τοῦτο, οἶμαι, οἱ μὲν, ἔμψυξιν, οἱ δὲ, ῥίπισιν, οἱ δὲ, ῥῶσιν γράφουσι.

CAPVT III.

Qui Vsus est respirationis.

AD quæstionem igitur, an ipsius aëris substantiæ, an alicuius qualitatis inopia animalia, quæ suffocantur, moriantur, iam responsum, ac euidenter indicatum est, alterum impossibile esse, relinquitur itaque alterum, nimirum ob penuriam qualitatis alicuius animalia in respirationis cohibitione suffocari. Quæ sit igitur ista qualitas inquirendum venit. Quandoquidem igitur, vt amplior, quàm secundum naturam, caliditas in locis circa cor, & thoracem fuerit congesta (quemadmodum in æstuosis omnibus contingit morbis) statim, & amplius solito respirare appetimus, videri possit vtique refrigerationis gratia respiratio fieri. Verùm rursus, si perfrigeratis iisdem organis (quemadmodum in dicto bulimo, & vbi quis in magno frigore sit versatus, contingit) non solùm non refrigerare eam, quæ in nobis est, caliditatem oportet, sed etiam calefacere, vt quæ parum abest, quin penitus sit perfrigerata, & tamen respirare appetimus, videtur sanè contrarium esse ei videlicet, quòd respiratio refrigerationis gratia fiat. At verò aliqui contra instantes refrigeratione semper opus habere aiunt insitam animantibus caliditatem, verùm, quũ aucta ea sit, ampliore; pauciore verò, cum debilior sit facta; atque eiusmodi affectiones non solũ nõ contrarias huic dogmati esse aiunt, verũ & testimonium præbere opinãtur. Arduũ igitur hoc primũ est, & difficile iudicatu, quũ ab iisdem apparentibus subcõtrarias indicationes habeãt. Neutros enim possibile est à sententia sua auocare; illos quidẽ, quòd refrigeratio est vtilitas respirationis, siquidẽ calefactis respirãdi organis, magis cõsueto respirare appetimus, refrigeratis verò vice versa minus inspiramus; hos autẽ, quòd nequaquã horũ gratia refrigeratione opus habemus. Quũ dicit igitur Hippocrates (inquiunt) in libro prænotionũ, *Spiritus frigidus ex naribus, atque ore exhalãs perniciosus iã valde existit*, eiusmodi affectionẽ animo concipere quis potest, qualis aliquando contingit: reperiet autem (vt opinor) talem, vbi multũ perfrigerata sunt respirationis organa, factam. Oportebat igitur (inquiũt) neque in totũ respirare hoc modo affectos, vtpote qui, quod refrigeratione indiget, non habeãt. Quemadmodũ enim, si neq; omninò à principio statim quicquã factum fuisset quod refrigeratione indigeret, nulla fuisset respirãdi vtilitas: ita etiã si priùs erat, nũc verò periit, nõ indigebimus. Ad hęc porrò inquiũt, quòd motus per respirationẽ ventilãdo accendat. Idipsũ verò nõ idẽ esse cũ priori, nõ longa dissertatione mihi egere videtur: priùs enim dicebãt refrigerari, nunc verò accẽdi; cõtraria autẽ vtiq; sũt refrigerari, & accẽdi, alterũ enim extinguit, alterũ accẽdit caliditatẽ; & alteri, vt ne vratur, quod ipsũ suscipit corpus, contingit: alterũ, ne perfrigescat idẽ, facit; nisi sanè per accidẽs frigidũ accẽdere dicãt; ita verò nõ respirationis vtilitatẽ, sed efficientẽ causam dicerẽt. Præstat igitur ad id, quod cõmune habẽt hæ sectæ, trãsire, atque illud priùs pescrutari. Periculum enim est omnes, quicunque de insito calore aliquid dixerunt, de ipso conseruando somniare, non posse autem exactè, & articulatè sententiam suam exprimere; atque ob id, opinor, alij refrigerationem, alij vẽtilationem, alij corroborationem scribunt. Maximè

Maximè verò puto ipsos ad hæc impelli per ea, quæ circa flammas apparent, has enim manifestè videmus, ita citò perire, quū aëre priuatæ fuerint, veluti animantia; quemadmodum indicant medicinales cucurbitæ, & omnia, quæ angusta, & caua circumposita, ac perspirationē prohibentia, facilè ipsas extingunt. Si itaque repertum sit, quid tandē flāmæ in huiusmodi dispositionibus patientes extinguātur, fortè etiam inueniri possit, quidnam sit, quo vt vtili à respiratione calor animantibus insitus fruatur. Ad ipsius autem inuentionem omnes modos percurremus, per quos flammæ videntur extingui, & augeri. Non solum enim si calcem quis ipsis circumponat, sed & balneis, & Solis ardoribus, & excellentibus frigoribus, & vehementer ventilatæ, & multitudine materiæ super ipsas coaceruatæ, & contrà inopia alimenti videntur extingui. Augentur autem, ac roborantur è moderato frigore, & si moderatè vētiles, & commoderato abundent alimēto. Præter hæc verò etiam illud insuper addatur, quod omnes flāmæ duplici motu moueri videntur, altero à materia, ex qua accenduntur, per quē maximè sursum feruntur, & vndequaque disperguntur, altero verò huic contrario, ad sui ipsarum principium, ac velut radicē vergente, per quem considunt, & contrahuntur. Etenim, si facis maximæ supernam extremitatem accenderis, confestim ad infernā perueniet ignis; & si postquam lucernæ flammā extinxeris, ad extremū fauillosæ fuliginis sursum vergentis alium ignem admoueris, iam rursus ardentem lucernæ funiculū videbis, quū nihil tale fieri possit, si ignis motum sursum tantùm haberet. Vltra hæc verò omnia euidenter apparentia, etiā ratione perscrutabimur primùm quidem, quod postremū omniū relatum est, à qua necessitate duplex motus fiat; postea verò alia singula deinceps. Quādoquidem igitur omnis flāma velocissimā habet corruptionē, semper enim in ambientem dispergitur, ob id necessariū est etiā generationē eius velocissimam esse, aliàs enim neque minimo momēto duraret: atqui generatio vniuscuiusque flāmę est, ex subiecta materia accendi. Meritò igitur nō solùm extra à proprio principio, sed & contrarium ipsi in propriū principiū vergentem motum sibi à natura insitum habet. Itaque & corrumpi omnē flammam necessarium est, si aut materia, aut altero motu sit priuata. Vt enim in vniuersum dicam (velut sæpè etiam in aliis locis demonstratum est) ex motibus contrariis, quorum alter alterum mutuò excipit, & consequitur, alterum sine altero conseruari impossibile est. Ob id igitur moderatè frigido ambiente aëre omnis flāma opus habet; qui enim excellenter calidus est, motum alterum ipsius immodicè extra extendēdo, frigidus verò alterū immoderatè intra protundēdo extinguit vterque. Nam immodicè ventilari flammam ad materiam reprimit, velut etiā frigidus ambiens facit; supra modū verò moueri, flammā dispergit, velut etiā calidus facit. Cæterùm ex iis, quæ motum immodicè intra cohibent, est & cucurbita, & quicquid aërem eorum, quæ ab interna flamma cōbusta sunt, prohibet ab externi frigoris contactu: at verò cōmoderatio, omniū conseruatrix est flammarū. Eodē igitur modo non dissimile est contingere, & circa insitū animātibus calorem, vtpote qui materiam, vnde accēditur, sanguinem habet, à natura itē insitū principiū motus in vtranque partē, ita, vt altero priuatus, etiam reliquo ex necessitate priuetur:

A μάλιστα δὲ αὐτοὺς, οἶμαι, προτρέπειν, τὰ περὶ τὰς φλόγας φαινόμενα. ταύτας γὰρ ἐναργῶς ὁρῶμεν, οὕτως ταχέως ἀπολλυμένας, ἐπειδὰν ἀποστερηθῶσιν ἀέρος, ὥσπερ τὰ ζῶα, καθάπερ δηλοῦσιν αἱ τῶν ἰατρῶν σικύαι, καὶ πάνθ' ὅσα στενὰ, καὶ κοῖλα περιτιθέμενα, τῆς διαπνοῆς αὐτὰ εἴρξαντα, ῥᾳδίως κατασβεννύουσιν. ἂν τοίνυν εὑρεθῇ, τί ποτε φλόγες, ἐν ταῖς τοιαύταις διαθέσεσι πάσχουσαι, σβέννυνται. τάχα ἂν εὑρεθείη, τί ποτέ ἐστιν, ὃ παρὰ τῆς ἀναπνοῆς ἀπολαύει χρηστὸν, ἡ ἐν τοῖς ζώοις θερμασία. πρὸς δὴ τὴν εὕρεσιν αὐτῶν, πάντας ἐπέλθωμεν τοὺς τρόπους, καθ' οὓς αἱ φλό- B γες ὁρῶνται σβεννύμεναί τε καὶ αὐξανόμεναι, οὐ γὰρ μόνον εἰ περιθείη τις τίτανον αὐταῖς, ἀλλὰ καὶ τοῖς βαλανείοις τε, καὶ τοῖς ἡλίοις τοῖς διακαέσι, καὶ τοῖς ψύχεσι τοῖς ὑπερβάλλουσι, καὶ σφοδρῶς ῥιπιζόμεναι, καὶ πλήθεσιν ὕλης ἐπ' αὐτῶν σωρευθείσης, καὶ τοὐναντίον, ἐνδείᾳ τροφῆς, ὁρῶνται σβεννύμεναι. ῥωννύμεναι δὲ, καὶ αὐξανόμεναι, πρός τε τοῦ μετρίου ψυχροῦ, κἂν εἰ μετρίως ῥιπίσῃς, καὶ τροφῆς εὐπορούσαι συμμέτρου. ἐπὶ τοίνυν τούτοις, ἔτι κἀκεῖνο προσκείσθω· τὸ φαίνεσθαι πάσας τὰς φλόγας διττὴν κίνησιν κινουμένας, ἑτέραν μὲν ἀπὸ τῆς ὕλης, ὅθεν ἐξάπτονται, μά- C λιστα μὲν ἄνω φερομένας ἤδη, καὶ πάντῃ σκιδναμένας. ἑτέραν δὲ, ἐναντίαν ταύτῃ πρὸς τὴν ἀρχὴν ἑαυτῶν, καὶ οἷον ῥίζας, συστελλομένας τε καὶ συνιζούσας. καὶ γὰρ, εἰ λαμπάδος μεγίστης τὸ ἄνω πέρας ἐξάψοις, ἐπὶ τὸ κάτω, ταχέως ἀφίξεται τὸ πῦρ. κἂν εἰ τὴν λυχνιαίαν φλόγα σβέσας, τῷ πέρατι τῆς ἄνω φερομένης αἰθαλώδους λιγνύος, προσενέγκῃς ἕτερον πῦρ, εἶτ' αὖ καιομένην ὄψει τοῦ λύχνου τὴν θρυαλλίδα, οὐδενὸς τῶν τοιούτων γίγνεσθαι δυναμένου, εἰ μόνον τὸ πῦρ ἔχει τὴν ἐπὶ τὰ ἄνω κίνησιν. ἐπὶ δὴ τούτοις ἅπασι τοῖς φαινομένοις, τῷ λόγῳ σκεψόμεθα, πρῶτον μὲν D τὸ πάντων ὕστατον ῥηθὲν, τὸ διττὸν τῆς κινήσεως, ὑπὸ τίνος ἀνάγκης γίνεται. μετὰ δὲ τοῦτο, καὶ τῶν ἄλλων ἕκαστον. ἐπεὶ τοίνυν ἅπασα φλὸξ, ὠκυτάτην ἔχει τὴν διαφθορὰν, ἀεὶ γὰρ εἰς τὸ περιέχον σκίδναται, διὰ τοῦτο, ἀναγκαῖον αὐτῇ καὶ τὴν γένεσιν ταχίστην ὑπάρχειν, ἄλλως γὰρ, οὐκ ἂν οὐδ' ἐπ' ἐλάχιστον διήρκεσεν. ἀλλ' ἔστιν ἑκάστῃ φλογὶ γένεσις ἐκ τῆς ὑποκειμένης ὕλης ἐξάπτεσθαι. εἰκότως ἄρα κίνησιν, οὐ τὴν ἔξω μόνον τῆς ἰδίας ἀρχῆς, ἀλλὰ καὶ τὴν ἐναντίαν αὐτῇ, τὴν εἴσω σύμφυτον ἔχει. καὶ τοίνυν καὶ φθείρεσθαι πᾶσαν φλόγα ἀναγκαῖόν ἐστι, τῆς ὕλης στερηθεῖσαν, ἢ τῶν κινήσεων τῆς E ἑτέρας. καθόλου γὰρ εἰπεῖν, ὡς πολλάκις ἐν ἑτέροις δέδεικται, τῶν δεχομένων ἀλλήλας κινήσεων μὲν ἐναντίων, τὴν ἑτέραν χωρὶς τῆς ἑτέρας οὐ διασώζεσθαι. ταῦτ' ἄρα, συμμέτρως ψυχροῦ τοῦ περιέχοντος ἀέρος, δεῖται πᾶσα φλόξ. ὁ μὲν γὰρ ὑπερβαλλόντως ἔκθερμος, τὴν ἔξω κίνησιν αὐτῆς ἀμέτρως ἐργαζόμενος. ὁ δὲ ψυχρὸς, τὴν ἔσωθεν σβεννύουσιν. ἀμφότεροι τοίνυν, ῥιπιζόμενοι ἀσυμμέτρως, ἀναστέλλουσι τὴν φλόγα πρὸς τὴν ὕλην, ὥσπερ καὶ τὸ ψυχρόν. τὸ δὲ ὑπερβαλλόντως κινεῖσθαι, σκεδάννυσιν, ὥσπερ καὶ τὸ θερμόν. τῶν δὲ τὴν ἔξω κίνησιν ἄμετρον ἐργαζομένων, ἐστὶ καὶ σικύα, καὶ πᾶν ὅ,τι περ ἂν τὸν F ὑπὸ τῆς ἐντὸς φλογὸς ἀέρα διακεκαυμένον εἴρξηται πρὸς τὴν ἔξω τοῦ πυρὸς, τὴν ψυχρὰν ὁμιλίαν ἰέναι. ἡ δὲ συμμετρία σωτηρία τῆς πάσης φλογός ἐστιν. οὕτως οὖν οὐκ ἀπεικὸς ἔχειν, κἀπὶ τῆς ἐν τοῖς ζώοις θερμασίας. εἰς ὕλην μὲν ὅθεν ἀνάπτεται, τὸ αἷμα, σύμφυτον δὲ ἔχουσα κινήσεως ἀρχὴν ἐφ' ἑκάτερα, τῆς ἑτέρας στερηθεῖσα, καὶ τῆς λοιπῆς ἐξ ἀνάγκης στερίσκεται.

καὶ διὰ τοῦτ' αὐτὸ, ἐάν τε ἀναπνοῆς εἴρξῃς, ἐάν θ' αἵματος, εὐθέως διαφθείρεται. καὶ γὰρ, καὶ τὴν τοῦ λύχνου φλόγα, ἅμα ἀφαιρήσεις καταπνίξας, ἢ παντάπασιν ἐλαίου στερήσας, ἀνάλογον οὖν τίθεσο, τῇ μὲν θρυαλλίδι τὴν καρδίαν· τῷ δὲ ἐλαίῳ, τὸ αἱματῶδες· τῷ δὲ ὀργάνῳ, τὸν πνεύμονα. περίκειται γὰρ δή τοι ἔξωθεν τῇ καρδίᾳ, δίκην σικύας. ἀλλὰ περὶ ὃν μὲν ἀναπνεῖ τὸ ζῶον χρόνον, εἰκάσαις ἂν αὐτὸν, οἶμαι, τετρημένῃ σικύᾳ. κατὰ δὲ τὸν τῆς ἐπισχέσεως καιρὸν, ἀτρήτῳ τε, καὶ πανταχόθεν στεγούσῃ. ὡς οὖν ἡ μὲν τετρημένη σικύα, σβεννύειν οὐ δύναται τὴν ἐντὸς φλόγα διὰ τοῦ τρήματος ἀναπνέουσαν, ἡ δὲ τοὐναντίον, παραχρῆμα σβέννυσι καταπνίγουσα, τὸν αὐτὸν ὁ πνεύμων τρόπον, ὁ μὲν στεγανὸς, οἷος ὁ κατὰ τὰς ἐπισχέσεις, σβέννυσι. ὁ τετρημένος δὲ, οἷος ὁ κατὰ τὰς ἀναπνοὰς, διασώζει τὴν ἔμφυτον θερμότητα. ἐγὼ δὲ καὶ κάμινον ἰδὼν σβεννυμένην ὑπὸ τοῦ μὴ διαπνεῖσθαι, κἄπειτα αὐτὴν διανοιχθεῖσαν, πολὺ μὲν αἰθαλῶδες ἐκπνεύσασαν, πολὺ δ' ἔξωθεν εἰσπνεύσασαν τὸν ἀέρα καθαρὸν, εἶτ' ἀμφοτέροις ἀναλάμψαι, οὐ μικρὰν τῆς ἐκπνοῆς ἐλογισάμην εἶναι τὴν χρείαν, εἰς τὸ κενοῦν τὴν οἷον λιγνὺν τοῦ αἵματος. αἴθαλος γὰρ καὶ καπνὸς, καὶ λιγνὺς, καὶ πᾶν τὸ τοιοῦτον περίττωμα τῆς καιομένης ὕλης, οὐδὲν ἧττον ὕδατος, ἀποσβεννύσθαι πέφυκε τὸ πῦρ. ἐξ ἁπάντων οὖν τούτων ἐστὶν ἀποδέξασθαι τῶν λεγόντων, τῆς ἐμφύτου θερμασίας ἕνεκεν, ἀναπνεῖν τὰ ζῶα. καὶ γὰρ τὸ ῥιπίζεσθαι συμμέτρως, χρήσιμον· καὶ τὸ μετρίως ψύχεσθαι. ἄμφω γὰρ ταῦτα φαίνεται ῥωννύντα τὴν εἴσω θερμασίαν, κίνησίν τε ἀναγκαῖον ἔχειν κάτω τὸ καπνῶδες, ὡς ἂν εἴποι τις ἐκκενοῦν τῆς τοῦ αἵματος συγκαύσεως. ταῦτ' ἐπιστημονικὴν μὲν οὐκ ἔχει τὴν πίστιν, οὐδ' ἀναγκαίαν τὴν ἀπόδειξιν, οἵαν ἐν τοῖς ἄλλοις ἀεὶ μεταχειρίζεσθαι σπεύδομεν, οὐ μὴν ἐστέρηται τοῦ πιθανοῦ. τὸ γὰρ τάχος τῆς ἀπωλείας τοῦ ζώου, τοιαύτην ἐπιζητεῖ τὴν αἰτίαν τῆς τροφῆς, ἣν οἱ θρέψεως ἕνεκα ψυχῆς ἀναπνεῖν ἡμᾶς λέγοντες, αἰτιῶνται χρόνου μακροτέρου δεῖν, γενέσεως δὲ τῆς ψυχῆς Ἀσκληπιάδης φησίν· ὁμολογουμένης μὲν τῷ τάχει, μαχομένης δὲ ἄλλοις μυρίοις, καὶ τοῖς κατ' ἀρχὰς εἰρημένοις ἐν τῷδε τῷ λόγῳ, κοινῇ πρὸς ἁπάσας τὰς αἱρέσεις, ὅσαι δι' ἔνδειαν ἀέρος, ἀπόλλυσθαι τὰ ζῶα νομίζουσι στερηθέντα τῆς ἀναπνοῆς. εἰ τοίνυν τὸ τάχος τῆς ἀπωλείας τοῦ ζώου, διὰ μὲν ἀτροφίαν τῆς ψυχῆς οὐσίας, οὐκ ἐγχωρεῖ γίγνεσθαι, διὰ δὲ τὴν γένεσιν, ἐγχωρεῖ μὲν, ἀλλ' ἐπὶ ψευδέσι ταῖς ὑποθέσεσιν. ἡ δὲ τῆς ἐμφύτου θερμασίας ἀπώλεια, μηδὲν ἔχει τῶν φαινομένων ἐναντιούμενον, εὐλογώτερον ἐκείνου προσέσθαι.

& ob id ipsum siue à respiratione prohibeas, siue sanguine, statim corrumpitur, nam & lucernæ flammam tolles suffocando, aut omninò oleo priuando. Simile itaque ponito cor funiculo, oleo sanguinem, organo pulmonem, circumsitus namque est forinsecus cordi ad cucurbitæ similitudinem. Verùm, quo tempore respirat animal, assimilaueris ipsum potiùs cucurbitæ perforatæ; vbi verò respiratio cohibetur, imperforatæ & vndequaque conclusæ. Quemadmodum itaque cucurbita perforata flammam inter se extinguere non potest per foramen respirantem; quæ verò contra conclusa est, è vestigio suffocando eam extinguit, ad eundem modum pulmo constrictus, velut in respiratione cohibita est, extinguit; perforatus & rarus, qualis circa respirationem est, insitũ calorẽ conseruat. Ego verò, etiã quũ fornacem viderẽ, ob id quòd respirationem non haberet, extingui, & postea ipsam aperiri, atque tum multam fuliginem expirare, tum multum purum aërem externum inspirare, atque vtroque facto flammam splẽdorem recipere, non paruam esse ratiocinatus sum expirationis vtilitatem ad hoc, vt id quod veluti fuligo sanguinis est, euacuetur. Fauilla enim & fumus & fuligo, & omnis huiusmodi vstæ materię superfluitas nihilominus, quàm aqua, ignem extinguere consueuit. Quare ex omnibus potissimum recipiendi sunt, qui dicunt insiti caloris gratia animalia respirare. Nã & moderatè ventilari vtile est, & mediocriter refrigerari. Ambo enim hæc internam caliditatem videntur corroborare; necessariúmque est motum habere ad fuliginosũ, vt ita loquar, extra euacuandũ, quod à sanguinis adustione redũdat. Hæc quidem scientificam persuasionẽ non habent, neque necessariam demõstrationẽ, qualẽ in aliis semper adducere in vsu haberemus; non tamẽ fide omninò carent; velocitas enim interitus animalis talem causã desiderat. Quũ alimentũ quidẽ, quod ij, qui nutritionis ipsius animæ gratia respirare nos dicunt, causantur, longiore tẽpore opus habeat; Generatio verò animæ, quã Asclepiades causam tradidit, consentiat quidẽ velocitati, pugnet verò cũ aliis infinitis, & cũ iis, quæ in principio dicta sunt huius tractationis, & generatim cum omnibus sectis, quæ ob inopiã aëris perire animalia putãt respiratione priuata. Si igitur velocitas interitus animalis propter alimẽti substãtiæ ipsius animæ defectũ fieri nõ potest; propter generationẽ autẽ ipsius fieri possibile est, sed per falsas hypotheses, innati verò caloris perditio nihil habeat, quod ei opponere se videatur, rationi vtique magis consentaneum est, vt aliis dimissis hanc recipiamus.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τὴν τῆς ἀναπνοῆς χρείαν τῇ πείρᾳ ἀποδείκνυσθαι.

Πάσαν τοίνυν αὐτὴν ἀναλαβόντες, βασανίσωμεν, ἐπεὶ τῶν ἄλλων ἀληθεστέρα φαίνεται. οὐκοῦν ἔκ τε τοῦ ῥιπίζεσθαι τὴν ἀρχὴν τῆς ἐμφύτου θερμασίας, κἀκ τοῦ συμμέτρως ἐμψύχεσθαι, κἀκ τοῦ τὸ οἷον καπνῶδες αὐτῆς ἅπαν ἀπορρεῖν, ἓν ἀθροίζεται κεφάλαιον, ἡ σωτηρία τῆς κατὰ φύσιν θερμασίας. εἰς ταύτας οὖν τὰς ἀρχὰς, ἴδωμεν εἰ δυνατὸν ἀναγαγεῖν τὰ κατὰ μέρος ἅπαντα, καὶ πρότερον προχειρισθήτω, τὸ κατὰ τὰ βαλανεῖα συμβαῖνον, ἐν οἷς ἐπὶ πλέον διατρίψαντες, ἐκλυόμεθα, τελευτῶντες δὲ, καὶ ἀποθνήσκομεν.

CAPVT IV.

Respirationis vsus experientia indicatur.

Rursus igitur eã repetentes omnẽ explorabimus, quãdoquidẽ aliis verior apparet. Itaque ex ventilatione principij ipsius insiti caloris, & ex moderata refrigeratione, & ex eius, quod in ipso velut fumosum est, in totum defluxione, summa colligitur vna, conseruatio videlicet caloris naturalis. In hæc igitur principia videamus, an possibile sit omnia reducere particularia; ac primùm in manus sumamus id, quod circa balnea contingere videmus, in quibus diutiùs versantes exoluimur, at tandem etiam morimur. Si

Si enim propterea, quòd calidũ respirãdo attrahimus, id contingit, oportebat, inquiunt, etiam eos, qui super lebetem aquæ calidæ consistunt, deinde progredientẽ inde vaporem respirando hauriunt, eandẽ iniuriã perpeti; & tamen hi minimè vidẽtur lædi. Ex quo conspicuũ est, quòd non caliditatem respirando attractam, sed propter spiritus ex toto corpore euacuationẽ in balneis exoluamur. Quomodo igitur & hanc ambiguitatem dissoluemus? Si vtique hoc coniunctũ verũ esse dicemus, quòd suffocari eos, qui ex lebete vaporẽ inspirãt, oporteat, siquidẽ omninò refrigerationis gratia respirarint; non tamẽ hoc eorũ assumptũ concedamus scilicet. Atqui nõ suffocãtur, suffocantur enim nõ minùs, qui ex lebete vaporẽ respirando hauriunt, quã qui in balneis. Si verò etiam nõ suffocarẽtur, nihil fortassis miri esset; perspiratio namque per vniuersum corpus similiter, vt ea, quæ per os fit, in balneis offenditur. Nõ sunt autẽ eadẽ, per os tantum malè respirare, & tũ per os, tũ per totũ corpus idẽ facere. Eius rei potissima demõstratio in multis ęgris cõtingit, qui per totũ diẽ iudicatoriè exudant, atque id multò magis, quã qui in balneis, nõ tamen exoluuntur similiter, vt illi, neque omninò suffocantur, quousque externũ frigidũ aërem spirando attraxerint. Quòd si ipsos palliis contectos calidum aliquid respirando haurire coëgeris, confestim suffocaris; atqui si perfrigeratos & rigentes ita contegas, non solùm non suffoces, sed neque omninò lædas, donec fuerint excalfacti, nã tũc nõ amplius sustinent, veluti non consuetũ. Ex quibus omnibus conspicuũ est, quòd non ob euacuatũ ex toto corpore in balneis spiritũ exoluamur, ac vitã finiamus, sed propter caliditatem. Admirari porrò subit nõ tã alios, quã Erasistratum, qui tam euidẽter apparentia vanitatis coarguere audet, quem nõ verisimile est inexpertum esse doliaris vaporarij hydropicorũ, quod non minùs ab aliis veteribus, quam à Chrysippo Gnidio est laudatũ. Euacuantur enim hi toto corpore multo citiùs & ampliùs, quàm in balneis nõ tamen suffocantur, propterea quòd frigidũ aërẽ inspirant, quo si quis ipsos priuet, breui moriuntur. Quomodo igitur, inquiunt, in graueolẽtibus specubus, & recens calce oblitis domibus, & ab extinctarũ prunarũ fœtore suffocamur? Iuxta Erasistratum quidem, quia tenuis in eiusmodi constitutionibus existens aër, ab arteriis non recipitur, nec continetur, sed facilè euacuatur, & ob inopiam spiritus animal perit. Nos autẽ dicimus, quòd nihil fuerit, vtpote quũ Erasistratus nihil tale demõstrauerit, quod aut tenuem in talibus redderet aërẽ, aut vt ne ab animantium corporibus recipi ac cõtineri posset: nisi fortè vera causa alia sit, aut difficilis extet inuentu. Ad prædicta igitur longiùs sermonẽ extendere cogimur, conabor tamen pro viribus in compendiũ omnia contrahere; si verò nihil habeã, quod dicã, recisis multis cõtradictionibus id apparere assero, motus videlicet, arteriarum in eiusmodi dispositionibus, neque magnitudine, neque tẽpore prioribus inferiores esse, vtpotè, quæ plenæ spiritu, qui per ipsas fertur, existant; oportebat autẽ in eis nõ solũ velociorem, aut minorem pulsum apparere, sed eas etiam omninò pulsu priuari, vtpotè aëre ipsarum ventriculos opplente penitus priuatas. At verò, si Erasistrati (inquiunt) causam reiicis, alteram nobis profer. Proferam autem, si priùs vos dixeritis mihi, ob quàm causam marini piscatores ex torpedinis contactu torporem incurrant.

εἰ γὰρ διότι θερμὸν ἀναπνέομεν, ἐχρῆν φασι, καὶ τοὺς ὑπὲρ λέβητος ὕδατος θερμοῦ συστάντας, εἶτα ἀναπνέοντας τὸν ἀναφερόμενον ἀτμὸν, ὁμοίως ἀδικεῖσθαι. οὐ μὴν φαίνεσθαι ἀδικουμένους, ᾧ δῆλον, ὅτι μὴ διὰ τὴν ἀναπνεομένην θερμασίαν, ἀλλὰ διὰ τὴν ἐξ ὅλου τοῦ σώματος κένωσιν τοῦ πνεύματος, ἐν τοῖς βαλανείοις ἐκλυόμεθα. πῶς οὖν καὶ ταύτην τὴν ἀμφισβήτησιν διαλύσομεν; ἓν, τὸ μὲν συνημμένον, ἀληθὲς εἶναι φήσομεν, ὅτι δεῖ πνίγεσθαι τοὺς τὸν ἐκ λέβητος ἀτμὸν εἰσπνέοντας, εἴπερ ὅλως ἐμψύξεως ἕνεκεν ἀναπνεύσαιεν. οὐ μὴν τήν γε πρόσληψιν αὐτῶν. ἀλλὰ μὴν οὐ πνίγονται. πνίγονται γὰρ οὐδὲν ἧττον τῶν ἐν τοῖς βαλανείοις, οἱ τὸν ἐκ λεβήτων ἀτμὸν ἀναπνέοντες. εἰ δὲ καὶ μὴ πνιγόμεθα, θαυμαστὸν οὐδὲν ἂν ἦν ἴσως, ἡ γὰρ καθ' ὅλον τὸ σῶμα διαπνοὴ, κατὰ τὰ βαλανεῖα, τῇ διὰ τοῦ στόματος ὁμοίως βέβλαπται. οὐκ ἔστι δὲ ταὐτὸν, τὸ κατὰ τὸ στόμα μόνον ἀναπνεῖν τινα κακῶς, τῷ κατὰ τοῦτο, καὶ καθ' ὅλον τὸ σῶμα. μεγίστη δ' ἀπόδειξις, ἐπὶ πολλῶν ἀρρώστων γίγνεται, δι' ὅλην μὲν ἡμέρας ἱδρούντων κρισίμως, πολλῷ μᾶλλον ἐν τοῖς βαλανείοις, οὐ μὴν ἐκλυομένων ὁμοίως ἐκείνοις, οὐδὲ πνιγομένων ὅλως, ἔστ' ἂν ἀναπνέωσι τὸν ἔξωθεν ἀέρα, τὸν ψυχρόν. Εἰ δὲ καὶ συνείρξας αὐτοὺς ἱματίοις τι θερμὸν ἀναπνεῖν ἀναγκάσαις, ἀποπνίξαις αὐτίκα. τοὺς μέντοι κατεψυγμένους καὶ ῥιγοῦντας, οὕτως συνείρξας, οὐχ ὅπως οὐκ ἀποπνίξῃ, ἀλλ' οὐδ' ἀδικήσεις οὐδὲν, ἄχρις ἂν ἐκθερμανθέντες τύχωσι. τηνικαῦτα δ', οὐκέθ' ὑπομένουσιν, ὡς μὴ συνήθες. ἐξ ὧν ἁπάντων δῆλον, ὡς οὐ διὰ τὸ κενούμενον ἐξ ὅλου τοῦ σώματος ἐν τοῖς βαλανείοις πνεῦμα, καταλυόμεθά τε, καὶ τελευτῶμεν τὸν βίον, ἀλλὰ διὰ τὴν θερμασίαν. θαυμάσαι δὲ ἔστιν οὐ τῶν ἄλλων τοσοῦτον Ἐρασίστρατον, τῶν τοιούτων φαινομένων κατατολμῶντα καταψεύσασθαι, ὃν οὐκ εἰκὸς ἄπειρον εἶναι, τῆς διὰ τοῦ πίθου πυρίας τῶν ὑδερικῶν, εὐδοκιμησάσης οὐχ ἥκιστα τῶν ἄλλων παλαιῶν, παρὰ Χρυσίππῳ τῷ Κνιδίῳ. κενοῦνται γὰρ οὗτοι τὸ πᾶν σῶμα πολὺ θᾶττόν τε καὶ μᾶλλον, ἢ ἐν τοῖς βαλανείοις. οὐ μὴν πνίγονται δὲ, διὰ τὸν ψυχρὸν εἰσπνεῖν ἀέρα. τούτου δὴ ἄν τις αὐτοὺς στερήσειεν, ἀποθνήσκουσιν ἐν τάχει. πῶς οὖν, φασὶν, ἔν τε τοῖς βαροδμείοις βαράθροις, καὶ τοῖς νεωστὶ κεχρισμένοις οἴκοις τιτάνῳ, καὶ πρὸς τὴν τῶν ἐσβεσμένων ἀνθράκων ὀσμῆς πνιγόμεθα; κατὰ μὲν τὸν Ἐρασίστρατον, ὅτι λεπτὸς ὢν ἐν ταῖς τοιαύταις καταστάσεσιν ὁ ἀὴρ, οὐ στέγεται πρὸς τῶν ἀρτηριῶν, ἀλλ' ἐκκενοῦται ῥᾳδίως, καὶ ἐνδείᾳ πνεύματος ἀπόλλυται τὸ ζῶον. ἡμεῖς δὲ φαμὲν, ὅτι οὐδὲν ἐξετέλεσεν, ὡς Ἐρασιστράτου δείξαντος, ἢ λεπτὸν ἐν τοῖς τοιούτοις τὸν ἀέρα γιγνόμενον. ἢ μὴ στεγόμενον, τοῖς ζώων σώμασιν. ἢ μὴ τῆς ἀληθοῦς αἰτίας ἑτέρας οὔσης, ἢ χαλεπῆς ὑπαρχούσης εὑρεθῆναι. μακρότερα μὲν οὖν ἀναγκαζόμεθα λέγειν, πρὸς τὰ εἰρημένα, χρὴ δὲ, ὅσον οἷόν τε, πειρᾶσθαι τεμεῖν αὐτὰ συντομώτερον. εἰ δ' οὐδὲν ἔχω φάναι, τὰς πολλὰς ἀντιλογίας παρεικόψας, τοῦ φαίνεσθαι τὰς κινήσεις τῶν ἀρτηριῶν, ἐν ταῖς τοιαύταις διαθέσεσι, μηδὲν ἀπολειπομένας μεγέθει τε, καὶ χρόνῳ τῶν ἔμπροσθεν. ὡς ἂν πλήρει οὔσας δηλονότι τοῦ δι' αὐτῶν φερομένου πνεύματος. ἐχρῆν δὴ αὐτὰς, μὴ ὅτι θᾶττον, ἢ μικρότερον, φαίνεσθαι σφυζομένας, ἀλλ' ἀσφύκτους γίνεσθαι παντάπασιν, ὡς ἐστερημένας τελέως, τοῦ πληροῦντος αὐτῶν τὰς κοιλίας ἀέρος. ἀλλ' εἰ τὴν Ἐρασιστράτου, φασὶ, διαβάλλεις αἰτίαν, εἰπέ. λέξω δὲ, ἐὰν πρότερον ὑμεῖς εἴποιτέ μοι, διὰ ποίαν αἰτίαν θαλάττιοι ζωγρεῖς, νάρκης ἁψάμενοι, ναρκῶσι.

Εἰ δὲ οὐδὲν λέγειν ἔχετε, τοῦτο ὅμως ἡμῖν εἰπεῖν συγχωρήσετε, τὸ, τὴν δύναμιν εἶναι τοῦ ζώου ναρκωτικὴν τῶν ἁπτομένων, οὕτως ἰσχυρὰν, ὥς τε καὶ διὰ τοῦ πεπηγότος αὐτοῦ τριόδοντος, εἰς τὰς χεῖρας τῶν ἁλιέων ῥᾳδίως ἀνατρέχειν τὸ πάθος. οὐκοῦν συγχωρήσετε, εἶναί τινας ἰχθύων ποιότητας, καὶ δυνάμεις, ὧν αἱ μὲν, νάρκην, αἱ δὲ, κάρον, αἱ δὲ ψύξιν, αἱ δὲ, σῆψιν, αἱ δὲ, ἄλλο τι φέρουσι κακόν. ἀέρος δὲ, οὐδεμίαν συγχωρήσετε εἶναι τοιαύτην δύναμιν; ἀλλ' οὐκ ἔχομεν φασιν, ἐναργῶς δεῖξαι, τίς ἡ ποιότης αὕτη, καὶ τίς ἡ δύναμις αὕτη. τί οὖν τοῦτο πρὸς τὰ παρόντα; διὰ γὰρ τῶν ἀδήλων, οὔτε ἀνατρέπεσθαί τι δίκαιον, οὔτε κατασκευάσασθαι. μεταβαίνωμεν οὖν ἀπὸ τῶν τοιούτων, ἐπὶ τὸ κατασκευάζειν ἐναργῶς, ὁποτέραν οὖν τῶν αἱρέσεων ἀνατρέπειν δυνάμεθα. τὰ μὲν οὖν ἐξ ἀνάγκης ἀνατρέποντα τὴν Ἐρασιστράτειον δόξαν, εὐθὺς κατ' ἀρχὰς ἡμῖν ἐῤῥήθη. τὰ δὲ τὴν ἡμετέραν κατασκευάζοντα, τοιαῦτα μὲν οὖν ὡς οὐχ εὕρομεν, ὡς ἐξ ἀνάγκης περαίνειν. ἁπάντων μέν τοι τῶν ἄλλων πιθανώτατον, πρὸς τὸ μηδὲ ἀνατρέπεσθαι πρός τινος τῶν φαινομένων, ταύτην τὴν δόξαν· ὥστε τὴν μὲν Ἐρασιστράτου περὶ χρείας ἀναπνοῆς ὑπόληψιν, ἤδη καταλιπεῖν δίκαιον, ἐπεὶ κἀν τοῖς περὶ σφυγμῶν λόγοις, ἐξελέγχεται πολυειδῶς σφαλλομένη. αὐτοὺς δὲ, διὰ βραχέων ἐπιδραμεῖν τῶν ἄλλων φαινομένων τὰς αἰτίας, εἰς τὴν προκειμένην ἀναφέροντας ὑπόθεσιν, ὥσπερ κατά γε τὴν γυμνασίαν, μεῖζόν τε καὶ πυκνότερον ἡμᾶς ἀναπνεῖν. οὐ γὰρ ἀπεικὸς, οὐδὲ τοῦτο γίνεσθαι, διὰ τὴν τοῖς σφοδρῶς κινουμένοις αὐξανομένην θερμασίαν. ὅτι γὰρ οὐδ' ἐνταῦθα διὰ τὴν τῶν ἀρτηριῶν ἐπιπλήρωσιν, ἐναργές ἐστιν, ἐκ τοῦ γίνεσθαι μὲν ἐξ ἀρχῆς εὐθὺς πολλάκις σφοδρῶς, οὐ μὴν ἀλλοιοῦσθαι τὴν ἀναπνοὴν, πρὶν ἱκανῶς θερμανθῆναι. ἐκθερμανθέντων δὲ, κἂν ἐπαυσάμεθα κινούμενοι, μέχρι πολλοῦ διασωζομένην ὁρᾶσθαι τὴν αὐτὴν ἰδέαν τῆς ἀναπνοῆς. ἀλλὰ κἀν τοῖς καυσώδεσι πυρετοῖς, ὁμοίως ἀναπνεῖν ὀρεγόμεθα, διὰ τὴν αὐτὴν αἰτίαν. ὅπου γὰρ ἂν ᾖ μέγιστον τὸ τῆς χρείας δεόμενον, ἐνταῦθα οὐκ ἀπεικὸς ἱκανῶς αὐξάνεσθαι καὶ τὴν χρείαν αὐτήν. ἡ μὲν γὰρ μείζων φλὸξ, μείζονος ἀέρος· ἡ δὲ ἐλάττονος δεῖται, πᾶσα οὖν δεῖται, δι' ἣν ἔμπροσθεν εἴπομεν ἀνάγκην. οὐκοῦν ἔτι θαυμαστὸν, εἰ κατεψυγμένοι τὰ περὶ τὴν καρδίαν, καὶ τὸν πνεύμονα, τὸν ἔξωθεν ἀέρα ποθοῦσί τε, καὶ δέονται διὰ τῆς εἰσπνοῆς ἐπισπᾶσθαι. ἐπισπῶνται μὲν γὰρ, ἀλλ' ὀλίγον, καὶ διὰ χρόνου πολλοῦ. μεγάλως γὰρ, καὶ πυκνῶς, οὐκ ἐγχωρεῖ ῥιπίζειν τὴν βραχεῖαν θερμασίαν. διὰ τί τοίνυν, οἱ μὲν παῖδες, πλεῖόν τε, καὶ πυκνότερον, οἱ δὲ ἀκμάζοντες, ἔλαττόν τε καὶ ἀραιότερον ἀναπνέουσιν; ἢ ὅτι τὰ αὐξανόμενα, πλεῖστον ἔχει τὸ ἔμφυτον θερμὸν, ἕπεται δ' ἐξ ἀνάγκης πλήθει θερμασίας, μέγεθός τε, καὶ πυκνότης ἀναπνοῆς; εἰ δὲ καὶ τρέφεται τὸ ψυχικὸν πνεῦμα πρὸς τῆς ἀναπνοῆς, καὶ διὰ τοῦτο ἀναπνέουσι πλεῖστόν τε, καὶ πυκνότατον οἱ παῖδες. ἔτι καὶ τροφῆς πλείονος, ὡς ἂν αὐξανόμενοι, δέονται. εἰ δὲ τὸ λιγνυῶδες ἀποχεῖται πλεῖστον, ἐν ταῖς ἀναπνοαῖς, καὶ διὰ τοῦτο, ἀναπνέουσι πλεῖστόν τε καὶ πυκνότατον. ἔνθα γὰρ ἡ τῆς τροφῆς ἐργασία πλείων, ἐκεῖ καὶ τὸ περίττωμα πλέον. οἷς δ' οἱ νεανίσκοι θερμότεροι τῶν παίδων εἶναι δοκοῦσιν, οὗτοι, τὴν μὲν προειρημένην αἰτίαν οὐ προσποίσονται. περὶ μέν τοι τῶν γερόντων, οὐδεὶς ἀμφισβητεῖ, τὸ μὴ οὐκ εἶναι πολὺ ψυχροτέρους αὐτοὺς, τῶν παίδων καὶ νεανίσκων,

Si verò nihil habetis, quod dicatis, hoc tamen nobis referre permittatis, nempè vim esse huius animantis stupefactoriam eorum, quæ contingũt, adeò fortem, vt etiam per infixum ipsi tridentem ad manus piscatorum perfacile vitium accurrat. Itaque concedetis piscium quasdam esse qualitates, ac vires, quarum aliæ torporem, aliæ altiorem soporem, aliæ frigiditatem, aliæ putrefactionem, aliæ aliud quoddam malum inferant, aëris autem nullam talem vim esse permittetis? Verùm non habemus (aiunt) euidentem demonstrationem, quænam qualitas hæc sit, & quæ tandem. Quid igitur hoc ad præsentia? per obscura enim nihil ritè, neque euertitur, neque confirmatur. Transeamus itaque à talibus ad confirmationem euidentem, vtram tandem sectam euertere queamus. Quæ quidem igitur necessariò Erasistrati opinionem euertunt, statim à principio nobis relata sunt; quæ verò nostram confirmant, talia quidem non inuenimus, vt necessariò concludant, attamen omnem aliorum maximè credibilia sunt; supra hoc, quòd à nullo penitus eorum, quæ palam apparent, hæc opinio nostra euertatur. Quare Erasistrati de respirationis vtilitate opinionem hîc iam relinquere iustum est, quandoquidem & in libris de pulsibus multipliciter erroris est conuicta; ipsi verò etiam reliquorum apparentium causas ad præsentem suppositionẽ conducentes breuibus percurremus. Velut est, quòd in exercitationibus ampliùs, & frequentius respiramus; neque enim dissimile vero est, etiã ob calorem ex vehemẽti motu auctum fieri, quòd enim, neque hîc propter arteriarum expletionem respiramus, manifestũ est ex eo, quòd à principio statim sæpè vehementer contingat, non tamen respiratio mutetur priùs, quàm multum calefiamus; vbi verò excalfacti sumus, etiam si ad multum tẽpus à motu quiescimus, tamen eandẽ respirationis speciẽ conseruari videmus. Quin & in æstuosis febribus similiter respirare appetimus, ob eandem causam. Vbi enim maximum fuerit, quod vtilitate indigebit, hîc etiam non absonum est ipsam vtilitatem multùm augeri, maior namque flamma ampliori aëre, minor pauciore opus habet. Omnis verò flamma ipso indiget ob eã, quam priùs dixi, necessitatem. Nequaquam igitur mirum est, si loci circa cor, & pulmonem perfrigerati, externum aërem desiderant, indigéntque eius per inspirationem attractione; attrahunt enim sed parum, & per multum tempus, valdè namque & crebrò non expedit paruam caliditatẽ vẽtilare. Propter quid igitur pueri quidem plus, & frequentius, puberes verò minùs, & rariùs respirant? Num quòd qui crescunt, plurimum habent insiti caloris, necessariò autem sequitur ad multitudinem caloris, magnitudo, & frequentia respirationis? Si verò animalis spiritus à respiratione etiam nutritur, etiam ob id plurimum, & frequentissimè pueri respirãt, quòd nutrimento ampliore, vt qui crescant, opus habent. Si verò etiã fuliginosum plurimũ in respiratione diffunditur, etiã ob id plurimũ, & frequentissimè respirant; vbi enim amplius alimentũ conficitur, ibi etiam amplius excrementum. Quibus itaque pueri calidiores adolescentibus esse videntur, hi talem referent causam crebrioris ipsorum respirationis. Quibus autẽ adolescentes calidiores pueris videntur, hi prædictam causam non admittent. Atqui de senibus nemo dubitat, quin sint multò, tum pueris, tum adolescẽtibus frigidiores,

testimonium

testimonium autem frigiditati præbet ipsa respirationis species, quæ in eis minor fit & rarior. Consimilia porrò iis, quæ in ætatibus apparent, in temporibus, & regionibus, ac naturis contingunt. Testimoniúmque præbet calidis semper respiratio maior, & densior, frigidis minor, & rarior. Parum etiam, & frequenter respirant, qui cibum acceperunt, ac biberunt, ob septi transuersi coarctationem: Sic & prægnantes: In aqua etiam inter cutem, & in hepatis inflammationibus, ventrique ac splenis, consimiliter respirant propter eandem causam. Cæterùm de propria horum respiratione in libris de spirandi difficultate dicetur. Nunc satis est, vt hoc rursus demonstretur, nempè omnia manifestè apparentia prædicto dogmati nostro, de vsu videlicet respirationis, testimonium præbere.

ὁμολογεῖ δὲ τῇ ψύξει, καὶ ἡ τῆς ἀναπνοῆς ἰδέα, μικροτέρα τε ἅμα, καὶ ἀραιοτέρα γιγνομένη. παραπλήσια δὲ ταῖς ἐπὶ τῶν ἡλικιῶν φαινομέναις, ἐν ὥραις, καὶ χώραις, καὶ φύσεσι συμβέβηκε. καὶ ὁμολογεῖ γὰρ ἀεὶ, τοῖς μὲν θερμοῖς, ἡ μείζων τε καὶ πυκνοτέρα· τοῖς δὲ ψυχροῖς, ἡ ἐλάττων τε, καὶ ἀραιοτέρα. μικρόν τε, καὶ πυκνὸν ἀναπνέουσιν, οἵ τε ἐδηδοκότες καὶ οἱ πεπωκότες, στενοχωρίᾳ τοῦ διαφράγματος. οὕτω δὲ καὶ αἱ κύουσαι, κἂν τοῖς ὑδέροις τε, καὶ ταῖς φλεγμοναῖς τοῦ ἥπατος, καὶ τῆς γαστρὸς, καὶ τοῦ σπληνὸς, ὁμοίως ἀναπνέουσι, διὰ τὴν αὐτὴν αἰτίαν. ἀλλὰ περὶ μὲν τῆς οἰκείας τούτων ἀναπνοῆς, ἐν τοῖς περὶ δυσπνοίας εἰρήσεται. νῦν δὲ ἀρκεῖ καὶ ταῦτα αὖθις ἐνδείξειν, τὸ, πάντα ὁμολογεῖν τὰ φαινόμενα, τῷ προειρημένῳ δόγματι περὶ χρείας ἀναπνοῆς.

CAPVT V.

De animalis Spiritus nutritione.

VIdeamus autem deinceps, an animalis spiritus à respiratione nutriri possit. Dicamus autem priùs, quomodo quid animalem spiritum vocamus, quum substantiam animæ nos ignorare fimus confessi. Quoniam igitur ventriculi spiritus in cerebro, quum vulnerantur, statim immobiles, ac sensus expertes nos reddunt oportet vtique omnino hunc sensum spiritum, aut ipsam animæ substantiam esse, aut primum vtique ipsius organum. Dictum verò alibi de ipsis fusiùs, & diligentiùs, vbi etiam hoc statim dictum est, quod necessarium est hunc spiritum nutriri. Vnde igitur (inquiunt) aliunde alimentum habebit, quàm ab aëre per inspirationem attracto? Atqui ex sanguinis exhalatione haud incongruum est ipsum nutriri, quemadmodum multis celebribus, tum medicis, tum philosophis est visum. Verùm, qui Erasistratum sectantur, non eodem modo, quo qui Hippocratem, ex inspiratione animalem spiritum nutriri tradunt; Illis enim ex corde per arterias ad cerebri membranas, his verò statim per nares in cerebri ventriculos peruenire spiritus videtur. Erasistrati quidem de his opinionem etiam hic relinquemus, multiformiter à nobis in libris de pulsuum causis coniunctam. Ad veram autem transgredientes considerabimus hoc, quod palam apparet, cuius iam sæpe experimentum fecimus. Quum enim arteriæ colli laqueis constringuntur, nihil patitur animal, neque statim, neque postea; quemadmodum nos aliquando experiundi gratia illas laqueis constrinximus, atque totum diem animal inspirare, & expirare, ac moueri citra impedimentum visum, ad profundam iam noctem mactauimus, vt qui putaremus, tam diutinam experientiam non amplius fidelem, ac tutam esse; posse enim in tanto temporis spatio, quo laquei circumnexi fuerant, aliquod ex principalibus membris per consensum læsum esse. Admirabamur igitur quum reperiremus arterias ex principalissimis vitalibus organis, ipso videlicet corde, ad principalissima animalia organa, ipsum videlicet cerebrum, protensas, ita citra omnem vitæ offensam, iniuriam eam tolerantes. Sed de his etiam in libro de vsu pulsuum ampliùs quæremus. Quod verò ex eis ad præsens vtile existit, cuiúsque gratia

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ τῆς θρέψεως τοῦ ψυχικοῦ πνεύματος.

ἼΔωμεν δ᾽ ἐφεξῆς, εἰ δύναται τρέφεσθαι τὸ ψυχικὸν πνεῦμα, πρὸς τῆς ἀναπνοῆς. εἴπωμεν δὲ πρότερον, πῶς καλοῦμεν τι ψυχικὸν πνεῦμα, ἀγνοεῖν ὁμολογοῦντες οὐσίαν ψυχῆς. ἐπεὶ τοίνυν αἱ κατὰ τὸν ἐγκέφαλον κοιλίαι τοῦ πνεύματος, ἐπειδὰν τρωθῇ, εὐθὺς ἀκινήτους τε καὶ ἀναισθήτους ἡμᾶς ἐργάζονται, χρὴ τοῦτο τὸ πνεῦμα πάντως, ἤτοι τὴν οὐσίαν αὐτὴν εἶναι τῆς ψυχῆς, ἢ τὸ πρῶτόν γε αὐτῆς ὄργανον. εἴρηται δὲ ἑτέρωθι περὶ αὐτῶν, διὰ πλειόνων ἀκριβέστερον, ἐν οἷς καὶ τοῦτ᾽ εὐθὺς εἴρηται, ὡς ἀναγκαῖόν ἐστι τοῦτο τὸ πνεῦμα τρέφεσθαι. πόθεν οὖν, φασὶν, ἄλλοθεν ἕξει τὴν τροφὴν, εἰ μὴ παρὰ τοῦ διὰ τῆς εἰσπνοῆς ἑλκομένου; καί τοι, κἀκ τῆς τοῦ αἵματος ἀναθυμιάσεως, οὐκ ἀπεικὸς αὐτὸ τρέφεσθαι, καθάπερ καὶ πολλοῖς τῶν ἐλλογίμων ἰατρῶν τε, καὶ φιλοσόφων, ἔδοξεν. ἀλλ᾽ οὐδ᾽ ἐκ τῆς εἰσπνοῆς ὁμοίως, οἱ περὶ τὸν Ἐρασίστρατον, τοῖς περὶ τὸν Ἱπποκράτην, τρέφεσθαί φασι τὸ ψυχικὸν πνεῦμα. τοῖς μὲν γὰρ, ἐκ τῆς καρδίας, διὰ τῶν ἀρτηριῶν, ἐπὶ τὰς μήνιγγας. τοῖς δὲ, εὐθὺς διὰ τῶν ῥινῶν, εἰς τὰς κατὰ τὸν ἐγκέφαλον κοιλίας, ἔρχεσθαι τὸ πνεῦμα δοκεῖ. τὴν μὲν Ἐρασιστράτου περὶ τούτων δόξαν, κἀνταῦθα καταλίπωμεν, ἐξεληλεγμένην πολυειδῶς, περὶ τῶν ἐν σφυγμοῖς αἰτιῶν. ἐπὶ δὲ τὴν ἀληθῆ μεταβάντες, τὴν καὶ ταῖς ἀρτηρίαις αἷμα μεταδιδοῦσαν, ἐπισκεψώμεθα τουτὶ τὸ φαινόμενον, οὗ πολλάκις ἐπειράθημεν. ἐν γὰρ τοῖς βρόχοις διαλαμβάνεσθαι τὰς κατὰ τὸν τράχηλον ἀρτηρίας, οὐδὲν πάσχει τὸ ζῶον, οὔτ᾽ εὐθὺς, οὔθ᾽ ὕστερον, ὡς ἡμεῖς ἐνίοτε πειρώμενοι, ἐν βρόχοις αὐτὰς διελαμβάνομεν. ὅλην δὲ ἡμέραν, τὸ ζῶον, εἰσπνέον τε, καὶ ἐκπνέον, καὶ κινούμενον ἀκωλύτως ἰδόντες, νυκτὸς ἤδη βαθείας ἐσφάξαμεν. οὐκέτι ἡγούμενοι τὴν ἐπὶ πλέον πεῖραν, πίστιν ὑπάρχειν. δύνασθαι γὰρ, ἐν τοσούτῳ χρόνῳ, διὰ τοὺς περικειμένους βρόχους, συμπαθῆσαι τι τῶν κυριωτάτων μορίων. ἐθαυμάζομεν οὖν, τὰς ἐκ τῶν κυριωτάτων τῶν ζωτικῶν ὀργάνων τῶν τῆς καρδίας, εἰς τὰ κυριώτατα τῶν ψυχικῶν, τὸν ἐγκέφαλον, τεταμένας ἀρτηρίας, οὕτως ἄλυπον τῷ παντὶ βίῳ, τὴν βλάβην ἐχούσας εὑρίσκοντες. ἀλλὰ περὶ μὲν τούτων, κἂν τῷ περὶ χρείας σφυγμῶν, ἐπιπλέον ζητήσομεν. ὅσον δ᾽ ἐξ αὐτῶν ἐστιν εἰς τὰ παρόντα χρήσιμον, οὗ χάριν

ἐμνημόνευσα τῶν καρωτίδων ἀρτηριῶν, τοῦτ' αὖθις λεγέσθω, τοῦ μὴ πάνυ τι δεῖσθαι τοῦ παρὰ τῆς καρδίας πνεύματος, τὸν ἐγκέφαλον. ἀπολείπεται γοῦν, ἤτοι τὴν ἀναθυμίασιν αὐτῷ, τὴν ἐκ τοῦ αἵματος, ἱκανὴν ὑπάρχειν, ἢ τὴν διὰ τῶν ῥινῶν εἰσπνοήν. ἀλλ' οὐδὲ τὴν ἀναθυμίασιν εἰκὸς γίνεσθαι δαψιλῆ, βρόχῳ διαληφθεισῶν τῶν ἀρτηριῶν, δείκνυται δὲ τοῦτο, ἐν τῷ περὶ χρείας σφυγμῶν. ἀναγκαῖον οὖν, ἐκ τῆς διὰ τῶν ῥινῶν ἐστιν ὡς τὴν πλείστην εἶναι τροφὴν τῷ ψυχικῷ πνεύματι. τουτέστι τὸ παρ' Ἱπποκράτους λεγόμενον, ἀρχὴ τροφῆς πνεύματος, στόμα, ῥῖνες, βρόγχος, πνεύμων, καὶ ἡ ἄλλη ἀναπνοή. ἐξ ἁπάντων γὰρ τούτων τρέφεται, μηδαμῆ παραποδιζόμενον· εἰ δὲ καὶ παρεμποδίζοιτο καθ' ἓν ὁποιονοῦν αὐτῶν· ἀλλ' ἔτι, διά γε τῶν λοιπῶν ὑπηρετεῖται. μαθεῖν δὲ ἐναργῶς ἐστιν, ἐξ οὗ μέλλομεν εἰπεῖν φαινομένου, περὶ τῆς οἰκοίας πνεύμονος, εἰς τὰς καθ' ὅλον ἀρτηρίας, μεταλήψεως τοῦ πνεύματος. ὡς ἤτοι βραχὺ ἔτι παντελῶς, ἢ οὐδ' ὅλως γίνεσθαι. περιτιθέντες γὰρ παιδὸς τῷ στόματι καὶ ταῖς ῥισὶ, μεγάλην κύστιν βοείαν, ἤ τι τοιοῦτον ἕτερον ἀγγεῖον, ὡς μηδαμῆ παραπνεῖσθαι μηδὲν τῆς ἀναπνοῆς, δι' ὅλης ἡμέρας. ἴδομεν ἀκωλύτως πνέοντα ταὐτόν. ἐξ οὗ δῆλον, ὡς ἤτοι μικρὸν παντελῶς, ἢ οὐδ' ὅλως, αἱ κατὰ τὸ ζῶον ἀρτηρίαι, ἔχουσι τὴν ἔξωθεν ποιοτήτων ἀνάγκην, καὶ μάλιστα τῆς θερμότητος. τὸ μὲν γὰρ ψυχρότερον, οὐχ ὁμοίως εὔπορον ἅπαντι. χρὴ δ' ἑτοίμως ἰέναι διὰ πάντων τῶν ὀργάνων, τὸ τῆς ψυχῆς πνεῦμα. τὸ δ' αὖ θερμότερον, ἅπαντι μὲν πόριμον, ἀλλὰ πρῶτον μὲν κατακαίεται, καὶ συντήκει τὸ σῶμα· τελευταῖον δὲ, καὶ αὐτὸ συναπόλλυται, καὶ ἀποσβέννυται. καὶ ἐν μὲν ταῖς ἀποπληξίαις, ψυχρότερον, ἐν δὲ τοῖς πυρετοῖς, θερμότερον τοῦ μέτρου γιγνόμενον. ἐν μὲν ταῖς ἀποπληξίαις, ἴσχεται τοῦ πάντη ῥᾳδίως εἰσιέναι, καὶ διὰ τοῦτο, εἰς ἀκινησίαν τελευτᾷ τὸ πάθος. ἐν δὲ τοῖς πυρετοῖς, εὔπορον μέν τοι πάντη, κατακαίειν δὴ, καθάπερ πῦρ, ἀλλὰ μήτε τρέφειν, μήτε αὐξαίνειν τὰ σώματα δύναται. μὴ τοίνυν εἶναι μικρὰν νομίζωμεν τὴν χρείαν τοῖς ζώοις, τῆς συμμέτρου θερμασίας, ἀλλ' ἐν τοῖς ἀναγκαιοτάτοις, μάλιστα μὲν οὖν τῷ πνεύματι τῷ ψυχικῷ, καὶ τοῖς κυριωτάτοις ὀργάνοις, ἤδη δὲ, καὶ καθ' ὅλον τὸ σῶμα. εἰκότως ἄρα τὴν ἀρχὴν τῆς φυσικῆς θερμασίας, τὴν καρδίαν, εἰς τοσοῦτον ἀναπνοῆς χρήζουσαν ἔχομεν, εἰς ὅσον περ, καὶ συμμέτρου θερμασίας αὐτοὶ χρήζομεν. ἐδείχθη γὰρ ἀδύνατος ἡ σωτηρία τῆς θερμασίας, χωρὶς τῆς ἀναπνοῆς. ἔκπνουν μὲν δὴ, καὶ εἴσπνουν ἐστὶ ὅλον τὸ σῶμα, κατὰ τὸν Ἱπποκράτους λόγον, ἀλλὰ καὶ πρὸς ἡμῶν ἑτέρωθι δέδεικται. σύμμετρος δὲ ἀναπνοὴ, τοῖς μὲν ἄλλοις ἅπασι μορίοις, ἡ διὰ τῶν ἀρτηριῶν ἐστιν. ἐγκεφάλου δὲ, καὶ καρδίας, δύο ἐξαίρετα πρόσκειται τῆς ἀναπνοῆς ὄργανα. τῷ μὲν, ῥῖνες· τῷ δὲ, πνεύμων. ὅπως δὲ ὁ πνεύμων κινοῖτο, θώρακος ἐδεήθη. καὶ δι' αὐτὸ, ὡς μὲν τῇ καρδίᾳ συνημμένος ὁ πνεύμων, τὸ πρῶτόν ἐστι πνευστικὸν ὄργανον. ὡς δὲ ὑπὸ τοῦ θώρακος, κινούμενον, τὸ δεύτερον. εἰ δὲ, τῆς τοῦ αἵματος ἀναθυμιάσεως, εἰς θρέψιν χρήζει τὸ ψυχικὸν πνεῦμα, πιθανὸν γὰρ καὶ τοῦτο, μεγίστην ἂν ἔχοι καὶ ταύτην, τῆς συμμέτρου θερμασίας τὴν χρείαν, τὰ ζῶα. τὸ μὲν γὰρ ψυχρὸν αἷμα, πῶς ἂν εἰς ἀτμοὺς λύοιτο; ἀμέτρως δὲ θερμὸν, εὐσκέδαστον μὲν εἰς ἀτμοὺς, ἀλλ' εἰς θολεροὺς τούτους, καὶ καπνώδεις. οὐ μὴν τοιούτῳ γε εἶναι πρέπει τῷ ψυχικῷ

carotidum arteriarum circa collum mentionem feci, idipſum rurſus dicetur, nempe, quòd cerebrum ſpiritu à corde allato non valde habet opus. Reliquum eſt igitur, aut exhalationem ex ſanguine ipſi ſufficientem eſſe, aut per nares inſpirationem. Atqui nec exhalationem largam contingere veriſimile eſt, ſi arteriæ laqueo ſunt conſtrictæ; quod ipſum etiam in libro de vſu pulſuum demonſtratur. Neceſſarium igitur eſt ex inſpiratione per nares potiſſimam alimenti partem animali ſpiritui accedere. Atque hoc eſt, quod ab Hippocrate dicitur: Principium alimenti ſpiritus, os, nares, arteria aſpera, pulmo, & alia reſpiratio. Ex omnibus enim his nutritur nullatenus impeditus. Si verò etiam impediatur vnum quodcumque tandem ex ipſis, attamen per reliqua alimentum ei ſuggeritur. Diſcere autem ex apparenti, de quo dicturi ſumus, euidenter licet de ſpiritus ex pulmone in arterias totius corporis tranſumptione, quòd aut modicè omnino, aut neque omnino contingit. Quum enim aliquando ad os, ac nares pueri magnam veſicam bubulam, aut aliud quoddam vaſculum, vt nulla parte quicquam ex reſpiratione per totum diem præterſpiraret, appoſuiſſemus, vidimus citra obſtaculum puerum ſpirantem: ex quo manifeſtum eſt, quòd parum, aut penitus nihil, arteriæ animalis extrinſecarum qualitatum neceſſitate vrgentur, & maximè caloris. Etenim frigidior ſpiritus non ſimiliter penitus pertranſire poteſt. Oportet autem promptè per omnia organa, animæ ſpiritum tranſire. At verò calidior penitus quidem penetrat, verùm primùm & exurit, & colliquat corpus, poſtremum verò etiam ipſe extinguitur & perit. Et in apoplexiis quidem frigidior eſt, in febribus verò calidior moderato redditur. In apoplexiis itaque retinetur, vt non facilè penitus pertranſire poſſit, & ob id ſanè in motus priuationem deſinit affectus. In febribus verò penetrare quidem penitus poteſt, verùm exurere ad ſimilitudinem ignis, non verò nutrire, aut augere corpora valet. Ne igitur paruam eſſe putemus animalibus moderati caloris vtilitatem, verùm maximè neceſſariam, præſertim ſpiritui animali & principaliſſimis organis, iam verò & vniuerſo corpori. Iure igitur principium naturalis caloris ipſum videlicet cor, reſpiratione tantum egens habemus, quantum etiam ipſi moderato calore indigemus. Demonſtratum enim eſt impoſſibile eſſe ſaluum eſſe calorem citra reſpirationem. Inſpirabile namque & expirabile eſt totum corpus iuxta Hippocratis ſententiam; verùm & nos alibi demonſtrauimus. Moderata autem reſpiratio omnibus aliis partibus per arterias contingit. Cerebro verò & cordi duo præcipua adiacent reſpirationis organa, illi nares, huic pulmo. Cæterùm, vt pulmo moueretur, thorace opus habuit; & propterea, vt cordi quidem copulatus pulmo, primùm reſpirandi organum exiſtit; vt verò à thorace mouetur, ſecundum. Si verò & ſanguinis halitu ad nutritionem, animalis ſpiritus indiget (credibile enim & hoc ipſum eſt) maximam habuerint ſanè animalia & hanc à moderato calore vtilitatē. Etenim frigidus ſanguis quomodo in halitum ſolueretur? Immodicè verò calidus facilè quidem in vapores diſpergi poteſt, verùm turbidos, & fumoſos; talem verò minimè eſſe conuenit ſpiritum

spiritum animalem, sed, vt si quem alium, purissimum & optimum. Ob id igitur, vbi sanguis melãcholicus, & biliosus in vitiosos vapores soluuntur, alter ad melancholiam, alter ad phrenitin, perducit; proptereáque in æstuosis etiam febribus facilè delirant. Nã tametsi bonus tum sit sanguis, ob multitudinem tamen caloris fumosos vapores emittit. Fuerítque & hoc non exiguum à naturali calore emolumentum, vt videlicet exhalatio moderata, pura, & bona fiat. At verò, si quis vnamquamque partem ex propriis constitutionibus agere supponat, neque sic parum profuerit moderatus calor ad constitutionis conseruationem. Siccum equidem, aut humidum immodicè nullum membrum in pauco tempore fieri poterit; frigidum autem extremè, aut calidum manifestè fieri possit: atqui vniuscuiusque membri substantia, frigidi, & calidi, & sicci, & humidi quædam temperies existit, vt eam à nulla alia re ita citò corrumpi posse verisimile sit, velut à calore immoderato. Quòd si ita habet, etiam actionem membrorum à nullo promptiùs lædi euidens existit. In aliis quidem igitur organis actionum læsio parui momenti est; in his verò, quæ ad vitam pertinent, magni refert; In his postremum, quæ non solum ad vitam conducunt, sed etiam ad alia rationem principij habent, maximi; talia autem sunt cerebrum, & cor; quare eorum constitutionis læsio è vestigio vitæ damnum infert. Atqui ipsam constitutionem nihil promptiùs immutare valet, quàm calor immoderatus. Itaque ambo hoc sermone demonstrata sunt, tum vtilitas commoderati caloris, tum vtilitas, quæ ipsi per respirationem accedit. Necessarium igitur iam, non credibile solum, sed & verum nos inuenisse, perspicuè omnibus apparet. Et summatim sanè dicimus vtilitatem respirationis esse innati caloris conseruationem. Licet autem, quamuis animæ substantiam ignoremus, attamen ex diuisione nihilominus ratiocinari, iis, quæ euidenter apparent in demonstrationis vsum assumptis, ex quorum numero & hoc est. Spiritum, qui in ventriculis cerebri continetur, alterum ex duobus esse necessarium est, aut animæ ipsius substantiam, aut primum eius organum. Sed si primum, cerebrum in seipso animæ substantiam habere necessarium est, & hanc insitum esse calorem, aut spiritum, aut totam ipsius constitutionis speciem, aut si qua alia præter ipsam incorporea facultas existit. Cæterùm necessarium est hoc primum, vnum quoddam organum ex prædictis habere ad motum subseruiens, quum ipsa omninò pati non possit, & mortis tempore instante per primorum ipsius organorum læsionem soluatur. Quare siue constitutio cerebri offendatur, siue simul qui in eo est spiritus, siue calor solus, mors ex necessitate animalibus contingit. Atqui nec constitutio breui aliter offendi potest, quàm per calorem immoderatum, quemadmodum est demonstratum: nec ipsa etiam hic ampliùs adhuc calor: sed neque quod restat adhuc tertium, spiritus videlicet ipse, occasionem aliquam habere potest alterius repentinæ corruptionis præter eas, quæ antea sunt relatæ, nimirum substantiæ ipsius totius euacuationem, & immoderatum calorem.

A πνεύματι, ἀλλ' εἴπερ τῷ ἄλλῳ, καθαρωτάτῳ τε, καὶ χρηστοτάτῳ. ταῦτ' ἄρα, τὸ μελαγχολικὸν αἷμα, καὶ τὸ πικρόχολον, εἰς ἀτμοὺς μοχθηροὺς λυόμενον, τὸ μὲν, εἰς μελαγχολίαν, τὸ δὲ, εἰς φρενῖτιν ἄγει. διὰ τοῦτο δὲ κἀν τοῖς καυσώδεσι πυρετοῖς ἑτοίμως παραφρονοῦσιν. εἰ γὰρ χρηστὸν ᾖ τηνικαῦτα τὸ αἷμα, διὰ γοῦν τὸ πλῆθος τῆς θερμασίας, ἀτμίζει καπνωδῶς. εἴη δ' ἂν καὶ τοῦτο, τῆς κατὰ φύσιν θερμασίας ὄφελος οὐ σμικρὸν, ἀτμίζειν σύμμετρόν τε, καὶ καθαρὸν, καὶ χρηστόν. οὐ μὴν οὐδὲ ταῖς οἰκείαις κατασκευαῖς δεῖσθαι ὅτῳ τῶν μορίων ὑποθοῖτό
B τις, οὐδ' οὕτως εἰς τὴν φυλακὴν τῆς κατασκευῆς ὠφελεῖ μικρὸν ἡ σύμμετρος θερμασία. ξηρὸν μὲν γὰρ ἀμέτρως, ἢ ὑγρὸν, οὐκ ἐν ἀκαρεῖ χρόνῳ γένοιτο, τῶν μορίων οὐδέν. ψυχρὸν δ' ἐσχάτως, ἢ θερμὸν δύναιτ' ἂν ἐμφανῶς γενέσθαι. καὶ μὴν ἰδία ἑκάστου τῶν μορίων οὐσία, ψυχροῦ καὶ θερμοῦ, καὶ ξηροῦ καὶ ὑγροῦ, ποιά τις κρᾶσίς ἐστιν. ὥς τε καὶ διαφθείρεσθαι ταύτην ὑπ' οὐδενὸς οὕτω ταχέως εἰκὸς, ὡς ὑπὸ τῆς κατὰ τὴν θερμασίαν ἀμετρίας. εἰ δὲ καὶ τοῦτο, καὶ τὴν ἐνέργειαν ὑπ' οὐδενὸς ἑτοιμότερον ἐγχωρεῖ βλαβῆναι. τῶν μὲν οὖν ἄλ-
C λων ὀργάνων αἱ βλάβαι τῶν ἐνεργειῶν, μικραί· τῶν δ' εἰς αὐτὴν τὴν ζωὴν διαφερόντων, μεγάλαι. τῶν δ' οὐ μόνον εἰς ζωὴν αὐτὴν διαφερόντων, ἀλλὰ καὶ πρὸς τὰ ἄλλα λόγον ἀρχῆς ἐχόντων, μέγισται. τοιαῦτα δ' ἐστὶν ἐγκέφαλος καὶ καρδία. ὥσθ' ἡ τούτων τῆς κατασκευῆς βλάβη, παραχρῆμα βλάπτει τὴν ζωήν. ἀλλ' οὐδὲν ὑπαλλάττειν αὐτὴν οἷόν τέ ἐστιν ἑτοιμότερον, ἀμέτρου θερμασίας, ὥστε ἄμφω δέδεικται διὰ τοῦ λόγου, τό τε χρήσιμον τῆς συμμέτρου θερμασίας, καὶ τὸ ἐν τῇ ἀναπνοῇ, εἰς αὐτήν. ἀναγκαῖον οὖν ἤδη, μὴ πιθανὸν μόνον, ἀλλὰ καὶ
D τὸ ἀληθὲς εὑρηκέναι, ἑτοίμως μὲν ἀποφαίνεσθαι· καὶ χρείαν εἶναι τῆς ἀναπνοῆς λέγομεν, ἐμφύτου θερμασίας ἀναπνοιήν. ἔνεστι δ' εἰ καὶ τὴν οὐσίαν τῆς ψυχῆς ἀγνοοῦμεν, ἀλλ' ἐκ διαιρέσεως, οὐδὲν ἧττον λογίσασθαι λήμματα τῶν ἀποδείξεων, τοῖς ἐναργῶς γινωσκομένοις χρησαμένους, ὧν καὶ τοῦτό ἐστι. τὸ περιεχόμενον ἐν ταῖς κατὰ τὸν ἐγκέφαλον κοιλίαις πνεῦμα, δυοῖν θάτερον ἀναγκαῖον εἶναι, ἤτοι τὴν οὐσίαν τῆς ψυχῆς, ἢ τὸ πρῶτον αὐτῆς ὄργανον. ἀλλ' εἰ πρῶτον, ὁ ἐγκέφαλος ἐν ἑαυτῷ τὴν οὐσίαν τῆς ψυχῆς ἔχει, ἀναγκαῖόν ἐστι, καὶ ταύτην ἔμφυτον εἶναι θερ-
E μασίαν, ἢ τὸ πνεῦμα, ἢ τὸ σύμπαν αὐτῆς τῆς κατασκευῆς εἶδος. ἢ παρ' αὐτὴν, εἴ τις δύναμις ἀσώματος. ἀλλ' ἀναγκαῖον τοῦτο πρῶτον, εἰς τὰς κινήσεις ὄργανον ἕν τι τῶν εἰρημένων ἔχειν, αὐτὴν μὲν ἀπαθῆ παντελῶς ὑπάρχουσαν. ἐν δὲ τοῖς θανάτοις, τῶν πρώτων αὐτῶν ὀργάνων παθόντων, λυομένην. ὥς τε ἐξ ἀνάγκης ἤτοι τῆς κατασκευῆς τοῦ ἐγκεφάλου βλαπτομένης, ἢ ὁμοῦ τοῦ κατὰ αὐτὸν πνεύματος, ἢ τῆς θερμασίας μόνης, ὁ θάνατός ἐστι τοῖς ζώοις. ἀλλ' οὔτε τὴν κατασκευὴν, ἐν τάχει βλαβῆναι δυνατὸν ἑτέρως, ἀλλ' ἢ διὰ τὴν τῆς θερμασίας
F ἀμετρίαν, ὡς ἐδείξαμεν, οὔτ' αὐτὴν πολὺ μᾶλλον τὴν θερμασίαν, ἀλλ' οὐ διὰ τὸ λοιπὸν ἔτι, καὶ τρίτον, ἔχειν τὸ πνεῦμα δύναται πρόφασιν ἑτέρας φθορᾶς ἐξαιφνιδίου, παρὰ τὰς ἔμπροσθεν εἰρημένας, τήν τε τῆς οὐσίας, ὅλης αὐτῶν κένωσιν, καὶ τὴν τῆς θερμασίας ἀμετρίαν.

ἀλλ' ἐν ταῖς τῆς ἀναπνοῆς ἐπισχέσεσιν, οὐκ ἔχομεν αἰτίας εἰρῆσθαι τὴν κένωσιν ὅλης τῆς οὐσίας, ὡς ἐπὶ τῶν εἰς τὰς κοιλίας τρώσεων. ἀπολείπεται, ὅτι διὰ θερμασίας ἀμετρίας ἀποθνήσκομεν. αὕτη μὲν οὖν ἡ μεγίστη χρεία τῆς ἀναπνοῆς. δευτέρα δὲ, θρέψις τοῦ ψυχικοῦ πνεύματος. γίνεται δὲ, ἡ μὲν προτέρα, δι' ἀμφοτέρων τῆς ἀναπνοῆς τῶν μερῶν, εἰσπνοῆς τε καὶ ἐκπνοῆς. τῆς μὲν οὖν, ἀναψυχούσης τε, καὶ ῥιπιζούσης· τῆς δὲ, τὸ αἰθαλῶδες ἀποχεούσης· ἡ δευτέρα δὲ, διὰ τῆς εἰσπνοῆς μόνης. ὅτι μὲν οὖν εἰς τὴν καρδίαν ἕλκεταί τις ἀέρος μοῖρα, κατὰ τὰς διαστολὰς αὐτῆς, ἀναπληροῦσα τὴν γινομένην κένωσιν, τὸ μέγεθος αὐτό γε τῆς διαστάσεως, ἱκανὸν ἐνδείξασθαι. ὅτι δὲ, καὶ εἰς τὸν ἐγκέφαλον εἰσπνεῖται, δι' ἑτέρας ἐπιδέδεικται πραγματείας, ἐν ᾗ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων διαλεγόμεθα. διὰ τί δὲ τῆς καρδίας, εἰς ἑαυτὴν τι παρὰ τοῦ πνεύμονος ἑλκούσης ἀέρος ἐπιπεμπούσης τε ταῖς πλησίον ἀρτηρίαις, ὅμως γε ὁ ἐκπνεόμενος, οὐδὲν ἐλάττων φαίνεται τοῦ κατὰ τὴν εἰσπνοὴν ἑλχθέντος, εἰρήσεται μὲν καὶ δι' ἑτέρων ἐπὶ πλέον. ἀπαρκέσει δὲ καὶ νῦν, εἰπεῖν τό γε μόνον, ὡς ἀτμός τις ἐκπνεῖταί τε τοὐπίπαν, ἴσος τῷ πλήθει τῆς μεταληφθείσης μοίρας τοῦ πνεύματος, εἴς τε τὴν καρδίαν, καὶ τὰς ἀρτηρίας. αἳ τινες δ' εἰσὶ, καὶ διαθέσεις τοῦ σώματος, ἐν αἷς, ἤτοι βραχεῖ πλείων ὁ ἀτμὸς, τοῦ μεταληφθέντος ἀέρος, ἢ ἐλάττων, ἢ ἴσος ἐν τοῖς περὶ δυσπνοίας εἰρήσεται. ἀρκεῖν μέν μοι δοκεῖ ταῦτα, περὶ χρείας ἀναπνοῆς. ὅσα δὲ ὑπέρ αὐτῆς τισιν εἰρήσεται μοχθηρῶς, ῥᾷστα φωραθῆναι δύναιτ' ἂν, μὴ παρέργως ἕκαστον τῶν ἐνταυθοῖ γεγραμμένων ἐκλεξαμένοις.

A At verò in respirationis cohibitionibus causam assignare non possumus, ipsam vacuationem totius substantiæ, quemadmodum in vulneribus ventriculis cerebri inflictis habemus. Relinquitur igitur, quòd ob immoderatum calorem vita excedimus. Atque hæc quidem maxima est respirationis vtilitas. Secunda verò est animalis spiritus nutritio. Prior equidem per vtrasque respirationis partes contingit, inspirationem videlicet, & expirationem, altera nimirum refrigerante, & ventilante, altera fuliginosum diffundente; secunda verò per inspirationem solùm accidit. Quòd igitur aliqua aëris pars circa distentionem cordis in ipsum cor attrahitur, vt B expleat factam euacuationem, id ipsum magnitudo distentionis ipsius sufficienter indicat. Quòd verò etiam ad cerebrum inspiratur, in alio opere est demonstratum, in quo de Hippocratis, & Platonis dogmatibus disputamus. Porrò, quum cor à pulmone aërem ad se partim attrahat, partímque vicinis arteriis transmittat, quam ob causam tamen aër, qui expiratur, nihilo paucior appareat, quàm is qui per inspirationem attractus est, dicetur quidem alio loco diffusiùs. Nunc autem hoc solum dicere sufficiet, quòd vapor quidam omninò expiratur, par copia C portioni spiritus, in cor & arterias transumptæ. Qui verò sint corporis affectus, in quibus paulo amplior, quàm transumptus est, aut paucior, aut par expiratur, in libris de difficultate spirationis dicetur. Atque hæc sanè mihi de respirationis vtilitate sufficere videntur. Quæ verò de ipsa ab aliquibus vitiosè dicta sunt, facilè deprehendere poterint, qui singula, quæ hîc tradita sunt, non obiter, nec tanquam aliud agentes perlegerint.

ΓΑΛΗΝΟΥ

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΑΝΑΠΝΟΗΣ ΑΙΤΙΩΝ.

GALENI DE CAVSIS RESPIRATIONIS LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Εἶναι τρία τῆς ἀναπνοῆς αἴτια, τὴν προαιρετικὴν δύναμιν, ὄργανα ὑπηρετούμενα, καὶ τὴν χρείαν.

ARGVMENTVM LIBRI.

Tres esse Respirationis causas, Facultatem voluntariam, Instrumenta deseruientia, & vsum.

RESPIRATIONIS causas præsens hic sermo demonstrare constituit; neque enim respirationis hypothesim confirmare, neque eam impeditam aut omnino præclusam emendare potest, qui causas eius ignorat. Qui enim causam efficientem re vera deprehenderit, is demum solus, tum læsionis differentiam, tum curandi modum cognoscet. Cæterùm, vt rem rudi modo adumbremus, quum tres sint in genere respirationis causæ, facultas voluntaria, instrumenta voluntati subseruientia, & ad hæc vsus ipse, ob quem etiam prioribus causis opus habemus. Vsus sanè principem inter respirationis causas locum obtinet, vtpotè qui innati caloris commoderationem conseruat, & animalis spiritus substantiam nutrit. Voluntas verò disponit, & velut ad rhythmum coaptat spirabiles actiones. Verùm instrumentorum species multifida, ac multiformis existit. Quædam enim ad vectionem spiritus destinata sunt. Quædam aërem suscipiunt; quædam verò ex eis, ea quæ mouentur, mouent. Principium itaque est aër, qui per os, & nares trahitur, materia existens vtilitatis respirandi, bifariam partitus; & altera quidem minore sui parte per nares ad cerebrum defertur, altera verò maiore per asperam arteriam in pulmonem deuehitur. Atqui ipsa arteria organum vocis, via est respirationis. Pulmo verò, velut ventriculus profundus, spiritui destinatus est. Eius autem dilatationem, & contractionem thorax gubernat, qui musculis mouetur, & ossibus dearticulatur. Quin & ipsum septum transuersum respirationis organum est. Rotundius autem est, & in centro suo neruosum, circumcirca verò carnosum; sicut etiam circa costas musculi, qui quidem in mediis ipsorũ regionibus existunt,

A TA τῆς ἀναπνοῆς αἴτια, ὁ προκείμενος ἀποδεῖξαι λόγος ἐπαγγέλλεται. οὔτε γὰρ βεβαιώσασθαι τὴν ὑπόθεσιν τῆς ἀναπνοῆς, οὔτε παραποδιζομένην, ἢ καὶ τέλεον εἰργομένην, ἐπανορθώσασθαι δυνατὸν, τὰς αἰτίας αὐτῆς ἀγνοοῦντα. ὁ γάρ τοι ποιοῦν φωράσας πρὸς ἀλήθειαν, οὗτος εἰδήσει μόνος, καὶ τῆς βλάβης τὴν διαφορὰν, καὶ τῆς ἰάσεως τὸν τρόπον. ὄντων δὲ τριῶν κατὰ γένος, ὡς τύπῳ φάναι, τῶν αἰτίων τῆς ἀναπνοῆς, δυνάμεως προαιρετικῆς, ὀργάνων τῶν ὑπηρετουμένων τῇ προαιρέσει, κἀπὶ τούτοις, τῆς χρείας, δι' ἣν καὶ τῶν προκειμένων αἰτίων δεόμεθα. ἡ μὲν χρεία, ὃ κυριώτατόν ἐστι τῶν τῆς ἀναπνοῆς αἰτίων, τηροῦσα μὲν τὴν συμμετρίαν τῆς ἐμφύτου θερμασίας, τρέφουσα δὲ τὴν οὐσίαν τοῦ ψυ-

B χικοῦ πνεύματος. ἡ προαίρεσις δὲ διατάττει, καὶ οἷον ῥυθμίζει τὰς ἀναπνευστικὰς ἐνεργείας. τό γε μὴν τῶν ὀργάνων εἶδος, πολυσχιδές, καὶ πολύτροπόν τι καθέστηκε. τὰ μὲν γὰρ, τῇ παρακομιδῇ τοῦ πνεύματος ἀνάκειται. τὰ δ' ὑποδέχεται τὸν ἀέρα. τὰ δὲ τούτων ἐστὶ κινητικὰ τῶν κινούντων. ἀρχὴ μὲν οὖν διά τε τοῦ στόματος, καὶ τῶν ῥινῶν ἑλκόμενος ἀὴρ, ὕλη τυγχάνων τῆς κατὰ τὴν ἀναπνοὴν χρείας, διχῇ μεριζόμενος, θατέρῳ μὲν, τῷ μείονι, διὰ τῶν ῥινῶν εἰς τὸν ἐγκέφαλον φερόμενος, θατέρῳ δὲ, τῷ πλείονι, διὰ τῆς τραχείας ἀρτηρίας εἰς τὸν πνεύμο-

C να κομιζόμενος. αὐτή γε μὴν ἡ ἀρτηρία ὄργανον οὖσα φωνῆς, ὁδός ἐστιν ἀναπνοῆς. ὁ δὲ πνεύμων, οἷα βαθὺς γαστὴρ ὑπόκειται τῷ πνεύματι. τούτου δὲ, τάς διαστολάς τε, καὶ συστολὰς, θώραξ οἰακίζει, μυσὶ κινούμενος, ὀστοῖς τε διαρθρούμενος. καὶ μὴν, καὶ τὸ διάφραγμα, καὶ γὰρ δὴ, καὶ αὐτὸ τοῦτο ἐστὶν ὄργανον ἀναπνοῆς· κυκλοτερὲς δέ ἐστι, καὶ νευρῶδες μὲν περὶ τὸ κέντρον ἑαυτοῦ, σαρκῶδες δὲ τὰ πέριξ. οὕτω δὲ καὶ οἱ κατὰ τὰς πλευρὰς μύες, οἱ μὲν ἐν ταῖς μέσαις χώραις αὐτῶν,

δύο καὶ εἴκοσι τυγχάνουσιν, καὶ δύο μὲν οἱ τῶν πρώτων πλευρῶν. ἰσάριθμοι δὲ τούτων οἱ τῶν ἐσχάτων δύο. καὶ πρὸς τούτοις, οἱ καθήκοντες ἐκ τοῦ τραχήλου τρεῖς. εἶθ' οἱ παρατεταμένοι τοῖς ῥαχίταις, ἑπτά. σὺν αὐτοῖς δὲ, οἱ κατ' ἐπιγάστριον, ὀκτώ. τοσοῦτοι μὲν οἱ ὑπηρετοῦντες μύες τῇ ἀναπνοῇ. ἐνέργειαι δὲ καθ' ἕκαστον τούτων, τῶν μὲν τῶν φρενῶν, ἀβίαστον ἐργάζεσθαι τὴν ἀναπνοήν. τῶν δὲ κατὰ τὰς πλευρὰς, διαστέλλειν τε, καὶ συστέλλειν ἀκριβῶς τὸν θώρακα, διπλῶν δὲ ὄντων αὐτῶν, οἱ μὲν ἐκτὸς, τὴν ἐκπνοήν. οἱ δ' ἐντὸς, τὴν εἰσπνοὴν ἀποτελοῦσιν. καὶ τῶν μὲν πρώτων δυοῖν, ἐνέργεια μέν ἐστι, διαστέλλειν μόνον τὸ ἄνω τοῦ θώρακος μέρος. τῶν δ' ἐσχάτων συστέλλειν μόνον τὸ κάτω μέρος. οἱ δ' ἐκ τῶν τραχήλων καθήκοντες, ἀνασπῶσί τε ἅμα, καὶ διαστέλλουσι τὰ τοῦ θώρακος ὑψηλὰ μόρια. τῶν δὲ ὀρθίων, τῶν κατὰ τὸν τράχηλον, οἱ μὲν πρὸς τὰς κλεῖς ἀνατεινόμενοι, προστέλλουσι τὰ ταύτῃ πέρατα τῶν χόνδρων, ὥσπερ καὶ οἱ παρατεταμένοι ταῖς ῥαχίτισι ῥίζαις τῶν πλευρῶν. οἱ δὲ κατ' ἐπιγάστριον, ἕδρα τῶν φρενῶν ὄντες, τῇ τοῦ θώρακος βοηθοῦσι συστολῇ. διττῶν τοίνυν οὐσῶν κατὰ γένος τῶν ἀναπνοῶν, ἀβιάστου τε, καὶ βιαίας, εἶθ' ἑκατέρας αὐτῶν ἐχούσης οἰκεῖα μόρια β'. τήν τε εἰσπνοὴν, τέτταρα τὰ σύμπαντα μόρια γίγνεται τῆς ἀναπνοῆς. καθ' ἕκαστον δὲ τῶν τεττάρων, ἰδία τις φύσις ὀργάνων ἐστὶ, ἀβιάστου μὲν εἰσπνοῆς, τὸ διάφραγμα, βιαίας δὲ, ἥτε κατὰ τὰ σιμὰ τῶν ὠμοπλατῶν, ἥτ' ἐντὸς τῶν μεσοπλευρίων μοῖρα. ὡσαύτως δὲ, καὶ τῆς ἐκπνοῆς, ἀβιάστου μὲν, οἱ κατ' ἐπιγάστριον μύες. βιαίας δὲ, τῶν μεσοπλευρίων ἡ ἐκτὸς μοῖρα. τὰ μὲν δὴ κατὰ τοὺς μῦς ὧδ' ἔχει. τῶν δὲ νεύρων, τὰ μὲν εἰς τὸ διάφραγμα καθήκοντα, ἐκ τῆς μεταξὺ τετάρτης τε, καὶ πέμπτης, τῶν ἐν τῷ τραχήλῳ σπονδύλων, διαρθρώσεως ὁρμηθέντα, δύο ὄντα, εἰς αὐτὸ τὸ νευρῶδες αὐτοῦ μέρος καταφύεται. τὰ δ' εἰς τοὺς μεσοπλευρίους μῦς, ἐκ τῆς ῥάχεως διασπειρόμενα, εἰς τὸ στέρνον φέρονται. οὐ μὴν ὀρθὰ κατὰ τοῦ ζώου μῆκος ἐκτεινόμενα, οὔτ' ἐγκάρσια, ὁμοίως τοῖς μυσὶν, ἀλλὰ λοξὰ φερόμενα, κεφαλὴν μὲν ἔχοντα τὸν ταύτῃ σπόνδυλον, τελευτὴν δὲ, τὸ στέρνον. καὶ μὴν καὶ τὰ εἰς τοὺς ἄλλους μῦς, τοὺς τῆς ἀναπνοῆς δημιουργοὺς, φερόμενα, σχεδὸν ἅπαντα ἐκ τοῦ ῥαχίτου μυελοῦ βεβλάστηκε. τοιούτων οὖν, καὶ τοσούτων ὑπαρχόντων, τῶν τῆς ἀναπνοῆς αἰτίων, εὔδηλον τῷ γε μὴ παντάπασιν ἀνοήτῳ, τίνι διενήνοχεν ἕκαστον αὐτῶν. ἡ μὲν γὰρ προαίρεσις, ἔοικε τῷ κινοῦντι τὰς ἡνίας καὶ τοὺς ἵππους ἀναβάτῃ. ταῖς δ' ἡνίαις, τὰ νεῦρα ἐοίκασι, καθάπερ καὶ ἵπποις, οἱ μύες. οὕτω δὲ καὶ ἡ χρεία, τὸ ἔσχατον ὀρεκτὸν καθέστηκε τῆς ἀναπνοῆς, ὥσπερ ἡ νίκη, τῆς ἡνιοχικῆς.

duo & viginti numerantur, duo quidem primarum costarum, totidem etiam extremarum, & præter hos tres ex collo vtrinque prouenientes, deinde hi septem qui iuxta spinam porrecti, & cum ipsis, qui circa abdomen consistunt, octo. Atque tot sanè sunt musculi respirationi subseruientes. Actiones autem sigillatim, septi quidem transuersi, vt respirationem liberam faciat; eorum verò, qui circa costas sunt, vt thoracem exactè dilatent, & contrahant. Qui quum duplices sint, externi expirationem, interni inspirationem perficiunt. Et primornm quidem duorum actio est, vt supernam tantum thoracis partem dilatent; extremorum verò, vt infernam eius partem contrahant. Qui verò ex collo deueniunt, retrahunt simul & dilatant altas thoracis partes. Ex rectis verò circa collum musculis, hi qui ad clauiculas extenduntur, fines cartilaginum, quæ istic sunt, contrahunt. Quemadmodum etiam hi, qui ad costarum in spina radices porriguntur. Qui demum circa abdomen sunt musculi, septi transuersi sedes existentes, thoracis contractionem iuuant. Quum itaque duo genera respirationum sint, libera & violenta; habeátque vtraque ipsarum proprias partes duas, inspirationem videlicet, & expirationem; fit, vt in totum quatuor sint respirationis partes. Cæterum in singulis his quatuor partibus propria quædam instrumentorum natura est; liberæ quidem inspirationis septum transuersum; Violentæ verò tum musculus in simis scapularum situs, tum interna intercostalium pars. Similiter autem, & expirationis, liberæ quidem musculi circa abdomen; Violentæ verò externa intercostalium pars. Atque hoc quidem modo musculorum res se habet. Porrò nerui duo, qui ad septum pertingunt, ex dearticulatione inter quartam, & quintam colli vertebram progressi, in ipsam neruosam septi partem se inserunt; qui verò in musculos intercostales ex spina disperguntur, ad sternum deferuntur, non vtique recti secundum longitudinem animantis extenti, neque velut musculi, obliqui, sed transuersim feruntur, caput habentes vertebram, finem verò sternum. Quin, & qui in alios musculos respirationis opifices feruntur nerui, ferè omnes ex spinali medulla nascuntur. Quare, quum tales & tot existant respirationis causæ, manifestum, vel penitus rudi existimo, qua in re singulæ inter se distent. Voluntas equidem similis est equiti, qui habenarum motu equos impellit. Habenis autem similes sunt nerui, quemadmodum equis musculi. Sic verò & vsus extremum respirationis votum est, quemadmodum victoria artis aurigandi.

GALENO ASCRIPTVS LIBER DE VOCE, ET ANHELITV.

TRACTATVS I.

De læsione, & causis efficientibus vocis, & anhelitus.

DIxit Galenus, Si neruis, qui sunt inter costas acciderit scissio prope spondylos, destruetur vox, & anhelitus. Hoc autem idem accidet, si ossa costarum scindantur, aut spinalis medulla secundum latitudinem inter finem colli, & initium spondylorum, qui respiciunt ex opposito pectoris. Si autem spinalis medulla infra huius loci initium scindatur, nec anhelitus omnino, neque vox omninò priuabitur; sed tantum de vtroque priuabitur secundum numerum spondylorum, qui opponuntur pectori. Similiter accidit ex incisione costarum secundum magis, & minus. Musculus est organum motus voluntarij. Et ad vnumquemque musculum peruenit neruus à cerebro, aut spinali medulla, qui si scindatur, non mouebitur musculus. Interior autem musculus, qui est inter costas, facit anhelitum, & tunc fit, quando aër expellitur vehementer à pectore; & ex eodem anhelitu fit vox, & est ei quasi materia. Et voco collum illum locum, qui est inter superius epiglottidis, & superius œsophagi, vsque ad radicem linguæ. In collo autem sunt musculi bronchiorum. Et raucedo accidit quando musculi colli extenduntur, & inchordantur, vt extenduntur in assumptione cibi & potus. Et quando epiglottis inchordatur ita, vt constringatur, fit vox; & quando constringitur, inchordantur musculi, ex quibus pendet. Et anhelitus quidem fit apud extensionem musculorum pectoris, & solutionem musculorum colli, & epiglottidis, & trachææ arteriæ. Raucedo autem accidit extensione musculorum colli, aliis omnibus remanentibus in suo statu. Vox etiam fit, si musculi epiglottidis extendantur, licet non musculi colli. Epiglottis ex tribus componitur cartilaginibus inæqualibus, & dissimilibus; quarum vna est anteriùs, scilicet maior; duæ verò posteriùs, quarum altera supponitur alteri; quarum superior est minor. Habent quoque duas iuncturas; quarum duæ sunt inter primam, & secundam cartilaginem; & duo capita primæ cartilaginis intrant in secundam; & sunt duæ iuncturæ inter secundam, & tertiam, quas continenr sex musculi. In vtraque scilicet iunctura sunt duo musculi, qui attrahunt tertiam cartilaginem ad posterius, & aperiunt os epiglottidis. E contrario agunt alij duo musculi, & sunt exteriùs; & quando ambo extenduntur, claudunt os epiglottidis clausu-A ra perfecta, ita vt nihil ex aëre egrediatur. Necesse est autem ad hoc vt fiat vox, vt duo modi musculorum, qui mouent epiglottidem, sint fortes ita, vt neutrum par cedat alteri in actione. Et intellige per hos musculos, illos quibus aperitur, & clauditur; & sunt erecti, & positi in rectitudine; & continuantur ex inferiori, & non superius; & mouent iuncturam per superiorem extremitatem; & habent duos neruos proprios, vnum in dextra parte epiglottidis, & alterum in sinistra, qui mouent tertiam cartilaginem; quorum concursus est ex inferiori parte ad superius; qui si scindatur, laxabuntur illi, sex scilicet musculi, qui mouent epiglottidem; & destruetur motus eorum. Dum vox est in epiglottide, agunt in B ipsam duo modi musculorum, illi scilicet qui aperiunt, & illi qui claudunt; sed si illi, qui claudunt, soli agunt, tunc accidet retentio anhelitus; & si illi, qui aperiunt, soli agunt, neuter tunc accidet anhelitus. Destruitur autem vox, quando musculi, qui claudunt epiglottidem, destruuntur: siue illi, qui aperiunt, saluantur; non enim addunt neque diminuunt in destructione vocis. Quando Creator voluit in nobis ponere instrumentum vocis, primo posuit aliquid, quo aër sit in nobis velociter, & est pectus; deinde posuit occursum aëris in ipso ex via ampla ad canalem strictum, vt aër per stricturam canalium velociùs currat; velocitas enim facit ipsum fortiorem; qui quando percusserit cartilagines, tunc fiet vox; C percutit etiam præter hoc trachæam arteriam, & vuulam, & superius palatum, & locum cursus aëris per nares. Sed ex hoc non fit simpliciter eadem vox, sed quasi vox, vt stertitio & azegiz. Vox autem non fiet, nisi quando aër percutit primam epiglottidē, & est posita supra caput trachęæ arterię ad modū instrumenti, quo musici vtuntur tibicines. Si epiglottis amplietur plùs, quàm oportet, minuetur velocitas motus aëris; & sic diminuetur fortitudo venti tunc secundum diminutionem velocitatis, & debilitatem percussionis; tunc enim minus resistent cartilagines aëri; non enim ampliantur, nisi quando non extenduntur, & remanent laxatæ. Quando autem epi-D glottis constringitur plus, quàm oportet, tunc aër, qui exit ex epiglottide, erit paruus, & tunc erit minor percussio, quapropter vox erit parua; vox enim non potest crescere, nisi crescant illa duo, quibus fit, aër scilicet, & percussio incremento proportionali; quodlibet enim crescit propter incrementum illius, à quo constat in substantia. Egressio aëris violenta non fit nisi per extensionem musculorum ipsorum; hoc autem differt secundum magis, & minus secundum fortitudinem extensionis, & se-

cundum multitudinem, & paucitatem musculorum. In egressione autem aëris violenta nimis, necesse est vt omnes musculi pectoris extendantur nimis, & maximè musculi costarum. Anhelitus autem & vox nunquam fiunt absque his musculis: In quibus si aliquod impedimentum, aut nocumentum acciderit, secundum numerum nocumentorum erit destructio vocis. Si enim motus medij numeri illorum destruitur, medietas vocis destruitur; & si tertia pars motus destruetur, tunc destruetur & tertia pars vocis; & vniuersaliter illa pars, quæ destruetur de voce, erit secundum partem destructam de numero illorum musculorum. Adiuuant autem hos musculos duo musculi, qui sunt apud radicem costarum; & illi, qui sunt ex duobus lateribus spondylorum; & ex duobus musculis procedentibus in longitudinem, musculi, qui sunt sub diaphragmate positi. Sermo est ex voce; vox est ei quasi materia. Quum enim anhelitus occurrerit epiglottidi, ipsa epiglottide existente æquali in amplitudine, fiet vox; nam quando percusserit illam, fiet illud, quod fit in fistula apud efflationem.

TRACTATVS II.

De vocis instrumentis proprijs & communibus, ac de efformatione vocis acutæ, grauis, magnæ, paruæ.

EX duobus neruis sexti paris propagantur ex parte pectoris duo parui rami, qui currunt ascendentes ad collum ex duobus lateribus trachææ arteriæ, quousque perueniant ad epiglottidem; quorum vterque continuatur cum quatuor musculis epiglottidis. Et sex ex octo musculis omninò necessarij sunt ad hoc, quòd vox fiat; duo autem alij non in omnibus animalibus reperiuntur; quorum actio est, dum epiglottis clauditur completa clausura. Ex istis autem sex, duo sunt in ipso canali epiglottidis; aliorum verò quatuor, duo sunt à lateribus, & duo posteriùs. Duo autem musculi, qui intrant in ipsum canalem epiglottidis, attrahunt iuncturam, quæ inter secundam & tertiam cartilaginem; & aperiunt illam duo musculi, qui sunt in lateribus, attrahendo illam iuncturam ad latera; & aperiunt eam duo alij musculi, qui sunt posteriùs, attrahendo eandem iuncturam retro. Ex sex nerui præter duos prædictos neruos continuantur cum musculis epiglottidis; quorum duo nerui descendunt supernè; & in ramos abeunt ex septimo pari neruorum cerebri, quando illud par appropinquat collo, & subiungitur per omnes musculos, qui sunt extra cartilaginem scutalem. Et duo nerui ex illis sex descendunt ex transuerso, & intrant interius epiglottidi, & illic diuiduntur. Et sunt duo nerui descendentes, qui occurrunt duobus neruis ascendentibus de pectore. Cooperculum epiglottidis est locus strictus, & est in medio primæ cartilaginis; in quo loco propriè fit vox. Et aër, qui venit ex pulmone; currit per trachæam arteriam; & primo occurrit de amplissimo loco, & percutit ipsum; deinde ocurrit orificio cooperculi epiglottidis, quod est strictissimum ex illo coopertorio; & acquirit velocitatem motus, & fortitudinem; & illic fortiter per-

A cutitur coopertorium epiglottidis, & fit vox. Extensio duorum musculorum, qui sunt intra epiglottidem, prohibet ne coopertorium claudatur apud vocem; nam quando aer vehementer eleuatur, & continet in circuitu partes coopertorij epiglottidis, constringit illud coopertorium, & claudit orificium eius, & sic prohibet ne fiat vox. Quum enim hi duo musculi ponantur circundantes coopertorium epiglottidis, tunc quando extenduntur, resistunt aëri, qui venit fortiter. Coopertorium epiglottidis, quando homo vociferat, & quando anhelat anhelitu, aperitur, & ampliatur multùm. Quando B autem anhelitus retinetur, aut quando aliquid comeditur, perfectè clauditur tunc, adeo quòd nihil ex illo transibit neque ab interiori parte ad exterius, nec ab exteriori ad interius. Causa autem huiusmodi clausuræ est in ipsa substantia coopertorij epiglottidis; est enim neruosa, mollis & leuis, vt sit constans, & apta motui. Voci & orationi posita sunt tria membra, lingua scilicet, & epiglottis, & trachæa arteria. Et vnicuique eorum est positum quoddam instrumentum glandularum ad hoc, vt temperet ipsum conuenienti humiditate. Lingua autem habet duas glandulas, in quibus sunt duæ venæ, in quibus currit saliua ad linguam, & C ad totum os. Collum autem habet duas glandulas, in quibus generatur humiditas. In epiglottide verò generatur humor phlegmaticus viscosus ad hoc, vt humectet illa instrumenta. Sed ex duabus glandulis, quæ sunt in collo; & ex corpore, quod est in epiglottide, non proueniunt venæ, in quibus currit humor, sicut proueniunt ex duabus glandulis linguæ. Sed illæ, quæ sunt in collo, sunt in natura spongiæ, ex quibus pertransit humor ille, qui currit supernè deorsum, sine hoc, quòd indigeat eis, aut sint ei necessariæ venæ, in quibus currat. Et posuit in epiglottide duos dentes, & duo D foramina transeuntia ad illos dentes, ad concludendum orificium coopertori, epiglottidis. Et sunt ibi duo musculi continui, continentes radicem tertiæ cartilaginis. Et necesse est ad hoc, quod vox fiat, quòd aër exeat vehementer; & quod cursus eius in epiglottide sit strictus. Quando verò canna erit stricta, vox erit acuta; & si ampla, erit grauis; si curta, erit addens in acumine; & si longa crescit in grauitate. Humiditas autem epiglottidis facit voci grauitatem; siccitas verò acuitatem, initium generationis vocis, est ex orificio linguæ epiglottidis; quod orificium quanto magis extenditur, tanto magis aëris percussio crescit. Existen- E te ergo amplitudine orificij in suo statu, si longitudo crescit, altitudo vocis cadit; sed magnitudo eius crescit secundum extensionem orificij linguæ epiglottidis. Amplitudo autem linguæ, dum percussio fit illa potentia, quæ erat antequam cresceret amplitudo epiglottidi, minuit acuitatem vocis, & crescit in crassitie, & magnitudine. Si verò lingua creuerit nimis, & intrauerit de potentia percussionis, tunc crescet crassities vocis, quantum crescet in grauitate, sed non crescet in magnitudine; vox autem crassa fit ex multo aëre sine potentia. Cætera autem instrumenta facta ad F vocem seruiunt huic instrumento, sicut illa quæ sunt anterius vsque ad orificium linguæ, quæ facta sunt ad magnificandam vocem, non ad acuendam.

TRACTATVS III.

De epiglottide, musculis, aspera arteria & alijs vocis & anhelitus organis, ac de voce rauca, clara, graui, acuta, deperdita.

DVo sunt musculi eorum qui sunt epiglottidis, qui procedunt rectè in longitudine; & continuant cartilaginem scutalem cum osse, quod est inter linguam, & epiglottidem; & attrahunt maximam cartilaginem epiglottidis sursum, & ante; & incipiunt à loco alto, deinde descendunt ad epiglottidem; ex quo habemus, quòd illi attrahunt scutalem cartilaginem ad suum caput. Et similiter vnusquisque aliorum musculorum attrahit membrum id, quo continuatur, ad partem sui capitis. Et si hi duo musculi indicantur, accidet voci maximum nocumentum; eradicabitur enim scutalis cartilago, & amplificabitur locus ille totus; & laxabitur multum ita vt non possit resistere aëri, non enim remanet in ipso nisi tela, quæ continet œsophagum, & cannam tantum. Si autem neruus, qui continuatur cum illis, scindatur, minus nocebit voci; diminuetur enim magnitudo eius, & fiet raucedo. Et sunt quidam musculi, qui continuant inter hanc cartilaginem, & secundam, quorum motus si destruatur, modicum accidet nocumentum voci, scilicet duo musculi parui; qui si scindantur parua erit remotio, quæ fiet inter primam & secundam cartilaginem. Et dixi de quatuor musculis, qui sunt super cartilagines epiglottidis, quoniam continent cannam & epiglottidem intus; nam caput vniuscuiusque eorum est superius. Non ergo possunt declinari ad posterius, quia spondyli colli hoc probent; nec ad anterius, propter hos musculos, neque ad latera, propter musculos ex transuerso positos; & sic remanent in canna, & epiglottide extensi, hoc autem multùm iuuat in hoc quòd fiat vox; aër enim ex quo fit vox, indiget cursu recto, & stricto. Si trachæa arteria ex vna esset cartilagine continua, non posset fieri fluctuatio in aliqua parte eius in percussione aëris; sed facta est ex pluribus cartilaginibus; quas continuet quædam tela gracilis, & sic mouetur, & fluctuat, quando aër occurrit; ideo necessarij fuerunt musculi ad hoc, vt adiuuent, & coniungant ipsam. Et quia trachæa arteria facta est, & ad anhelitum, & ad vocem, ideo posita est anhelitui tela, quæ ligat ipsum inter cartilagines. Voci autem facti sunt cum cartilaginibus isti musculi, vt constringant, & adiuuent trachæam arteriam. Sunt enim duo musculi in canali vocis, quibus propriè fit vox; sunt & alij duo extra, qui continuant tertiam cartilaginem cum œsophago: & duo musculi qui mouent cannam. Apud destructionem motus eorum fit raucedo, & fit vox rauca propter hoc, quòd aliquod corpus non sonorum percutit anhelitum. Et ipsa canna est non sonora in radice, quia est carnosa humida; epiglottis autem est sonora acutæ vocis, cum sit cartilaginosa sicca, resistens aëri; ideo quando humefit, accidit raucedo. Et tela quæ est super cannam humefit propter multa humida, quæ per ipsam transeunt; vnde ante aut potum, aut cibum vox est clara, post autem, minus clara; quòd si potus fuerit plus, quam oportet, vox erit rauca. Et ideo magis accidit raucedo senibus, propter multas superfluitates, quæ generantur in eis. Et in om- A nibus corporibus illa, quæ sunt sicca, sunt clarioris vocis, quàm illa quæ sunt humida. Si omnia instrumenta vocis aperiantur, tunc exit multus aër subitò, & est anhelitus; si verò constringantur tunc cum anhelitu exit aliquod audibile, quòd diuersatur secundum diuersitatem instrumenti quod constringitur, adeò quòd fiet percussio. Si vero epiglottis fuerit illud quod constringitur, tunc ille anhelitus erit vox acuta. Si autem fuerit canna, erit quiddam inter anhelitum & vocem, & est raucedo; & hoc erit, si non moueris epiglottidem, & dimiseris eam otiosam. Si verò dimiseris cannam B non motam, & moueris epiglottidem, tunc fiet vox sine raucedine. Canna autem nullam habet actionem in voce, nisi in hoc solummodo. Origo autem duorum neruorum, qui sunt in collo à parte duorum neruorum ab alis, ex ipso cerebro est; & hoc est, quia actio eorum est de nobilioribus actionibus animalibus, & subtilior. Genera autem actionum sunt tria, scilicet cogitatio, voluntatis conseruatio, & imaginatio rerum. Et mittuntur à cerebro sensus, & motus voluntarius ad alia membra. Vox autem est nobilissima actio voluntaria; fit autem ex nobilissimo motu animæ, scilicet ex motu cogitationis, & deliberationis. Vnde hi duo nerui C descendunt ex ipso cerebro ad stomachum, vt quando cibus defuerit, sentiat homo; vnde orificium stomachi fuit maioris sensus quàm cætera membra; & ex illo ascendunt duo nerui ad musculos epiglottidis. Et non posuit Creator hos neruos ex medulla spinali, quæ est inferior, & propinquior his musculis, sed origo eorum neruorum fuit à cerebro, vt instrumenta vocis sint continua cum eo quod regit vocem, scilicet cogitatione, quæ est in cerebro. Reuersio autem horum duorum neruorum infernè fuit, vt continuentur cum musculis infernè, & motus sit supernè scilicet ex D capitibus suis. Et duo nerui qui oriuntur à cerebro diuiduntur in quatuor ramos vnusquisque; & currunt super radices costarum ex superiori ad inferius; & vnus eorum intrat cor & pulmonem, alius stomachum, tertius reuertitur ad radicem musculorum epiglottidis, cæteri autem intrant alia membra interiora, & canales. Et apostemata musculorum epiglottidis dicuntur angina interior, & exterior. Et si in superiori parte palati acciderit humiditas, tunc claritas vocis corrumpetur. Vox habet duos terminos in acuitate, & grauitate, quos si excesserit, destruetur. Nam si orifi- E cium coopertorij epiglottidis post stricturam, quam habet in acuitate vocis, amplius constringatur, abscindetur; si verò extendatur, & amplificetur post amplificationem, qua vox fit in vltimo grauitatis, tunc fiet anhelitus almacror; & secundum diminutionem anhelitus, si fuerit medius ab anhelitu, qui est in nimia velocitate, erit diminutio percussionis aëris in coopertorium epiglottidis à prima percussione. Si verò anhelitus almacror medius iungatur amplitudini mediæ in orificio coopertorij epiglottidis, tunc vox in veritate erit media inter acutam & grauem, quia motus pectoris indiget potentia. Ideoque qui multum debilitatur, ta- F cet frequentius, nisi ex aliqua solicitudine, & tunc cum magna angustia loquitur, & tunc musculi debiliter constringunt pectus, & transitus aëris erit tardus. Cogetur ergo vt coopertorium epiglottidis ponat valde strictum, quando voluerit loqui, vt quod deficit ex velocitate aëris, perficiatur ex

ſtrictura curſus eius in epiglottide. Nam ſi inſtrumenta vocis ampliſſima eſſent, tunc vox deſtrueretur.

TRACTATVS IV.

De cauſis iacturæ, & imminutionis vocis & anhelitus.

SI ſpinalis medulla abſcindatur initio pectoris, & fine colli, & in initio dorſi, vbi ſeptimus ſpondylus occurrit octauo, deſtruatur prorſus efflatio, & vox omninò; nerui enim veniunt ad omnes muſculos, qui ſunt intra coſtas, & intra hunc ſpondylum. Ad diaphragma veniunt tria paria neruorum, quorum maius oritur ex ſpinæ medulla poſt ſpondylum tertium ſpondylorum colli; minus oritur ex ſpinali medulla poſt ſpondylum nonum; tertium ex medio inter hæc quidem oritur ex ipſo cerebro. Si ergo ſpinalis medulla abſcindatur apud tertium ſpondylum, tunc diaphragma carebit duobus paribus neruorum, & remanebit ei motus tertij paris, quod venit ex cerebro. Anhelitus al- A macror fit per muſculos qui ſunt inter coſtas; & muſculi, qui ſunt ſupra ventrem, augent anhelitum, & tamen vox non ex actione iſtorum muſculorum augetur. Et ſi duo nerui, qui ſunt ad partem duarum venarum pulſatilium deſtruantur, vox erit; & accidet muſculis, qui ſunt inter coſtas, aliqua occaſio; propagantur ex his duobus neruis rami, qui continuantur cum canna & pulmone, & diaphragmate, & ſtomacho, & hepate, & ſplene, & omnibus inteſtinis. Ad muſculos autem, qui ſunt inter coſtas, non veniunt nerui niſi B ex ſola ſpinali medulla. Et inter muſculos & neruos, qui ſunt in epiglottide & canna, non eſt continuatio. Et omnes muſculi, qui ſunt inter coſtas, ſunt xxij. qui totidem habent neruos; quorum ſi vnus abſcindatur ab vno latere, deſtruetur medietas anhelitus, & medietas vocis. Quidam putauerunt quòd actio anhelitus ſit naturalis, quum fiat in ſomno, & vigilia æqualiter, & ſine voluntate. Alij dicunt ipſum eſſe voluntarium, quoniam quando volumus anhelamus, & quando volumus retinemus; & hoc eſt verum ſecundum nos, vt patet C ex noſtra anatomia. Alij dicunt quod eſt medius inter voluntatem, & naturam.

ΓΑΛΗΝΟΥ

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΧΡΕΙΑΣ ΣΦΥΓΜΩΝ ΒΙΒΛΙΟΝ.

GALENI DE PVLSVVM VSV LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ἡ χρεία τῶν σφυγμῶν ἐστὶν ἐν τῇ τῆς ἐμφύτου θερμασίας τῶν ἑκάστου μορίων φυλακῇ, τῇ διὰ τῆς ῥιπίσεώς τε, καὶ ἀναψύξεως, καὶ τῆς τοῦ βλαπτικοῦ ἐκκρίσεως ἀποτελουμένῃ.

ARGVMENTVM LIBRI.

Vsus pulsuum est in caloris innati singularum partium conseruatione, quæ ventilatione, refrigeratione, & noxij eductione perficitur.

CAPVT PRIMVM.

Pulsuum vsus in quibus dissimilis, ac similis respirationis vsui videatur.

QVIS vsus pulsuum? an qui & respirationis, vt propè omnibus tum Medicis, tum Philosophis visum est, an præter hunc alius? Non enim certè ipsis inexploratè credendum, quum aduersari videantur ex aliis quibusdam euidentibus non pauca, idque potissimum quod nunc sum proditurus. Enimverò respiratione priuati, quamprimum morimur. At pulsu orbatas multas partes citra magnam læsionem efficies. Si namque eas, vel quæ per inguina ad crura descendunt, vel quæ per axillas ad manus *repunt*, arterias laqueo intercipere volueris; pulsu quidem illico priuatas reddes quæ in artubus sunt vniuersas; non tamen his artubus voluntarium motum adimes, vt nec etiam sensum. Si verò temporis decursu torpidi, frigidi, pallidi, & tabidi euadant, fortassis id sympathia magis, quàm pulsuum damno accidit. At si neruos laqueis interceperis, immobiles prorsus, & insensibiles partes extemplò efficies. Oportebat itaque & arterias eodem modo ac neruos vitiatas, singulis quibus priùs opitularentur partibus, eas quoque celeriter oblædere. Sed sanè id omnium absurdissimum si ceruicis arterias laqueis interceperis, haud manifestè animal oblæseris, tametsi connectunt ipsæ cor cerebro, princeps vitalium actionum organum, principi animalium.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἐν τίσιν ἡ τῶν σφυγμῶν χρεία ἀνομοία μέν, ὁμοία δὲ καὶ τῇ τῆς ἀναπνοῆς χρεία δοκεῖ.

ΤΙΣ ἡ χρεία τῶν σφυγμῶν; ἆρά γε ἥπερ καὶ τῆς ἀναπνοῆς, ὡς, σχεδὸν ἅπασιν ἰατροῖς τε, καὶ φιλοσόφοις ἔδοξεν, ἢ τις ἑτέρα παρὰ ταύτην; οὐ γὰρ δὴ ἀβασανίστως πιστέον αὐτοῖς, ἐναντιοῦσθαι δοκούντων, ἄλλων τέ τινων οὐκ ὀλίγων φαινομένων, καὶ τοῦ νῦν εἰρῆσθαι μέλλοντος οὐχ ἥκιστα. στερηθέντες μὲν γὰρ τῆς ἀναπνοῆς, εὐθέως ἀποθνήσκομεν, ἄσφυκτα δ' ἀπεργάσῃ πολλὰ τῶν μορίων, ἄνευ μεγάλης βλάβης. εἰ γοῦν ἐθελήσῃς, ἢ τὰς διὰ τῶν βουβώνων ἐπὶ τὰ σκέλη καθηκούσας ἀρτηρίας, ἢ τὰς διὰ τῶν μασχαλῶν, εἰς τὰς χεῖρας βρόχῳ διαλαβεῖν, ἀσφύκτους μὲν εὐθέως ἐργάσῃ τὰς ἐν τοῖς κώλοις ἁπάσας, οὐ μὴν παραλύσεις ταῦτα τῆς καθ' ὁρμὴν κινήσεως, ὥσπερ οὐδὲ τῆς αἰσθήσεως. εἰ δ' ἐν τῷ χρόνῳ ναρκώδη τε, καὶ ψυχρά, καὶ ὠχρά, καὶ ἄτροφα γένοιτο, τάχ' ἂν τοῦτο, κατὰ συμπάθειαν μᾶλλον, ἢ τὴν τῶν σφυγμῶν ἀπώλειαν συμβαίνει. εἰ δὲ τὰ νεῦρα βρόχοις διαλάβοις, ἀκίνητά τε παντελῶς, καὶ ἀναίσθητα παραχρῆμα ποιήσεις τὰ μόρια. ἐχρῆν οὖν καὶ τὰς ἀρτηρίας ὁμοίως τοῖς νεύροις κακωθείσας, εἰς ἅπερ ἔμπροσθεν ὠφέλουν ἕκαστον τῶν μορίων, εἰς ταῦτα καὶ βλάπτειν εὐθέως. ὃ δ' δὴ πάντων ἀτοπώτατον, εἰ τὰς κατὰ τὸν τράχηλον ἀρτηρίας βρόχοις διαλάβοις, οὐδὲν σαφὲς βλάψοις τὸ ζῶον, καίτοι συνάπτουσιν αὗται καρδίαν ἐγκεφάλῳ τὸ κυριώτατον τῶν ζωτικῶν ὄργανον, τῷ κυριωτάτῳ τῶν ψυχικῶν.

εἴπερ οὖν τῶν οὕτως ἐπικαίρων ἀρτηριῶν ἡ βλάβη, μηδὲν σαφὲς ἀδικεῖ τὸ ζῶον, σχολῇ γ᾽ ἂν τῶν ἄλλων τις ἀδικήσειεν. εἰ δ᾽ οὐδὲν βλάπτουσι παθοῦσαι, πάντη που δῆλον, ὡς οὐδ᾽ ὠφελοῦσιν, οὐδ᾽ ἂν ἐῤῥωμέναι τύχωσιν. πῶς οὖν ἐκ σφυγμῶν, τὸ μέγιστον προγινώσκομεν; οὐχ ὡς ἐξ αἰτίων πολὺ δυναμένων, φήσει τις. ἀλλ᾽ ὡς σημείων ἐπικαίρων, ὡς εἰ καὶ γρυπουμένοις τοῖς ὄνυξι, καὶ μελαινομένοις τεκμαίροιτό τις περὶ θανάτου. ὅτε γὰρ τοῖς χρησίμοις εἰς τὴν ζωὴν ἕπηταί τινα κατ᾽ ἀνάγκην, ὁ μὲν κίνδυνος ἐπὶ τῇ τοῦ χρησίμου βλάβῃ, τὸ δ᾽ ἐξ ἀνάγκης ἑπόμενον, σημεῖον γίνεται τοῦ κινδύνου. κύριον μὲν οὖν σπλάγχνον, ἡ καρδία. ἐκπεφύκασι δ᾽ ἀπ᾽ αὐτῆς αἱ ἀρτηρίαι, καὶ κινοῦνται τὸν αὐτὸν ἐκείνῃ τρόπον. ὥστε καὶ βλάπτονται τὸν αὐτόν, καὶ ταύτῃ μέγα δηλοῦν πεφύκασιν. ἐδείχθη δέ, οὐ ταὐτὸν ὂν τὸ δηλοῦν μεγάλα, τῷ δύνασθαι μεγάλα. πόθεν οὖν ἐπῆλθεν ἅπασιν ἰατροῖς τε καὶ φιλοσόφοις, εἰς τὴν αὐτὴν χρείαν ἀνάγειν τήν τε ἀναπνοὴν, καὶ τοὺς σφυγμούς; τῆς μὲν, οὕτως εἰς μέγα διαφέρειν ἡμῖν φαινομένης, τῶν δ᾽ ὡς ἔοικεν, ἢ παντάπασιν εἰς οὐδέν, ἢ παντελῶς μικρόν; ἐμοὶ μὲν οὖν δοκοῦσιν, ὥσπερ οὖν καὶ γράφουσιν οἱ πλείους αὐτῶν, ἐκ τοῦ τρέπεσθαι παραπλησίους τροπὰς ἐπὶ τοῖς αὐτοῖς αἰτίοις, ἀμφότερα, κοινὴν εἶναι καὶ τὴν χρείαν αὐτῶν ὑπονοῆσαι. τῶν τε γὰρ γυμναζομένων, καὶ λουομένων, καὶ τῶν ὁπωσοῦν ἄλλως θερμαινομένων, οὐ τὴν ἀναπνοὴν μόνον ὠκυτέραν τε, καὶ πυκνοτέραν, καὶ μείζονα γινομένην ἐστὶν ἰδεῖν, ἀλλὰ καὶ τοὺς σφυγμοὺς ὡσαύτως τρεπομένους. τῶν τ᾽ ἀῤῥιγούντων, καὶ τῶν ὁπωσοῦν ἄλλως ψυχομένων, οὐ τὴν ἀναπνοὴν μόνην ἀραιοτέραν τε, καὶ βραδυτέραν, καὶ μικροτέραν, ἀλλὰ καὶ τοὺς σφυγμούς. καὶ ἐν τοῖς καυσώδεσι πυρετοῖς, πλεῖστον μὲν καὶ τάχιστον, καὶ πυκνότατον ἀναπνέουσι· μεγίστους δ᾽ ἔχουσι, καὶ ταχίστους, καὶ πυκνοτάτους τοὺς σφυγμούς. εἰ δ᾽ ἐπὶ ταῖς ἀσυμμέτροις τροφαῖς, οἱ μὲν σφυγμοὶ μείζονες, αἱ δ᾽ ἀναπνοαὶ γίνονται μικρότεραι, οὐδὲ τοῦτο ἀπόρημα τῷ λόγῳ. μικρότερον μὲν γὰρ ἀναπνέουσιν, ἢ σφύζουσι, στενοχωρείᾳ τῶν φρενῶν. ἀλλ᾽ ὅσῳ μικρότερον, τοσοῦτο πυκνότερον, ἰώμενοι τὴν μικρότητα τῆς ἀναπνοῆς, τῷ συνεχεῖ τῆς ἐνεργείας. ὅσον γὰρ ἐνδεέστερον ἀπέλαυσεν ἡ φύσις ἀέρος, οὐ δυνηθέντος ἐπὶ πλεῖστον διαστῆναι τοῦ θώρακος, τοῦτο ἐπανορθοῦται τῇ πυκνότητι. καὶ διὰ τοῦτο, ἴσον δύναται τὸ μικρότερόν τε ἅμα, καὶ πυκνότερον πνεῦμα, τῷ μείζονί τε ἅμα, καὶ ἀραιοτέρῳ. λέγομεν δὲ νῦν ἀραιότερον σφυγμόν, τὸν ἐπὶ τροφαῖς, οὐ τὸν πρὸ τῆς τροφῆς, ἐκείνου μὲν γὰρ πυκνότερός ἐστιν, ἀλλὰ τῇ τῆς ἀναπνοῆς ἰδέᾳ παραβάλλοντες. εἰ τοίνυν τρέπεται μὲν ὡσαύτως, ἐπὶ τοῖς αὐτοῖς αἰτίοις, ἡ ἀναπνοὴ τοῖς σφυγμοῖς, βλάπτεται δ᾽ οὐχ ὡσαύτως ἀπολλυμένη, καὶ γὰρ τοῦτ᾽ ἔμπροσθεν ἐδείχθη, φαίνοιτ᾽ ἂν οὐδὲν ἧττον ὁμοίως ἀλλήλοις τὰ ἀντικείμενα, τό τε τῆς αὐτῆς ἕνεκα χρείας ἄμφω γεγονέναι, καὶ τὸ, μὴ τῆς αὐτῆς. ἀλλ᾽ οὐκ ἐνδέχεται. χρὴ γὰρ θάτερον αὐτῶν ἀληθὲς ὑπάρχειν, οὐκ ἄμφω.

A Si igitur adeò pernecessariarum arteriarum læsio nullam manifestam animali læsionem adferat, multo minùs & aliarum aliqua oblæserit. At si quum afficiuntur, nihil lædant, vndique constat etsi valentes sint, eas minimè conferre. Quomodo igitur ex pulsibus maximè prænoscimus? non vt ex causis multa vi pollentibus (dicet aliquis) sed vt ex signis pernecessariis; quemadmodum siquis ex incuruescentibus vnguibus & nigrantibus de morte coniiciat. Quum enim ea quæ vsum vitæ præstant, quædam necessariò sequuntur, periculum quidem in eius quod vsum vitæ præstat læsione est, tum quod ex necessitate sequitur, signum fit periculi. B Princeps quidem viscus est cor, ex quo enascuntur arteriæ, quæ & eodem quo ipsum modo mouentur, proindéque eodem modo læduntur, atque ita magnum quid indicare natæ sunt. At verò monstratum est, non idem esse, magna indicare, ac magna posse. Vnde igitur tum Medicis omnibus, tum philosophis in mentem venit, vt ad eundem vsum & respirationem & pulsus adduxerint? quum illa quidem ad magnum vsum excellere nobis appareat, hi verò vel ad prorsus nullum, vel planè exiguum? C Mihi equidem videntur quemadmodum & ex ipsis plures scribunt, quòd consimilibus conuersionibus ab iisdem causis conuertantur, inde communem esse eorum vsum animo concepisse. Nam & qui exercitantur, & qui in balneo lauantur, & qui aliter quouis modo excalfiunt, eorum non modò respirationem celeriorem, frequentiorémque, ac maiorem contueri licet, sed etiam pulsus pari modo mutatos. Præterea qui algent, alitérve quolibet modo sunt refrigerati, horum sicut respiratio rarior, tardior, ac minor vsitur, ita & pulsus. Atque in D ardentibus febribus maximè, & celerrimè, & densissimè respirant, & maximos, velocissimos, & densissimos pulsus habent. Quòd si ab immodicis alimentis pulsus visuntur maiores, respirationes minores, ne id quidem scrupulum rationi iniicit. Quippe minorem hi respirationem, quàm pulsum, habent propter diaphragmatis compressionem. Cæterùm quantò minorem, tantò hanc habent & crebriorem, scilicet respirationis paruitatem actionis continuitate compensantes. Quod enim aëris natura thorace nequeunte se latissimè aperire, ex minori respiratione amisit, id densitate restituit. E Ideóque tantumdem minor simul, & frequentior respiratio potest, quantum maior simul, atque rarior. Diximus autem hoc loco rariorem pulsum eum, qui comestioni succedit, non vtique cum eo qui comestionem præcedit comparantes (quippe quo est frequentior) sed ad respirationis speciem referentes. Igitur si respiratio, pari cum pulsu modo, iisdem ex causis mutatur, non tamen parem noxam, quum perit, affert (nam id quoque priùs est monstratum) vtique diffidentia, aduersáque nihilominus ex æquo inuicem, colligas licet, nempe, tum ambo à natura eiusdem vsus gratia data, tum non eiusdem. F Verùm ita fieri non potest, quum alterum eorum verum esse, non ambo, sit necessum.

CAPVT II.

Pulſum, Calorem ſingularum partium conſeruare.

ITaque inueſtigandum qua parte altera rationum decipiat, ipſo reſpirationis vſu pro norma nobis propoſito. Quem vtique vbi de ea tractauimus, duplicem eſſe, ſicut Hippocrates exiſtimauit indicauimus; alterum qui maior eſt, ipſius inſiti caloris conſeruationem, alterum, qui minor, animalis ſpiritus nutritionem. At in horum vtroque ex attracto per nares ſpiritu accedere cerebro vtilitatem diximus. Quò minùs mirum eſt, quum exiguum illi commodum ex corde ſuggeratur, ſi carotidibus vocatis arteriis vinculo exceptis, exiguum quoque ſentiat n commodum. Dicet hîc fortaſſe quiſpiam ne minimum quidem apparere incommodum, quando per integrum diei ſpatium (vt ſæpe experti ſumus) animal ſine noxa perduret. Et ſanè rectè dicet. Iam id cum nos dubios haberet, eiuſmodi quoddam euidens in quo fieret experimentum excogitauimus. Prius autem ratiocinationem ipſam, vnde in ipſum veni, proponam. Quoniam demonſtratum à nobis in aliis eſt, eos ventriculos, qui in cerebro habentur, animalis ſpiritus, qui aſſiduè nutriri poſtulet, plenos eſſe, demonſtratum quoque non minùs eſt, ſpiritum hunc in motu voluntario conſumi, ſatius fore viſum eſt, vt animal cui vinctæ arteriæ eſſent, currere cogeremus. Quum igitur diu probè cucurriſſet, ſemper autem currere non potuiſſet, operæpretium videbatur cauſam requirere, propter quam diu quidem cucurrit, perpetuò autem non potuit, nec rurſus diutinum curſum continuare, ſed eum ſtatim remittere, abſumpto ſcilicet animali ſpiritu. Sed & huius ipſius euentus cauſa videbatur plexus ille, qui ab Herophilo reticularis eſt vocatus. In hoc enim carotides arteriæ, quum ad cerebrum aſcendunt, antequam duram eius membranam tranſierint, multifariam ab ipſa ſinduntur, multis ceu villis ſibi implexæ, veluti ſi retia retibus ſuperpoſita intelligas; tum ſpatium non exiguum, quod cerebri baſis dicitur occupant; quum potuiſſent in ipſum cerebrum, quò ſcilicet à principio tendebant, membranis eius ſtatim traiectis, ſe inſerere. Nunc igitur mirabilis ille plexus, tam tuto à natura, quæ nihil temerè moliatur, loco conditus, magnæ alicuius vtilitatis index eſſe videtur. At quoniam & inteſtinorum, & quæ in teſtes ſe inſerunt, vaſorum reuolutionem, tum vt materiæ in his contentæ perfectè concoquerentur, tum vt ſecuturis functionibus abundè præparatæ ſupereſſent, factam contemplabamur, non alienum à ratione videbatur hîc quoque tale quippiam commentam eſſe naturam, ac ſimul materiam eam, quæ in arteriis continetur (ea eſt ſanguis calidus, & tenuis, & halituoſus) longo tempore conficere, ſimul animali, qui in cerebro eſt, ſpiritui copioſum alimentum præparare. Proinde quamuis continuatio cum corde cerebro ſit adempta, tamen ſatisfacere ei longo tempore poſſe reticularem plexum, potiſſimum ſi animal quieſcat, ceu animali ſpiritu in motum voluntarium minimè tum conſumpto.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τὸν σφυγμὸν, τῆς τῶν ἑκάστου μορίων θερμότητος φυλακτικόν.

ΖΗτητέον οὖν ὅπῃ τῶν λόγων ὁ ἕτερος παραλογίζεται, κανόνα τῆς κρίσεως ποιησαμένοις ἡμῖν, τὴν χρείαν τῆς ἀναπνοῆς, ἣν ἐδείξαμεν ἐν τοῖς περὶ αὐτῆς λόγοις, διττὴν οὖσαν, ὡς ἐδόκει καὶ Ἱπποκράτει. τὴν μὲν γὰρ ἑτέραν, τὴν μείζω, φυλακὴν τῆς ἐμφύτου θερμασίας, τὴν δὲ ἑτέραν, τὴν ἐλάττονα, θρέψιν τοῦ ψυχικοῦ πνεύματος. ἀλλ' εἰς ἄμφω ταῦτα, παρὰ τῆς διὰ τῶν ῥινῶν εἰσπνοῆς, ὠφελεῖσθαι τὸν ἐγκέφαλον ἐλέγομεν. ὥστ' οὐδὲν θαυμαστὸν, ὀλίγης αὐτῷ παρὰ καρδίας χορηγουμένης τῆς ἐπικουρίας, ὀλίγην εἶναι, καὶ τὴν βλάβην, τῶν καρωτίδων λεγομένων ἀρτηρειῶν, βρόχοις διαληφθεισῶν. ἀλλ' ἴσως τις φήσει, μηδ' ἐλαχίστην φαίνεσθαι. δι' ὅλης γὰρ ἡμέρας τὸ ζῶον, ὡς ἐπειράθημεν πολλάκις, ἀβλαβὲς διαμένει. καὶ ὀρθῶς γε φήσει. καὶ δὴ τοῦθ' ἡμεῖς ἀποροῦντες, ἐπενοήσαμεν τοιούτου τινὸς ἀποπειραθῆναι φαινομένου. πρότερον δ' ἐρῶ τὸν λογισμὸν, ὅθεν εἰς τοῦθ' ἥκομεν. ἐπεὶ γὰρ ἐν ἑτέροις ἡμῖν ἀποδέδεικται, τὰς κατὰ τὸν ἐγκέφαλον κοιλίας πνεύματος εἶναι ψυχικοῦ μεστὰς, τροφῆς χρῄζοντος συνεχοῦς. ἀποδέδεικται δὲ, καὶ ὡς δαπανᾶται τοῦτο, ἐν ταῖς καθ' ὁρμὴν κινήσεσιν, ἄμεινον ἐδόκει τρέχειν ἀναγκάζειν τὸ ζῶον, οὗ τὰς ἀρτηρείας βρόχοις διελάβομεν. ἐπεὶ δὲ μέχρι μὲν πολλοῦ καλῶς ἔτρεχε, μέχρι παντὸς δ' οὐκ ἠδύνατο, ζητεῖν ἐδόκει χρῆναι, διότι μέχρι μὲν πολλοῦ ἔτρεχε, μέχρι παντὸς δὲ οὐκ ἠδύνατο. καὶ πάλιν αὖ τὸ μέχρι πολλοῦ οὐ διαρκεῖν, ἀλλ' εὐθέως ἐκλύεσθαι δαπανωμένου τοῦ ψυχικοῦ πνεύματος. ἀλλὰ καὶ αὐτοῦ τούτου τὸ δικτυοειδὲς πλέγμα, πρὸς τῶν ἀμφὶ τὸν Ἡρόφιλον κληθὲν, ἐδόκει τὴν αἰτίαν ἔχειν. ἐκεῖ γὰρ αἱ ἐπὶ τὸν ἐγκέφαλον ἀνιοῦσαι καρωτίδες ἀρτηρεῖαι, πρὶν διελθεῖν τὴν σκληρὰν μήνιγγα, σχίζονται πολυειδῶς ὑπ' αὐτῆς, περιπλεκόμεναι κατὰ πολλοὺς στίχους, ὡς εἰ νοήσαις ἀλλήλοις ἐπικείμενα δίκτυα πλείω, καὶ χώραν παμπόλλην, ἣν καλοῦσιν ἐγκεφάλου βάσιν, καταλαμβάνουσιν, ἐνὸν αὐταῖς εὐθὺς μὲν διεκπεσεῖν τὰς μήνιγγας, ἐμφῦναι δὲ εἰς τὸν ἐγκέφαλον, οὗ περ ἐξ ἀρχῆς ἵεναι. τοῦτ' οὖν τὸ θαυμαστὸν πλέγμα, πρὸς τῆς μηδὲν εἰκῇ ποιούσης φύσεως, ἐν οὕτως ἀσφαλεῖ χώρᾳ ταχθῆναι, μεγάλης τινὸς ἐδόκει χρείας ἐνδεικτικὸν ὑπάρχειν. ἀλλ' ἐπεὶ τὴν τῶν ἐντέρων ἕλικα, καὶ τὴν εἰς τοὺς ὄρχεις ἐμφυομένων ἀγγείων, ἀκριβοῦς τε πέψεως ἕνεκα τῶν περιεχομένων ὑλῶν, καὶ προσέτι δαψιλοῦς παρασκευῆς ταῖς ἑξῆς ἐνεργείαις ἑωράκαμεν γεγονυῖαν, εὔλογον ἐδόκει κἀνταῦθα τοιοῦτόν τι μεμηχανῆσθαι τὴν φύσιν, ἅμα τε κατεργαζομένην πολλῷ χρόνῳ τὴν ἐν ταῖς ἀρτηρείαις ὕλην, αἷμα θερμὸν, καὶ λεπτὸν, καὶ ἀτμῶδες ὑπάρχουσαν, ἅμα τε κατασκευάζουσαν τροφὴν δαψιλῆ τῷ κατὰ τὸν ἐγκέφαλον ψυχικῷ πνεύματι. καὶ διὰ τοῦτο κἂν στερηθῇ τῆς πρὸς τὴν καρδίαν συνεχείας ὁ ἐγκέφαλος, ἐξαρκεῖ αὐτῷ τὸ δικτυοειδὲς πλέγμα μέχρι πολλοῦ, καὶ μάλιστα ὅταν ἀτρεμῇ τὸ ζῶον, ὡς ἂν μὴ δαπανωμένου τηνικαῦτα τοῦ ψυχικοῦ πνεύματος εἰς τὴν καθ' ὁρμὴν ἐνέργειαν.

ὃ μὲν δὴ χαλεπώτατόν τε καὶ ἀπορώτατον δοκοῦν, τὸ κατὰ τὰς καρωτίδας ἀρτηρίας, οὐδὲν ἔχειν ἀπορίαν ἐπιφαίνεται. παραπλησίως δ' αὐτῷ, καὶ τὸ κατὰ τὰς ἄλλας ἁπάσας, ὧν ἑκάστης βρόχῳ διαληφθείσης, οὐδὲν ἐν τῷ παραυτίκα βλάπτεται τὸ μέρος. ἐχρῆν γὰρ, οἶμαι, κἀνταῦθα σκοπεῖν, ὡς οὐκ ἴσον ἐστὶν, ἢ τὴν ἀρχὴν αὐτὴν τῆς ἐμφύτου θερμασίας παθεῖν, ἤ τι τῶν ὑπ' αὐτῆς θερμαινομένων. τὴν μὲν γὰρ, ἀεὶ χρὴ θερμὴν ἱκανῶς ὑπάρχειν. καὶ γὰρ ἑαυτὴν, καὶ τἄλλα κινεῖ τε ἅμα σφυγματωδῶς, καὶ θερμαίνει. τοῖς δὲ, ἀπόχρη βραχείας εὐπορεῖν θερμασίας εἰς τὸ διασώζεσθαι. καὶ τὴν μὲν, εἰ στερήσαις τῆς ἐμφύτου θερμασίας, αὐτήν τε ψύξεις, καὶ τἄλλα πάντα, ὅσα πρότερον ὑπ' αὐτῆς ἐθερμαίνετο. τῶν δ' ἄλλων οὐδὲν στερῆσαι τελέως δυνήσῃ τῆς θερμασίας, κἂν βρόχοις διαλάβοις τὰς ἀρτηρίας, διά τε γὰρ τῶν χιτώνων ἐπιρρυήσεταί τι, καὶ γὰρ σύμπνουν ἐστὶ, καὶ σύρρουν ἑαυτῷ πᾶν τὸ σῶμα, κατὰ τὸν Ἱπποκράτους λόγον. ὥστε κἂν μὴ διὰ τῶν ἀρτηριῶν, ἀλλά γε διὰ τῶν ἄλλων, καὶ μάλιστα διὰ φλεβῶν τῷ συνεχεῖ τῆς μεταλήψεως, εἰς πᾶν μόριον ἐνεχθήσεταί τι τῆς θερμασίας. ἅπαντα οὖν τὰ τοιαῦτα, τοῖς φαινομένοις ὁμολογεῖ. καὶ θαυμαστὸν οὐκ ἔτι δόξει τὴν ἀρχὴν τῆς θερμασίας, μᾶλλον τῶν ἄλλων βλάπτεσθαι στερηθείσης τῆς ἀναπνοῆς. καὶ γὰρ ἐν ταῖς ἰατρικαῖς σικύαις, ἡ μὲν φλὸξ ἀπόλλυται παραχρῆμα, μένει δ' ἄχρι πλέον ἡ θερμασία περί τε τὸν ἐντὸς ἀέρα, καὶ κατ' αὐτὸ τὸ σῶμα, οὐ τραφεῖσα. οὕτω δὲ κἂν τοῖς οἴκοις, τοῖς ὑπὸ πυρὸς θερμανθεῖσιν, θερμασία φαίνεται διαμένουσα, τοῦ πυρὸς ἐσβεσμένου πολλάκις. οὐχ ὅμοιον οὖν ἐστι τὸ κατὰ φύσιν τῇ τε καρδίᾳ, καὶ τοῖς ἄλλοις μορίοις. τὴν μὲν γὰρ ζεῖν ἀεὶ χρὴ, τοῖς δ' ἀρκεῖ τὸ μὴ παντάπασι καταψύχεσθαι. μάθοις δ' ἂν ἐναργῶς τὸ λεγόμενον, εἰ γυμνώσαις καρδίαν ζώου, αὐτῆς διελὼν τὸ σκέπασμα, ὃ καλοῦσι περικάρδιον χιτῶνα, χωρὶς τοῦ τὸν ἄλλον θώρακα συντρῆσαι. τάχιστα γὰρ ἀποθνήσκει τὸ ζῶον, εἰ καταψύξεις τὴν καρδίαν. εἰ μέν τοι θερμὴν φυλάττοις, οὐδὲν πάσχει. ψύξεις μὲν οὖν αὐτὴν ἐν ἀέρι τὴν χειρουργίαν ψυχρῷ ποιούμενος, καὶ ψυχρὸν καταρραίνων ὕδωρ. φυλάξεις δὲ ὡς πλείστου θερμὴν, διὰ τῶν ἐναντίων. ἀλλ' εἰ κατεψυγμένης ἤδη, καὶ διὰ τοῦτο τοῦ ζώου τεθνεῶτος, ἐθέλοις παραχρῆμα τρώσας ὁποτέραν οὖν τῶν κοιλιῶν, καὶ μᾶλλον τὴν ἀριστερὰν, καθεῖναι δάκτυλον εἰς αὐτὴν, αἰσθήσῃ πολλῆς τῆς θερμασίας. καὶ πολύ γε πλέονος, ἢ ἐν τοῖς ἄλλοις μορίοις τοῖς κατὰ φύσιν διακειμένοις. τὸ γὰρ ἴσον μέρος τῆς θερμασίας, ἐλάχιστον μὲν τῇ καρδίᾳ, πάμπολυ δὲ τοῖς ἄλλοις ἐστί. καὶ τοίνυν ὅταν μὴ φυλάττεται τοῦτο, τὸ μὲν ἐκ τῆς καρδίας, οἷα φλὸξ διαφθείρεται. τὸ δ' ἐν τοῖς ἄλλοις, ἄχρι πολλοῦ παραμένει. φυλακὴ δὲ τοῦ ἐκείνη μὲν, ἡ ἀναπνοὴ μόνη, τοῖς δ' ἄλλοις, διττή· σφυγμὸς μὲν, οἷα παραναπνοή· τό τε ἀπὸ τῆς ἀρχῆς ἐπιρρέον ἐξ ἐπιμέτρου. κατὰ δύο τοίνυν αἰτίας ἕκαστον τῶν μορίων πλεονεκτεῖ τῆς καρδίας, εἰς τὸ μὴ ταχέως βλάπτεσθαι θερμασίας ἐνδείᾳ. ἔστι γὰρ ὅτι πλείστης μὲν ἐκείνη χρῄζει, τὰ δ' ἄλλα, βραχείας. καὶ ὅτι τῇ μὲν, οὐδαμόθεν ἐπιρρεῖ, τοῖς δ' ἀπ' ἐκείνης, ἡ μὲν ἑτοίμως ἐξίσταται τοῦ κατὰ φύσιν, τὰ δὲ, οὔ.

A ac, quod difficillimum videbatur, maximéque negocium facessere, nempe quod in carotidibus arteriis accidit, id nullam etiam habere dubitationem apparet. Similiter nec quod in reliquis omnibus contingit, quarum qualibet vinculo excepta nulla in præsens noxa parti affertur. Oportebat enim (arbitror) hic quoque æstimari non esse simile, aut principium ipsum insiti caloris pati, aut aliquod eorum, quæ ab illo calorem accipiunt. Quippe id semper esse præcalidum debet, vt quod se ipsum & alia, tum moueat vnà pulsatoriè, tum calefaciat; his satis ad salutem est, si vel exigui compotes sint caloris. Et principium quidem B ipsum si naturali calore priues, non ipsum modò refrigeres, sed etiam vniuersa, quæ ab eo prius calorem ceperunt. Reliquorum nulli, licet arterias vinculo constringas, omnem adimere calorem possis, quando & per tunicas ipsas nonnihil confluxerit. Est enim iuxta Hippocratis sententiam totum corpus sibi conspirabile, atque confluxibile. Quare si non per arterias, at certè per alia, & potissimùm venas propter eum; qui est de vna in alteram, continuum transitum, in omnem particulam deferetur caloris aliquid. Omnia igitur alia cum rerum euidentia consentiunt. C Nec mirum videri præterea debebit, si principium caloris, vbi respiratione priuatur, plus quàm cætera noxæ contrahit. Quippe in cucurbitulis iis, quibus medici vtuntur, flamma ilicò extinguitur, calor tum in aëre incluso, tum in ipso corpore diu manet, idque nullius nutrimenti ope. Simili modo in domibus iis, quæ igni excalfiunt, calor sæpe remanere cernitur igni extincto. Non ergo est similis calor is, qui cordi naturalis est ei, qui cæteris partibus; quum id feruere semper sit opus; his satis sit, si non sint frigidæ. Intelliges clariùs quod dicitur, si cor animalis nudaueris, D tegumentum id, quod ei veluttunica circumdatum est (quam pericardium appellant) diuidens, nulla alia pectoris parte confossa. Etenim celerrimè interit animal, si cor ipsum refrigeres; sin calidum serues, nihil patitur. Sanè refrigerabis, si in frigido aëre chirurgiam administrabis, præterea si frigidam asperseris; calidum diutissimè seruabis, si diuersis rationibus vteris. Cæterùm si corde iam refrigerato, & propterea animali iam mortuo velis alterutro ventriculorum eius adaperto, & præcipuè sinistro, digitum in eum statim mittere, magnum inibi calorem deprehendes, longéque maiorem, quàm in aliis sit parti- E bus, dummodo pro naturæ modo se habeant. Quippe par caloris portio vt cordi est minima, sic reliquis partibus est omninò magna. Proinde vbi quod pro naturæ modo est non seruatur, cordis quidem calor, qui veluti flamma est, perit; reliquorum calor longo spatio durat. at verò illi sola respiratio calorem tuetur. Aliis partibus duplex eius custodia est, & pulsus qui veluti quædam respiratio est, & quod ex abundantiore naturæ gratia accedit, quod à corde confluit. Duplici igitur de causa pars quæuis cor ipsum superat, F quominus noxam ex caloris inopia celeriter contrahat. Siquidem cum illi plurimo sit opus, cæteris exiguo, quúmque illi à nullo calor confluat, sed aliis ab illo, vtique illud celeriter à naturali statu recedit, hæc minimè.

CAPVT III.

Influere à corde Calorem per arterias, & venas, & per alias omnes partes, ac talem esse pulsum omnibus partibus, qualem respiratio soli cordi.

QVòd autem non solùm per arterias, sed etiam per venas, & alia vniuersa confluat à corde calor, quoniam de hoc paucis prius facta mentio est, rursus idem resumendum demonstrandúmque nobis est, sed propositis priùs euidentibus euentis, ex quibus id colligi possit. Ergo multis monarchis, gregariis militibus, iam sæpe singulari pugna decertantibus, sed & venatoribus ita venas, & arterias vulnerari contigit, vt necesse medicis fuerit eas vinculo excipere; qui omnes non longo interposito spatio frigidiores sibi redditas partes senserunt, ac citiùs quidem, quibus tum arteriæ, tum venæ fuere deuinctæ: seriùs quibus arteriæ tantum; minimè verò, quibus solæ venæ. Ex quibus manifestum est, per venas quoque aliquem partibus accedere calorem, quanquam longè minorem, quàm qui per arterias transmittatur. Quin si quam corporis partem citra vllum vulnus arctissimè deligare velis, illicò eam liuidam, frigidámque effectam contemplabere; quod planum est indeadeò euenire, quòd calore, qui per omnes partes supernè confluxerat, est priuata. Ergo quum hoc quoque demonstratum iam sit, nihílque iam aduersari videatur, quò minùs vnus respirationis, & pulsuum vsus sit; facile promptúmque collectu arbitror caloris in quaque parte custodiendi causa pulsum esse conditum. Itaque quod ex respiratione vni præstatur cordi, id ex pulsu calori illi, qui in toto est animali accidit: communem autem vtriusque esse & animalis spiritus nutritionem, verùm arteriarum magis propriam; siquid eorum meminimus, quæ de reticulari textu prædiximus. Quoniam igitur in his, quæ de respirationis vsu tradidimus, monstratum nobis est natiuum calorem per immissum spiritum refrigerari, eundémque per emissum hunc veluti purgari, fuliginoso scilicet excremento expulso, ambo verò ad eius custodiam vtile aliquid conferre, patet & quod de pulsu dicimus; nempe in diastole aëream substantiam quandam attrahi; in systole, ex humorum deustione in toto animali contractum velut fuliginosum excrementum expelli.

CAPVT IV.

Aduersus Archigenem & alios, repleri Arterias in diastole, in systole vacuari.

QVanquam non ignoro tum Archigenem, tum priores eo nonnullos, dum contrahitur arteria, impleri eam existimasse; dum dilatatur vacuari. Quippe arbitrantur ad tractum, systolen esse conuenientissimam, coniectantes id tum ex ore, tum naribus. Quæ sicuti illi aiunt, in trahendo spiritu contrahuntur, in reddendo dilatantur: quemadmodum in ægrotantibus fieri cernitur. Imò verò nec in his id alia vlla in parte visitur, quàm in extremis & cartilagineis narium partibus. Ac cernitur quidem id aliquando in his, qui celerrimè currunt, aut aliàs

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἐπιρρεῖν ἐκ τῆς καρδίας τὴν θερμασίαν δι' ἀρτηριῶν τε, καὶ φλεβῶν, καὶ τῶν ἄλλων ἁπάντων μορίων, τοιοῦτον εἶναι τὸν σφυγμὸν κατὰ τὰ ἅπαντα μόρια, οἵα ἐστὶν ἡ ἀναπνοὴ τῇ καρδίᾳ μόνῃ.

Περὶ δὲ τοῦ μὴ δι' ἀρτηριῶν μόνον, ἀλλὰ καὶ διὰ τῶν φλεβῶν, καὶ τῶν ἄλλων ἁπάντων ἐπιρρεῖν ἐκ τῆς καρδίας, τοῖς μορίοις τὴν θερμασίαν, ἐπεὶ διὰ βραχέος εἴρηται πρόσθεν, αὖθις ἡμῖν ἀναληπτέον τε καὶ ἀποδεικτέον, εἰπόντας πρότερον τὰ φαινόμενα, δι' ὧν ἄν τις αὐτὸ συλλογίσαιτο. πολλοὺς οὖν ἤδη πολλάκις μονομάχους, μονάρχους τε, καὶ στρατιώτας, καὶ κυνηγέτας, οὕτω τρωθῆναι συνέβη φλέβας, καὶ ἀρτηρίας, ὥστε ἀναγκασθῆναι τοὺς ἰατροὺς βρόχῳ διαλαβεῖν αὐτάς. καὶ οὗτοι πάντες, οὐ μετὰ πολὺν χρόνον ψυχροτέρων αἰσθάνονται τῶν μορίων, πρωϊαίτερον μὲν εἰ τὰς φλέβας, καὶ τὰς ἀρτηρίας βρόχῳ διαλάβοις, ὀψιαίτερον δὲ, εἰ τὰς ἀρτηρίας μόνον, ἥκιστα δὲ, εἰ μόνας τὰς φλέβας. ἐξ ὧν δῆλον, ἥκειν μέν τινα καὶ διὰ τῶν φλεβῶν, εἰς τὰ μόρια θερμασίαν, ἀλλ' ἐλάττονα μακρῷ τῆς διὰ τῶν ἀρτηριῶν. εἰ δὲ χωρὶς τραύματος, ἐθελήσαις μόριόν τι τοῦ σώματος λαβὼν ἰσχυρῶς καταδῆσαι, παραχρῆμα πελιδνόν τε, καὶ ψυχρὸν αὐτὸ γινόμενον θεάσῃ. δῆλον ὡς στερηθὲν τῆς ἄνωθεν ἐπιρρεούσης, διὰ πάντων τῶν μερῶν αὐτοῦ θερμασίας. ὁπότ' οὖν καὶ τοῦτο δέδεικται, καὶ φαίνεται μηδὲν ἐναντιούμενον τῷ μὴ μίαν εἶναι τὴν χρείαν τῆς ἀναπνοῆς καὶ τῶν σφυγμῶν, ἕτοιμον ἤδη συλλογίσασθαι, φυλακῆς ἕνεκα τῆς καθ' ἕκαστον μόριον θερμασίας γεγονέναι τοὺς σφυγμούς. ὥσθ' ὅπερ ἐκ τῆς ἀναπνοῆς τῇ καρδίᾳ μόνῃ, τοῦτ' ἐξ ἐκείνων τῷ καθ' ὅλον τὸ ζῶον ὑπάρχει θερμῷ. εἶναι δὲ καὶ τὸ τῆς πέψεως τοῦ ψυχικοῦ πνεύματος, κοινὸν μὲν ἀμφοῖν, ἀλλ' ἰδιαίτατον τῶν ἀρτηριῶν. εἴ γε δὴ μεμνήμεθα τῶν ὀλίγον πρόσθεν εἰρημένων περὶ τοῦ δικτυοειδοῦς πλέγματος. ἐπεὶ τοίνυν ἐν τῷ περὶ χρείας ἀναπνοῆς ἐδείκνυτο, διὰ μὲν τῆς εἰσπνοῆς ἐμψυχόμενον τὸ ἔμφυτον θερμὸν, διὰ δὲ τῆς ἀναπνοῆς οἷον καθαιρόμενον, ἐκκρινομένου τοῦ καπνώδους περιττώματος, ἄμφω δὲ ταῦτ' εἰς τὴν φυλακὴν αὐτοῦ συντελεῖν, δῆλον ὡς κἀπὶ τῶν σφυγμῶν ἐροῦμεν ἐν μὲν ταῖς διαστολαῖς ἕλκεσθαί τινα οὐσίαν ἀερώδη, κατὰ δὲ τὰς συστολὰς, ἐκκρίνεσθαι τὸ ἐκ τῆς τῶν χυμῶν συγκαύσεως, καθ' ὅλον τὸ ζῶον γινόμενον οἷον καπνῶδες περίττωμα.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Πρὸς τὸν Ἀρχιγένην καί τινας ἄλλους, ἐν μὲν ταῖς διαστολαῖς πληροῦσθαι τὰς ἀρτηρίας, ἐν δὲ ταῖς συστολαῖς κενοῦσθαι.

Καίτοι γινώσκω τοὺς περὶ τὸν Ἀρχιγένην, καί τινας ἔτι πρότερον ἐν μὲν ταῖς συστολαῖς, πληροῦσθαι τὰς ἀρτηρίας οἰομένους, ἐν δὲ ταῖς διαστολαῖς κενοῦσθαι. πρὸς γὰρ τὴν ἕλξιν ἐπιτηδειοτάτην εἶναι νομίζουσι τὴν συστολὴν, τεκμαιρόμενοι μάλιστα τῷ τε στόματι, καὶ ταῖς ῥισὶν κατὰ μὲν τὰς εἰσπνοὰς, ὡς ἐκεῖνοί φασι, συστελλομένοις, κατὰ δὲ τὰς ἐκπνοὰς, διαστελλομένοις· ὅπερ ἐπὶ τῶν ἀρρώστων μὲν τὴν δύναμιν ὁρᾶται γινόμενον. οὐδ' οὖν οὐδ' ἐπὶ τούτων, κἂν ἄλλο τι μόριον ἢ ἐν τοῖς ὑστάτοις, καὶ χονδρώδεσι τῶν ῥινῶν. ὁρᾶται δέ ποτε κἀπὶ τῶν δραμόντων ὠκέως, ἢ ἄλλως

πως συντόνως γυμναζομένων. οὐ μὴν ἐπ' ἄλλου γε οὐδενός, οὔθ' ὑγιαίνοντος, οὔτε νοσοῦντος. χρὴ δὲ τὴν φυσικὴν κατάστασιν, ἥτις ἂν ᾖ, τοῖς ἀπαραποδίστως τε καὶ ἀκριβῶς ὑγιαίνουσι μᾶλλον, ἤπερ τοῖς ἄλλοις φαίνεσθαι. ἀλλ' ἔστω γίνεσθαι πᾶσιν ὁμοίως, καὶ φαινέσθωσαν αἵ τε ῥῖνες, καὶ τὰ χείλη συστέλλεσθαι τοῖς εἰσπνέουσι, τίς ἡ ἐκ τούτου πίστις τοῦ ζητουμένου; οὐ γὰρ δὴ ἀνάλογον φήσουσιν ἔχειν ταῖς ἀρτηρίαις τὰ χείλη, καὶ τὰς ῥῖνας. ἀλλὰ τούτοις μὲν ἀνάλογον, τὰ στόματα τῶν ἀρτηριῶν, αὐταῖς δὲ ταῖς ἀρτηρίαις, αἱ ἀπὸ τούτων ἐπὶ τὴν καρδίαν ὁδοὶ τοῦ πνεύματός εἰσιν. εἰ μὲν οὖν ἐκείνας ἔχουσι δεῖξαι συστελλομένας ἐν ταῖς εἰσπνοαῖς, εἴη ἄν τι πλέον αὐτοῖς τοῦ παραδείγματος. εἰ δὲ πρὸς τῷ μηδὲν ὠφελεῖσθαι, ἔτι καὶ καθ' ἑαυτῶν αὐτὸ ἐφέλκονται ἐρούντων αὖ ἡμῶν, ὥσπερ ὁ φάρυγξ, καὶ ὁ πνεύμων, καὶ σύμπας ὁ θώραξ ἐν ταῖς εἰσπνοαῖς διαστέλλεται, καὶ τὰς ἀρτηρίας οὕτω χρῆναι διΐστασθαι, καθ' ὃν ἕλκουσι καιρόν, οὐ καθ' ὃν ἐκπέμπουσι τὸ πνεῦμα. ἀλλὰ καὶ ἡ μετὰ τὴν συστολὴν αὐτῶν ἡσυχία πολλῷ μακροτέρα γινομένη τῆς μετὰ τὴν διαστολήν, ὥσπερ καὶ ἡ πρὸ τῆς εἰσπνοῆς τῆς μετ' αὐτὴν ἐνδείκνυταί τινα, καὶ κατὰ τοῦτο ἀναλογίαν εἶναι τοῖς σφυγμοῖς πρὸς τὴν ἀναπνοήν. οἵα γοῦν τις ἡ εἰσπνοὴ τοῖς ἀναπνευστικοῖς ὀργάνοις, τοιοῦτον ἡ διαστολὴ τῆς ἀρτηρίας. καὶ οἵα γοῦν τις ἐκείνοις ἡ ἐκπνοή, τοιοῦτον ταῖς ἀρτηρίαις ἡ συστολή. ταύτης δὲ τῆς διπλῆς, καὶ συνθέτου τῶν ἀρτηριῶν κινήσεως, ἣν δὴ καὶ σφυγμὸν ὀνομάζομεν, ἐξηγεῖται μὲν ἡ καρδία, καθάπερ καὶ ἡμῖν ἐν ἑτέροις, καὶ μυρίοις ἄλλοις πρὸ ἡμῶν ἀποδέδεικται. οὐ μὴν καθ' ὃν Ἐρασίστρατος ὑπελάμβανεν τρόπον, ἀλλ' ὡς Ἡρόφιλός τε καὶ Ἱπποκράτης, καὶ σχεδὸν οἱ δοκιμώτατοι πάντες τῶν παλαιῶν ἰατρῶν τε καὶ φιλοσόφων. ἡ γὰρ ἐν τῷ σώματι τῆς καρδίας δύναμις, ὑφ' ἧς διαστέλλεται, καὶ συστέλλεται διὰ τῶν χιτώνων ἐπιρρέουσα ταῖς ἀρτηρίαις ἁπάσαις, οὕτως αὐτὰς διαστέλλει, καὶ συστέλλει, καθάπερ καὶ αὐτὴν τὴν καρδίαν. ὡς οὖν ἐκείνη, διαστελλομένη μὲν εἰς ἑαυτὴν ἕλκει τὰ πλησιάζοντα τοῖς στόμασιν αὐτῆς, συστελλομένη δέ, ἐκθλίβει. οὕτω καὶ αἱ ἀρτηρίαι, διαστελλόμεναι μὲν ἕλκουσι πάντοθεν, συστελλόμεναι δ' ἐκθλίβουσι πανταχόσε.

laboriosè excitantur, nec tamen in vllo alio, aut sano, aut laborante. At verò naturalem statum, quicunque is sit, in minimè impeditis, prorsusque sanis potius, quàm in aliis apparere par est. Verùm esto in omnibus ita fiat, appareántque tum nares, tum labra iis, qui inspirant contrahi, quænam ex his quæsitæ rei fides? Non enim arteriis respondere proportione nares, & labra dicent, imò ipsa arteriarum ora his potius respondere. Arteriis autem ipsis eas, quæ ab his ad cor, spiritus quasi viæ pertinent. Itaque si illas in inspirationibus ostendere contractas possunt, vtique aliquid ipsis exemplum contulerit; sin minùs præterquam quòd nihil his confert, etiam contra se id afferunt; nobis scilicet è diuerso dicturis, quòd tanquam pharynx & pulmones, & pectus vniuersum in inspirationibus dilatantur, itidem arterias, quo tempore trahunt, dilatari oportet, non quò spiritum reddunt. Sed & quies quæ post earum systolen multo maior quum sit ea, quæ dilatationem sequitur; sicuti quæ inspirationem præcedit ea, quæ illam sequitur, indicat in eo quoque proportionem quandam esse pulsibus ad respirationem. Cuiusmodi enim instrumentis spiritus res est inspiratio, eiusmodi arteriis est dilatatio; & cuiusmodi est illis expiratio, eiusmodi arteriis est contractio. Huius autem duplicis, & compositi arteriarum motus, quem nunc pulsum appellamus, cor est origo (sicuti tum à nobis, tum ab aliis ante nos quàm plurimis est proditum,) non tamen ad eum modum, quo Erasistratus existimauit, sed sicut Herophilus; & Hippocrates; ferméque philosophorum, & medicorum veterum probatissimi quique. Nam quæ in cordis corpore vis est, vnde contrahitur, ac dilatatur, in omnes arterias per tunicas earum influens, sic eas cogit, aperitque quemadmodum ipsum cor. Sicuti igitur illud, quum dilatatur, ea quæ osculis suis vicina sunt trahit, dum contrahitur expellit; sic & arteriæ, quum se aperiunt, ad se vndique trahunt, quum contrahuntur, in omnem partem expellunt.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τὰς ἀρτηρίας τὴν δύναμιν παρὰ τῆς καρδίας λαμβάνειν τε, καὶ τοῖς τοῦ σώματος ἅπασι μορίοις κοινωνεῖν.

Τί δὴ τοῦτ' ἔστι πανταχόθεν καὶ πανταχόσε, σαφέστερον ἔτι διαιρήσω σοι. πάμπολλοι πόροι ταῖς ἀρτηρίαις, οἱ μὲν ἐν αὐτοῖς τοῖς χιτῶσιν οἷον ὀπαί τινες, ἄλλοι δὲ δίκην στομάτων εἰς ἔντερα, καὶ γαστέρα, καὶ τοῦτο δὴ τὸ ἐκτὸς δέρμα περαίνονται. ἀλλὰ καὶ συνεχεῖς ἀλλήλαις τε, καὶ τῇ καρδίᾳ κατὰ μεγίστους εἰσὶ πόρους, κατὰ τὰς αὐτὰς ἀρτηρίας, μᾶλλον δὲ εὐρυχωρίας ἁπάσας. ταῖς γε φλεψὶν οὔπω κατὰ μεγάλας. ἀλλ' ἐκφεύγουσι μὲν τὰς αἰσθήσεις αἱ συναναστομώσεις αὐτῶν. ὥστε κἂν ἀπιστοίης δικαίως, ὡς οὐκ οὔσαις, πιστεύσης ἂν διὰ τὰ ἄλλα, τὰ περὶ τῶν παλαιῶν εἰρημένα, καὶ οὐχ ἥκιστα διὰ τόδε τὸ φαινόμενον. εἰ γάρ τις λαβὼν ζῷον ὁτιοῦν τούτων δὴ τῶν μεγάλας τε, καὶ σαφεῖς τάς φλέβας τε, καὶ τὰς ἀρτηρίας ἐχόντων, οἷον βοῦν, ἢ σῦν, ἢ ὄνον, ἢ ἵππον, ἢ πρόβατον, ἢ ἄρκτον, ἢ πίθηκον, ἢ πάρδαλιν, ἢ αὐτὸν ἄνθρωπον, ἤ τι τῶν ἄλλων τῶν παραπλησίων, κατὰ μεγάλας, καὶ πολλὰς ἀρτηρίας τρώσειεν, ἐκκενώσει δι' αὐτῶν ἅπαν τοῦ ζῴου τὸ αἷμα. τούτου πολλάκις τοῦ φαινομένου ἡμεῖς πεῖραν ἐποιησάμεθα,

CAPVT V.

Arterias facultatem à corde suscipere, ac cum omnibus partibus corporis communicare.

QVid autem sibi hoc velit quod vndique & in omnem partem dixi, adhuc clariùs faciam. Numerosi in arteriis meatus partim veluti spiramenta in earum sunt tunicis, partim osculorum specie in intestina & ventriculum & externam hanc cutim finiuntur. Quin etiam continuatæ tum sibi, tum verò cordi maximis scilicet meatibus, vel potiùs vniuersis suis capacitatibus sunt. Venis verò non perinde magnis meatibus, sed ipsarum quidem synanastomoses sensum nostrum effugiunt. Vnde si ipsis, ceu parum constantibus meritò fidem abroges, per alia certè, quæ veteribus sunt prodita, eos esse credas, neque in postremis ex hac rei euidentia. Siquis namque accepto animali quouis ex iis, quibus amplæ manifestæque venæ & arteriæ sunt, veluti boue, sue, asino, equo, oue, vrso, simia, pardali, homine ipso, vel similium aliquo; magnas multásque illi arterias vulneret, vniuersum animalis sanguinem per eas exhauriet. Huius rei periculum subinde fecimus;

&

& quum ſemper vacuatas cum arteriis venas deprehendiſſemus, verum eſſe dogma de communibus arteriarum, & venarum oſculis, nobis perſuaſimus. Quippe per hos tranſitus arteriæ dilatatæ ex venis trahunt, contractæ contra, in eas regerunt. Sicuti nimirum per ora, quæ in cutem finiuntur; quicquid halituoſum fuliginoſumque excrementum habent, id excernunt. Recipiunt autem ex ambiente nos aëre, non exiguam in ſe portionem. Atque id eſt, quod Hippocrates dixit corpus eſſe inſpirabile & expirabile totum. Pari modo ex ventre, & inteſtinis tum attrahunt, tum rurſum expellunt; itidem & per tenues meatus, quos veluti ſpiramenta per totas habent tunicas, ex circumpoſitis ſpatiis viciſſim trahunt, atque expellunt. A corde verò ipſo accipiunt quidem plus, ſed reddunt minus. Cauſæ ſunt membranarum epiphyſes. De quibus quoniam ab Eraſiſtrato diſputatum abundè eſt, fruſtra nunc à nobis de iiſdem agatur. Verùm videtur ille ſuſpicari, quòd dum contrahuntur, nihil prorſus ex arteriis in cor recipitur, niſi per eas, quæ ſunt in pulmone, quod ſanè ita non eſt, quum fortaſſis etiam pro ipſis naturæ modulis ſe habente animali exiguum aliquid recipiatur. Quippe non adeò mihi ad vnguem membranæ os magnæ arteriæ videntur obſtruere, vt nihil ex ea reddatur, alioqui ſi ſic tum obſtruant, certè violenta quapiam occaſione animal vrgente, neceſſariò id fieri, veriſſimum mihi videtur. Hoc verò, & in aliis noſtris libris eſt demonſtratum, nec magnus eius alioqui vſus ad propoſitam eſt diſputationem. Siquidem ſi arteriæ cordi aliquid impertiunt, ſic vtique ex omni parte tum rurſus remittant; ſin ſecus, ex omni certè parte trahent, tranſmittent autem in omnem partem, præterquam in cor. Ac mihi ſanè meliùs videtur hoc dogma, quàm Eraſiſtrati ſint hypotheſes; quum nec conſpirabile ſibi eſſe, nec confluxibile corpus poſſit, ſi arteriæ ex omni quidem parte trahant, in omnem autem non tranſmittant, præterea actionis earum vtilitas hac magis ratione ad totum animal pertingat, quippe quum eo pacto quælibet pars tum refrigerari, tum verò purgari, ipſis arteriarum variis motibus vſa poſſit. Vt autem Eraſiſtratus eſt opinatus, canalium anima carentium, non inſtrumentorum vita præditorum vſum animalibus arteriæ præſtant. Nos verò alibi integro volumine multifariam indicauimus, ſanguinem in arteriis, etiam rectè ſe habente animali, contineri. Quod ſi eſt, illud cuius pateat, quod non quia ſpiritu à corde immiſſo replentur, vt Eraſiſtratus putauit, idcirco dilatantur potius, quàm ex eo quod dilatantur, idcirco replentur. Quippe ſi ſanguine eſſent vacuæ, fieri fortaſſe poſſet, vt exiguo tempore, quod à corde confluit, ad fines earum perueniret; ſanguinem verò in ſe habentibus fieri omninò nequit, vt motus celeritas cum ea dilatatione conſentiat, quæ ex iis à corde implendis proueniat. Neque enim eo, quod implentur, idcirco dilatantur: verùm ex eo, quod dilatantur, idcirco implentur. Atque hoc quidem, & ſæpe, & paſſim tum à nobis ipſis, tum eorum, qui nos præceſſerunt plurimis ante eſt demonſtratum, arterias ita, vt cor, ſe ipſas mouere, viciſſim ſe attollentes ſummittentéſque, idque eadem, qua

A καὶ διαπαντὸς εὑρίσκοντες ἐκκενουμένας τὰς φλέβας ἅμα ταῖς ἀρτηρίαις, ἀληθὲς τὸ τῶν συναναστομώσεων, ἐκ τούτων ἐπείσθημεν δόγμα. διὰ γοῦν τούτων τῶν ἀναστομώσεων, ἐκ τῶν φλεβῶν ἕλκουσι μὲν ἐν ταῖς διαστολαῖς αἱ ἀρτηρίαι· ἐκθλίβουσι δὲ εἰς αὐτάς, ἐν ταῖς συστολαῖς. ὥσπερ διὰ τῶν εἰς τὸ δέρμα περαινομένων στομάτων, ἐκκρίνουσι μὲν ἔξω πᾶν ὅσον ἀτμῶδές τε, καὶ καπνῶδες περίττωμα, μεταλαμβάνουσι δὲ εἰς ἑαυτάς, ἐκ τοῦ περιέχοντος ἡμᾶς ἀέρος οὐκ ὀλίγην μοῖραν. καὶ τοῦτ' ἔστι τὸ πρὸς Ἱπποκράτους λεγόμενον, ὡς ἔκπνουν καὶ εἴσπνουν ἐστὶν ὅλον τὸ σῶμα. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἔκ τε τῆς γαστρὸς, καὶ τῶν ἐντέρων ἕλκουσί τε, καὶ αὖθις ἐκκρί-
B νουσιν. οὕτω δὲ καὶ ἐκ τῶν περιεχουσῶν αὐτὰς χωρῶν, διὰ τῶν οἷον ὀπῶν, τῶν καθ' ὅλους τοὺς χιτῶνας αὐτῶν, ἐν μέρει μὲν ἕλκουσιν, ἐν μέρει δ' ἐκκρίνουσι. παρὰ δὲ τῆς καρδίας, λαμβάνουσι μὲν πλεῖον, διδόασι δ' ἔλαττον. αἰτία δὲ, αἱ τῶν ὑμένων ἐπιφύσεις. ὑπὲρ ὧν αὐτάρκως Ερασιστράτου διειλεγμένου, περιττὸν ἡμᾶς νῦν γράφειν. ἀλλ' ἐκεῖνος μὲν ἔοικεν ὑπολαμβάνειν, μηδὲν ὅλως εἰς τὴν καρδίαν, ἐκ τῶν ἀρτηριῶν μεταλαμβάνεσθαι, πλὴν γε διὰ τῶν ἐν πνεύμονι. τὸ δὲ, οὐχ οὕτως ἔχει. τάχα μὲν γὰρ, καὶ τὰ καθ' αὐτὸν τὸν τῆς φύσεως νόμον διοικουμένου τοῦ ζώου, μεταλαμβάνεταί
C τι μικρόν. οὐχ οὕτως γάρ μοι δοκοῦσιν ἀκριβῶς ἀποφράττειν τὸ στόμα τῆς μεγάλης ἀρτηρίας οἱ ὑμένες, ὡς μηδὲν ἐξ αὐτῆς εἰς τὴν καρδίαν παλινδρομεῖν. εἰ δὲ μὴ, ἀλλά τοί γε βιαίας τινὸς περιστάσεως καταλαβούσης τὸ ζῶον, ἀναγκαῖον οὕτως γίνεται. πάντως δὲ μᾶλλον ἀληθὲς εἶναί μοι δοκεῖ. τοῦτο δὲ, καὶ δι' ἑτέρων ἡμῖν γραμμάτων ἀποδέδεικται, καὶ οὐ μεγάλη τις αὐτοῦ χρεία πρὸς τὸν ἐνεστῶτα λόγον. εἰ μὲν γάρ τοι καὶ τῇ καρδίᾳ μεταδιδόασιν αἱ ἀρτηρίαι, πανταχόθεν ἂν οὕτως ἕλκοιέν τε, καὶ αὖθις ἀντιπέμποιεν. εἰ δὲ μὴ πανταχόθεν μὲν ἕλξουσιν, ἐπιπέμψουσιν δὲ καὶ πλὴν εἰς τὴν
D καρδίαν πανταχόσε. καί μοι δοκεῖ, πολλῷ βέλτιον εἶναι τοῦτο τὸ δόγμα τῶν Ερασιστρατείων ὑποθέσεων, οὐδὲ γὰρ οὐδὲ σύμπνουν, οὐδὲ σύρρουν εἶναι τὸ σῶμα δυνατὸν ἑαυτῷ τῶν ἀρτηριῶν ἑλκουσῶν μὲν πανταχόθεν, μὴ ἐκπεμπουσῶν δὲ πανταχόσε. καὶ μὲν δὴ τὸ τῆς ἐνεργείας αὐτῶν χρηστὸν, ὧδε δ' ἂν μᾶλλον εἰς ἅπαν ἐκτείνειν τὸ ζῶον. οὕτω γὰρ ἅπαν μόνον ἀναψύχεσθαί τε, καὶ καθαίρεσθαι δυνήσεται, ταῖς τῶν ἀρτηριῶν διαφόροις κινήσεσι ἐπιστατούμενον· ὡς δ' Ερασίστρατος ὑπελάμβανεν, ὀχετῶν ἀψύχων ἔργον οὐκ ὀργάνων ζωτικῶν, αἱ
E ἀρτηρίαι τοῖς ζώοις ὑπηρετοῦσιν. ἡμεῖς δὲ, καὶ δι' ἑτέρου τινὸς ὅλου βιβλίου, πολυειδῶς ἀπεδείξαμεν, αἷμα κἂν τῷ κατὰ φύσιν ἔχειν τὸ ζῶον, ἐν αὐταῖς ἀρτηρίαις περιέχεσθαι. εἰ δὲ τοῦτο, πάντῃ που δῆλον, ὡς οὐχ ὅτι πληροῦνται τοῦ παρὰ τῆς καρδίας ἐπιπεμπομένου πνεύματος, ὡς Ερασίστρατος ἐνόμιζε, διὰ τοῦτο διαστέλλονται μᾶλλον, ἢ ὅτι διαστέλλονται, διὰ τοῦτο πληροῦνται. κενῶν μὲν γὰρ αἵματος οὐσῶν, ἐνδέχοιτ' ἂν ἴσως ἐν ὀλίγῳ χρόνῳ, τὸ ἀπὸ τῆς καρδίας ἐπιρρυὲν, ἀφικέσθαι μέχρι τῶν περάτων. αἷμα δὲ εἴπερ ἔχοιεν, οὐδαμῶς ἐγχωρεῖ τὸ τάχος τῆς κινήσεως, ὁμολογεῖν τῷ παρὰ τῆς καρδίας πλη-
F ρουμένας αὐτὰς διαστέλλεσθαι. οὐ γὰρ ὅτι πληροῦνται, διὰ τοῦτο διαστέλλονται· ἀλλ' ὅτι διαστέλλονται, διὰ τοῦτο πληροῦνται. τοῦτο μὲν δὴ πολλάκις τε, καὶ πανταχοῦ, καὶ ἡμῖν, καὶ πολλοῖς τῶν ἔμπροσθεν, ἀποδέδεικται, τὸ, τὰς ἀρτηρίας ἐνεργεῖν αὐτὰς, ὡς καὶ ἡ καρδία, συστελλομένας τε, καὶ διαστελλομένας ἐν μέρει, κατὰ τὴν αὐτὴν ἐκείνῃ δύναμιν, ὑπ'

ἐκ τῆς καρδίας ὁρμωμένην, διὰ τῶν χιτώνων αὐτῶν ἐλέγομεν πέμπεσθαι.

ipſum vi; quam ſcilicet à corde ortam per tunicas earum tranſmitti diximus.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Διαστολήν τε καὶ τὴν συστολὴν, ἐνεργείας εἶναι τῶν ἀρτηριῶν.

Κάλλιον δ' εἶναί μοι δοκοῦσι ποιεῖν οἱ ζητοῦντες, ἆρά τε τὴν διαστολὴν, ἢ τὴν συστολὴν, ἢ ἀμφοτέρας, ἐνεργείας χρὴ νομίζειν τῶν ἀρτηριῶν; ὥσπερ, οἶμαι, καὶ περὶ τῶν τῆς ἀναπνοῆς μερῶν, εὐλόγως ἐζητήθη πότερον τὴν ἐκπνοὴν, ἢ τὴν εἰσπνοὴν, ἢ ἀμφοτέρας ἐνεργείας ὑποληπτέον ὑπάρχειν; ἀλλὰ περὶ μὲν ἐκείνων, ἐν ἑτέροις εἴρηται τὰ εἰκότα. περὶ δὲ τῆς τῶν σφυγμῶν κινήσεως, νῦν ζητητέον. εἰ μὲν οὖν, ὥσπερ εἴρηται, τῆς αὐτῆς ἐνεργείας ἕνεκα γεγόνασιν, ἀναπνοή τε καὶ σφυγμὸς, καὶ πρὸς τῶν αὐτῶν δημιουργουσῶν δυνάμεων, ῥᾷστον ἂν εἴη τῇ πρὸς ἐκείνην ὁμοιότητι, καὶ περὶ τῶν σφυγμῶν τι τεκμήρασθαι. ἐπεὶ δὲ, τῶν μὲν σφυγμῶν ἡ ζωτικὴ δύναμις, ἡ ἀπὸ τῆς καρδίας ὁρμωμένη δημιουργὸς, τῆς δ' ἀναπνοῆς, ὡς ἐδείξαμεν, ἡ ἀπ' ἐγκεφάλου ψυχικὴ, οὐδὲν ἂν ἡμῖν, ἐκ τῶν ὑπ' ἐκείνης εὑρημένων εὐπορεῖ τῆς πρὸς τὰ προὔντα χαλεπωτέρας δήπου τῆς εὑρέσεως, καὶ διότι μετὰ τὸν θάνατον, οὐχ ὥσπερ τὰς φλέβας ἐστὶν ἰδεῖν εἰς ἑαυτὰς συμπιπτούσας, οὕτω καὶ τὰς ἀρτηρίας. αἱ μὲν γὰρ, ἐπειδὰν κενωθῶσι τοῦ αἵματος, εἰς ἑαυτὰς συνιζάνουσι τελέως· ὥστε τῶν ἄνωθεν αὐτῶν χιτῶνας, ἐπιπίπτειν τοῖς κάτωθεν. αἱ δ' ἀρτηρίαι μέχρι παντὸς διεστηκυῖαι φαίνονται, διὰ τὸ ἕτερον δηλονότι τῶν ἐν αὐταῖς χιτώνων τὸ σκληρόν. καί τοί τινες, καὶ αὐτὸ τοῦτο, μετὰ τὸν θάνατον γίνεσθαί φασι, πηγνυμένων ὑπὸ τῆς ψύξεως αὐτῶν, καὶ οὐ φύσει τοιούτων οὐσῶν. ἕτεροι δὲ εἰς θερμὸν ὕδωρ ἐμβαλόντες, εἶτ' ἔτι διεστώσας ὁρῶντες, οὕτω πείθονται διακεῖσθαι, καὶ πρὸ τοῦ θανάτου. ἐπανελθεῖν γὰρ εἰς τὴν ἀρχαίαν φύσιν, ἀπελθούσης τῆς ψύξεως, εἰ δὴ ταύτῃ τι ἐνεωτέριστο. παντοίως οὖν ἀπόρου τοῦ ζητουμένου ὄντος, οἷς τεκμηράμενος ἀμφοτέρας τὰς κινήσεις, τῶν ἀρτηριῶν ἐνεργείας εἶναι νομίζω, ἤδη φράσω. τὴν μὲν διαστολὴν, ἐπὶ τῆς δυνάμεως ἐῤῥωμένης μεγάλην γίνεσθαι, ὥσπερ τοὐναντίον, αὐτῆς ἀσθενούσης μικρὰν εἶναι πᾶσι πρόδηλον. ἐχρῆν δὲ, εἴπερ ὥς τινες οἴονται, τὸ μὲν συστέλλεσθαι, τῶν ἀρτηριῶν ἐνέργεια, τὸ δὲ διαστέλλεσθαι εἰς τὴν κατὰ φύσιν τῶν χιτώνων διάστασιν, ἐπάνοδος αὐτόματος, πρῶτον μὲν ἴσον ἀεὶ τὸν ὄγκον ὑπάρχειν τῶν διαστολῶν, ἔπειτα μηδὲν μᾶλλον ἐῤῥωμένης, ἢ ἀῤῥώστου δυνάμεως εἶναι ἔργον τὸ μέγεθος, οὐδέτερον δ' οὕτως ἔχει. καὶ πρόσεστιν ἕτερον τεκμήριον οὐ μικρὸν εἰς ταὐτὸν συντελοῦν. μέγιστοι καὶ ὑψηλότατοι σφυγμοὶ, τοῖς κάλλιστα κριθησομένοις γίνονται. καί τοι τότ' οὐκ ἄν τις, οὐδὲ μαινόμενος εἴπῃ τὴν δύναμιν ἀῤῥωστεῖν. εἰ γὰρ τὸ καλῶς κριθῆναι γίνεται ἐνδείᾳ δυνάμεως, τὸ κακῶς δι' εὐρωστίαν δηλονότι γενήσεται. εἰ δὲ τοῦτο, καὶ τὸ ἀποθανεῖν αὐτὸ, ῥώμης ἔργον εἶναι φήσομεν. τί οὖν ἂν εἴη γελοιότερον; ἀλλὰ καὶ τὸ σφοδρὸν τῆς πληγῆς ἐν τῷ διαστέλλεσθαι, τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον ὑπάρχειν, τῶν σφυγμῶν ἐπίτασιν, καὶ ἄνεσιν ἐνεργείας ἐνδείκνυται. εἰ δὲ τὸ φαῦλον τῆς ἐνεργείας ἦν ἡ διαστολὴ, καθάπερ ἡ ἐκπνοὴ, οὔτ' ἂν τὸ μᾶλλόν τε, καὶ ἧττον ἦν ἐν αὐτῇ καθὰ ἐν ταῖς ἐκπνοαῖς, οὔθ' ὅλως ὁ τόνος τε,

CAPVT VI.

Dilatationem & Contractionem eſſe Arteriarum actiones.

Aptius verò mihi dubitare videntur, qui illud quærunt, diaſtoléne, an ſyſtole, an vtraque arteriarum actio ſit cenſenda. Non ſecus arbitror, quàm de reſpirationis partibus meritò à prioribus eſt quæſitum, vtrumne inſpiratio an expiratio, an vtraque, actio ſit exiſtimanda. Verùm de illis alibi dicta ſunt, quæ veriſimilia videbantur. De pulſuum verò motu nunc quærendum. Ergo ſi vti dictum eſt, eiuſdem vſus cauſa reſpiratio, & pulſus animalibus eſſent dati, atque ab iiſdem facultatibus manarent, vtique facile eſſet ex reſpirationis ſimilitudine, etiam de pulſu coniecturam facere. At quoniam pulſuum vitalis facultas, quæ à corde manat effectrix eſt reſpirationis, vt indicauimus, quæ prodit à cerebro animalis, nihil ex iis quæ de illa ſunt inuenta, ad propoſita conſequimur. Iam ex eo quoque difficultas quædam ad inuentionem oritur, quòd poſt mortem non perinde vt venas ſic etiam arterias in ſe recidere videmus. Illæ ſimul, ac vacuæ ſanguine ſunt, prorſus in ſeipſas conſidunt, adeò vt ſuperna earum tunicæ pars cum inferna committatur. Arteriæ ſemper diſſidentibus cernuntur partibus, quod ſcilicet propter alteram earum tunicam, quæ dura eſt euenit. Quanquam ſunt qui hoc ipſum adeò euenire poſt mortem dicant, quòd frigore tum rigeant, non quòd natura tales ſint. Alij quum in aquam calidam conieciſſent, ac mox ita diſſidentes conſpexiſſent, ſic eas ſe habere etiam priùs quàm animal moreretur, ſibi perſuaſerunt; quippe in priorem habitum frigiditate iam diſcuſſa fuiſſe reuerſuras, ſi ſcilicet ex hac nouum habitum contraxiſſent. Itaque quum prorſus perdifficilis hæc ſit quæſtio, quibus coniectans rationibus vtrumque motum arteriarum actionem putem iam ſubiiciam. Quòd diaſtole valida facultate magna ſit, ſicuti è diuerſo imbecilla facultate parua, manifeſtè cernitur. Atqui oportebat, ſi quemadmodum quidam autumant, contractio ipſa arteriæ ſit actio, dilatatio verò tunicarum ipſius in naturalem partium diſtantiam ſpontaneus reditus, primum quidem eandem ſemper eſſe dilatationum magnitudinem, deinde magnitudinem nihilo magis robuſtæ, quàm imbecillæ facultatis opus eſſe, quorum vtrumque falſum eſt. Accedítque quo id conijciam, aliud non paruum, quòd maximi altiſſimíque pulſus iis affectibus, qui commodiſſimè per criſim paulò poſt finientur fiunt, quamuis hoc tempore vires eſſe imbecillas ne inſanus quidem dixerit. Nam ſi commodè aliquid per criſim viribus imbecillis finitur, vtique incommodè id fiet iiſdem robuſtis. Quod ſi eſt, mortem ipſam roboris virium opus eſſe dicemus, quo quid dici magis ridiculum poteſt? Quinetiam quòd ictus vehementia aliis pulſibus maior ſit, aliis minor, intendi ac remitti actionem eorum teſtatur. Quòd ſi, tanquam expiratio, ſic diaſtole actionis eſſet remiſſio, vtique nec intenſio in ea, nec remiſſio, ſicuti nec in expiratione cernerentur, nec

nec omninò robur, & vehementia ictus. Ac diastole quidem per hæc, & alia his similia ex actionum mihi genere videntur; seruarique etiam hactenus pulsuum cum respiratione similitudo potest.

A καὶ ἡ σφοδρότης τῆς προσβολῆς. ἡ μὲν οὖν διαστολὴ διὰ ταῦτά τε, καὶ ἄλλα παραπλήσια τούτοις, ἐκ τοῦ τῶν ἐνεργειῶν εἶναί μοι φαίνεται γένους, καὶ σώζοιτ' ἂν ἔτι, καὶ κατὰ τοῦτο ἡ πρὸς τὴν ἀναπνοὴν τῶν σφυγμῶν ὁμοιότης.

CAPVT VII.

Contractionem pulsus expirationi assimilari.

Deinceps illud considerandum videtur, an sicuti expiratio actionis pectoris remissio est, vel vtique cessatio, efflatus verò actio, atque idcirco intentionem, & remissionem admittens, quod expiratio non facit, sic systole in pulsibus, relaxatio arteriarum operis sit, aliáque huic annexa actio, quæ efflatui respondeat. Ac mihi id quoque videtur verissimum esse. Porrò coniicio id tum ex iis, quæ communiter de vniuersis vitæ facultatibus alibi à nobis demonstrata sunt, tum ex proportione ad ipsam expirationem. Siquidem in iis, quibus de eiusmodi facultatibus egimus, visum est quodque instrumentum contrarias inter se, sibi insitas facultates habere. Rursus similitudo ad respirationem, exigit in arteriis actionem, quæ proportione respondeat efflatui. Etenim absurdum maximè sit, nisi potius eiusmodi, quod fieri omninò non possit, esse aliquem naturæ systoles arteriarum vsum, nec tamen vim ingenitam, quæ eiusmodi motum efficeret, datam esse. Rationabilius igitur longè est, sicuti cum de respirationis difficultate agerem, est indicatum, vbi ex humorum deustione collectus fuliginosus vapor plurimus est, tum animal efflatum appetere, contra quum vel ob succi temperiem, vel caloris mediocritatem nihil talis excrementi colligitur, tum solum expirationem in arteriis quoque vbi tale excrementum redundat, similem efflatui systolen edi, reliquas, quum id quod ex ipsis vacuatur, halitui quàm fumo est similius. Sanè multa eorum, quæ in pulsu apparent, euidentia documenta sunt. Veluti & quæ per somnum in iis, qui ampliter comederunt, fieri aduertimus. In his enim remissior fit diastole, vt quæ tum minor effecta, tum verò tardior intelligatur. Intensio autem fit systoles in vtroque, quum & velociter, quàm priùs & magis intrò se recipere noscatur. Videntur autem hæc tum meritò per somnum fieri, tum cum expiratione consentanea esse. Quippe intrò magis quàm foràs, naturali calore se ferente, eóque etiam circa viscera & ventrem, qui succos & cibos concoquat, iam plurimo collecto, necessum est excrementum, quoniam id quoque copiosius gignitur, naturalem vacuationem desideret. Proinde in respiratione expiratio & maior, & plerumque cum efflatu ægris inter dormiendum visitur; maximéque id, vbi largiùs comederint. In pulsibus verò arteriæ contractio ad eundem se exhibet modum. Sic porrò & pueris ambo excellunt, quippe vehemens est his propter incrementum concoctio. Contra senum ætas tardiorem & minorem videtur habere systolen, vtpote minus necessariam, quum & imbecilliter concoquat, & succos minimè conficiat. Iam ad proportionem horum, tum anni tempus, tum regio, tum omnis, vno

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Τὴν τοῦ σφυγμοῦ συστολὴν τῇ ἐκπνοῇ ὁμοίαν εἶναι.

Ἐφεξῆς ἂν εἴη σκεπτέον, εἰ ὥσπερ ἡ ἐκπνοὴ ἄνεσίς ἐστι, καὶ οἷον ἀνάπαυσις τῆς ἐνεργείας τοῦ θώρακος, ἐκ- B φύσησις δὲ ἐνέργεια, καὶ διὰ τοῦτο τὸ μᾶλλόν τε, καὶ ἧττον ἔχει τῆς ἐκπνοῆς οὐκ ἐχούσης· οὕτως καὶ ἡ συστολὴ μὲν ἐν τοῖς σφυγμοῖς, ἔκλυσις τῆς ἐνεργείας ἐστὶ τῶν ἀρτηριῶν. ἑτέρα δὲ ἡ ταύτῃ παρακειμένη ἀνάλογος ταῖς ἐκφυσήσεσιν, ἡ ἐνέργεια. καί μοι δοκεῖ, καὶ τοῦτο, παντὸς μᾶλλον ἀληθὲς εἶναι. τεκμαίρομαι δὲ ἔκ τε τῶν κοινῇ περὶ πασῶν ἡμῖν τῶν ζωτικῶν δυνάμεων ἑτέρωθι δεδειγμένων, κἀκ τῆς πρὸς αὐτὴν τὴν ἀναπνοὴν ἀναλογίας. ἐν μέν τοί γε τοῖς περὶ τῶν δυνάμεων λογισμοῖς ἑκάστῳ τῶν ὀργάνων, ἐμφαίνει ἐναντίως ἔχειν ἐμφύτους δυνάμεις. ἡ δ' αὖ τῆς ἀναπνοῆς C ὁμοιότης, ζητεῖ τὴν ἐνέργειαν ἐν ταῖς ἀρτηρίαις, ἀνάλογον ταῖς ἐμφυσήσεσιν. καὶ γὰρ ἀτοπώτατον ἂν εἴη, μᾶλλον δ' ἀδύνατον, ὑπάρχειν μέν τινα χρείαν τῇ φύσει τῆς συστολῆς τῶν ἀρτηριῶν, μηδεμίαν δ' αὐταῖς δεδόσθαι σύμφυτον δύναμιν, δημιουργὸν τῆς τοιαύτης κινήσεως. εὐλογώτερον οὖν μακρῷ, καθάπερ ἐν τοῖς περὶ δυσπνοίας ἐδείκνυμεν, ὁπότε μὲν ἡ ἐκ τῆς τῶν χυμῶν συγκαύσεως ἀθροιζομένη λιγνυώδης ἀναθυμίασις ἀξιόλογος ᾖ, τηνικαῦτα μὲν ἐκφυσήσεως τὸ ζῷον ἐφίεσθαι. ὁπότε δ' ἤτοι διὰ τὴν εὐχυμίαν, ἢ τὴν τοῦ θερμοῦ μετριότητα, μηδὲν τοιοῦτον ὑπο- D τρέφηται περίττωμα, μόνης τῆς ἐκπνοῆς. κἀν ταῖς ἀρτηρίαις, τὴν μὲν ἀνάλογον ταῖς ἐκφυσήσεσι συστολὴν, ἐν ταῖς πλεονεξίαις τοῦ τοιούτου περιττώματος γίνεσθαι. τὰς δ' ἄλλας, ὅταν ἀτμῷ μᾶλλον, ἢ καπνῷ παραπλήσιον ᾖ τὸ κενούμενον ἐξ αὐτῶν. ἐναργῆ δὲ, μαρτύρια πάμπολλα τῶν ἐν τοῖς σφυγμοῖς φαινομένων. οἷον εὐθέως τὰ κατὰ τοὺς ὕπνους ἐπὶ τῶν ἐδηδοκότων δαψιλῶς. ἐν τούτοις γὰρ, ἐκλύεται μὲν ἡ διαστολὴ μικροτέρα τε ἅμα, καὶ βραδυτέρα γινομένη, ἐπιτείνεται δὲ κατ' ἄμφω ἡ συστολὴ, καὶ γὰρ ὠκυτέρα ἢ πρόσθεν, καὶ ἐπὶ πλέον εἴσω κατιοῦσα φαίνεται. ἔοικε γὰρ ταῦτα γί- E νεσθαι κατὰ τοὺς ὕπνους, εὐλόγως θ' ἅμα, καὶ ἀνάλογον ταῖς ἐκπνοαῖς. ἔσω γὰρ μᾶλλον, ἢ ἔξω κινουμένης τῆς ἐμφύτου θερμασίας, καὶ διὰ τοῦτο πολλῆς ἀθροιζομένης κατά τε τὰ σπλάγχνα, καὶ τὴν γαστέρα κατεργαζομένην τούς τε χυμοὺς, καὶ τὰ σιτία, πλείων ἀνάγκη, καὶ τὸ περίττωμα γινόμενον, δεῖσθαι τῆς φυσικῆς κενώσεως. καὶ διὰ τοῦτο ἐν μὲν ταῖς ἀναπνοαῖς, ἡ ἐκπνοὴ θάττων τε, καὶ μείζων, καὶ ὡς ἐπὶ τὸ πολὺ, μετ' ἐκφυσήσεως τοῖς κάμνουσι κοιμωμένοις, καὶ μάλιστα ὅταν ἐδηδοκότες ὦσιν ἱκανά. κατὰ δὲ τοὺς σφυγμοὺς, ἡ συστολὴ τὸν αὐτὸν διατίθεται τρόπον. οὕτω τοι καὶ τοῖς παισὶν ἄμφω F πλεονεκτεῖ. πλείστη γὰρ καὶ ἡ τῶν χυμῶν ἐργασία τοῖς τοιούτοις, διὰ τὴν αὔξησιν. ἔμπαλιν δὲ ἡ τῶν γερόντων ἡλικία, βραδυτάτην τε, καὶ μικροτάτην ἔχουσα φαίνεται τὴν συστολὴν, ὡς ἀμυδρὰν, καὶ περὶ τὰς πέψεις ἀσθενοῦσαν, καὶ τοὺς χυμοὺς ἥκιστα κατεργαζομένην, ὡς μὴ ἀναγκαίαν. ἀνάλογον δὲ τούτοις, καὶ τὰς ὥρας τε, καὶ χώρας, καὶ πάσας,

ἁπλῶς τοῦ περιέχοντος ἡμᾶς ἀέρος τὰς μεταβολάς, εἰς ψύχος τε καὶ θάλπος ἀλλοιοῦσθαί φασι, τοὺς σφυγμούς. οὕτω δὲ καὶ τῶν ψυχικῶν παθῶν, καὶ τῶν ἐπιτηδευμάτων τε, καὶ νοσημάτων ἕκαστον, ἤτοι τὴν ἔξω κίνησιν αὔξει τῶν ἀρτηριῶν, ἢ τὴν εἴσω. καίτοι γ' ἐχρῆν εἰ διὰ παντὸς ἀνάπαυσίς τις ἦν ἡ διαστολή, πρῶτον μηδαμῶς, μήτ' ὠκυτέραν ἑαυτῆς, μήτε βραδυτέραν ταύτην γίνεσθαι. δεύτερον δέ, καὶ τῆς κινήσεως, ὅρον ἕνα διὰ παντὸς ὑπάρχειν, ὃν ἐκ τῆς φυσικῆς κατασκευῆς, αἱ ἀρτηρίαι κέκτηνται, τὸ δέ, καὶ τοῦτο προσωτέρω κινεῖν αὐτάς, ἐνδεικτικόν ἐστι τῆς τότε γινομένης ἐνεργείας. ἀλλ' οὐκ ἐνεργοῦσα, φασίν, ἡ ἀρτηρία θᾶττόν τε, καὶ μέχρι πλέονος, εἴσω προσέρχεται, ἀλλὰ διὰ τῶν χιτώνων μαλακότητα. πεφύκασι γὰρ οἱ τοιοῦτοι τῆς διαστολῆς ἀφεθέντες, ἐπὶ πλέον τε, καὶ θᾶττον τῶν σκληρῶν εἰς ἑαυτοὺς συνιζάνειν. ἀλλὰ τοῦτο φήσομεν, ὦ γενναῖοι, τῇ μὲν κατὰ τὰς ἡλικίας ἐξαλλαγῇ τῶν ῥυθμῶν ἴσως ὁμολογεῖν. καίτοι δείξομεν ὀλίγον ὕστερον ὅπως διαφέρεται. παμπόλλαις τ' ἄλλαις διαθέσεσιν ἐναργῶς διαφωνεῖ, καθ' ἃς ἐξαιφνίδιος ἡ ἀλλοίωσις γίνεται τῶν ῥυθμῶν, οὐδὲν μέγα τῶν χιτώνων, ἐν οὕτως ὀλίγῳ χρόνῳ μεταβάλλειν εἰς μαλακότητά τε, καὶ σκληρότητα δυναμένων. ἐξαπατᾶται δὲ οὐχ ἥκιστα ἡμᾶς, καὶ τὸ καλῶς ὑπὸ τῶν παλαιῶν ἰατρῶν εἰρημένον, οὐ συνιέντας αὐτὸ προσηκόντως. ἑτοιμότεροι γάρ εἰσί τε πρὸς τὰς κινήσεις οἱ μαλακοὶ χιτῶνες, ὅταν ἐνεργῶσί τι δι' αὐτῶν αἱ δυνάμεις. εὐπειθέστεροι γὰρ οὕτως αὐταῖς εἰσι, καὶ ὡς ἂν εἴποι τις εὐαγωγότεροι, πρὸς ὅ,τι ἂν ἐθέλωσιν. ὅταν δ' ὑπ' ἐκείνων κινηθέντες, αὖθις ἐαθῶσιν εἰς τὴν ἑαυτῶν κατάστασιν ἐπανιέναι, τόθ' οἱ σκληροί, θᾶττον ἐπανέρχονται τῶν μαλακωτέρων. ὥσπερ καὶ τῶν φυτῶν, τὰ σκληρότερα τῶν μαλακωτέρων, χαλεπώτερον μὲν ὑπείκει τοῖς βιαζομένοις, καὶ μόλις ἕπεται τοῖς ἕλκουσιν. ἀφεθέντα δ' αὖθις, εὐκολώτερον εἰς τὴν ἔμπροσθεν ἐπανέρχεται κατάστασιν. ἀλλὰ καὶ λόγον ἔχον ἐστὶ τοῦτο, πρὸ τοῦ φαίνεσθαι γινόμενον οὕτως. ἑκάστῳ γὰρ τῶν σωμάτων ἐστί τις ἴδιος λόγος συστάσεως ἄλυπός τε, καὶ ὡς Ἱπποκράτης ἔλεγεν, ἀκάματος, ἐν τῷ μέσῳ δηλονότι τῶν ἀμέτρων αὐτοῦ κινήσεων, καθεστηκυίας. καὶ ταύτης οὐκ ἄνευ καμάτου τινὸς ἐξίσταται. καὶ μείζων δὲ κάματος, καὶ αὐτῷ τῷ κινουμένῳ σώματι, καὶ τῇ κινούσῃ δυνάμει τότε μᾶλλόν ἐστιν, ὅταν σκληρόν τε, καὶ ξηρὸν ὑπάρχει. τὸ γὰρ οὕτω συνεστηκός, ἰσχυροτέραν ἔχει τὴν ἕξιν τοῦ μαλακωτέρου τε, καὶ ὑγροτέρου. ὅσῳ δ' ἂν ἕκαστον τῶν ὁτιοῦν πάσχειν μελλόντων ἰσχυρότερον ᾖ, τοσοῦτον τῷ διατιθέντι δυσκινητότερον γίνεται. εἴπερ οὖν πάσχει μὲν τὸ κινούμενον ὑπὸ τοῦ κινοῦντος, ἐνεργεῖ δὲ καὶ δρᾷ περὶ αὐτὸ τὸ κινοῦν, εὔλογον ἦν ὅσον δυσπαθέστερόν ἐστι τὸ σκληρότερον, εἰς τοσοῦτον, καὶ δυσκινητότερον αὐτὸ γίνεσθαι. καὶ διὰ τοῦτο, εἴτε φυτὸν ὁτιοῦν, εἴτε τῶν ὀργανικῶν τι τοῦ ζώου μορίων ὑπὸ δυνάμεώς τινος κινοῖτο, τὸ μὲν σκληρόν, ὡς ἂν δυσπαθέστερόν τε, καὶ δυσκινητότερον, ἧττον ἀκολουθεῖ, ῥᾷον δὲ τὸ μαλακώτερον. τοῦ μαλακωτέρου δὲ τὸ σκληρόν, θᾶττον εἰς τὴν ἑαυτοῦ κατάστασιν ἐπανέρχεται, ὡς ἂν ἰσχυροτέρᾳ συνεχόμενον ἕξει. φαίνεται γὰρ ἐν τοῖς φυτοῖς, ὅσα μὲν ἁπαλά, καὶ νέα λυγιζόμενά τε, καὶ βραδύνοντα κατὰ τὰς εἰς τὴν φύσιν ἐπανόδους, ὅσα δ' ἤδη τέλεια, καὶ σκληρὰ μετὰ πλείονος τοῦ τόνου, καὶ θάττονος

verbo, ambientis nos aëris ad frigus & calorem mutatio, pulſus alterare videntur. Pari modo & animi affectus omnes, & vitæ ſortes, & morbi, arteriarum motum introrſus extrorſúsve promouent; quanquam ſcilicet oportebat, ſi diaſtole ceſſatio & quies eſſet, primum illud accidere, vt non aliàs videretur celerior, aliàs tardior; deinde vt terminus & finis motus ſemper is eſſet, quem ex naturali compoſitione arteriæ poſſiderent. Verùm quum præter quoque hunc terminum ſe ipſas moueant, indicium eſt tum etiam obitæ actionis. At inquiunt, arteria non agendo aliquid, celerius interiúſque deſcendit, ſed propter tunicarum mollitiem; habiles enim ſunt tales ceſſante diaſtole, & vlterius & celerius, quàm duræ, in ſe ipſas recidere. At hoc, viri probi, mutationi illi modulorum pulſus, quæ ex ætate ſpectatur, fortaſſe conſentire dicemus; tametſi paulò poſt, quemadmodum diſſentiat indicabimus. Cæterùm plurimis aliis effectibus euidenter repugnat; in quibus ſcilicet ſubitanea eſt modulorum pulſus mutatio; quum nihil adeò in tantillo tempore mutari in mollitiem, & duritiem poſſit. Fallit autem non minimè nos, & quod à veteribus medicis probè dictum, non rectè à nobis intelligitur. Quippe faciliores ad motus erunt molles tunicæ, quum ſcilicet facultates ipſæ aliquid per eas moliuntur; ſi quidem ſic illis ſunt magis obſequentes, & vt ſic dixerim, ad id quod volunt, ſequaciores. Quum verò poſtquam ab iis ſunt motæ, rurſum permittuntur ad ſtatum proprium redire, tum vtique duræ, quàm molles celeriùs reuertuntur. Non aliter planè, quàm duræ ſtirpes, quæ difficiliùs, quàm molles cogenti ipſas cedunt, vixque trahentem ſequuntur; dimiſſæ rurſus in priorem ſtatum facilè redeunt. Quinetiam ſupra id, quod hoc ſic fieri apparet, etiam ratio idem confirmat. Omni enim corpori ſuus quidem ſtatus eſt, omnis tum doloris, tum verò, vt Hippocrates ait, laboris expers, ſcilicet in medio exceſſuum ſui motus poſitus. Nec ab hoc citra offenſam id remoueris. Eſtque maior noxa tum ipſi moto corpori, tum verò facultati, quæ id mouet, quum ipſum durum ſiccúmque eſt, Quod enim ſic eſt affectum, valentiorem habitum habet, quàm id quod mollius eſt, atque humidius. Quantò autem quicquid eorum, quæ paſſura quicquam ſunt, valentius fuerit, tantò vtique eum, qui nouum illi ſtatum inducit, difficilius ſequitur. Ergo ſi quod mouetur, ab eo, quod mouet, patitur, agit autem facitque in ipſum id quod mouet, ratio eſt, vt quantò ægriùs patitur id, quod durius eſt, tantò etiam idem difficilius moueatur. Proinde, ſiue ſtirps vlla, ſiue animantium pars vlla inſtrumentalis à facultate quauis moueatur, quod durum eſt, vtpotè difficilius patibile, difficiliúſque mobile, minùs obſequetur; quod mollius eſt, facilius ducetur. At quod eſt durum, ceu valentiore firmatum habitu, velocius in ſuum ſtatum reuertitur. Nam in ipſis ſtirpibus, quæ tenellæ nouellæque ſunt, tum vt ilium vſum præbere, tum verò ad reditum in naturæ habitum ſegnes eſſe cernuntur. E diuerſo, quæ abſoluta iam duráque ſunt, cum impetu maiore, ac motu

motu celeriore reuertuntur. Ergo præter id, quòd à subito mutatis arteriæ motibus refutatur eorum ratio, vt dixi, etiam nec cum iis, quæ fieri euidenter apparent, consentire videtur eorum hypothesis; indicato præsertim quòd mollius & imbecillius corpus, vt facilè ducentem sequitur, ita segnius in naturam reuertitur; Durum contra, tum roboris renixu vix vincitur, tum tardius sequitur, ac celerius, quum suo impetui dimittitur, ad propriam naturam festinat. Quæ ambo, vt summa complectar, tum mollibus arteriis, tum duris per vices incidunt.

τῆς κινήσεως ἐπανερχόμενα. πρὸς δὲ τούτῳ, ὡς ἔφην, καταβάλλειν αὐτῶν τὸν λόγον τὰς ἐξαίφνης γινομένας μεταβολὰς τῶν ῥυθμῶν, οὐδ' ἄλλως ἔοικεν ὁμολογεῖν τοῖς φαινομένοις ἡ ὑπόθεσις, δειχθέντος, τοῦ μὲν μαλακωτέρου σώματος, καὶ ἀσθενεστέρου, ῥᾷον μὲν ἑπομένου τῷ κινοῦντι, βραδύτερον δ' εἰς τὴν φύσιν ἐπανερχομένου, τοῦ δὲ σκληροτέρου διὰ εὐτονίαν, μόγις μὲν νικωμένου, καὶ διὰ τοῦτο βραδύτερον ἑπομένου. θᾶττόν τε ὅταν ἀφεθῇ, πρὸς τὴν οἰκείαν ἐπειγομένου φύσιν. συνελόντι δὲ φάναι, καὶ ταῖς μαλακαῖς ἀρτηρίαις ἄμφω συμβέβηκε πάλιν ἐν μέρει, καὶ ταῖς σκληραῖς.

CAPVT VIII.

Epilogus totius libri.

DE pulsuum vsu dixi rem totam. Nam & quòd naturalis, qui per totum animal diffunditur, caloris gratia sint conditi; & quòd dilatata arteria, is refrigeretur, contracta rursus purgaretur. Et quòd motus hi, spiritus motibus omninò sint assimiles. Et quòd animali spiritui conducant. Et quòd vna re tantum respiratio & pulsus dissideant, nempe quòd illa ab animali facultate, hic à vitali manet. Reliquis, vel quòd ad vtilitatem, vel quòd ad motus modum spectat, similiter se habeant. Dictum præterea ac demonstratum est facilè vtique, qui hæc curiosè relegerit, discernere posse, & quæ rectè à prioribus sint dicta, & quæ secus. Facilè verò eiusmodi est, & quæcunque membratim de vtraque actione quæruntur ea inuenire.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ἐπίλογος ὅλου βιβλίου.

Εἴρηταί μοι τὸ πᾶν ἤδη, περὶ χρείας σφυγμῶν. καὶ γὰρ ὅτι φυσικῆς ἕνεκα τῆς καθ' ὅλον τὸ ζῶον θερμασίας. καὶ ὅτι κατὰ μὲν τὰς διαστολὰς διαψύχεται τοῦτο, κατὰ δὲ τὰς συστολὰς, καθαίρεται. καὶ ὡς αἱ κινήσεις, αἵδε, ταῖς ἀναπνευστικαῖς ἐοίκασι πάντη, καὶ ὡς καὶ τῷ ψυχικῷ πνεύματι χρήσιμοι. καὶ ὡς καθ' ἓν μόνον, ἀναπνοὴ καὶ σφυγμὸς διαφέρουσι, τῷ τὴν μὲν ὑπὸ τῆς ψυχικῆς δυνάμεως, τὸν δ' ὑπὸ τῆς ζωτικῆς γίνεσθαι. τὰ δ' ἄλλα πάντα, καὶ χρείας ἕνεκα, καὶ τρόπου κινήσεως, ὁμοίως ἔχουσιν, εἴρηταί τε καὶ δέδεικται. ῥᾷστον δὴ, ταῦτ' ἐπιμελῶς ἀναλεξαμένῳ διακρίνειν δύνασθαι, τά τε καλῶς ὑπὸ τῶν ἔμπροσθεν εἰρημένα. καὶ τὰ μή. ῥᾴδιον δὲ τῷ τοιούτῳ, καὶ ὅσα κατὰ μέρος ὑπὲρ ἀμφοτέρων ζητεῖται τῶν ἐνεργειῶν, ἐξευρίσκειν.

ΓΑΛΗΝΟΥ ΒΙΒΛΙΟΝ, ΟΤΙ ΤΑ ΤΗΣ ΨΥΧΗΣ ΗΤΗ ΤΑΙΣ ΤΟΥ ΣΩΜΑΤΟΣ ΚΡΑΣΕΣΙΝ ΕΠΕΤΑΙ.

GALENI LIBER QVOD ANIMI MORES CORPORIS TEMPERAMENTA SEQVANTVR.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Κρᾶσιν εἶναι τὴν ψυχὴν, ἧς τὰ μὲν ἤθη, κατὰ τὸν τρόπον τῶν τόπων, καὶ τῶν σιτίων, καὶ συλλήβδην τῆς κράσεως ἀλλοιοῦσθαι κατὰ τοὺς φιλοσόφους ἀρίστους.

ARGVMENTVM LIBRI.

Temperamentum esse animam, cuius mores mutantur locorum, alimentorum, ac in vniuersum temperamenti ratione, philosophorum optimorum auctoritate.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Η τῆς ταύτης διδασκαλίας χρεία.

ΤΑΙΣ τοῦ σώματος κράσεσιν ἕπεσθαι τὰς A δυνάμεις τῆς ψυχῆς, οὐχ ἅπαξ, ἢ δὶς, ἀλλὰ πάνυ πολλάκις, οὐδ' ἐπ' ἐμαυτοῦ μόνου βασανίσας τε, καὶ πολυειδῶς ἐρευνήσας, ἀλλ' ἀπ' ἀρχῆς μὲν ἅμα τοῖς διδασκάλοις· ὕστερον δὲ σὺν τοῖς ἀρίστοις φιλοσόφοις, ἀληθῆ τε διὰ παντὸς εὗρον τὸν λόγον, ὠφέλιμόν τε τοῖς κοσμῆσαι τὰς ἑαυτῶν ἐθέλουσι ψυχάς. ἐπειδὴ γὰρ ὡς δίηλθον ἐν τῇ περὶ τῶν ἐθῶν πραγματείᾳ, καὶ διὰ τῶν ἐδεσμάτων τε, καὶ πομάτων, ἔτι τε τῶν ὁσημέραι πραττομένων, εὐκρασίαν ἐργαζόμενοι τῷ σώματι, κἀκ ταύτης εἰς ἀρετήν τι τῆς ψυχῆς συντελέσομεν, ὥς οἱ περὶ Πυθα- B γόραν καὶ Πλάτωνα, καί τινες ἄλλοι τῶν παλαιῶν ἱστοροῦνται πράξαντες.

CAPVT PRIMVM.

Doctrinæ huius vsus.

ORATIONEM hanc, corporis temperamenta, facultaets animæ sequi, non semel ttque bis, sed frequenter admodum, accurata ac varia inuestigatione scrutatus, nec solus ipse, sed vnà quidem cum præceptoribus, deinde cum optimis quibusque philosophis, veram omninò esse comperi, ac iis vtilem, qui suis ipsorum animis cultum adferre nituntur. quandoquidem dum vt in commentario de consuetudinibus ex cibis & potibus, iisque præterea quæ quotidie administrantur, probum corpori temperamentum comparamus, etiam ex hac rursus animam ad virtutem adipiscendam nonnihil adiuuabimus; quomodo Pythagoræ ac Platonis imitatores, tum alij quidam veterum fecisse narrantur.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τὰς ψυχὰς ἀλλήλων διαφέρειν κατὰ τὰς τῶν ἔργων διαφοράς.

ΑΡχὴ δὲ παντὸς τοῦ μέλλοντος εἰρῆσθαι λόγου, γνῶσις τῆς διαφορᾶς τῶν ἐν τοῖς μικροῖς παιδίοις φαινομένων ἔργων τε, καὶ παθῶν τῆς ψυχῆς, ἐξ ὧν αἱ δυνάμεις αὐτῆς καταδηλοι γίνονται. τινὰ μὲν γὰρ αὐτῶν φαίνονται δειλότατα, τινὰ δὲ καταπληκτικώτατα. καί τινα μὲν ἄπληστα, καὶ λίχνα. τινὰ δὲ ἐναντίως διακείμενα. καί τινα μὲν ἀναίσχυντα, τινὰ

CAPVT II.

Differre inuicem animas ex actionum differentia.

POrrò initium sermonis quem in præsentia persequar, à notione differentiarum petetur, quæ in actionibus puerulorum, & animæ affectibus apparent, ex quibus facultates ipsius animæ innotescent. Alij siquidem ex eis timidissimi, alij maximè attoniti cernuntur. Hi rursus insatiabiles, & præter modum ventri & gulæ dediti. Illi contrà sunt affecti. Quidam verecundi, nonnulli

nulli quoque impudentes sunt. Insuper plerasque id genus alias differentias, quas simul omnes alibi commemorauimus inuenire licet. Hoc in loco exempli gratia, trium & specierum & partium animæ, diuersas facultates naturâ pueris inesse demonstrasse sufficit. Hinc enim erit colligere, non eandem omnes naturam obtinere. Porrò naturæ & substantiæ vocabulum in huiusmodi orationibus idem significare liquidò constat. Nam si ipsorum animæ substantia mutari non posset, easdem obirent functiones, iisdémque ob causas consimiles ducerentur affectibus. Constat itaque pueros tantum inter se animarum substantiis, quantum actionibus & affectibus differre, quod si ita se habet, facultatibus quoque differunt. Confunduntur autem in hoc statim sapientum plerique parum rectè sentientes de facultate. Etenim de illis ita mihi fingere videntur, quasi res quædam substantias inhabitet, vt nos domicilia; ignorantes interim quòd singulorum quæ fiunt, effectrix quædam sit causa considerata secundum relationem ad aliquid; & huius causæ ceu rei talis cuiuspiam priuata aliqua & per se existit appellatio. In illo verò, ad id quod fit ab ipsa respectu, facultas est eius quod efficitur. Eóque tot substantiæ facultates esse pronunciamus, quot functiones; verbi gratia, aloë vim purgandi & roborandi stomachum, & vulnera cruenta glutinandi, & cicatricem inducendi vlceribus, postremò palpebrarum humiditates exiccandi obtinet; dum nihil extet vllum præter aloën quod singula modo relata faciat. Hæc enim ista effecit; ac ideo quia potest ea facere, tot habere dicta est facultates, quot opera. Dicimus itaque aloën posse purgare stomachum, roborare, glutinare vulnera, cicatricem vlceribus obducere, & oculos humentes exiccare. Nihil autem refert, siue purgare posse aloën, siue purgandi facultatem habere dicas. Eodem modo nec illa significatu variant, oculos humidos posse desiccare, & siccandi oculos vim obtinere; sicut quum dicimus, anima ratiocinatrix quæ in cerebro sedem habet, per sensoria sentire potest, item meminisse per sensibilia ex se potest ipsa, & consequentiam in rebus pugnantiamque cernere, denique compositionem earum atque resolutionem pernoscere, aliud innuimus nihil, quàm si breuiore huiusmodi epilogo comprehendamus. Ratiocinatrix anima variis est prædita facultatibus, sensu videlicet, memoria, intellectu, aliísque singulis. At quia non solùm sentire ipsam posse dicimus, sed etiam speciatim videre, audire, odorari, gustare, & tangere, alias rursus facultates ipsam habere tuemur, visoriam, auditricem, odoratricem, gustatricem, & tactricem. Ita verò & appetentem in ea facultatem inesse Plato pronunciabat, quam vtique non proprio, sed communi nomine concupiscibilem appellare consueuit. Siquidem plures esse & huius animæ cupiditates ait, plures item irascibilis. Multò verò tum plures, tum magis varias eius quæ numero tertia est, quam idcirco excellentiæ vocabulo concupiscibilem nominauit, quòd homines ita nonnunquam ea quæ in comprehensis sub genere principatum tenent, generis nomine appellare consuerint; veluti quum carmen hoc à Poëta, illud à Poëtria recitatum esse commemorant, nemo est qui non Homerum poëtam, Sapphon poëtriam accipiat.

A δὲ αἰσχυντηλά, καὶ πολλὰς ἑτέρας ἔχοντα τοιαύτας διαφοράς, ἃς ἁπάσας ἐν ἑτέροις διῆλθον. ἐνταυθοῖ δ' ἀρκεῖ παραδείγματος ἕνεκα τῶν τριῶν αὐτῆς εἰδῶν τε, καὶ μερῶν ἐνδεδεῖχθαι τὰς δυνάμεις, ἐναντίας ὑπαρχούσας φύσει τοῖς βρέφεσιν. ἐκ τούτου γὰρ ἐνέσται συλλογίζεσθαι, μὴ τὴν αὐτὴν ἅπασι φύσιν εἶναι ψυχῆς. εὔδηλον δὲ ὅτι τὸ τῆς φύσεως ὄνομα κατὰ τοὺς τοιούτους λόγους, ταὐτὸν σημαίνει τὸ τῆς οὐσίας. εἴπερ γὰρ ἦν ἀπαράλλακτος αὐτῶν ἡ οὐσία τῆς ψυχῆς, ἐνήργουν τε τὰς αὐτὰς ἐνεργείας, ἔπασχόν τ' ἂν ἀπὸ τῶν αὐτῶν αἰτιῶν τὰ αὐτὰ πάθη. δῆλον οὖν ὅτι διαφέρουσιν ἀλ- B λήλων οἱ παῖδες, εἰς τοσοῦτον ταῖς τῶν ψυχῶν οὐσίαις, εἰς ὅσον καὶ ταῖς ἐνεργείαις τε, καὶ τοῖς παθήμασιν αὐτῶν. εἰ δὲ τοῦτο, καὶ ταῖς δυνάμεσι. συγκεχυμένοι δέ εἰσιν εὐθὺς ἐν τούτῳ πολλοὶ τῶν σοφῶν, ἀδιάρθρωτον ἔννοιαν ἔχοντες περὶ δυνάμεως. ὥσπερ γὰρ ἐνοικοῦντός τινος πράγματος ταῖς οὐσίαις, ὡς ἡμεῖς ταῖς οἰκίαις, οὕτω μοι δοκοῦσι περὶ τῶν δυνάμεων φαντάζεσθαι, μὴ γινώσκοντες ὅτι τῶν γινομένων ἑκάστου, ποιητική τίς ἐστιν αἰτία νοουμένη κατὰ τὸ πρός τι, καὶ ταύτης τῆς αἰτίας, ὡς μὲν πράγματος ποιουδέ τινος, ἰδία καὶ καθ' ἑαυτὸ προσηγορία τίς ἐστιν. ἐν δὲ τῇ πρὸς τὸ γι- C νόμενον ἀφ' ἑαυτῆς σχέσει, δύναμίς ἐστι τοῦ γινομένου, καὶ διὰ τοῦτο, τοσαύτας δυνάμεις ἔχειν τὴν οὐσίαν φαμέν, ὅσας ἐνεργείας· οἷον τὴν ἀλόην καθαρτικήν τε δύναμιν ἔχειν, καὶ τονωτικὴν στομάχου, καὶ τραυμάτων ἐναίμων κολλητικήν, ἰσοπέδων ἑλκῶν ἐπουλωτικήν, ὑγρότητος βλεφάρων ξηραντικήν, οὐ δήπου τῶν εἰρημένων ἔργων ἕκαστον ἄλλου τινὸς ποιοῦντος, παρὰ τὴν ἀλόην. αὕτη γάρ ἐστιν ἡ ταῦτα δρῶσα, καὶ διὰ τὸ δύνασθαι ποιεῖν αὐτά, τοσαύτας ἐλέχθη δυνάμεις ἔχειν ὅσα τὰ ἔργα. λέγομεν γοῦν τὴν ἀλόην καθαίρειν δύνασθαι, καὶ ῥωννύναι στόμαχον, καὶ κολ- D λᾶν τραύματα, καὶ ἕλκη συνουλοῦν, καὶ ὀφθαλμοὺς ὑγροὺς ξηραίνειν, ὡς οὐδὲν διαφέρειν, ἢ καθαίρειν δύνασθαι φάναι τὴν ἀλόην, ἢ δύναμιν ἔχειν καθαρτικήν. οὕτω δὲ καὶ τὸ ξηραίνειν ὑγροὺς ὀφθαλμοὺς δύνασθαι, ταὐτὸν σημαίνει τῷ δύναμιν ἔχειν ὀφθαλμῶν ξηραντικήν. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ὅταν εἴπωμεν. ἡ ἐν ἐγκεφάλῳ καθιδρυμένη λογιστικὴ ψυχή, δύναται μὲν αἰσθάνεσθαι διὰ τῶν αἰσθητηρίων, δύναται δὲ καὶ μεμνῆσθαι διὰ τῶν αἰσθητῶν αὐτὴ κατ' αὐτήν, ἀκολουθίαν τε καὶ μάχην ἐν τοῖς πράγμασιν ὁρᾶν, ἀνάλυσίν τε καὶ σύνθεσιν οὐκ ἄλλο τι δηλοῦμεν, ἢ εἰ περι- E λαβόντες εἴποιμεν. ἡ λογιστικὴ ψυχή, δυνάμεις ἔχει τὰς πλείους· αἴσθησιν, καὶ μνήμην, καὶ σύνεσιν, ἑκάστην τε τῶν ἄλλων. ἐπεὶ δὲ οὐ μόνον αἰσθάνεσθαι δύνασθαί φαμεν αὐτήν, ἀλλὰ καὶ κατ' εἶδος ὁρᾶν, ἀκούειν, ὀσμᾶσθαι, γεύεσθαι, ἅπτεσθαι. πάλιν αὖ δυνάμεις αὐτὴν ἔχειν λέγομεν, ὀπτικήν, ὀσφραντικήν, ἀκουστικήν, γευστικήν, ἁπτικήν. οὕτω δὲ καὶ τὴν ἐπιθυμητικὴν αὐτῇ δύναμιν ὁ Πλάτων ὑπάρχειν ἔλεγεν, ἣν δὴ κοινῶς ἐπιθυμητικήν, οὐκ ἰδίως ὀνομάζειν ἔθος αὐτῷ. πλείους μὲν γὰρ εἶναι καὶ ταύτης τῆς ψυχῆς ἐπιθυμίας φησί, πλείους δὲ καὶ τῆς θυμοειδοῦς. πολλῷ δὲ πλείους, καὶ ποικι- F λωτέρας τῆς τρίτης, ἣν δι' αὐτὸ τοῦτο κατ' ἐξοχὴν ὠνόμασεν ἐπιθυμητικήν, εἰωθότων οὕτω τῶν ἀνθρώπων ἐνίοτε τὰ πρωτεύοντα τῶν ἐν τῷ γένει, τῷ τοῦ γένους προσαγορεύειν ὀνόματι. καθάπερ ὅταν εἴπωσιν ὑπὸ μὲν τοῦ ποιητοῦ λελέχθαι τόδε τὸ ἔπος, ὑπὸ δὲ τῆς ποιητρίας, τόδε. πάντες γὰρ ἀκούομεν Ὅμηρον μὲν λέγεσθαι ποιητήν, Σαπφὼ δὲ ποιήτριαν.

οὕτω δὲ καὶ θηρία λέγουσιν ἐξαιρέτως τὸν λέοντα, καὶ ἄλλα τοιαῦτα κατ᾽ ἐξοχὴν ὀνομάζουσιν. ἐπιθυμητικὸν οὖν ἐστι, κατὰ τὸ κοινὸν τῆς ἐπιθυμίας σημαινόμενον, ἀληθείας μὲν καὶ ἐπιστήμης, καὶ μαθημάτων, καὶ συνέσεως, καὶ μνήμης, καὶ συλλήβδην εἰπεῖν ἁπάντων τῶν καλῶν, ἐκεῖνο τὸ μέρος τῆς ψυχῆς, ὃ καλεῖν εἰθίσμεθα λογιστικόν. ἐλευθερίας δὲ καὶ νίκης, καὶ τοῦ κρατεῖν, καὶ ἄρχειν, καὶ δοξάζεσθαι, καὶ τοῦ τιμᾶσθαι, τὸ θυμοειδές. ἀφροδισίων τε καὶ τῆς ἐξ ἑκάστου τῶν ἐσθιομένων τε, καὶ πινομένων ἀπολαύσεως, τὸ καὶ ἐξοχὴν ὀνομαζόμενον ὑπὸ Πλάτωνος ἐπιθυμητικόν, οὔτε τῆς αὐτῆς ψυχῆς, ὄρεξιν τοῦ καλοῦ ἔχειν δυναμένης, οὔτε τῆς λογιστικῆς ἀφροδισίων, ἢ πομάτων, ἢ βρωμάτων, ὥσπερ οὐδὲ εἰκὸς, ἢ ἀρχῆς, ἢ δόξης, ἢ τιμῆς. κατὰ δὲ τὸν αὐτὸν λόγον, οὔτε τῆς θυμοειδοῦς, ὀρέξεις εἶχεν, ἥτε λογιστική, καὶ ἡ ἐπιθυμητική.

Similiter & feram dicentes, leonem indiscriminatim, atque alia id genus secundum excellentiam appellitant? Quare concupiscibilis communi cupiditatis significatu, putà veritatis, scientiæ, disciplinarum, prudentiæ, memoriæ, & vt vno verbo absoluam, omnium honestorum illa pars est animæ, quam ratiocinatricem vocare soliti sumus. At libertatis, victoriæ, vincendi, imperandi gloriam, honorémque aucupandi, vlciscendi, irascibilis. Veneris, esculentorum, poculentorúmque fruitionis, ea quæ per excellentiam à Platone concupiscibilis nominatur, quum nec eadem anima honestum possit appetere, nec rationalis venerea, aut potus, aut esculenta, quemadmodum nec imperium, vt credibile est, aut honorem, aut gloriam. Pari modo nec irascibilis, quæ ratiocinatricis & appetitoriæ sunt, concupiscit.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Ὑπὸ τῆς τῶν ποιητικῶν μεταβολῆς ποιοτήτων βλάπτεσθαι τὴν ψυχήν.

Ὅτι μὲν οὖν τρία τῆς ψυχῆς ἐστιν εἴδη, καὶ ὁ Πλάτων βούλεται ταῦτα, δι᾽ ἑτέρων ἐπιδέδεικται. καθάπερ γε καὶ ὅτι τὸ μὲν ἐν ἥπατι, τὸ δὲ ἐν καρδίᾳ, τὸ δὲ ἐν ἐγκεφάλῳ καθίδρυται. ὅτι δὲ ἐκ τούτων τῶν εἰδῶν τε καὶ μερῶν τῆς ὅλης ψυχῆς τὸ λογιστικὸν ἀθάνατόν ἐστι, Πλάτων μὲν φαίνεται πεπεισμένος. ἐγὼ δὲ οὔθ᾽ ὡς ἔστιν, οὔθ᾽ ὡς οὐκ ἔστιν ἔχω διατείνασθαι πρὸς αὐτόν. πρῶτον οὖν ἐπισκεψώμεθα. περὶ τῶν ἐν καρδίᾳ καὶ ἥπατι τῆς ψυχῆς εἰδῶν, ἃ κἀκείνῳ κἀμοὶ συνωμολόγηται φθείρεσθαι κατὰ τὸν θάνατον. ἔχοντος δὲ ἰδίαν οὐσίαν ἑκατέρου τῶν σπλάγχνων, ἥτις μέν ἐστιν ἀκριβῶς αὕτη, μηδέ πω ζητῶμεν. ἀναμνησθῶμεν δὲ περὶ τῆς κοινῆς ἁπάντων σωμάτων συστάσεως. ἐκ δυοῖν γὰρ ἀρχῶν ἡμῖν ἐδείχθη σύνθετος ὑπάρχειν, ὕλης μὲν ἀποίου κατ᾽ ἐπίνοιαν. ἐχούσης δὲ ἐν αὑτῇ ποιοτήτων τεττάρων κρᾶσιν, θερμότητος, ψυχρότητος, ὑγρότητος, ξηρότητος, ἐκ τούτων καὶ χαλκὸς, καὶ σίδηρος, καὶ χρυσὸς, ἥτε σὰρξ, νεῦρά τε καὶ χόνδρος, καὶ πιμελὴ, καὶ πάνθ᾽ ἁπλῶς, τὰ πρωτόγονα μὲν ὑπὸ Πλάτωνος, ὁμοιομερῆ δ᾽ ὑπ᾽ Ἀριστοτέλους ὀνομαζόμενα γέγονεν. ὥστε εἴτε αὐτὸς οὗτος Ἀριστοτέλης εἶδος εἶναι τοῦ σώματος εἴπῃ τὴν ψυχὴν, ἐρωτητέον αὐτὸν ἢ τούς γ᾽ ἀπ᾽ αὐτοῦ, ποτέραν τὴν μορφὴν εἶδος εἰρῆσθαι πρὸς αὐτοῦ νομίζομεν, ὥσπερ ἐν τοῖς ὀργανικοῖς σώμασιν, ἢ τὴν ἑτέραν ἀρχὴν τῶν φυσικῶν σωμάτων, σῶμα δημιουργήσασαν, ὅπερ ὁμοιομερές ἐστι καὶ ἁπλοῦν, ὡς πρὸς αἴσθησιν οὐκ ἔχον ὀργανικὴν σύνθεσιν. ἀποκρινοῦνται γὰρ ἐξ ἀνάγκης τὴν ἑτέραν ἀρχὴν τῶν φυσικῶν σωμάτων, εἴ γε δὴ τούτων εἰσὶ πρώτως ἐνέργειαι. δέδεικται γὰρ τοῦθ᾽ ἡμῖν ἑτέρωθι, καὶ νῦν ἂν δεήσῃ, πάλιν εἰρήσεται. καὶ μὴν εἴπερ ἐξ ὕλης τε καὶ εἴδους ἅπαντα συνέστηκε τὰ τοιαῦτα σώματα, δοκεῖ δὲ καὶ αὐτῷ τῷ Ἀριστοτέλει τῶν τεττάρων ποιοτήτων ἐγγινομένων τῇ ὕλῃ τῶν φυσικῶν, γίγνεσθαι σωματικὴν ἐκ τούτων κρᾶσιν. ἀναγκαῖον αὐτὸ τίθεσθαι τὸ εἶδος, ὥστε πως καὶ ἡ τῆς ψυχῆς οὐσία κρᾶσις ἔσται τῶν τεττάρων, εἴπερ ποιοτήτων ἐθέλεις λέγειν, ὑγρότητός τε καὶ ξηρότητος, καὶ ψυχρότητος καὶ θερμότητος, ἤτοι σωμάτων, ὑγροῦ, καὶ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ. τῇ δὲ τῆς ψυχῆς οὐσίᾳ τὰς δυνάμεις αὐτῆς δεικνύωμεν ἑπομένας, εἴ γε καὶ τὰς ἐνεργείας. εἰ μὲν οὖν καὶ τὸ λογιζόμενον εἶδος τῆς ψυχῆς ᾖ, θνητὸν ἔσται. καὶ γὰρ καὶ αὐτὸ κρᾶσίς τις ἐγκεφάλου,

CAPVT III.

Lædi animam ex qualitatum actiuarum mutatione.

TReis igitur animæ species esse, Platonis etiam sententiâ aliàs demonstrauimus. Insuper hâc in iecinore, illam in corde, tertiam in cerebro sedem occupare. Porrò quòd ex his animæ totius vel speciebus, vel partibus ratiocinatrix immortalis sit, Plato quidem persuasum habere videtur; ego verò, sit ne an situs, cum eo contendere possum. Primùm igitur inspiciamus de animæ speciebus in corde & iecinore sitis, quas per mortem corrumpi & interire, tum apud illum, tum apud me in confesso est. Quum autem peculiarem vtrumque viscus substantiam habeat, quæ quidem sit adamussim, hæc nondum quærimus; de communi verò omnium corporum constitutione mentionem faciamus; ex duobus enim principiis eam constare ostendimus, materia sanè, quæ per intellectum qualitatis sit expers, verùm in se quatuor qualitatum temperiem contineat, calidi, frigidi, humidi, sicci. Ex quibus æs quoque & ferrum, aurum, caro, nerui, cartilagines, adeps, & planè omnia constant quæ Plato primigenia, Aristoteles similaria vocauit. Proinde is ipse Aristoteles si animam corporis esse speciem dixerit, rogandus mihi est, aut eius sectatores, vtrum formam speciem esse dictam ab ipso censebimus, quemadmodum in corporibus instrumentariis, an alterum naturalium corporum principium, putà corporis opifex, quod similare est & simplex; vt quod ad sensum instrumentariam compositionem non habeat. Respondebunt nimirum necessariò, alterum naturalis corporis principium; siquidem horum sunt primariò actiones. Indicatum hoc alibi à nobis est; imò etiã nunc, si res postulet, referemus denuò. Atqui si ex materia & forma eiusmodi corpora omnia consistunt, videtur autem & ipsi Aristoteli, quum quatuor qualitates materiæ naturalium innascantur, corporeum ex his fieri temperamentum; necessitas coget formam ipsam apponi. Quapropter etiam animæ substantia temperamentum erit quatuor siue qualitatum velis dicere, humiditatis, siccitatis, caliditatis, & frigiditatis, siue corporum, humidi, calidi, frigidi & sicci. Quòd autem animi substantiam facultates eius sequantur, perinde vt actiones, demonstrabimus Itaque si ratiocinatrix animæ species sit, mortalis erit, etenim & ipsa temperamentũ quoddam cerebri constituitur,

&

& hoc pacto vniuersæ animæ species partésque facultates temperamenta sequentes habebunt. Atque erit talis animæ essentia. At si immortalis est, vt Plato affirmat, qui fit amabo, quòd cerebro plus satis aut refrigerato, aut calefacto, aut exiccato, aut humectato, ipsa protinus emigret? Probè mehercle, fecisset Plato, si eius rei causam quoque, sicut alia pleráque conscripsisset. Mors etenim secundum eiusdem authoris sententiam accidit; quum anima discedit à corpore. Verùm qua ratione contingat, largam sanguinis euacuationem, cicutam epotam, & febrem perardentem, eam expellere, si Plato viueret, nequaquam dedignarer ab eo discere. Sed quia in viuis non est, nec vllus ex Platonicis præceptoribus causam vllam me docuerit, cur ab iis quæ narraui, discedere cogatur, haud vereor ipse dicere, non omnem corporis speciem idoneam esse quæ ratiocinatricem animam suscipiat. Hoc namque Platonici dogmatis consequens esse videmus de anima: quanquam eius demonstrationem vel vnam pronunciare non ita procliue mihi fuerit, quòd quænam sit animæ substantia, ignorem, dum ex genere incorporeorum ipsam esse statuo. Quippe in corporibus temperamenta mirum in modum inter se diuersa, eáque non parum multa cernimus. Incorporeæ animæ substantiæ, quæ per se esse possit, non autem sit qualitas, aut species corporis, nulla succurrit mihi differentia quantumuis sedulò diligentíque studio perscrutanti. Sed nec quum nulla corporis sit portio, in totum ipsum poterit extendi. Horum sanè nihil ne vel vsque ad imaginationem intelligere poteris, etsi permulto tempore præmeditatus. Illud autem oculis vsurpare licet, quòd sanguinis euacuatio, & cicutæ potio corpus refrigerent, febris autem vehementior supra modum calefaciat. Sed cur (idem repeto) anima corpus impendio aut frigidum aut calidum omnino relinquat, post diuturnam inquisitionem nondum inueni; quemadmodum nec illud, quare flaua bile in cerebro exuperante in delirium rapimur, atra in melancholiam; item cur pituita, & simul omnia refrigerantia lethargum causentur, ex quibus & memoriæ & intelligentiæ noxa corripimur. Insuper qua vi sorbitio cicutæ vltionem ipsam flagitiis debitam moliatur; cui etiam nomen ab affectu quem corpus inde patitur, inditum est. Item vinum quo vtimur quotidie, omnem animi tristitiam & mœrorem manifestò discutiat. Zeno, vt aiunt, dicere solebat, quemadmodum lupini amari in aqua madentes dulces redduntur, ita se vino affici & exhilarescere. Quin Oenopiam radicem hoc insignius multo efficere narrant, & hanc esse hospitis Ægyptiæ medicamentum, quod poëta scribit.

Mox tulit in vinum medicamentum vnde bibebant,
Nepenthes, quod felle carens mala cuncta recondit.

Valeat igitur Oenopia radix. Nihil enim ad præsens institutum eam requirimus, videntes vinum nunquam non efficere quæ poëtæ recensent.

Vinum suaue tibi nocuum est, alios quoque lædit.
Qui affatim capiant ipsum, miniméque decenter.
Vinum etiam nocuit Centauro ipsi Eurytioni
Perithoi in tectis Lapithas aggresso: vbi verò
Attigerat mentem vinum, hic furibundus, in ipsis
Perithoi mala contulit ædibus.

Et alibi de ipso Neleo sic canit.

Compulit hoc quamuis sapientem promere cantum,

καὶ πάνθ' οὕτω τά τε τῆς ψυχῆς εἴδη τε, καὶ μέρη τάς τε δυνάμεις ἑπομένας ἕξει τῇ κράσει. καὶ ἔσται τοιαύτη ἡ τῆς ψυχῆς οὐσία. εἰ δ' ἀθάνατός ἐστιν, ὡς Πλάτων βούλεται. διὰ τί χωρίζεται ψυχθέντος σφοδρῶς, ἢ ὑπερθερμανθέντος, ἢ ὑπερξηρανθέντος, ἢ ὑπερυγρανθέντος τοῦ ἐγκεφάλου, καλῶς ἂν ἐπεποιήκει γράψας αὐτὸς, ὥσπερ καὶ τἄλλα τὰ κατ' αὐτὴν ἔγραψε. γίνεται γὰρ ὁ θάνατος κατὰ τὸν Πλάτωνα, χωριζομένης τῆς ψυχῆς ἀπὸ τοῦ σώματος. διὰ τί δὲ αὐτὴν κένωσις αἵματος χωρίζει πολλὴ, καὶ κώνειον ποθὲν, καὶ πυρετὸς διακαής. εἰ μὲν ὁ Πλάτων ἔζη, παρ' ἐκείνου πάντως ἂν ἠξίωσα μαθεῖν. ἐπεὶ δ' οὔτ' ἐκεῖνός ἐστιν ἔτι, καὶ τῶν Πλατωνικῶν διδασκάλων οὐδεὶς οὐδεμίαν αἰτίαν ἐδιδάξατό με, δι' ἣν ὑφ' ὧν εἶπον ἡ ψυχὴ τοῦ σώματος ἀναγκάζεται χωρίζεσθαι, τολμῶ λέγειν αὐτὸς, ὡς οὐ πᾶν εἶδος σώματος ἐπιτήδειόν ἐστιν ὑποδέξασθαι τὴν λογιστικὴν ψυχήν. ἀκόλουθον γὰρ ὁρῶ τοῦτο, τῷ περὶ ψυχῆς δόγματι τοῦ Πλάτωνος, ἀπόδειξίν γε μὴν οὐδεμίαν ἔχω λέγειν αὐτοῦ, διὰ τὸ μὴ γινώσκειν με τὴν οὐσίαν τῆς ψυχῆς ὁποία τίς ἐστιν, ἐκ τοῦ γένους τῶν ἀσωμάτων ὑποτιθεμένων ἡμῶν ὑπάρχειν αὐτήν. ἐν μὲν γὰρ σώματι τὰς κράσεις ὁρῶ πάμπολύ τε διαφερούσας ἀλλήλων, καὶ παμπόλλας οὔσας. ἀσωμάτου δ' οὐσίας αὐτῆς καθ' ἑαυτὴν εἶναι δυναμένης, οὐκ οὔσης δὲ ποιότητος, ἢ εἴδους σώματος, οὐδεμίαν νοῶ διαφορὰν, καίτοι πολλάκις ἐπισκεψάμενός τε, καὶ ζητήσας ἐπιμελῶς. ἀλλ' οὐδὲ πῶς οὐδὲν οὖσα τοῦ σώματος, εἰς ὅλον αὐτὸ δύναιτ' ἂν ἐκτείνεσθαι. τούτων μὲν οὐδὲν οὐδ' ἄχρι φαντασίας ἐννοῆσαι δεδύνημαι, καίτοι προθυμηθεὶς χρόνῳ παμπόλλῳ. γινώσκω δ' ἐκεῖνο ἐναργῶς φαινόμενον, ὡς ἡ μὲν τοῦ αἵματος κένωσις, καὶ ἡ τοῦ κωνείου πόσις, καταψύχουσι τὸ σῶμα, πυρετὸς δὲ σφοδρὸς, ὑπερθερμαίνει. καὶ πάλιν ἐρῶ ταὐτὸν, διὰ τί ψυχόμενον, ἢ ὑπερθερμαινόμενον τὸ σῶμα καταλείπει τελέως ἡ ψυχὴ, πολλὰ ζητήσας, οὐχ εὗρον. ὥσπερ γε οὐδὲ, διὰ τί χολῆς μὲν ξανθῆς ἐν ἐγκεφάλῳ πλεοναζούσης εἰς παραφροσύνην ἑλκόμεθα. διὰ τί δὲ τῆς μελαίνης εἰς μελαγχολίαν, διὰ τί δὲ τὸ φλέγμα, καὶ ὅλως τὰ ψυκτικὰ παραίτια ληθάργοις, ἐξ ὧν καὶ μνήμης, καὶ συνέσεως βλάβαις ἁλισκόμεθα. καὶ μέντοι καὶ διὰ τιμωρείαν αὐτὴν ἐργάζεται κώνειον ποθὲν, ᾧ καὶ τοὔνομα ἔνθεν παρώνυμον ἀπὸ τοῦ πάθους, ὃ πάσχον ὁρῶ ὑπ' αὐτοῦ τὸ σῶμα. λύπης δὲ ἁπάσης, καὶ δυσθυμίας κουφίζει σαφῶς οἶνος πινόμενος. ἑκάστης γὰρ ἡμέρας, τούτῳ χρώμεθα. καὶ Ζήνων, ὥς φασιν, ἔλεγεν ὅτι καθάπερ οἱ πικροὶ θέρμοι βρεχόμενοι τῷ ὕδατι, γίνονται γλυκεῖς, οὕτω καὶ αὐτὸν ὑπὸ οἴνου διατίθεσθαι. φασὶ δὲ καὶ τὴν οἰνοπίαν ῥίζαν, ἔτι καὶ μᾶλλον ἐργάζεσθαι τοῦτο, καὶ ταύτην εἶναι τὸ τῆς Αἰγυπτίας ξένης φάρμακον, ὅ φησιν ὁ ποιητής.

Αὐτίκ' ἄρ' εἰς οἶνον βάλε φάρμακον ἔνθεν ἔπινον.
Νηπενθές τ' ἄχολόν τε κακῶν ἐπίληθον ἁπάντων.

ἡ μὲν οὖν οἰνοπία ῥίζα χαιρέτω. δεόμεθα γὰρ αὐτῆς οὐδὲν εἰς τὸν λόγον, ὁρῶντες ὁσημέραι τὸν οἶνον ἐργαζόμενον, ὅσα περ οἱ ποιηταὶ λέγουσιν.

Οἶνός σε τρώει μελιηδὴς, ὅς τε καὶ ἄλλους
Βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλοι μηδ' αἴσιμα πίνοι.
Οἶνος καὶ κένταυρον ἀγακλυτὸν Εὐρυτίωνα
Ἄασ' ἐνὶ μεγάρῳ μεγαθύμου Πειριθόοιο.
Ἐς Λαπίθας ἐλθόνθ', ὁ δ' ἐπεὶ φρένας ἄασεν οἴνῳ,
Μαινόμενος κάκ' ἔρεξε δόμον κατὰ Πειριθόοιο.

καὶ ἀλλαχόθι περὶ αὐτοῦ φησι Νηλέος.

Ὅς τ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι.

Καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκε.
Καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄῤῥητον, ἄμεινον.

οὕτω δὲ καὶ Θέογνις ἔλεγεν. οἶνος πινόμενος πουλὺς, κακόν. ἢν δέ τις αὐτὸν πίνῃ ἐπισταμένως, οὐ κακὸν, ἀλλ' ἀγαθόν. ὄντως γὰρ εἰ συμμέτρως ποθείη καὶ πέψει, καὶ ἀναδόσει, καὶ αἱματώσει, καὶ θρέψει. μεγάλα δὲ συντελεῖ μετ' αὐτοῦ, καὶ τὴν ψυχὴν ἡμῶν, ἡμερωτέραν τε ἅμα, καὶ θαρσαλεωτέραν ἐργάζεσθαι, διὰ μέσης δηλονότι τῆς κατὰ τὸ σῶμα κράσεως, ἣν τινα ἀνάπαλιν ἐργάζεται διὰ μέσων τῶν χυμῶν. οὐ μόνον δὲ, ὡς ἔφην, κράσεως σώματος ὑπαλλάττει καὶ τὰς ἐνεργείας τῆς ψυχῆς, ἀλλὰ καὶ χωρίζειν αὐτὴν ἀπὸ τοῦ σώματος δύναται. τί γὰρ ἂν ἄλλο τις εἴποι, θεώμενος τὰ ψύχοντά τε καὶ θερμαίνοντα φάρμακα, παραχρῆμα τὸν προσενεγκάμενον ἀναιροῦντα. τοῦ γένους δὲ εἰσὶ τούτων, καὶ οἱ τῶν θηρίων ἰοί. τοὺς δηχθέντας οὖν ὑπὸ τῆς ἀσπίδος, ὁρῶμεν ἀποθνήσκοντας αὐτίκα. παραπλήσιον τῆς ἀπὸ κωνείου πόσεως, ὡς καὶ τοῦ ταύτης ἰοῦ ψύχοντος. ἀναγκαῖον ἔσται καὶ τοῖς ἰδίαν οὐσίαν ἔχειν ὑποθεμένοις τὴν ψυχὴν, ὁμολογῆσαι δουλεύειν αὐτὴν, ταῖς τοῦ σώματος κράσεσιν. εἴ γε καὶ χωρίζειν ἐξουσίαν ἔχουσι, καὶ παραφρονεῖν ἀναγκάζουσι, καὶ μνήμην, καὶ σύνεσιν ἀφαιρεῖσθαι. καὶ λυπηρότερα, καὶ ἀτολμότερα, καὶ ἀθυμότερα ἐργάζεσθαι, καθάπερ ἐν ταῖς μελαγχολίαις φαίνεται. καὶ τούτων ἔχει τἀναντία ὁ πίνων τὸν οἶνον συμμέτρως.

Et risu immodico turpes ductare choreas,
Edere quæ multò satius tacuisse fuisset.

Porrò Theognis huiusmodi dicto vti consueuit, Larga vini potio mala; moderata non solùm non mala, verùm etiam commoda. Siquidem id mediocriter assumptum, euidenrer reuera concoctioni, distributioni, & sanguificationi conducit. Præterea animum nostrum mansuetiorem ac audaciorem efficit, interuentu scilicet corporis temperamenti, quód rursus per medios humores generat. At non modo temperamenta corporis, sicut dictum est, animæ quoque functiones immutant, sed eam quoque à corpore migrare compellunt. Quid enim aliud dixeris, quum videas tum refrigerantia, tùm calefacientia medicamenta statim vbi quis assumpserit, internecionem adferre? Ex quo numero sunt ferarum venena. Ab aspide enim demorsi, subitò animam efflant. Similiter & à potu cicutæ, quum & huius venenum refrigeret. Vnde necessariò, qui peculiarem substantiam animam habere statuunt, fatentur corporis eam temperamento subseruire. Siquidem & migrare ipsam cogere ea possunt, & desipere compellunt, & memoria & intellectu destituunt. Item tristiores, timidiores, & deiecto animo efficit, quemadmodum in melancholia apparet. Et hisce contraria, qui vino vtitur modicè, experietur.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὑπὸ τῶν παθητικῶν ποιοτήτων ὑπαλλάττεσθαι τὴν ψυχήν.

ΑΡ' οὖν ὑπὸ μὲν τῆς κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν κράσεως, ὑπαλλάττεσθαι πεφύκασιν αἱ δυνάμεις τῆς ψυχῆς, ὑπὸ δὲ τῆς κατὰ τὸ ξηρόν τε καὶ ὑγρὸν οὐδὲν πάσχειν; καὶ μὴν τούτου πολλὰ τεκμήρια, κατά τε φάρμακα, καὶ τὴν ὁσημέραι δίαιταν ἔστι μὲν, ἃ τάχ' ἂν ἐφεξῆς, εἴποιμι σύμπαντα. πρότερον ἀναμνήσας ὧν ὁ Πλάτων ἔγραψε λόγων ὑπὸ τῆς τοῦ σώματος ὑγρότητος εἰς λήθην ἔρχεσθαι τὴν ψυχὴν, ὧν πρότερον ἠπίστατο, πρὶν ἐνδεθῆναι τῷ σώματι. λέγει γὰρ ὧδέ πως αὐτοῖς ῥήμασιν ἐν Τιμαίῳ, κατ' ἐκεῖνο τὸ χωρίον τοῦ συγγράμματος, ἔνθα φησὶ τοὺς θεοὺς δημιουργῆσαι τὸν ἄνθρωπον, ἐνδοῦντας τὴν ἀθάνατον ψυχὴν εἰς ἐπίῤῥυτον σῶμα καὶ ἀπόῤῥυτον. εὔδηλον ὅτι τὴν ὑγρότητα τῆς βρεφῶν οὐσίας αἰνιττόμενος. ἐφεξῆς γοῦν τούτοις τάδε φησίν. αἱ δὲ εἰς ποταμὸν ἐνδεθεῖσαι πολὺν, οὔτ' ἐκρατοῦντο, καὶ βίᾳ ἐφέροντό τε καὶ ἔφερον. καὶ μετ' ὀλίγα πάλιν. πολλοῦ γὰρ ὄντος τοῦ κατακλύζοντος καὶ ἀποῤῥέοντος κύματος, ὃ τὴν τροφὴν παρεῖχεν, ἔτι μείζονα θόρυβον ἀπειργάζετο τὰ προσπίπτοντα τῶν παθημάτων ἑκάστοις. καὶ μέντοι καὶ διέλθωμεν αὐτὰ πάλιν. ἐφεξῆς γὰρ φησι. διὰ δὴ ταῦτα πάντα τὰ πάθη κατ' ἀρχὰς, ἡ ψυχὴ γίγνεται τὸ πρῶτον, ὅταν εἰς σῶμα ἐνδεθῇ θνητὸν, ὅταν δὲ τὸ τῆς αὐξήσεως, καὶ πρὸς ἔλαττον ἐπίῃ ῥεῦμα. πάλιν δὲ περίοδοι λαμβανόμεναι γαλήνης τὴν ἑαυτῶν ὁδὸν ἴασι, καὶ καθιστῶνται μᾶλλον ἐπιόντος τοῦ χρόνου, τότε ἤδη πρὸς τὸ κατὰ φύσιν ἰόντων σχῆμα ἑκάστου τῶν κύκλων, αἱ περιφοραὶ κατευθυνόμεναι, τότε θάτερον καὶ τὸ ταὐτὸν προσαγόμεναι κατ' ὀρθὸν, ἔμφρονα τὸν ἔχοντα αὐτὰς γινόμενον ἀποτελοῦσιν. ὅταν φησὶ τὸ τῆς αὐξήσεως, καὶ τροφῆς ἔλαττον ἐπίῃ ῥεῦμα, τὴν ὑγρότητα δηλονότι λέγων, τὴν ἔμπροσθεν ὑπ' αὐτοῦ εἰρημένην τῆς κατὰ ψυχὴν ἀνοίας αἰτίαν γινομένην, ὡς τῆς μὲν ξηρότητος εἰς σύνεσιν, τῆς δ' ὑγρότητος, εἰς ἄνοιαν ἀγούσης τὴν ψυχήν.

CAPVT IV.

Animam immutari à qualitatibus paßiuis.

AN igitur animæ facultates à calido quidem & frigido temperamento immutabuntur; à sicco verò humidóque nihil patientur? Arqui multa huius indicia cùm in medicamentis, tum in quotidiano victu extant, quæ fortasse postea dicturus sum vniuersa, si primùm quæ Plato conscripsit, commemorem, quomodo anima propter corporeæ molis humiditatem, in obliuionem eorum incidat, quorum priùs erat conscia, quàm corpori alligaretur. Hunc enim ipsum ferè sermonem in Timæo vsurpat, ea libri parte, vbi deos hominem creasse ait, animam immortalem in corpus influxile & effluxile immittentes. Nemini dubium est, infantium substantiæ humiditatem hîc ab illo obscurè vocari. Nam hæc prioribus subiungit. *Hi porrò ambitus in largum immersi fluuium, neque tenebant, neque tenebantur, sed vi magna ac impetu tum ferebant, tum ferebantur.* Et paulò post: *Quum enim ingens inundaret fluxus, ac rursus decresceret, vnde nutrimenti copiam animal reciperet, multò maiorem tumultum cuiusque affectus foris accidentes excitarunt.* Sed age rursus eadem percenseamus, quæ statim apponit. *Quamobrem anima sic initio affecta, quum primum corpori mortali alligata fuerit, amens efficitur. At postquam nutrimenti & incrementi riuus lenius minusque fluxerit, animæ verò periodi tranquillitate denuo recepta iter suum peragant, temporísque processu magis consistant, tunc iam absolute circuli cuiusque ad figuram naturæ suæ propriam redeuntis conuersiones, alterius & eiusdem naturam probè discernunt, sapientémque sic institutum efficiunt.* Quum incrementi, nutritionísque minor adsit fluxus, inquiens, humiditatem nimirum innuit, quam prius amentiæ causam esse tradiderat, vt quòd siccitas animæ prudentiam, humiditas desipientiam animæ comparet.

Quod

Quod si ita habet, summam haud dubiè prudentiam summa pariet siccitas; quantum verò humoris accesserit, tantum à perfecta demetur prudentia, cuius tandem animantis corpus tam expers humiditatis est, vti stellarum? Nullius opinor, ne propè quidem accedit. Ergo mortalis animantis corpus ad summam prudentiam haud prope accedit. Omnes vt humidi, sic stultitiæ participes viuimus. Iam verò, quum rationalis animæ pars, quæ vniformem substantiam nacta sit, pro temperamenti corporis ratione mutetur, quid putas speciem eius mortalem necessariò pati, quam corpori seruire luce clarius est? Sed præstat dicere, non seruire, sed ipsam hanc mortalem animæ speciem, temperamentum esse corporis. Nam prius ostendi mortalem animam temperamentum esse corporis. Itaque mortis temperamentum, irascibilis animæ pars est; iocinoris ea quæ authore Platone concupiscibilis, ab Aristotele vocatur nutrix, & vegetans. Sanè Andronicum Peripateticum, quòd libere, vt virum decet ingenuum, nulla circuitione perplexa vsus, animæ substantiam asseuerare non dubitarit, & laudo, & viri dicta recipio. Talis enim in plerisque scriptis mihi apparet. Quod autem temperamentum esse dicat, vel facultatem temperamentum sequentem, etiam improbo, ob facultatis appositionem videlicet. Etenim quòd anima quum sit quædam essentia, diuersis pollet facultatibus, rectè Aristoteles docuit, & priùs in hoc non ineleganter æquiuocationem subdistinxit. Quum enim substantia & materia & species & simul vtrumque dicatur, animam, specialem substantiam esse pronunciauit, quippe qui præter temperamentum aliud dicere potuit nihil, vt ante paulùm indicauimus. In hoc substantiæ genere Stoicorum quoque opinio comprehenditur, animam siquidem spiritum aliquem esse volunt, quemadmodum & naturam, verùm humidiorem, frigidiorem naturæ spiritum: sicciorem, ac calidiorem animæ. Quamobrem hic spiritus peculiaris quædam animæ materies est. Materiæ autem species, vel temperamenti, ex aëreæ igneæque substantiæ symmetria genitæ dicitur. Siquidem nec solum aërem, nec ignem animam licet dicere, quoniam nullum in summo frigidum aut calidum animantis corpus fieri deprehendas. Imò nec insigni excessu ab altero superari; quandoquidem si vel paulò plus excesserit moderatum, animal in immodico ignis excessu febricitat. Refrigeratur autem, liuétque, & sensum difficilem acquirit, aut omninò insensibile fit ex aëris temperamento. Qui quidem quantum in se, frigidus est, ignei verò elementi mixtura temperatus euadit. Nulli igitur dubium est, animæ substantiam ex certa quadam aëris ignisque temperie Stoicis authoribus conflari. Et Chrysippus quidem ex temperata horum mixtione prudens factus est, Hippocratis autem filij ob calorem immodicum stulti Comicorum fabulis ridentur. Dicet autem forsan aliquis, nec Chrysippum prudentiæ nomine laudandum, item nec illos stultitiæ vitio vituperandos esse: Similiter & ob irascibilis facultatis opera & affectus, neque audaces laudari, neque timidos reprehendi oportere. De his itaque mox considerabimus.

ἀλλ' εἴπερ ὑγρότης μὲν ἄνοιαν ἐργάζεται, ξηρότης δὲ σύνεσιν, ἡ μὲν ἄκρα ξηρότης, ἄκραν ἐργάζεται σύνεσιν. ἡ δ' ἐπίμικτος ὑγρότης, τοσοῦτον ἀφαιρήσει τῆς τελείας συνέσεως, ὅσον ἐκοινώνησεν ὑγρότητος. τίνος οὖν ἢ τοῦ ζώου τοιουτονδὲ σῶμα· τίνος ἄμοιρον ὑγρότητος, ὥσπερ τὰ τῶν ἄστρων; οὐδενὸς οὐδ' ἐγγύς, ὥστε οὐδὲ συνέσεως ἄκρας ἐγγύς ἐστι σῶμα θνητοῦ ζώου. πάντα δ' ὥσπερ ὑγρότητος, οὕτω καὶ ἀνοίας μετέχει. ὁπότ' οὖν τὸ λογικὸν τῆς ψυχῆς μονοειδῆ οὐσίαν ἔχον τῇ τοῦ σώματος κράσει συμμεταβάλλεται, τί χρὴ νομίσαι πάσχειν τὸ θνητὸν εἶδος αὐτῆς; ἢ δῆλον, ὅτι πάντη δουλεύειν τῷ σώματι, ἄμεινον δὲ φάναι μὴ δουλεύειν. ἀλλ' αὐτὸ δὴ τοῦτ' εἶναι τὸ θνητὸν τῆς ψυχῆς, τὴν κρᾶσιν τοῦ σώματος. ἐδείχθη γὰρ ἔμπροσθεν ἡ θνητὴ ψυχή, κρᾶσις οὖσα τοῦ σώματος. ἡ μὲν οὖν τῆς καρδίας κρᾶσις, τὸ θυμοειδές ἐστι τῆς ψυχῆς. ἡ δὲ τοῦ ἥπατος, τὸ καλούμενον ὑπὸ τοῦ Πλάτωνος μὲν ἐπιθυμητικόν, θρεπτικὸν δὲ καὶ φυτικὸν ὑπὸ τοῦ Ἀριστοτέλους. Ἀνδρόνικον δὲ τὸν Περιπατητικόν, ὅτι μὲν ὅλως ἐτόλμησεν ἀποφήνασθαι τὴν οὐσίαν τῆς ψυχῆς, ὡς ἐλεύθερος ἀνὴρ ἄνευ τοῦ περιπλέκειν ἀσαφῶς, ἐπαινῶ τε πάνυ καὶ ἀποδέχομαι τὴν φράσιν τοῦ ἀνδρός. εὑρίσκω γὰρ αὐτόν, καὶ κατ' ἄλλα πολλὰ τοιοῦτον. ὅτι δέ τοι κρᾶσιν εἶναί φησιν, ἢ δύναμιν ἑπομένην τῇ κράσει, καὶ μέμφομαι τῇ προσθήκῃ τῆς δυνάμεως. ἡ γάρ τοι ψυχή, πολλὰς ἔχει δυνάμεις, οὐσία τις οὖσα, καὶ τοῦτο ὀρθῶς Ἀριστοτέλει λέλεκται, καὶ πρόσθεν τοῦτο διώρισται καλῶς ἡ ὁμωνυμία. λεγομένης γὰρ οὐσίας, καὶ τῆς ὕλης, καὶ τοῦ εἴδους, καὶ τοῦ συναμφοτέρου, τὴν κατὰ τὸ εἶδος οὐσίαν ἀπεφήνατο ψυχὴν ὑπάρχειν, οὐκ ἐγχωροῦν λέγειν ἄλλο τι παρὰ τὴν κρᾶσιν, ὡς ὀλίγον ἔμπροσθεν ἐδείκνυτο. ἐν ταὐτῷ δὲ γένει τῆς οὐσίας, καὶ ἡ τῶν Στωϊκῶν περιέχεται δόξα. πνεῦμα μὲν γάρ τι τὴν ψυχὴν εἶναι βούλονται, καθάπερ καὶ τὴν φύσιν. ἀλλ' ὑγρότερον μὲν καὶ ψυχρότερον τὸ τῆς φύσεως, ξηρότερον δὲ καὶ θερμότερον τὸ τῆς ψυχῆς, ὥστε καὶ τοῦθ' ὕλη μέν τις οἰκεία τῆς ψυχῆς ἐστι τὸ πνεῦμα. τὸ δὲ τῆς ὕλης εἶδος ἤτοι κράσεως, ἐν συμμετρίᾳ γιγνομένης τῆς ἀερώδους τε καὶ πυρώδους οὐσίας. οὔτε γὰρ ἀέρα μόνον οἷόν τε φάναι τὴν ψυχήν, οὔτε πῦρ, ὅτι μήτε ψυχρὸν ἄκρως ἐμφαίνει γίγνεσθαι ζώου σῶμα, μήτε ἄκρως θερμόν, ἀλλὰ μηδὲ ἐπικρατούμενον ὑπὸ θατέρου κατὰ μεγάλην ὑπεροχήν. ὅπου γε κἂν βραχεῖ πλέον γένηται τοῦ συμμέτρου, πυρέττει μὲν τὸ ζῷον ἐν ταῖς τοῦ πυρὸς ἀμέτροις ὑπεροχαῖς. καταψύχεται δὲ καὶ πελιδνοῦται, καὶ δυσαίσθητον, ἢ παντελῶς ἀναίσθητον γίνεται κατὰ τὰς τοῦ ἀέρος κράσεις. οὗτος γὰρ αὐτός, ὅσον μὲν ἐφ' ἑαυτῷ, ψυχρός ἐστιν, ἐκ δὲ τῆς πρὸς τὸ πυρῶδες στοιχεῖον ἐπιμιξίας, εὔκρατος γίνεται. δῆλον οὖν ἤδη σοι γέγονεν, ὡς ἡ τῆς ψυχῆς οὐσία, κατὰ ποιὰν κρᾶσιν ἀέρος τε, καὶ πυρὸς γίνεται κατὰ τοὺς Στωϊκούς, καὶ συνετὸς μὲν ὁ Χρύσιππος ἀπείργασται διὰ τὴν τούτων εὔκρατον μίξιν. οἱ δὲ Ἱπποκράτους υἱεῖς, οὓς ἐπὶ μωρίᾳ σκώπτουσιν οἱ κωμικοὶ διὰ τὴν ἄμετρον θέρμην. ἴσως οὖν τις ἐρεῖ, μήτε Χρύσιππον ἐπαινεῖσθαι δεῖν ἐπὶ συνέσει, μήτ' ἐκείνους ἐπὶ μωρίᾳ ψέγεσθαι. παραπλησίως δὲ καὶ εἰς τὰ τοῦ θυμοειδοῦς ἔργα, καὶ πάθη, μήτε τοὺς εὐτόλμους ἐπαινεῖσθαι χρῆναι, μήτε τοὺς ἀτόλμους ψέγεσθαι. περὶ μὲν οὖν τούτων, ὀλίγον πρόσθεν ἐπισκεψόμεθα.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὑπό τινων ποιοτήτων ἀμείνονά τε, καὶ χείρονα τὴν ψυχὴν γίνεσθαι.

Νῦν δ' οἷς ἐξ ἀρχῆς προὐθέμην, προσθήσω τὰ λείποντα, τοσοῦτον ἔτι πάλιν ἐπειπών, ὡς οὐχ οἷόν τ' ἐστὶ πάντα δεικνύειν ἐν ἅπασι, καὶ ὡς δυοῖν οὐσῶν αἱρέσεων ἐν φιλοσοφίᾳ κατὰ τὴν πρώτην τομήν. ἔνιοι μὲν γὰρ ἡνῶσθαι τὴν κατὰ τὸν κόσμον οὐσίαν ἅπασαν, ἔνιοι δὲ διῃρῆσθαί φασι κενοῦ παραπλοκῇ. τὴν δευτέραν αἵρεσιν ἐφωράσαμεν οὐκ ἀληθῆ, δι' ἐκείνων τῶν ἐλέγχων, οὓς ἐν τῷ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐγράψαμεν. πρὸς δὲ τὸν παρόντα λόγον ὑπόθεσιν λαβόντες ἀλλοιοῦσθαι τὴν οὐσίαν ἡμῶν, καὶ τὴν κρᾶσιν αὐτῆς ἐν ὁμοιομερεῖ ἐργάζεσθαι τὸ φυσικὸν σῶμα, τὴν τῆς ψυχῆς οὐσίαν ἐδείξαμεν, κατὰ τὴν κρᾶσιν συνισταμένην. ἐάν γε μή τις αὐτὴν ὑπόθηται, καθάπερ ὁ Πλάτων, ἀσώματον ὑπάρχειν, ἄνευ τοῦ σώματος εἶναι δυναμένην. ὑποθεμένοις δὲ τοῦτο τὸ ὑπὸ τῆς τοῦ σώματος κράσεως ἐνεργεῖν κωλύεσθαι τὰς οἰκείας ἐνεργείας, ἱκανῶς μὲν ἤδη δέδεικται. προστεθήσονται δὲ καὶ ἄλλαι τινὲς ἀποδείξεις. ἀλλὰ νῦν γε καὶ τούτου τοῦ τρόπου εἰρημένου, τὸν περὶ τῶν κράσεων λόγον προσθεῖναι δοκεῖ μοι βέλτιον εἶναι. δυνήσονται γὰρ λέγειν οἱ τὴν ψυχὴν εἶδος εἶναι τοῦ σώματος ἡγούμενοι, τὴν συμμετρίαν τῆς κράσεως, οὐ τὴν ξηρότητα, συνετωτέραν αὐτὴν ἐργάζεσθαι, καὶ ταύτῃ διαφωνήσουσι τοῖς ἡγουμένοις, ὅσῳ περ ἂν ἡ κρᾶσις γίνεται ξηροτέρα, τοσούτῳ καὶ τὴν ψυχὴν ἀποτελεῖσθαι ξυνετωτέραν, ἀλλ' εἰ καὶ ξηρότητα μὴ ξυγχωρήσαι ἐναντίαν εἶναι συνέσεως, εἴη γε μὴν ὑφ' Ἡρακλείτου. καὶ γὰρ οὗτος οὕτως εἶπεν. αὐγὴ ξηρή, ψυχὴ σοφωτάτη. τὴν ξηρότητα πάλιν ἀξιῶν εἶναι συνέσεως αἰτίαν. τὸ γὰρ τῆς αὐγῆς ὄνομα τοῦτ' ἐνδείκνυται, καὶ βελτίονά γε δόξαν ταύτην εἶναι νομιστέον. ἐννοήσαντας καὶ τοὺς ἀστέρας αὐγοειδεῖς τε ἅμα καὶ ξηροὺς ὄντας, ἄκραν σύνεσιν ἔχειν. εἰ γὰρ μή τις αὐτοῖς ὑπάρχειν τοῦτο φαίη, δόξει τῆς τῶν θεῶν ὑπεροχῆς ἀναίσθητος εἶναι. διὰ τί τοίνυν εἰς ἔσχατον ἀφικνούμενοι γῆρας, παρεληρήθησαν οὐκ ὀλίγοι, τῆς τοῦ γήρως ἡλικίας ἐπιδεδειγμένης εἶναι ξηρᾶς; οὐ διὰ τὴν ξηρότητα φήσομεν, ἀλλὰ διὰ τὴν ψυχρότητα. φανερῶς γὰρ αὕτη, πᾶσι τοῖς ἔργοις τῆς ψυχῆς λυμαίνεται. ἀλλὰ ταῦτα μέν, εἰ καὶ πάρεργά ἐστιν, ἀλλ' ἐναργῶς τῆς προκειμένης νῦν ἡμῖν πραγματείας ἐνδείκνυται τὰ τῆς ψυχῆς ἔργα καὶ πάθη, ταῖς τοῦ σώματος ἑπόμενα κράσεσιν. εἰ μὲν εἶδός ἐστιν ὁμοιομεροῦς σώματος ἡ ψυχή, τὴν ἀπόδειξιν ἐξ αὐτῆς τῆς οὐσίας ἕξομεν ἐπιστημονικωτάτην. εἰ δ' ὑποθώμεθα ταύτην ἀθάνατον εἶναι, φύσιν ἰδίαν ἔχουσαν, ὡς Πλάτων ἔλεγεν. ἀλλὰ τό γε δεσπόζεσθαι, καὶ δουλεύειν τῷ σώματι, καὶ κατ' αὐτὸν ἐκεῖνον ὁμολογεῖται, διά τε τὴν τῶν βρεφῶν ἄνοιαν, καὶ τὴν τῶν ἐν γήρᾳ ληρούντων, ἔτι τε τῶν εἰς παραφροσύνην, ἢ μανίαν, ἢ ἐπιλησμοσύνην, ἢ ἄνοιαν ἀφικνουμένων ἐπὶ φαρμάκων δόσεσιν, ἤ τισιν ἐν τῷ σώματι γεννηθεῖσι μοχθηροῖς χυμοῖς. ἄχρι μὲν γὰρ τοῦ λήθην, ἢ ἄνοιαν, ἢ ἀκινησίαν, ἢ ἀναισθησίαν ἕπεσθαι τοῖς εἰρημένοις, ἐμποδίζεσθαι φαίη τις ἂν αὐτὴν ἐνεργεῖν, αἷς ἔχει φύσει δυνάμεσιν. ὅταν δὲ οἴηται βλέπειν τὰ μὴ βλεπόμενα, καὶ ἀκούειν ἃ μηδεὶς ἐφθέγξατο, καὶ φθέγγηταί τι τῶν αἰσχρῶν, ἢ ἀπορρήτων, ἢ ὅλως ἀνοήτων, οὐ μόνον ἀπωλείας ἐστὶ τεκμήριον ὧν εἶχε δυνάμεων ἡ ψυχὴ συμφύτων, ἀλλὰ τῶν ἐναν-

CAPVT V.

Qualitatibus quibusdam, tum meliorem tum deteriorem animam euadere.

NVnc iis quæ initio statueram, reliqua subiungam, si tantillū adhuc rursus adiecero, omnia in omnibus ostendi non posse, & quòd duæ in philosophia sectæ secundum primam diuisionem existant. Nonnulli enim vniuersam mundi substantiā vnitam, alij vacui implexu diuisam esse affirmant. Secundam sectam illis argumentis, quæ in commentario de Elementis secundum Hippocratem tractauimus, nihil habere veritatis deprehendimus. In hoc certè sermone hypotheseos loco assumemus, humani corporis substantiam, eiusque tēperamentum in parte similari alterationem sustinere, physicum corpus substantiam animæ ex temperamento consistentem efficere ostendimus, nisi tamen quis incorpoream, sicut Plato esse ponat, quæ citra corpus esse possit. Statuētibus autem proprias animæ actiones à corporis temperamento impediri, abundè satis iam monstratum est. Adiicientur & nunc aliæ quædam demōstrationes. Verùm quum & hic modus sit explicatus, disputationem de temperamētis apponere videtur nobis esse cōmodius. Nam poterunt dicere ij qui animam corporis esse formam arbitrantur, commoderationem temperamenti non siccitatem reddere eam prudentiorem; & hactenus dissentient ab aliis quibus persuasum est, quò temperies euadit siccior, hoc animamquoque effici intelligentiorem. Quamuis etiam Heracliti sectatores siccitatem prudentiæ non contrariam esse permittant. Hunc enim in modum pręceptor illorum scriptitauit. *Splendor siccus, anima prudentißima est.* Quo iam dicto prudentiæ causam siccitatem existimauit. Hoc enim splendoris vocabulum innuit. Atque hæc opinionum putāda est optima, considerantibus etiam stellas, quum sint pellucidæ simul & siccæ, summa præditas esse prudētia; quam si quis eis inesse negauerit, is diuinam maiestatem & excellentiā sensu non percipete videtur. Quid ergo plerique ad extremam peruenientes senectutē delirarunt, quum hęc ætas sicca esse ostensa sit? Non ob siccitatem id euenire, sed frigiditatē dicemus, quæ omnibus palàm functionibus animæ aduersatur, obstátque. Verùm hæc præter institutū licet sint, euidenter tamen præsenti commentario functiones animi, & affectus, corporis imitari temperamentum demonstrant. Si quidem anima speciei est similaris corporis, demōstrationem ex eius substantia habebimus maximè scientificam. At si hanc immortalem esse, peculiaris naturæ compotem, ex Platonis autoritate statuamus, eodem certè autore & dominari illam corpori, & seruire, in confesso est, tum propter infantium amentiam, tum ætate delirantium, ad hæc eorum qui ex medicamentorum potu, aut quibusdam in corpore generatis prauis humoribus in delirium vel insaniam, vel obliuionem, vel amentiam perueniunt. Quatenus enim obliuio, aut amentia, aut immobilitas, aut insensibilitas prædicta sequitur, impediri dixerit aliquis ipsam, quò minùs operetur facultatibus quas natura obtinet. Quum autem videre se putauerit, quæ non videntur, & audire quæ nemo dixerit, & turpe quid aut obscœnum, aut omninò stolidum effutiat, non virtutes natiuas modò, quas habebat, periisse: sed contrarias

rias illis insiliisse signum est certissimum. Hoc itaque iam non mediocrem quandam aufert suspicionem animæ substantiæ, ne non incorporea esse censeatur. Quomodo enim à corporis communione in contrariam sibi naturam traduci possit, si nec qualitas corporis sit vlla, nec species, nec affectus, nec denique facultas? Atque hæc omittamus, ne plus operæ in accessorio, quàm proposito insumatur. Cæterùm quòd corporis vitia animæ imperent, euidenter in melancholia, phrenitide, & insania perspicuum est. Quippe morbi causa seipsos interdum & familiares ægroti non agnoscunt. Quod Thucydides multis accidisse scribit, & in morbo pestilenti nunc annis non multis oborto, quem & nos conspeximus, persimile videbitur esse ei quod est non videre propter lippitudinem, aut suffusionem, nihil ipsa visoria facultate passa. At pro vno, tria videre, maximus est visoriæ facultatis affectus, qui propemodum phrenitidi similis existit.

πίων ἐπεισόδου. τοῦτο μὲν οὖν ἤδη, καὶ ὑποψίαν τινὰ ἀφαιρεῖ μεγάλην ὅλῃ τῇ τῆς ψυχῆς οὐσίᾳ, μὴ οὐκ ἀσώματος ᾖ. πῶς γὰρ ἂν ὑπὸ τῆς τοῦ σώματος κοινωνίας εἰς τὴν ἐναντίαν ἑαυτῆς φύσιν ἀχθείη, μήτε ποιότης τις οὖσα τοῦ σώματος, μήτ' εἶδος, μήτε πάθος, μήτε δύναμις; ἀλλὰ τοῦτο μὲν ἐάσωμεν, ἵνα μὴ τὸ πάρεργον ἡμῖν γένηται αὖ πολὺ μεῖζον ἔργου οὗ προὐθέμεθα, οὐδ' ὑπὸ τῶν τοῦ σώματος κακῶν δυναστεύεσθαι τὴν ψυχὴν ἐναργῶς ἐν μελαγχολίαις, καὶ φρενίτισιν, καὶ μανίαις φαίνεται. τὸ μὲν γὰρ ἀγνοῆσαι διὰ νόσημα σφᾶς τε αὐτοὺς καὶ τοὺς ἐπιτηδείους, ὅπερ ὅ,τε Θουκυδίδης ἐκβῆναι πολλοῖς φησιν, ἔν τε τῇ λοιμώδει νόσῳ τῇ νῦν γενομένῃ ἔτεσιν οὐ πολλοῖς, ἣν καὶ ἡμεῖς ἐθεασάμεθα, παραπλήσιον εἶναι δόξει τῷ μὴ βλέπειν διὰ λήμην, ἢ ὑπόχυσιν, οὐδὲν αὐτῆς τῆς ὀπτικῆς δυνάμεως πεπονθυίας. τὸ δ' ἀνθ' ἑνὸς τρία βλέπειν αὖθις, τῆς ὀπτικῆς δυνάμεώς ἐστι μέγιστον πάθος, ὃ τῷ φρενιτίζειν ἔοικεν.

CAPVT VI.

Mutari animam à corporis temperamento Platonis auctoritate.

QVod Plato nimirum exactè nouerat, animam dicens vitiosis corporis humoribus oblædi, vt verba eius subiuncta declarant. *Acris enim & salsa pituita, ad hæc amari biliosique humores corpus pererrantes, si non exhalant, sed intrò vapores suos retinent, vehementer animæ statum intemperie sua permutant, morbósque omnigenos pro maioris minorísque ratione pauciores ac plures producent. Perferuntur sanè ad tres animæ sedes, atque pro locorum varietate varias quisque species generat, impatientiæ & languoris, audaciæ rursus & timiditatis, insuper obliuionis & hebetudinis.* Hic Plato vitiosos corporis humores animæ parere malignitatem quandam clarissimè confitetur. Simili ratione propter corporis habitudinem animam ægrotare hunc in modum ostendit. *Qui copioso viscosóque semine abundat, quemadmodum arbor magis ac conuenit fœcunda fructibus, is certè ob infinitos dolores ac voluptates, quibus in libidine eiusque fœtibus passim affectus est, per omnem vitæ ætatem insanit, furítque. Cuius tamen animus, cùm ob infelicitatem corporis ægrotet, & desipiat, non ægrotans, sed malè habens putatur. Veritas autem sic habet. Veneris intemperantia magna ex parte ob generis vnius habitum præ raritate tanquam in corpore fluentem vdúmque animæ morbus efficitur.* Itaque abundè satis & hisce verbis ob corpus malè habitum, animam ægrotare declarauit. Sed nihilominus sententia Philosophi ex sequentibus fit perspicua. *Sic enim*, inquit, *omnis propemodum voluptatis incontinentia, perinde ac si sponte simus improbi, vituperatur, idque non meritò. Nemo siquidem vltrò malus, sed ob prauum corporis habitum, rudémque educationem malus redditur; omni autem hæc inimica inuito adueniunt.* Quòd igitur Plato, quæ modò protulimus, comprobauerit, ex ipsius verbis quæ partim in Timæo, vt iam præposita, partim aliis in libris adducit, manifestò liquet.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Ὑπαλλάττεσθαι τὴν ψυχὴν ὑπὸ τῆς τοῦ σώματος κράσεως κατὰ τὸν Πλάτωνα.

ΟΤι δὲ καὶ Πλάτων αὐτὸς οἶδε βλαπτομένην τὴν ψυχὴν ἐπὶ τῇ κακοχυμίᾳ τοῦ σώματος, ἡ ἑξῆς ῥῆσις ἤδη δηλώσει. ὅπου γὰρ ἂν ἢ τῶν ὀξέων, καὶ τῶν ἁλυκῶν φλεγμάτων, ἢ καὶ ὅσοι πικροὶ καὶ χολώδεις χυμοὶ κατὰ τὸ σῶμα πλανηθέντες, ἔξω μὲν μὴ λάβωσιν ἀναπνοήν, ἐντὸς δὲ εἱλλόμενοι τὴν ἀπ' αὐτῶν ἀτμίδα τὸ τῆς ψυχῆς διαθέσει σφόδρα συμμίξαντες ἀνακερασθῶσι, παντοδαπὰ νοσήματα τῆς ψυχῆς ἐμποιοῦσι, μᾶλλον καὶ ἧττον, καὶ ἐλάττω, καὶ πλείω. πρός τε τοὺς τρεῖς τόπους ἐνεχθέντα τῆς ψυχῆς, πρὸς ὃν ἂν ἕκαστ' αὐτῶν προσπίπτῃ, ποικίλας μὲν εἶναι δυσκολίας καὶ δυσθυμίας παντοδαπάς, πολλάκις δὲ θρασύτητάς τε καὶ δειλίας, ἔτι τε λήθας ἅμα καὶ δυσθυμίας. ἐν ταύτῃ τῇ ῥήσει σαφῶς ὁ Πλάτων ὡμολόγησε τὴν ψυχὴν ἐν κακίᾳ τινὶ γίνεσθαι διὰ τὴν ἐν τῷ σώματι κακοχυμίαν. ὥσπερ δὲ πάλιν ἐν νόσῳ καθίσταται διὰ τὴν ἐν τῷ σώματι ἕξιν κατὰ τήνδε τὴν ῥῆσιν. ὁ δὲ σπέρμα πολὺ καὶ γλοιῶδες ἔχων, καθάπερ εἰ δένδρον πολύκαρπον τοῦ συμμέτρου πεφυκός, ἢ πολλὰς μὲν καθ' ἕκαστον ὠδῖνας, πολλὰς δὲ ἡδονὰς κτώμενος ἐν ταῖς ἐπιθυμίαις, καὶ τοῖς περὶ τὰ τοιαῦτα τόκοις, ἐμμανής τε πλεῖστον τοῦ βίου γιγνόμενος, διὰ τὰς μεγίστας ἡδονὰς καὶ λύπας, καὶ νόσους, καὶ ἄφρονα ἴσχων ὑπὸ τοῦ σώματος τὴν ψυχήν, οὐχ ὡς νοσῶν, ἀλλ' ὡς ἔχων κακῶς δοξάζεται. τὸ δ' ἀληθές, ἡ περὶ τὰ ἀφροδίσια ἀκολασία, κατὰ τὸ πολὺ μέρος διὰ τὴν ἑνὸς γένους ἕξιν ὑπὸ μανότητος. ὡς τὴν ἐν σώματι ῥοώδη, καὶ ὑγραίνουσαν νόσον ψυχῆς γεγονέναι. ἱκανῶς μὲν οὖν κἂν ταύτῃ τῇ ῥήσει τὴν ψυχὴν νοσεῖν ἀπεφήνατο διὰ μοχθηρὰν ἕξιν σώματος. ἀλλ' οὐδὲν ἧττον ἔτι καὶ διὰ τῶν ἐφεξῆς ὑπ' αὐτοῦ γεγραμμένων ἡ γνώμη κατάδηλος γίνεται τοῦ φιλοσόφου. τί γάρ φησι. καὶ σχεδὸν ἅπασα ὁπόσα ἡδονῶν ἀκρασία, καὶ ὄνειδος ὡς ἑκόντων λέγεται τῶν κακῶν, οὐκ ὀρθῶς ὀνειδίζεται. κακὸς μὲν γὰρ ἑκὼν οὐδείς, διὰ δὲ πονηρὰν ἕξιν τοῦ σώματος, καὶ ἀπαιδεύτους τροφάς, κακὸς γίνεται. παντὶ δὲ ταῦτα ἐχθρά, καὶ ἄκοντι προσγίνεται. ὅτι μὲν οὖν ὁ Πλάτων αὐτὸς ὁμολογεῖ τὰ προαποδεδειγμένα ὑπ' ἐμοῦ, ἔκ τε τούτων αὐτοῦ τῶν ῥήσεων ἐστὶ δῆλον, ἐξ ἄλλων τε πολλῶν. ὧν τινας μὲν ἐν τῷ Τιμαίῳ, καθάπερ καὶ τάσδε τὰς νῦν εἰρημένας, τινὰς δὲ ἐν ἄλλοις βιβλίοις αὐτοῦ ἐστιν εὑρεῖν.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὑπαλλάττεσθαι τὴν ψυχὴν ὑπὸ τῆς τοῦ σώματος κράσεως κατὰ τὸν Ἀριστοτέλη.

Ὅτι δὲ καὶ Ἀριστοτέλης τῇ κράσει τοῦ τῆς μητρὸς αἵματος, ἐξ οὗ τὴν γένεσιν ἔχειν ἡμῶν φησι τὸ αἷμα, τὰς τῆς ψυχῆς δυνάμεις ἀκολουθεῖν οἴεται, δῆλόν ἐστιν ἐκ τῶνδε τῶν ῥήσεων. ἐν τῷ κατὰ μέν γε τὸ δεύτερον τὸ περὶ ζώων μορίων, οὕτως ἔγραψεν. ἔστι δὲ ἰσχύος μὲν ποιητικώτερον τὸ παχύτερον αἷμα, καὶ θερμότερον. αἰσθητικώτερον δὲ τὸ λεπτότερον, καὶ ψυχρότερον. τὴν αὐτὴν δὲ ἔχει διαφορὰν, καὶ τῶν ἀνάπαλιν ὑπαρχόντων πρὸς τὸ αἷμα. διὸ καὶ μέλιτται, καὶ ἄλλα τοιαῦτα ζῶα, φρονιμώτερα τὴν φύσιν ἐστὶν ἀναίμων πολλῶν, καὶ τῶν ἐναίμων τὰ μὲν ψυχρὸν ἔχοντα καὶ λεπτὸν αἷμα, φρονιμώτερα τῶν ἐναντία. ἄριστα δὲ τὰ θερμὸν ἔχοντα καὶ λεπτὸν, καὶ καθαρὸν αἷμα. πρός τε γὰρ ἀνδρίαν τὰ τοιαῦτα, καὶ φρόνησιν ἔχει καλῶς. διὸ καὶ τὰ ἄνω μόρια πρὸς τὰ κάτω τὴν αὐτὴν ἔχει διαφορὰν, καὶ πρὸς τὸ θῆλυ τὸ ἄρρεν, καὶ δεξιὰ πρὸς τὰ ἀριστερὰ τοῦ σώματος. εὔδηλον οὖν ἐστιν, ὡς ὁ Ἀριστοτέλης ταύτῃ τῇ ῥήσει ἐπεξ βουλομένοις, τὰς τῆς ψυχῆς δυνάμεις τῇ φύσει τοῦ αἵματος ἀπεφήνατο ἕπεσθαι. οὐδὲν ἧττον καὶ κατωτέρω τοῦ συγγράμματος ἀποφαινόμενος τὴν δόξαν, ἔγραψεν ὧδε. τὰς δὲ καλουμένας ἶνας, αἷμα τὸ μὲν ἔχει, τὸ δὲ οὐκ ἔχει, οἷον τὸ τῶν ἐλάφων, καὶ δορκάδων, διόπερ οὐ πήγνυται τὸ τοιοῦτον αἷμα. τοῦ γὰρ αἵματος τὸ μὲν ὑδατῶδες, μᾶλλον ψυχρόν ἐστι, διὸ καὶ οὐ πήγνυται. τὸ δὲ γεῶδες, πήγνυται διατμιζομένου τοῦ ὑγροῦ ἐν ταῖς πήξεσι, αἱ δὲ ἶνες, γῆς εἰσι. συμβαίνει δὲ ἐνίοτε κἂν γλαφυρώτερον ἔχειν τὴν διάνοιαν τοῦτο, οὐ διὰ τὴν ψυχρότητα τοῦ αἵματος, ἀλλὰ διὰ λεπτότητα μᾶλλον, καὶ διὰ τὸ καθαρὸν εἶναι. τὸ γὰρ γεῶδες, οὐδέτερον ἔχει τούτων. εὐκινητότερον γὰρ ἔχουσι τὴν αἴσθησιν τὰ λεπτοτέραν ἔχοντα τὴν ὑγρασίαν, καὶ καθαρωτέραν. διὰ γὰρ τοῦτο καὶ τῶν ἀναίμων ἔνια, συνετωτέραν ἔχει τὴν ψυχὴν ἐνίων ἐναίμων, καθάπερ εἴρηται καὶ πρότερον, οἷον ἡ μέλιττα καὶ τὸ γένος τῶν μυρμήκων, καὶ εἴ τι τῶν τοιούτων ἕτερόν ἐστι. δειλότερα γὰρ πάντα τὰ ὑδατώδη. ὁ γὰρ φόβος καταψύχει. προοδοποιεῖται τοίνυν τὰ πάθη, τὰ τοιαύτην ἔχοντα τὴν ἐν τῇ καρδίᾳ κρᾶσιν, τὸ γὰρ ὕδωρ τῷ ψυχρῷ ποιητόν ἐστι. διὸ καὶ τὰ ἄλλα ἔναιμα, δειλότερα τῶν ἀναίμων ἐστὶν, ὡς ἁπλῶς εἰπεῖν. καὶ ἀκινητίζει γε φοβούμενα, καὶ προΐεται περιττώματα, καὶ μεταβάλλει ἔνια τὰς χρόας αὐτῶν. τὰ δὲ πολλὰς ἔχοντα λίαν ἶνας καὶ παχείας, γεωδέστερα τὴν φύσιν ἐστὶ, καὶ θυμώδη τὸ ἦθος, καὶ ἐκστατικὰ διὰ τὸν θυμόν. θερμότητος γὰρ παρεκτικὸς ὁ θυμός. τὰ δὲ στερεὰ θερμανθέντα, μᾶλλόν εἰσιν ἢ προσῆκε θερμὰ, ὡς ἡ τῶν ἰνῶν φύσις ἐν τῷ ὑγρῷ. αἱ γὰρ ἶνες στερεώτεραι, καὶ γεωδέστεραι γίνονται, οἷον αἱ πυρίαι ἐν τῷ σώματι, καὶ ζέσιν ποιοῦνται ἐν τοῖς θυμοῖς. διὸ οἱ ταῦροι, καὶ οἱ κάπροι, θυμώδεις καὶ ἐκστατικοί. τὸ γὰρ αἷμα τούτων, ἰνωδέστατον, καὶ τό γε τοῦ ταύρου, τάχιστα πήγνυται πάντων. ἐξαιρουμένων δὲ τῶν ἰνῶν, οὐ πήγνυται τὸ αἷμα. αἱ γὰρ ἶνες γεώδεις. καθάπερ ἐκ πηλοῦ εἴ τις ἐξέλοι τὸ γεῶδες, οὐκ ἂν ξηρανθείη τὸ ὕδωρ. οὕτως καὶ τὸ αἷμα, τῶν ἰνῶν μὲν ἐξαιρουμένων, οὐ πήγνυται· μενουσῶν δὲ πήγνυται, οἷον καὶ ὑγρὰ γῆ, καὶ ὑπὸ ψύχους ἂν πάθοι. τοῦ γὰρ θερμοῦ ὑπὸ τοῦ ψυχροῦ ἐκθλιβομένου συνεξαλμίζεται τὸ ὑγρὸν, καθάπερ εἴρηται πρότερον,

CAPVT VII.

Mutari animam à corporis temperamento Aristotelis auctoritate.

QVòd autem Aristoteles temperamentum materni sanguinis, ex quo nostrum sanguinem originem habere dicit, animi facultates sequi putet, hæc ex secundo de animalium partibus fidem tibi facient. Ita namque scriptum reliquit; *Sanguis crassior calidiórque roboris efficacior est. Tenuior autem & frigidior, sentiendi atque intelligendi maiorem obtinet. Idem discrimen in iis quoque habetur, quæ sanguini proportione respondent. Cuius gratia apes, aliáque id genus animalia multa sanguine carentibus ingeniosiora sunt. Ad hæc quæ inter ea sanguine prædita sunt, si frigidiorem & tenuiorem acceperint, magis industria suis contrariis sunt. Sed optimè habent, quæ calido, tenui & syncero fruuntur; quippe quæ vnà & viribus corporis, & animi prudentia plurimùm valent. Quamobrem pars etiam superior corporis ea ipsa differentia cum inferiori dissidet, & fœmina cum mare, & pars dextra cum sinistra in iisdem corporibus.* Hinc constat haud dubiè Aristotelem facultates animi, sanguinis temperamentum imitari, significare voluisse; qui etiam paulò inferiùs in eodem commentario confirmat opinionem. *Dictas verò fibras, sanguis alius continet, alius non item, vt ceruorum, damarum, proindéque talis non coagulatur. Qui enim sanguis aquosus, frigidior est, ideóque non coalescit. Qui verò terrenus, coit humore inter coëundum exalante. Fibræ autem illæ terræ sunt opificium. Porrò accidit interdum vt syncerior hic sanguis prudentiam conciliet; verùm non ob frigiditatem sanguinis, sed tenuitatem potius & munditiam. Terrenum enim eorum neutrum habet. Habent enim sensum mobiliorem, quorum humor tenuior & syncerior est. Propter hunc enim nonnulla ex iis quæ sanguine carent, animalibus, prudentiorem quibusdam sanguine præditis habent animam, vti diximus antea; quemadmodum apes, formicæ, & si quid aliud huiusmodi est. Timidiora, quibus sanguis aquosus nimium est. Metus enim refrigerat. Quapropter ea quibus eius generis temperamentum in corde consistit, metuendi affectibus sunt opportuniora. Nam aqua frigore congelascit. Inde est, quòd alia exanguia timore citiùs ac sanguinea corripiuntur; vt absoluto sermone dixerim, à motu cessant præ nimio metu, recrementa emittunt, nonnulla etiam suos colores immutant. At quorum sanguis fibris admodum multis crassisque refertus est, hæc terrena magis constant natura, & irascibili, & propter iracundiam furibunda sunt. Iracundia enim calorem excitat. Solida autem calefacta, magis quàm par est calida sunt, vt fibrarum natura in humido. Nam illæ solidiores, magisque terreæ, corporis velut fomenta fiunt, feruorémque per iracundiam accendunt. Quo fit, vt tauri & apri, iracundi, furibundique sint. Sanguis enim eorum maximè fibrosus. Et taurorum quidem sanguis omnium celerrime concrescit. At si fibras detraxeris, sanguis non concrescet. Vt enim si ex luto terrenam portionem semoueris, aqua non concrescet: ita sanguis fibris detractis (sunt enim terreæ) non concrescit. Nam si relinquantur, concrescit, quemadmodum terra humida frigore. Quum enim calor à frigido exprimitur, humor vnà exalat, vt dictum iam est,*

atque ita concrescit, non à calore, sed à frigore siccescens. At verò quandiu in corpore continetur, humidus est propter calorem animalibus inditum. Hæc præfatus Aristoteles, mox subiungit quæ sequuntur. *Meritò igitur multorum causa est sanguinis natura tum in animalium moribus tum in sensu. Totius etenim corporis est materia. Iam verò quum alimentum existat materies, sanguis autem vltimum habeatur nutrimentum, multam subit differentiam, quum calidus & frigidus est, tenuis & crassus, purus turbidus.* Hæc Aristotelis verba sunt, & pleraque alia in libris de animalibus; nec minùs in problematibus huiusmodi inuenias licet. Sed omnia adscribere superuacaneum visum est, quoniam satis est autoris sententiam de corporis temperamento, & animi facultatibus indicasse. Attamen apponam ex primo de animalium historia iam citato, quorum nonnulla manifestè ad temperiem, nonnulla per signa physiognomonica, deprehenduntur, & quidem eodem authore. Vult enim hic in vnoquoque animalium genere corporis totius conformationem animi moribus ac facultatibus peculiarem fieri. Exempli gratia, Prædita sanguine animantia, ex materno sanguine ducunt originem. Huius igitur temperamentum mores animi sequuntur, sicut modo comprehensis verbis declaraui. Organicarum autem partium conformatio propria animi moribus ipso Aristotele authore fit. At secundo hoc modo non parum multa de moribus animi, & corporis temperamento apparent indicia. Quædam ex physiognomonicis, clarè nullóque medio temperiem repræsentant. Huiusmodi autem sunt quæ ex coloribus, pilis, vocibus, & partium actionibus petuntur. Audiamus igitur iam quæ Aristoteles in primo de animalium historia conscripsit. *Pars faciei quæ sub sincipite posita inter idipsum & oculos, frons est; quibus autem hæc magna, tardiores; quibus parua mobiles; quibus lata, mente moueri idonei; quibus rotunda, iracundi sunt.* Atque non multò post hunc ferè in modum sonat. *Supercilia sub fronte bifariam distincta; quæ si in rectum exporriguntur, molles subesse mores significant. Si iuxta nasum inflexa sunt, austerum notant & acerbum. Iuxta tempora, derisorem, dißimulatorémque indicant, si demissa inuidiam.* Mox paulò infra subiungit. *Oculi pars communis superioris inferiorisque palpebræ angulus est, quem duplicem vterque oculus habet, alterum iuxta nasum, alterum iuxta tempora; qui si iusto sunt longiores, prauitatis nota est; sin breues, morum meliorum; si carnesi more pectunculorum sunt qui naribus iunguntur, malitiam indicant.* Post hæc rursus inquit, *Candidum oculi magna ex parte simile in omnibus est. At quod nigrum dicitur, variat. Aliis enim atrum, aliis admodum cæsium, aliis fuluum, aliis charopum, quod morum optimorum indicium est, & ad cernendi claritatem primatum obtinet.* Postea subnectit illa. *Oculorum alij grandiores, alij parui, alij mediocres, qui optimi habentur.* Item, *Alij nimium prominentes, alij conditi, alij modicè siti. Qui conditi sunt, clarißime cernere in genere quoque brutorum animalium possunt. Medius tamen situs nota morum est optimorum, & aut nimium conniuent, aut rigidi intentique constant, aut modicè nutant. Notam morum laudabilium habent qui mediocriter conniuent, reliquorum alteri impudentiæ, alteri inconstantiæ indices sunt.* Deinde sermonem de auribus subiicit. *Aures aliæ maiores, aliæ paruæ, aliæ mediocres, & aut nimium, aut parum, aut mediocriter arrectæ. Harum quæ quidem*

καὶ πήγνυται, οὐχ ὑπὸ θερμοῦ, ἀλλ' ὑπὸ ψυχροῦ ξηραινόμενον. ἐν δὲ τοῖς σώμασιν ὑγρόν ἐστι, διὰ τὴν θερμότητα τὴν ἐν τοῖς ζώοις. Ταῦτα προειπὼν ὁ Ἀριστοτέλης, ἐφεξῆς αὐτοῖς συνάπτει ταῦτα. πολλῶν δέ ἐστιν αἰτία ἡ τοῦ αἵματος φύσις, καὶ κατὰ τὸ ἦθος τοῖς ζώοις, καὶ κατὰ τὴν αἴσθησιν εὐλόγως. ὕλη γάρ ἐστι παντὸς τοῦ σώματος. ἡ γὰρ τροφὴ, ὕλη· τὸ δ' αἷμα, ἐσχάτη τροφή. πολλὴν οὖν ποιεῖ διαφορὰν θερμὸν ὂν καὶ ψυχρὸν, καὶ λεπτὸν, καὶ παχὺ, καὶ καθαρὸν, καὶ θολερόν. οὐσῶν δὲ καὶ ἄλλων αὐτοῦ ῥήσεων ἐν ταῖς περὶ τῶν ζώων αὐτοῦ πραγματείαις, καὶ τοῖς τῶν προβλημάτων αὐτοῦ βιβλίοις, ἔδοξέ μοι περιττὸν εἶναι παραγράφειν ἁπάσας. ἀρκεῖ γάρ μοι τὴν Ἀριστοτέλους ἐνδείξασθαι γνώμην, ἣν ἔχει περί τε τῶν κράσεων τοῦ σώματος, καὶ τῶν τῆς ψυχῆς δυνάμεων. ὅμως δὲ προσθήσω, καὶ κατὰ τὸ πρῶτον εἰρημένον τῆς τῶν ζώων ἱστορίας, ὧν τινα μὲν ἄντικρυς εἰς τὴν κρᾶσιν ἀνάγεται, τινὰ δὲ διὰ μέσων τῶν φυσιογνωμονικῶν σημείων, καὶ μάλιστα κατὰ τὸν Ἀριστοτέλη. βούλεται γὰρ ἐστὶ τοῖς τῆς ψυχῆς ἤθεσί τε, καὶ δυνάμεσιν, οἰκείαν γίνεσθαι τὴν διάπλασιν ὅλου τοῦ σώματος ἑκάστῳ γένει ζώων, οἷον αὐτίκα τῶν ἐναίμων ἡ γένεσις μέν ἐστιν, ἐκ τοῦ τῆς μητρὸς αἵματος. ἀκολουθεῖ δὲ τῇ κράσει τούτου τὰ τῆς ψυχῆς ἤθη, καθότι καὶ διὰ τῶν προγεγραμμένων ῥήσεων ἀπεφήνατο. τῶν δὲ ὀργανικῶν μορίων ἡ διάπλασις οἰκεία τοῖς τῆς ψυχῆς ἤθεσι γίγνεται κατ' αὐτὸν τὸν Ἀριστοτέλη. καὶ κατὰ τοῦτο δὴ λοιπὸν οὐκ ὀλίγα πέφυκε περί τε ψυχῆς ἠθῶν, καὶ τῆς τοῦ σώματος κράσεως. ἔνια δὲ τῶν φυσιογνωμονικῶν, ἄντικρυς τε καὶ δι' οὐδενὸς μέσου τὴν κρᾶσιν ἐνδείκνυται. τοιαῦτα δέ ἐστι κατὰ τὰς χρόας καὶ τρίχας, ἔτι τε τὰς φωνὰς, καὶ τὰς ἐνεργείας τῶν μορίων. ἀκούσωμεν οὖν ἤδη τῶν ὑπὸ Ἀριστοτέλους γεγραμμένων ἐν τῷ πρώτῳ περὶ ζώων ἱστορίας. προσώπου δὲ τὸ μὲν ὑπὸ τὸ βρέγμα μεταξὺ τῶν ὀμμάτων, μέτωπον· τοῦτο δὲ οἷς μὲν μέγα, βραδύτεροι, οἷς δὲ μικρὸν, εὐκίνητοι, καὶ οἷς μὲν πλατὺ, ἐκστατικοί. μία μὲν αὕτη ῥῆσις. ἑτέρα δὲ οὐ μετὰ πολὺ τόνδε τὸν τρόπον ἔχουσα. ὑπὸ δὲ τῷ μετώπῳ ὀφρύες διφυεῖς, ὧν αἱ μὲν εὐθεῖαι φύουσαι, μαλακοῦ ἤθους σημεῖον. αἱ δὲ πρὸς τὴν ῥῖνα τὴν καμπυλότητα ἔχουσαι στρυφνοῦ· αἱ δὲ πρὸς τοὺς κροτάφους μώμου, καὶ εἴρωνος· αἱ δὲ κατεσπασμέναι φθόνου. εἶτα πάλιν οὐ μετὰ πολὺ, κοινὸν δὲ βλεφαρίδος μέρος τῆς ἄνω καὶ κάτω, κανθοὶ δύο μὲν πρὸς τῇ ῥινὶ, δύο δὲ πρὸς τοῖς κροτάφοις. οἷς μὲν εἰσι μακροὶ, κακοηθείας σημεῖον, οἷς δὲ βραχεῖς, ἤθους βελτίονος. ὧν δὲ οἱ κτένες οἷον κρεώδεις ἔχοντες πρὸς τῷ μυκτῆρι, πονηρίας. καὶ μετὰ τοῦτο πάλιν. ὀφθαλμοῦ δὲ τὸ μὲν λευκοῦ, ὁμοίως ἐπὶ πολὺ πᾶσι· τὸ καλούμενον μέλαν διαφέρει. τοῖς μὲν γάρ ἐστι μέλαν. τοῖς δὲ καὶ σφόδρα γλαυκόν. οἷς δὲ χαροπὸν, τοῦ βελτίστου σημεῖόν ἐστι. καὶ πρὸς ὀξύτητα ὄψεως κράτιστον. καὶ δὴ καὶ τούτων ἐφεξῆς τάδε γράφει. τῶν δὲ ὀφθαλμῶν οἱ μὲν μικροὶ, οἱ δὲ μεγάλοι, οἱ μέσοι δὲ καὶ βέλτιστοι, καὶ οἱ ἐκτὸς σφόδρα, ἢ ἐντὸς, ἢ μέσως, τούτων οἱ ἐντὸς μάλιστα ὀξυωπέστατοι ἐπὶ παντὸς ζώου. οἱ δὲ μέσον, ἤθους βελτίστου σημεῖον, καὶ ἢ σκαρδαμυκτικοὶ, ἢ ἀτενεῖς, ἢ μέσοι. βελτίστου δὲ ἤθους, σημεῖον, οἱ μέσοι. ἐκείνων δὲ οἱ μὲν ἀναιδεῖς, οἱ δὲ ἀβέβαιοι. καὶ πάλιν οὐ μετὰ πολλὰ, καὶ τὸν περὶ τῶν ὤτων λόγον ὡδί πως ἔγραψεν. εἰ μὲν πάνυ μικρὰ, ἢ μέσα, ἢ ἐπανεστηκότα σφόδρα ᾖ, τούτων τὰ μὲν

μικρὰ, κακοήθους σημεῖον. τὰ δὲ μέσα, βελτίστου ἤθους. τὰ δὲ μεγάλα, καὶ ἐπανεστηκότα, μωρολογίας καὶ ἀδολεσχίας. ταῦτα μὲν ἐν τῷ πρώτῳ περὶ ζώων ἱστορίας Ἀριστοτέλης ἔγραψεν. ὀλίγα δὲ μέμνηται, καὶ ἐν ἄλλῳ συγγράμματι περὶ φυσιογνωμονικῶν θεωρημάτων, ὧν καὶ παρεθέμην ἂν τινας ῥήσεις, εἰ μήτε μακρολογίας ἔμελλον ἀποίσεσθαι δόξαν, ἀναλίσκειν τε τὸν χρόνον μάτην, ἐξὸν ἐπὶ τὸν πάντων ἰατρῶν τε καὶ φιλοσόφων πρῶτον, ἰόντες τὴν θεωρίαν ταύτην, ἀφικέσθαι μάρτυρα τὸν θεῖον Ἱπποκράτη.

paruæ sunt, malos mores significant. Mediocres, optimos mores ostendunt. Magnæ verò & erectæ supra modum, stultitiæ indices sunt, aut loquacitatis. Hactenus Aristoteles in primo de animalium historia. Pauca autem meminit & in aliis commentariis de speculationibus physiognomonicis, quorum etiam verba alioqui apponerem, nisi prolixior esse vererer, & tempus nequicquam consumere, quum liceat Hippocratem illum diuinum speculationis huius inter omnes philosophos principem in testimonium producere.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὑπαλλάττεσθαι τὴν ψυχὴν ὑπὸ τῆς τοῦ σώματος κράσεως κατὰ τὸν Ἱπποκράτην.

Γράφει τοίνυν οὕτως ἐν τῷ βιβλίῳ ἐν ᾧ περὶ ὑδάτων, καὶ ἀέρων, καὶ τόπων διδάσκει. πρῶτον μὲν ἐπ' ἐκείνων τῶν πόλεων αἳ ἐστράφθαι φησὶ πρὸς ἄρκτους, ὧδέ πως αὐτοῖς ὀνόμασι, τά τε ἤθεα ἀγριώτερα, ἢ ἡμερώτερα, καὶ μετὰ ταῦτα πάλιν ἐπὶ τῶν πρὸς ἀνατολὴν ἐστραμμένων ὧδε. λαμπρόφωνοί τε οἱ ἄνθρωποι, ὀργήν τε καὶ ξυνέσιν βελτίους τῶν πρὸς βορρᾶν. ἔπειτα προελθὼν ἐπὶ πλέον περὶ τῶν αὐτῶν, ὧδέ πως διεξέρχεται τὴν Ἀσίαν. πλεῖστον δὲ διαφέρειν φημὶ τῆς Εὐρώπης εἰς τὰς φύσιας τῶν ξυμπάντων τῶν ἐκ γῆς φυομένων, καὶ τῶν ἀνθρώπων. πολὺ γὰρ καλλίω, καὶ μείζω πάντα γίγνονται ἐν τῇ Ἀσίᾳ, ἥτε χώρη τῆς χώρης ἡμερωτέρη, καὶ τὰ ἤθεα τῶν ἀνθρώπων ἡμερώτερα. τὸ δ' αἴτιον τούτων, ἡ κρᾶσις τῶν ὡρέων. τὴν κρᾶσιν αἰτίαν εἶναί φησιν οὐ μόνον τῶν ἄλλων ὧν διεξῆλθεν, ἀλλὰ καὶ τῶν ἠθῶν. ὅτι δὲ τὴν τῶν ὡρῶν κρᾶσιν ἐν θερμότητι καὶ ψυχρότητι, ξηρότητί τε καὶ ὑγρότητι διαλλάττειν ἑτέρας τῆς ἑτέρας φησί, παμπόλλας ῥήσεις παρεθέμην ἐν τῇ πραγματείᾳ, καθ' ἣν ἐπιδείκνυμι τὴν αὐτὴν φυλάττοντα δόξαν αὐτὸν περὶ τῶν στοιχείων ἐν τῷ περὶ φύσεως ἀνθρώπου βιβλίῳ, καὶ τἄλλα πάντα συγγράμματα. ἀλλὰ καὶ κατὰ τὰς ἑπομένας ῥήσεις τῇ προκειμένῃ ταὐτὸν διδάσκων, γράφει ὧδε περὶ τῆς εὐκράτου χώρας, ἣν καὶ τὰ τῶν ἀνθρώπων ἤθη φησὶ ποιεῖν εὔκρατα. οὔτε γὰρ ὑπὸ τοῦ θερμοῦ ἐκκέκαυται, λέγει, οὔτε ὑπὸ τῶν αὐχμῶν, καὶ ἀνυδρίης ἀναξήρανται, οὔτε ὑπὸ ψύξεως πέπτεται. διὰ τούτων οὕτως ἐφεξῆς φησι. τὸ δὲ ἀνδρεῖον, καὶ τὸ ταλαίπωρον, καὶ τὸ θυμοειδὲς, οὐκ ἂν δύναιτο ἐν τοιαύτῃ φύσει ἐγγίγνεσθαι, οὔτε ὁμοφύλου, οὔτε ἀλλοφύλου. ἀλλὰ τὴν ἡδονὴν ἀνάγκη κρατέειν. καὶ μέντοι κατωτέρω πάλιν ἐν τῷ αὐτῷ συγγράμματι, τάδε γράφει. περὶ δὲ τῆς ἀθυμίης τῶν ἀνθρώπων, καὶ τῆς ἀνανδρείης, ὅτι ἀπολεμώτεροί εἰσι τῶν Εὐρωπαίων οἱ Ἀσιηνοὶ καὶ ἡμερώτεροι τὰ ἤθεα, αἱ ὧραι αἴτιαι μάλιστα, οὐ μεγάλας τὰς μεταβολὰς ποιεύμεναι, οὔτε ἐπὶ τὸ θερμὸν, οὔτε ἐπὶ τὸ ψυχρὸν, ἀλλὰ παραπλήσιαι. καὶ μέντοι καὶ μετ' ὀλίγα πάλιν εἶπεν οὕτως. εὑρήσεις δὲ καὶ τῶν Ἀσιηνῶν διαφέροντας αὐτοὺς ἑωυτῶν. καὶ τοὺς μὲν βελτίονας, τοὺς δὲ φαυλοτέρους ὄντας. τούτων δὲ αἱ μεταβολαὶ αἴτιαι τῶν ὡρέων, ὥσπερ μοι εἴρηται ἐν τοῖσι προτέροισι, καὶ κατωτέρω τοῦ συγγράμματος. ἡνίκα περὶ τῶν τὴν Εὐρώπην οἰκούντων ὁ λόγος αὐτῷ γίγνεται, τάδε γράφει. τὸ δὲ ἄγριον, καὶ τὸ ἄμικτον, καὶ τὸ θυμοειδὲς, ἐν τῇ τοιαύτῃ φύσει γίγνεται. καὶ μετὰ ταῦτα πάλιν ἐν ἑτέρᾳ ῥήσει γράφει ταυτί. ὅσοι μὲν ὀρεινὴν χώρην οἰκοῦσι, καὶ τρηχεῖαν, καὶ ὑψηλὴν, καὶ ἄνυδρον, καὶ μεταβολαὶ αὐτέοισι γίγνονται τῶν ὡρέων, μέγα δὲ τὸ διάφορον ἐνταῦθα.

CAPVT VIII.

Mutari animam à corporis temperamento Hippocratis auctoritate.

ITa enim docet in commentario de aquis, aëre, & locis. Primùm quidem de ciuitatibus quæ versus Septentrionem vergunt, ad verbum sic ait. *Mores illorum agrestes magis quàm benigni.* Mox de illis quæ spectant Orientem, huiusmodi scribit. *Homines clara voce præditi sunt; Ira & ingenio præstantiores iis quiad Aquilonem habitant.* Deinde copiosius de eisdem hisce verbis disserit: *Plurimùm Asiam ab Europa differre naturis omnium, & quæ terra proueniunt, & hominum dicimus. Multò namque pulchriora vberioráque omnia gignuntur Asianis, ac regio mitior hac nostra est, moresque hominum mansuetiores horum verò causa, est anni temperamentum.* Atque horum omnium causa anni temperamentum ait non modò aliorum quæ percensui, sed morum quoque causam esse. Quòd verò temporum anni temperamentum hoc ab illo calore, frigore, sicco & humido recedere variarique censeat, compluribus illius testimoniis in præsenti commentario probare possum, eandem ipsum opinionem tueri ostendens de elementis in libello de natura humana, aliisque omnibus commentationibus. Quinetiam in his quæ sequuntur, idem præcipiens, sic de regione temperata scribit, quam & hominum mores temperatos reddere confitetur. Nec enim à calore nimio hæc regio peruritur, nec squaloribus, aquarúmque penuria perarescit, nec frigoribus infestatur. Horum gratia deinceps inquit. *Virilis autem animus, iracundus, & laborum patiens non poterit innasci tali naturæ vel eiusdem gentis, vel diuersæ, sed voluptatem amplexari illos necesse est.* In eodem commentario non multò infra rursus hæc adfert. *De ignauia verò hominum, & fortitudine animi cur infirmiores, ac minus bello idonei, sed moribus leniores sint Asiani iis qui Europam incolunt, causæ maximè sunt anni tempestates, quæ non magnas mutationes subeunt, nec ad frigus, nec ad calidum, vno sed in statu manent.* Post illa sic iterum. *Inuenies & Asianos ipsos inter se differre, hos strenuos magis, illos ignauos ac imbecilles. Cuius rei causæ, anni temporum mutationes existunt, quemadmodum supra tradidimus.* Dein vbi Europæ incolarum mentionem facit, hunc sermonem adducit. *Agrestes duri seu feroces & iracundi illic nascuntur.* Alibi in eodem libro. *Qui regionem montanam, asperam, sublimem, aquis carentem inhabitant, magnas etiam anni temporum mutationes sustinent. Plurimum autem discriminis hic cum aliarum nationum hominibus videas. Sunt*

Sunt enim insignis staturæ, laborum patientes, strenui, agrestes, & feroces. Qui verò caua loca colunt, palustria, æstuosa, vbi calidiores quàm frigidiores venti spirant, & calidæ aquæ in vsu sunt, hi corpora non habent magna, neque procera; naturâ verò, lata, carnosa, pilis nigris obsita. Porrò nigri magis ac candidiores, pituitæ minus quàm bili suapte natura obnoxij sunt, strenui autem, & laborum patientes, naturâ quidem non similiter sunt, lex autem accedens id perficit. Legem dixit nimirum constantem in vnaquaque regione vitæ institutionem, quam & educationem, disciplinam & consuetudinem patriam nominamus. Cuius quidem sermone paulò post futuro meminerimus. Libet enim in præsentia eiusdem authoris verba apponere. *Qui sublimem & editam regionem habitant, aut planam, ventis opportunam, aquis scatentem, ingenti corpore præditi sunt, & sibi ipsis similes sunt, minùs strenui ac magnanimi, sed animo mansuetiores, ac humaniores cernuntur.* Insuper & subnectens de loco hæc adhuc scribit. *Qui macram terram incolunt, aquæ expertem, sterilem, anni mutationibus ægrè discerni possunt ipsorum species; duræ sunt, robustæ, flauæ, quibus nigræ sunt, impetus animi habent pertinaces, & obstinatos.* Etenim quid, ne multa nimis illius citem, addit? *Comperies hominum & formas & mores, regionis naturam vt plurimum imitari.* At regionem ipsam, calidi, frigidi, humidi, & sicci qualitate ab alia regione differre, subinde in isto libro persæpe meminit. Quamobrem pergit. *Vbi solum amarum, molliusculum, insigniter humidum, sublimibus aquis subiectum, vt æstate calidæ, hyeme frigidæ sint, reliquisque anni partibus optimè temperatæ, homines carnosi, minúsque articulati, humidi, laborum impatientes, & desidiosi, animo maligni (id est qui mala cogitant) visuntur. Quare segnitie & somnolentia laborant, artibus discendis inepti, crassi, miniméque acuti.* Hinc nimirum denuo clarissimum reddit, non solùm mores, sed ingenij hebetudinem ex quatuor anni temporum iniuria proficisci. Similia prioribus, & quæ prædicto sermoni congruant quæ subiunguntur infra, hoc modo conscripsit. *Regio infœcunda, quæ hyeme niuibus, æstate solis infestatur ardore, graciles, duros, articulatos, robustos, & hispidos, in operibus subtiles, acutósque, vigiles, moribus & ira obstinatos, & propositi pertinaces, eóque magis feroces; quàm benignos, cæterum subtili acríque ad artium studia ingenio, prudentíque industria præditos, sed omnium maximè in re bellica præstantes conspicimus.* Quis non videt & hîc Hippocratem euidenter innuere, non tantùm mores, sed ingenia quoque ad artes discendas hæc acutiora, illa minus felicia, quædam hebetiora crassioráque loci temperiem consequi? Non opus nunc habeo, omnia quę in secundo aut sexto epidemiωn libro, de physiognomonicis indiciis ponuntur, commemorare, hoc tantum exempli gratia sufficit adscribere. *Quorum vena pulsat in cubito, hi furentes sunt & iracundi; quorum verò quiescit, stupidi.* Hoc modo verba illius sonant. *Quibus hominibus arteria in cubito vehementissimè mouetur, hi furiosi sunt.* Venas etenim & arterias veteres vocabant, vt sæpius annotauimus. Atqui non omnem arteriarum motum nominabant pulsum, sed sen-

A εἰκὸς γὰρ εἴδεα μεγάλα εἶναι, καὶ πρὸς τὸ ταλαίπωρον, καὶ ἄνδρεον εὖ πεφυκότα, καὶ τό γε ἄγριον, καὶ θηριῶδες, αἱ τοιαῦται φύσιες οὐχ ἥκιστα ἔχουσιν. ὅσοι δὲ κοῖλα χωρία καὶ λειμώδεα, καὶ πνιγηρά, καὶ τῶν θερμῶν πνευμάτων πλέον μέρος μετέχουσιν ἢ τῶν ψυχρῶν, ὕδασί τε χρέονται θερμοῖσιν, οὗτοι δὲ μεγάλοι μὲν οὐκ ἂν εἴησαν. οὐδὲ εὐμήκεες. εὐρέες δὲ πεφυκότες, καὶ σαρκώδεες, καὶ μελανότριχες, καὶ αὐτοὶ μέλανες μᾶλλον, ἢ λευκότεροι, φλεγματίαι τε ἧσσον, ἢ χολώδεες, τὸ δὲ ἄνδρεον, καὶ τὸ ταλαίπωρον ἐν τῇ ψυχῇ, φύσει μὲν οὐκ ἂν ὁμοίως ἔχοιεν, νόμος δὲ προσγενόμενος, ἀπεργάσεται. νόμον εἴρηκε δηλονότι τὸν νόμιμον ἐν ἑκάστῃ χώρᾳ τοῦ βίου διαγωγήν, ἣν δὴ καὶ τροφήν, καὶ παιδείαν, καὶ συνήθειαν ἐπιχώριον ὀνομάζομεν, οὗ καὶ αὐτοῦ μεμνήσομαι, πρὸς τὸν ὀλίγον ὕστερον εἰρησόμενον λόγον. ἐν γὰρ τῷ παρόντι παραθεῖναι ταύτας ἔτι βούλομαι τὰς ῥήσεις αὐτοῦ. ὅσοι δὲ ὑψηλὴν οἰκέουσι χώρην, ἢ λείην καὶ ἀνεμώδεα, καὶ ἔνυδρον, εἶεν ἂν εἴδεα μεγάλοι, καὶ ἑωυτοῖσι παραπλήσιοι, καὶ ἀνανδρότεροι δὲ καὶ ἡμερώτεραι τούτων αἱ γνῶμαι. καὶ συνάπτων γε ἐφεξῆς περὶ τὸ χωρίον ἔτι τάδε γράφει. ὅσοι δὲ λεπτά, καὶ ἄνυδρα, καὶ ψιλά, τῇσι μεταβολῇσι τῶν ὡρέων, οὐκ εὔκριτα ἔχει τῇ χώρῃ τὰ εἴδεα, ἀλλὰ σκληρά καὶ εὔτονα, καὶ ξανθότερα, οἷς μελαντώτερα εἶναι τὰ εἴδεα, καὶ τὰς ὀργὰς αὐθάδεας τε, καὶ ἰδιογνώμονας. καὶ τί γάρ, ἵνα μὴ πολλῶν μνημονεύσω ῥήσεων αὐτοῦ, ἐφεξῆς ἐρῶ. εὑρήσεις γὰρ ἐπὶ τὸ πολὺ τῆς χώρης τῇ φύσει ἀκολουθοῦντα, καὶ τὰ εἴδεα τῶν ἀνθρώπων καὶ τοὺς τρόπους. αὐτὴν δὲ δηλονότι τὴν χώραν κατὰ τὸ θερμόν τε καὶ ψυχρόν, καὶ ξηρόν, καὶ ὑγρόν, ἑτέρης χώρης διαφέρειν, εἴρηκε πολλάκις ἐν τῷ συγγράμματι. διὰ γοῦν πάλιν τὴν ἐφεξῆς φησιν. ὅκου μὲν γὰρ ἡ γῆ πικρά, καὶ μαλθακή, καὶ ἔνυγρος, καὶ τὰ ὕδατα κάρτα μετέωρα ἔχουσα, ὥστε θερμὰ εἶναι τοῦ θέρεος, καὶ τοῦ χειμῶνος ψυχρά, καὶ τῶν ὡρέων καλῶς κεῖται, ἐνταῦθα καὶ οἱ ἄνθρωποι σαρκώδεες

D εἰσι, καὶ ἄναρθροι, καὶ ὑγροί, καὶ ταλαίπωροι, καὶ τὴν ψυχὴν κακοί, ὥστε ἐπὶ πολὺ τὸ ῥᾴθυμον, καὶ τὸ ὑπνηλὸν ἔνεστιν ἐν αὐτοῖσιν ἰδεῖν, ἔς τε τὰς τέχνας παχέες, καὶ οὐ λεπτοί, οὐδὲ ὀξέες. ἐν τούτοις πάλιν ἐδήλωσε σαφέστατα, μὴ μόνον τὰ ἤθη τῇ τῶν ὡρῶν κράσεσιν, ἀλλὰ καὶ τὴν ἀμβλύτητα τῆς διανοίας, ὥσπερ οὖν καὶ τὴν σύνεσιν ἑπομένην. ὅμοια δὲ τούτοις, καὶ κατὰ τὴν ἐχομένην ῥῆσιν ὑπ' αὐτοῦ γέγραπται αὐτοῖς ὀνόμασιν. ὅκου δὲ ἐστὶν ἡ χώρη ψιλή τε, καὶ ἄνυδρος, καὶ τρηχείη, καὶ ὑπὸ τοῦ χειμῶνος πιεζομένη, ἢ καὶ ὑπὸ τοῦ ἡλίου κεκαυμένη, ἐνταῦθα σκληρούς τε, καὶ ἰσχυρούς, καὶ διηρθρωμένους, καὶ εὐτόνους, καὶ δασέας ἴδοις, τό τε ἐργαστικὸν ὀξὺ ἐνεὸν ἐν

E τῇ φύσει τῇ τοιαύτῃ, καὶ τὸ ἄγρυπνον, τά τε ἤθεα καὶ τὰς ὀργὰς αὐθάδεας, καὶ ἰδιογνώμονας, τοῦ τε ἀγρίου μᾶλλον μετέχοντας, ἢ τοῦ ἡμέρου. ἔς τε τὰς τέχνας ὀξυτέρους τε καὶ συνετωτέρους, καὶ τὰ πολέμου ἀμείνους εὑρήσεις. ἐν τούτῳ πάλιν τῷ λόγῳ σαφῶς, οὐ μόνον τὰ ἤθη τῇ τῆς χώρας κράσεσιν ἀκόλουθα φησιν ὑπάρχειν, ἀλλὰ καὶ πρὸς τὰς τέχνας τοὺς μὲν ὀξυτέρους, τοὺς δὲ ἀσυνετωτέρους, τοὺς δὲ ἀμβλυτέρους τε, καὶ παχέας τὴν διάνοιαν. οὐκέτ' οὖν δέομαι τῶν κατὰ τὸ δεύτερον, ἢ τὸ ἕκτον τῶν ἐπιδημιῶν γεγραμμένων, φυσιογνωμονικῶν γνωρισμάτων ἁπάντων μνημονεῦσαι, ἀλλ' ἀρκεῖ παραγράψαι δείγματος ἕνεκα, τὴν δὲ τὴν λέξιν

F αὐτοῦ. ὧν ἡ φλὲψ ἡ ἐν ἀγκῶνι σφύζει, μανικοί, καὶ ὀξύθυμοι, ὧν δὲ ἂν ἀτρεμέῃ, τυφώδεες. κατὰ δὲ τὴν ῥῆσιν ὁ λόγος ἐστὶ τοιόσδε. ὧν ἀνθρώπων ἡ κατὰ τὸν ἀγκῶνα ἀρτηρία σφοδροτάτην ποιεῖται τὴν κίνησιν, οὗτοι μανικοί εἰσι. φλέβας μὲν γὰρ καὶ τὰς ἀρτηρίας ἐκάλουν οἱ παλαιοί, καὶ δέδεικται πολλάκις. οὐδέ πω δὲ πᾶσαν ἀρτηριῶν κίνησιν ὠνόμαζον σφυγμόν, ἀλλὰ μόνον τὴν

αἰσθητὴν αὐτὴν, ἀλλὰ τῷ ἀνθρώπῳ πάντως οὖσαν σφοδράν. Ἱπποκράτης δὲ ὡς καὶ πρῶτος ἄρξας τοῦ μετὰ ταῦτα κρατήσαντος ἔθους, εἴρηκέ που σφυγμὸν ἁπασῶν τῶν ἀρτηριῶν τὴν κίνησιν, ὁποία τις ἂν εἴη. κατὰ μέντοι τήνδε τὴν ῥῆσιν, ἔτι τῷ παλαιοτέρῳ τρόπῳ τῆς ἑρμηνείας χρώμενος, ἐκ σφοδρᾶς κινήσεως τῆς ἀρτηρίας, ἐτεκμήρατο τὸν μανικὸν καὶ ὀξύθυμον ἄνθρωπον, ἐπεὶ διὰ τὸ πλῆθος τῆς ἐν τῇ καρδίᾳ θερμασίας, οὕτω σφύζουσιν αἵδε αἱ ἀρτηρίαι. καὶ μανικοὺς μὲν γὰρ καὶ ὀξυθύμους τὸ πλῆθος τῆς θερμασίας ἐργάζεται, νωθροὺς δὲ καὶ βαρεῖς, καὶ δυσκινήτους, ἡ τῆς κράσεως ψυχρότης.

sibilem solum & qui homini omninò vehemens esset. Hippocrates autem consuetudinis huius, quæ pòst inualuit, tanquam primus autor, omnium arteriarum motum, qualiscunque ille esset, pulsum appellauit. Verùm in ista sententia vetustiore adhuc interpretandi modo vsus, ex euidenti motu arteriæ, furiosum, aut pronum ad iram coniiciebat, quoniam ob caloris in corde copiam, ita hæ arteriæ pulsant; Nam furibundos sanè iracundósque caloris copia efficit; segnes, tardos, graues, & ad motum difficiles, temperamenti frigiditas.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Πρός τινας τὴν ψυχὴν κατὰ τὴν τῶν τόπων διαφορὰν ὑπαλλάττεσθαι.

Ἱπποκράτης μὲν οὖν ἐπιδείξας ἐν ὅλῳ τῷ περὶ ὑδάτων καὶ ὡρῶν κράσεως συγγράμματι, σώματος κράσει ἕπεσθαι τὰς τῆς ψυχῆς δυνάμεις, οὐ μόνον ὅσαι κατὰ τὸ θυμοειδὲς, ἢ ἐπιθυμητικὸν αὐτῆς εἰσιν, ἀλλὰ καὶ τὰς κατὰ τὸ λογιστικὸν ἁπάσας, ἀξιοπιστότατός ἐστι μάρτυς, εἴ γέ τις ἐπὶ μάρτυσι ποιοῖτο, καθάπερ ἐνίοις ἔθος ἐστὶ, τὴν τῶν δογμάτων ἀλήθειαν. ἐγὼ δ' οὐχ ὡς μάρτυρι τἀνδρὶ πιστεύω τοῖς πολλοῖς ὡσαύτως, ἀλλ' ὅτι τὰς ἀποδείξεις αὐτοῦ βεβαίας ὁρῶ, διὰ τοῦτο γ' ἐμοῦ καὶ αὐτὸν ἐπαινῶ τὸν Ἱπποκράτην. τίς γὰρ οὐχ ὁρᾷ τὸ σῶμα, καὶ τὴν ψυχὴν ἁπάντων τῶν ὑπὸ ταῖς ἄρκτοις ἀνθρώπων ἐναντιώτατα διακείμενα, τοῖς ἐγγὺς διακεκαυμένης ζώνης; ἢ τίς οὐκ οἶδε τοὺς ἐν τῷ μέσῳ τούτων ὅσοι τὴν εὔκρατον οἰκοῦσι χώραν ἀμείνους τε τὰ σώματα, καὶ τὰ τῆς ψυχῆς ἤθη καὶ σύνεσιν, καὶ φρόνησιν ἐκείνων τῶν ἀνθρώπων; ἀλλὰ διά τινας τῶν Πλατωνικοὺς μὲν ἑαυτοὺς ὀνομαζόντων, ἡγουμένους δὲ ἐμποδίζεσθαι μὲν ἐν ταῖς νόσοις τὴν ψυχὴν ὑπὸ τοῦ σώματος, ὑγιαίνοντας δὲ ἰδίας ἐνεργεῖν, οὔτε ὠφελουμένην, οὔτε βλαπτομένην ὑπ' αὐτοῦ. ἀναγράψω τινὰς ῥήσεις τοῦ Πλάτωνος, ἐν αἷς ἀποφαίνεταί τινας διὰ τὴν τῶν τόπων κρᾶσιν, εἰς φρόνησιν ὠφελουμένους τε καὶ βλαπτομένους ἄνευ τοῦ νοσεῖν τὸ σῶμα. κατὰ μέν γε τὰ πρῶτα τοῦ Τιμαίου λόγων, ἔγραψε. ταύτην δὴ τὴν σύμπασαν διακόσμησιν, καὶ σύνταξιν ἡ θεὸς προτέρους ἡμᾶς διακοσμήσασα, κατῴκισεν. ἐκλεξαμένη τὸν τόπον ἐν ᾧ γεγένησθε, τὴν ὡρῶν τὴν εὐκρασίαν ἐν αὐτῷ κατιδοῦσα, ὅτι ἄνδρας φρονιμωτάτους οἴσει, ἀλλὰ καὶ συνάπτων ἐφεξῆς. ἅτε οὖν φιλοπόλεμός τε καὶ φιλόσοφος ἡ θεὸς οὖσα, τὸν προσφερεστάτους αὐτῇ μέλλοντα οἴσειν τόπον ἄνδρας τοῦτον ἐκλεξαμένη, πρῶτον κατῴκισεν. ὅτι μὲν οὖν πολὺ δίδωσι τοῖς τόποις, τουτέστι ταῖς ἐπὶ τῆς γῆς οἰκήσεσιν εἴς τε τὰ τῆς ψυχῆς ἤθη, καὶ σύνεσιν καὶ φρόνησιν, ἤδη μὲν κἀκ τούτων ἐστὶ δῆλον, ἀλλὰ κἀν τῷ πέμπτῳ τῶν νόμων ὧδέ πως ἔγραψε. μηδὲ τοῦθ' ὑμᾶς λανθανέτω περὶ τόπων πρὸς τὸ γεννᾷν ἀνθρώπους ἀμείνους καὶ χείρους. ἐναργῶς πάλιν ἐνταῦθα, γεννᾷν τοὺς τόπους φησὶν ἀμείνους τε καὶ χείρους ἀνθρώπους. καὶ ἐφεξῆς δὲ πάλιν ἐπιφέρων τοῖσδε, φησίν. οἱ μέν πού γε διὰ πνεύματα παντοῖα καὶ εἱλήσεις, ἀλλόκοτοί τέ εἰσι, καὶ ἀνείδεοι ἑαυτῶν. οἱ μὲν δι' ὕδατα, οἱ δὲ διὰ τὴν ἐκ τῆς γῆς τροφὴν ἀναδιδοῦσαν, οὐ μόνον τοῖς σώμασιν ἄμεινον καὶ χεῖρον, ταῖς ψυχαῖς δὲ οὐχ ἧττον δυναμένην πάντα τὰ τοιαῦτα ἐμποιεῖν. ἐν τούτῳ τῷ λόγῳ πνεύματα σαφῶς φησι, καὶ τὰς ἡλιάσεις, τουτέστι, τὰς ἐξ ἡλίου θερμότητας εἰς τὰς τῆς ψυχῆς δυνάμεις προσθησομένας. εἰ μή τι ἄρα νομίζουσι διὰ μὲν τὰ πνεύματα, καὶ τὴν τοῦ περιέχοντος ἀέρος θερμότητα

CAPVT IX.

Aduersus quosdam animam mutari pro locorum varietate.

Equidem Hippocrates in toto de aquarum temperamento, & quatuor anni tempestatum commentario, non modo irascibilem animæ, aut concupiscibilem, sed etiam ratiocinatricem facultates, corporis sequi temperamentum ostendens, testis est fide dignissimus, si quis dogmatum veritatem à testimonio pendere putet, quemadmodum nonnulli pro more habent. Ego sanè non vt testi Hippocrati credo, sicut alij plerique; sed quòd solidas demonstrationes eius video, idcirco etiam laudo Hippocratem. Nemo siquidem non videt corpus animúmque eorum qui sub Septentrione degunt, longè aliter ab iis qui iuxta Zonam vstam habitant, affectum esse. Aut quis ignorat inter hos, temperatum colentes tractum, corporis præstantia, moribus animi, ingenio & prudentia cæteris omnibus antecellere? Sed propter quosdam qui se Platonicos nominant, putantes animum à corpore in morbo impediri, sanos verò functionibus obeundis nec iuuari nec offendi ab eo, dicta nonnulla Platonis adscribam, quibus asseuerat aliquos sine morbo ex locorum temperamento vel præsidium ad sapientiam excipiendam, vel incommodum reportare. Scripsit autem statim in exordio Timæi, *Hunc iam vniuersum mundum atque ordinem prius à se exornatum, nobis incolendum obtulit Dea. Locum itaque delegit, anni temporum temperie gratum, vbi viri orirentur prudentissimi.* Mox iterum subiungit. *Dea ergo tanquam belli & sapientiæ studiosa, locum, qui sibi simillimos productura esset, electum, in primis colendum mortalibus dedit.* Quòd iam locis, hoc est, terræ habitaculis ad animi mores, intellectum & prudentiam conciliandam multum tribuit, hinc iam est conspicuum; imò vel ex quinto de legibus satis constat, vbi sic ferè scribit. *Neque hoc vos lateat de locis, quòd generandis hominibus præstantioribus & peioribus non parum valent.* Rursus hic manifesto loco meliores aut peiores gignere declarat. Post hæc iterum. *Quidam ob ventos omnigenos, & solis æstum, alieni à seipsis & informes fiunt, alij ob aquas, nonnulli ob ipsum quod ex terra prodit, alimentum, quod non solùm corporibus meliorem peiorémque habitum, sed etiam animæ non minùs omnia eiusmodi potest inserere.* Hoc loco ventos & insolationes, hoc est ex sole calores, animi facultates impedire aduersari dicit. Iam verò sunt qui negent propter ventos, aëris ambientis caliditatem frigiditatémque

témque, & aquarum ac alimenti naturam, homines præstantiorem atque peiorem animum acquirere posse; ab his verò ipsis, non interuenientibus corporis temperamentis, bona & mala in animo effici; hæc namque virorum prudentiam consequuntur. Verùm illud nos clarè nouimus, scilicet alimentum quodque primò in ventriculum quidem demitti ac in eo prius confici; postea verò per venas ex hepate ad ipsum pertinentes attractum, humores in corpore creare, ex quibus reliqua membra, & vnà cum ipsis cerebrum, cor & iecur nutriuntur. At inter alendum calidiores quàm priùs euadunt, frigidiores & humidiores, dum facultati humorum præpollentium assimilantur. Saltem nunc ad mentem redeant, qui difficulter admittunt, nutrimentum efficere posse hos temperantiores, illos dissolutos magis, alios incontinentes, nonnullos frugales, confidentes, meticulosos, mansuetos, modestos, & contentionis ac rixæ studiosos, veniántque ad me, audituri quæ ipsos edere, quæ item potare conueniat. Maximum enim ad moralem philosophiam adiumentum, & præterea ratiocinatricis animæ facultatibus accessionem virtutis sentient factam, ingeniosiores, magisque memores, ad hæc studiosiores ac prudentiores redditi. Nam præter alimentum potúmque, ventos ipsos docebo, item aëris nos ambientis temperiem, insuper regiones quas eligere, quas vitare ex vsu sit.

καὶ ψυχρότητα, καὶ τὴν τῶν ὑδάτων τε καὶ τῆς τροφῆς φύσιν, ἀμείνους τε καὶ χείρους τὴν ψυχὴν ἀνθρώπους δύνασθαι γενέσθαι. ταῦτα δὲ αὐτὰ μὴ διὰ μέσων τῶν κράσεων ἐργάζεσθαι τὰ κατὰ ψυχὴν ἀγαθά τε καὶ φαῦλα. καὶ γὰρ ταῦτα ἂν εἴη τῇ συνέσει τῶν ἀνδρῶν ἀκόλουθα. ἀλλ' ἡμεῖς γε σαφῶς ἴσμεν ὡς ἕκαστον ἔδεσμα καταπίνεται μὲν πρῶτον εἰς τὴν γαστέρα, προκατείργασται δὲ ἐν αὐτῇ· μετὰ ταῦτα δὲ διὰ τῶν ἐξ ἥπατος αὐτῇ καθηκουσῶν φλεβῶν ἀναληφθὲν, ἐργάζεται τοὺς ἐν τῷ σώματι χυμοὺς, ἐξ ὧν τρέφεται τἄλλα μόρια πάντα, καὶ σὺν αὐτοῖς ἐγκέφαλός τε καὶ καρδία καὶ ἧπαρ. ἐν δὲ δὴ τῷ τρέφεσθαι, θερμότερα σφῶν αὐτῶν γίγνεται, ψυχρότερά τε καὶ ὑγρότερα συνεξομοιούμενα τῇ δυνάμει τῶν ἐπικρατούντων χυμῶν. ὡς σωφρονήσαντες κἂν νῦν γοῦν οἱ δυσχεραίνοντες, τροφὴν δύνασθαι, τοὺς μὲν σωφρονεστέρους, τοὺς δὲ ἀκολαστοτέρους ἐργάζεσθαι, καὶ τοὺς μὲν ἀκρατεστέρους, τούς τε ἐγκρατεστέρους, καὶ θαρσαλέους, καὶ δειλοὺς, ἡμέρους τε καὶ πράους, ἐριστικούς τε καὶ φιλονείκους, ἡκέτωσαν πρός με μαθησόμενοι τίνα μὲν ἐσθίειν αὐτοὺς χρὴ, τίνα δὲ πίνειν. εἴς τε γὰρ τὴν ἠθικὴν φιλοσοφίαν ὀνήσονται μέγιστα, καὶ πρὸς ταύτῃ κατὰ τὰς τοῦ λογιστικοῦ δυνάμεις ἐπιδώσουσιν εἰς ἀρετὴν, συνετώτεροι καὶ μνημονικώτεροι γενόμενοι καὶ φιλομαθέστεροι, καὶ φρονιμώτεροι. πρὸς γὰρ ταῖς τροφαῖς καὶ τοῖς πόμασι, καὶ τοὺς ἀνέμους αὐτοὺς διδάξω, καὶ τὰς τοῦ περιέχοντος κράσεις, ἔτι τε τὰς χώρας ὁποίας μὲν αἱρεῖσθαι προσήκει, ὁποίας δὲ φεύγειν.

CAPVT X.

Animam mutari alimentorum ratione.

AT in memoriam ipsis vel inuitis reducam denuo, quod Plato, à quo cognomentum sibi vsurpant, non semel aut iterum; sed frequenter admodum de his scripsit. Eodem modo satis mihi est, si cum eo quod in Timæo de cibo scribitur, etiam & cum eo quod ex secundo de legibus (quarum de vini potu duæ sunt) eius sententiam apposuero. *An non primum lege sanciemus, vt pueri adusque annum decimum octauum vinum non gustent? nempe docebimus, eos ignem igni in corpus atque animum prius suggerere, quàm laboribus subeundis idonei fuerint, non oportere. Furiosum namque iuuentutis habitum cauere conuenit. Dein ad annum ætatis trigesimum vino moderatè vtentur. Ab ebrietate & vini copia iuuenes omnino abstineant. At quadragenarij liberius in conuiuijs discumbentes, cùm alios Deos, tum Bacchum lætitiæ datorem ad sacra senum & ludos inuocent; qui vinum quasi remedium aduersus senectutis acerbitatem reliquis mortalibus elargitus est, vt molestiæ atque mœroris ipsos caperet obliuio, ipsáque affectio animi, sicuti ferrum in ignem iniectum, ex duritie in mollitiem deducta tractabilior fiat.* Ex hoc verborum contextu egregij illi Platonici meminerint, velim, non modo quæ de vini potu, sed ætatum differentia quoque ab illo relata sunt. Eam namque naturam insaniæ obnoxiam Plato posuit, quæ adolescentium est; senectutem verò, austeram, tristem, & duram, idque non annorum, verùm superantis temperamenti corporis gratia, quod singulis ætatibus inest. Adolescentia siquidem calida, & copiosi sanguinis est; senectus exanguis & frigida; idcirco senibus vini potus est vtilissimus;

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Τὴν ψυχὴν κατὰ τὰς τροφὰς μεταβάλλεσθαι.

ἈΝαμνήσω δὲ πάλιν αὐτοὺς κἂν μὴ θέλωσιν, ὡς ὁ Πλάτων αὐτὸς ἀφ' οὗ παρονομάζουσιν ἑαυτοὺς, οὐχ ἅπαξ ἢ δὶς, ἀλλὰ πολλάκις ἔγραψε περὶ τούτων. ὡσαύτως δ' οὖν μοι ἀρκέσει προσθεῖναι κατὰ τὸν ἐνεστῶτα λόγον πρὸς τῷ περὶ τροφῆς ἐκ Τιμαίου, καὶ ἐκ τοῦ δευτέρου τῶν νόμων, ὧν οἱ μὲν δύο, περὶ οἴνου πόσεώς εἰσιν. ἆρ' οὐ νομοθετήσομεν, πρῶτον μὲν τοὺς παῖδας μέχρις ἐτῶν ὀκτωκαίδεκα, τὸ παράπαν οἴνου μὴ γεύεσθαι, διδάσκοντες, ὡς οὐ χρὴ πῦρ ἐπὶ πῦρ ὀχετεύειν, εἴς τε τὸ σῶμα καὶ τὴν ψυχὴν, πρὶν ἐπὶ τοὺς πόνους ἐγχειρεῖν πορεύεσθαι, τὴν ἐμμανῆ εὐλαβούμενοι ἕξιν τῶν νέων. μετὰ δὲ τοῦτο, οἴνου μὲν δεῖ γεύεσθαι τοῦ μετρίου, μέχρι τριάκοντα ἐτῶν. μέθης δὲ καὶ πολυοινίας τὸ παράπαν νέους ἀπέχεσθαι· τετταράκοντα δὲ ἐπιβαίνοντα ἐτῶν, ἐν τοῖς ξυσσιτίοις εὐωχηθέντα, καλεῖν τούς τε ἄλλους θεοὺς καὶ δὴ καὶ Διόνυσον παρακαλεῖν εἰς τὴν τῶν πρεσβυτέρων τελετὴν ἅμα καὶ παιδιάν. ὃν τοῖς ἄλλοις ἀνθρώποις ἐπίκουρον, τῆς τοῦ γήρως αὐστηρότητος, ἐδωρήσατο τὸν οἶνον φάρμακον, ὥστε ἀνίας καὶ δυσθυμίας λήθην γίγνεσθαι, μαλακώτερον ἐκ σκληροῦ τὸ τῆς ψυχῆς ἦθος, καθάπερ εἰς πῦρ σίδηρον ἐντεθέντα γιγνόμενον, καὶ οὕτως εὐπλαστότερον εἶναι. ἐκ ταύτης τῆς ῥήσεως μεμνῆσθαι ποιεῖ καλοὺς καὶ γενναίους τοὺς Πλατωνικοὺς, καὶ οὐ μόνον ἀφ' ἧς λέλεκται περὶ πόσεως οἴνου ἐκείνῳ, ἀλλὰ καὶ περὶ τῆς ἡλικιῶν διαφορᾶς. ἐμμανῆ μὲν γὰρ εἶναι φησὶ τὴν τῶν μειρακίων φύσιν, αὐστηρὰν δὲ καὶ δύσθυμον, καὶ σκληρὰν τὴν τῶν γερόντων, οὐ δή που διὰ τὸν ἀριθμὸν τῶν ἐτῶν, ἀλλὰ διὰ τὴν τοῦ σώματος ἔχουσαν κρᾶσιν, τὴν οὖσαν ἑκάστῃ τῶν ἡλικιῶν. ἡ μὲν γὰρ τῶν μειρακίων, θερμὴ καὶ πολύαιμος, ἡ δὲ τῶν γερόντων, ὀλίγαιμός τε καὶ ψυχρά. καὶ διὰ τοῦτό γε αὖ, τοῖς μὲν γέρουσιν ὠφέλιμος οἴνου πόσις,

εἰς συμμετρίαν θερμασίας ἐπανάγουσα τὴν ἐκ τῆς ἡλικίας ψυχρότητα, τοῖς δ' αὐξανομένοις, ἐναντιωτάτη. ζέουσαν γὰρ αὐτῶν τὴν φύσιν, καὶ σφοδρῶς κινουμένην, ὑπερθερμαίνει τε καὶ εἰς ἀμέτρους τε καὶ σφοδρὰς ἐκμαίνει κινήσεις. ἀλλὰ Πλάτωνι μὲν καὶ ταῦτα καὶ ἄλλα πολλὰ κατὰ τὸ δεύτερον τῶν νόμων εἴρηται περὶ πόσεως οἴνου τοῖς βουλομένοις ἀναγινώσκειν, ὠφέλιμα. μόνης δὲ ἐγὼ ἔτι μιᾶς αὐτοῦ ῥήσεως μνημονεύσω κατὰ τὸ τέλος εἰρημένης ἁπάντων τῶν περὶ πόσεως λόγων, ἔνθαπερ εἴρηκε τὸν τῶν Καρχηδονίων λόγον. ἔχει δὲ ἡ ῥῆσις οὕτω. ἀλλ' ἔτι μᾶλλον τῆς Κρητῶν καὶ Λακεδαιμονίων χρείας προσθείμην ἂν τῷ Καρχηδονίων νόμῳ, μηδέποτε μηδένα ἐπὶ στρατοπέδου γεύεσθαι τοῦ πόματος, ἀλλ' ὑδροποσίαις συγγίγνεσθαι τοῦτον τὸν χρόνον ἅπαντα. καὶ κατὰ πόλιν, μήτε δούλους γεύεσθαί ποτε, μηδὲ ἄρχοντας τοῦτον τὸν ἐνιαυτόν, ὃν ἂν ἄρχωσι, μήτ' αὖ κυβερνήτας, μήτε δικαστὰς ἐνεργοὺς ὄντας, οἴνου γεύεσθαι τοπαράπαν, μηδὲ ὅστις βουλευόμενος εἰς βουλὴν ἀξίαν τινὰ λόγου συνέρχεται, μηδέ γε μεθ' ἡμέραν τοπαράπαν μηδένα, εἰ μὴ σωμασκίας, ἢ νόσων ἕνεκα, μηδ' αὖ νύκτωρ, ὅταν ἐπινοῇ τις παῖδας ποιεῖσθαι ἀνὴρ ἢ γυνή. καὶ ἄλλα δὲ πολλὰ ἄν τις λέγοι, ἐν οἷς τοῖς γε νοῦν τε καὶ νόμον ἔχουσιν ὀρθὸν, οὐ ποτέος οἶνος. ταῦτα τοῦ Πλάτωνος εἰρηκότος, οὐκ ἐπὶ τῶν νοσούντων σωμάτων, ἀλλ' ἐπὶ τῶν ἀμέμπτως ὑγιαινόντων. εἴ γε ὑμῖν δοκοῦσιν ὦ γενναιότατοι Πλατωνικοὶ στρατεύειν, καὶ ἄρχειν, καὶ δοκιμάζειν, καὶ κυβερνᾶν ναῦς, οἱ πίνοντες ὑγιαίνοντες, ἀποκρίνεσθέ μοι τοὐντεῦθεν ἐρωτῶντι πότερον οὐχ ὥσπερ τις τύραννος ὁ ποθεὶς οἶνος, κελεύει τὴν ψυχὴν μήτε νοεῖν ἀκριβῶς, ἃ πρόσθεν ἐνόει, μήτε πράττειν ὀρθῶς, ἃ πρόσθεν ἔπραττε, καὶ διὰ τοῦτο φυλάττεσθαί φησιν ὁ Πλάτων ὡς πολέμιον; εἰ γὰρ ἅπαξ εἴσω τοῦ σώματος ἀφίκοιτο, καὶ τὸν κυβερνήτην κωλύει ὡς προσήκει μεταχειρίζεσθαι τοὺς οἴακας τῆς νεώς, καὶ τοὺς στρατευομένους σωφρονεῖν ἐν ταῖς παρατάξεσι, καὶ τοὺς δικαστάς, ὁπότε δὴ δικαίους χρὴ εἶναι, ποιεῖ σφάλλεσθαι, καὶ πάντας τοὺς ἄρχοντας ἄρχειν κακῶς, καὶ πράττειν οὐδὲν ὑγιές. ἡγεῖται γὰρ τὸν οἶνον ἀτμῶν θερμῶν ὅλον τὸ σῶμα, καὶ μάλιστα τὴν κεφαλὴν πληροῦντα, κινήσεως μὲν ἀμετροτέρας αἴτιον γίγνεσθαι τῷ ἐπιθυμητικῷ μέρει τῆς ψυχῆς καὶ τῷ θυμοειδεῖ, βουλῆς δὲ προπετεστέρας, τῷ λογιστικῷ. καὶ μὴν εἴπερ οὕτως ἔχει ταῦτα, διὰ μέσης τῆς κράσεως αἱ εἰρημέναι τῆς ψυχῆς ἐνέργειαι φαίνονται βλαπτόμεναι πινόντων ἡμῶν τὸν οἶνον, ὥσπερ γε πάλιν ὠφελούμεναί τινες. ἀλλὰ γὰρ καὶ τοῦθ' ὑμᾶς, ἐὰν βούλησθε, διδάξω καθ' ἕτερον καιρόν, ἐκ τοῦ θερμαίνειν, ὅσα βλάπτειν τε καὶ ὠφελεῖν ἡμᾶς οἶνος πέφυκεν. ἐν δὲ τῷ παρόντι τὴν ἐν τῷ Τιμαίῳ ῥῆσιν παραγράψω, καθ' ἣν προσεῖπεν ὁ Πλάτων οὕτως. ταύτῃ κακοὶ πάντες ἢ καλοὶ διὰ δύο ἀκουσιώτατα γιγνόμεθα, ὧν αἰτιατέον μὲν ἀεὶ τοὺς φυτεύοντας τῶν φυτευομένων μᾶλλον, καὶ τοὺς τρέφοντας τῶν τρεφομένων. ἐφεξῆς δέ φησι. πειρατέον μὴν ὅπῃ τις δύναται καὶ διὰ τροφῆς, καὶ δι' ἐπιτηδευμάτων, μαθημάτων τε φυγεῖν μὲν κακίαν, τοὐναντίον δὲ ἑλεῖν ἀρετήν. ὥσπερ γὰρ ἐπιτηδεύματα καὶ μαθήματα, κακίας μὲν ἀναιρετικά, γεννητικὰ δὲ ἀρετῆς ἐστιν, οὕτω καὶ ἡ τροφή. λεγομένης ἐνίοτε τροφῆς ὑπ' αὐτοῦ οὐ μόνον τῆς ἐπὶ σιτίοις, ἀλλὰ καὶ συμπάσης τῶν παίδων τῆς διαίτης· οὐχ οἷόν τε δὴ φάναι κατὰ τὸ δεύτερον σημαινόμενον, εἰρῆσθαι νῦν ὑπ' αὐτοῦ τὴν τροφήν. οὐ γὰρ τοῖς παισίν, ἀλλὰ τοῖς τελείοις ποιεῖν κελευόμενος, ἔφη πειρατέον μὴν ὅπῃ τις δύναται καὶ διὰ τροφῆς καὶ δι' ἐπιτηδευμάτων, μαθημάτων τε φυγεῖν τὴν κακίαν, τοὐναντίον δὲ ἑλεῖν ἀρετήν.

vt qui ætatis frigiditatem ad commoderationem caloris reducat; augescentibus nimis quam aduersa; nempe quorum naturam efferuescentem, & vehementer agitatam, supra modum recalefaciat, & immodico grauique motu ad insaniam adigat. Plato inter alia multa in secundo de legibus ista quoque de vini vsu præcepit, lectoribus haud infrugifera. Quapropter ea solum adhuc adferam, quæ ad orationis totius epilogum de potu, Carthaginensium mores exponens, conscripsit, hunc in modum: *Sed multo magis Carthaginensium legem quàm Cretensium Lacedæmoniorúmque vsum probarim, vt videlicet nullus in exercitu vinum gustet, sed toto hoc tempore aquam potet. In ciuitate nec serui vnquam vinum bibant, nec magistratus eo anno quo Reipub. gubernacula sustinent, item nec præfecti, nec iudices, dum officio suo funguntur, sic consilium dicturi de rebus arduis, aut non omnino negligendis; imò nullus planè id interdiu bibat, nisi corporis exercitandi, aut morborum gratia; nec vir aut mulier nocte liberis operam daturi; aliaque multa dicere quis posset, in quibus hominibus & mentem & legem bonam habentibus, vinum bibendum non sit.* Hæc quum Plato non de corporibus ægrotis, sed de iis quæ inculpata sanitate fruuntur, dixerit, an vobis ô generosissimi Platonici videntur ii qui vinum bibunt sani, exercitum ducere, imperare, bene se gerere, naues gubernare, respondete mihi deinceps interroganti, nónne vinum bibitum, velut tyrannus quispiam, animum nec intelligere accuratè, nec agere rectè cogit, quæ prius intelligebat, agebátque? Et propterea Plato tanquam hostem obseruandum cauendumque ipsum ait. Si enim semel in corpus peruenerit, nauclerum, ne clauum rectè dirigat, impedit; duces, ne in acie sapiant; iudices, quum æquos esse conueniat, in errorem ducit; principes malè dominari, & imperare nihil sani compellit. Censet enim vinum totum corpus, & potissimum caput calidis vaporibus implens, immoderatioris motus causam fieri, concupiscibili animæ parti, & irascibili; ratiocinatrici, consilii præcipitis ac temerarij. Quod si ita est, dictæ animæ functiones temperamento interueniente, quum vinum bibimus, oblædi videntur, sicut contrà nonnullæ adiuuari. Atqui vos, si expetatis, docebo alio tempore, quâ ratione vinum suo calore prosit, quâ detrimentum moliatur. Nunc Platonis sententiam in Timæo producere cogito, cuius verba sunt ista. *Atque ita omnes boni vel mali ob duplicem rationem, quæ præter voluntatem accidit, efficimur. Est autem maior culpa serentibus quàm satis, educantibus quàm his qui educantur, attribuenda.* Mox subiicit: *Conandum tamen pro viribus, educationis, studiorum, & disciplinarum cura malignitatem naturæ extirpare, virtutem consequi. Quemadmodum enim studia & doctrinæ malitiam tollunt, virtutem pariunt, sic educatio.* Nonnunquam Plato educationem non in cibo solùm, sed vniuersam quoque puerorum victus rationem interpretatur. Quare altero significatu nequaquam dicta ab eo esse potest educatio, quum non pueris, sed adultis iam facere præcipiat: Conabimur, inquiens, pro viribus, educationis, studiorum, & disciplinarum diligentia malitiam fugere, contrà autem capessere virtutem.

Studia

Studia igitur vocat disciplinas quæ in corporis A exercitatione, modulatione vocis, terræ mensura, & numeris consistunt. Educationis rationem non aliam considerare possumus, quàm quæ esculentis, sorbitionibus & potu perficitur. Inter quæ vinum quoque refertur, cuius mentionem non exiguam in secundo de legibus Plato fecit. Quisquis iam de vniuerso nutrimento citra omnem operam quid scire desideret, tres libros nostros id tractantes legat licet, quartum præterea de alimentis boni & mali succi, cuius lectio planè ad præsens institutum requiritur. Nam vitiosus succus insignem animi muniis læ- B sionem adfert, bonus ea conseruat integra.

CAPVT XI.

Aduersariorum respondet rationibus: & de ortu virtutum & vitiorum.

NOn itaque sermo hic noster Philosophiæ bona de medio tollit, sed instruit ac docet Philosophorum quosdam ea nescientes; quoniam hi cunctos homines adipiscendæ virtuti idoneos existimant, illi neminem iustitiam affectare aiunt; quod simile fuerit ei, si dicas nemi- C nem nasci mortalem. Vtrique humanam naturam ex dimidio finierunt. Neque enim omnes æquitatis osores, neque amici nascuntur, talem vtrique ex corporum temperamento naturam sortiti. Quo igitur iure quis laudetur, reprehendatur, ametur, aut odio sit, quum bonus aut improbus non sua sponte, sed temperamento quod aliis ex causis accipere videtur, euaserit? Quia, respondebimus, omnibus hoc nobis inest, vt amplectamur bona, ambiamus, amemus; malum abominemur, odio habeamus & vitemus; ignorantes adhuc genitúmne sit ita, an minùs. Neque enim D alterum ipsorum tale fecit, neque apparauit ipsum huiusmodi. Scorpiones, phalangia, & viperas occidimus, non à se, verùm à natura eiusmodi creatas. Plato quum Deum generationis expertem, primum & maximum esse dicit; bonum tamen appellitat. Et nos eum naturali prosequimur amore, vt qui talis ab æterno, nec à se bonus factus fuerit. Omnino namq; genitus nunquam est, qui perpetuus, haud creatus, ac sempiternus est. Iure igitur improbos homines odimus, non priùs quæ tales eos effecerit causa indagantes. Contra verò probos, siue natura, siue E institutione & disciplina, siue consultò, & exercitio tales euaserint, amplectimur, atque amamus. Imò verò etiam deploratos, & sceleratos tres ob causas rationi consentaneas è vita tollimus; *prima est*, ne superstites iniuriam nobis inferant; secunda, vt ipsis similes in terrorem adducant, tanquam pari supplicio excipiendos, si præter ius quid patrauerint; tertia denique, quòd illis ipsis mori præstet, ita animo deprauatis, vt insanabilem habeant malitiam, qui ne à Musis ipsis quidem erudiri, neque à Socrate, vel Pythagora meliores reddi queant. Demiror autem ea in re Stoicos, qui F quũ vniuersos homines virtuti comparandæ idoneos *natura* esse existiment, eos tamen ab iis qui non honestè viuunt, peruerti *proferunt*. Nam reliqua omnia, quæ ipsorum opinionem destruunt, omittam, vnum duntaxat sciscitabor de his hominibus qui primi procreati sunt, & ante se alterum habuerunt neminem, vnde deprauatio? vel à quibus ipsa manauerit, quid respondeant, non ha-

A ἐπιτηδεύματα οὖν λέγει, τὰ κατὰ γυμναστικὴν καὶ μουσικὴν μαθήματα, τά τε κατὰ γεωμετρίαν καὶ ἀριθμητικήν. τροφὴν οὐκ ἄλλην τινὰ νοεῖν δεῖ τε παρὰ τὴν ἐκ τῶν σιτίων, καὶ ῥοφημάτων, καὶ πομάτων, ἐξ ὧν ἐστὶ καὶ οἶνος, ὑπὲρ οὗ πολλὰ διῆλθεν ὁ Πλάτων ἐν τῷ δευτέρῳ τῶν νόμων. ὅστις δὲ βούλεται καὶ χωρὶς ἐμοῦ γνῶναί τι περὶ πάσης τῆς ἐν ταῖς τροφαῖς δυνάμεως, ἔνεστιν ἀναγινώσκειν αὐτῷ τοὺς τρεῖς περὶ τοῦδε τῶν ἡμετέρων ὑπομνήσεις, καὶ τὸ τέταρτον ἐπ' αὐτοῖς, περὶ εὐχυμίας τε καὶ κακοχυμίας, οὗ μάλιστα χρῄζομεν εἰς τὸ παρόν. πολλὰ μὲν οὖν ἡ κακοχυμία ταῖς τῆς ψυχῆς ἐνεργείαις λυ- B μαίνεται, σώζει δὲ ἀβλαβεῖς αὐτὰς ἡ εὐχυμία.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ἀποκρίνεται τοῖς λογισμοῖς τῶν τἀναντία λεγόντων, καὶ περὶ γενέσεως τῆς τε ἀρετῆς καὶ τῶν κακῶν.

ΟΥκουν ἀναιρετικὸς οὐδ' ὁ λόγος ἐστὶ τῶν ἐκ φιλοσοφίας καλῶν, ἀλλ' ὑφηγητικός τε καὶ διδασκαλικὸς ἀγνοουμένου τινὸς ἐν αὐτοῖς τῶν φιλοσόφων. οἵτε γὰρ ἡγούμενοι πάντας ἀνθρώπους ἐπιδεκτικοὺς ἀρετῆς ὑπάρχειν, οἵτε μηδένα τὴν δικαιοσύνην αἱρεῖσθαι, ὅπερ ἴσον ἐστὶ τῷ μηδένα C γίγνεσθαι φύσει κατὰ ὅρον ἐξ ἡμισείας, ἑκάτεροι τὴν ἀνθρωπίνην ἑωράκασι φύσιν. οὔτε γὰρ ἅπαντες ἐχθροὶ φύονται δικαιοσύνης, οὔθ' ἅπαντες φίλοι, διὰ τὰς κράσεις τῶν σωμάτων ἑκάτεροι τοιοῦτοι γινόμενοι. πῶς οὖν, φασὶ, δικαίως τις ἐπαινοῖτο, καὶ ψέγοιτο, ἢ μισοῖτο, καὶ φιλοῖτο, γεγενημένος πονηρὸς, ἢ ἀγαθὸς, οὐ δι' ἑαυτὸν, ἀλλὰ διὰ τὴν κρᾶσιν, ἣν ἐξ ἄλλων αἰτιῶν φαίνεται λαμβάνων; ὅτι, φήσομεν ὑπάρχειν τοῦτο πᾶσιν ἡμῖν, ἀσπάζεσθαι μὲν τὸ ἀγαθὸν, καὶ προσίεσθαι, καὶ φιλεῖν. ἀποστρέφεσθαι δὲ καὶ μισεῖν καὶ φεύγειν τὸ κακόν· ὅτι οὐκέτι προσέσει σκεπτομένοις, οὔτε εἰ γεννητόν ἐστιν, οὔτε εἰ μὴ D γεννητόν. οὐ γὰρ τὸ ἕτερον αὐτῶν τοιοῦτον ἐποίησεν, οὔτε κατεσκεύασεν αὐτὸ τοιοῦτον. τούς τ' οὖν σκορπίους, καὶ τὰ φαλάγγια, καὶ τὰς ἐχίδνας ἀναιροῦμεν, ὑπὸ τῆς φύσεως γεγονότα τοιαῦτα καὶ οὐχ ὑφ' ἑαυτῶν. ἀγέννητόν τε τὸν πρῶτον καὶ μέγιστον Θεὸν ὁ Πλάτων λέγων εἶναι, ὅμως ἀγαθὸν ὀνομάζει, καὶ ἡμεῖς δὲ πάντες φύσει φιλοῦμεν αὐτὸν, ὄντα τοιοῦτον ἐξ αἰῶνος, οὐχ ὑφ' ἑαυτοῦ γινόμενον ἀγαθόν. ὅλως γὰρ οὐδ' ἐγένετό ποτε, διὰ παντὸς ὢν ἀγέννητος καὶ αἴδιος. Εἰκότως οὖν καὶ τῶν ἀνθρώπων τοὺς πονηροὺς μισοῦμεν οὐ προσλογιζόμενοι τὸ ποιῆσαν αἴτιον αὐτοὺς τοιούτους. ἔμπαλιν δὲ προσιέμεθα καὶ E φιλοῦμεν τοὺς ἀγαθοὺς, εἴτ' ἐκ φύσεως, εἴτ' ἐκ παιδείας καὶ διδασκαλίας, εἴτ' ἐκ προαιρέσεώς τε καὶ ἀσκήσεως ἐγένοιτο τοιοῦτοι. καὶ μέντοι καὶ ἀποκτείνομεν τοὺς ἀνιάτους καὶ πονηροὺς, διὰ τρεῖς αἰτίας εὐλόγους, ἵνα μὴ ἡμᾶς ἀδικήσωσι ζῶντες, εἴς φόβον τε τοὺς ὁμοίους αὐτοῖς ἐνάγωσιν, ὡς κολασθησομένους ἐφ' οἷς ἂν ἀδικήσωσι. καὶ τρίτον ἐστὶ, καὶ αὐτοῖς ἐκείνοις ἄμεινον τεθνάναι διεφθαρμένοις οὕτω τὴν ψυχὴν, ὡς ἀνίατον ἔχειν τὴν κακίαν, ὡς μηδ' ὑπὸ τῶν μουσῶν αὐτῶν παιδεύεσθαι, μηδέ γε ὑπὸ Σωκράτους ἢ Πυθαγόρα βελτίους γενέσθαι. θαυμάζω δὲ ἐν τῷδε τῶν Στωϊ- F κῶν ἅπαντας μὲν ἀνθρώπους εἰς ἀρετῆς κτῆσιν ἐπιτηδείως ἔχειν οἰομένων· διαστρέφεσθαι δὲ ὑπὸ τῶν οὐ καλῶς ζώντων. ἵνα γὰρ ἐάσω τἆλλα πάντα τὰ καταβάλλοντα τὸν λόγον αὐτῶν, ἓν δὲ μόνον ἐρωτήσω περὶ τῶν πρώτων γινομένων ἀνθρώπων, οἱ μηδένα πρὸ ἑαυτῶν ἔσχον ἕτερον, ἡ διαστροφὴ πόθεν; ἢ ὑπὸ τίνων αὐτοῖς ἐγένετο, λέγειν οὐχ ἕξου-

σιν. ὥσπερ κἀν τῷ νῦν χρόνῳ μικρὰ παιδία θεώμενοι πονηρότατα, τίς ἐδίδαξεν αὐτὰ τὴν πονηρίαν, ἀδυνατοῖεν λέγειν, καὶ μάλιστα ὅταν ᾖ πολλὰ μὲν ἅμα τρεφόμενα τὴν αὐτὴν τροφὴν ὑπὸ τοῖς αὐτοῖς γονεῦσιν ἢ διδασκάλοις ἢ παιδαγωγοῖς, ἐναντιώτατα δὲ ταῖς φύσεσι. Τί γὰρ ἐναντιώτερον εἴη τοῦ κοινωνικοῦ παιδίου τῷ φθονερῷ, καθάπερ καὶ τοῦ ἐλεήμονος τῷ ἐπιχαιρεκάκῳ· τοῦ δὲ δειλοῦ πρὸς ἅπαντα θαρσαλέῳ· καὶ τοῦ μωροτάτου τῷ συνετωτάτῳ, καὶ τοῦ φιλαλήθους τῷ φιλοψευδεῖ; καὶ φαίνεταί γε τὰ παιδία κἂν ὑπὸ τοῖς αὐτοῖς γονεῦσι καὶ διδασκάλοις καὶ παιδαγωγοῖς τρέφηται, κατὰ τὰς εἰρημένας ἐναντιότητας ἀλλήλων διαφέροντα. παραφυλάττειν οὖν ὃ δεῖ εἰπεῖν τὰ τοιαῦτα τῶν νῦν φιλοσόφων· ἄμεινον δ' ἐστὶν ἴσως εἰπεῖν οὐ φιλοσόφων, ἀλλ' ἐπαγγελλομένων φιλοσοφεῖν· ὡς εἴγε οὕτως ἐφιλοσόφουν, ἐφύλαττον αὐτὸ τοῦτο πρῶτον, ἀπὸ τῶν ἐναργῶς φαινομένων τὰς ἀρχὰς τῶν ἀποδείξεων ποιεῖσθαι. καὶ τοῦτο ἐοίκασι μάλιστα πάντων οἱ πάλαι θειότατοι πρᾶξαί γε καὶ κληθῆναι σοφοὶ παρὰ τοῖς ἀνθρώποις, οὔτε συγγράμματα γράφοντες, οὔτε διαλεκτικὴν, ἢ φυσικὴν ἐπιδεικνύμενοι θεωρίαν, ἀλλ' ἐξ αὐτῶν μὲν τῶν ἀρετήν. ἀσκήσαντες δ' αὐτοὺς ἔργοις οὐ λόγοις οὗτοι νῦν οἱ φιλόσοφοι βλέποντες εὐθὺς ἐξ ἀρχῆς τὰ παιδία, κἂν ἄριστα παιδεύηται καὶ μηδὲν ἔχῃ θεάσασθαι παράδειγμα κακίας, ὅμως ἁμαρτάνοντα, τινὲς μὲν αὐτῶν φύσει κακοὺς ἅπαντας ἀνθρώπους ἀπεφήναντο· τινὲς δὲ οὐχ ἅπαντας (σπάνιον γὰρ ὄντως ἐστὶ θεάσασθαι παιδίον ἄμεμπτον) οἱ μὲν οὐδενὸς ὄντος τοιούτου, πάντας ἀνθρώπους ἀπεφήναντο φύσει κακοὺς ὑπάρχειν. οἱ δ' ἕνα ἢ δύο που κατὰ σπάνιον ἰδόντες, οὐ πάντας, ἀλλὰ τοὺς πλείστους ἔφασαν εἶναι κακούς. Εἰ γάρ τις οὐκ ἐπιτρίπτων τε καὶ φιλονείκων ἐθελήσειεν ἂν ἐλευθερίᾳ γνώμῃ (καθάπερ οἱ παλαιοὶ φιλόσοφοι) τὰ πράγματα θεάσασθαι, παντάπασιν ὀλίγους παῖδας εὑρήσει πρὸς ἀρετὴν εὖ πεφυκότας. καὶ παύσεται μὲν ὅμως ἡγούμενος καὶ πεφυκέναι· διαστρέφεσθαι δ' αὐτὰ τῶν ἐξ ἐπιστημόνων γονέων τε, καὶ παιδαγωγῶν, καὶ διδασκάλων· οὐ γὰρ ἐν ἄλλοις γέ τισιν ἐντυγχάνει τὰ παιδία. πάνυ δὲ ἀληθεῖς εἰσι καὶ οἵδε, στρέφεσθαι λέγοντες ἡμᾶς ὑπό γε τῆς ἡδονῆς, καί τοί γε αὐτῆς μὲν ἐχούσης πολὺ, τοῦ δ' ἀποτρεπτικοῦ τε καὶ τραχέος ὄντος. Εἰ μὲν γὰρ προσῳκειώμεθα πρὸς τὴν ἡδονὴν, οὐκ οὖσαν ἀγαθὸν, ἀλλ' ὡς ὁ Πλάτων ἔφη, δέλεαρ μέγιστον κακοῦ· φύσει, κακοὶ πάντες ἐσμέν. Εἰ δ' οὐ πάντες, ἀλλά τινες, ἐκεῖνοι μόνοι φύσει μοχθηροὶ τυγχάνουσιν ὄντες. ἐπεὶ τοίνυν, εἰ μὲν μηδεμίαν ἔχομεν ἑτέραν ἐν ἡμῖν δύναμιν οἰκειουμένην ἡδονῇ ἢ μᾶλλον ἀρετῇ, μᾶλλον ἡδονῆς ἤ τις ἰσχυροτέρα τῆς πρὸς τὴν ἡδονὴν ἀγούσης ἡμᾶς φύσει. καὶ οὕτως εἴημεν ἅπαντες κακοὶ, τὴν μὲν κρείττονα δύναμιν καὶ ἀσθενεστέραν, ἰσχυροτέραν δὲ τὴν μοχθηρὰν ἔχοντες, ἢ δὴ κρείττονός ἐστιν ἰσχυροτέρα, ἤ τις τοὺς πρώτους ἀνθρώπους ἀνέπεισεν ὑπὸ τῆς ἀσθενεστέρας νικηθῆναι. Ταῦτ' οὖν αὐτὰ τῶν Στωϊκῶν, ἐμέμψατο καὶ ὁ πάντων ἐπιστημονικώτατος ὁ Ποσειδώνιος, ἐν οἷς ἐπαίνων ἐστὶ μεγίστων ἄξιος, ἐν τούτοις αὐτοῖς μὲν ὑπὸ τῶν ἄλλων οὐχ ἕπεται τῶν Στωϊκῶν. ἐκεῖνοι μὲν γὰρ ἔπεισαν ἑαυτοὺς τὴν πατρίδα μᾶλλον, ἢ τὰ δόγματα προδοῦναι. Ποσειδώνιος δὲ τὴν τῶν Στωϊκῶν αἵρεσιν μᾶλλον ἢ τὴν ἀλήθειαν· διὰ τοῦτο, κατά γε τὴν περὶ τῶν παθῶν πραγματείαν ἐναντιώτατα φρονεῖ Χρυσίππῳ,

bebunt, & vt paruos puellos hocce tempore spectant improbissimos? Quis ipsos malitiam docuit, haud quaquam valeant aperire. Ac id potissimùm in multis videre licet, qui quum eodem victu sub iisdem fuerint parentibus, vel præceptoribus, vel pædagogis, diuersis tamen admodum ducuntur moribus. Quid enim tam contrarium est puero sociabili, quàm inuidus; vt & misericordi, quàm maleuolus; & timido, quàm ad omnia audax; & stultissimo, quàm sapientissimus; & veridico, quàm mendax? Ac videntur vtique pueri, etiamsi apud eosdem parentes, & magistros, & pædagogos educentur, iuxta memoratas contrarietates à se inuicem differre. Seruant itaque eiusmodi enunciandas esse hodiernorum philosophorum sententias; verùm non philosophos eos fortassis, sed philosophiam profitentes appellare præstiterit; Quòd si verè philosopharentur, hoc ipsum imprimis obseruarent, vt ab his quæ euidenter apparent, demonstrationum sumerent principia. Idque videntur maximè omnium præstitisse qui olim admodum diuini re & nomine philosophi apud homines, neque commentarios scribebant, neque dialecticam, neque physicam speculationem demonstrabant, sed per se virtutes exercentes, eas non verbis, sed operibus declarabant. Hi ergo philosophi quum statim ab initio pueros, etsi optimè edoceantur, nullumque vitii quod intueantur exemplum habeant, peccare tamen inspicientes, quidam eorum omnes homines natura vitiosos asseruerunt; quidam verò non omnes (rarum enim certè est omni culpa vacantem puerum conspicere) hi quidem, quum nullus sit eiusmodi, omnes homines natura vitiosos esse statuerunt. Sunt autem qui quum vix vnum duósve *integros vitæ* viderint, non omnes, sed plurimos esse malos dixerunt. Enimuerò si quis non è vulgi fæce, nec contentiosus, vellet ingenuo iudicio; (sicut antiqui Philosophi) res expendere; perpaucos omninò pueros comperiet feliciter ad virtutem natos; imò existimare etiam desinet, quosdam sic à natura fuisse comparatos: quandoquidem illi quoque ipsi peruertuntur, qui à peritis parentibus, educatoribus & doctoribus instructi fuere. Non enim inter alios pueruli conuersantur. Stulti prorsus etiam sunt, qui nos à voluptate obuerti contendunt: tametsi multum illa auersæ à nobis & exasperantis naturæ habeat. Atenim si magna nobis cum voluptate cognatio intercederet, quæ nihil boni continet, quin, vt Plato dixit, *esca malorum est maxima*; natura mali omnes essemus. quòd si non omnes, sed aliqui, illi soli natura praui existunt. Quum igitur, siquidem nullam habemus aliam in nobis facultatem familiariorem ipsa voluptate, magis quàm virtute, naturâ sit valentior ea quæ nos ad voluptatem allicit: ita etiam mali omnes essemus, quum facultatem potiorem obtineremus infirmiorem, & robustiorem illam quæ peior est; & firmior ea quæ melior: hæc verò primos homines persuasit vt ab imbecilliore vincerentur. Hæc igitur Stoïcorum decreta reprehendit omnium eruditissimus Posidonius; qui in iis ob quæ maximis dignus laudibus fuisset, ab aliis Stoïcis nullam planè laudem est consecutus. Nam illi persuasum habebant, patriam potius esse prodendam quàm sectæ decreta. Posidonius autem in animum induxerat Stoïcorum sectam prodere satius esse quàm veritatem. Iccirco in affectuum tractatione magnopere à Chrysippo dissentit,

dissentit, & in dissertatione de virtutũ differentia: multa enim dixit Chrysippus in quæstionibus logicis de animi perturbationibus ac plura in iis quę de virtutũ discrimine scripsit quæ ipse improbat. Quocirca Posidonio malitiam hominibus foris aduenire, neutiquã videtur, quòd nequitia nullam in animis nostris radicem fixerit, vnde prodeat, pullulet, augeatúrque: sed contra se rem habere; etenim vitiositatis semẽ nobis ipsis insitum est; proinde non ita malos fugere è re nostra est, vt cõfert prosequi eos qui arcent, & prohibent vitii incrementum. Non enim sanè (vt aiunt Stoici) tota nequitię sarcina foris accidit animis nostris: Sed maiorem partem improbi sibimetipsis suppeditant; aliunde vero minora his mala superueniunt. Hinc ergo consuetudines prauæ innascuntur animæ parti rationis experti, & falsæ opiniones ei quæ rationis compos est; quemadmodum quum à probis honestisque viris erudimur, opiniones haurimus veras, probosque mores. sed in ratiocinatrice solertia & stultitia maioris minorisque ratione corporis temperamenta sequuntur: ipsa vero temperamenta primã generationem & rectam victus legem sequuntur, & inuicem adolescunt. Nempe ob calidam temperiem iracundi fiunt. Quippe hisce irarum æstibus calor innatus accenditur; è contrario qui commoderatis sunt temperamentis, cùm animi motus morésque commoderatos habeant, tranquillitate potiuntur. Quapropter sermo hic noster iis quæ liquidò apparent consentit causis, vt à vino & remediis quibusdam memoratis, proba ac decente viuendi ratione: studiis litterarum & disciplinis liberalibus adiuuamur; nec secus naturalis puerorum corruptelæ reddenda causa est. Qui autem corporis temperamento animum vel iuuari, vel lædi arbitrantur, illi de puellorum discrimine & labe nihil habent quod dicant, nec eorum quoque rationem commodorum exponunt, quæ ex quotidiano victus regimine nobis proueniunt; proinde causam nullam adferunt tantæ varietatis morum; ex qua alij iracundi, alij quieti, quidam intelligentes, alij secus videntur. Siquidem apud Scythas philosophus vnus extitit. Athenis plerique sapientes. Rursus Abderitani complures sunt insipientes: Athenis stulti perpauci.

A καὶ ἐν τῷ περὶ τῆς διαφορᾶς τῶν ἀρετῶν. πολλὰ μὲν οὖν εἶπε Χρύσιππος ἐν τοῖς λογικῶς ζητουμένοις περὶ τῶν παθῶν τῆς ψυχῆς μεμψάμενος. ἔτι δὲ πλείω τῶν ἐν τοῖς περὶ διαφόρων τῶν ἀρετῶν. οὐ τοίνυν οὐδὲ Ποσειδωνίῳ δοκεῖ τὴν κακίαν ἔξωθεν προσιέναι τοῖς ἀνθρώποις οὐδεμίαν ἔχουσαν ἰδίαν ῥίζαν ταῖς ψυχαῖς ἡμῶν, ὅθεν ὁρμωμένη βλαστάνει τε καὶ αὐξάνει, ἀλλ' αὐτὸ τοὐναντίον εἶναι. καὶ γὰρ καὶ τῆς κακίας ἐν ἡμῖν αὐτοῖς σπέρμα· καὶ δεόμεθα πάντες οὐχ οὕτω τοῦ φεύγειν τοὺς πονηροὺς, ὡς τοῦ διώκειν τοὺς καθαρείσοντας τε καὶ κωλύσοντας ἡμῶν τὴν αὔξησιν τῆς κακίας. Οὐ γὰρ, ὡς οἱ Στωϊκοί φασιν, B ἔξωθεν, ἐπεὶ ἄρχεται ταῖς ψυχαῖς ἡμῶν τὸ σύμπαν τῆς κακίας, ἀλλὰ τὸ πλέον ἐξ ἑαυτῶν ἔχουσιν οἱ πονηροὶ τῶν ἀνθρώπων· ἔξωθεν δὲ ἐλάττω τούτων πολλῷ τὸ ἐπιαρχόμενόν ἐστιν· ἐκ τούτου μὲν οὖν ἐθισμοί τε γίνονται μοχθηροὶ τῷ τῆς ψυχῆς ἀλόγῳ μέρει, καὶ δόξαι ψευδεῖς τῷ λογικῷ· καθάπερ ὅταν ὑπὸ καλοῖς καὶ ἀγαθοῖς ἀνδράσι παιδευόμεθα, δόξαι μὲν ἀληθεῖς, ἐθισμοί τε χρηστοί. ταῖς κράσεσι δ' ἕπεται κατὰ μὲν τὸ λογικὸν ἀγχίνοια τε καὶ μωρία, κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον. αἱ κράσεις δ' αὗται τῇ τε πρώτῃ γενέσει καὶ ταῖς εὐχύμοις διαίταις ἀκολουθοῦσι καὶ συναυξάνει ἄλληλα. C ταῦτα διὰ γοῦν τὴν θερμὴν κρᾶσιν, ὀξύθυμοι γίνονται· ταύταις πάλιν ταῖς ὀξυθυμίαις, ἐκπυροῦσι τὴν ἔμφυτον θερμασίαν· ἔμπαλιν δὲ οἱ σύμμετροι ταῖς κράσεσι συμμέτρως τὰς τῆς ψυχῆς κινήσεις ἔχοντες, εἰς εὐθυμίαν ὠφελοῦνται. ὥσθ' ὁ μὲν ἡμέτερος λόγος ὁμολογεῖ τοῖς ἐναργῶς φαινομένοις κατὰ τὰς αἰτίας, ὥσθ' ὑπ' οἴνου, καὶ φαρμάκων τινῶν. φασκομένων δ' ὑπὸ διαίτης ἀγαθῆς τε καὶ καλῆς· ὥσπερ γε καὶ ὠφελούμεθά τε καὶ δι' ἐπιτηδεύματά τε καὶ μαθήματα· οὐχ ἥκιστα δὲ τῇ φυσικῇ διαφορᾷ τῶν παιδίων ἀποδιδοὺς τὴν αἰτίαν. οἱ δ' οὖν ἐκ τῆς τοῦ σώματος κράσεως ἡγούμενοι τὴν D ψυχὴν ὠφελεῖσθαί τε καὶ βλάπτεσθαι, περὶ δὲ τῆς τῶν παίδων διαφορᾶς οὐδὲν ἔχουσι λέγειν, ὧν τε ἐκ τῆς διαίτης ὠφελούμεθα, οὐδενὸς ἔχουσιν αἰτίαν ἀποδοῦναι. καθάπερ οὐδὲ τῆς ἐν τοῖς ἤθεσι διαφορᾶς, καθ' ἣν τὰ μὲν θυμικά, τὰ δὲ ἄθυμα. καὶ τὰ μὲν συνετά, τὰ δὲ οὐ φαίνεται. ἐν Σκύθαις μὲν γὰρ εἷς ἀνὴρ ἐγένετο φιλόσοφος· Ἀθήνησι δὲ πολλοὶ τοιοῦτοι. πάλιν δ' ἐν Ἀβδήροις ἀσύνετοι πολλοί· τοιοῦτοι δ' Ἀθήνησιν ὀλίγοι.

FRAGMENTVM HIPPOCRATIS

Ex Philone de mundi opificio.

De hominis ætatibus.

Hippocrates verò Medicus ait septem esse ætates, infantis, pueri, adolescentis, iuuenis, viri, senioris, senis. Harum mensuram septimanas annorum, non tamen deinceps. Sic autem dicit. In hominis natura septem sunt tempora quas ætates vocant, infans, puer, adolescens, & reliquæ. Infans est donec intra septennium dentes emittat. Puer vsque genituræ excretionem, ad geminatum septennium. Adolescens vsque barbæ hirsutiem ad annum ter septimum. Iuuenis vsque dum crescit totum corpus, ad quater septimum. Vir, vsque vndequinquagesimum, ad septies septimum. Senior vsque sextum supra quinquagesimum ad octies septimum. Quicquid verò deinceps sequitur, ad senium pertinet.

ΤΟΜΙΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ

E Εκ τοῦ Φίλωνος περὶ τῆς κοσμοποιΐας.

Περὶ τῶν ἀνθρώπου ἡλικιῶν.

ὉΔ' ἰατρὸς Ἱπποκράτης ἡλικίας ἑπτὰ εἶναί φησι, παιδίου, παιδὸς, μειρακίου, νεανίσκου, ἀνδρὸς, πρεσβύτου, γέροντος. Ταύτας δὲ μετρεῖσθαι μὲν ἑβδομάσιν, οὐ μὴν ταῖς κατὰ τὸ ἑξῆς. λέγει δ' οὕτως. Εν ἀνθρώπου φύσει ἑπτά εἰσιν ὧραι, ἃς ἡλικίας καλέουσι, παιδίον, παῖς, μειράκιον, καὶ αἱ λοιπαί. καὶ παιδίον μέν ἐστιν ἄχρις ἑπτὰ ἐτῶν ὀδόντων ἐκβολῆς. Παῖς δὲ, ἄχρι γονῆς ἐκφύσεως, F ἑπτὰ, δὶς ἑπτά. μειράκιον δ' ἄχρι γενείου λαχνώσεως, ἐς τὰ τρὶς ἑπτά. νεανίσκος δ' ἄχρις αὐξήσιος ὅλου τοῦ σώματος. ἐς τὰ τετράκις ἑπτά. ἀνὴρ δ' ἄχρις ἑνὸς δέοντος πεντήκοντα, εἰς τὰ ἑπτάκις ἑπτά. πρεσβύτης δ' ἄχρι πεντήκοντα ἕξ, ἐς τὰ ἑπτάκις ὀκτώ· τὸ δ' ἐντεῦθεν, γέρων.

IN SINGVLOS TOMI QVINTI ΤΩΝ ΨΥΧΙΚΩΝ OPERVM

TVM HIPPOCRATIS TVM GALENI LIBROS CONCISÆ NOTÆ, AC VARIÆ LECTIONES.

QVÆ τὰ φυσιολογικὰ TOMVS QVINTVS complectitur, ΨΥΧΙΚΑ sunt Hippocratis & Galeni opera DE ANIMA, FACVLTATIBVS, ACTIONIBVS, AC SPIRITIBVS. Hominem duo constituunt, corpus & anima. His sua sunt φυσιολογικὰ μέρη, corpori τὰ σωματικά; animæ τὰ ψυχικά. Illa prioribus tomis iam explicata sunt, elementa, temperamenta, humores, & partes; hæc deinceps hocce tomo conclusa explicantur facultates, actiones, & spiritus. Anima corporis naturalis & organici ἐντελέχεια & actionum omnium causa princeps habetur, quæ simplex ac diuina suis facultatibus proditur ac innotescit. Facultas autem, vis quædam est per quam forma proprias edit actiones. Actio verò rei opus efficientis motus. Opus quod per actionem iam editum est. At facultatum, actionum, & operum totidem sunt differentiæ. Facultas triplex, naturalis, vitalis, & animalis; naturalis hepati, vitalis cordi, & animalis cerebro vt propriæ sedi ac fonti, ac parti principi primario insidet, ac inde in singulas corporis partes vectore spiritu deuehitur. Spiritus facultatum omnium vinculum, primumque obeundæ functionis instrumentum, qui temperie calidus, substantia tenuissimus, ac leuissimus, in agendo celerrimus animæ cum dispari corpore coniungendæ ac conciliandæ, fouendo calori, & quoquouersum deuehendæ facultati aptissimus est; hic duplex, insixus & influens. Insixus suus cuique parti proprius ac innatus est. Influens triplex, naturalis qui ab hepate per venas cum sanguine naturalem facultatem in partes singulas etiam remotissimas deuehit; vitalis, qui à corde per arterias facultatem vitalem in partes deducit; Animalis denique, qui à cerebro per neruos facultatem animalem. Spiritus, calor innatus & humidum primigenium ratione non re prope differunt. Calor enim innatus humidum primigenium definitur spiritu insito & calore perfusum. Verùm calor agit, humidum magis patitur, spiritus instrumentum facultatum, quo functiones omnes ipsæ obeunt. Sed de his omnibus τὰ ψυχικὰ Hippocratis & Galeni opera hîc conclusa amplissimè disserunt.

1. IN GALENI DE ANIMA FRAGMENTVM, EX CAPITE secundo libri Nemesij de natura hominis.

HOc fragmento Galeni Animam tẽperamentum esse impugnat improbátque Nemesius. An verò animam temperamentum esse crediderit Galenus, id in eius vita c. 14. paucis diluimus, ac Galenum vt Medicum ac Physicum sensibus addictum, non autem vt Metaphysicum ac Theologum loquutum fuisse protulimus. Hunc autem Nemesii textum Latinè priùs editum quum animaduerteremus, Græcum quæsiuimus ac hîc apposuimus.

2. IN GALENI FRAGMENTVM EX NEMESII DE TImore capite XX.

Hoc fragmentum superioris consectarium à nobis Latinè compertum ex Nemesii monumentis Græcis Græcè collectum ac editum est; in quo de stomachi morsu orto ex bile vellicante ac mordente pauca dicuntur.

3. IN GALENI FRAGMENTVM DE SVBSTANTIA facultatum naturalium.

Hoc fragmentum Galeni de substantia facultatum naturalium inscriptum animæ essentiam neque ad sanitatem, neque ad mores conducere subiicit oculis. Hîc autem De anima vtrum ea insit plantis, aut eius facultates, & quæ, paucis disseritur. In antiquo codice inuenitur hic liber ita inscriptus, περὶ τῶν ἑαυτῷ δοκούντων. Interpretes Bartholomæus, Syluanius Salonensis, & Victor Trincauellius, eorum verò versionem paulò emendatiorẽ edidimus.

4. IN ASCRIPTVM GALENO LIBRVM DE FACVLTATIBVS corpus nostrum dispensantibus.

Quid liber edoceat, eius prodit argumentum. Hîc enim pauca differuntur de animæ facultatibus corpus humanum gubernantibus, ac de spiritibus, eorúmque fontibus, aut partibus principibus vbi ipsi gignuntur, & vnde scaturiunt. Hæc autem medico nata sint oportet ad morborum dignotionem & curationem. Id fragmentum spurium esse quidam autumant, verùm ex Galeni germanis libris depromptum esse præfigurata libri censura profert.

5. IN GALENI LIBROS TRES DE NATVRALIBVS facultatibus.

Hi tres sunt insignes De facultatibus naturalibus libri Galeni, quibus facultates naturales, earúmque actiones edocentur. In priore siquidem libro De procreatrice, auctrice, ac nutrice facultatibus dictis principibus naturalibus agitur; de ministris quoque attractice, retentrice, coctrice & expultrice; ac proinde etiam de earum actionibus ac instrumentis. In altero de nutritione potissimum differitur, cibi coctione, alimenti distributione, humorum generatione & corruptione, bilis & vrinæ secretione. In posteriore de retentrice & expultrice potissimum agitur vteri, ventriculi, & aliarum partium, ac de mutua facultatum consequutione. Interpres Thomas Linacer cuius versionem emendatiorem dedimus.

P. 9. v. δ' τῶν) τούτῳ, M S.

P. 18. v. ἤτε. ἐπεπιστεύκεισαν) πεπιστεύκασι.

P. 25. v. γδ. περιτύχῃ] περιτύχῃ, Baſ.] περιτύχοι, MS.

P. 36. v. κ τε. ἐξομοιώσῃ, Baſ. ἐξομοιώσῃ, quidam.

P. 39. v. Εἰσ. ἐπισκοποῖτο) ἐπισκοπεῖτο, Baſ.

P. 48. v. ἀνάγ. διὰ τὸ τὴν ἐκ τῶν.) ſic Baſ. verùm delenda ſunt τὸ & τῶν vt interpres indicat.

P. 49. v. γνω. ἰατρὸς) ἰατικός.

P. 50. v. ταῦτο) τοῦτο.

P. 53. v. παύτ. αὐτὰ] τό.

P. 56. v. Εἰκ. ἀναρχέστερον] ἀναρχεστέραν.

P. 58. v. οὐ. ὠνήθη] ὠνηθείη.

P. 60. v. ἀπωθεῖται] ἀποτίθεται.

P. 61. v. σωμ. ἄπαντα) ἄπαντι.

v. λημφ. ἐσφηνωμένων] ἀπεσφηνωμένων.

v. στ. δ' ἀπὸ] γδ.

P. 63. v. μόν. ἄλλων συσ.) ἄλλων αὐτῶ.

v. ὄγ. διασαλεύσεται) διασέλλεται.

P. 64. v. γεσ. χαίνας) χαίας.

P. 66. v. ἀπόσ. ὡς ἡ) ὡς γδ ἡ Interpr.

P. 67. v. μεμ. ἀμβλώσκουσι) ἀμβλίσκουσι, Baſ. idem.

v. νετ. ἀμβλώσκειν) ἀμβλίσκειν, Baſ.

P. 76. v. θεῶ. χωρὶς τῶν) χωρὶς πασῶν, MS.

6. IN GALENI LIBROS NOVEM DE HIPPOCRATIS & Platonis placitis.

Libri Galeni nouem De placitis Hippocratis & Platonis ſubſequuntur, quorum primus ex Caio Græcè ac Latinè à nobis editus eſt, qui in Baſilienſi codice totus deſideratus, hîc, vt & aliis in editionibus, quatuor prioribus capitibus ad hunc vſque diem obtruncatus legitur. Interpretes ſunt Ioannes Bernardus Felicianus quem emendauit Alexander Iuſtinianus Chius; Caius Britannicus prioris libri emendator, & Ioannes Guinterius Andernacus, cuius verſionem Riccus emendauit, quámque emendatiorem edidimus. Mens authoris cuiuſque libri titulo & argumento aperitur. Quæ verò ψυχῆς his in libris edocentur, in capite 14. vitæ Galeni iam protulimus. Sciat verò Medicus hîc tum Hippocratis, tum Platonis potiſſimum præcepta plura ac placita ſeu decreta ſcriptis mandari Medico digniſſima.

P. 78. Poſt argumentum libri primi, caput quintum ſcribatur quale Felicianus edidit

C. S.

Cordis ſinus viuente animali ſanguine repletos eſſe.

P. 93. v. αἰδοῖον, Baſ. αἰδῶν, MS.

v. χρὴ, καταστήσασθαι, Baſ.] ἐπίστασθαι.

P. 113. v. πως. πολλοὶ) λοιποὶ, Baſ.

P. 114. ὁ θυμ. ἐξῆρεν). ἐξῆρε.

P. 115. v. πόπε αἷμα) ἅμα) ὅμα, Baſ.

P. 129. v. κ χό. ὅς.) ὡς. Baſ.

P. 130. v. πλε. λέγει, Baſ. λέγε, interpr.

P. 144. v. μεως. κἂν ἐν τῷ, Baſ. ; κ'αν, emendator.

P. 164. v. κρίσ. ἀπαπολογία, Ric.] ὁμολογίας, Baſ.

P. 171. v. φασ. περὶ, Ric.) διὰ Baſ.

P. 178. v. Στῆθ. μύθῳ] θύμῳ.

P. 185. v. κλάσ. στελέχες) στελέχεα vel στέλεχα. Baſ. ſcribunt inf. g.

P. 185. v. φασι, Baſ.) ἐστὶ MS.

v. πρέμ. αὐτῶν, Baſ. αὐτῷ MS.

P. 185. v. κου. περὶ MS. παρὰ Baſ.

P. 188. v. τὸ κοίλην, Baſ. cauam venam intelligunt] κοιλίας, interpr.

P. 212. v. μελλ. μέλλει λεχθήσεται, Baſ. λεχθήσεσθαι, videtur legi.

P. 251. v. ποιῶτ. προγυμνώσεις] προγυμνάσαις, interpres vtrumque legit ſed προγυμνώσας melius ac deſendum, *exercuiſſet*.

P. 261. v. περὶ, αλουπίας) ἀλουσίας.

I. IN FRAGMENTVM GALENI IN TIMÆVM PLATONIS EX QVATVOR COMMENTARIIS QVOS GALENVS INSCRIPSIT, de iis quæ medicè dicta ſunt in Platonis Timæo.

HOc fragmentum Platonis verba ex Timæo collecta complectitur, quibus de capitis, neruorúmque ſtructura & ſitu de reſpirationis origine & vſu, ac de facultatibus, ſede, functione, pugna, & ope diſtinctis diſſeritur, hoc fragmentū Galeni eſſe, tum orationis ſeries, tum doctrina ampliſſimè teſtatur. Imò verò octaui de placitis Hippocratis & Platonis libri capitibus 5. & 6. & libri de Tremore c. 7. ſe eorum quæ Medicè ſcripta ſunt in Platonis Timæo explicationes conditurum pollicetur ac in libello de propriis libris de rebus quæ hîc tractantur commentarios quatuor ſe conſtruxiſſe aſſerit. Auguſtinus Gadaldinus ſe huius fragmenti inuentorem & primum interpretem eſſe meritò iactitat. Sed is duntaxat Latinum fragmentum capite & cauda obtruncatum edidit. Ioannes Baptiſta Raſarius Medicus Nouarienſis & principio, & fine integrum reſtituit, alia Latinitate interpretatus. Ego verò Græcum Platonis Latinæ interpretationi coniunxi; commentarios autem Galeni ob Græci textus penuriam Latinos duntaxat edidi, aliquando tum hunc, tum alios textus Græcos, noſtris oculis ad hunc vſque diem nondum obiectos, poſteris Græcè & Latinè traditurus. Aduertas velim (lector beneuole) nos Gadaldini editionem nobis prius traditam edidiſſe, quàm Raſarii interpretationem vidiſſemus, vnde editionem noſtram principio & fine, qualem Gadaldinus tradidit, deſtitutam typis mandaſſe, & qui textus anterior & poſterior deſiderabatur, eum partim ex Platone partim ex Raſario collectum ita nos reſtituiſſe.

PLATO I.

De capitis eiuſque partium procreatione, & ſtructura.

IAm verò quum noſtri ortus opifices *humanum* genus expenderent, vtrum id diuturnioris ſed deterioris, an breuioris ſed melioris vitæ efficerent, cenſuerunt vitæ diuturniori ac deteriori breuiorem ac meliorem electione omnino præferendam eſſe. Vnde certè raro quidem oſſe, non autem carnibus & neruis caput quia flexiones non haberet contexerunt. His igitur omnibus de causis tum ſenſus, tum prudentiæ magis particeps; ſed longè imbecillius cuiuſque hominis corpori caput appoſitum eſt. Neruos autem ob hanc cauſam & in hunc modum Deus extremæ capitis parti circumponens, eos ſpinæ dorſi ſimilitudine circumplicauit, ſummáſque eis maxillas ſub vul-

ΠΛΑΤΩΝ Α'.

Περὶ τῆς κεφαλῆς καὶ τῶν αὐτῆς μερῶν γενέσεως καὶ τῆς κατασκευῆς.

NΥν δὲ τοῖς περὶ τὴν ἡμετέραν γένεσιν δημιουργοῖς ἀναλογιζομένοις πότερον πολυχρονιώτερον, χεῖρον, ἢ βραχυχρονιώτερον, βέλτιον ἀπεργάσαιντο γένος, συνέδοξε, τοῦ πλείονος βίου, φαυλοτέρου δὲ, τὸν ἐλάττονα ἀμείνονα ὄντα παντὶ πάντως αἱρετέον. ὅθεν δὴ μανῷ μὲν ὀστῷ, σαρξὶ δὲ καὶ νεύροις, κεφαλὴν, ἅτε οὐδὲ καμπὰς ἔχουσαν, οὐ συνεστέγασαν. Κατὰ πάντ᾽ οὖν ταῦτα, εὐαισθητοτέρα μὲν καὶ φρονιμωτέρα, πολὺ δὲ ἀσθενεστέρα παντὸς ἀνδρὸς προσετέθη κεφαλὴ σώματι. τὰ δὲ νεῦρα διὰ ταῦτα καὶ οὕτως ὁ θεὸς ἐπ᾽ ἐσχάτην τὴν κεφαλὴν περιστήσας, κύκλῳ περὶ τὸν τράχηλον ἐκόλλησεν ὁμοιότητι, καὶ τὰς σιαγόνας ἄκρας αὐτοῖς συν-

ἔδησεν ὑπὸ τὴν φύσιν τοῦ προσώπου· τὰ δ' ἄλλα εἰς ἅπαντα τὰ μέλη διέσπειρε, ξυνάπτων ἄρθρον ἄρθρῳ. τὴν δὲ δὴ τοῦ στόματος ἡμῶν δύναμιν ὀδοῦσι, καὶ γλώττῃ καὶ χείλεσιν, ἕνεκα τῶν ἀναγκαίων καὶ τῶν ἀρίστων διεκόσμησαν οἱ διακοσμοῦντες, ᾗ νῦν διατέτακται. τὴν μὲν εἴσοδον, τῶν ἀναγκαίων μηχανώμενοι χάριν· τὴν δὲ ἔξοδον, τῶν ἀρίστων. ἀναγκαῖον μὲν γὰρ πᾶν ὅσον εἰσέρχεται τροφὴν διδὸν τῷ σώματι· τὸ δὲ λόγων νᾶμα ἔξω ῥέον, καὶ ὑπηρετοῦν φρονήσει, κάλλιστον καὶ ἄριστον πάντων ναμάτων.

tus naturam deuinxit; alios verò in alias omnes partes disseminauit articulum articulo coniungens. Oris verò nostri naturam dentibus, & lingua, & labiis necessariorum & optimorum causa, sicut nunc constitutum est, adornarunt opifices; quippe qui necessariorum quidem causa ingressum, optimorum verò molirentur egressum. Necessarium videlicet est quicquid ingreditur alimentum corpori tribuens, at foràs fluens orationis series, & prudentiæ subseruiens, pulcherrima est & optima omnium fluxio.

GALENVS.

QVoniam omnis coagmentatio corporis vel calore, vel frigore, vel aliqua impulsione vehementi labefactatur, & ad morbum compellitur; ideo hanc habuit rationem molitor mundi Deus, vt caput ad mundi, quod opus omni morbo carere voluit, formam absolueretur, eâ enim formâ mundum figurarat, qua vna omnes reliquæ formæ concluduntur, & globosus est fabricatus. At caput ad vtrinque depressi parumper globi similitudinem affinxit, in quo sensus interpretes, ac nuncij rerum tanquam in arce mirificè ad vsus necessarios & facti & collocati sunt. Atque oculi altissimum locum obtinent, plurimáque circumspiciunt. Cætera quoque instrumenta sensuum in eodem sunt collocata; vt aures, quarum munus est vt sonum qui naturâ in sublime fertur, recipiant; itémque nares, quia omnis odor ad superiora fertur; at oris quanta vtilitas quantúmque decus? Quum enim vita animantium cibo potione, spiritu teneatur, ad hæc omnia percipienda os est aptissimum. Qúumque mentis interpres oratio sit, ea potissimum ore emittitur, atque iis instrumentis ferè, quæ ore continentur, articulatur, vt in eo libro qui est de vocalium instrumentorum dissectione, itemque in eo cuius index est, de voce, demonstrauimus. Itaque & sensa animi, & sua cogitata homines, nisi os essent consequuti, eloqui nunquam potuissent. Sed incredibile est quanta opera id ad agendum machinata natura sit; primùm enim à pulmone arteria vsque ad os intimum pertinet, per quam vox principium à mente ducens percipitur ac funditur; deinde in ore sita lingua est, quæ finita dentibus, vocem immoderatè profusam fingit & terminat. Eadem sonos vocis distinctos & pressos efficit, quum & ad dentes, & ad alias partes oris compellit. Iam verò neruorum originem à quibus artus continentur, eorúmque implicationem toto corpore pertinentem, quis est qui extare à cerebro nesciat? Quare quum inde nascantur, tum ad reliquas corporis partes quasi rami deducantur, efficitur, vt totum corpus veluti rete complectantur; nam ad oculos porrecti, videndi sensum pariunt; ad nares, olfactus; ad aures, auditus; ad linguam, gustus; ac motionis sunt instrumenta. Inter quos tamen illud interest, quòd sensuum acutiorum nerui mollissimi sint, motionis, duriores. Cæterùm quum extima capitis pars sentire, non motum ciere deberet, ideo rariore est osse conuestita. Quamobrem voluit Plato, huic parti neruos esse circumpositos, vt quidam illorum in maxillas pertinentes, sensuum instrumenta essent; cæteri ad spinam aliáque membra diducti, motionis authores haberentur. Verùm quia de neruis & de capitis orísque præstantia est à nobis vt alibi sæpe, ita etiam in libris de vsu partium, & iis qui sunt de neruorum dissectione, copiosè disputatum; ideo non est hoc loco propositum omnia quæ huc faciunt accuratè pertractare, ne easdem res iterare de industria voluisse videamur.

ΠΛΑΤΩΝ Β'.

Περὶ χρείας τῶν τῆς κεφαλῆς μορίων.

ΤΗν δ' αὖ κεφαλὴν οὔτε μόνον ὀστεΐνην ψιλὴν δυνατὸν ἐᾶν ἦν, διὰ τὴν ἐν ταῖς ὥραις ἐφ' ἑκάτερον ὑπερβολήν, οὔτ' αὖ ξυσκιασθεῖσαν, κωφὴν καὶ ἀναίσθητον, διὰ τὸν τῶν σαρκῶν ὄχλον περιιδεῖν γιγνομένην. τῆς δὴ σαρκοειδοῦς φύσεως, οὐ καταξηραινομένης, λέμμα μεῖζον περιγιγνόμενον ἐχωρίζετο τὸ νῦν λεγόμενον δέρμα. τοῦτο διὰ τὴν περὶ τὸν ἐγκέφαλον νοτίδα ξυνιὸν αὐτὸ πρὸς αὐτὸ καὶ βλαστάνον, κύκλῳ περιημφιέννυ τὴν κεφαλήν. ἡ δέ τις ὑπὸ τὰς ῥαφὰς ἀνιοῦσα ἦρδε καὶ συνέκλειεν αὐτὸ ἐπὶ τὴν κορυφήν, οἷον ἅμμα ξυναγαγοῦσα. τὸ δὲ τῶν ῥαφῶν παντοδαπὸν εἶδος γέγονε διὰ τὴν τῶν περιόδων δύναμιν, καὶ τῆς τροφῆς, μᾶλλον μὲν ἀλλήλοις μαχομένων τούτων, πλείους· ἧττον δὲ, ἐλάττους. τοῦτο δὴ πᾶν τὸ δέρμα κύκλῳ κατεκέντει περὶ τὸ θεῖον· τρυπηθέντος δὲ, καὶ τῆς ἰκμάδος ἔξω δι' αὐτοῦ φερομένης, τὸ μὲν ὑγρὸν καὶ θερμὸν ὅσον εἰλικρινὲς ἀπῄει, τὸ δὲ μικτὸν, ἐξ ὧν καὶ τὸ δέρμα ἦν, αἰρόμενον μὲν ὑπὸ τῆς φορᾶς ἔξω, μακρὸν ἐτείνετο, λεπτότητα ἴσην

PLATO II.

De vsu partium capitis.

IPsum porrò caput neque tantummodo osseum nudúmque relinqui consentaneum erat propter tempestatum in vtrumque excessum, neque rursus carnium mole contectum, obtusum & sensus expers reddi, erat prætermittendum. Carnea igitur natura non omnino resiccata, quod maius supererat, segregatum est, quod nunc vocatur cutis. Hæc circa cerebri humorem sibi ipsi coalescens & germinans, caput circumuestiuit; ipse verò humor sub suturas emanans, irrigauit, & ipsam ad verticem conclusit quasi vinculum quoddam conducens. Multiplex verò suturarum species extitit ob circuituum & alimenti facultatem; qúumque hi magis inter se pugnant, plures; quum minùs, pauciores; hanc autem totam cutem igne pupugit Deus, ipsâ verò perforatâ, humoréque per ipsam effluente, humidum quidem & calidum, quod erat syncerum, abiit; permixtum verò ex iis, ex quibus & ipsa cutis erat, fluxus impetu elatum longius extendebatur tenuitatem

punctura

puncturæ similem habens; sed propter tarditatem ab externo spiritu impulsum, rursus sub cutem reuolutum radicabatur. Et hanc sanè ob caussam in cute capillorum genus adnatum est, quum & cognatum ei esset id quod ad corij naturam accedit, durius tamen ac densius concutione quadam à frigore contracta, capillus siquidem à cute separatus, frigore coacta coaluit. Atque ita sanè hirsutum caput nostrum effecit Deus, tum iis caussis ductus quas attulimus, tum cogitans carnis vice ipsum tegmen ad cerebri tutelam debere esse leue, quod ad vmbram æstate, hyeme tegumentum parandum sufficeret, ac nihil sensus acumen impediret.

ἔχον τῷ κατακεντήματι. διὰ δὲ βραδυτῆτα ἀπωθούμενον ὑπὸ τοῦ περιεστῶτος ἔξωθεν πνεύματος, πάλιν ἐντὸς ὑπὸ τὸ δέρμα εἱλλόμενον κατερριζοῦτο. καὶ κατὰ ταῦτα δὴ τὰ πάθη, τὸ τριχῶν τὸ γένος ἐν τῷ δέρματι πέφυκε, ξυγγενὲς μὲν, ἱμαντῶδες ὂν αὐτοῦ, σκληρότερον δὲ καὶ πυκνότερον τῇ πιλήσει τῆς ψύξεως· ἣν ἀποχωριζομένη δέρματος ἑκάστη θρὶξ, ψυχθεῖσα ξυνεπιλήθη. τούτῳ δὴ λασίαν ἡμῶν ἀπειργάσατο τὴν κεφαλὴν ὁ ποιῶν, χρώμενος μὲν αἰτίοις τοῖς εἰρημένοις, διανοούμενος δὲ ἀντὶ σαρκὸς αὐτὸ δεῖν εἶναι στέγασμα, τὸ περὶ τὸν ἐγκέφαλον ἕνεκα ἀσφαλείας, κοῦφον, καὶ θέρους χειμῶνός τε ἱκανὸν σκιὰν καὶ σκέπην παρέχειν εὐαισθησίας δὲ οὐδὲν διακώλυμα ἐμποδὼν γενησόμενον.

GALENVS.

AFfert rationem cur caput neque nudum, neque pondere carnis prægrauatum sit effectum; nam quum experiri ipsum magnam quandoque vim frigoris & caloris oporteat, si nullo tegmine opertum fuisset, profectò periculum erat ne durare diutius posset; contrà verò, si vt reliquas partes, ita hanc quoque carne conuestisset, aliud enim malum imminebat, ne mortales ea mole impediti, stupidi bardíque fuissent. Quocirca mediocritatem est assequutus vt neque solo osse, neque copiosa carne caput tegeretur; ac carnem quandam, quam cutim nominamus, inuenit, quæ & spongiam imitatur, & multis referta est meatibus, nec adeo mollis vt reliqua, nec adeo densa solidáque, sed eiusmodi vt caput à frigore caloréque tueatur, & nulli sit sensibus impedimento. Ac spongiæ quidem formam est imitata, vt humores è cerebro exhalantes facilè transmittat; non est autem vnum caluariæ os, sed eius tres suturæ sunt, altera in occipite, quæ lambdoïdes; altera in sincipite, quæ coronalis appellatur; tertia duas illas coniungit à lambdoïdis medio per verticem ad coronalem perducta. Quum autem duplex sit excrementi genus quo cerebrum expurgatur, quod fuliginosum crassúmque est, per has suturas vt patentiores emittitur; quod verò tenuius, per caluariam vtpote quæ rara sit, nec adeo tamen pateat; *quare*, inquit, *factum est vt non planè resiccata carne* Cerebrum autem molle, tenuéque est, & sub caluaria ipsa reconditur. Ac ne à caluariæ duritie lædatur dum ei annectitur, duplici membrana, altera molliore, duriore altera tectum est. Quæ sanè ipsum infernè supernéque protegunt, quæ, inquam, mollior est, cerebrum complectitur; altera durior, dupliciter distribuitur; vt vna eius pars intra caluariam, altera extra pertineat. Quæ intra caluariam est, tenuem membranam, quæ cerebro inuoluta est, ab osse caluariæ distinguit; quæ verò extra caluariam est sita, per suturas transmittitur, & inter os & carnem est collocata; ac quia caluariæ imposita est, ideo pericranium appellatur. Atque ita quidem cerebrum communitum & vndique vallatum est ab externis iniuriis planè tutum. Sed nec alimento caret, nam spiritu animali qui per arterias ad caput comportatur, tenuissimóque sanguine nutritur; primùm enim è magna illa arteria quæ à sinistro cordis ventriculo secundum spinam ad collum vsque protenditur, atque inde bifariam secatur, ac multis ramulis ad caput ascendit, spiritus cerebro subministrantur; sanguis autem per venas ad caput pertinentes cerebrum ingreditur, ipsúmque calore humoréque suo sustentat. Quod autem addit, *humórque ipse sub suturis scaturiens*, significat cerebri naturam humidam ac mollem, quæ membranam qua tegitur per suturas ad caluariam aut capitis verticem emittit. E quibus suturis hic fructus existit, vt etiam membranæ per ipsas transmissæ cerebri alimento perfruantur, itáque conseruentur; quamobrem subiunxit, suturas omnis generis esse factas, tum quod circuitiones, quas membranæ cerebrum ambientes in orbem faciunt, intra & extra caluariam obtineant; tum quòd per easdem vt patentiores membranæ alimentum ex cerebro ducant. Qua in re illud scire conuenit, in quo maior sit suturarum varietas, in eo maiorem alimoniæ vim à cerebro trahi; siquidem plures suturæ, plus alimenti; pauciores, minus transmittunt. Vt autem oriri capilli possent, quorum originem nos alibi declarauimus, hanc inquit; cutim capitis calore aperiens Deus, multósque in ea meatus efficiens, ad pilos proferendos accommodauit; est enim caloris ea vis atque natura, vt meatus carnis aperiat, frigoris, vt cogat atque constringat. Quare vi caloris adaperta cute, humor omnis, vnde pili creantur, effluxit; ipséque humor à calore pulsus, quasi pullulat, ac nescio quid fuligini simile producitur; quod, vt ipse ait, quum primùm frigore externo riguit & obduruit, pilus efficitur.

PLATO XXII.

De respirationis vsu, sanguinis procreatione & distributione.

ATque sanè (vnde digressa est oratio) ab his caussis & in hunc modum, vt in superioribus dictum est, fit respiratio; dum ignis quidem cibos diuidit, ac spiritum consequutus intus extollitur, venásque à ventre communi elatione replet; propterea quod inde, quæ contrita sunt, hauriat. Qua sanè ratione per totum corpus omnibus animantibus alimentorum liquores ita diffunduntur. Recenter verò trita, & à cognatis attracta, partim fructuum, partim graminum,

ΠΛΑΤΩΝ ΚΒ'.

Περὶ χρείας ἀναπνοῆς, καὶ τῆς τοῦ αἵματος γενέσεώς τε καὶ διαδόσεως.

ΚΑι δὴ καὶ τὸ τῆς ἀναπνοῆς (ὅθεν ὁ λόγος ὥρμησε) κατὰ ταῦτα καὶ διὰ τούτων γέγονεν, ὥσπερ ἐν τοῖς πρόσθεν εἴρηται, τέμνοντος μὲν τὰ σιτία τοῦ πυρὸς, αἰωρουμένου δὲ ἐντὸς τῷ πνεύματι ξυνεπομένου. τὰς φλέβας δὲ ἐκ τῆς κοιλίας τῇ ξυναιωρήσει πληροῦντος τῷ τὰ τετμημένα αὐτόθεν ἐπαντλεῖν. καὶ διὰ ταῦτα δὴ καθ' ὅλον τὸ σῶμα πᾶσι τοῖς ζώοις τὰ τῆς τροφῆς νάματα οὕτως ἐπίρρυτα γεγονέναι. νεότμητα δὲ καὶ ἀπὸ ξυγγενῶν ὄντα, τὰ μὲν, καρπῶν· τὰ δὲ, χλόης.

ἃ Θεὸς ἐπ' αὐτὸ τοῦθ' ἡμῖν ἐφύτευσεν, εἰς τροφὴν, παντοδαπὰ μὲν χρώματα ἴσχει διὰ τὴν ξύμμιξιν· ἡ δὲ ἐρυθρὰ, πλείστη περὶ αὐτὰ χρόα διαθεῖ, τῆς τοῦ πυρὸς τομῆς τε καὶ ἐξομόρξεως ἐν ὑγρῷ δεδημιουργημένη φύσις. ὅθεν τοῦ κατὰ τὸ σῶμα ῥέοντος τὸ χρῶμα ἔσχεν οἵαν ὄψιν διεληλύθαμεν, ὃ καλοῦμεν αἷμα, νομὴν σαρκῶν καὶ ξύμπαντος σώματος. ὅθεν ὑδρευόμενα ἕκαστα, πληροῖ τὴν τοῦ κενουμένου βάσιν.

quæ Deus in hunc ipsum finem produxit vt cibum nobis subministrarent, colores omnis generis propter commixtionem nanciscuntur; sed ruber in eis color omnium longissimè discurrit, cuius natura ex ignis sectione & abstersione in humore confecta proficiscitur. Vnde eius quod per vniuersum corpus peruadit color, talis aspectu est, qualem descripsimus, quem sanguinem appellamus, & carnium & vniuersi corporis pabulum. Vnde irrigatis omnibus, vacuati sedem replet.

GALENVS.

Consequens erat vt respirationis causis expositis naturam sanguinis, cuius nimium calorem respiratione indigere dixit, nobis declararet; ac respiratio quidem non solùm in causa est vt calor refrigeretur; sed etiam vt cibus aptè concoquatur, magno est adiumento; ignis enim ille internus, quem natiuum calorem nos appellamus, aëris inspiratione temperatus, concoctos in sanguinemque mutatos cibos in totum corpus diducit, atque distribuit. Qúmque nactus est spiritum & halitum qui inspirando ingreditur, tum faciliùs diffluens totum corpus peruadit, facitque vt venæ quæ alioqui conciderent, sanguine repleantur. Et quanquam fusus per venas sanguis, propterea quòd ei admista pituita sit, facilè fluit, tamen respirationis opem requirit vt in varias corporis partes ascendat atque descendat. Verùm vt quod dicimus perspicuum sit, quomodo sanguis gignatur, nos dilucidè ac breuiter explicemus. Itaque scire conuenit commansum cibum, potioni admistum in ventriculum primo detrudi, atque ibidem concoqui & colliquari; tum eum succum ad intestinum quod ieiunum vocant, comportari; ex quo permultæ venulæ ad gibbam iecoris partem tanquam ad radicem originemque suam confluunt; ac per eas succus ille omnis qui iam factus est tenuior, ad iecur deriuatur; ibíque à natiuo calore concoctus atque confectus mutatur in sanguinem, rubrumque colorem à colore iecoris in quo concoquitur, contrahit. Hinc efficitur vt sanguine generato, quatuor humores exorti inter se distinguantur; siquidem in omni ciborum genere quatuor inesse qualitates iam ostendimus, quæ confecto alimento in quatuor humores peruulgatos conuertuntur. Proinde fit vt leuis igneáque sanguinis pars, quæ bilis tum flaua, tum amara, tum pallida nominatur, in fel amandetur; crassa terreáque, quam atram bilem appellant, in lienem transmittatur; frigida atque humida, cui pituitæ nomen est, simul cum sanguine distributa per venas feratur. Atque ita quidem ex cibo & potu sanguis procreatur, ac per totum corpus distribuitur. Cæterùm ille succus confecti in ventriculo cibi quum ex variis alimentorum generibus existat, priusquam in iecore in naturam sanguinis se induat, est vario colore perspersus. Verùm quum iecur sit quasi concretus quidam sanguis, ideo fit vt quum ab eius calore accenditur, ipse quoque rubescat, eóque colore imbutus ad reliquas partes accedat, & ita permeans, alimentum carni vniuersóque corpori subministret. * *

8. IN GALENI LIBELLVM DE FOETVVM FORMATIONE.

HOc in libro Galeni de formatione, formationisque partium ordine, & animæ substantia, ex variis tum Philosophorum tum medicorum sententiis differitur; vberius tum libri argumentum, tum singula capita edocent. Tres libri interpretes legimus Ioannem Bernardum Felicianum; Cornarium, cuius versionem emendauit Riccus; & Ioannem Guinterium Andernacum, cuius versionem paulò emendatiorem edidimus.

9. IN HIPPOCRATIS LIBRVM DE CARNIBVS seu principiis.

Quicquid liber complectitur, id, & mentem authoris tum argumentum, tum capita paucis enunciant. Nihilominus tria subiiciam perscrutanda, libri authorem, titulum, & doctrinam. Authorem libri HIPPOCRATEM esse multis in locis Galenus refert, cui congruit Hippocratica orationis series, suffraganturque authores multi & interpretes Cornarius, Zuinggerus, Mercurialis, Duretus, & cæteri. Quis titulus? περὶ σαρκῶν ἢ ἀρχῶν, de carnibus seu principiis. De carnibus veteres frequentiùs librum hunc inscripserunt ob rationes à Zuinggero proditas; Recentiores verò de Principiis, vnde lapsus ab ἀρχῶν ad σαρκῶν à Mercuriali notatur. Quæ hîc doctrina proditur? De corporis humani principiis, partium singularum generatione & formatione; de præcipuorum sensuum organis, eorumque structura, de septenarij numeri facultatibus in partu & morbis.

P. 302. v. κέουσ. αὐτῇ] αὐτὴ] vel κατ. ἐν αὐτῇ.

P. 303. v. κυκλ. ἀπελείφθη) ἀπεκλείσθη, vel ἀπελήφθη.

v. τῷ καταληφθέντα) κατακλεισθέντα, Corn. οἷον περὶ χιτῶνας] οἷον περὶ χιτῶνας, Corn. καταλειφθέντα, Cal. περιχιτῶνας, Foës.

v. κα. οὐδὲ μὴν τοῦ ψυχροῦ θλίβεσθαι) οὐδὲ διὰ τοῦ ψυχροῦ ψύχεσθαι, Cal.

v. ἐγί. αὐτῷ) αὐτὸ quædam exempl. τοῦ ψυχροῦ] πολὺ τοῦ ψυχροῦ Cal

v. μὴν. ἐὸν] ὀνεὸν, exempl. quædam.

v. αὐτ. ὑγροῦ) ψυχροῦ, Corn. Zuingg.

v. ὑγ. ἀπολειφθὲν) ἀποκλεισθὲν, Corn.

v. τὸ μέ. ἐν δὲ] οὐδὲ, exempl. quædam.

Pag. 304. v. ὑκ. αὐτῷ) αὐτὸ, exempl. quæd.

v. ῥοῦ. πώτατον] παχύτατον, Cal.

v χι. τῆσι] ἐν τῇσι, exempl. quæd.

v. π. λυχμὸς] αὐχμὸς, exempl. quæd.

v. 34. αὐτῷ) αὐτὸν, exempl. quæd. MS.

P. 305. v. ἔχ. κόπεσι) κόπεσιν, exempl. quæd.

v. το δὲ. ἀπολειφθὲν] ἀποκλεισθὲν, Corn.

v. περ. προάγλεισι] προαγλῆσι, Foës.

v. πε. δυνάται) οὐ δυνάται, exempl. quæd.

v. ξηραινομένου) καὶ ξηραινομένου, ξηραινόμενον ὑπὸ, Foës. Zuing.

Pag. 306. v. ἀπὸ. αὐτίου] αὐτέων, Corn.

v. ἐξαυ. ὄνυχας] ὄνυχες, exempl. quæd. vitiosè.

v. κολ. τοῦ λιπαροῦ] καὶ τοῦ λιπαροῦ, Corn.

v. φλέ. ἐν τῇ κάτω κοιλίῃ] ἐκ τῆς κάτω κοιλίης. Corn.

v. γνδ. τῶν ἐντέρων) καὶ τῶν ἐντέρων, Corn.

v. τατ. καταλείπεται) καταπίνεται, Corn.

v. κε. καὶ τῶν ἐντέρων τῶν ἄνωθεν τῆς νήστιος) καὶ τὰ ἄνωθεν τῆς νηδύος, Cal.

P. 307. v. καὶ. ἐπισείῳ.] ἐπιχίῳ, exempl. quæd.

v. π. οἴσι) codices quidam non habent.

v. ξων. προσήκει) προσσήκει, exempl. quæd. Corn. Zuinggerus.

v. πάντα. δυνάται] δυνάσται, Cal. Interp.

v. ἐς τὸ. τρέπω τῷ θερμῷ) τῷ τρέπω, θερμὸς, Corn. τρόπος τῷ θερμῷ, Cal.

v. ἐς τοῖ. ἑκάτερον] ἑκατέρου, Cal.

v. τοῦ. περὶ αὐτὸ) quædam exempl. non habent.

v. τοι. περὶ αὐτὸ) quædam exempl. non habent.

v. πολ. διαφανέος) διαφανέα, Corn. Cal.

v. φαι. αὐτό.) αὐτῷ. exempl. quædam.

v. γί. πυτίῳ] τοῦτο Cal.

P. 308. ἐκκρίσι) ἐρωτήσῃ, Corn.

v. Διαλ. ἕλκον) ἕλκειν, exempl. quæd.

v. θύρ. αὐτίχῃ αὐτηχῇ, Cal.

v. αὐτέχωσι) αὐτηχῶσι, Cal.

v. μα. δυνάται) δυνάσται, interp. ἕλκειν] ἑλκεσθαι.

v. ἐπὶ ὠ.(μήτρας) ἡμέρας, exempl. quæd.

P. 309. v. ὅκ. ὁκόσοι καθαρεῖ.) ὁκόσα καθαρεῖ. exempl quædam, quædam etiam legunt, ὁκόσαι καθαρεῖ εἰσὶ καὶ ὑχαὶ, quæ sequutus Caluus, addit χολώδεες.

v. δεκ. ἑβδομάδων) ἑβδομήκοντα. Vat. Ald. Cal. ἐγδοήκοντα verò, Gorrh. & Foës.

v. ρε'. παρελθούσης] τῆς ἡμισυ ἑβδομάδος, καὶ μιᾶς, addit Corn.

v. καὶ ἐν δυσίν.] ἕνδεκα, Cal.

v. πεμπ. δέουσαι] δέουσιν, MS.

v. μήτ. δυοῖν δεούσησιν] καὶ ἐν εἴκοσιν δυοῖν δεούσαισιν MS.

v. καὶ ἐν. ἑβδομάδων] ἑβδομάδες, interp. δεκάδες ἑβδομάδων πέντε καὶ τετρήκοντα, Allemant.

---

10. IN LIBRVM HIPPOCRATIS DE NATVRA PVERI.

De natura pueri inſcribitur liber, quem partem eſſe libri de genitura Mercurialis autumat, quòd vtriuſque eadem ſit & materia & doctrina. Nam in libro περὶ γονῆς pro ut ad conceptum confert; hìc verò de fœtu per totum geſtationis tempus ad partum vſque producto diſſeritur. Hìc igitur de hominis procreatione, generationiſque organis, cauſis, principiiſque, ac proinde de partium corporis ſtructura, & conformatione agitur, quæ ſingula tum libri argumentum tum capita prænarrant. Meritò itaque ad τὰ φυσιολογικὰ τῶν ψυχικῶν referuntur. Quis author libri? an Hippocrates, an Polybus? Alterutrum authorem eſſe nemo non cedit; verùm Hippocraticam in eo doctrinam & Ionicam loquutionis amœnitatem agnoſcit Galenus. Sed Zuinggerus ob luxuriantem λέξιν, & crebram τὴν ἀλειψιν Hippocratis conceptum, & Polybi partum eſſe profert.

P. 310 v. ἐπ. μητρὸς] μήτρας, Cal.

v. κει. ῥαγῆς) ῥαπῆς, M. R.

P. 311. v. λῆς. αἴρεται) ἀρέται M. R.

v. ἐχό. οἰκεῖης] οἰκέτης, vel οἰκέης, Cal.

v. ἐφ. καὶ πως) καὶ περὶ M. R

P. 312. v. γλῶ. ἔλαιη) ἔλατος Vatic. & Ald.

v. ἔλιπε) ἐθέλει αὐτὴν. Gal

v. ἐν. σφαιρ. ...) διεφαίνετο Gal.

v. αἷμα. βύζην.) ῥοίζῳ vel ῥοίζην M. R.

v. ἐχ. ζώντ) ζῶντα Corn. ζῶντι Cal.

P. 313. v. ρω. καὶ πῶς) εἰ πῶς M. R.

v. παμ. λαμβάνουσι) μάλιστα λαμβάνουσι, Vat.

v. ἐκ. χαίνουσι] χαλῶσι. Vat.

v. αἵ ἦν) ἂν, Interp.

v. λέα. ἐπαίσεται] ἐλαύνεται quæd. Vaticana.

P. 314. v. τὸ γλῶ, ...) ... .

v. κοτ. ἀκίνδυνος] οὐκ ἀκίνδυνος, Cal.

P. 315. v. ση. ἐν τῇ λοχίῳ] ἐπεὶ τῇ λοχίῳ, Foeſ. ex Merc.

v. δὲ οἱ. εἰπὲ καὶ εἰπεὶ ὑγιεινὴ ἐοῦσα, εἴπε μὴ δὲ θῦς ἴοι ἡ κάθαρσις, εἴπε καὶ αὐτό.

P. 316. v αἱμαλωπὸς) αἱμάλωπος M S.

v. μα. αἱ ἐν) καὶ ἐν. M. S.

v. τα τῷ μεγέθει] add. καὶ πυκνότατα καὶ πλεῖστα.

v. βαιν. ἀπέχον] ἀπέχον M. S.

P. 317. v. ἐπιγ. δέρματι] σώματι, exẽpl. quęd.

v. ἐλθ. ὑπολιπὴς) ὑπόλειπτος, M. R.

P. 318. v. ἰ. ἐν) ἓν vel ἐν, exempl. quæd.

P. 319. v. ὑπὸ. ...) ..., Gorrh. ..., exempl. quæd. ..., Foeſ. maualt.

P. 320. v. ὑπερμόνεα] ἐπερμόνεα Corn. Zuingg.

v. ἰμ. δεικὰ (Δωεικά. Cal. & Gorrh.

v. θω. ...) ... coniunctim Cal. Gorrh. Foëſ. πιπίεσαι) πιπιεται,

exempl. πεπιεῦνται MS. πτπίεσται quædam MS.

v. ὑδ. μικρῷ μείζονι] μακρῷ μείονι Gorrh.

v. πτρ. διέεσι] δίϊνοσι exempl. Germanica.

P. 321. v. ἅμα ἐν τῷ φρ. περὶ τῷ φρ. exempl. quæd.

P. 322. v. ἐν πᾶσι γένεσι] πᾶσι φύσι, exempl. omnia aut πᾶσι γενεσι aut γένεσι Cal. Gorrh. Foëſ.

v. ἀν. ὀρνίσις) ὄρνισι. Corn.

v. φύ. ἀσκαρίζοντα ἀναγκάζοντα M. R.

v. δὲ. ἀκινδυνοτέρῳ) ἀκινδυνοτέρῳ, M. R.

P. 323. v. δέκα. διελήθοισαι] διελάθοσαι, exempl. quæd. διελήθουσαι quæd. vitioſè.

v. ἐκ. ῥήγνυσι] ῥήγνυσι, Gal.

v. ἐξ. ἐπίληθαι) Ald. & Gorrh. nõ legunt.

v. ὑπὸ. λω] κὴν. αὐτῇ) αὐτὴ Cod. quidam.

P. 324. v. ἐχ] παρέχ. Gorrh.

v. φη. ἔχον) ἔχων, Foeſ.

v. ἔτ. ἐπικρατίση) κρατίσῃ quædam MS. & publicata.

v. ἐκ. πεπαμένοι) πεπαμμένοι, MS. & publ. & Cal.

P 325. v. περὶ. χαλάση) χανῶσι Corn.

v. ἐπὶ; add. τινι, M. R.

---

11. IN GALENI LIBELLVM INSCRIPTVM, AN OMNES partes animalis quod procreatur fiant ſimul.

Hoc Galeni fragmentum Latinè duntaxat, quale prius, editum eſt, quo, an partes omnes animalis quod procreatur aut fœtatur, ſimul cõſtruantur, paucis diſſeritur. Quæ verò ſit propoſitionis diſtinctio, & quæ concluſio, vtramque pauciſſimis id opuſculum edocebit.

---

12. IN LIBRVM GALENO ASCRIPTVM DE NATVRA & ordine cuiuſlibet corporis.

Hunc libellum Galeno aſcriptum ac ſpurium eſſe lectio ſatis edocet. Eum namque & ordine & iudicio carere cenſura vulgaris iam prodidit. Sed quid in eo diſſeritur? An de natura & ordine cuiuſlibet corporis, ſiue cuiuſque partis, vt fert titulus? Lector ſtudioſus animaduertet hìc primùm de quatuor humoribus; deinde de fœtus procreatione, procreationiſque cauſis, organis, & partium conformatione, poſttemo de febrium dignotione pauca ſingula nec Galeno digna proferri.

---

13. IN LIBRVM GALENO ASCRIPTVM, DE COMPAGINE membrorum ſiue de natura humana.

Ne videamur aliquod opuſculum Galeno aſcriptum negligentia prætermittere, hunc libellum vt & cæteros ſpurios edidimus. Hic autem liber pleraque vera, & quædam improbata complectitur, qui de ſenſoriis organis ac ſenſibus, qui de procreationis principiis, qui de conceptione, qui de fœtu ac partium conformatione medicamenta ſubiicit oculis.

P. 330. v. quæ. quæ progrediens longiùs prope album) progreditur longius prope albulæ amplum.

P. 331. v. da. humiditatem) diuerſitatem.

v. cord. citra] circa.

v. media 2.] manente] nectuntur] nutriuntur.

v. tat. obteguntur] obtegitur.

P. 332. niuor. arte] alto.

v. dem. quæ quum ad collum veſicæ deueniunt] quod autem venit; coniunctim vnitur.

v. deſtin. diuturnam] diuinam.

v. ſtrat. calefactum] calefaciens.

v. 2. ſecum. hunc] huic.

v. 2. ſap. communis) communionis.

v. 2. nium. veretrum) venter.

P. 333. v. da. interiora] exteriora.

---

14. IN LIBRVM GALENO ASCRIPTVM, AN ANIMAL SIT quod in vtero eſt.

Hic libellus prauè Galeno aſcriptus, an animal ſit quod in vtero eſt inſcribitur, in quo de paruo & magno mundo diſſeritur, & vtrumque animal eſſe probatur; Hìc autem legimus fœtum vteri ergaſtulis concluſum, conceptum & conformatum naturæ, animæ, imò rationis participem, ac animal exiſtere. Interpres Horatius Limanus, cuius verſionem edidimus prius emendatam.

---

15. IN LIBRVM HIPPOCRATIS DE SEPTIMESTRI PARTV.

Hic liber Hippocratis fœtus eſt, & ab omni antiquitate in Aſclepiadarum familiam receptus, inter Phyſiologica numerandus. Quid autem doceat liber, tum eius inſcriptio, & argumentum, tum capita paucis explicant. Interpretes Cornarius & Foëſius, quorum verſionem emendatiorem dedimus.

P. 343. v. ἐξῆν αξ] ἐξῆλθ Corn. κυνὸς) νοσαίσης M. S. ἀπ) τὰ M. S. ὅτι quæd. MS.

v. πορ. αἰεὶ) ἀμφὶ, M S.

v. πῶ. πύπου) πυπίῳ Cal. χωίο] αἰσχύνονται, Corn.

v. μιᾶ. ἡμέρας ἡμέρῃ, Foëſ.

v. τί. γίνεσθαι) γινώσκει Cal. πῃ] ὅπῃ exempl. quæd.

v. καὶ. ἀμφισβητήτως ἀμφισβήτητος Cal.

v. τὰ π δυσκρίτως) δύκριτως, quædam exempl. MS. & Vat. κατ' ἐμὴ] ἐν δὲ. codices quidam.

v. ρος. ἐμνημόνευον] ὀμβρίσα, cod. quidam.

v. ιδυ. ἀπιστῶ) πιστῶ, Cal.

v. ἐ. ἀλλ' ὅ, τι) ἄλλο τι, exempl. quæd.

v. γνῶ. τὰς δὲ βουλομένας] τῇσι δὲ βουλομένῃσι, exempl. quæd.

v. καὶ δεκ. περιγενέσθαι) τὸ δὲ ἄλλα περιγίνεσθαι, addunt Vatic. exempl. Cal. & Mercur.] καὶ ἐνδεκάμηνα καὶ πύτ.

v. δον. ...) ἐγγενεαλογηθέντα, MS.

P. 344. v. καὶ ὅτε γαστὴρ μαλαχθῇ) ἐπὶ γαστὴρ ἐμαλάχθη, exempl. quæd. ὑποκαταβῇ) ὑποκαταλείβῃ, ὑποκαταβῇ, quæd. exempl.

v. χω. τὸ ἐπὶ τοῖς πόνοις ἐπιλαμ.] τὸ ἀπὸ τῶν σομάχου ἐσθέα, quædam manuſcripta.

v. ἐς. ἐπειδὴ] ἐπειδὰν, exempl quæd.

v. πε. ζώντας) ζώντος exempl. quæd.

v ἡμέο. ...) ἐρμηνεύσῃ, quæd. manuſcripta.

v. σχέ. εἰσι] ἔπη τι τὸ οἴονται, M. S.

v. γδ. ἀνόσιον] ἀδέναι, quæd. M. S.
v. ἰσχυρᾶ. ἄνω) ὀλίγῳ, quæd M. S.
v. οὐπ. οὔτι) οὔ τι. Foes. interp.
v. ἐκ. ἀσχημένης] ἀφιγμένοιον, exempl. quęd. & Cornar. præteriit Caluus.
P. 345. v. χ. εἰρήσθω] εἰρήσθω, quædam exempl.
v. τῷ. περὶ ταῖ] περὶ ταῖς, exempl. quædam.
P. 346. v. μᾶλ. αὐταῖ] αὐταῖς, exempl. quædam & Corn.
v. οὐδὲ κλαῖ] οὐδὲ κλαίειν addit Caluus.
v. τοῖς. μιτέραν) μοίραν, quædam MS. quædam etiam μοιεῖραν.

16. IN GALENI LIBRVM DE SEPTIMESTRI PARTV.

Hunc Galeni librum De septimestri partu ex editione Ricci transcriptum, & cum manuscripto Regio collatum ac emendatum hîc vt superioris Hippocratis commentarium apposuimus, cuius doctrinam tum proprius titulus, tum argumentum, tum capita prænunciant. Galenus comm. ad sentent. 27. l. 6. Epid. sect. 7. se in librum Hippocratis De septimestri partu commentarium scripsisse testatur, qui is esse videtur, quem præsentem vestris oculis subiicimus, qui inter libros Basilienses haud editus est.

17. IN LIBRVM HIPPOCRATIS DE OCTIMESTRI partu.

Hunc librum superioris libri Hippocratis De septimestri partu consectarium esse, materiæ eius series satis explicat, vtriusque enim author animaduertitur, idem vsus, & eadem tractatio, quam tum libri argumentum, tum singula capita paucis aperiunt.
Pag. 351. v. τοι. περὸς] περὶ Cal. & Corn.
v. τα. δὲ) τὰ exempl. quædam.
v. φαί. ὀμφαλοὶ] ὀφθαλμοί, Cal.
P. 352. v. αἰπτύειν) ἀπτύειν, Corn.
v. τι. ὅτε) ἤ τι, M. S. quædam.
v. προ. ἐπάγωνται) ἢ quædam M. S.
v. ἧς. ἤδη τὰ μὲν) πά τι τὰ μὲν M. S.
v. σῶμα) σῶμα, M. S.
v. πιέσιν) ἀφαιρέουσι Cal.
v. δέ. μοῦνον τοῦ σώματος] παιδίοισι μόνοις M. R. προσέρχεται) προσέρχονται, M. R.
v. χο. συλλοχίας) συλλοχίας, Gal.
P. 353. v. για. λῦ ἴη.) λῦ εἰη λύσις, quędam exempl. πίνω τῇ] πίνω δεῖ τῇ. Ald. δεῖ πίνω τῇ γυναικί. Vatic. πίνω M. R. non habent sicut δοῦναι.
v. ἐν. αὐτῇ) αὐτῇ. M. S. quædam.
v. ἐπι. καὶ τοῖς ἀνδράσι) τῇσι γυναιξὶ καὶ τοῖς ἀνδράσι, quædam M. S.
v. ϛιζ ἡμέραν) λῦ οὐ μείνῃ, ἡ μὲν ἡμέρη μὲν M. R. vitiosè.
v. χο. λαβούσαις) λαμβάνειν, quædam M. S.
v. ἀτ. περὶ) ἀπὸ quædam M. S.
v. κει. διηκοσίας) ἡμέρας addunt quædam M. S.
v. ἐπι. λῦ) αὖ, quædam M. S.
v. παι. ὑπὲρ ἐς πλεῦνα περίοδον κατασῇ] ὑπὲρ ἐχ. πλεῦνα περίοδον ἑκάστην, quædam M. S. pro ἑκάστην, ἑκάστα Caluus ponit. quædam etiam exemplaria habent, λῦ παρέχ τινὰ πλεῦνα περίοδον ἑκάστη.

18. IN GALENI LIBRVM DE INSTRVMENTO odoratus.

Liber hic verus Galeni fœtus est, vbi de odoratu, eiusque organis, ac situ agitur; de nasi structura, eiusque partibus, ac anterioribus cerebri ventriculis; de odoribus, ac sternutamentorum facultatibus. Interpretes Ludouicus Bellisarius, & Trincauelius, cuius versionem edidit Riccus, nos verò Bellisarij paulo emendatiorem priùs redditam.
P. 355. v. ταῖ. αἰσθη) αἰσθῆ, fortassis.
v. δὲ οὔσοις) ὀρθίοις ἢ δοκοῖσι, Marg. Bas.
P. 357. v. ἀποπειρα) f. ἀποπειρῶντο.
P. 359. v. ὑπο. ἀφικνεῖσθαι) f. ἀφικνεῖται, vel ὡς pro οὕτως.
v. καὶ χω. διαστελεῖσι) διαστελεῖσι, Bas. f. διαστείλαντας αὐτοὺς αἰσθ. vel διαστεῖλαι δέ.
P. 363. v. πειζ. ἐπιμονατι) f. ἐπιμονωτάτω, hic latinæ versioni deesse videtur, oblædi; sic igitur l. ijs oblædi rebus, &c.
v. ἐλείν. τῆς φυσικῆς] f. φυσικῆς δυνάμεων.
v. πλεῖ. συνιστῶσα] an συστῶσα.

19. IN GALENI LIBROS II. DE MOTV MVSCVLORVM.

Hi duo libri de motu musculorum, veri sunt Galeni fœtus, quibus musculorum actiones edocentur, quemadmodum amplissimè tum librorum argumenta, tum distincta capita prænarrant. Interpretationem Leoniceni paululum emendatiorem edidimus.
P. 367. v. δουῶ. συναιτμίχθη M. R.] συμμεμίχθη Bas.
v. λειμμ. τύπου M. R. τόπου Bas.
v. ἀκριβ. συγχύσει M. R. συμφύσει Bas.
P. 368. v. ἀκριβ. τὸ Bas. τοῦ M. R.
v. βρόγχ. βρόγχου καὶ φάρυγγα] λάρυγγα M. S. R. & interpr. βρόγχου καὶ φάρυγγος, Bas.
v. καὶ ἡ μεγάλου M. R. Interp.] μεγάλη, Bas.
v. εἰς ἑαυτὸν Interpr.) ταυτὸν, Bas.
P. 369. v. δὲ, μὴ μίαν] μηδεμίαν, Bas.
P. 370. v. ἀπάγηται Interp.] ἐπάγηται, Bas.
v. κατ. φαινόμενα, λέγομεν M. S.] φαινόμενον, λέγομεν, Bas. Cod.
v. τὰ δ'. ἐπὶ τῆς τενόντων) Bas. delet. ἐπὶ.
v. τῆς κινησ. τῆς μορίων, Bas] τὸ μόριον M. S.
v. νετ. οἶμαι] ὅτι οἶμαι M. S.
v. εχτ. εἰ πάντης] M. S. εἰ πάντας & melius) εἰ πάντες, Bas.
v. πηθ. ἑλκειν M. S. ἕλκειν, Bas.
P. 371. v. δ'. ἐνεργῶν M. S. ἐναργῶν Bas. μέρει, Bas.] μέρη M. S.
v. δ' ἀλ. αὐτὸ M. S.] αὐτῆς Bas.
Pag. 372. v. περὶ, τιναπία] πυῶδη τινα, Bas.
v. ἀπειλας ἀρτηρίας, Bas.
P. 374. v. ἐκλύσαι) ἑλκῦσαι, Bas.
P. 378. v. ἐδρ. ὑφερήρεισται ὑπερείρεισται.
P. 379. v. οὐτ. ψυχικῆς] ψυχῆς, Bas.
P. 380. v. κελ. προσεσχῶς Bas. προσεσχόμενοι, M. S.
P. 381. v. βαί. ὅτι οὐδ') οὐδ' ὅτι.
P. 386. v. ἐπὶ. εἰ εἰς f.
P. 387. v. ματ. χαυνότων] καμνόντων Bas. καμνουσῶν, M. S.
P. 396. v. σπλάγχ. μὴν] μὴ Bas. an μὲν.

20. IN LIBRVM GALENO ASCRIPTVM DE MOTIBVS manifestis & obscuris.

Ioanitius è Græco in Arabicum hunc librum transtulit. Marcus autem Toletanus ex Arabico in Latinum qualem conspicis. Galeno ascriptus est. quem certè ex Galeni libris depromptum esse hunc libellum orationis series manifestè prodit. At huius libri aut alterius consimilis multoties mentionem facit Galenus, in eóque plures libros suos memorat. Ob varias autem translationes quædam menda in eum irrepserunt. Sed quid hîc docetur? motus, motúumque causæ, facultates, & instrumenta; motus inquam partium obscuri, manifesti, voluntarij, violenti, ac naturales.
1. P. 397. v. hoc. Ideò &c.] Ideo intentio nobis hic est vt eorum causas inquiramus.
v. quæ. Et pectini) & est pecten.
v. rascet. Iuncturis) Iunctura.
1. P. 398. v. quam. dilatatur) extrahitur.
v. factum] Insttumentum.
2. v. poti. lacertos] lacertum.
v. pell. quem) quam.
2. P. 399. v. rat. propriè infra illa] circumscriptis illis.
v. dita. distincta] destinata.
P. 400. v. calidus) clarus.
v. pot. extat] existat.
P. 401. v. fi. quin] quum.
2. P. 402. v. ipf. competenti) concepti.
v. quand. ordinatam] ordinatiua.
2. P. 403. v. mot. motus palp.] motibus palp.
v. le. semitam) scenicam.
v. duæ. antiquiores] præsumptuosæ.
1. P. 404. v. lacert. continuatos] continuatis.
2. v. quius. maturius] macrius.
v. dant. à duobus] ab istis.
P. 405. v. quod. Tunicæ &c. suffragatur] Tunicæ verò alterius, & villi qui vestiunt & etiam currunt in circuitu secundum latitudinem, vtiles sunt quidem & suffragantur.
2. v. quod stom. per pellic. &c. per villos qui disponuntur circulariter in latum, & expellat per villos qui tendunt
v. lens. pellicula quæ disponitur] villi qui disponuntur.
v. sua. cuius villi transeunt] cuius pellicula transit.

21. IN GALENI FRAGMENTA EX THEMISTIO IN PAraphrasi quarti de Physica auscultatione.

Textum hunc Themistij Latinè duntaxat editum inuenimus, qui Græcè à me ex Themistii monumentis Physicis collectus iam prostat. Sed hîc pauca de motu, tempore, & imaginatione narrantur Michaël quoque Ephesius de insomniis fragmentum hîc Græcè inseruimus.

22. IN FRAGMENTVM GALENI DE MOTV THORACIS, ET PVLMONIS.

Galenus hoc fragmento agit paucissima de motu thoracis & pulmonis; ac vtrum pulmones citra thoracem motum habeant, disserit.

23. IN GALENO ASCRIPTVM LIBRVM DE RESPIRATIONIS VSV.

Hic liber De respirationis vsu, seu vtilitate Galeno ascriptus, multa vera, eáq; vt plurimum, Aristotelica complectitur, quæ singula ad respirationis motum, vsúmque, vt facultates, vt causæ, aut vt instrumenta referuntur.

2. P. 408. v. vnde. Innititur,] viciniot fit, v. quæ. pubis] puppis.
2. P. 409. v. dunt. post quam] per quam v. tio. idem] inde.
1. P. 412. v. pro. sed priùs contingit] si prius contigerit. v. supern. oleum] ouum.

24. IN LEGITIMVM GALENI LIBRVM DE VSV RESPIRATIONIS.

Hunc legitimum Galeni librum De vsu seu vtilitate respirationis omnes agnoscunt, in quo pulchra omnia de vsu respirationis tractantur. Primùm enim Galenus opiniones veterum probas approbat, prauas improbat; deinde de respirationis materia, causis, instrumentis, ac vsu differit. Versionem Cornarij paulò emendatiorem edidimus.

P. 419. v. τὴν ἰέναι MS.] εἰσιέναι Bas.

25. IN LIBRVM GALENI DE RESPIRATIONIS CAVSIS.

Hunc libellum De causis respirationis inscriptum, legitimum quoque esse Galeni fœtum nemo reluctatur. Quid autem complectatur ac edoceat, tum libri inscriptio, tum argumentum aperit.

26. IN LIBRVM GALENO ASCRIPTVM DE VOCE ET ANHELITV.

Hunc ascriptum Galeno librum ex Galeni commentariis collectum ad Arabes peruenisse vetus censura declarat. In eo vocis & anhelitus causæ efficiẽtes, instrumenta vtrique inseruientia, propria & communia; vocis differentiæ, læsiones, læsionúmque causæ docentur.

1. P. 429. v. Hab. duas] quatuor. v. ag. exterius] anterius.
1. P. 430. V. eand. nerui] musculi. v. febri. subiungitur] submerguntur. v. curr. de amplissimo] amplissimo.
2. V. dis. vociferat] sitim fert. v. git. cadit] erit eadem. v. verò intrauerit] minuerit.
1. P. 431. v. cont. minus] nimis. v. exp. continet] continuat. v. cum. exit] erit. v. tem. à parte] ad partem. v. num. cogitatio] cognitio. v. alius. reuertitur] intrat. v. diminutionem] diuisionem. v. litu. diminutio] diuisio.

P. 432. v. tium. ex medio] quod est medium.

27. IN GALENI LIBRVM DE PVLSVVM VSV.

Inter σημειωτικὰ hic liber De pulsuum vsu, in Codice Basiliẽsi Græco positus est; sed in nostra editione inter τὰ ψυχικὰ opera, quòd ad actiones vitales referantur, quæ in eo edocentur. Nam de pulsuum vsu hîc agitur, quemadmodum fert argumentum. Linacer huius libri interpres, cuius versione hancce emendatiorem animaduertet lector.

P. 436. v. ἀίει τὴν χειρουργίαν ψυχῶ Bas.] ψυχῶ τὴν χειρουργίαν.

28. IN GALENI LIBRVM QVOD ANIMI MORES CORPORIS TEMPERAMENTA SEQVANTVR.

Hunc librum Galeni legitimum esse manifestum est. In eo animam corporis sequi temperamenta docetur; proinde pro variis corporis aut partium alterationibus, varias actiones ipsam edẽre. Sed aduertas, velim, hanc animam non λογικὴν ἢ μεταφυσικὴν, θεϊκὴν ἢ ἀφθαρτὸν, sed duntaxat nudam φυσικὴν ἢ φυσικὴν φθαρτήν τε ἢ θνητὴν. quæ sub sensum cadit medicum. Interpretes duos legimus, Paulum Crassum Patauinum; & Ioannem Guinterium Andernacum, cuius versionem paulò emendatiorem edidimus. Posteriorem libri partem Codices Basilienses non gerunt, neque aliæ priores editiones; sed eam M. Dionysius Guerinus pater Doctor Medicus Parisiensis à Casobono acceptam mihi tradidit; quam priùs à Federico Morello Professore Regio editam inter meos libellos reconditam inueni, collatámque typis mandaui.

P. 452. v. αὐτὸ ὀκέβηται] ἐμβρύαι Bas. & bene.

IN HIPPOCRATIS SEGMENTVM EX PHILONE, DE MVNDI OPIFICIO, De hominis ætatibus.

Hoc fragmentum ex Philone collegimus; licet verò ætates hominis vbique scriptorum Hippocratis comperiantur, earum tamen synopsin, qualem Philo collegit, lectoris oculis idoneam subiicimus.

FINIS.

TOMI V. MENDA EMENDATA.

PAgina 2. κρο. δηλοῖ. 3. v. ὅτιν. αἰωτ. 5. v. πέχ. ἄγνοιαν. 6. v. mem. meminit Plato. 8. v. πὶν. τῶν. 9. v. Κε. E] B. v. τῶ. καθ. 15. v. Ac. auctrixque. 16. v. inter. 17. qu. omne. v. φύσ. π. ἢ. v. περ. πρεσβυτ. 19. v. π. πνεύματα. 21. v. quid. Vacuatorum. 22. lic. chariss. 23. v. illud. quòd. 24. v. sup. pars pen-. v. de. infra. 26. v. Επ. ἀπ' ὡς. 28. v. tum. ad id. v. fiet. confluat. 30. v. in. sint pos. v. nam. damnatæ. 32. v. τρ. θρέψεως. 33. v. τουμ. ἀθρόως. 34. v. tat. vtatur. 36. v. lij. si mauis. v. geri. catenam. 38. ἐργ. Ερασίστρατος. v. bund. tractoria. 39. v. ἱμαν. πεπλεγμένην. 43. v. περι. λαμβάνει. 44. v. λυπ. κενωθεῖν. v. lido. aliis. v. in. disceptatione. 46. v. οἱ. ἡ. v. Quòd hæc non. 47. v. namq. accedere. 48. v. αἱμ. οἴμαι. v. των. ἐξηγησαμένοις. 49. v. si. sit redd. 52. v. καυθ. λεκιθώδης. 53. v. παντ. αὐτὴν 54. v. duct. attrahentis quum agit fa-. 56. v. Εἰκ. ἐνεργέστερον. v. gra. mucronem 57. v. καθ. κατὰ βραχὺ. 59. v. rhæ. infest. 62. v. Εψ. σφιζόμενος. 63. v. μάχ. περὶ σώ. v. ὄγ. ἐξεστέλληται, 64. v. εἰς. οὐ ἴσως. 66. v. τῆς. τοῦ. v. σκω. ἀποδέδειχμαι τα. 67. v. qui est sati. v. νετ. ἀμβλώσκειν. 68. v. ἢ. τῷ ἥπατι. v. ot. lotium. 69. v. πλησ. πεινῆν. 71. v. dit. citra. 72. v. πολλ. κίνησιν. 77. v. κατ. δυνά-. 81. v. ips. quidam. 83. v. imo. huc vsque 84. v. αρτ. οἴμαι. 85. v. sed. memb. 86. v. πος. συμφύονται. v. ἐθ'. ἀχολησθῆναι. 90. v. πε. πεπωρης. v. abs. & in. 92. v. ἀμε. θίματος 93. v. suaserunt. 95. p. & peculiare larynx. v. ἄπιστας. 97. λ. ὄψι. 101. v. rum. alium. 102. v. οὐκ. ἀποδεχτικῷ. v. da. sensui. 103. v. num. omisissent. v. ἐκ. ἐκπίμπτεται. v. καθ. πᾶν τό. 105. v. τά. εἰπ. 108. v. num. permultæ. v. mor. est in. 109. v. δεμ. ποιοῦσι. 110. v. vet. motibus. 111. Εἰτ. αἱ ἀμμμν-. 113. v. χαν. φίλτατε. 114. v. ποι. ὀργὴν. 115. v. Κερ. d. ἢ. v. οι. γ. γήοισι. v. Αυτ. Αχιλλεύς. v. Ως. γηγῆθ. v. πτ. ἅμα 116. Ειθ'. Οδυσσεύς. v. τῶ. στηθίοισι. Ηὲ. πύξειεν. 117. το. λογισμὸς. v. λαί. ἐργάζοιτο. 118. v. πει. Χρισί-. v. δὲ. τῶν π. v. λετ. Χρισί-. 121. v. visc. viscerosa. v. Μεγαλόσπλαγχνος. 122. v. eiu. qui. v. φθ. χάφει. 126. v. θυ. δὲ λ. 127. v. δ. ὑπωσί. 130. v. πλέ. λέγει. 131. v. Αυτ. Θηπύος. 134. v. Seu. Dea. v. Atq. quemlib. 135. v. tis mali exp. 136. v. των. καθ' ὁρμὴν. 137. v. ἐ. σώμασι. 138. v. ὡς. ἀναισθήσει. v. adm. proteruus. v. pus. definitionum. 139. v. caus. quam cursus. v. cess. multo itaque. v. κρί. τὸ πάθ. 141. v. dict. pede sine crure. v. ἄφωνον. v. ἡκ. εἰδέ. v. ἀποσκοπεῖν. 145. v. inf. de diui-. 146. v. pers. illud. 147. v. hom. affectuum. 150. v. Et me conc. 151. v. μῦ. ἐκλείχει. 152. v. prohibebimus 153. v. ips. impetui. 155. v. Ψυχ. Ποση-. 157. v. qui. quod. v. πρ. καθιστῶσιν. 160. v. fun. ipsius. 163. v. san. & memb-. v. morb. vniuersè. v. tudine, aut sanitate, v. σώματος. 164. v. rior. ipsius. v. ani. sit. 166. v. nem. virtuti. 167. v. sci. affectuum. 169. v. λογ. τῆς ἐν. 171. v. Pla. sententia de. v. Χρυ. καταμα-. 172. v. ᾠδ. παιανία. 174. v. εἶναι. 175. v. ὁ λογ. χαλεπαίνει. v. ἀπ. ἔνδειξιν. 178. Στῆ. λώπαπη. 180. v. φύ. αὐτῆς. 183. v. περ. τὸ θνητὸν, τό. v. πολ. ὡς οὐκ. 187. v. εἰς περίσσωτον. 188. v. τό. χειλίων. v. καρ. θρέψιν. 189. v. ἡ φ. τὴν πο.

191. v. cert. d. quod. 192. v. της. αρξεται. 193. v. φλε. ἐμβρύων. 196. v. supp. illæ. 197. v. ἐξ. γωνείσις. 199. v. rum. efficere. 201. v. θα-τέρῳ. 202. v. πῶς. δυνάμεων. 204. v. po. indic. 205. v. πῶς. τῆς ἔμπροσθεν. v. λογ. ἐγκεφάλου. 207. v. art. quemadm. 209. v. quor. in ratione. v. πρὶν τ. γίνοιτ᾽. 211. v. mal. obtegentem. v. arb. motus arbitrarios. v. βαί. μήνιγγα. 212 v. id. habeant. 212. v. ἀκιν. μήνιγγες. 215. v. test perferre, v. γε. τὸ νεῦρον. 218. v. conf. igne. 219. v. sumq. affectunm. v. quem. affectuum. 221. v. vlt. instrumentum. v. στ. ἡμετ. 224. v. nium. per censui 22;. v. ne ex vol. 226. v. οὐ. ἀποδεικτικῶ. γ. λέγ. ἐγχειρεῖσθαι. 227. v. rat. & paucis. v. ὧν. οὐκ αἰ. 228. v. quam. lineares. 233. v. πν. διαπλασθέντων. v. αἰ. πρὶν π. 246. v. frig respirationem. v. por. media. 247. v. nem. humiditatem. 248. v. οἱ. τὴν τό. 252. v. mod. Olymp. 254. v. φιλοσων. 256. v. ptio. vocauit. 257. v. lent. inserere. 259. v ment. cæterarum. v. hor. vel docendo vel di. v. cog. quot &. 261. v. μηόν. πλθεῖν. 264. v. ρει. νούσοισιν. 268. v. ἀσφ. ἐργάσασθαι. v. sin. verò 269. v. voc. consistentiam. 271. v. των. ἄλληλα. 272. v. ἐνθ. ἀπλῶ. v. προσει. διαβεβληκώς. 273. v. adm. nec. v. tera. d. si. 276. v. Id. tertiæ. 277. v. imag. in mundo. v. Και. ξύμφυτον. v. ΠΛΑΤΩΝ. Ibid. ΠΛΑΤΩΝ. 280. v. Quar. bicornem 282. v. αἰ. θνητόν. v. προ. ξυνημμένον. 283. v. sion. accidere, quod fatendum. v. δη. ξυγγενες. 285. v. γυμν. ἅπαξ ἐκτ. 286. v. δ᾽ ἑκ. προσελει. v. stant. constituat. v. non. capræ, sues, boues. 287. ἀλλή. ἐνουμένων. 295. v. πλατ. τόπους τὸ. 296. v. μη. ἕκαστον. v. fract. quæ in. 297. v. tim. quicquam v. γιγ. τὴν τιω. 299. v. παι. τειχί-λιον. 300. v. διαν. quæ post προστιω, scribuntur vsque ad γίνεσθαι obliteranda sunt. 303. v. Κατ. φάρυγξ. 307. v. αρχαιοι. 313. v. dol. ædem. v. vnu. abitud. 314. v. quàm peperere. 316. v. enim. ad eã. 318. v. rot. ortũ quand. 320. v. ψυσι. γινσι. 321. v. ces. desijt. 322. v. ἐπ. ἐπὶ. v. rump. postrema. 324. v. πν. ἐκλείπ-. v. partu facili. v est alimentum. 327. v. sum. phlegma. 328. v. pocr. Hippocrati. v. κυχ. circuntortuosa. 330. v. sicc. aperiat. v. sci. attractiuam 332. v. lin. secundum calidum & frigidum æqua est, secundum plus &c. 335. v. κεκρ. ἐπιθυμ-. 338. v. πς. τόπον. v. ad. terram, 339. v. ips patrem. v. sit, &. v. mal. sit satis. v. est. incumbit. 240. cæt. diuinius. 341. v. φρύ. πυρὸς. 343. v. op. aut sermone. v. ἢ. ἢ ἐνδεχόμενα τὸ. 344. v. ταῦτ. καπίσῃ. 345. v. De mensibus. 346. v. ὑπ. γλῶττα. v. gru. tempora. 349. v. μῆν. περὶ τῶ. 348. mus. nonimestres. 351. v. rint. pauco temp. 352. v. σω. ἐξιέναι. v. dum. coacer. 353. v. Duo. quint. 355. v. ea. in ipsum. v. Καὶ. d. τὸ] πᾶ. 358. v. Vt. diligenti. 359. v. πε. δίκαιος. 361. v. ποῖς. ἐκείνοις. v. οὐδ. ἀδυνατον. 368. v. βρόγ. λάρυγγα. v. μυσ. μυώδεσι. v. ta. quandoque. 369. v. ἐς. ἐπιτροφ-. 371. v. tus. secundo. 373. v. spin. d. in. v. παλ. ἢ παλαιό. v. κέν. πλείονος. 374. v. tem. qui. 375. v. φέρ. ἐνεργ-. 378. v. ὑποκ. φύσις. 279. v. ἐπὶ. ἀκόλουθοι. 382. v. πέρα. ἥλοι. 385. v. ἔξω. τῷ τῆς. 387. v. μύ. γένους. 390. v. μοῖς. ἢ φρε-. 392. v. πλ. μέρος. 397. v. Vt. inducamus. 399. tom. prolixitas. v. dem. eide. v. bim. quod vita in. v. exist. corpori. 400. v. cal. substantia. v. nit ei. v. lum. est ex. 402. v. dem. his similia. v. ani. & etiam. 404. v. consideremus. v. & œsophagum. 405. v. adm. res attrahit. v. cul. quæ. v. σε. οὐχ. 407. v. Argumentum. 409. v. quum. quòd quum. 411. v. se. de sale. 417. v. vot. traheret. v. aut. hæc ex. 418. v. μεθ. προγνωστικ. v. rend, vbi amp. v. tra. Neutros enim. 419. v. πε. σύμφυτον. 420. v. πλ. καθαρόν. v. τιω. ἀποδείκνυσθαι. v. add. habemus. 421, v. λων. ἡμέρα. 422. v. μείζ. δὲ ἐλάττω ἐλάτ. 423. v. cut. ventrisque. v. vid. spiritus. v. ψυχ. ἐκ τῆς. d, ἐπ. 424. v. φαρ. οἰκείας. 428. v. tion primorum. 431. v. tis. incidantur. v. ex. continet. 433. v. θέως. τὸ δὲ, 434. v. dior. visitur, 435. v. οὐ. ἴσονται. 439. v. μον. κατ᾽ αὐτ. 442. v. rim. affectibus. 444. v. por. facultates. v. atque. 448. v. sicc. Atqui. 449. v. ment. d. mortis] cordis. 452. v. ψυ. πικρόν. 454. v. ἀέρ. τόπων. 455. v. φύσ. ἥκιστα. v. μύ. μνημ. 456. v. ἐγγ. τῆς δι. v. ὑπὸ. ἐνεργείας ἐνερ-. 468. v. cha-. chaëlis, quoque Ephesij.